LIBRARY OF PRINCETON
APR 20 1955
THEOLOGICAL SEMINARY
BS44
.O39
v.1

ΠΕΡΙ ΤΩΝ

Ο, ΕΡΜΗΝΕΥΤΩΝ

ΤΗΣ

ΠΑΛΑΙΑΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ,

ΒΙΒΛΙΑ Δ.

ΣΥΝΤΑΧΘΕΝΤΑ ΥΠΟ

τοῦ Πρεσβυτέρου καὶ Οἰκονόμου τοῦ Οἰκουμενικοῦ Πατριαρχικοῦ Θρόνου,

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ.

Constantine Oikonomos

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΑΘΗΝΗΣΙΝ.

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Π. Β. ΜΕΛΑΧΟΥΡΗ ΚΑΙ Φ. ΚΑΡΑΜΠΙΝΗ.

Ὁδῷ Ἁγίου Μάρκου.

ΑΩΜΔ.

1844

LIBRARY OF PRINCETON
APR 20 1955
THEOLOGICAL SEMINARY

« *Τὰ λόγια Κυρίου λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως* » (Ψαλμ. ΙΑ, 7). « Τούτων ἐκ τῆς θεόθεν οἰκονομηθείσης Ἑρμηνείας τῶν Ο, ἠξιώθημεν » (Εὐσέβ. Εὐ. Προπ. η, ι). « Θεοῦ γὰρ ἦν βούλημα, μεμελετημένοι εἰς ἑλληνικὰς ἀκοάς. Οὐ δὴ ξένον, ἐπιπνοίᾳ Θεοῦ, τοῦ τὴν Προφητείαν δεδωκότος, καὶ τὴν Ἑρμηνείαν, οἱονεὶ *ἑλληνικὴν Προφητείαν* ἐνεργεῖσθαι ». (Κλήμ. Στρωμ. Α, κβ.).

†

ΤΗ ΜΙΑ, ΑΓΙΑ, ΚΑΘΟΛΙΚΗ,
ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗ ΕΚΚΛΗΣΙΑ

ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ·

—

ΗΤΙΣ ΕΣΤΙ ΣΤΥΛΟΣ ΚΑΙ ΕΔΡΑΙΩΜΑ ΤΗΣ ΑΛΗΘΕΙΑΣ. ΝΥΜΦΗ ΚΑΙ ΣΩΜΑ ΧΡΙΣΤΟΥ, ΗΣ Η ΚΕΦΑΛΗ Ο ΧΡΙΣΤΟΣ. ΜΗΤΗΡ, ΚΑΙ ΤΡΟΦΟΣ, ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΣ, ΚΑΙ ΑΙΩΝΙΟΣ ΕΥΕΡΓΕΤΙΣ ΤΟΥ ΠΛΗΡΩΜΑΤΟΣ ΤΩΝ ΠΙΣΤΩΝ. ΘΕΟΚΤΙΣΤΟΣ ΚΙΒΩΤΟΣ ΤΩΝ ΣΩΖΟΜΕΝΩΝ. ΑΤΥΡΑΝΝΗΤΟΣ, ΑΔΟΥΛΩΤΟΣ, ΑΗΤΤΗΤΟΣ ΠΟΛΙΣ ΘΕΟΥ ΖΩΝΤΟΣ. ΑΕΙΦΡΟΥΡΟΣ ΦΥΛΑΞ, ΚΑΙ ΘΕΟΠΝΕΥΣΤΟΣ ΚΑΙ ΥΠΑΤΟΣ ΕΡΜΗΝΕΥΣ

ΤΩΝ ΘΕΙΩΝ ΓΡΑΦΩΝ.

—

ΤΗΝ ΠΕΡΙ ΤΩΝ Ο, ΤΕΤΡΑΒΙΒΛΟΝ

ΕΥΛΑΒΩΣ ΑΝΕΘΗΚΕΝ

Ὁ ἔσχατος τῶν πιστῶν ΑΥΤΗΣ υἱῶν
καὶ λειτουργῶν.

ΠΡΟΛΟΓΟΣ

ΠΡΟΣ ΤΟΥΣ ΟΡΘΟΔΟΞΟΥΣ ΕΛΛΗΝΑΣ.

Η μὲν ἁγία τοῦ Χριστοῦ Ἐκκλησία ἕστηκεν ἀκράδαντος ἐπὶ τῆς ἀφθάρτου, καὶ στεῤῥᾶς, καὶ ῥίζας ἀϊδίους καὶ βάρος ἀσάλευτον ἐχούσης πέτρας τῆς ὀρθοδόξου πίστεως, ἐφ᾽ ἧς αὐτὴν ᾠκοδόμησεν ὁ αἰώνιος αὐτῆς Νυμφίος καὶ Βασιλεύς. Οὐδὲ κατισχύσουσιν οὐδέποτε κατ᾽ αὐτῆς *ᾅδου πύλαι* στυγεραὶ, καὶ μικραὶ καὶ μεγάλαι, κατὰ καιροὺς καὶ τόπους συχνάκις ἀνοιγόμεναι, καὶ ταρτάρειον ἐκπνέουσαι ζόφον, καὶ ποικίλα πνεύματα πλάνης καὶ πονηρίας ἐξ ἀνηλίων βαράθρων ἀναφυσῶσαι, ἐπ᾽ ὀλέθρῳ τῆς εὐσεβείας. Αὐτὸς δὲ τῆς Ἐκκλησίας ὁ κραταιὸς δομήτωρ καὶ Κύριος παραγγέλλει διὰ τοῦ Ἀποστόλου ἑνὶ ἑκάστῳ, καὶ πᾶσι τοῖς πιστοῖς τῆς Ἐκκλησίας υἱοῖς, ἀνθίστασθαι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, ἐνδεδυμένους τὴν πανοπλίαν τῆς θείας διδασκαλίας. « Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις ».

Πολλῶν δὲ καὶ ποικίλων οὐσῶν τῶν τῆς πλάνης μεθοδειῶν, ἡ μάλιστα δυσφύλακτος καὶ κινδυνώδης τοῖς ἁπλουστέροις, ἡ κατὰ τῶν θείων ἐστὶ Γραφῶν, ἐξ ὧν ἡμῖν ἀνατέλλει τὸ τῆς εὐσεβείας πηγαῖον καὶ φερέσβιον φῶς, καὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν ταῖς ἀκτῖσι τῆς θεογνωσίας αὐγάζει, καὶ λαλεῖ πρὸς ἡμᾶς ἐξ αὐτῶν ὁ Θεὸς, « *ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον* ». Πρὸς ταύτας οὖν τὰς ἀκηράτους πυξίδας τοῦ θείου Πνεύματος ἀκήρυκτον καὶ βαρὺν ὁ τοῦ σκότους ἄρχων τινάσσει τὸν πόλεμον. Νῦν μὲν γὰρ τὴν θειότητα τῶν ἁγιωτάτων βίβλων ἀρνεῖσθαί τινας ἀνέδην παρασκευάζει, καὶ ταύτας ποικίλως συκοφαντεῖν· νῦν δὲ πάλιν

διαστρεβλοῦν αὐτὰς καὶ παρερμηνεύειν, τὸ πανάχραντον νόημα κιβδηλεύοντας· καὶ τοὺς μὲν θεσπεσίους αὐτῶν ἑρμηνεῖς καὶ θεοφάντορας διδασκάλους τῆς Ἐκκλησίας ὀλιγώρως ἀθετεῖν *ἐν ὑπερηφανείᾳ καὶ ἐξουδενώσει*· πρὸς ἄλλα δέ τινα καινοτόμου διδασκαλίας πλάνα φῶτα θαυμάζοντας ἀποβλέπειν· καὶ παντοιοτρόπως ὁ δόλιος τῶν ζιζανίων σπορεὺς κατασοφίζεται τὴν ἀλήθειαν, μηχανώμενος ὅπως ἐξαπατήσῃ, καὶ τῶν πατρῴων διδαγμάτων καὶ παραδόσεων ἀποβουκολήσῃ τοὺς υἱοὺς τῆς ὀρθοδοξίας.

Τοιαύτη τις ἀπατηλὴ περὶ τὰς Γραφὰς διδασκαλία, ὡς ἂν ἄστρου πλανωμένου καὶ διάττοντος ἐκ δυσμῶν πρὸς ἀνατολὰς ψευδόφωτον σέλας, ἐφάνη πρό τινων χρόνων καὶ εἰς τὴν δι᾽ αἰῶνος εὐσεβοῦσαν Ἑλλάδα. Διδάσκει δὲ αὕτη τοὺς Ἕλληνας, ἵνα τὴν μὲν κατὰ τοὺς Ο, θεοπρεπῆ καὶ πατροπαράδοτον Ἑρμηνείαν τῆς παλαιᾶς θείας Γραφῆς ἀθετήσωσιν, ἀσπασθῶσι δὲ μᾶλλον καὶ προτιμήσωσι καινήν τινα μετάφρασιν ἐκ τοῦ νῦν παρὰ τοῖς Ἰουδαίοις φερομένου ἑβραϊκοῦ πρωτοτύπου. Καὶ λόγους πρὸς τοῦτο πειστικοὺς ἡ ξενόφωνος ἐπιφέρει διδασκαλία, διακηρύττουσα τὴν μὲν τῶν Ο, Ἑρμηνείαν παντοίων ἀτοπημάτων γέμουσαν καὶ ψευσμάτων, ὡς ὑπό τινων ἀγνώστων ἀνθρώπων καὶ ἀσυνέτων, καὶ τῆς τε καθ᾽ Ἕλληνας καὶ αὐτῆς τῆς ἑβραΐδος γλώσσης ἀμαθῶν, συγκεκαττυμένην, τὸ δὲ καθ᾽ ἡμᾶς ἑβραϊκὸν κείμενον μόνον δῆθεν ἀσφαλὲς, καὶ γνήσιον ἐν πᾶσι, καὶ καθαρὸν διαλάμπον. Ἐκ τούτου (λέγει) καὶ πολλαὶ τῶν κατὰ τὴν Εὐρώπην μεγάλων καὶ περιωνύμων χριστιανικῶν ἐκκλησιῶν ἀκριβῶς ἐφιλοπόνησαν τὰς παρ᾽ αὐταῖς δεδημοσιευμένας μεταφράσεις τῆς παλαιᾶς ἁγίας Γραφῆς.

Ἀλλ᾽ ἡμεῖς περὶ μὲν τῶν ἄλλων ἐκκλησιῶν οὐδὲν πολυπραγμονοῦμεν, οὐδ᾽ ἐξετάζομεν, εἰ καλῶς καὶ δικαίως καὶ διὰ τίνας λόγους ἔδοξεν ἃ ἔδοξε παρ᾽ αὐτοῖς. Ἄλλα παρ᾽ ἄλλοις καλά· καὶ κρατείτω τὰ δεδογμένα, μηδενὸς τῶν ἔξωθεν ἀντινομοθετοῦντος, ἢ ἐπικρίνοντος. «*Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;*». Παρ᾽ ἡμῖν δὲ τοῖς Ἀνατολικοῖς μία καὶ μόνη πεπίστευται, καὶ κεκράτηκε, καὶ δι᾽ αἰῶνος κρατήσει ἑρμηνεία, αὐτὴ ἡ τῶν Ο· πᾶσα δὲ ἄλλη νεω-

τέρα ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασις ἄθεσμος δοκεῖ καὶ ἀνίερος, καὶ τοῖς πατρῴοις ἡμῶν διδάγμασιν ἀντιβαίνει, καὶ τὰς συνειδήσεις ταράσσει, καὶ τὴν ἐν Χριςῷ εἰρήνην θορυβεῖ, καὶ τοῦτ᾽ αὐτὸ, σκάνδαλον τοῦ πονηροῦ δαίμονος ἀποβαίνει, τῶν παρ᾽ ἡμῖν καλλίστων καὶ θειοτάτων δικαίων ἁπτόμενον. Διὰ ταῦτα καὶ τὴν εἰς τὴν χυδαίαν τῶν Ἑλλήνων διάλεκτον πρό τινων ἐτῶν ἀναφανεῖσαν, καὶ πᾶσαν ἄλλην ἐκ τοῦ νῦν ἑβραϊκοῦ διὰ τοὺς Ὀρθοδόξους γινομένην μεταγλώττισιν ἀπεκήρυξεν ἡ καθολικὴ καὶ ὀρθόδοξος τοῦ Χριστοῦ Ἐκκλησία, καὶ τῶν ἱερῶν περιβόλων παντὸς τοῦ τῆς Ὀρθοδοξίας πληρώματος εἶρξέ τε καὶ ἐξήλασε. Μόνην δὲ κυρίαν, καὶ γνησίαν, καὶ τοῖς πᾶσιν εὐσεβέσιν ἀείποτε σεβαστὴν καὶ ἀποδεκτὴν ἐθέσπισεν, ἣν παρέλαβε παρὰ τῶν Ἀποστόλων Ἑρμηνείαν τῶν Ο.

Μετὰ τοῦτο τῆς βασιλίδος μητρὸς Ἐκκλησίας τὸ θέσπισμα, ἔπρεπεν, ἴσως, ἵνα καὶ πραγματεία τις ἰδίως ἐπακολουθήσῃ, κατεξελέγχουσα τὰς εἰς τοὺς Ο, ξενικὰς βλασφημίας, οὕτως ἰταμῶς ἐν μέσῳ τῆς Ἑλλάδος ἐκραγείσας, ὑφ᾽ ὧν πολλοὶ τῶν ἡμετέρων τὰ ὦτα διεθρυλλήθησαν, καὶ βομβοῦσιν εἰσέτι τούτων αἱ ἀκοαί. Καὶ μακάριοι μὲν πάντως ὅσοι, τῇ πατροπαραδότῳ διδασκαλίᾳ τῆς Ἐκκλησίας ἐῤῥιζωμένοι, μηδένα πάσχουσι σάλον ἐκ τῆς τῶν ἀντιδοξούντων κενῆς ἀπάτης, καὶ τῶν ῥαγδαίων κομποῤῥημοσυνῶν, ἀλλ᾽ ἑστήκασι τούτων ὑψηλότεροι καὶ ἀτάραχοι, παραπλησίως ἑδραίου καὶ ἀτινάκτου σκοπέλου, πρὸς ὃν τὰ κύματα ῥόθια προσαράσσοντα κατακερματίζονται, συντριβόμενα εἰς ἀφροὺς διακένους καὶ ψεκάδας λεπτάς. Ἐπειδὴ δὲ καί τινες ὑπάρχουσι, τυχὸν, ὑπόχαυνοι, καὶ ἀσθενεῖς, καὶ διὰ μικροψυχίαν εὐκλόνητοι, καὶ πολλὴ δὲ νεότης, ἄκακος καὶ ἀκέραιος, ἅμα δὲ καὶ πρὸς φιλομάθειαν, ὡς οἱ ἄπτεροι τῶν νεοσσῶν, ἐπιχαίνουσα, διὸ καὶ εὐαπάτητος, καὶ ῥᾳδίως καταπίνουσα τῆς πονηρᾶς διδασκαλίας τὸ δέλεαρ· διὰ ταῦτα προσῆκεν, ἴσως, ὡς εἴπομεν, ἵνα καί τις ἰδίως ἐκδοθῇ συγγραφὴ, τὰ κατὰ τῶν παρ᾽ ἡμῖν ἁγίων Γραφῶν ἐπιχειρήματα τῶν ἐναντίων εὐσταθῶς ἀνακρίνουσα, καὶ ταῦτα σαθρὰ καὶ ἀνεμώλια οὐχ ἧττον, ἢ δόλια καὶ ὕπουλα παραδειγματίζουσα κατέναντι τοῦ

ἡλίου τῆς ἀληθείας· ἵνα καὶ τοῖς ἐῤῥωμένοις εἰς τὰ πάτρια φρονήματα καὶ σταθεροῖς πρὸς ἑδραιοτέραν ἐποικοδόμησιν συντελέσῃ, καὶ τοῖς κραδαινομένοις, εἰ τύχοι, καὶ ὑποσκελισθῆναι κινδυνεύουσιν, ὡς ὑπέρεισμα καὶ διάζωσμα χρήσιμος ἀποβῇ. Οὕτω γὰρ φυλάξονται « *τοὺς συνταράσσοντας τὰς τρίβους τῶν ποδῶν αὐτῶν*, καὶ φεύξονται τὴν ὀλεθρίαν ἐπίκλυσιν, ἣν οἱ καινοτόμοι κατεργάζονται, « *ῥήματα καταποντισμοῦ δολίᾳ γλώσσῃ* » ἐξερευγόμενοι καὶ ἀναστομοῦντες.

Ἀλλὰ πρὸς τοιαύτην ἐμβριθῆ πραγματείαν μεγάλης ἔδει καὶ φωνῆς καὶ ψυχῆς, καὶ διανοίας ἐπτερωμένης. Εὐγενίων τὸ ἔργον, καὶ Νικηφόρων, καὶ τῶν τοιούτων διδασκάλων, ὅσοι τὴν σοφίαν καὶ τὸν ζῆλον τῶν ἀοιδίμων Φωτίων, καὶ Γενναδίων, καὶ τῶν ἄλλων ἁγίων Πατέρων ἐπαξίως διαδεξάμενοι, κατηγλάϊσαν καὶ καθ' ἡμᾶς τὸ ςερέωμα τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, « *ὡς φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες* ». Καὶ νῦν δέ τινες καὶ ἄλλοι, δοῦλοι Κυρίου, θείᾳ τε καὶ ἀνθρωπίνῃ σοφίᾳ πλουσίως κομῶντες, τὸ ἡμέτερον γένος κατακοσμοῦσιν. « *Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης* », ὁμολογῶ, καὶ τὴν διάνοιαν οὐχ ἧττον, ἢ τὴν γλῶσσαν ἀμβλὺς καὶ βραδύς. Εἰ δέ ποτέ τινες καὶ ἦμεν ἐν λόγοις, καὶ τούτων τὸ σμικρὸν καὶ χαμαίζηλον ἄνθος τὸ γῆρας ἐπελθὸν ἀπεμάρανεν. Ἀλλ' ἐπειδὴ καὶ πρῶτον ὁ κλῆρος ἔπεσεν ἐπ' ἐμὲ, φίλων τε θεοφιλῶν ὑπείκων προτροπαῖς, καὶ τὸ παρ' ἐμοὶ λεπτὸν συνεισφέρων εἰς τὸ πάμπλουτον καὶ μέγα τῆς Ἐκκλησίας γαζοφυλάκιον, ἐπεχείρησα τῷ παρόντι συντάγματι. Καὶ ὅτι μὲν τὸ πόνημα πολὺ τῆς ἀπαιτουμένης ἀξίας ἀπολείπεται, δῆλον αὐτόθεν· κατετόλμησα δ' οὖν τῆς ἐκδόσεως, οἷον ἀτελὲς σκιαγράφημα, προτιθεὶς αὐτὸ τοῖς ὁμογενέσι, τήν τε παροῦσαν ἔλλειψιν τῶν τοιούτων βιβλίων ὁπωσδήποτε παραμυθοῦν, καὶ ἅμα προκαλούμενον ἀκριβεστέρας καὶ λαμπρὰς τῆς μεγάλης ἀληθείας εἰκόνας, ἃς, Θεοῦ διδόντος, ἐφεξῆς ἄνδρες καλλιγράφοι φιλοκαλήσουσιν, ἀξιοπρεπέστερον καὶ τορώτερον ὑπερασπίζοντες καὶ διεκδικοῦντες τὰ πάτρια. Περὶ τούτου πρῶτον ἔκρινα τὸν ἀναγνώστην ὑπομνηστέον, ἵνα μὴ, τυχὸν, παρὰ τοῖς φρονίμοις ἀλαζονικώτερον τὸ ἐγχείρημα φανῇ.

Κἀκεῖνο δὲ προσθετέον. Ἐν ᾧ πρὸς τὰς τῶν Εὐρωπαίων σοφῶν κατὰ τῆς Ἑρμηνείας τῶν Ο, ποικίλας καταφορὰς ἀπαντῶμεν, οὐδόλως ἀποβλέπομεν πρὸς αὐτοὺς, τοὺς ἐπὶ σοφίᾳ παντοίᾳ περικλεεστάτους ἄνδρας, ἵνα τούτους τὰ καθ' ἡμᾶς ἀναδιδάξωμεν δικαιώματα. Πολλοῦ γε καὶ δεῖ. Εἰ γὰρ οὐδὲ Πλάτων ἐθάῤῥησε « Κυρηναίοις γράψαι νόμους, οὖσι πλουσίοις ». πολλῷ δὴ μᾶλλον ἡμεῖς, μήτε Πλάτωνές τινες ὄντες, καὶ μόνον εἰς *τὸν ἐπιούσιον ἄρτον τῆς γνώσεως* ἐξαρκούμενοι, ἀφεξόμεθα τοῦ πρὸς ἄνδρας ἁβροὺς καὶ τρυφῶντας ἐν λόγοις ἐπιδείξασθαι τὴν ἀπέριττον καὶ πενιχρὰν ἡμῶν ἀγροικίαν. Οὔτε γὰρ ἐκείνοις ἡδεῖα δόξει, καὶ ἡμεῖς οὐκ ἀστείως ἀπ' αὐτῶν ἀπαλλάξομεν.

« Ἀγλωσσίᾳ γὰρ πολλάκις ληφθεὶς ἀνὴρ,
Δίκαια λέξας, ἧσσον εὐγλώσσου φέρει ».

Καὶ ὑπάρχουσι μὲν καὶ μεταξὺ αὐτῶν ἄνδρες ἐπὶ σοφίᾳ καὶ κριτικῇ δυνάμει περιφανέστατοι, τὰ δίκαια τῆς ἡμετέρας Ἐκκλησίας σεβαζόμενοι καὶ τιμῶντες, οὓς καὶ ἡμεῖς συμμάχους ἐν τῷ παρόντι συντάγματι παρελάβομεν ἀσμένως καὶ εὐγνωμόνως. Ἀλλὰ τὸ πλεῖστον σύστημα τῶν νεωτέρων κριτικῶν ἐπιμένουσι δόξαις ἰδίαις, ὅσας φθάσαντες ἐξέδωκαν καὶ ἐκράτυναν· καὶ ταύτας, ὡς ἀναγκαίας ἀρχὰς, πρεσβεύουσιν ἀραρότως, μήτε τὴν ἱστορίαν τῆς Ἑρμηνείας μηδ' ἀκοῦσαι γοῦν ὑπομένοντες, μήτ' αὐτὴν ἀποδεχόμενοι τὴν Ἑρμηνείαν τῶν Ο, (καί τοι ταύτῃ χρώμενοι μυριάκις ἐν ταῖς Γραφικαῖς αὐτῶν μελέταις καὶ θεωρίαις). Οἱ δέ τινες καὶ λίαν ἀγανακτοῦσιν, εἴ τις ἐξ αὐτῶν ὑπὲρ ἡμῶν τὰ δίκαια λέγοι. Οὕτω τὸν κλεινότατον Οὐόσσιον, ἐπειδὴ τὴν ἱστορίαν τῆς Ἑρμηνείας ὡς γνησίαν ἀπεδέξατο, καὶ αὐτὴν τὴν θεσπεσίαν Ἑρμηνείαν τῶν Ο, προτιμητέαν ἔκρινε τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ πρωτοτύπου, ἀναστάς τις τῶν πολυσόφων ἐλοιδόρησεν, ἀποκαλέσας « ἀναιδέστατον καὶ φλύαρον Γραικύλον » (α)· (ὡς τῶν Γραικύλων δῆθεν

(α) « Graeculus in loquendo multus et ineptus est ad summam impudentiam ». M. G. Meier de versione, quam vocant LXX. virali ἱστορούμενα, Isaacio Vossio potissimum opposita. §. XXVII. Witteberg. 1690.

ἴδιον ὂν τὸ μύθοις πιστεύειν, καὶ ληρεῖν ἀναιδῶς!). Ἄλλοι δέ τινες κριτικοὶ, διομολογοῦντες, ὅτι ὁ Ῥωμαῖος Δεμάγιστρος ἐν τῇ ὑπὲρ τῶν Ο, Ἀπολογίᾳ οὐκ ἀναξίως οὐδ᾽ ἀγενῶς καθήψατο τῶν καταδραμόντων τὴν Ἑρμηνείαν τῶν Ο, καὶ τὴν κατ᾽ αὐτὴν ἱστορίαν (λέγουσι δὲ τὸν Ὅδιον καὶ τὸν Βανδάλην), ἔπειτα ἀποφαίνονται οἱ ἄνδρες ἀφοριστικώτερον, ὅτι διὰ ταύτης ὅμως τῆς Ἀπολογίας ὁ Δεμάγιστρος οὐκ ἴσχυσε πιστὴν ἀποδεῖξαι τὴν ἱστορίαν τῆς ἑρμηνείας. Τὰ δ᾽ αὐτὰ κρίνουσι καὶ περὶ τοῦ Ἄγγλου συγγραφέως τῆς Ἀριστέου Διεκδικήσεως (α), καὶ περί τινων ἄλλων σοφῶν αὐτοῖς ὁμογενῶν· καὶ τὴν μὲν ἧτταν τῶν ἀντιπάλων ὁμολογοῦσιν, ἀπαναίνονται δὲ τὰ δίκαια τῶν νικητῶν. Οὕτως οἱ τοιοῦτοι ἄνδρες ἀπρὶξ ἔχονται τῶν παρ᾽ αὐτοῖς φιλολογικῶς κεκριμένων, ἅτινα καὶ ἄλλως συστοιχοῦσι τοῖς ἀξιώμασι τῆς κατ᾽ αὐτοὺς σκεπτικῆς φιλοσοφίας· συμβάλλουσι δ᾽ οὐκ ὀλίγον καὶ πρὸς τὰ δόγματα τῶν κατ᾽ αὐτοὺς Ἐκκλησιῶν. Πρὸς τοιοῦτον λοιπὸν πάμμουσον καὶ πάμφωνον ὅμιλον ἄκομψα τὰ ἡμέτερα φαίνονται καὶ ἀρχαῖα· καθὼς πάλιν καὶ τἀκείνων, παρὰ πολὺ σοφώτερα καὶ ὑψηλότερα τῆς ἡμετέρας διανοίας καὶ παραδοχῆς. Διὰ ταῦτα οὐδὲν ἡμῖν κἀκείνοις κοινόν.

Πρὸς ὑμᾶς ἀφορᾷ τοῦ παρόντος συγγράμματος ὁ σκοπὸς, ὦ παῖδες *Γραικύλων!* ἐκείνων δηλονότι τῶν μεγάλων ἡμῶν πατέρων, παρ᾽ ὧν οἱ νεώτεροι οὗτοι σοφοὶ καὶ τὴν θείαν Γραφὴν καὶ τὰ κάλλιστα τῆς ἀνθρωπίνης σοφίας παραλαβόντες, ἐξυβρίζουσιν ἔπειτα καὶ τοὺς πατέρας διὰ τοὺς υἱοὺς, καὶ τοὺς υἱοὺς διὰ τοὺς πατέρας. Ὁμολογοῦσι τὰ σεπτὰ πρεσβεῖα τῆς (ὡς λέγουσιν) ἀρχαίας καὶ Ἀποστολικῆς Ἐκκλησίας, καὶ ἔπειτα ἀποδιοπομποῦνται τὴν κατὰ τοὺς Ο, τῶν θείων Γραφῶν Ἑρμηνείαν, ἣν ἡ Ἐκκλησία παρέδωκε πᾶσι τοῖς εἰς Χριστὸν πιστεύσασιν ἔθνεσιν ἐξ ἀρχῆς, καὶ μέχρι σήμερον αὐτὴ διακρατεῖ καὶ διαφυλάττει. Ἤδη δὲ καὶ παρ᾽ ἡμῖν εἰσεκώμασεν ἡ κατ᾽ αὐτοὺς καινοτέρα διδασκαλία. Ἡμεῖς

(α) Βλ. Fabric. Biblioth. Graec. vol. 3. p. 664. Harl.

δὲ ταύτην ἀποπέμποντες ὡς ἀλλοτριάζουσαν καὶ ἀσύμφυλον, « *Μένομεν ἐν οἷς ἐμάθομεν καὶ ἐπιστώθημεν* ». Καὶ πάσης ἄλλης μαθήσεως, καὶ αὐτῶν δὲ τῶν αἰσθήσεων ἡμῶν « *ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον* », ὃν παρελάβομεν καὶ διετηρήσαμεν, « *ᾧ καὶ προσέχοντες, καλῶς ποιοῦμεν* » (φησὶν ὁ Ἀπόστολος), « *ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ* ». Τοῦτον παρὰ τῶν μακαρίων ἡμῶν Πατέρων ἐδεξάμεθα, τοῦτον παρὰ τῶν Ἀποστόλων, τοῦτον παρὰ τοῦ Θεοῦ. Κατὰ ταύτας τὰς *Προφητικὰς Γραφὰς* « ἐγνώρισαν ἡμῖν τὸ Εὐαγγέλιον οἱ θεῖοι Ἀπόστολοι, « *Καὶ παρέδωκαν ἐν πρώτοις, ὃ καὶ παρέλαβον παρὰ τοῦ Κυρίου, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφὰς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς* ». Ταύτας οὖν τὰς Γραφὰς κατέχομεν ἀκριβῶς. « *Καὶ ἕτοιμοί ἐσμεν ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ἡμᾶς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, μετὰ πρᾳότητος καὶ φόβου* ».

Ψέγουσι τοὺς Ο, ἑρμηνεῖς ὡς μήτε νοήσαντας μήτε μεθερμηνεύσαντας ὀρθῶς καὶ γνησίως τὰς θείας Γραφάς. Ἀλλὰ τὸ γνήσιον καὶ ὅσιον κῦρος τῆς Ἑρμηνείας ταύτης βεβαιοῦσι πάντες οἱ μεταξὺ τῶν Ο, καὶ τῆς ἐσχάτης τῶν Ἱεροσολύμων καταστροφῆς ἀκμάσαντες Ἰουδαῖοι σοφοὶ, Ἀριστόβουλος, Εὐπόλεμος, Φίλων, Ἰώσηπος, καὶ πᾶσα μετ᾽ αὐτῶν ἡ ἀρχαία Συναγωγή. Βεβαιοῦσιν οἱ θεόπνευστοι Ἀπόστολοι, ἐκ ταύτης λαβόντες ἁπάσας τὰς προφητικὰς μαρτυρίας καὶ φράσεις ἐν τῇ συγγραφῇ τῶν θείων Εὐαγγελίων, καὶ ταύτην μετ᾽ αὐτῶν παραδόντες τῷ πληρώματι τῶν πιστῶν. Βεβαιοῦσι πᾶσαι αἱ ὑπ᾽ οὐρανὸν Ἐκκλησίαι, αἵτινες κατὰ τοὺς πρώτους αἰῶνας τοῦ χριστιανικοῦ κηρύγματος ἀνεγίνωσκον κατὰ τὰς διαφόρους τῶν ἐθνῶν γλώσσας τὴν παλαιὰν Γραφὴν, μεθηρμηνευμένην ἀπὸ τῆς Ἑρμηνείας τῶν Ο. Ἐκ ταύτης ἐξεχύθησαν αἱ προφητεῖαι εἰς πᾶσαν τὴν Οἰκουμένην, ὡς ἐκ τοῦ *Ὠκεανοῦ πάντες ποταμοὶ, καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσι* ». Βεβαιοῦσι πάντες οἱ θεῖοι Πατέρες τῆς Ἐκκλησίας, πᾶσαι αἱ θεοσύλλεκτοι Σύνοδοι, αἱ Οἰκουμενικαὶ καὶ τοπικαί. Πᾶσα ἐν γένει

ἡ μία, καὶ ἁγία καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, διὰ τοσούτων αἰώνων μίαν καὶ μόνην ἑρμηνείαν τῆς παλαιᾶς Γραφῆς ἀποδεχομένη καὶ τιμῶσα, ὡς ἐκ θείας ἐπιπνοίας γενομένην, τὴν Ἑρμηνείαν τῶν Ο. Καὶ αὐτὴ ἡ Δυτικὴ ἐκκλησία, καὶ μετὰ τὸ μή ποτ' ὀφειλόμενον σχίσμα, ὡσαύτως καὶ ἄλλαι κατὰ τὴν Ἀσίαν καὶ Ἀφρικὴν ἑτερόδοξοι ἐκκλησίαι (οἷον ἡ τῶν Ἀϐυσσηνῶν, καὶ τῶν Ἀρμενίων, κτλ.) ἐπιγινώσκουσι τὸ κῦρος τῆς Ἑρμηνείας τῶν Ο. Ταύτην, τέλος, βεϐαιοῦσι καὶ πολλαὶ μαρτυρίαι τοῦ Σαμαρειτικοῦ κειμένου, τὰ χρονικὰ τῶν ἀρχαίων ἐθνῶν, οἷον Σύρων, Αἰγυπτίων, Βαϐυλωνίων, καὶ αὐτῶν δὲ τῶν Ἑλλήνων ἱστορικαὶ μαρτυρίαι καὶ λέξεις καὶ φράσεις, ὅσας ἐξ αὐτῆς ἐδανείσθησαν, ὡς ὀψόμεθα ἐν τῷ παρόντι συντάγματι.

Τοιούτου δὲ ὄντος τοῦ τῆς Ἑρμηνείας ἀξιώματος, «τίς μὴ θαυμάσει (λέγει πάλιν ὁ σοφὸς καὶ κριτικὸς Οὐόσσιος), πῶς εὑρέθησαν ἄνθρωποι κατὰ τὸν ἡμέτερον αἰῶνα, οἵτινες εἰς τοσοῦτον θράσος κατήντησαν, ὥστε γράφουσι καὶ κηρύττουσιν ἀνερυθριάστως μύθους ἀκράτους εἶναι πάντα τὰ περὶ τῶν Ο, ἱστορούμενα, καὶ αὐτὴν δὲ τὴν ἱερὰν Ἑρμηνείαν πολλαχῶς συκοφαντοῦσι καὶ παντάπασιν ἀθετοῦσι; » (α). Τὸ νῦν περιφερόμενον ἑϐραϊκὸν πρωτότυπον συνιστῶσιν εἰς ἡμᾶς, ὡς ἀσφαλὲς καὶ ἀδιάψευστον· ὡσανεὶ ὑπῆρχεν αὐτὸ ἐκεῖνο τὸ ἐξελθὸν ἐκ τῶν χειρῶν τῶν θεοπνεύστων προφητῶν! Ἀλλὰ ποῖον μέν ἐστι τοῦτο, καὶ πόσον ἐν πολλοῖς διεφθαρμένον, καὶ κατὰ τὴν ἀνάγνωσιν τῶν Μασσοριτῶν ῥαϐϐίνων παρεξηγημένον, πόσον δὲ διαφωνεῖ πρός τε τοὺς θείους Εὐαγγελιστὰς, καὶ πρὸς τὰς ἄλλας τὰς παλαιὰς μεταφράσεις, καὶ πόσον ἐν γένει παραλλάσσει ἀπὸ τῆς πρώτης αὐτοῦ γνησιότητος, φανήσεται ἐν τῷ Γ. βιϐλίῳ τοῦ παρόντος συντάγματος· ὁμολογοῦσι δὲ καὶ ἐξ αὐτῶν τῶν κριτικῶν ἄνδρες σοφώτατοι καὶ εἰλικρινέστατοι.— Ἀλλὰ τοῦτο (λέγουσι) τὰ νῦν τοσαῦται Ἐκκλησίαι εἰς τὰς ἰδίας αὐτῶν γλώσσας μεταφράζουσι. — Μεταφραζέτωσαν τὰ θεῖα λό-

(α) Βλ. Is. Vossij de LXX. p. 2, 3, ad Lector. καὶ ἀλλαχοῦ πολλαχοῦ.

για ὅπως ἂν καὶ ὅθεν κρίνωσι καλόν. Τί πρὸς ἡμᾶς; Αὐτὴ δὲ ἡ τὸν κώδηκα τῶν θείων Γραφῶν παρ' αὐτῶν τῶν Ἀποστόλων παραλαβοῦσα, καὶ εἰς πᾶσαν τὴν Οἰκουμένην, ὡς ἀειλαμπὴς θεόκτιστος ἑστία, φρυκτωρήσασα τῶν προφητικῶν λογίων τὸ φῶς, καὶ διὰ τοσούτων μὲν αἰώνων καὶ τόπων, διὰ τοσούτων δὲ καὶ τηλικούτων διδασκάλων, ἀγώνων, αἱμάτων μαρτυρικῶν, ἄχραντον ἀπὸ τῶν αἱρέσεων καὶ ἀκήρατον διατηρήσασα τὸν ἀποστολικὸν τοῦτον κώδηκα, τοῦτον καὶ νῦν διακρατεῖ, καὶ μέχρι συντελείας κρατήσει πιστῶς, ὡς ἀναφαίρετον παρακαταθήκην τοῦ παναγίου Πνεύματος. Ἢ μήπως αἱ μὲν ἄλλαι Ἐκκλησίαι δύνανται τὰ δοκοῦντα ποιεῖν, ἡ δὲ πρεσβυτάτη καὶ ἀρχέγονος μήτηρ τῶν Ὀρθοδόξων, ἡ ἀμώμητος παρθένος καὶ νύμφη Χριστοῦ, *ἐξ ἧς ἐξῆλθε νόμος καὶ λόγος Κυρίου εἰς πάντα τὰ ἔθνη*, παραβλέψει τὸ θεῖον αὐτῆς ἀξίωμα, καὶ ὑπείξει εἰς ἀνθρωπίνους καινοτομίας; « Μὴ ἐπιλήσεται *νύμφη τοῦ κόσμου ἑαυτῆς, ἢ παρθένος τῆς στηθοδεσμίδος αὐτῆς;* » — Ἄπαγε!

« *Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω* », παραγγέλλει ὁ θεῖος λόγος· καὶ ἡμεῖς « *ἐὰν καυχησώμεθα* (κατὰ τὸν Ἀπόστολον), *οὐκ ἐσόμεθα ἄφρονες· ἀλήθειαν γὰρ ἐροῦμεν* ». Πάντων τῶν ἐθνῶν Θεός, ὁ παντοκράτωρ Θεός. « *Οὐ γὰρ ἔστι προσωποληψία παρ' αὐτῷ* »· καὶ πᾶσα λογικῶν ἀνθρώπων γλῶσσα δύναται « *ἐξομολογεῖσθαι τῷ Κυρίῳ* ». Ἀλλ' εἰς τὸ πρῶτον καὶ ζωήῤῥυτον κήρυγμα τῆς ἐναρμονίου διδαχῆς τῶν Προφητῶν καὶ Ἀποστόλων, μίαν καὶ μόνην ἐξελέξατο γλῶσσαν ὁ Παντοκράτωρ, τὴν γλῶσσαν τὴν ἑλληνικήν. Ἑβραϊστὶ τὸ πρῶτον συνεγράφη ἡ Παλαιὰ τοῦ Θεοῦ Διαθήκη, καὶ διέμεινε παρ' ἑνὶ μόνῳ ἔθνει, τῷ Ἑβραϊκῷ, μέχρι καιρῶν καὶ χρόνων ὡρισμένων πεφυλαγμένη· καὶ μόνον ἐν μιᾷ τῆς Παλαιστίνης γωνίᾳ, τῇ Ἰουδαίᾳ, ὑπῆρχε γνωστὸς ὁ ἐν Προφήταις λαλήσας Θεός. Ὅτε δὲ ἦλθεν ὁ καιρός, ὁ διὰ τοῦ Προφήτου Δανιὴλ προῤῥηθείς, καὶ οἷον πρόδρομος προορισθεὶς καὶ προάγγελος τοῦ μεγάλου τῶν χρόνων πληρώματος, τοῦ μυστηρίου τῆς θείας Οἰκονομίας, τότε ἀναβαίνει ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ἀσίαν ὁ μονόκερως καὶ μόναρχος Μακεδών, καὶ καταπατεῖ τὴν βασι-

λείαν Περσῶν, καὶ *μεγαλύνεται ἕως σφόδρα*. Καὶ ἀφ᾽ οὗ συνετρίβη τὸ μέγα κέρας αὐτοῦ θανόντος, ἀναβαίνουσι πάλιν τῶν τεσσάρων αὐτοῦ διαδόχων τὰ κράτη, καὶ τὸ μάλιστα ἰσχυρὸν καὶ πρὸς νότον καὶ δύσιν *περισσῶς μεγαλυνθὲν*, τὸ τοῦ Λάγου Πτολεμαίου, τοῦ βασιλεύσαντος τῆς Αἰγύπτου. Λίαν ἐναργῶς καὶ ζωτικῶς εἰκονογραφεῖ ταῦτα, καὶ διερμηνεύει δὲ ῥητῶς ἡ θεόπνευστος προφητεία (Δαν. η). Ὡσαύτως καὶ ἡ κοσμικὴ ἱστορία διαγράφει τὰ κατὰ πᾶσαν τὴν Ἀσίαν κατορθώματα τοῦ μεγαλόφρονος Ἀλεξάνδρου. Τούτων δὲ τὸ μέγιστον ὁμολογεῖται καὶ κράτιστον, ὅτι συνῆψε λογικῶς τὴν Εὐρώπην μετὰ τῆς Ἀσίας, καὶ μετ᾽ αὐτῶν τοὺς Λίβυας διὰ τῆς Αἰγύπτου, καὶ κατέσπειρε τὴν Ἑλλάδα γλῶσσαν πανταχοῦ τῶν βαρβάρων ἐθνῶν, ἐξημερῶν ὁπωσδήποτε καὶ ῥυθμίζων ἀνόμων, ἢ κακονόμων ἀνθρώπων ἄγρια φῦλα, διὰ παιδείας καὶ πολιτείας ἑλληνικῆς. Τότε καὶ τὸ γένος τοῦ Ἀβραάμ, οἱ μόνοι ἐπὶ γῆς τοῦ θείου νόμου λάτρεις καὶ φύλακες Ἰουδαῖοι, « *γλῶσσαν ἣν οὐκ ἔγνων ἤκουσαν*, » καὶ ἔμαθον. Καὶ γίνεται ἡ τοῦ Ἀλεξάνδρου εἰς τὴν Ἀσίαν ἀνάβασις, καὶ τῶν ἀμέσων αὐτοῦ διαδόχων ἡ ἐγκατάστασις, μεγάλη καὶ σοφωτάτη Ἀκαδημία, ἐξ ἧς ἡ γλῶσσα τῶν Ἑλλήνων διεδόθη πολλαχοῦ τῆς Ἀσίας καὶ τῆς Λιβύης, καὶ γέγονεν εἰς τοὺς πλείστους λαοὺς τῶν μεγάλων τούτων χωρῶν « χεῖλος ἓν καὶ φωνὴ μία πᾶσιν », ἡ ἑλληνίζουσα. Καὶ τοῦτο διὰ τί; διότι αὕτη προωρίσθη ὑπὸ τοῦ Παντοκράτορος γραπτὴ καὶ πρωτότυπος γλῶσσα τοῦ παγκοσμίου κηρύγματος τοῦ Εὐαγγελίου, καὶ δι᾽ αὐτῆς ἔμελλον ἑνωθήσεσθαι πάμπολλα ἔθνη, διάφορα κατά τε διαλέκτους καὶ ἤθη καὶ βίους, εἰς μίαν συγκερασθέντα κοινωνίαν, εἰς ἕνα νόμον, εἰς ἓν θρήσκευμα λατρείας τοῦ ἀληθινοῦ Θεοῦ. Τίς οὐ βλέπει προφανῶς ἐνταῦθα τὴν πάνσοφον τῆς θείας Προνοίας βουλήν; (α). Σοφὴ μὲν ὑπῆρχεν ἡ γλῶσσα

(α) Ὅθεν καὶ ὁ σεμνὸς Ῥολλῖνος πάνυ χαριέντως καὶ ἀληθῶς ἐξέφρασεν ὡς ὑπὸ Θεοῦ προωρισμένον καὶ κάλλιστον καρπὸν τῆς Ἀλεξάνδρου ἀναβάσεως, τὴν ἑλληνικὴν Ἑρμηνείαν τῆς Παλαιᾶς Διαθήκης· λέγει δὲ ταῦτα· « Cette version (ἡ τῶν Ο), qui ouvroit l'intelligence des Ecritures de l'ancien Testament à un infinité

τῆς Αἰγύπτου, καὶ ἀρχέγονος, καὶ παντοδαπή. Σοφὴ δὲ λίαν καὶ ἡ τῶν Ἰνδῶν, καὶ ἡ τῶν πάλαι Περσῶν, καὶ εἴ τις ἄλλη τῶν διαπεπονημένων ἀρχαίων τῆς Ἀσίας γλωσσῶν· ἀλλ' οὐκ ηὐδόκησεν ἐν αὐταῖς ὁ Κύριος. Μόνην τὴν Ἑλληνικὴν ἐξελέξατο φωνὴν, ἐκφαντορικώτατον καὶ παγκόσμιον ἑρμηνέα τῶν θείων αὐτοῦ Διαθηκῶν, καὶ βλάστημα ζώφυτον καὶ καρπογόνον τῶν ψυχοτρόφων καὶ σωτηρίων ἐννοιῶν τῆς θεογνωσίας. Καὶ γίνεται τῷ ὄντι καὶ πραγματικῶς ὅ,τι φιλογενέστερον μᾶλλον ἔγραψε μὲν ὁ Πλάτων, ἐπανέλαβε δὲ καὶ Φίλων αὐτὸς, ὅτι « Μόνη ἡ Ἑλλὰς ἀψευδῶς — ἀποτίκτει φυτὸν οὐράνιον, καὶ βλάστημα θεῖον, ἠκριβωμένον λογισμὸν, οἰκειούμενον ἐπιστήμῃ ». Ἄγε τοίνυν Ἕλλην βασιλεῦ, Φιλάδελφε, πλήθυνε τὰς βιβλιοθήκας τῆς ἀνθρωπίνης σοφίας, ἑτοιμάζων ἐν αὐταῖς τὸν ὕψιστον καὶ ἐπιφανέστατον τόπον διὰ τὴν μέχρι τότε μίαν καὶ μόνην ἐπὶ γῆς *βίβλον τοῦ Θεοῦ!* Δεῦτε ἐκ τῶν Ἱεροσολύμων οἱ ἑρμηνεῖς, ἐξαγάγετε ἐκ τῶν ἀδύτων τοῦ Ἱεροῦ τὰς ἐξ αἰῶνος μακροῦ ὑπὸ τὴν πάτριον ὑμῶν γλῶσσαν κεκαλυμμένας φωνὰς τῶν θείων Προφητῶν, καὶ μεταβάλλετε τὰς Ἑβραϊκὰς εἰς Ἑλληνίδας Γραφάς· Θεὸς κελεύει, αὐτὸς ὁ τῶν Γραφῶν χορηγός. Ἐνδύσατε τὰ θεῖα νοήματα στολὴν Ἑλληνικὴν, ἵνα διαυγάσωσι τὰς τῆς θεογνωσίας ἀκτῖνας εἰς πάντα τὰ ἔθνη, προπαρασκευαζόμενα δι' αὐτῆς πρὸς ὑποδοχὴν τοῦ προφητευθέντος Σωτῆρος τοῦ σύμπαντος κόσμου. Ὅτι « *ἐν αὐτῷ εὐλογηθήσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς· καὶ πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτὸν* », καὶ πρὸ πάντων

---

des peuples, fut un des plus considérables fruits des conquêtes des Grecs; et l'on voit clairement qu'elle entroit dans le principal dessein que Dieu avoit eu en livrant tout l'Orient aux Grecs, et les y maintenant malgré leurs divisions. — Dieu préparoit ainsi une voie aisée à la prèdication de l'Evangile qui etoit proche, et il facilitoit la reunion de tant de peuples differens de langages et de mœurs dans une seule société, un même culte, et une même doctrine, par une seule langue, la plus belle, la plus féconde, la plus correcte, qui fut dans l'univers, et qui devint commune à tous les pays qu' Alexandre avoit conquis ». Rollin Histoire ancienne T. VII. p. 392. Paris, 1738.

οἱ, ὡς ἀκροτάτη καὶ πάγκαρπος ἀπαρχὴ τῶν ἐθνῶν, προορισθέντες Ἕλληνες. Καὶ γίνονται λοιπὸν οἱ Ο, θεσπιῳδοὶ καὶ ἱεροφάνται τῶν προφητικῶν τῆς ἀληθείας χρησμῶν, καὶ πρόπομποι τῶν Ἀποστόλων, καὶ οἷον ὀργιασταὶ καὶ προτελεσταὶ τῶν μυστηρίων τῆς Εὐαγγελικῆς πίστεως. Καὶ καθαγιάζεται ἡ γλῶσσα τοῦ Ὁμήρου καὶ τοῦ Πλάτωνος, δι' ἧς τὸ πρῶτον, καὶ πρῶτοι πάντων ἐθνικῶν, ἤκουσαν οἱ Ἕλληνες τὴν φωνὴν τοῦ ζῶντος Θεοῦ! Εἶχεν ἡ Ἑλλὰς τὰς ἐπιγείους Μούσας καὶ Χάριτας τῶν πολλῶν αὐτῆς συγγραφέων, δι' ὧν μετέδιδεν εἰς τὴν Οἰκουμένην τὰ διδάγματα τῆς, καὶ ταύτης θεόθεν αὐτῇ δοθείσης, ἀνθρωπίνης σοφίας· « *Ἐπειδὴ δὲ διὰ τῆς σοφίας οὐκ ἔγνω τὸν Θεὸν* », ἔπρεπεν ἵνα πλουτήσῃ καὶ τὴν θεόπνευστον βίβλον τῆς πρώτης τοῦ Θεοῦ Διαθήκης, ἥτις οὐ λόγους τὸ πλέον, ἢ νοήματα φθέγγεται, καὶ μᾶλλον διὰ θεοπρεποῦς πραγματολογίας, ἢ διὰ κενοσόφου καλλιεπείας καταγγέλλει τῷ γένει τῶν ἀνθρώπων τὰ πάγκαλα τοῦ Θεοῦ διατάγματα, καὶ χειραγωγεῖ πρὸς τὸ Εὐαγγέλιον τῆς αἰωνίου βασιλείας. Ἐξῆλθον λοιπὸν ἐκ τῆς Ἰουδαίας ἐπὶ πρόσωπον πάσης τῆς γῆς οἱ θεῖοι Προφῆται γλῶσσαν λαλοῦντες ἑλληνικήν, καὶ διανοίγοντες τὰς πρότερον κεκλεισμένας τῆς προφητείας ὁδούς· ἵνα βαδίσωσι τὰ ἔθνη πρὸς τὸν ἐρχόμενον βασιλέα τῶν Προφητῶν, καὶ ἴδωσι τὴν δόξαν αὐτοῦ πανταχοῦ, « *καὶ εἰς τὴν Ἑλλάδα* » (κατὰ τὴν Ἡσαΐου πρόῤῥησιν), καὶ ὑποδεχθῶσι τὸ Εὐαγγέλιον τοῦ λόγου τῆς ζωῆς. Καὶ τοῦτο δὲ πάλιν μετὰ τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος, ἑλληνιστί, κατὰ τὴν διάλεκτον τῆς παλαιᾶς Διαθήκης, συνέγραψαν θεόθεν ἐμπνευσθέντες, οἱ πασῶν τῶν γλωσσῶν τὸ χάρισμα λαβόντες θεοῤῥήμονες Ἀπόστολοι. Οὕτως ὁ παντοκράτωρ τοῦ κόσμου Δεσπότης, καὶ ὕψιστος ταμίας αἰώνων καὶ βασιλειῶν καὶ ἐθνῶν, τὴν Ἑλληνικὴν πρὸ τῶν ἄλλων πασῶν τῆς οἰκουμένης ἐξελέξατο γλῶσσαν εἰς τὴν συναρμολογίαν τῶν δύω Διαθηκῶν τοῦ κηρύγματος τῶν Προφητῶν καὶ Ἀποστόλων. Καὶ καθὼς ἐπὶ τοῦ Καίσαρος Αὐγούστου ὑπὸ μίαν βασιλείαν, τὴν τῶν Ῥωμαίων, ὑπέταξε τὰ ἔθνη, προευτρεπίζων τοῖς Ἀποστόλοις τὸ κήρυγμα τοῦ Εὐαγγελίου τοῦ σαρκωθέντος μονογενοῦς υἱοῦ τοῦ

Θεοῦ (« ἵνα μὴ, προφάσει τῶν πολλῶν βασιλειῶν, ἀμίκτων τῶν ἐθνῶν πρὸς ἄλληλα ὄντων, χαλεπώτερον γένηται τοῖς μαθηταῖς τοῦ Ἰησοῦ τὸ « *πορευθέντες εἰς τὸν κόσμον ἅπαντα μαθητεύσατε πάντα τὰ ἔθνη* »). Ὡσαύτως καὶ πρότερον ἐπὶ τῆς Ἀλεξάνδρου ἀναβάσεως, προπαρασκευάζων τὴν διδασκαλίαν τοῦ θείου κηρύγματος, συνῆψε τὰ μέγιστα καὶ ἀπώτατα τῶν ἐθνῶν εἰς μίαν γλῶσσαν, τὴν Ἑλληνικὴν, δι' ἧς ἔμελλον τρανώτερον ἐπιγνώσεσθαι τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης τὸν ἕνα Νομοθέτην καὶ Κύριον καὶ Σωτῆρα τῶν ὅλων.

Τοιαύτην ἔχομεν, ὦ φίλοι ὁμογενεῖς, τὴν Ἑρμηνείαν τῶν Ο, θείαν μὲν καὶ καθ' ἑαυτὴν, ὡς λόγια Θεοῦ περιέχουσαν, καὶ σύμφωνον μετὰ τῆς Καινῆς Διαθήκης οὐ μόνον ἐν τοῖς νοήμασιν, ἀλλὰ καὶ κατὰ τὴν φράσιν, καὶ τὸν χαρακτῆρα τοῦ λόγου· θείαν δὲ καὶ διὰ τὴν βουλῇ καὶ νεύματι θείῳ γενομένην αὐτῆς ἑλληνικὴν μεταγλώττισιν· θείαν δὲ καὶ ὡς ὑπὸ τῶν ἁγίων Ἀποστόλων μετὰ τῶν θεοπνεύστων Εὐαγγελίων παραδεδομένην τῇ Ἐκκλησίᾳ, καὶ ἅμα στέφανον ἀμάραντον τῆς ἐν Χριστῷ καυχήσεως, ἐμπρέπουσαν, ὡς ἐκ τῆς γλώσσης, ἰδίᾳ τοῖς ὀρθοδόξοις Ἕλλησιν. Ἡ μήτηρ τῶν πιστῶν Ἐκκλησία φέρουσα τὰς ἑλληνιζούσας δύω τοῦ Θεοῦ Διαθήκας, ὡς δύω ζωῤῥύτους μαζοὺς, ποτίζει καὶ τρέφει τοὺς πιστοὺς αὐτῆς λαοὺς, καὶ ἔθρεψεν ἐξ ἀρχῆς πάντα τὰ ἔθνη, τὸ γάλα τῆς εἰς Χριστὸν πίστεως, ἀπὸ θηλῶν, οὕτως εἰπεῖν, ἑλληνικῶν. Καὶ μάτην ἄρα προσεδόκησαν ὅσοι ἤλπισαν, ὅτι ἀποστήσονται οἱ Ἕλληνες τῆς, ὑφ' ἧς ἐτράφησαν διὰ τοσούτων αἰώνων, καὶ τοσαύτας ἐτροφοφόρησαν μυριάδας, ἁγίας Ἑρμηνείας τῶν Προφητῶν, ἀνταλλάξαντες ἀντ' αὐτῆς ἄλλην οἱανδήποτε. « Αὕτη ἡ Διαθήκη, ἣν διέθετο ἡμῖν Κύριος, *προκεκυρωμένην εἰς Χριστὸν, τὸν Θεὸν ἡμῶν, καὶ μεσίτην τῆς Καινῆς Διαθήκης* ». Καὶ ἐν ταύταις ταῖς δυσὶ Διαθήκαις πορευσόμεθα, καὶ ζήσομεν, ὡς οἱ πατέρες ἡμῶν, καὶ τὰ τέκνα ἡμῶν. « Τὸ πνεῦμα τὸ ἐμὸν (λέγει Κύριος), ὅ ἐστιν ἐπὶ σοὶ, *καὶ τὰ ῥήματα, ἃ ἔδωκα εἰς τὸ στόμα σου*, οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα » (Ἡσαΐ. νθ).

Εἰ δὲ καὶ παραινοῦσιν ἡμᾶς ἑτερόδοξοι καταλιπεῖν τὰ ῥήματα τῆς ἑρμηνείας τῶν προφητικῶν Γραφῶν, ἁπλῆ ἡ ἀπάντησις. Ὅτι, ὦ ἄνδρες, « Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώποις. Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν μᾶλλον ἀκούειν, ἢ τοῦ Θεοῦ, κρίνατε ». Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ ἐμάθομεν ἐν τῇ Ἐκκλησίᾳ μὴ λαλεῖν, καὶ πρεσβεύειν, καὶ διὰ τέλους ἄχραντα διατηρεῖν. Οὐδὲ γινόμεθα (ἄπαγε) μητραλοῖαι, καταξαίνοντες τὸν ἕνα τῶν ψυχοτρόφων μαζῶν τῆς ἁγίας ἡμῶν Μητρὸς, καὶ διαλύοντες ἀφρόνως τὴν παναρμόνιον καὶ θεοῦφαντον συμφωνίαν τῶν προφητικῶν καὶ ἀποστολικῶν φωνῶν, καὶ καθιστῶντες ἑτερόφθαλμον τὴν ἀειλαμπῆ καὶ παγκόσμιον εὔκλειαν τῆς Ὀρθοδόξου Ἐκκλησίας. Τῶν Ο, τὴν Ἑρμηνείαν μετὰ τῶν θείων Εὐαγγελίων οἱ Πατέρες ἡμῶν λαβόντες παρὰ τῶν Ἀποστόλων, ὧν καὶ τὴν θείαν ἀποστολὴν διεδέξαντο, ἐξῆλθον εἰς τὸν σύμπαντα κόσμον συνεχίζοντες τὸν φθόγγον τὸν Ἀποστολικὸν, καὶ τὰ ῥήματα τῆς αἰωνίου ζωῆς διαγγέλλοντες εἰς τὰ πέρατα τῆς Οἰκουμένης. Τὰ πλεῖστα καὶ μέγιστα τῶν καθ' ἡμᾶς τῆς Εὐρώπης ἐθνῶν παρὰ τῶν Ἑλλήνων ἔλαβον καὶ τὰ κάλλιστα παιδεύματα καὶ στοιχεῖα τῆς ἀνθρωπίνης σοφίας, καὶ τὰ θειότατα καὶ πάμφωτα διδάγματα τῆς εἰς Χριστὸν πίστεως. Ἐκ τούτων τῶν Ἑλληνικῶν θείων Γραφῶν ὅλος τῶν θεσπεσίων τῆς Ἐκκλησίας Πατέρων ὁ θίασος ἐμυσταγώγει τὰ δόγματα τῆς Θεολογίας, καὶ ἐδίδασκε, καὶ διδάσκει μέχρι σήμερον διὰ τῶν συγγραφῶν τοὺς χριστεπωνύμους λαούς. Ἐκ τούτων τῶν Γραφῶν ἐξ ἀρχῆς καὶ οἱ Ἱεράρχαι τὰς ἀχράντους ἐτέλουν τῶν θείων μυστηρίων ἱερουργίας καὶ προσευχὰς, καὶ οἱ Ὅσιοι πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἐνισχυόμενοι κατεκόσμουν τὴν Ἐκκλησίαν, καὶ οἱ Ὑμνῳδοὶ ἐμελῴδουν τὰς θεοπρεπεῖς τῆς Ἐκκλησίας ᾠδὰς, καὶ οἱ Μάρτυρες ἐῤῥώννυντο πρὸς τοὺς νικηφόρους ἄθλους τῆς πίστεως. Διὰ τούτων τῶν θείων Γραφῶν οἱ θεοφιλεῖς ἡμῶν γενάρχαι πᾶσαν μὲν γῆν, πᾶσαν δὲ θάλασσαν, καὶ νήσους ἐπλήρωσαν, καὶ ἠπείρους, ἐκ τῶν ἀειμνήστων τροπαίων τῆς εὐσεβείας. Ἐπῆλθον κατὰ τῶν Ὀρθοδόξων μυρίων ἀλαστόρων ἐπιδρομαὶ καὶ ποιναί. Καὶ καταιγίδες ἐπῆλθον αἱρετικῶν, καὶ πρηστῆρες ψευδαδέλφων ἐπῆλθον, καὶ

ῥαγδαῖοι λαίλαπες διωγμῶν, καὶ χείμαῤῥοι λάβροι βαρβαροφώνων δορυκτητόρων. Καὶ τὸ καλὸν τῆς εὐσεβοῦς Ἑλλάδος πρόσωπον ἐπελάγισαν εἰσβολαὶ παντοίων ἑτεροδόξων ἐθνῶν, σεβομένων τὰ πάτρια κατὰ τοὺς ἰδίους αὐτῶν νόμους, πρὸς ἃ συνήλαυνον καὶ τοὺς Ἕλληνας καὶ βίᾳ, καὶ πειθοῖ, καὶ ξίφει, καὶ λόγοις, καὶ δωρεαῖς, καὶ πυρί. Ἀλλὰ τῶν ὀρθοδόξων Ἑλλήνων τὸ ἔθνος οὐδὲν τῶν ξενικῶν ἐπιτηδευμάτων ἐζήλωσεν (ὅπερ ἄλλοις πολλοῖς δημοσίᾳ συνέβη παθεῖν). Ἀλλ᾽ ἔμεινεν ἐν τῇ θεοκτίστῳ τῆς Ἐκκλησίας κιβωτῷ, τρεφόμενον τὸν ἄρτον τῆς ζωῆς ἐν ταῖς ἁγίαις Γραφαῖς, καὶ δι᾽ αὐτῶν ἀδούλωτον τὸ φρόνημα τῆς ὀρθοδόξου πίστεως διασῷζον, καὶ ἐν αὐτῇ τῇ κοσμικῇ κακοπραγίᾳ νικῶν καὶ στεφανούμενον. Ὦ θριάμβων ἁπάντων σεμνοτέρους ἀράμενοι τάφους, ἀοίδιμοι μάρτυρες τῆς ἁγνῆς διατηρήσεως τῶν θείων Γραφῶν. Ὦ κρείττους τῆς ἀνθρωπίνης φύσεως νικήσαντες νίκας, Πατέρες θεσπέσιοι, οἱ διὰ τῆς πανοπλίας τοῦ Πνεύματος καταστρώσαντες τὰ στίφη τῶν τὰ θεῖα λόγια παραχαραττόντων. Ὦ μῆτερ τῶν Ὀρθοδόξων, ἁγία καὶ ἄμωμος Ἐκκλησία, ἡ νύμφη τοῦ ἀρνίου, « οὗ τινος ἐκ τοῦ στόματος, « ὡς ῥομφαία δίστομος ὀξεῖα », ὁ θεῖος ἐκπορεύεται λόγος, « ζῶν καὶ ἐνεργὸς, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν — καὶ ἐννοιῶν καρδίας ». Τοῦτον τὸν λόγον, ὃν ἡμᾶς ἐδίδαξας, κατέχομεν, ἀπλανῶς ἀκολουθοῦντες τὰ ἴχνη τῶν μακαρίων ἡμῶν Πατέρων. Μετ᾽ αὐτῶν, μετὰ τῶν Μαρτύρων, μετὰ τῶν Ἀποστόλων, μετὰ πάντων σου τῶν ἁγίων, ἐκ τῶν αὐτῶν θείων Γραφῶν ἐν μέσῳ σου προσευχόμεθα, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεόν. Ἄλλην δὲ καινοφανῆ γραφικὴν διδασκαλίαν οὐ γινώσκομεν. « Οὐδὲ σεσοφισμένοις μύθοις ἐξακολουθήσομεν » πώποτε. « Εἰς τὸν αἰῶνα *ἐκληρονομήσαμεν τὰ μαρτύρια τοῦ Κυρίου* »· καὶ ταύτης τῆς πατρῴας κληρονομίας τὸ δικαίωμα καὶ τὸ σέβας ἀνέπαφον καὶ ἄσυλον αἰωνίως διατηρήσομεν, « *ἵνα μὴ κενωθῇ τὸ ὑπὲρ ἡμῶν ἀποστολικόν σου καύχημα, ἀλλὰ τρέχῃ καὶ δοξάζηται ὁ λόγος τοῦ Θεοῦ* ».

Ταῦτα, γνησιώτατοι καὶ φιλομαθέστατοι ἐν εὐσεβείᾳ ἀδελφοί,

διελέχθην πρὸς τὴν ὑμετέραν ἀγάπην, οἵτινες « *τὸ καλὸν τοῦ Θεοῦ γευσάμενοι ῥῆμα* », ἰσχυρὰν παράκλησιν ἔχετε ἐκ τῶν πατροπαραδότων ἁγίων Γραφῶν, ἐν αἷς καὶ ἑστήκατε, καὶ σῴζεσθε. « *Ὦ Πατέρων ὑπάτων γόνοι* », υἱοὶ φωτὸς καὶ ἡμέρας, « *σοφώτατα νοήματα ἐπὶ προτέρων ἀνδρῶν δεδεγμένοι* », μένετε ἀκλόνητοι πρὸς τὰς ἀνατολὰς τοῦ ἀϊδίου φωτὸς, *ἓν χεῖλος, μίαν φωνὴν*, μίαν διάλεκτον θείαν ἔχοντες τῆς ἐκ τῶν θείων Γραφῶν ἀρυομένης ὀρθοδοξίας· ἐν ταύτῃ τῇ διαλέκτῳ στερεοὶ τηρεῖσθε καὶ ἀκίνητοι, πάντοτε βλέποντες πρὸς τὰς πηγὰς τοῦ ἀδύτου φωτὸς τῆς φερωνύμου Ἀνατολικῆς Ἐκκλησίας. Ὅσοι δὲ « *κινήσωσιν ἀπὸ ἀνατολῶν* », κατὰ τοὺς παλαιοὺς ἐκείνους πλανήτας, περὶ ὧν ἡ θεία λέγει Γραφὴ (Γενέσ. ΙΑ), εὑρίσκουσι πεδίον ἐν γῇ Σενναὰρ (ὅπερ ἑρμηνεύεται ὀδόντων ἐκτιναγμὸς, σύμβολον τῆς στερήσεως τῶν πρὸς τροφὴν πνευματικὴν ἀναγκαίων μέσων, ὡς Ὠριγένης φησί)· κᾀκεῖ πλινθεύουσι πλίνθους ὕλης χαμαιζήλου, καὶ πηλώδους δουλοφροσύνης· καὶ κτίζουσιν ἀλαζόνα πύργον ὑψωμάτων, ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· καὶ συγχέονται τὰς γλώσσας περὶ τὸ θεῖον φρόνημα, ἀποβάλλοντες τὴν σωτήριον ὁμόνοιαν καὶ συμφωνίαν τῶν εἰς Χριστὸν πιστευόντων, ὧν τὸ γνώρισμα « *ψυχὴ μία* »· καὶ σκορπίζονται, ὡς τέκνα Βαβυλῶνος, εἰς χώρας ἀνηλίους, καὶ θῖνας ἀνύδρους καὶ θηριώδεις, ὅπου οὐκ ἐπισκοπεῖ τὸ ἀπαύγασμα τοῦ αἰωνίου φωτὸς τῆς ἀληθείας.

Τελευταῖον, παρακαλοῦμεν τοὺς ἀναγνώστας, ἵνα μετὰ συγγνώμης ἐντυγχάνωσι τῇ παρούσῃ συγγραφῇ· μηδ᾽ ἀγανακτῶσιν, ὅταν προσκρούωσιν εἰς σφάλματα καὶ παραπτώματα, τυχὸν, οὐκ ὀλίγα. ἀλλ᾽ ἀποδεχόμενοι τὸν κόπον τοῦ πονήσαντος, ἀντιμετρῶσι τὴν ἐπιείκειαν. Χαλεπὸν, ἄνθρωπον ὄντα μὴ διαμαρτεῖν, καὶ ταῦτα περὶ πραγματείαν ἐργώδη, καὶ πολύπλοκον, καὶ ὀλισθηρὰν, ἐν ᾗ καὶ ἡ ποικιλία καὶ τὸ πλῆθος καὶ μέγεθος τῶν θεωρημάτων δυσέφικτον ποιεῖ τὴν ἐπιτυχίαν καὶ αὐτοῖς τοῖς ἐῤῥωμένοις, καὶ ἀνδρικοῖς, καὶ γνώσεων πλουτοῦσι παντοδαπῶν· μή τι γε πρεσβύτῃ λιτῷ καὶ ἀσθενεῖ. Ἀλλὰ γὰρ, « *Εἰ καὶ γέρων ἐγὼ κυρῶ*,

« *Τὸ τῆς δε χώρας οὐ γεγήρακε σθένος* ».

Ἔχει, καὶ ἕξει, σὺν Θεῷ, ἡ Ἑλλὰς *πολλῷ κάῤῥονας* καὶ δραστικωτέρους ὑπηρέτας τῆς ὀρθοδόξου Ἐκκλησίας· οἵτινες φερεπόνως ματεύοντες καὶ φιλοκρινοῦντες, καὶ γνῶσιν ἔχοντες οὐ τὴν φυσιοῦσαν, ἀλλὰ τὴν τῆς ὑπερβαλλούσης ἀγάπης Χριστοῦ, *τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ*, καὶ μήτε τῶν μωμοσκόπων φροντίζοντες (ἂν, τυχὸν, τινές που φανῶσιν ὑπὸ σκαιότητος, ὡς ἡλιοτακεῖς πάχναι, καὶ τὰ γενναῖα τῶν βλαστημάτων ἐξ ἐπιπολῆς σπουδάζοντες ἐπικαῦσαι), μήτε τῶν ἀντιδοξούντων καθαπτόμενοι φορτικώτερον, ἐν λόγοις πικροῖς καὶ θυμοδακέσι καὶ τραχυτέροις ὑπὲρ τὸ δέον, διατρανώσουσιν ἐναργέστερα καὶ φανώτερα τῆς ἁγίας ἡμῶν Ἐκκλησίας τὰ θεσπέσια δικαιώματα περὶ τὴν ἀπλανῆ καὶ ἀδιάψευστον χρῆσιν τῶν θείων Γραφῶν, εὐστιβεῖς καὶ λείας τὰς τρίβους τοῦ Κυρίου τοῖς πᾶσι παρασκευάζοντες. Αὕτη μοι σύνεστι καὶ συνδιαιτᾶται γηροτρόφος ἐλπὶς γλυκεῖα. Καὶ πέποιθα ἐπὶ *τῷ ποιήσαντι τὰ ἀμφότερα ἕν*, παρ᾽ οὗ νυκτὸς καὶ ἡμέρας *τὴν ἑνότητα τῆς πίστεως* ἐξαιτεῖται καὶ ἐλπίζει ἡ Ἐκκλησία, ὅτι καὶ αὐτοὶ οἱ τὴν θεόσδοτον Ἑρμηνείαν τῶν Ο, καταλιπόντες (ἣν καὶ νῦν ὁμολογοῦσι λίαν ὠφέλιμον ταῖς ἁπανταχοῦ ἐκκλησίαις, καὶ ἀνεκτίμητον θησαυρὸν), ταύτην πάλιν, ὡς καὶ πρότερον, ἐγκολπώσονται καὶ τιμήσουσι πιστῶς, ὡς ἀδιάσπαστον καὶ ἀχώριστον ἀπὸ τῶν θείων Εὐαγγελίων. Ἵνα καὶ ἐν χείλεσιν ἑτέροις, καὶ ἐν γλώσσαις ἀλλοφώνοις, μία παρὰ πάντων ἀποτελῆται πνευματικὴ συμφωνία, καὶ δοξάζηται ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ ὁ Θεὸς τῶν Προφητῶν καὶ Ἀποστόλων, καὶ Σωτὴρ πάντων ἀνθρώπων· « Ἀνατολὴ ὄνομα αὐτῷ ».

Ἔγραφον Ἀθήνησι, τῇ κζ, Ἰουλίου. ͵αωμδ.

ΠΙΝΑΞ

ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΟΥ Α. ΒΙΒΛΙΟΥ.

ΠΡΟΟΙΜΙΟΝ . . . . Σελ. 1.

ΒΙΒΛ. Α΄.

ΚΕΦΑΛ. Α. Σύντομος ἔκθεσις τῆς ἱστορίας . . . . . 6.

ΚΕΦΑΛ. Β. Περὶ τῆς Ἀριστέου συγγραφῆς, εἰ γνησία ἡ καθ᾽ ἡμᾶς περιφερομένη, καὶ εἰ μυθώδης ὅλως καὶ ψευδὴς ἡ τοῦ Ἀριστέου περὶ τῶν Ο, ἱστορία· καὶ ποῖός τις οὗτος ὁ Ἀριστέας. 10.

ΚΕΦΑΛ. Γ. Εἰ διάφορος τῆς κοινῆς τοῦ Ἀριστέου ἱστορίας ἡ περὶ τῶν Ο, ἱστορία, ἧπερ ἐχρήσατο Ἐπιφάνιος . . . . 39.

ΚΕΦΑΛ. Δ. Περὶ τῆς Ἑρμίππου μαρτυρίας, ἣν ἐπιφέρουσι κατὰ τῆς ἱστορίας τοῦ Ἀριστέου . . 60.

ΚΕΦΑΛ. Ε. Παράθεσις τοῦ Ἑρμιππείου χωρίου πρὸς τὰ τοῦ Ἀριστέου περὶ τοῦ Φαληρέως . . 88.

ΚΕΦΑΛ. Ϛ. Πότε μετέφρασαν οἱ Ο, τὰς θείας Γραφὰς, καὶ εἰ πρὸς τὸν ὡρισμένον τῆς μεταφράσεως χρόνον ἀντιφάσκει ὁ Ἀριστέας . . 125.

ΚΕΦΑΛ. Ζ. Ἐπιτομὴ τῶν κατὰ τὴν Ἀρσινόην, καὶ τῶν συνημμένων, ὅσα συντελοῦσι πρὸς ἀπόδειξιν τῆς ἐν ἀρχῇ τῆς Φιλαδέλφου βασιλείας γενομένης ἑρμηνείας τῶν Γραφῶν. 196.

ΚΕΦΑΛ. Η. Ἄλλα τῶν κριτικῶν ἐπιχειρήματα πρὸς ἀπόδειξιν, ὅτι, κατὰ τὸν Ἀριστέαν, ἡ ἑρμηνεία τῶν Γραφῶν ἐγένετο ὀψέποτε τῆς βασιλείας τοῦ Φιλαδέλφου . . . . 225.

ΚΕΦΑΛ. Θ. Περὶ τοῦ χρόνου τῆς ὑπὸ τοῦ Φιλαδέλφου κατασκευῆς τῆς βιβλιοθήκης· ἐν ᾧ καὶ γνῶμαι διάφοροι περὶ τοῦ καιροῦ τῆς ἑρμηνείας τῶν Γραφῶν . . . . 241.

ΚΕΦΑΛ. Ι. Ἀμφιβολίαι τῶν κριτικῶν. — Καὶ Λύσεις. Α. Ἀμφιβολία. Περὶ τοῦ παρὰ τῷ Ἀριστέᾳ μνημονευομένου ἀρχιερέως τῶν Ἱεροσολύμων Ἐλεαζάρου, καὶ τοῦ κατ᾽ Ἀλεξάνδρειαν τότε παρατυχόντος Μενεδήμου τοῦ φιλοσόφου . . . . 295.

ΚΕΦΑΛ. ΙΑ. Β. Ἀμφιβολία. Εἰ Δημήτριος ὁ Φαληρεὺς ἐγένετο βιβλιοφύλαξ τῆς Πτολεμαίου τοῦ βασιλέως βιβλιοθήκης. — Ἔτι δὲ καὶ περὶ τῆς βιβλιοθήκης αὐτῆς, καὶ περὶ τοῦ Μουσείου, παροδικὴ διάληψις . . . . . 319.

ΚΕΦΑΛ. ΙΒ. Τὰ κατὰ τὸν Ἀριστόβουλον . . . . . . 385.

ΚΕΦΑΛ. ΙΓ. Ζητεῖται περὶ τῆς παρὰ τῷ Ἀριστέᾳ πρὸς Ἀντίγονον ναυμαχίας καὶ νίκης Πτολεμαίου τοῦ Φιλαδέλφου . . . . . . 449.

ΚΕΦΑΛ. ΙΔ. Εἰ Πτολεμαῖος ὁ Λαγίδης ἐστρατήγει κατὰ τὴν στρατείαν ἐκείνης, ὑφ᾽ ἧς δέκα μυριάδες Ἰουδαίων ἀπήχθησαν αἰχμάλωτοι εἰς Αἴγυπτον . . . . 465.

ΚΕΦΑΛ. ΙΕ. Ποικίλαι περὶ τῶν παρὰ τῷ Ἀριστέᾳ λυτρωθέντων αἰχμαλώτων Ἰουδαίων ἀμφιβολίαι τῶν κριτικῶν . . . . 484.

ΚΕΦΑΛ. ΙϚ. Περὶ τῆς εἰς τὸν βασιλέα, τὸν Φιλάδελφον, εἰσδόσεως Δημητρίου τοῦ Φαληρέως . . 497.

ΚΕΦΑΛ. ΙΖ. Περὶ ἀπογράφων τοῦ νόμου τῶν Ἰουδαίων, εἴπερ οὐδόλως ὑπῆρχον ἐν Αἰγύπτῳ πρὸ τῆς ὑπὸ τῶν Ο, μεταφράσεως τῶν Γραφῶν· καὶ περί τινων ἄλλων χωρίων τοῦ Ἀρι-

στέου, εἴπερ ἐκ τούτων καταφωρᾶται (καθὼς λέγουσιν) Ἰουδαῖος ὢν ὁ συγγραφεὺς 516.

ΚΕΦΑΛ. ΙΗ. Περὶ τῶν διαταγῇ τοῦ Δημητρίου δημοσίως ὑπὸ τῶν Ἰουδαίων ἐκφωνηθεισῶν ἀρῶν εἰς ἀμετάβλητον συντήρησιν τῶν ἡρμηνευμένων Γραφῶν . . . . . . 523.

ΚΕΦΑΛ. ΙΘ. Περὶ τῆς εἰς τοὺς Ἰουδαίους, ἕνεκα τῆς ἑρμηνείας τῶν Γραφῶν, μεγαλοδωρίας τοῦ Φιλαδέλφου . . . . 541.

ΚΕΦΑΛ. Κ. Περὶ πολλῶν τινων καὶ ἄλλων τεκμηρίων, ὧν ἐπάγουσιν οἱ κριτικοὶ πρὸς ἀπόδειξιν, ὅτι Ἰουδαίου τινος ὄζει συγγραφέως ἡ ἱστορία τοῦ Ἀριστέου . . . . 572.

ΚΕΦΑΛ. ΚΑ. Περί τινων ἄλλων κατ' Ἀριστέου προβαλλομένων ἀντιῤῥήσεων, αἵτινες προτείνονται ὡς ἀμφίβολοι . . . . 611.

ΚΕΦΑΛ. ΚΒ. Περὶ τοῦ παρὰ τῷ Ἀριστέᾳ Ἑπτασταδίου. ἐν ᾧ καὶ περὶ τοῦ κατὰ τὴν Φάρον πύργου, καὶ τῆς ἐπ' αὐτοῦ ἐπιγραφῆς . . . 640.

ΚΕΦΑΛ. ΚΓ. Περί τινος φράσεως ὑπὸ χριστιανοῦ τινος (ὡς λέγουσι) παρεγγεγραμμένης εἰς τὴν Ἀριστέου ἱστορίαν, ἥτις ἄλλως φαίνεται πρὸ Χριστοῦ συντεταγμένη . . . . 651.

ΚΕΦΑΛ. ΚΔ. Ἀνακεφαλαίωσις τοῦ Α. Βιβλίου . . . 655.

ΠΕΡΙ ΤΩΝ

Ο, ΕΡΜΗΝΕΥΤΩΝ

ΤΗΣ ΠΑΛΑΙΑΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ.

ΒΙΒΛΙΑ Δ.

ΠΡΟΟΙΜΙΟΝ.

§. ά. ΤΗΝ ὑπὸ τῶν Ο, πρεσβυτέρων ἑλληνικὴν ἑρμηνείαν τῆς παλαιᾶς τοῦ Θεοῦ Διαθήκης παρ᾽ αὐτῶν τῶν Ἀποστόλων ἡ ὀρθόδοξος Ἐκκλησία παραλαβοῦσα διακρατεῖ βεβαίως καὶ ἀραρότως, ὡς ἀσφαλῆ καὶ κυρίαν τῶν θείων λογίων μετάφρασιν, ἐκ θείας ἐπιπνοίας ἐνεργηθεῖσαν· καὶ ταύτην τιμᾷ καὶ γεραίρει χρωμένη διηνεκῶς, « *ἀφ᾽ οὗ καὶ μέχρις οὗ καταγγέλλεται τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ* » (α). Τῶν δὲ νεωτέρων ἑτεροδόξων (καὶ μάλιστα τῶν περὶ Λούθηρον καὶ Καλβῖνον) ἄνδρες πολλοί τε καὶ σοφοὶ κατὰ κόσμον, πολλὰ καὶ ἄλλα καινοτομοῦντες περὶ τὰς ἐκκλησιαστικὰς διδασκαλίας καὶ παραδόσεις, ἀπέβαλον καὶ ταύτην τὴν ἀρχαίαν καὶ πανσέβαστον ἑρμηνείαν, ὡς δῆθεν ἀτελῆ καὶ πολλαχῶς ἡμαρτημένην· αὐτοὶ δὲ μετεγλώττισαν ἕκαστος εἰς τὰς ἰδίας αὐτῶν διαλέκτους τὴν παλαιὰν Διαθήκην ἀμέσως

(α) « Πανταχόθεν τοιγαροῦν τῆς τῶν Ο, ἑρμηνείας ἐκ παλαιᾶς, ὡς ἔοικε, καὶ ἀδιαστρόφου [τῶν] Ἑβραίων Γραφῆς μεταβεβλῆσθαι συνισταμένης, εἰκότως ταύτῃ ἡμεῖς κεχρήμεθα κατὰ τὴν παροῦσαν χρονογραφίαν. Ὅτε μάλιστα καὶ ἡ καθ᾽ ὅλης τῆς οἰκουμένης ἡπλωμένη Χριστοῦ Ἐκκλησία ταύτῃ μόνῃ προσέχει, τῶν τοῦ Σωτῆρος ἡμῶν Ἀποστόλων τε καὶ μαθητῶν ἀρχῆθεν αὐτῇ χρῆσθαι παραδεδωκότων». Εὐσέβ. Χρονικ. Α. κεφ. ιϛ. σελ 67. ἐκδ. Maij. Mediolan. 1818.

ἐξ αὐτοῦ τοῦ ἑβραϊκοῦ πρωτοτύπου, κατὰ τὰ νῦν παρ' Ἰουδαίοις σωζόμενα ἀντίγραφα, καὶ ταύτην μεταχειρίζονται τὴν μετάφρασιν ἐν ταῖς ἰδίαις αὐτῶν Ἐκκλησίαις. Τῆς δὲ τοιαύτης καινοτομίας ἀρχηγὸν καὶ καθηγεμόνα προβάλλονται ἄνδρα παλαιὸν, καὶ ἐπὶ σοφίᾳ καὶ ἁγιότητι ἐν τοῖς μάλιστα διαπρέποντα, τὸν μακάριον Ἱερώνυμον, ὅστις πρῶτος παριδὼν τὴν ἐκ τῆς τῶν Ο, ἑρμηνείας παλαιὰν λατινίδα μετάφρασιν τῶν Γραφῶν (ὡς ὑπ' ἀντιγραφέων μάλιστα διεφθαρμένην) ἐπεχείρησε νέαν ἀμέσως ἐκ τοῦ ἑβραϊκοῦ λατινικὴν μετάφρασιν, περὶ ἧς λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ.

§. β'. Ἐπειδὴ δὲ μόνον τὸ παράδειγμα τῆς Ἱερωνύμου μεταφράσεως πολλὰς καὶ μεγάλας ἔχει τὰς ἀντιῤῥήσεις (οὔτε γὰρ ἡ Ἀνατολικὴ τοῦ Χριστοῦ Ἐκκλησία ταύτην ἀπεδέξατο, καὶ αὐτὴ δὲ πάλιν ἡ Δυτικὴ σέβεται καὶ νῦν οὐχ ἧττον καὶ τιμᾷ ὡς αὐθεντικὴν καὶ ἁγίαν τὴν ἑρμηνείαν τῶν Ο,), ὥρμησαν οἱ νεωτερισταὶ πρὸς πολλὰ πολέμων εἴδη, κατατρέχοντες πάσας τὰς ἀποδείξεις τῆς θεοκυρώτου καὶ γνησίας αὐθεντίας τῶν Ο. Τὴν μὲν γὰρ ὑπὸ τοῦ Ἀρισταίου παλαιὰν ἱστορίαν τῆς ἑρμηνείας ὡς μῦθον ἄντικρυς ἐκσυρίττουσιν Ἰουδαϊκὸν, καὶ τὰς μαρτυρίας τῶν ἁγίων ἡμῶν Πατέρων ἀφειδῶς ἀποῤῥίπτουσι, πολλὰ δὲ καὶ μυρία ὅσα σφάλματα καὶ κατ' αὐτὸ τὸ ὕφος τῶν Γραφῶν ἐξελέγχειν ἐπιχειροῦσι, παραβάλλοντες τὴν φράσιν πρὸς τὸ νῦν ἑβραϊκόν· καὶ ὅλως ἐξανθρωπίζουσι καὶ βεβηλοῦσι παντάπασιν ἐκφαυλίζοντες τὸ θεσπέσιον ἀξίωμα τῆς ἑρμηνείας. Ἄλλας δέ τινας αὐτῆς ἀναπλάττουσιν αὐτοὶ τὰς αἰτίας, καί τινας ἄλλους εἰσάγουσι τοὺς ἑρμηνεῖς, μηδ' αὐτοὶ τίνας τούτους ἔχοντες εἰπεῖν, ἀγνώστους καὶ ἀνωνύμους, καὶ τούτους πάλιν ἀμαθεῖς εὑρίσκουσι καὶ διαφόρους, ἐν διαφόροις καιροῖς τὰ τεύχη τῆς Γραφῆς ἐξελληνίσαντας, ἄλλους ἄλλοτε ἄλλα.

§. γ'. Τούτων οὖν τῶν εἰς τοὺς Ο, καὶ τὴν κατ' αὐτοὺς ἑρμηνείαν ποικίλων καὶ παντοδαπῶν βλασφημιῶν, ὅσας οἱ νεωτερίζοντες κριτικοὶ κατὰ καιροὺς καὶ τόπους τῆς Εὐρώπης συγγράψαντες ἐν βίβλοις καὶ γλώσσαις παντοίαις ἐξέδωκαν, μόνη

ἡ Ἑλλὰς μέχρι χθὲς καὶ πρώην ἔπασχε σοφὴν καὶ μακαρίαν ἄγνοιαν, διατηροῦσα καὶ ἐν τούτῳ τὴν πάτριον διδασκαλίαν διηνεκῶς ἀναλλοίωτον καὶ ἀπαραχάρακτον. Ἐπειδὴ δὲ ἤδη καὶ παρ' Ἕλλησι ματαίως μὲν καὶ ἄκαρπος καὶ ἀτελεσφόρητος, ἀλλ' ὅμως περιλαλεῖται διαθρυλλουμένη δημοσίως ἡ τοιαύτη ξενικὴ καὶ νόθος ἑτεροδιδασκαλία, πρό τινων ὀλίγων ἐνιαυτῶν εἰσρυεῖσα παρ' ἀνθρώπων ἀλλογενῶν (α), καὶ νέα δὲ μετάφρασις τῶν Γραφῶν ἐκ τοῦ ἑβραϊκοῦ εἰς τὴν χυδαίαν τῶν Ἑλλήνων γλῶσσαν ἔξωθέν ποθεν εἰσεκυλίσθη, λόγῳ μὲν ἐπ' ἀγαθῷ καὶ φωτισμῷ τῶν νεωτέρων Ἑλλήνων, ἔργῳ δὲ πρὸς ἐκφαυλισμὸν τῆς ἧς παρελάβομεν παρὰ τῶν Πατέρων ἱερᾶς τῶν θείων Γραφῶν ἑρμηνείας, διὰ ταῦτα ἱερὸν ἐνόμισα καθῆκον, καὶ χρέος ὀφειλόμενον πρός τε τὴν μητέρα καὶ τροφὸν Ἐκκλησίαν καὶ κατὰ μέρος πρὸς τοὺς ἀδελφοὺς Ἕλληνας, ἂν διευκρινήσω, τό γ' ἐπ' ἐμοί, τὰ περὶ τῆς καινοθρόου ταύτης διδασκαλίας, περὶ ἧς καὶ πρότερον ἀκροθιγῶς καὶ ἐμπαρόδως ἐν ἄλλῳ πονήματι διελάβομεν (β). Ἤδη δὲ συντάττομεν ἰδίως τὴν ἀνὰ χεῖρας περὶ τῆς τῶν Ο, μεταφράσεως οἱανδήποτε συγγραφήν· καὶ τὰ μὲν τελειότερα καταλείπομεν τοῖς σοφωτέροις, πολλοῖς γε καὶ ἀγαθοῖς καὶ οὖσι καὶ ἐσομένοις τῇ τοῦ Χριστοῦ χάριτι, ἡμεῖς δὲ μόνον τὴν ἐνοῦσαν καὶ ταύτην ταχεῖαν ἐπικουρίαν προσάγομεν ἐξαιρέτως πρὸς τὴν ὀρθόδοξον νεολαίαν καὶ τοὺς ἁπλουστέρους ὁμογενεῖς· περὶ τούτων γὰρ μάλιστα φροντίζομεν, ἵνα μὴ πτύρωνται μανθάνοντες ἐξαίφνης καινοφανεῖς ὡς πρὸς αὐτοὺς δοξασίας, καὶ ξενήκουστα θρυλλήματα παρ' ἀνθρώπων ματαιοσόφων, οἵτινες οὕτως ἰταμῶς ἀναστάντες διαβάλλουσιν ἐν μέσῳ τῆς ὀρθοδοξούσης Ἑλλάδος τὴν ἁγιωτάτην, καὶ χρόνῳ πρεσβυτάτην, καὶ πίστει κυριωτάτην, καὶ δόξῃ κλεινοτάτην ἑρμηνείαν τῆς παλαιᾶς Διαθήκης.

(α) Βλ. Ἐφημ. Ἐποχ. ἀριθ. 18, ἔτ. 1834. Σωτῆρ. ἀριθ. 38, ἔτ. 1834. πρβλ. καὶ ἀριθ. 58. σελ. 244.

(β) Βλ. Ἐπίκρισιν εἰς τὴν περὶ Νεοελληνικῆς Ἐκκλησ. σύντομ. Ἀπάντησιν σελ. 133—315.

§. δ΄. Πρὸς τοῦτον καὶ μόνον τὸν σκοπὸν ἀφορῶντες, καὶ μήτε φιλομαχοῦντες ἐριστικῶς, μήτε παντάπασιν ἐξετάζοντες ἂν ἄλλοι τινες, καὶ ἂν ὀρθῶς καὶ ἀσφαλῶς ἀπεδέξαντο τὴν ἐκ τοῦ καθ᾿ ἡμᾶς ἑβραϊκοῦ μεταγλώττισιν τῶν Γραφῶν, ἐκφράζομεν ἁπλῶς, ὅση δύναμις, τὴν ἀξίαν καὶ τὸ κῦρος καὶ τὴν θεόσδοτον αὐθεντίαν τῆς ἑλληνικῆς ἑρμηνείας τῶν Ο. Καὶ τάς τε κατ᾿ αὐτῆς ἐκτοξευθείσας ἀπ᾿ ἀρχῆς μέχρι σήμερον λοιδορίας τῶν ἀλλοδόξων κριτικῶν ἀνακρίνομεν, αὐταῖς λέξεσιν ὡς ἐπὶ τὸ πλεῖστον μνημονεύοντες, καὶ αὐτὰ δὲ τὰ ὀνόματα τῶν γενναίων τοξευτῶν προστιθέντες, καὶ μάλιστα τῶν ἐπὶ σοφίᾳ καὶ λόγοις εὐκλεεστάτων. Πρὸς δὲ τούτους πάλιν ἀντιτάττομεν οὐ μόνον τὰς ἀρχαίας τῆς Ἐκκλησίας καὶ τῶν θύραθεν σοφῶν ἀποφάνσεις, ἀλλὰ καὶ νεωτέρων πάλιν ἄλλων κριτικῶν, οὐχ ἧττον ἐπὶ σοφίᾳ περικλεῶν, ἀποδείξεις καὶ γνώμας, πρὸς ἔλεγχον τῆς ἀληθείας.

§. έ. Διαιροῦμεν δὲ τὸ σύνταγμα εἰς βιβλία τέσσαρα. Καὶ Α, μὲν ἐξετάζομεν τὰ περὶ τὴν ἱστορίαν τῆς ἑρμηνείας τῶν ἑβδομήκοντα. Ἐν δὲ τῷ Β, βιβλίῳ ἐκτιθέμεθα τάς τε περὶ ταύτης ὑπολήψεις τῶν ἐναντίων, ποίους τινας αὐτοὶ νομίζουσιν ἀληθεῖς ἑρμηνευτὰς τῶν Ἑλληνίδων Γραφῶν, καὶ τοὺς καιριωτάτους τῶν τῆς ἑρμηνείας σφαλμάτων ἐλέγχους, οὓς ἐξάγουσιν ἐκ τοῦ καθ᾿ ἡμᾶς περισωθέντος ἑβραϊκοῦ κειμένου. Ἐν τῷ Γ, διαλαμβάνομεν περὶ τούτου δὴ τοῦ καθ᾿ ἡμᾶς ἑβραϊκοῦ κειμένου τῆς Γραφῆς, ὅπως ἔχει κατὰ φύσιν, καὶ οἷον κέκριται παρὰ τοῖς ἐνδοξοτάτοις· παρενείρομεν δὲ τὰ εἰκότα καὶ περὶ τοῦ Σαμαρειτικοῦ, καὶ τῶν Χαλδαϊκῶν παραφράσεων. Ἐν δὲ, τέλος, τῷ Δ, θεωροῦμεν ἰδιαιτέρως τὴν ἀξίαν καὶ τὸ κῦρος καὶ τὰς ἐκδόσεις τὰς ἑρμηνείας τῶν Ο· καταλέγομεν δὲ καὶ τὰς ἄλλας τὰς ἀρχαίας ἑλληνικάς μεταφράσεις. Ἐπειδὴ δὲ συχνάκις ἐν τῷ συντάγματι μνημονεύομεν τάς τε τῶν Πατέρων καὶ τῶν θύραθεν ἀρχαίας περὶ τῶν Ο μαρτυρίας, προστιθέμεθα, τέλος, ἐν εἴδει παραρτήματος, αὐτήν τε τὴν Ἀρισταίου ἱστορίαν ὁλόκληρον ἐκδιδόντες (ὡς ἤδη σπανιωτάτην, καὶ παρὰ τοῖς πλείστοις τῶν ὁμογενῶν ἄγνωστον ἀποβᾶσαν), καὶ τὴν

παρὰ Φίλωνι, καὶ μάλιστα παρὰ τῷ Ἰωσήπῳ σύνοψιν αὐτῆς, ὡσαύτως καὶ τὴν παρὰ τῷ ἱστορικῷ Εὐσεβίῳ καὶ τῷ ἱερῷ Ἐπιφανίῳ σύντομον αὐτῆς περιοχὴν, καὶ τῶν ἄλλων δὲ τῶν θείων Πατέρων καὶ ἱστορικῶν τὰς περὶ τῶν Ο, ῥήσεις καὶ μαρτυρίας, ἀθρόας ἁπάσας ὑπ' ὄψιν τοῦ ἀναγνώστου παρατιθέντες. Καὶ τοιαύτη μὲν ἡ πρόθεσις τοῦ συντάγματος, ἡγείσθω δὲ τοῦ ἔργου Θεὸς, « *ὁ διδάσκων ἄνθρωπον γνῶσιν, καὶ διδοὺς σύνεσιν τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ* ».

ΒΙΒΛΙΟΝ Α΄.

ΤΑ ΚΑΤΑ ΤΗΝ ΙΣΤΟΡΙΑΝ ΤΗΣ ΕΡΜΗΝΕΙΑΣ ΤΩΝ Ο.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Σύντομος ἔκθεσις τῆς ἱστορίας.

§. ά. ἈΡΙΣΤΈΑΣ ἢ Ἀρισταῖος (διότι καὶ ἀμφότερα ὀνομάζεται) Ἕλλην τὸ γένος, ὑπερασπιστὴς ἢ ἀρχισωματοφύλαξ Πτολεμαίου τοῦ Φιλαδέλφου, πρῶτος φέρεται ἱστορήσας τὴν ὑπὸ τῶν Ο, γενομένην ἑρμηνείαν τῆς παλαιᾶς γραφῆς, αὐτός τε παρὼν, καὶ αὐτὸς καθυπουργήσας εἰς τὴν περὶ τὸ μέγα τοῦτο ἔργον βασιλικὴν τοῦ Φιλαδέλφου φιλοτιμίαν. Ἔγραψε δὲ τὴν ἱστορίαν ὁ Ἀριστέας ἐν εἴδει ἐπιστολῆς πρὸς Φιλοκράτη τὸν ἀδελφὸν ἐπιγραφομένης, οὕτως « *Ἀριστέας Φιλοκράτει* ». Ἡ δὲ περίληψις τῆς ἱστορίας, ὡς ἔπος εἰπεῖν, τοιαύτη.

§. β΄. Πτολεμαῖος ὁ Φιλάδελφος ἐπονομαζόμενος, υἱὸς Πτολεμαίου τοῦ Λάγου (τοῦ καὶ Σωτῆρος ἐπικληθέντος), τρίτος ἀπ᾽ Ἀλεξάνδρου βασιλεύσας Αἰγύπτου, φιλομουσότατος ἐγένετο καὶ βιβλιακώτατος ἡγεμὼν, καὶ τῆς Πτολεμαίων οἰκίας ὁ μεγαλοπρεπέστατος, ὡς ἄλλοι τε, καὶ Φίλων ἱστόρησεν ὁ Ἀλεξανδρεὺς (ἐν βίῳ Μωσέως Β, 5). Οὗτος τοίνυν ὁ βασιλεὺς μεταξὺ τῶν ἄλλων αὐτοῦ μεγαλουργιῶν ἐφιλοτιμεῖτο καὶ πρὸς αὔξησιν καὶ πλουτισμὸν τῆς ὑπὸ τοῦ πατρὸς αὐτοῦ τὸ πρῶτον (ὡς πολλοὶ θέλουσι) συσταθείσης ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης, συναθροίζων πανταχόθεν τῆς Οἰκουμένης παντοίας σοφῶν ἀνδρῶν συγγραφὰς, ἐπιστατοῦντος Δημητρίου τοῦ Φαληρέως. Ἐπειδὴ δὲ παρὰ τούτου ἔμαθεν ὅτι καὶ παρ᾽ Ἰουδαίοις εὑρίσκονται πολλὰ τῶν ἱερῶν παρ᾽ αὐτοῖς νομίμων συγγράμματα σπουδαιότατα, καὶ τῆς βασι-

λικῆς ἄξια βιβλιοθήκης, ζῆλον καὶ πόθον τούτων λαβὼν, ἔπεμψεν εἰς Ἱεροσόλυμα πρὸς τὸν τότε τῶν Ἰουδαίων ἀρχιερέα Ἐλεάζαρον ἄνδρας τῶν ἐπιφανῶν, αὐτόν τε τὸν Ἀριστέα καὶ Ἀνδρέαν (ἄλλον καὶ τοῦτον ἀρχισωματοφύλακα), βασιλικὰς κομίζοντας ἐπιστολὰς, δι' ὧν ὁ Πτολεμαῖος ἐζήτει τά τε βιβλία καὶ τοὺς ἀκριβῶς ἐξελληνίσοντας. Καὶ δῶρα δὲ διὰ τούτων ἔπεμπε πρὸς τὸν Ἐλεάζαρον, ἀναθήματα προσφέρων εἰς τὸν ναόν. Καὶ τοὺς ἐν Αἰγύπτῳ δουλεύοντας Ἰουδαίους, εἰς δέκα περίπου μυριάδας ἀριθμουμένους, ἀπέλυσεν, αὐτὸς τὰ λύτρα καταβαλὼν (ὡς ἂν μεγάλην καὶ ταύτην τὴν χάριν ἐσομένην εἰς ἅπαν τὸ Ἰουδαϊκόν). Ὁ γοῦν ἀρχιερεὺς ἄσμενος ἀπεδέξατο τὴν ἀξίωσιν τοῦ βασιλέως, καὶ πέμπει πρὸς αὐτὸν τά τε βιβλία τῶν ἱερῶν Γραφῶν, καὶ τοὺς ἑρμηνεύσοντας, ἑβδομήκοντα καὶ δύω (συνήθως δὲ διὰ τὸ συντομώτερον *ἑβδομήκοντα* λεγομένους) πρεσβυτέρους (ἤτοι νομοδιδασκάλους) ἱεροσολυμίτας, ἓξ ἀφ' ἑκάστης τῶν δώδεκα φυλῶν ἐκλεξάμενος, τοὺς μάλιστα δοκιμωτάτους, οἵτινες πρὸς τῇ πατρίῳ παιδείᾳ ἦσαν πεπαιδευμένοι καὶ τὴν ἑλληνικήν.

§. γ'. Ὡς οὖν ἦλθον οὗτοι οἱ Ο πρεσβύτεροι εἰς τὴν Ἀλεξάνδρειαν, φέροντες μεθ' ἑαυτῶν καὶ τὰς διφθέρας τῶν θείων Γραφῶν, πάσης τε φιλοφροσύνης ἔτυχον παρὰ τοῦ βασιλέως, καὶ τὰς βίβλους, τέλος, ἁπάσας ἡρμήνευσαν ἐν ἡμέραις ἑβδομήκοντα καὶ δύω. Ἐφιλοπόνουν δὲ τὴν ἑρμηνείαν διατρίβοντες κατὰ τὴν Φάρον, νῆσον πρὸ τῆς Ἀλεξανδρείας κειμένην, καὶ συνημμένην μετ' αὐτῆς διὰ τοῦ ἑπτασταδίου λεγομένου χώματος. Εἰς ταύτην τὴν νῆσον, ὡς χωρίον ἥσυχον καὶ ἀθόρυβον καὶ μακρὰν τῆς ἐν τῇ πόλει τύρβης ἀπῳκισμένον, ἐρχόμενοι καθ' ἑκάστην οἱ πεμφθέντες ἱεροφάνται, εἰσῄεσαν εἰς οἰκίαν μεγάλην παρὰ τὸν αἰγιαλὸν κατεσκευασμένην, καὶ καθήμενοι καθεὶς κατ' ἰδίαν εἰς οἴκημα χωριστὸν, ἡρμήνευον ἅπαντες συμφώνως ἐκτιθέντες τὴν ἑρμηνείαν, ὡς ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος ἐμπνεόμενοι. Τὰ δὲ καθ' ἑκάστην μεταφραζόμενα μέρη τῆς Γραφῆς, παραβαλλόμενα καὶ πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν, ἀντεγράφοντο ἔπειτα διὰ τῆς ἐπιστασίας

Δημητρίου τοῦ Φαληρέως. Οὕτω δὲ καθ᾽ ἑκάστην ἐργαζόμενοι μέχρι τῆς ἐννάτης ὥρας, ἐπέστρεφον εἰς τὴν πόλιν, τὸ σῶμα διαναπαύοντες· καὶ πάλιν πρωΐας εἰς τὸν συνήθη τόπον ἐπανήρχοντο καὶ κόπον, ἕως ἐξετέλεσαν τὸ ἔργον ἐξελληνίσαντες ἅπαντα τὰ τεύχη τῆς θείας Γραφῆς.

§. δ΄. Ἤδη δὲ διαπερανθείσης τῆς ἑρμηνείας, συναγαγὼν ὁ Δημήτριος τὸ πλῆθος τῶν Ἰουδαίων μετὰ τῶν πρεσβυτέρων καὶ προεστώτων τοῦ πολιτεύματος, ἀνέγνω τὰς βίβλους εἰς ἐπήκοον πάντων κατ᾽ αὐτὸν ἐκεῖνον τὸν τόπον ἐν ᾧ μεθηρμηνεύθησαν, παρόντων καὶ αὐτῶν τῶν ἑρμηνευτῶν. Καὶ ἐπειδὴ πάντες ἀπεδέξαντο τὴν μετάφρασιν, ὡς ἀκριβῶς καὶ πιστῶς γεγενημένην, παρεκάλεσαν τὸν Δημήτριον, ἵνα μεταγράψας ἅπασαν τὴν ἐξελληνισθεῖσαν Γραφὴν μεταδώσῃ πρὸς ἀνάγνωσιν καὶ τοῖς ἡγουμένοις τῶν ἐν Ἀλεξανδρείᾳ Ἰουδαίων. Καὶ αὐτοὶ δὲ οἱ ἱερεῖς, καὶ οἱ πρεσβύτεροι, οἱ ἑρμηνεῖς, καὶ τοῦ πολιτεύματος οἱ προεστηκότες παρεκάλεσαν τὸν Δημήτριον, ἵνα διαμένωσιν ἀμετάβλητα καὶ ἀδιασκεύαστα τὰ βιβλία εἰς τὸν ἅπαντα χρόνον, ὡς καλῶς καὶ ὁσίως ἡρμηνευμένα. Καὶ πανδήμους ἐξεφώνησαν ἀρὰς, κατὰ παντὸς, ὅστις ἂν τολμήσῃ μεταβαλεῖν, ἢ προσθεῖναι, ἢ ἀφελεῖν τι τῶν γεγραμμένων.

§. ε΄. Οὕτω δὲ πιστὴν καὶ βεβαίαν καὶ ὁσίαν ἀνωμολογημένην, καὶ παμψηφεὶ κεκυρωμένην τὴν ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν παραλαβὼν ὁ βασιλεὺς Πτολεμαῖος παρὰ τοῦ Δημητρίου μεγάλως ἐχάρη, καὶ μάλιστα ὡς ἤκουσε τὴν τοῦ Μωσέως Νομοθεσίαν ἀναγινωσκομένην. Καὶ προσκυνήσας ὡς ἱερὰ τὰ βιβλία ἐκέλευσεν, ἵνα μετὰ πάσης ἐπιμελείας ἁγνὰ καὶ ἀκιβδήλευτα διατηρῶνται. Καὶ ἀπετέθη τὸ χειρόγραφον τῆς ἑρμηνείας ἐν τῇ κατὰ τὸ Βρούχιον τῆς Ἀλεξανδρείας Βιβλιοθήκῃ. Τοῦτο δὲ, ἢ τούτου γοῦν (κατά τινας) ἀντίγραφον ἐσῴζετο καὶ ὕστερον ἐν τῇ κατὰ τὸ Σεράπειον τῆς Ἀλεξανδρείας Βιβλιοθήκῃ μέχρι καὶ τοῦ Χρυσοστόμου (τῷ 400, μ. Χ.), ὡς λέγομεν ἐφεξῆς.

§. ϛ΄. Οὕτως ἡ παλαιὰ τοῦ Θεοῦ Διαθήκη θείᾳ βουλῇ καὶ

ἐπιπνοίᾳ μεθηρμηνεύθη ἐκ τῆς ἑβραΐδος εἰς τὴν ἑλλάδα γλῶσσαν ὑπὸ τῶν Ο, περὶ τὸ 283: π. Χ. οἷόν τις θύρα τοῖς ἔθνεσιν ἀνοιγεῖσα καὶ θαυμαστὸν προπύλαιον τῆς μελλούσης εἰς Χριστὸν πίστεως. Ἐν ταύτῃ πρώτῃ μετέσχον θειοτέρας παιδείας οὐ μόνον οἱ ἑλληνίζοντες Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ Ἐθνικοὶ, τοὺς θείους ἀναγινώσκοντες νόμους καὶ τοὺς χρησμοὺς τῶν Προφητῶν· καὶ ταύτην τὴν ἑλληνίζουσαν παλαιὰν Γραφὴν οἱ Ἀπόστολοι μετὰ τῆς καινῆς Διαθήκης παρέδωκαν τῇ Ἐκκλησίᾳ. Ἄλλη δέ τις ὁλοσχερὴς ἑλληνικὴ τοῦ ἑβραϊκοῦ κώδηκος ἑρμηνεία οὐδεμία φαίνεται γεγενημένη οὔτε πρὸ τῶν Ο, οὔτε μετὰ τούτους, μέχρι καὶ τοῦ β, αἰῶνος μετὰ Χριστόν (περὶ δὲ τῶν τότε γενομένων, ποῖαί τινες καὶ παρὰ ποίων καὶ τίνων ἐγένοντο, λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ).

§. ζ΄. Τοιαύτη συντόμως ἡ ἱστορία τῆς ὑπὸ τῶν Ο, μεταφράσεως τῶν Γραφῶν, ἣν συνέγραψεν εἰς πλάτος ὁ Ἀριστέας, μετ᾽ αὐτὸν δὲ καὶ Ἰώσηπος, καὶ οἱ λοιποὶ, ὧν ἔχει τὰ χωρία πρόχειρα πρὸς ἀνάγνωσιν ὁ ἀναγνώστης ἐν τῷ παραρτήματι τοῦδε τοῦ συντάγματος. Ταύτης μέντοι τῆς ἱστορίας οὐδὲν σχεδὸν μέρος κατέλιπον ἄθικτον καὶ ἀσυκοφάντητον οἱ πλεῖστοι τῶν καινοτόμων κριτικῶν, ἀλλὰ πάσαις δυνάμεσιν ἐπειράθησαν ἀποδεῖξαι μῦθον τὴν διήγησιν, ἐξελέγχοντες πολλαχῶς καὶ τὸ πραγματικὸν αὐτῆς καὶ τὸ λεκτικόν. Ἐπειδὴ δὲ ταύτην συνέγραψε πρῶτος, ὡς προείπομεν, ὁ σύγχρονος τοῦ πράγματος Ἀριστέας, εἰς ὃν ἀναφέρονται καὶ οἱ μετέπειτα διαλαβόντες περὶ τῶν Ο, πρὸς τὸν Ἀριστέα λοιπὸν πρῶτον ἀπευθύνουσι τὰ βέλη τῆς ἀναιρέσεως οἱ πολέμιοι, μὴ μόνον ὡς φλύαρον ἐν πολλοῖς καὶ μυθώδη στηλιτεύοντες τὴν Ἀριστηΐδα συγγραφὴν, ἀλλὰ καὶ παντάπασιν ἐκσυρίττοντες, ὡς σκότιον καὶ νόθον Ἰουδαίου τινος πλάσμα· καὶ τοῦτο μετὰ τὴν σωτήριον ἐποχὴν, ἢ μόλις ὀλίγῳ πρότερον πρὸς ἄκμονα ψεύδους κεχαλκευμένον! Διότι νομίζουσιν οἱ ἄνδρες ὅτι, τῆς Ἀριστέου συγγραφῆς καταῤῥαγείσης, συγκαταπίπτει καὶ πᾶσα ἡ αὐθεντία καὶ τὸ κῦρος τῆς ἱστορίας τῶν Ο, καθὼς καὶ ὅταν στύλος τις θεμελιώδης ἐν *πελέκει καὶ λαξευτηρίῳ* συντριβῇ,

παραυτίκα συγκαταῤῥέει καὶ τὸ ἐπ' αὐτῷ καθιδρυμένον οἰκοδόμημα.

§. ή. Ποίους δὲ καὶ πόσους λόγους προβάλλουσιν οἱ σοφοὶ οὗτοι συντιθέντες τὰ κατὰ τῆς ἱστορίας ἐπιχειρήματα, πάντας τούτους καταγράφομεν ἀκριβῶς ἐν τοῖς ἐφεξῆς κεφαλαίοις, προστιθέντες παρὰ πόδας καὶ τὴν ἀναίρεσιν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῆς Ἀριστέου συγγραφῆς, εἰ γνησία ἡ καθ' ἡμᾶς περιφερομένη, καὶ εἰ μυθώδης ὅλως καὶ ψευδὴς ἡ τοῦ Ἀριστέου περὶ τῶν Ο, ἱστορία· καὶ ποῖός τις οὗτος ὁ Ἀριστέας.

§. ά. Πᾶσα ἡ ἀρχαιότης ἀπεδέχετο ὡς ἀληθινὴν καὶ γνησίαν τὴν Ἀριστέου περὶ τῶν Ο, συγγραφὴν, μηδενὸς μηδέποτε μήτε Ἰουδαίου μήτε Χριστιανοῦ νοθείαν ὑπονοήσαντος κατὰ τοῦ συγγράμματος, ἢ ψεῦδος κατὰ τῆς ἱστορίας. Καὶ Ἰώσηπος μετὰ πάσης τῆς ἀρχαίας Συναγωγῆς, καὶ ὅσοι τῆς τοῦ Χριστοῦ Ἐκκλησίας λογάδες ἐμνημόνευσαν ἐξ ὀνόματος τὴν Ἀριστέου ἱστορίαν, οἷον ὅ,τε ἱστορικὸς Εὐσέβιος καὶ ὁ θεῖος Ἐπιφάνιος καὶ Ἱερώνυμος καὶ Ὀλυμπιόδωρος, εἶτα δὲ καὶ Γεώργιος ὁ Σύγκελλος καὶ ὁ Ζωναρᾶς, καὶ εἴ τις ἕτερος, ἀπαξάπαντες ὡς γνησίαν καὶ πραγματικὴν ἀποδέχονται τὴν Ἀριστέου συγγραφήν (ἐκτιθέμεθα δὲ τούτων τὰς ῥήσεις ἐν τῷ παραρτήματι). Ὀψὲ δέ ποτε καὶ μόλις κατὰ τὸν ις, αἰῶνα (τῷ 1522: μ. Χ.) πρῶτος Λουδοβῖκος Βίβης, τὸ γένος Ἱσπανὸς, ἀγνοῶ τί ποτε παθὼν, ἢ τί μαθὼν, ὑπώπτευσε τὸ βιβλίον ὡς ἄλλου τινος πόνημα μεταγενεστέρου παρὰ τὸν ἐπιγραφόμενον Ἀριστέα (α). Τίνος δὲ καὶ πότε γενομένου, οὔτε

(α) « Circumfertur libellus ejus (Aristaei) nomine confectus, ut puto, ab aliquo recentiore ». Lud. Vives in not. ad S. Augustin, de Civit. Dei XVIII, 42, Henrico VII Regi Angliae dicatis, 1522. Καὶ ταύτας μὲν τὰς εἰς τὸν ἱερὸν Αὐγουστῖνον τοῦ Βίβου σημειώσεις πολλαχοῦ νοσούσας ἐξελέγχουσιν ς]

διώρισεν ὁ καχύποπτος Βίβης, οὔτ' εἶχεν ὅλως εἰπεῖν· ἄλλως δὲ καὶ λόγου πάρεργον ἐξέφρασε τὴν ἐπελθοῦσαν γνώμην, ὡς δόκησιν ἁπλῆν ἐξενεγκών. Πρὸς τοῦτο τὸ λεπτὸν τῆς ὑποψίας τοῦ Βίβου σύριγμα, οἷον «*πολεμίου κόχλου φυσηθέντος*», συνήχθησαν, ὡς ἐκ συνθήματος, πολλοὶ καὶ ἄλλοι μετὰ ταῦτα συγγραφεῖς, διάφοροι τὰς ἕξεις, καὶ ἀπόλεμοι καὶ ἐμπειροπόλεμοι,

« ἠμὲν κακοὶ ἠδὲ καὶ ἐσθλοί »,

μάχην τινάσσοντες κρατερὰν κατὰ τῆς ἱστορίας τοῦ Ἀριστέου. Πολεμοῦσι δὲ ταύτην διχῶς, εἰς δύω τάξεις διῃρημένοι καὶ διαφερόμενοι πρὸς ἀλλήλους (ὡς εἰώθασι συνήθως οἱ περὶ τὰς καινοτομίας ἄγαν ἐπτοημένοι). Οἱ μὲν γὰρ (ὡς ὁ Κάστριος καὶ ὁ Σαλμέρων) ἀποδέχονται μὲν ὅτι καὶ Ἀριστέας ὑπῆρξε, καὶ ἱστορία παλαιὰ τῆς ἑρμηνείας τῶν Ο, οὐδ' ἀμφιβάλλουσι περὶ ταύτης οὐδ' ὁπωσοῦν, κατατρέχουσι δὲ μόνον τὴν ἡλικίαν τῆς καθ' ἡμᾶς Ἀριστηΐδος συγγραφῆς, ὡς τῶν Ἀριστέου χρόνων νεωτέραν. Οἱ δὲ πάλιν ἀναιροῦσι καθόλου τὴν ἱστορίαν αὐτὴν, ὡς μῦθον ἀνυπάρκτου καὶ πεπλασμένου πράγματος. Οἱ πρῶτοι λέγουσιν, ὅτι ἡ νῦν ἐπ' ὀνόματι τοῦ Ἀριστέου περιφερομένη βίβλος διάφορόν ἐστι σύγγραμμα παρ' ἐκείνην τὴν γνησίαν Ἀριστέου συγγραφὴν, ᾗ περ Ἰώσηπος ἐχρήσατο καὶ Εὐσέβιος καὶ ἄλλοι τῶν ἀρχαίων, ὑπό τινος νεωτέρου συμπιληθὲν καὶ συῤῥαφὲν ἀπό τε τῶν Ἰωσήπου

Θεολόγοι τῆς Ῥωμαϊκῆς Ἐκκλησίας (βλ. Wharton Append. ad Hist. liter. Scr. Eccles. G. Cave Genev. 1693. p. 130). Ἐκεῖνο δὲ μάλιστα σημειωτέον, ὅτι αὕτη τοῦ Βίβου ἡ μαρτυρία οὐδόλως ἀποδείκνυσι τὸν ἄνδρα ἀμφιβάλλοντα καθόλου περὶ τῆς ἱστορίας τῶν Ο, (καθὼς ὑπέλαβον πολλοὶ κριτικοί). Μόνον περὶ τοῦ κοινῶς περιφερομένου συνταγματίου τοῦ Ἀριστέου ὑπώπτευσεν ὁ Βίβης, μήπως συνεγράφη ὑπό τινος (καθὼς λέγει) νεωτέρου παρὰ τὸν ἀρχαῖον ἐκεῖνον Ἀριστέα, ὡς ἀμφέβαλον ὕστερον καὶ Κάστριος καὶ Σαλμέρων (βλ. παρακατιὼν), οἵτινες ὅμως οὐδ' οὗτοι οὐδόλως ἐδίσταζον ὅτι συνεγράφη ἀπ' ἀρχῆς ἱστορία τῆς ἑρμηνείας ὑπό τινος Ἀριστέου ἀληθινοῦ. Πρῶτος καὶ κυρίως ἀρχηγὸς τῶν πολεμίων τῆς περὶ τῶν Ο, ἱστορίας (καὶ αὐτοῦ τοῦ ἱστορουμένου πράγματος) ἐφάνη ὁ Σκαλίγερος (βλ. ἐφεξῆς §. δ.). Καὶ ταῦτα καλῶς ποιῶν ἐσημείωσεν ὁ κριτικὸς Ἕρψης (J. G. Herbst, historish-kritische Einleit. in die heilig. Schriften des Alt. Test. I. Th. pag. 146. Karlsruhe. 1840.)

χωρίων, καὶ τῶν αὐτοῦ τοῦ ἀληθοῦς Ἀριστέου, καὶ ἄλλων τινων. Οἱ δὲ δεύτεροι πάλιν (οἱ δριμύτατοι καὶ σοφώτατοι) διατείνονται καὶ περιδίδουσιν (ἢ στοιχηματίζουσι) πᾶν ὅ,τι ἂν θέλῃς, ὅτι ἡ τοῦ Ἀριστέου περιφερομένη ἱστορία ὑπάρχει μὲν αὐτὴ ἐκείνη ἣν καὶ Ἰώσηπος ἀνέγνω καὶ συνώψισε, καὶ οἱ λοιποὶ τῶν ἀρχαίων, ἔστι δὲ ὅμως λογοποιοῦ τινος Ἰουδαίου πλάσμα μυθῶδες, ψευδῶς ἐπιγεγραμμένον εἰς ἕνα τινα Ἀριστέα, καὶ τοῦτον κεκεραμουργημένον ἀρχισωματοφύλακα δῆθεν τοῦ Φιλαδέλφου· δείξεις δὲ προτείνουσιν ἑκάτερος τὰς ἐφεξῆς.

§. β΄. Οἱ πρῶτοι λογογνώμονες, ὅ,τε Λέων ὁ Κάστριος (α), καὶ Ἀλφόνσος ὁ Σαλμέρων (ϐ), καὶ εἴ τις ἕτερος, ἐπιχειροῦσι α) ἐκ τῆς τοῦ ὀνόματος γραφῆς. Ὁ καθ᾽ ἡμᾶς περιφερόμενος *Ἀριστέας* (λέγουσι) γράφεται τὴν παραλήγουσαν διὰ τοῦ ε, ψιλοῦ (οὕτως ἐπιγράφει αὐτὸς ἑαυτὸν ἐν τῇ πρὸς τὸν ἀδελφὸν Φιλοκράτην ἐπιστολῇ), τὸν δὲ παλαιὸν οἱ πατέρες, Ἰουστῖνος καὶ Εὐσέϐιος καὶ Ἐπιφάνιος, καὶ αὐτὸς Ἰώσηπος ὁ Ἰουδαῖος γράφουσι διὰ τῆς αι, *Ἀρισταῖον*· καὶ πρὸς τούτοις (λέγει Σαλμέρων), παρὰ μὲν τοῖς παλαιοῖς ἡ εὐθεῖα τοῦ ὀνόματος λήγει εἰς ους (Ἀρισταίους!!), νῦν δὲ παρ᾽ ἡμῖν εἰς ας (Ἀριστέας)· β) Λέγουσι, τὰ παρ᾽ Ἐπιφανίῳ καὶ παρ᾽ ἄλλοις τῶν Πατέρων ὡς ἐκ τοῦ Ἀρισταίου μνημονευόμενα χωρία περὶ τῶν Ο, οὐδόλως εὑρίσκονται ἐν τῇ καθ᾽ ἡμᾶς συγγραφῇ· γ) τὰ παρὰ τοῖς ἀρχαίοις Πατράσι μνημονευομένα ἑϐδομήκοντα δύω οἰκήματα, ἐν οἷς οἱ οϐ μεθηρμήνευσαν τὴν Γραφὴν (ἕκαστος καθήμενος κατ᾽ ἰδίαν), καὶ ὅτι συμφώνως ἡρμήνευσαν, ὡς θεόπνευστοι, ταῦτα οὐ μόνον λείπουσιν ἐκ τοῦ καθ᾽ ἡμᾶς Ἀριστέου, ἀλλ᾽ ἱστορεῖται μάλιστα καὶ πᾶν τοὐναντίον, ὅτι σύμπαντες ἀθρόοι διεπέραναν τὴν ἑρμηνείαν. δ) Λέγουσι, τὸ κατὰ τὴν Ἀλεξάνδρειαν *Ἑπταστάδιον*, οὗτινος ὁ καθ᾽ ἡμᾶς Ἀριστέας μνημονεύει, κατεσκευάσθη ὑπὸ τῆς Κλεοπάτρας, πολλοὺς

(α) Leo Castrius (a Castro) Prooem. in Esai. c. 35.

(ϐ) Alph. Salmeron Prolegom. Bibl. sext.

χρόνους ὕστερον μετὰ τὸν Φιλάδελφον, τὸν Ἀριστέᾳ σύγχρονον (α). ε) Διατείνεται, τέλος, ὁ Σεράριος ὅτι καὶ αὐτὸς ὁ ἱερὸς Αὐγουστῖνος (περὶ πόλεως Θεοῦ ιη, 4) ἀρνεῖται ῥητῶς μὴ γνήσιον εἶναι μηδ᾽ εἰλικρινὲς τὸ μέχρι καὶ τῆς σήμερον περιφερόμενον βιβλιάριον τοῦ Ἀρισταίου (β).

§. γ΄. Ἀλλὰ πρὸς ταῦτα ἀπαντῶμεν· α) Τὸ ὄνομα Ἀριστέας (καὶ Ἰωνικῶς Ἀριστέης, καὶ Ἀριστείης) γράφεται ἀδιαφόρως καὶ Ἀρισταῖος καὶ Ἀριστεύς. Οὕτως *Ἀριστέας* ὁ Ἀδειμάντου παρὰ μὲν Ἡροδότῳ γράφεται *Ἀριστέης*, παρὰ δὲ τῷ Θουκυδίδῃ *Ἀριστεύς*· καὶ πάλιν Ἀρισταῖος οἰκιστὴς Σαρδοῦς (γ), καὶ Ἀρισταῖος ποιητής (Σουΐδ.) κτλ. Ὅθεν καὶ τὸν παρὰ τοῖς ἀρχαίοις συνήθως Ἀριστέα (τὸν *Προκοννήσιον*) ἔγραψαν ὕστερον καὶ Ἀρισταῖον (δ)· καὶ αὐτὸν δὲ, τέλος, τὸν ἡμέτερον ὁ Ἰώσηπος Ἀρισταῖον γράφων συνηθέστερον, ἔγραψεν ὅμως καὶ κατ᾽ αἰτιατικὴν Ἀριστέα, ὡς ἐκ τοῦ Ἀριστεύς (ε). Ὁ δὲ μάρτυς Ἰουστῖνος οὔτ᾽ Ἀρισταῖον ἔγρα-

(α) J. Gregorius in posthumo de LXX interpret. tract.

(β) Serar. Proleg. Bibl. Βλ. πάντας τούτους παρὰ Hodio de Bibl. Textib. περὶ οὗ ἐφεξῆς.

(γ) Παυσ. I. ιζ.

(δ) Κλήμ. Ἀλεξ. πρὸς Ἕλλ. — Γρηγ. Ναζ. Στηλιτ. α, σελ. 73. τ. α, Col. — Εὐσταθ. εἰς Ἰλιαδ. Β. πρβλ. καὶ Διονύσ. Ἁλικαρν. περὶ τοῦ Θουκυδίδ. χαρακτῆρος κτλ. σελ. 146. ἐκδ. Sylburg. Lipsiae 1691.

(ε) Ἰωσηπ. κατὰ Ἀπίων. Βιβλ. Β. πρβλ. καὶ Ἀρχ. ΙΒ. 6. Καὶ παρὰ Λατίνοις ὡσαύτως γράφεται καὶ Aristaeus (Tertul. Apol c. 18 ed. Rig.), καὶ Aristeas (Hieron. Praef. in Pentat. καὶ Apolog. c. Ruffin. 11, 7, κτλ.) καὶ Aristeus (Ἀριστεὺς) (Hier. com. in Ezech. 5). Συγχέονται δὲ τὰ ὀνόματα ταῦτα πολλάκις καὶ ὑπὸ τῶν ἀντιγραφέων (οἷον ὁ Ἀριστέας ὁ Προκοννήσιος παρὰ Πασανίᾳ, ἐν μὲν α, 24 γράφεται ὀρθῶς Ἀ ρ ι σ τ έ α ς, ἐν δὲ ε, 7, Ἀ ρ ι σ τ α ῖ ο ς). Διὰ τοῦτο καὶ Σουΐδας (λ. Ἀρισταῖος) διέκρινεν ἐκ τῆς κλίσεως τὰ ὀνόματα· «Ἀρισταῖος εἷς τῶν γιγάντων — Ἀριστεὺς δὲ Ἀριστέως (ἡ γενικὴ) καὶ Ἀ ρ ι σ τ ή ω ν (ἡ πληθυντ. γενικὴ, ὅπου ἴσ. γρ. Ἀριστέων, ἔστι δὲ καὶ τὸ Ἀ ρ ι σ τ ή ω ν Ἰωνικ. ὡς βασιλεὺς βασιλέως — λέων καὶ Ἰωνικ. βασιλήων). Ὁ σοφώτατος Ὅδιος (περὶ οὗ λέγομεν παρακατιόντες) προστίθησιν ὅτι γράφεται τ᾽ ὄνομα καὶ Ἀ ρ ι σ τ α ί α ς, ὡς λέγει, παρὰ τῷ Συγκέλλῳ (Χρονογρ. τόμ. ά. σελ. 518 Bon.), ἀλλ᾽ ἠπατήθη· διότι κακῶς γέγραπται Ἀρισταίας, οὐδὲ γράφουσιν οἱ Ἕλληνες οὐδέποτε τὰ τοιαῦτα (τὰ εἰς ε α ς) διὰ τῆς α ι. καὶ ἡ δεῖξις πρόχειρος. Τὰ εἰς έ α ς (κατὰ διάλεκτον) ἐκφέρονται καὶ

ψεν, οὔτ' ἄλλως πως τὸ ὄνομα οὐδαμοῦ φαίνεται μνημονεύσας, εἰ μὴ μόνον τὴν ἱστορίαν. Οὐδὲν λοιπὸν ὠφέλησε τοὺς ἄνδρας ἡ περὶ τὸ ὄνομα μειρακιώδης μικρολογία· ὅτι δὲ ἐφαντάσθησαν καὶ ἑλληνικὴν τοῦ ὀνόματος κατάληξιν εἰς ους (κατὰ τὸ λατινικὸν Aristæus), περὶ τούτου καὶ μνημονεύοντες ἐρυθριῶμεν (ἀγανακτεῖ δὲ καὶ Ὅδιος). Εἰ δ' ἔβλεπέ ποθεν αὐτὸς ὁ Ἀριστέας ὁποῖα καὶ πόσα καὶ περὶ τοῦ ὀνόματος αὐτοῦ τερατολογοῦσιν, ἴσως ἂν μειδιάσας ἔλεγε πρὸς τοὺς Κριτικούς, ὅτι, ὦ ἄνδρες, μή μου κρίνετε τὸ σύγγραμμα, πρὶν μάθητε πρῶτον γράφειν τὸ ὄνομά μου καὶ σχηματίζειν ὀρθῶς καὶ ἑλληνικῶς! — β) Τίνες παρὰ τὸν Ἐπιφάνιον ἄλλοι πατέρες περιέχουσι χωρία μὴ σωζόμενα ἐν τῇ καθ' ἡμᾶς Ἀριστηΐδι συγγραφῇ; Ὅσα περὶ τῶν Ο, μνημονεύουσιν ὁ Εὐσέβιος καὶ αὐτὸς ὁ Ἰώσηπος καὶ εἴ τις ἕτερος, ὀνομαστὶ καὶ ῥητῶς ἀπηνθισμένα, πάντα ταῦτα σώζονται καὶ καθ' ἡμᾶς ἐν

εἰς εὺς, Πρωτεὺς καὶ Πρωτέας (ὁ αὐτὸς Ἀριστοφ. Θεσμοφ. 876, καὶ 881), καὶ πάλιν ἄλλος Πρωτέας (Πλούταρχ. Ἀλεξ. §. λθ. ἐκδ. Κορ. πρβλ. καὶ σημ. αὐτ.) καὶ Πρωτεὺς (Ἀθήν. ς. 258). Λυγκέας καὶ Λυγκεὺς (παρὰ τῷ Ἀθηναίῳ δ, 128 καὶ ιγ 560). Ἀμοιβέας (Αἰλιαν. π. ἱστορ. γ, 30) καὶ Ἀμοιβεὺς (Πολυαιν. Στρατηγ. Δ. ς, 1). Παντέας (Πολύβ. ε, 37) καὶ Παντεὺς (Πλούτ. Κλεομ. §. 38) κτλ. τοιοῦτο καὶ τὸ Κισσεὺς καὶ Κισσέας καὶ συναιρ. Κισσῆς (Ἰλ. Λ. 223), ὡς καὶ τὸ Πατροκλῆς (Ὅμ.) ἐκ τοῦ Πατροκλέας (Πλούτ.), καὶ τὸ Ἡρακλῆς ἐκ τοῦ Ἡρακλέας (ης) (ὅθεν ἡ χύδην Συνήθ. καὶ ταῦτα τὰ εἰς ης καὶ τὰ εἰς ευς σχηματίζει πολλάκις εἰς εας, οἷον ὁ βασιλέας, ἱερέας, Ἀχιλλέας, καὶ πάλιν ὁ Ἡρακλέας, κτλ.) Οὕτω καὶ τὸ Ἀριστεὺς καὶ Ἀριστέας· τὸ δὲ διφθογγοπαράληκτον Ἀρισταῖος ἔχει τὴν λήγουσαν εἰς ος, ὡς καὶ τὸ δρομεὺς καὶ Δρομέας (κύριον. Ἀθήν. δ, 132), καὶ δρομαῖος, ἐπιθετικῶς, κτλ. Ὑπάρχουσι δὲ καὶ ἄλλοι τούτου τοῦ ἐκ τοῦ Ἄριστος ὀνόματος σχηματισμοί, οἷον Ἀριστίων, Ἀρίστων, Ἀρίστας, Ἄριστις, Ἀρίστιος (Σουΐδ. ὡς Ἄλεξις καὶ Ἀλέξιος), Ἀριστίας (κατὰ τὸ δρομίας καὶ δρομέας καὶ δρομεὺς) καὶ (ὑποκοριστ.) Ἀριστύλλος. Ὁ δὲ κλεινὸς Ὅδιος, ἐκ ψευδῶν ἴσως ἀναγνώσεων ἀπατηθείς, προσέθηκε καὶ ἄλλους ἀνυπάρκτους, οἷον Ἀρισταίων, καὶ Ἀριστεύας, καὶ Ἄρισθος (Aristhus), καὶ τὸ ἔτι γελοιότερον Ἀριστεῖος (ἐκ Πολυδ. Θ. 5, ὅπου γράφεται ἡ γενικὴ Ἀριστείου ὡς ἐξ εὐθείας τῆς ὁ Ἀριστείης (ἰωνικ. ἀντὶ Ἀριστέας)· ἀλλ' οἶμαι καὶ τοῦτο τὸ παρὰ Πολυδεύκῃ γραπτέον ὀρθότερον Ἀριστέου)· ὁ δὲ σοφὸς ἑλληνιστὴς ὑπέλαβεν ἴσως ὅτι λέγεται καὶ ἀρσενικῶς ὁ Ἀριστεῖος, κατὰ τὸ οὐδέτερον ἀριστεῖον (τὸ ἐπ' ἀριστείᾳ βραβεῖον, ἐκ τοῦ ἀριστεύω).

τῇ συγγραφῇ τέλεια καὶ ἀπαράλλακτα μέχρι καὶ λεπτοῦ (καθὼς καὶ αὐτὸς Ὅδιος ὡμολόγησεν). Ὅσα δὲ διάφορα ἱστοροῦνται παρὰ τῷ ἱερῷ Ἐπιφανίῳ, οὔτ' ἐκ τῆς Ἀριστέου συγγραφῆς ἀμέσως ἀντεγράφησαν, καὶ ταῦτα ὁ πατὴρ ἐξέφρασε κατὰ τὸν παρ' αὐτῷ συνήθη τοῦ λόγου χαρακτῆρα. Λέγομεν δὲ περὶ τούτου πλατύτερον ἐν τῷ ἐφεξῆς κεφαλαίῳ. Εἰ δὲ καί τις ψευδεπίγραφος πρὸς Ἱερώνυμον τάχα παρὰ τοῦ Πάπα τάχα Δαμάσου, πολλοὺς αἰῶνας ὅμως μεταγενεστέρα, λατινὶς ἐπιστολὴ, διαλαμβάνουσα περὶ τῆς ἱστορίας τῶν Ο, περιέχει καί τινα τούτων ὀνόματα διάφορα τῶν καταγεγραμένων παρὰ τῷ Ἀριστέᾳ, τοῖς μὲν πλαστογράφοις ἔξεστι πάντως ἐν πᾶσι παραποιεῖν καὶ πλαστογραφεῖν, ἀλλὰ μήποτε διὰ τοῦτο καταργεῖται καὶ τῶν γνησίων σωζομένων συγγραμμάτων τὸ κῦρος; Παρομοίως περιφέρεται καὶ χυδαῖον περὶ τῶν Ο, διηγημάτιον, παραλλάσσον ἔν τισι τῆς Ἀριστέου ἱστορίας, ἐκδεδομένον ἐν τῇ *Νέᾳ Συνόψει διαφόρων ἱστοριῶν* ὑπὸ Ματθαίου Τζιγάλα τοῦ Κυπρίου χυδαιογραικιστὶ (τῷ 1637). Ἄλλα δέ τινα πάλιν νέα ἐπιστόλια (λατινιστὶ) περιέχει τοῦ Κομέστορος ἡ ἄκριτος καὶ φερώνυμος *Σχολαστικὴ ἱστορία* (α). Ἀλλὰ τὰ τοιαῦτα καὶ ὀνομάζειν ὀχληρόν. Εἰ δέ τινες καὶ ἐκ τῶν τοιούτων ἐπιχειροῦσι κατὰ τῆς γνησιότητος τῆς Ἀριστέου συγγραφῆς, ποιοῦσι τὸ αὐτὸ, ὡς καὶ ἂν ἐξήλεγχον ὡς νόθους καὶ ψευδεπιγράφους τὰς ὑπὸ Πλουτάρχου, καὶ Ἀῤῥιανοῦ, ἢ καὶ τοῦ Ῥωμαίου Κουρτίου βιογραφίας Ἀλεξάνδρου τοῦ Μεγάλου, διότι διαφωνοῦσι πρὸς τὸν παρ' ἡμῖν χυδαϊστὶ περιφερόμενον Ἀλεξάνδρου βίον (σύγγραμμα τινος Ἰταλοῦ φλυάρου καὶ ἀργοῦ, ὅθεν ὑπ' ἄλλου τινος ὁμοίου μετεφράσθη καὶ εἰς τὴν διάλεκτον τῶν παρ' ἡμῖν χυδαιοτάτων). — γ) Πρὸς τὰ οϐ, οἰκήματα, καὶ τὸ θεόπνευστον τῶν ἑρμηνευτῶν οὔθ' ὁ Ἀριστέας ἀντιλέγει τἀναντία ῥητῶς ἱστορῶν, καὶ ἡμεῖς ἀπαντῶμεν διὰ μακρῶν ἐν τοῖς οἰκείοις τόποις. — δ) Καὶ τὸ Ἑπταστάδιον ὑπῆρχεν ἐπὶ τοῦ

(α) P. Comestoris Hist. Scholastica, sive Ecclesiastica apud Hody de Biblior. Textit. pag. 4.

Φιλαδέλφου, καθὼς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς (Κεφ. κϐ.). Ὁ δὲ Γρηγόριος ὁ Ἄγγλος οὔτε γρήγορος ἐφάνη φερωνύμως, οὔτ᾽ ἀκριϐὴς περὶ ταύτην τὴν παρατήρησιν. — ε) Ὄνειρον χειμερινὸν ὠνειρεύθη καὶ ὁ Σεράριος, νομίσας ὅτι ἀνέγνω παρὰ τῷ ἱερῷ Αὐγουστίνῳ νοθείας καταδίκην κατὰ τοῦ παρ᾽ ἡμῖν Ἀριστέου. Οὔτε ἐν τῷ *περὶ πόλεως Θεοῦ*, οὔτ᾽ ἀλλαχοῦ τῶν τοῦ πατρὸς συγγραμμάτων κατ᾽ οὐδεμίαν αὐτῶν ἔκδοσιν οὐδὲν τοιοῦτο ἀναγινώσκεται, οὐδὲ γρύ. Καὶ ταῦτα μὲν πρὸς τοὺς νοθίζοντας τὴν καθ᾽ ἡμᾶς τοῦ Ἀριστέου συγγραφήν. Τούτων δὲ τὰ ἐπιχειρήματα καὶ αὐτὸς Ὅδιος ἐξεφαύλισεν, ὡς ἅμα τε λεγόμενα καὶ πίπτοντα παραχρῆμα· διὸ καὶ ταῦτα παρωμοίασε πρὸς τὴν λεγομένην Ἀμερικανίδα (Americanam) τὸ φυτὸν, οὗτινος ὅ,τι μέρος ἂν ψαύσῃς, ἐκεῖ παρευθὺς ἀποϐάλλει τὴν ἰσχὺν, καὶ μαραίνεται, καὶ ἀπανθεῖ.

§. δ΄. Ἡ δ᾽ ἑτέρα τάξις τῶν Ἀριστέου πολεμίων, οἵτινες, ὡς προείπομεν (§. ά.), πολεμοῦσιν ἀπ᾽ εὐθείας αὐτὸ τὸ κῦρος τῆς ἱστορίας, Ἰουδαίου ταύτην πλάσμα μυθῶδες ἐξελέγχειν ἐπιχειροῦντες, γενναῖοί τε φαίνονται καὶ κραταιοὶ, καὶ λόγων δυνάμει καὶ πλούτῳ πολυμαθείας οἱ πλεῖστοι περικλεέστατοι. Καὶ πρῶτος μὲν ἦρξε ταύτης τῆς γνώμης μέγιστος ἀνὴρ, Ἰώσηπος ὁ Σκαλίγερος, ἐν ταῖς εἰς τὸ Χρονικὸν τοῦ Εὐσεϐίου ἐπιστασίαις (α). Τούτῳ δὲ συμφάσκουσι καὶ ἄλλοι πολλοὶ καὶ τῶν Δυτικῶν (οἱ φιλοκαινότεροι), καὶ μάλιστα τῶν Λουθηρανῶν καὶ Καλϐινιστῶν· οἷον, ἐκ μὲν τῶν πρώτων Ἐρρῖκος ὁ Οὐαλέσιος (ϐ), καὶ Σίμων Ἐπισκόπιος (γ), καὶ Σιμώνιος (δ), καὶ Δουπῖνος (ε), καὶ Μενάγιος,

---

(α) Joseph. Scaliger in Animadversionib. ad Chronic. Eusebij Num. MDCCXXXIV. καὶ Epist. XIV. ad Seguin.

(ϐ) Henr. Valesius in Histor. Ecces. Eusebij L. V. c. 9. Τούτῳ φαίνεται συγκαταφάσκων καὶ Βόνας ὁ Καρδινάλης (Notitia autorum in Operibus suis).

(γ) Sim. Episcopius Jnstit. Theolog. L. V. c. 21.

(δ) R. Simon. Crit. sacr. XI. 2. καὶ Opusc. critic. advers. J. Voss. Edimbourg. 1685.

(ε) Du-Pin Nouv. Biblioth. des aut. Eccles. Diss. prélim. §. III. Tom. 1. pag. 56. sq. Paris 1693.

καὶ Μοντεφαλκώνιος (α), καὶ Α. Καλμέτης (β), καὶ Ἰωάννης ὁ Ἰάνης (γ), καὶ ἄλλοι σοφοί· ἐκ δὲ τῶν δευτέρων Ὀτιγγῆρος (δ), καὶ Λιχθόφωτος ὁ Ἄγγλος (ε), καὶ Δανιὴλ ὁ Εΐνσιος (ζ), καὶ ἄλλοι συχνοὶ καὶ κριτικοὶ καὶ ἐξ ἐπαγγέλματος θεολογικοὶ, καὶ προγενέστεροι καὶ νεώτατοι, καὶ οὗτοι διασημότατοι (η). Τούτοις προστεθείσθω καὶ ὁ νεωστὶ προκύψας Ἰουδαῖος Φράγκελος, ἀρχιραββῖνος, λόγιος ἀνὴρ, ἀλλὰ τῶν ἀρχαίων αὐτοῦ πατέρων Ῥαββίνων, καὶ μάλιστα τοῦ Ἀζαρίου (περὶ οὗ λέγομεν εὐθὺς) παντάπασι τὸ φρόνημα διάφορος (θ) (Τῶν δὲ παρὰ τούτους εἰσαγωγικῶν τινων συγγρα-

---

(α) Praelim. in Hexapl. c. III. §. 9.

(β) A. Calmet Diss. de versione septuag. interpret. καὶ Dictionnaire histor. crit. chron. de la Bible. Tom. 3. pag. 530—534.

(γ) Jahn Einleitung in die göttlichen Bücher des alten Bundes. 1. Th. §. 34.

(δ) Hottinger. Thesaur. Philolog. Libr. I. 3. pag. 294. Tiguri. 1649.

(ε) J. Lightfoot in Hor. Hebr. et Talmud. 7, et 11. in Epist. 1. ad Corinth. cap. IX. Tom. 2. Oper. pag. 936.

(ζ) Dan. Heinsius in Aristarch. c. x. Βλ. καὶ Prideaux Histor. Judaic. P. II. Lib. 10. an. ant. Chr. N. 277.

(η) Οἷον, Wolf. Biblioth. Hebraic. P. II. Set. VI. p. 440. — J. G. Carpzov. Critica sacra p. 486. Lipsiae 1748. — Fabricij Bibl. Graec. Tom. 3. p. 664. Harl. — C. L. Runckel Diss. Quaestiones nonullas criticas sist. Giessae. 1707. — J. Fr. Buddeus Hist. Eccles. V. Test. P. II. Tom. 2. pag. 1038. Isagoge hist. Theol. pag. 1516. — Lamb. Bos in prolegom. suae LXX Interpret. edit. praemissis. Franeq. 1709. — J. A. Starckius in Davidis carminib. vol. 1. p. 120. — Eichhorn, über die Quellen, aus denen die verschiedenen Erzählungen von der Enstehung der alexandrinischen Ubesserzung geflossen sind, im Repertor. Th. 1. p. 266, καὶ Einleit. in das Alt. Testam. T. 1. c. 3. Sect. 2. — G. Bauer, Entwurf einer historisch-kritischen Einleitung in die Schriften des alt. Testaments pag. 136. Nürnberg 1806. — Sturzius de Dialect. Macedonic. §. 1. pag. 4. — V. de Hanneraw, Manuel Biblique. vol. 1. p. 4. Bruxelles 1838. — Horne, An Introduction to the critical Study etc. vol. 2. p. 204. London 1839. — Herbst l. c. p. 144. πρβλ. καὶ Harles Introduct. in Hist. Ling. Graec. T. 2. Part. II. pag. 5. sq. καὶ Rosenmüller Handbuch für die Literatur der bibl. Krit. und Exegese. T. 2. pag. 385. Götting. 1798. κτλ.

(θ) Frankel Historisch-kritische Studien zu der Septuaginta. I. Bd. I. Abth. pag. 7. Leipzig. 1841.

φίσκων, ἢ κριτικιδῶν (criticastrum) τὸν πάμφυρτον καὶ πάγγλωσσον ὄχλον παραλείπομεν, ὡς ἄλλο μηδὲν, ἢ παρατραυλίζοντας τὰ τῶν σοφωτέρων). Προέχει δὲ πάντων τῶν πολεμίων, ὡς πρωτοστάτης καὶ φαλαγγάρχης, Οὔμφρεδος Ὅδιος, ἢ Ὅδυς, ὁ κλεινότατος, Ἄγγλος τὸ γένος, ἀρχιδιάκονος τὸ ἀξίωμα καὶ δημόσιος διδάσκαλος τῆς Ἑλληνικῆς φωνῆς, διαπρέψας ἐν Ὀξωνίῳ. Οὗτος μεταξὺ τῶν ἄλλων αὐτοῦ πολυμαθῶν συγγραμμάτων ἐξέδωκε πρῶτον, ἔτι νέος ὢν τὴν ἡλικίαν, *διατριβὴν κατὰ τῆς Ἀριστειανῆς ἱστορίας* (α)· ἐπειδὴ δὲ πρὸς ταύτην ἀπήντησεν ἐναντίους, ἀναλαβὼν πάσας αὐτοῦ τὰς δυνάμεις ἐξέδωκε μετὰ εἴκοσι περίπου ἐνιαυτοὺς τὴν πολύκροτον καὶ παχεῖαν αὐτοῦ συγγραφὴν τὴν, *περὶ τῶν ἀρχαιτύπων κειμένων τῆς παλαιᾶς Γραφῆς, καὶ τῶν ταύτης Ἑλληνικῶν μεταφράσεων, καὶ τῆς Λατινικῆς Βουλγάτας (Κοινῆς) βιβλία, Δ.* Τούτων τὸ Α, πραγματεύεται τὰ κατὰ Ἀριστέου (σελ. 1—89) (β). Τότε συγχρόνως κατὰ τὸν αὐτὸν ἐνιαυτὸν καὶ Ἀντώνιος ὁ Βὰν-Δάλης (ἢ ἀπὸ Δάλης), Βαταυὸς ἀνὴρ, Ὀδίῳ συμμαχῶν, ἐξέδωκε καὶ αὐτὸς « *Διατριβὴν εἰς Ἀριστέα περὶ τῶν Ο* » (γ). Συνεξέδωκαν ἀμφότεροι καὶ αὐτὴν τὴν Ἀριστέου συγγραφὴν ἑλληνιστὶ καὶ λατινιστί (δ). Ἀλλ' ὁ μὲν Βανδάλης (καί τοι καινά τινα συγγρά-

---

(α) Dissert. Contra Histor. Aristeanam. Oxon. 1685.

(β) Humf. Hodij de Bibliorum textibus originalibus, versionibus Graecis et Latina Vulgata. Libr. IV. Oxonij 1705.

(γ) Ant. Van Dale Dissert. super Aristea de LXX. interpretib. Amstelodami. 1705.

(δ) Ὁ μὲν Ὅδιος, ὡς προπύλαιον τοῦ ὅλου συγγράμματος (pag. I—XXXVI), ὁ δὲ Βανδάλης, ὡς ὀπισθόδομον, ἐν τῷ τέλει τῆς διατριβῆς. (σελ. 231—333). Καλοὶ παρ' ἀμφοτέροις οἱ χαρακτῆρες τοῦ κειμένου τοῦ ἑλληνικοῦ, καὶ γλαφυροὶ τὴν ὄψιν· ἀλλ' αὐτὸ τὸ κείμενον βρίθει μυρίων σφαλμάτων, οὐ μόνον τυπογραφικῶν, ἀλλὰ καὶ ἄλλων πολλῶν καὶ μεγάλων (οἷον ἐλλείψεων, μεταθέσεων, διαστροφῶν), ὅσα παρεισέδυσαν ἔκπαλαι καὶ εἰς τοῦτο τὸ βιβλίον ἐκ τῆς μοχθηρίας τῶν ἀρχαίων ἀντιγράφων. Καὶ ὤφειλον μὲν οἱ ἐκδόται, καθὸ πολυμαθεῖς ἑλληνισταὶ, θεραπεῦσαν τὰ γοῦν βαρέα καὶ προφανῆ· ἀλλ' ἴσως οἱ ἄνδρες, ἀσχολούμενοι περὶ τὴν ἀναίρεσιν τοῦ πραγματικοῦ, παρεῖδον ἀτημέλητον τὴν ἔκδοσιν τοῦ βιβλιαρίου, ἵνα καὶ ἐκ τῶν σφαλμάτων, ὡς ἀπὸ στιγμάτων, καταφαίνηται τὸ αἶσχος τῆς νοθείας αὐτοῦ!

ψων καυχώμενος ἐν τῷ προλόγῳ), φαίνεται πολὺ κατώτερος Ὁδίου καὶ στεῖρος καὶ πενιχρός (α)· ἐκπίπτει δὲ πολλάκις καὶ εἰς ὕβρεις ἀναιδεῖς καὶ πικράς, ὡς εἷς τις καὶ αὐτὸς « *ἐκ τῶν ἠτυχηκότων βλασφημίαις μολύνειν τὸ στόμα*. Πολὺ δὲ σεμνότερος καὶ χαριέστερος ὁ τοῦ Ὀξωνίου Ἀρχιδιάκονος (πλὴν, ἐὰν ἐξέλῃς καὶ τούτου τὴν κατ' αὐτοῦ τοῦ Ἀριστέου, καὶ τῶν ἐκείνου προμάχων, καὶ κατ' αὐτῆς δὲ τῆς ἑρμηνείας τῶν Ο, προπετέστερον ἐκζέουσαν ἐνίοτε πικρίαν καὶ χολήν). Ἁβρὰ πολυμάθεια καὶ ποικίλη, καὶ παντοδαπῶν ἀναγνώσεων ἄνθη, καὶ λόγου δριμύτης, καὶ νοὸς ὀξύτης καὶ εὐφυΐα, καὶ Ῥωμαίας μούσης καλλιέπεια, καὶ ἄλλαι πολλαὶ χάριτες (πλὴν μιᾶς καὶ μόνης, τῆς Ἀληθείας), ὡραΐζουσι τὴν συγγραφήν. Διὸ καὶ πρὸς ταύτην, ὡς πρὸς χρηστήριον, ἀνατρέχουσι πάντες καὶ προγενέστεροι καὶ νεώτεροι· οὐδ' ἔστιν οὐδεὶς τῶν νεωτεριστῶν κριτικῶν, ὅστις, ἀποσκυβαλίζων ὡς ψευδῆ τὴν Ἀριστειανὴν ἱστορίαν, οὐκ ἀποστέλλει τὸν ἀναγνώστην πρὸς τὸν Ὅδιον, ὡς πρὸς ἄκρον ὑποφήτην, ἢ ἐξηγητὴν τῆς ἀκριβείας, καὶ ἀρχιδιδάσκαλον ἀξιόχρεων, καὶ οἷον φατριάρχην τῶν Ἀριστεομάχων (β). Οὕτως ὁ Ὅδιος πρῶτος ἀνθινὰ τὴν αἵρεσιν περιβαλὼν, ἀναρτήσας ἔχει πᾶν ὁμοῦ τὸ καινοτόμον φῦλον τῶν κριτικῶν, εὐφυῶς συναρμόσας καὶ συγκεράσας τούτων τὰς γνώμας «*καθάπερ ἐν λύρας ποικίλων φθόγγων ἐναρμονίῳ συστάσει, πρὸς τὸ ἐντελὲς τῆς μουσικῆς*» (γ).

§. έ. Ἀλλ' ὑπάρχουσι καὶ ἐκ τῶν νεωτέρων σοφῶν προστάται

(α) Λέγει δὲ καὶ ὁ Scharfenbergius (παρὰ Φαβρικίῳ Bibl. Graec. vol. 3. pag. 662 Harl.) περὶ τοῦ βιβλίου τούτου τοῦ Βαν-Δαλαίου. « Liber, qui se magis popularitate quam subtilitate et diligentia commendat »· καὶ πολὺ πρὸ τούτου ἔκρινεν ὁ Οὐαλκενῆρος. « Van Dale-incogitanter nonnula scribens, neque, si spectes illius eruditionem atque in singulis rerum momentis examinandis diligentiam, cum Anglo Theologo (Hodio) facile aequiparandus » Valckenair. Diatrib. de Aristobulo Judaeo, p. 19. πρβλ. Sim. Demagistris Dissert. I, p. 315 in ed. Δανιὴλ κατὰ τοὺς Ο.

(β) Βλ. Rosenmüller Handbuch für die Literat. der biblisch. Kritic, und Exegese 2. Bd. p. 411.

(γ) Βλ. Ἰουλιανοῦ ἐπιστολ. λδ. πρὸς Ἰάμβλιχ. σελ. 405 Opp. ed. Spanh.

καὶ ὑπέρμαχοι τῆς Ἀριστέου συγγραφῆς, ἀληθινὴν καὶ γνησίαν τὴν ἱστορίαν ἀποδεικνύντες, ἄνδρες εὐκλεέστατοι, καὶ τῆς Δυτικῆς Ἐκκλησίας καὶ ἐξ αὐτῶν μάλιστα τῶν Ἀναμορφωτῶν. Καὶ πρῶτος μὲν πάντων τετάχθω Ἰσαὰκ Οὐόσσιος, ὁ περικλεὴς καὶ κριτικώτατος ἀνὴρ, ὅστις ἀντεῖπε πρὸς τὸν Ὅδιον, ὁπότε νέος οὗτος ἔτι τὴν πρώτην ἣν προείπομεν ἐξέδωκε διατριβὴν (ὅθεν καὶ πολλάκις ἀνωνύμως *Ὀξωνιέα νεανίαν* αὐτὸν ἐκάλεσεν ὁ τότε γηραιὸς, καὶ κάρα λευκανθίζων, καὶ παλαιὸς τῶν Μουσῶν ὑποφήτης Οὐόσσιος), ὑπέρ τε τοῦ Ἀριστέου καὶ τῆς ἑρμηνείας τῶν Ο, γενναίως ὑπερμαχῶν (α)· ἔστι δὲ λίαν ἀξιότιμος ὁ ἀνὴρ καὶ διὰ τοῦτο μάλιστα, καθότι πρότερον καὶ αὐτὸς, ὑπὸ ψευδοῦς φαντασίας κεκρατημένος, ἐνόμιζε καὶ ὠνόμαζε *ψευδαριστέα* τὸν συγγραφέα τῆς ἱστορίας (β). Ὑπὲρ τῶν Ο, καὶ τοῦ Ἀριστέου ὑπερμαχοῦσι καὶ ἄλλοι καλοὶ καὶ ἀγαθοὶ, καὶ παλαιότεροι καὶ νεώτεροι παντοδαποὶ, καὶ ἐξ αὐτῶν τῶν Ὀδίου ὁμογενῶν. Ὅ,τε Βριανὸς ὁ Βάλτων, Ἄγγλος ἐπίσκοπος, ὁ θαυμάσιος (γ), καὶ ὁ τὴν σοφίαν οὐχ ἧττον περικλεὴς Ἰάκωβος Ὑσσέριος, Ἀρμανάχου πρόεδρος (δ), καὶ Βίστων (ε), καὶ Σιμψώνιος (ζ), καὶ Γεράρδος Οὐόσσιος (ὁ πατὴρ Ἰσαακίου) (η), καὶ τῆς ὑπὲρ τῶν Ο, Ἀπολογίας ὁ ἀνώνυμος καὶ σοφὸς Ἄγγλος συγγραφεὺς, ὃν ἐξόχως *Ἔκδικον*

(α) I. Vossij Appendix ad Pomponium Melam p. 58. sq. Londini 1686. καὶ ἐν τῷ De Septuaginta interpretib. c. IV pag. 9. Hagac-Comit. 1661. καὶ in Append. ad libr. de LXX interpr. pag. 4—34. πρβλ. καὶ ad Ant. Hulsii objection. responsio· ibid. pag. 35—122.

(β) I. Voss. in not. ad c. 4. Epist. S. Barnab.

(γ) Brian. Walton Proleg. in Bibl. Polygl. cap IX. §. 2 καὶ 4.

(δ) Jac. Usserij Syntagm. de LXX interpr. c. I. et in Annal. V. T. vol. 1.

(ε) Guil. Whiston in Append. The literal Accomplishment of Scripture Propheties etc. pag. 117—156. London. 1724.

(ζ) Edv. Simsonius Chronic. an. 3719.

(η) Ger. Vossij Hist. Graec. I. 12 p. 110 ed. Westermann. Lipsiae 1838 (καίτοι πάλιν ἐν I. 15 pag. 130 ἔοικέ πως ἀμφιβάλλοντι περὶ τοῦ καθ' ἡμᾶς περιφερομένου Ἀριστέου, κρίνων τὰ τοῦ Σκαλιγήρου μὴ παντάπασιν ἐλαφρά).

Ἀρισταίου καλοῦμεν (α), καὶ Λουδοβῖκος ὁ Καπέλλιος (β), καὶ Ἐδ. Βερνάρδος (γ), καὶ Σπαγχέμιος (δ), καὶ Μαγγεὺς (ε), καὶ Βρέττος (ζ). Τούτοις προστεθείσθωσαν καὶ ἐκ τῶν Δυτικῶν ὁ κλεινὸς Βομφρέριος (η), καὶ Ἰάκωβος ὁ Παμέλιος (θ), καὶ Ἰωάννης ὁ Δεσπειρήσιος (ι), καὶ Π. ὁ Γαλησίνιος (κ), καὶ Βελλαρμῖνος ὁ Καρδινάλιος (λ), καὶ Ἀντώνιος Ποσσεβῖνος (μ), καὶ Γρεζῆρος, καὶ Πεζρώνιος, καὶ Νικόλαος ὁ Νοῦῤῥις (ν), καὶ Μάσχιος (ξ), καὶ Λαυρέντιος ὁ Ῥονδέρτος (ο), καὶ Ἀλέξιος Ἀκυλῆνος (π), καὶ Συμεὼν Δεμάγιστρος (ρ), καὶ ἄλλοι (σ), καὶ ὁ πολυμαθέστατος Δαμβίλης,

---

(α) A Vindication of the history of the Septuagint from the Misrepresentations of the learned Scaliger, Dupin, Dr. Hody, Dr. Prideaux, and other modern Criticks. London. 1736. Τούτου τοῦ βιβλίου συγγραφεὺς λέγεται ὁ Charles Hayes (Κάρολος Αὔης) βλ. Rosenmüller Handb. für die Liter. der bibl. Kritik etc. 2. Bd. p. 390.

(β) L. Capellij Crit. Sacr. L. IV. c. 15—17 καὶ Lib. V. c. 1—2.

(γ) Σημ. εἰς Ἰωσήπ. Ἀρχαιολ. πολλαχοῦ τοὺς οβ. γέροντας γεραίρων.

(δ) Spanhem. observation. ad Callimach. vol. 2. ed Ernest.

(ε) Mangey praefat. ad Philon. Tom. 1 pag. XV. XVI.

(ζ) Brett, Dissertation on the Septuagint, in Bishop Waston's Collection of Theological Tracts vol. 3. pag. 20. et seq.

(η) Bonfrerius in Praeloq. ad Pentat. Moys. comment. illustrat. Antwerp. 1625 fol. (θ) Jac. Pamelius in Tertulian.

(ι) Jo Despieresius De LXX. interepr. Dub. 1.

(κ) P. Galesinius de LXXII. interpr.

(λ) Rob. Bellarmin. de Scrip. Eccles. καὶ De verbo Dei. II. 2.

(μ) A. Possevinus Appar. S. voc. Aristeas et LXX.

(ν) Nicol. De Nourry Dissert. de Aristeae histor. in Apparat ad Bibliothec. maxim. vet. Patr. Tom. 1. Diss. XII. pag. 225. Paris, 1703.

(ξ) Maschius Praef. ad Bibliothec. sacr. part. II. vol. 2. p. 10.

(ο) Laur. Etien. Rondert Examen impartial d'nne dissertation nouvelle sur la version de LXX etc. Paris. 1783.

(π) Alex. a S. Aquilino Pentatenchi Hebraeo-Samaritani praestantia in illustrando et emendando textu masorethico etc. Coloniae. 1783.

(ρ) In Daniel secundun LXX (Δανιὴλ κατὰ τοὺς Ο). Romae. 1772.

(σ) Οἷον Margarinus Bignius (in Bibliothec Patr.)— I. Perionius (in Justin. martyr. Paraenes.) — Simon Schardius in Aristeam apud Fabric. in Joseph. ed. Haver. vol. 2. pag. 101, καὶ Hertelius epigram. in Aristeam ibid. κτλ) Τὸν δὲ παλαιὸν Βοβέριον (διαμαρτυρητὴν) μετὰ τὸν Βίβην ἀκμάσαντα (περὶ τὸ 1600,

ὅστις φέρει τὸν Ἀριστέα μάρτυρα πιστὸν, διαλεγόμενος περὶ τοῦ μεγέθους τῆς Ἱεροσολύμων πόλεως (α), καὶ τελευταῖος, οἷον κορωνὶς τοῦ καλοῦ τῶν φιλαριστέων θιάσου, Κασσωβὼν ἐκεῖνος, ἡ ἔμψυχος βιβλιοθήκη καὶ στάθμη τῆς τῶν ἑλλήνων συγγραφέων ἀξίας, ὅστις ἀνεκήρυξε διαῤῥήδην τὸν Ἀριστέα « γλαφυρὸν καὶ ἀρχαιότατον συγγραφέα, καὶ παρόντα τοῖς πράγμασι περὶ ὧν ἱστόρησεν » (β). Ὅτι δὲ καὶ τῶν νεωτέρων

ἄκοντα καὶ μὴ βουλόμενον ἐπισπᾶται πρὸς ἑαυτὸν ὁ σοφὸς Ὅδιος ὡς ὁμόφρονα (σελ. 4. σημ.)· διότι ὁ Βοβέριος ἀποδέχεται τὴν Ἀριστέου ἱστορίαν, πλὴν μόνον ὅτι « οὐδέποτε (λέγει) κοιμήσεται τοσοῦτον βαρὺν, ὥστ' ἀνέξασθαι πεισθῆναι μηδὲν ξένον ἢ ψευδὲς ἀναμεμίχθαι ἐν ταύτῃ τῇ ἱστορίᾳ » Ἰδοὺ αἱ λέξεις αὐτοῦ « Quorum (Aristaei et Josephi) narrationi facile fidem adhiberem, si tanti videretur. Numquam vero tam gravem mentiar somnum, ut persuaderi mihi patiar huic historiae nihil alieni aut falsi admixtum etc. J. Woweri Syntagm. c. 2. p. 27. Hamb. 1618 (πρβλ. καὶ Hody l. c. pag. 5.) Ἀλλ' ὅσον μὲν περὶ τῶν τοιούτων, ὧν εὕρισκεν ἀναμίκτων ψευδολογιῶν, ἴσως ὠνειρεύετο καὶ ἔξυπνος ὁ σεμνὸς Βοβέριος! Ταύτην δὲ τοῦ Βοβερίου τὴν γνώμην, κατ' ἄλλην ὄψιν ἀντιστρέψαντες, ἐξήνεγκον καί τινες τῶν νεωτέρων φιλολόγων, νόθον μὲν καὶ ὑποβολιμαίαν κρίνοντες τὴν Ἀριστέου συγγραφὴν, ἀλλ' ὅμως περιέχουσαν καὶ πολλὰς ἀληθείας. Τοιοῦτός τις φαίνεται Ἰωάννης ὁ Φρίκκιος (J. Frickij Proleg. ad edit. vers. LXX. Interpr. Lipsiae 1697), καὶ Σαμουὴλ ὁ Μύκκης (S. Mücke, de orig. vers. LXX. interp. p. 28), καὶ ὁ περικλεέστατος ἐπὶ κριτικῇ πολυμαθείᾳ Οὐαλκενῆρος (Valckenair Diatrib. de Aristobul. Judaeo pag. 49 sq. Lugd. 1806), καὶ Λεονάρδος Ὕγος, ὁ θαυμάσιος (Leon. Hug de Pentateuchi versione alexandrin. p. 2. Friburg. 1818), καὶ νεώτατος ὧν ἴσμεν, ὁ πολυμαθέστατος Ἐῤῥῖκος ὁ Θήρσιος (ὁ Θηρσίου τοῦ Φρεδερίκου υἱὸς) ἐν τῷ νεωστὶ ἐκδεδομένῳ ἐγχειριδίῳ Henr. Guil. Thiersij de Pentateuchi versione alexandrina Lib. I. §. 1—6. Erlang. 1841.

(α) Dissertat. sur l'étendue de l'ancienne Jerusalem par M. D'Anville ch. IV.

(β) Aristeam elegantem esse scriptorem, cujus antiquitatem tum phrasis arguit; tum Josephus, qui multa hinc descripsit—credimus admodum antiquum esse, et plane ejusmodi, quem non legisse poeniteat studiosos, aut Graecae linquae aut antiquitatis—nam antiquissimus est auctor. Non dubito eum esse qui rebus gestis interfuit, quae hic memorantur. Is. Casaubon in Hist. Aug. et in not. apud Walton. Proleg. IX. §. 4. Πρόσθες καὶ τὸν ἰατροφιλόσοφον Σπρεγγέλιον, ὅστις ἱστορῶν τὰ περὶ τὴν ἰατρικὴν ἐν Ἀλεξανδρείᾳ σχολὴν, ἐμνημόνευσε ῥῆσιν ὡς ἀπὸ γνησίου συγγραφέως τοῦ Ἀριστέου (Βλ. Κ. Sprengel Histoir. de la Medicin. Tom. 1. p. 429. Paris 1815.)

Ἰουδαίων ἡ συναγωγὴ γνωρίζει τὸν Ἀριστέαν, ὑπὸ τοῦ Γοριονίδου μνημονευόμενον, καὶ ὡς γνήσιον ὑπ' Ἀζαρίου τοῦ Ἰδουμαίου ῥαββίνου μεταφρασθέντα, καὶ ἄλλοι πρὸ ἡμῶν ἐσημείωσαν (α).

§. ϛ'. Οὗτοι τοίνυν οἱ ἄνδρες ἀντιλέγουσι πρὸς τοὺς Ἀριστέου πολεμίους, ὑπερασπίζοντες τὴν περὶ τῶν Ο, ἱστορίαν δι' ἄλλων ἄλλοι ἐπιχειρημάτων καὶ ἀποδείξεων, καὶ τούτων ἰσχυρῶν καὶ γενναίων, οὐδὲ παντελῶς συντετριμμένων, καθὼς τινες τῶν καθ' ἡμᾶς ὑπέλαβον κριτικῶν, στεφανοῦντες εὐκόλως τοὺς πρώτους ὡς νικητὰς, καὶ τὴν ἱστορίαν Ἀριστέου θεωροῦντες ὡς ἀπόβλητον ἤδη πρόπαλαι ῥιφθεῖσαν εἰς τὸ Κυνόσαργες, καὶ κατάστικτον κειμένην καὶ παράσημον, καὶ πάσης ἱστορικῆς πίστεως ἔρημον (β)! Ἀλλὰ κἂν παντοῖοι καὶ πολλοὶ καὶ, ὅσον ἂν βούλῃ, σοφοὶ κριτικοὶ διὰ φιλοκαινοτομίαν κατέκριναν ὡς νόθον τὸν Ἀριστέα, βασανίζοντες ἐν ταῖς κατ' αὐτοὺς σχολαῖς καὶ συνοικίαις· κἂν καὶ διαγράμματα πρὸς τοὺς φιλολόγους πολλάκις ἐξέδωκαν « εἴργειν πυρὸς καὶ ὕδατος καὶ στέγης τὸν ἄνδρα », καὶ μηδὲ προσφωνεῖν μηδὲ χαίρειν αὐτὸν λέγειν, ὡς παραχαράκτην καὶ προδότην τῆς ἀληθείας· ἀλλ' ὅμως οὐκ ἴσχυσαν αὐτὸν ἀπογυμνῶσαι τῆς φυσικῆς εὐγενείας καὶ γνησιότητος. Ἔτι πολιτεύεται καὶ τιμᾶται ὁ Ἀριστέας ἐν τῇ τῶν Γραμμάτων πολιτείᾳ, συνοικῶν καὶ συνδιαιτώμενος ἄλλοις πάλιν οὐκ ὀλίγοις, οὐδὲ τοῖς τυχοῦσι σοφοῖς. Γνωρίζει δὲ τοῦτον ὡς συγγραφέα τῆς ἱστορίας καὶ πᾶσα ἡ ὀρθόδοξος Ἐκκλησία, οὐχὶ (καθὼς τινες ἐνόμισαν) ἀνεχομένη τῆς ἱστορίας σιωπηλῶς (γ) (τίνα γὰρ εἶχε χρείαν συστάσεως τῶν θείων Γραφῶν

(α) Walton Proleg. IX, §. 2. pag. 335 ed. Dathe. Lips. 1777. Hody l. c. p. 4. σημ. 4.—Frankel l. c. p. 7.

(β) Aristeana Historia—quum a Ludov. Vives et Jos. Scaligero in dubio posita esset, atque ab Humf. Hodio—CL ab hinc annis victricibus armis impugnata, ab Js. Vossio frustra defensa: ineunte saeculo XVIII eruditorum magno consensu etiam Romanensium repudiata fidem historicam amisit». H. Thiersius de Pentat. version. alexandr. L. I. §. 1. p. 1.

(γ) Thierschius ibid. πρὸς τοῦτο τὸ ἀστεῖον ἐπιχείρημα δύναταί τις πάλιν ἀστείως ἀνταπαντῆσαι τὸ ἰταλικὸν « chi tace conferma » (ὁ σιγῶν βεβαιοῖ).

παρ' ἀνθρώπου ψευδολογοῦντος ἡ *στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας* ὑπάρχουσα Ἐκκλησία;), ἀλλὰ καὶ μάλα διασήμως αὐτὸν ἐπιγινώσκουσα καὶ κυροῦσα, καθ' ὅσον ἀποδέχεται κυρίας καὶ γνησίας ἁπάσας τὰς τὸν Ἀριστέα καὶ τὴν κατ' αὐτὸν ἱστορίαν, εἴτε ἐξ ὀνόματος εἴτε καὶ ἀκατονομάστως (ὡς γνωστὴν), βεβαιούσας συγγραφὰς τῶν ἁγίων ἡμῶν Πατέρων. Ἢ μήπως ἡ τούτων ὁμόφωνος περὶ πάσης ἀληθείας διδασκαλία καὶ παράδοσις οὐχ ὑπάρχει τῆς Ἐκκλησίας φωνή; Τὴν δὲ περὶ τῶν Ο, ἱστορίαν οὐκ ἀνεκήρυξαν εἰς πᾶσαν τὴν Οἰκουμένην, κατά τε τὴν Ἀνατολὴν καὶ Δύσιν καὶ Ἀφρικὴν, οἱ ἀρχαιότατοι τῆς Ἐκκλησίας διδάσκαλοι; (α). Καὶ ὅτε ἡ Ἐκκλησία παρελάμβανε παρὰ τῶν θείων Ἀποστόλων

(β) Καὶ ὁ Montfaucon (Praelim. in Hexapl. c. III. §. 9. pag. 35) *οὐκ ἀποδέχεται τὸ κῦρος τῶν ὑπὲρ τοῦ Ἀριστέου καὶ τῆς κατ' αὐτὸν ἱστορίας μαρτυριῶν τῶν* Πατέρων *καὶ διδασκάλων τῆς* Ἐκκλησίας. « *Καὶ γὰρ (φησιν) οἱ ἱεροὶ* Πατέρες, Ἰουστῖνος, Εἰρηναῖος, Κλήμης, Κύριλλος ὁ Ἱεροσολύμων, *ἐκεῖνο τὸ μέρος τῆς ἱστορίας ὑπερασπίζεσθαι δοκοῦσιν, ὅπερ ἀποβλέπει τὰ δωμάτια, καὶ τὴν ἐν τῷ ἑρμηνεύειν θαυμαστὴν τῶν* Ο, *συμφωνίαν, καὶ τὴν ὑπὸ πνεύματος ἁγίου ἔμπνευσιν αὐτῶν.* Ἀλλὰ τοῦτο (λέγει) *τὸ μέρος τῆς ἱστορίας, ὡς νόθον καὶ ὑποβολιμαῖον μετὰ τοῦ θείου* Ἱερωνύμου *καὶ ἄλλων σοφῶν ἀνδρῶν ἀποῤῥίπτομεν* » κτλ. Ἀλλ' *ἐν τούτοις ὁ κλεινὸς* Μοντεφαλκώνιος *ἐξελέγχεται οὐχ ἅπαξ ἠπατημένος.* α) Περὶ Ἀριστέου *τὸν λόγον ποιούμενος, ἔπειτα μεταπηδᾷ πρὸς τὸ παρ'* Ἰουστίνῳ *καὶ* Ἐπιφανίῳ κτλ. *θαυμαστὸν μέρος τῆς ἱστορίας, ὅπερ* Ἀρισταῖος *κατὰ λέξιν οὐ περιέχει.* β) Οἱ *ἱεροὶ* Πατέρες, *οὓς ἐμνημόνευσεν ἐξ ὀνόματος, οὐ μόνον ὅπερ λέγει μέρος τῆς ἱστορίας ὑπερασπίζονται, ἀλλὰ καὶ τὸν ἀριθμὸν τῶν ἑρμηνευτῶν, καὶ τὸν τόπον καὶ τὸν χρόνον τῆς ἑρμηνείας, καὶ πᾶσαν τὴν βάσιν τῆς* Ἀριστηΐδος *ἱστορίας ἐπικυροῦσι.* Καὶ *τούτων αἱ ῥήσεις πρόκεινται προφανεῖς.* γ) Εἰς *ὀλίγον ἀριθμὸν συνέστειλε τοὺς* Πατέρας. Ἀνατόλιον *δὲ, καὶ* Θεωνᾶν, *καὶ* Εὐσέβιον, *καὶ* Χρυσόστομον, *καὶ* Ἐπιφάνιον, *καὶ* Κύριλλον *τὸν* Ἀλεξανδρέα, *καὶ* Θεοδώρητον, *καὶ* Τερτυλλιανὸν *τὸν ἀρχαῖον, καὶ* Ἱλάριον, *καὶ* Αὐγουστῖνον, *καὶ εἴ τις ἕτερος, πάντας τούτους παρῆλθεν ἐν σιωπῇ, οὕτω τρανῶς ἐν μέσῳ τῆς* Ἐκκλησίας *μαρτυροῦντας τὴν ἀλήθειαν σύμπασαν τῆς ἱστορίας.* δ) Ἀποῤῥίπτει (λέγει) *μετὰ τοῦ* Ἱερωνύμου *τὸ παρ' αὐτῷ σεσημειωμένον μέρος· ἀλλ' ἐπελάθετο, ὅτι μικρὸν ἀνωτέρω* (σελ. 33) *παρήγαγεν αὐτὸν τὸν θεῖον* Ἱερώνυμον « *ἀποδεχόμενον τὴν* Ἀριστέου *ἱστορίαν* » (*ἣν αὐτὸς μετὰ τῶν ὁμοφρόνων σοφῶν ὁλόκληρον ἐξενόθισε*). Τὸ *δὲ μέρος πάλιν τῆς ἱστορίας ὅπερ αὐτὸς ἀπέῤῥιψεν, εἰ καὶ* Ἱερώνυμος *ἀπέβαλε παντάπασι, καὶ εἰ καλῶς ἐποίησεν ἀποβαλὼν, καὶ εἰ μόνου τοῦ* Ἱερωνύμου *ἡ γνώμη ὑπερισχύει τῆς γνώμης ἁπάντων τῶν ἄλλων τῆς* Ἐκκλησίας Πατέρων, *ὀψόμεθα ἐν τοῖς ἐφεξῆς.*

τὴν ἑρμηνείαν τῶν Ο, μήπως οὐ συναπεδέχετο λογικῶς παρακολουθοῦσαν καὶ τὴν περὶ ταύτης ἱστορίαν, ἣν διὰ τοῦτο μάλιστα πολεμοῦσιν οἱ καινοτόμοι, διότι βεβαιοῖ τὴν παρ᾽ αὐτοῖς ἐκφαυλιζομένην ἀποστολοπαράδοτον τῶν Ο, Γραφήν; Καὶ αὐτοὶ δὲ οἱ θεοκήρυκες Ἀπόστολοι, παραδιδόντες ταύτην τῇ Ἐκκλησίᾳ, μήπως ἄλλους τινας ἐνόμιζον τοὺς ἑρμηνεῖς, ἢ οὓς ὡμολόγει πᾶσα ἡ ἀρχαία Συναγωγὴ, καὶ αὐτοὶ τῶν θείων Ἀποστόλων οἱ σύγχρονοι, Φίλων καὶ Ἰώσηπος, οἱ τὰ τοῦ Ἀριστέου πιστῶς ἀνομολογοῦντες; Ἀλλὰ περὶ τούτων οἱ μὲν φιλοκαινότεροι φρονείτωσαν τὰ δοκοῦντα· ἡμεῖς δὲ τοῖς τῶν μακαρίων ἡμῶν Πατέρων ἴχνεσιν ἑπόμενοι, καὶ ἐξ αὐτῶν δὲ τῶν σεβομένων καὶ τιμώντων τὴν ἱερὰν ἀρχαιότητα νεωτέρων, ὧν ἐμνημονεύσαμεν, συγγραφέων τὰ κράτιστα ἀπανθίζοντες, προστιθέντες δὲ καὶ εἴ τινα τῆς ἡμετέρας ἀσθενείας νοήματα, ἀπαντῶμεν πρὸς τὰς κατ᾽ Ἀριστέου κατηγορίας, ἀποδεικνύντες (τό γ᾽ ἐφ᾽ ἡμῖν) τὸ γνήσιον τῆς ἱστορίας. Ἐπειδὴ δὲ, καθὼς προείπομεν, ὕπατος τῶν κατηγόρων καὶ κύδιστος, καὶ αὐτὸ τὸ κεφάλαιον, παρ᾽ ἐκείνοις ὁμολογεῖται ὁ σοφὸς Ὅδιος, πρὸς τούτου τὴν συγγραφὴν διαιροῦμεν καὶ ἡμεῖς τὰ κεφάλαια τῶν ἀπαντήσεων, ἐπισυνάπτοντες καὶ εἴ τι μετ᾽ αὐτὸν ἐπενόησαν ἐκ περιουσίας οἱ μεταγενέστεροι τῆς πλάνης αὐτοῦ διάδοχοι.

§. ζ. Ὁ τοίνυν εὐκλεὴς τοῦ Ὀξωνίου ἀρχιδιάκονος ἀποδεχόμενος ἄσμενος, καὶ προσεπιμελαίνων δὲ μᾶλλον εἰς βάθος τὴν κατ᾽ Ἀριστέου μέλαιναν ψῆφον τοῦ Σκαλιγήρου, διακηρύττει τὴν συγγραφὴν νόθον καὶ σκότιον ἀμβλωθρίδιον οὔτε βασιλικοῦ τινος ὑπασπιστοῦ καὶ σωματοφύλακος, οὔτ᾽ ἄλλου τινος Ἕλληνος συγχρονίσαντος Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, ἀλλὰ πολὺ μεταγενεστέρου τινὸς Ἰουδαίου ἑλληνιστοῦ ἀλεξανδρινοῦ, πλάνου καὶ γόητος πλαστογράφου, ὅστις ἐῤῥαψῴδησε τὴν παχυλὴν ταύτην μυθολογίαν, ἐξαίρων διὰ τοῦ θαυμαστοῦ τὴν ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν, καὶ κῦρος αὐτῇ περιβάλλων καὶ αὐθεντίαν, πρὸς εὐδοξίαν τῶν Ἰουδαίων (ἔστι δὲ τούτων νόσημα κακόηθες καὶ παλαιὸν ἡ κενόδοξος ματαιοφροσύνη). Ὅθεν καὶ τὸ βιβλιάριον τοῦτο βρύει μὲν αὐχημάτων πολ-

λῶν καὶ ἀηδῶν καὶ αὐτόχρημα Ἰουδαϊκῶν, βρύει δὲ πολλῶν μυθαρίων καὶ ψευσμάτων, ὁποῖα καὶ ἄλλα πολλὰ πολλάκις οἱ Ἰουδαῖοι κατὰ τῆς ἱστορικῆς ἀληθείας ἐδραματούργησαν (α), νομίσαντες τοὺς μεταγενεστέρους *Μίδου ὦτα* ἔχοντας, ὄρθια πρὸς λήρους ἀναιδεῖς ἀνεπεπταμένα, καὶ κεχηνότα. Ἵνα δὲ καὶ τὸ πιθανὸν καὶ ἀξιόπιστον εἰς τὴν τετραγῳδημένην μυθοπλαστίαν περιποιήσῃ ὁ σκότιος αὐτῆς πατὴρ, ὑπεκρίθη τὸ πρόσωπον Ἀριστέου τινος, σωματοφύλακος δῆθεν τοῦ Φιλαδέλφου, συγγραφέα τὸν αὐτὸν καὶ πρόσωπον ἅμα τοῦ δράματος ἐνεργὸν παρεισαγαγών. Ἀλλ᾽ ὅμως « ὠσφράνθη • καὶ αὐτὸς ὁ ἀρχιδιάκονος (καθὼς αὐταῖς λέξεσι γράφει) « ὠσφράνθη καὶ αὐτὸς (ὡς πρῴην ὁ Σκαλίγηρος) τοῦ κνισσώδους καπνοῦ τῆς τοσαύτης μυθολογίας, ἣν ἐκεῖνος ὁ φέναξ καὶ γόης ἰουδαῖος (ὁ δῆθεν Ἀριστέας) ἐπώλει διὰ τοσούτων αἰώνων εἰς τοὺς εὐπίστους καὶ κουφόνοας » (ὁποῖοι ἦσαν δηλαδὴ οἱ περὶ τὸν Ἀριστόβουλον καὶ Φίλωνα καὶ Ἰώσηπον ἑβραῖοι ἑλληνισταὶ, καὶ πάντες οἱ πανταχοῦ τῆς Οἰκουμένης κατὰ τοὺς πρώτους αἰῶνας καὶ ἐφεξῆς ἱεροὶ Πατέρες καὶ διδάσκαλοι τῆς Ἀποστολικῆς Ἐκκλησίας, καὶ πάντες οἱ πανταχοῦ φιλολόγοι χριστιανοὶ, μέχρι Βίδου καὶ Σκαλιγήρου!). « Διὰ ταῦτα (λέγει) τοῦτον δὴ τὸν καυχώμενον σωματοφύλακα τοῦ Πτολεμαίου καὶ ὑπερασπιστὴν ἐξελαύνει καὶ αὐτὸς (ὁ Ὅδιος) ἐκ τῆς βασιλίδος αὐλῆς (τοῦ προσωπείου γυμνώσας καὶ τὴν σκευὴν ἀποῤῥήξας), καὶ ἀποπέμπει κλαίοντα εἰς τὰς ἐν Ἀλεξανδρείᾳ καταγείους τῶν Ἰουδαίων φωλεὰς, ὅθεν ἐξελθὼν εἰσῆρψεν ἀποτετριμμένῳ μετώπῳ καὶ εἰς αὐτὰ τὰ ἀνάκτορα. Καὶ λοιπὸν ὁ πρῴην ἐν Σεραπείῳ χώραν ἄσυλον ζητῶν (ὡς εἷς δηλαδὴ τῶν ἐν ἐκείνῃ τῇ βιβλιοθήκῃ γνησίων ἑλληνικῶν συγγραφέων), ἤδη κάθηται ἐν τῇ Συναγωγῇ, λήρους μηχανοῤῥαφῶν, καὶ κροτάλια τινα ἢ κροτοπαίγνια τοῖς εὐπίστοις (ὡς ἄν τισι παιδαρίοις) ἀπεμπωλῶν ». — Ταῦτα ὁ κλεινὸς Ὅδιος· ἀλλὰ μετ᾽ ὀλίγον προχωρῶν ἐξέβαλε παντάπασι τὸν δύστηνον

(α) Οἷον πολλὰ τῶν ἀποκρύφων, τῶν ὑπὸ τῆς Ἐκκλησίας ὡς νόθων ἀποκεκηρυγμένων. Βλ. Van-Dale Diss. super Aristea etc. pag. 7.

καὶ ἐξ αὐτῆς τῆς ὑπογείου Συναγωγῆς, ῥαββίνους τινας ἐπαγαγὼν μάρτυρας, ἐξελέγχοντας τὸ ψεῦδος τῆς ἱστορίας τῶν Ο, (ὡςὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ). Καὶ ἤδη (ὅσον γοῦν ἐκ τῆς Ὀδίου ψήφου) πλανᾶται ῥεμβόμενος ὁ τάλας Ψευδαριστέας, ἄπατρις καὶ ἄστεγος·

« Καὶ ἓ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·
Φοιτᾷ δ᾽ οὔτε θεοῖς τετιμένος, οὔτε βροτοῖσιν » !

§. η. Ἀλλ᾽ εἰ μὲν δικαίως οἱ περὶ τὸν Ὅδιον ἐψηφίσαντο ταῦτα κατ᾽ Ἀριστέου, δείξουσιν ἃς ἐπάγουσιν ἐφεξῆς αἱ ἀποδείξεις. Ἐν δὲ τῷ μεταξὺ, παρὰ τοὺς τοιούτους πρὸ τῆς νίκης παιᾶνας, καὶ τὰς πρὸς τὸ δοκοῦν διαπαιζομένας μεταμορφώσεις τοῦ Ἀριστέου, πολὺ σεμνότερα καὶ λογικώτερα ποιοῦσιν ὅσοι σπουδάζουσιν εὑρεῖν ἐκ τῆς ἱστορίας, εἴ τις ἦν ποτε, καὶ ὅστις οὗτος ὁ Ἀριστέας. Καὶ οἱ μὲν περὶ τὸν Σίμλερον εἰκοτολογοῦντες ὑπέλαβον τὸν αὐτὸν καὶ τὸν Φιλαδέλφῳ σύγχρονον ἐκεῖνον Ἀριστέα, τὸ γένος ἕλληνα, ὅστις συνέγραψε « *Πράξεις Πτολεμαίου τοῦ Φιλαδέλφου βασιλέως Αἰγύπτου* ». Ὁ δὲ Παμέλιος ἐθέλει πάντως ταύτην δὴ τὴν λεγομένην ἱστορίαν τῶν *Φιλαδέλφου πράξεων* μηδὲν ἕτερον οὖσαν, ἢ αὐτὴν τὴν Ἀριστηΐδα διήγησιν τῶν ὑπὸ τοῦ Φιλαδέλφου πεπραγμένων πρὸς ἑρμηνείαν τοῦ νόμου τῶν Ἰουδαίων (α). Ταῦτα βούλεται καὶ Ὅδιος, ὀρθῶς κρίνων καὶ σοφῶς. Οὐδὲ γὰρ ὠνόμασεν οὐδεὶς τῶν ἀρχαίων τοιαύτην Ἀριστέου συγγραφὴν ἱστοροῦσαν *πράξεις τοῦ Φιλαδέλφου*. Ἀλλόγλωσσος δέ τις τῶν ἡμι-

---

(α) Jac. Pamelij in Tertull. Apoleg. not. 270, καὶ Angelus Roccha in catalogo auctor. praefix. in Biblioth. Vaticana, καὶ Simlerus Epit. Bibl. Gesn. παρ᾽ αὐτῷ τῷ Ὀδίῳ σελ. 2. Ἀλλ᾽ ὁ Σίμλερος τοῦτον τὸν Ἀριστέα νομίζων συγγραφέα καὶ ἄλλου βιβλίου τοῦ περὶ Μύθων, καὶ τρίτου τοῦ περὶ Θαυμασίων, συνέχεεν εἰς ἕνα τρεῖς ὁμωνύμους συγγραφεῖς. Δράματα ἢ Μύθους συνέγραψεν Ἀριστέας ὁ Φλιάσιος· τὸ δὲ περὶ Θαυμασίων, ἂν ὑπάρχει (κατὰ τὴν Ὀδίου γνώμην) τὸ αὐτὸ καὶ τὰ Ἀριμάσπια ἔπη (ἱστορία τῶν ὑπερβορρείων Ἀριμασπῶν, πλήρης θαυμασίων ἀκουσμάτων), ἔγραψεν ἄλλος Ἀριστέας ὁ Προικοννήσιος « γόης ἀνὴρ, εἴ τις ἄλλος » (Στράβ. ιγ. 589.). Τούτων τῶν ἐπῶν ἔχει τινὰ Λογγῖνος (π. Ὕψ. I. 4.). πρβ. καὶ Γέλλιον (Noct. Attic. IX. 4). Εὐσεβ. Εὐαγ. προπαρ. σελ. 465. Παυσαν. Α, 24. καὶ ε, 7. Ἡρόδοτ. δ, 13—15 : Σουΐδ. κτλ.

μαθῶν, ᾧ τινι κατηκολούθησε πιστεύσας ὁ Σίμλερος, τὴν εἰς ἑρμηνείαν τῶν Γραφῶν πρᾶξιν τοῦ Φιλαδέλφου, *πράξεις* ἡρμήνευσεν ἁπλῶς (gesta), καὶ οὕτως εἰσήγαγε τὸν Ἀριστέα ἱστοροῦντα πάντα τῆς Φιλαδέλφου βασιλείας τὰ πρακτικά (ὥς καί τις ἄλλος, ὁ Σχάρδιος, τὴν Ἀριστέου ἱστορίαν ἀνέφερεν ἐκ τοῦ Καμεραρίου, ὡς δῆθεν ἱστοροῦσαν συνδιαλέξεις τοῦ βασιλέως, καὶ τὰ τῆς Φάρου δωμάτια, κτλ.). Ταῦτα τοίνυν ὀρθῶς Ὅδιος ἀπέῤῥιψε. Καί τοι ἄλλως, ἐπικυρῶν τὸν παρὰ Σιμλέρῳ Ἀριστέα τὸν αὐτὸν εἶναι καὶ τὸν ἡμέτερον, φαίνεταί πως καθ᾽ ἑαυτοῦ γνωματεύων. Εἰ γὰρ ὁ παρὰ τῷ Παμελίῳ καὶ Σιμλέρῳ φερόμενος Ἀριστέας συνέγραψεν *ἐπὶ Φιλαδέλφου* τὰ παρ᾽ αὐτοῦ πεπραγμένα πρὸς ἑρμηνείαν τῶν ἑβραϊκῶν Γραφῶν, ὁμολογεῖ λοιπὸν ἐκ προοιμίων ὁ Ἀρχιδιάκονος ὅσα πολεμῶν ἀνατρέπει δι᾽ ὅλης τῆς συγγραφῆς (ἀπισχυριζόμενος ἀπ᾽ ἀρχῆς μέχρι τέλους, ὅτι οὐδεὶς Ἀριστέας συνέγραψεν ἐπὶ Φιλαδέλφου τὴν καθ᾽ ἡμᾶς περιφερομένην ἱστορίαν τῆς ἑρμηνείας τῶν Ο) (α). Καὶ ταῦτα μὲν οὕτως. Ἄλλη δέ τις φέρεται γνώμη περὶ τοῦ καθ᾽ ἡμᾶς Ἀριστέου, ἡ ἐφεξῆς. Ὅτι οὗτος ὑπῆρχε Κύπριος τὴν πατρίδα, καθὼς συμπεραίνεται πιθανώτατα καὶ ἐξ ὧν αὐτὸς ἔγραψεν ἐν τῇ συγγραφῇ πρὸς τὸν ἀδελφὸν Φιλοκράτη, «προσφάτως (λέγων) αὐτὸν παραγεγενημένον *ἐκ τῆς νήσου*» κτλ. (β). Ἡ δὲ (κατ᾽ ἐξοχὴν, ἢ καὶ ὡς γνωστὴ πρὸς τὸν ἀδελφὸν ἀνωνύμως μνημονευομένη) νῆσος, ἡ Κύπρος, ὑπῆρχε τότε τῶν Πτολεμαίων ὑπήκοος, ὑπὸ τοῦ α, Πτολεμαίου κυριευθεῖσα, καθὼς ἄλλοι τε καὶ Στράβων ἱστόρησε λέγων «Ἀφ᾽ οὗ δ᾽ οἱ Πτολεμαϊκοὶ βασιλεῖς κύριοι τῆς Αἰγύπτου κατέστησαν, εἰς ἐκείνους καὶ ἡ Κύπρος περιέστη» (ΙΔ. σελ. 684). Καὶ τ᾽ ὄνομα δὲ Ἀριστέας καὶ Ἄριστος καὶ Ἀριστεὺς κτλ. ὑπῆρχε σύνηθες καὶ παρὰ Κυπρίοις οὐχ ἧττον,

---

(α) « Philadelphi gestorum historia, quam scriptit Aristeus sub Ptolemaco Philadelphi Aegypti rege, nihil aliud est quam descriptio haec rerum a Philadelpho in legis interpretatione gestarum. » Hody Lib. I. c. 1. §. 3. pag. 2.

(β) 'Αριστ. ἐκδ. Hody pag. I. Κύπριον αὐτὸν τὸ γένος ὁμολογεῖ καὶ Fabriciu Bibl. Graec. vol. 3. pag. 660 ἐκδ. Harl.

ἢ παρὰ τοῖς ἄλλοις τῆς Ἑλλάδος λαοῖς· τοιοῦτοι Κύπριοι μεταξὺ τῶν ἄλλων μνημονεύονται Ἄριστός τε ὁ Σαλαμίνιος, ἐθνικὸς συγγραφεὺς (α), καὶ Ἀριστίων, Χριστοῦ μαθητὴς (β). Ὁ δὲ Θεόκριτος καὶ Ἄριστίν τινα ἐπαινεῖ, ζῶντα κατ' αὐτὸν (ἐπὶ Φιλαδέλφου).

« . . . . οἶδεν Ἄριστις,
Ἐσθλὸς ἀνὴρ μέγ' ἄριστος· ὃν οὐδέκεν αὐτὸς ἀείδεν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι » (γ).

Τοῦτον τοίνυν ὁ σοφὸς Δεμάγιστρος νομίζει τὸν αὐτὸν καὶ τὸν ἡμέτερον Ἀριστέα, κατὰ συγκοπὴν ποιητικὴν ἐξενεχθέντος τοῦ ὀνόματος (δ). Εἰ δὲ τὸν Ἄριστιν τοῦτον οὐ μόνον *ἐσθλὸν ἄνδρα*, ἀλλὰ καὶ κιθαρῳδὸν ἄριστον ἐζωγράφησεν ὁ Θεόκριτος (ὡς ἡρμήνευσε καὶ ὁ σχολιαστὴς), ὁ δ' ἡμέτερος Ἀριστέας ὑπῆρχε κατὰ τὴν αὐλὴν *ὑπασπιστὴς* καὶ πολεμικὸς, ἀλλὰ καὶ ἄλλοι « *τόξων τε καὶ μάχης εὖ εἰδότες πάσης* », ἤσκουν καὶ Μουσικὴν, ὄντες οἱ αὐτοὶ « καὶ θεράποντες ἐνυαλίοιο ἄνακτος, καὶ μουσέων ἐρατῶν δῶρον ἐπιστάμενοι » (ε)· καὶ αὐτὸς ὁ λεοντόθυμος Ἀχιλλεὺς « *ἄειδε κλέα ἀνδρῶν ἐν φόρμιγγι λιγείῃ* ». Ἂν δέ τις, τέλος, αὐστηρότερον ἀντιτείνων ἄλλον πάντως ἐθέλῃ τὸν Ἄριστιν τοῦτον, τοῦ Ἀριστέου διάφορον, ἀλλ' ὅμως ὁμολογήσει κἂν (ὡς νομίζομεν) ὅ,περ καὶ αὐτὸς ὁ Ὄδιος φαίνεταί πως συγχωρῶν, ὅτι ὁ ἡμέ-

---

(α) « Ἐκ Σαλαμῖνος (τῆς ἐν Κύπρῳ) ἦν Ἄριστος ὁ συγγραφεὺς » (Στράβ. ιδ. σελ. 682)· ἴσως ὁ αὐτὸς καὶ ὁ παρὰ τῷ Ἀῤῥιανῷ « Ἄριστος, καὶ Ἀσκληπιάδης τῶν τὰ τοῦ Ἀλεξάνδρου ἀναγραψάντων » (Ἀλ. Ἀναβ. σελ. 294. ἐκδ. Gron.).

(β) Εὐσέβ. ἐκκλ. ἱστορ. Γ. 39. καὶ Hieronym. Script. Eccles. v. Papias. πρβλ. καὶ Νεοφύτου Ῥοδινοῦ Κυπρίου περὶ τῶν ἐνδόξων ἀνδρῶν τῆς Κύπρου, ἐν τῇ ὑπὸ τοῦ ἀρχιμανδρ. Κυπριανοῦ Χρονολογ. ἱστορίᾳ τῆς νήσου Κύπρου. σελ. 346. Ἐνετίῃσ. 1788. (γ) Θεόκρ. Εἰδ. ζ. 99.

(δ) S. Demagist. in Δανιὴλ κατὰ τοὺς Ο. σελ. 533. Ὁ δὲ σοφὸς Ῥεΐσκιος ἐν ταῖς εἰς Θεόκριτον ἐπιστασίαις ὑποπτεύεται γραπτέον παρὰ τῷ ποιητῇ Ἀριστῆς (συναιρέσει τοῦ Ἀριστέας), ἢ τοῦτο κατὰ συνίζησιν ἐκφερόμενον (J. Reiske Animadv. ad Theocr. Idil. VII. v. 99. pag. 192 Tom. 2. Vien. 1766.) Ἀλλ' οὔτε τὸ κατὰ συνίζησιν φαίνεται πιθανὸν, καὶ τὸ πάμπαν ἀνήκουστον Ἀριστῆς ὁμοιάζει τὸ Ἀριστεῖος (βλ. ὄπισθεν §. γ. σημ.). Ἐατέον τοίνυν (οἶμαι) κατὰ χώραν τὸ Ἄριστις, ὡς ἀποκοπὴν τοῦ Ἀριστέας, ἢ Ἀριστίων, καθὼς καὶ τὸ Ἄλεξις, ἀποκοπὴ τοῦ Ἀλέξιος (καὶ Ἀλέξων. κτλ.), καὶ τὸ Λύσις, ἐκ τοῦ Λυσίας, Λύσιος, καὶ τὰ τοιαῦτα (πρβλ. καὶ Bentlei. Epist. ad J. Millium). (ε) Ἀρχίλοχ. παρ' Ἀθην. ΙΔ, 627.

τερος Ἀριστέας, ἢ Ἀρισταῖος ὑπῆρχε γοῦν ὁ αὐτὸς καὶ Ἄριστος, ἢ Ἀρισταῖος ὁ Κύπριος, ὅστις μετ' ἄλλου πάλιν (ἑτέρου παρὰ τὸν Φιλοκράτην) ἀδελφοῦ, τοῦ Θεμίσωνος, διῴκει τὴν βασιλείαν Ἀντιόχου, Συρίας βασιλέως, συγχρόνου καὶ γαμβροῦ τοῦ Φιλαδέλφου (Μετέβη δὲ ἴσως εἰς τὴν Συρίαν ὁ Ἀρισταῖος μετὰ τοῦ ἀδελφοῦ, συνοδεύων ὕστερον τῇ θυγατρὶ τοῦ Φιλαδέλφου Βερονίκῃ, ἣν ὁ πατὴρ συνῆψεν εἰς γάμον πρὸς τὸν Ἀντίγονον, συνθηκῶν γενομένων εἰς κατάπαυσιν τοῦ μακροῦ πολέμου). «Καὶ Ἀντίοχον δὲ τὸν βασιλέα (λέγει ὁ Αἰλιανὸς) φασὶν οἰνεραστὴν γενέσθαι· διὰ ταῦτά τοι καὶ τὴν βασιλείαν αὐτῷ διῴκουν Ἀρισταῖός τε καὶ Θεμίσων οἱ Κύπριοι» κτλ. Καὶ πολὺ πρὸ τοῦ Αἰλιανοῦ τὰ αὐτὰ ἱστόρησεν ὁ Φύλαρχος παρὰ τῷ Δειπνοσοφιστῇ, ὅστις καὶ *Ἄριστον* γράφει τὸν *Ἀρισταῖον* (α). Τοῦτον τοίνυν τὸν Ἀρισταῖον, τὸν Ἀντιόχου φίλον, οὐδὲν κωλύει ἄν τις ἐκλάβῃ τὸν αὐτὸν καὶ τὸν ἡμέτερον Ἀρισταῖον· ὡμολόγησε δὲ καὶ Ὅδιος· πλὴν ἀλλὰ καὶ ὧδε, καθὼς εἴωθεν ὁ περινούστατος ἀνὴρ, ἐπλήρωσε τὰ πάντα καπνοῦ καὶ ἀσβόλης ὑπονοιῶν. «*Ἴσως* (λέγει) μᾶλλον ἀνήκει ἐνταῦθα Ἀρισταῖος ἐκεῖνος ὁ Κύπριος, κατὰ τὸν αὐτὸν αἰῶνα Φιλαδέλφῳ συνακμάσας, εἷς τῶν δύω πρώτων ἀρχόντων, οἵτινες ἐπ' Ἀντιόχου τοῦ βασιλέως τὴν Συρίας βασιλείαν διῴκουν. Καὶ *ἴσως* ἂν ἐπέλθοι τισὶ προχείρως ὑπονοῆσαι, ὅτι ἐκείνου τοῦ Ἀρισταίου ἡ φήμη παρέσχε λαβὴν εἰς τὸν ἡμέτερον συγγραφέα, κατασκευάσαι τὸν ἴδιον αὐτοῦ μῦθον ὑπὸ τ' ὄνομα τοῦ Ἀρισταίου· διὰ τοῦτο καὶ παρέστησεν αὐτὸν ὁ μυθογράφος πάνυ τίμιον καὶ περισπούδαστον παρὰ τῷ Φιλαδέλφῳ» (ἀντὶ τῷ Ἀντιόχῳ δηλονότι, συγχύσας ἐξ ἀμαθείας τοὺς βασιλεῖς). — Ἄν τις ταῦτα πείθῃ ἑαυτὸν, πρὸς τοῦτον (λέγει) οὐκ ἀντιλέγομεν» κτλ. (β). Οὕτως ὁ σοφὸς

(α) Ἀθήν. I, 438. πρβλ. Αἰλιαν. π. ἱστορ. β, 41.

(β) Hody ubi supr. I. α. §. 4. Ὁ Ὅδιος (αὐτόθι) μνημονεύει ἐξ ἐπιγράμματος τοῦ Καλλιμάχου καὶ ἄλλον κατὰ τοὺς αὐτοὺς ἀκμάσαντα χρόνους οὐχὶ Ἀ ρ ι σ τ έ α ν (καθὼς αὐτὸς ἔγραψεν Aristeam) ἀλλ' Ἀ ρ ι σ τ α ῖ ο ν, πατέρα Θήριδος δολιχοδρόμου τοῦ Κρητός. Ἰδοὺ τὸ ἐπίγραμμα·

« Σύντομος ἦν ὁ ξεῖνος, κ α ὶ ὁ τ ά φ ο ς » (ἴσ. γρπ. ὃ κ α ὶ τ ά φ ο ς, τουτέστι,

ἀνὴρ διὰ τοῦ *ἴσως* καὶ τοῦ *ἴσως* ἀλλοκότους ὑποψίας ἐξυφαίνων ἀντεισάγει ταύτας πολλάκις πρὸς ἀναίρεσιν πάσης πιθανότητος, καὶ αὐτῶν (ὅταν τύχῃ) τῶν ἱστορικῶν ἀληθειῶν.

§. θʹ. Ἀλλ' ὅτι μὲν Ἀριστέας τις ὑπῆρχε, Κύπριος τὴν πατρίδα, ζῶν ἐπὶ Φιλαδέλφου, τοῦτο γοῦν ἔχομεν προφανὲς ἐκ τῆς ἱστορίας (συναινοῦντος καὶ τοῦ Ὀδίου). Ὡσαύτως ἔχομεν ἐκ τοῦ Ἰωσήπου καὶ ὅτι ὁ Κύπριος οὗτος Ἀριστέας ὑπῆρχεν εἷς τῶν πρώτων τοῦ Φιλαδέλφου σωματοφυλάκων, ἢ *ὑπερασπιστὴς* αὐτοῦ (καθὼς ἔγραψεν ὁ Ἱερώνυμος) (α), *ὑπασπιστὴς* δηλονότι (ὁποῖοι μνημονεύονται οἱ περὶ τὸν Ἄδμητον Ἀλεξάνδρου ὑπασπισταὶ (β), καὶ Νεοπτόλεμος τοῦ αὐτοῦ βασιλέως ἀρχιυπασπιστής. Πλούταρχ. Εὐμέν. §. ά.). Ἀλλ' οἱ περὶ τὸν Ὅδιον ἀμφιβάλλουσι καὶ περὶ τούτου τοῦ ἀξιώματος, διότι (λέγουσιν) οὐδ' αὐτὸς ὁ Ἀριστέας ἀπένειμεν εἰς ἑαυτὸν τοῦτο τὸ ἀξίωμα· ἐν γὰρ τῇ παρ' αὐτῷ τοῦ Φιλαδέλφου πρὸς τὸν ἀρχιερέα Ἐλεάζαρον ἐπιστολῇ, εἰσάγει τὸν βασιλέα γράφοντα

ὅπερ ἐστὶ καὶ ὁ τάφος, σύντομος δηλαδὴ καὶ μικρὸς (ἢ γρ. δου τάφος) « οὐ μακρὰ λέξω·

« Θῆρις Ἀρισταίου, Κρής, ὑπ' ἐμοὶ δολιχόν ».

(Ἐπιγρ. Βιβλ. Γ. σελ. 285. ἐκδ. Βροδ.). Ἀλλ' οὗτος ὁ ξένος (Κρής τις ὢν καὶ αὐτὸς, ὡς καὶ Θῆρις ὁ υἱὸς) Ἀρισταῖος, οὐδὲν ἔχει κοινὸν πρὸς τὸν προκείμενον. Ὡς οὐδὲ τοσοῦτοι ἄλλοι Ἀρισταῖοι, Ἀριστέαι, Ἀριστεῖς διαφόρων χρόνων καὶ τόπων, Ῥόδιοι, Ἀργεῖοι, Κροτωνιᾶται, οὓς ἐμνημόνευσεν ὁ σοφὸς ἀνὴρ ἐν ὑποσημειώσει (αὐτ. σελ. 2), λιπαρᾶς πολυαναγνωσίας ἐπίδειξιν ποιούμενος.

(α) Hieronym. Praef. ad Pentat. Τοῦτο τὸ ὑ π ε ρ α σ π ι σ τ ὴ ς οὐ πάνυ τι ἑ λ λ η ν ι κ ῶ ς ἡρμήνευσεν Οὔγων ὁ Καρδινάλιος λέγων, « λ ί α ν π ι σ τ ὸ ν », ἐτυμολογῶν ἐκ τῆς ὑ π ὲ ρ (id est valde) καὶ τοῦ π ί σ τ ι ς (id est fides !)· ἢ (προστίθησιν) « ἐ κ τ ῆ ς ὑπὲρ, id est super, καὶ τοῦ pistan (πίσταν !) ». Τοῦτο δὲ τὸ π ί σ τ α ν ἑρμηνεύεται παρ' αὐτῷ, ὑπογραφεὺς (Notarius), καὶ assistens, παρεστὼς, ἢ ἐφεστὼς, ἐ π ι σ τ ά τ η ς· ὅθεν φαίνεται ὅτι ἔπλασεν ὁ Οὔγων τὸ P i s t a n. (Hugo Card. Annot. in S. Hieron. Pref.). Κατεγέλασε τὴν Οὔγωνος ἀμάθειαν ὁ Ἔρασμος (in Oper. Hieron. Tom. IV. pag. 6. πρβλ. καὶ Th. Ittigij proleg. in Edit. Josephi). Ἐπανέλαβε τὰ τοῦ Οὔγωνος καὶ Ὅδιος (I. 1. §. 1.)· ἀλλ' οὐδὲν παράδοξον εἴπερ ἑλληνισταὶ ξένοι (καὶ μάλιστα οἱ πλεῖστοι τῶν κατὰ τοὺς Οὔγωνος χρόνους,) οὐκ ἐξακριβοῦσι τὰ ἑλληνικά. Παράδοξον φαίνεται ὅτι τοιοῦτοί τινες ὄντες ἐπεχείρησαν διορθοῦν καὶ αὐτοὺς τοὺς Ἕλληνας συγγραφεῖς !

(β) Ἀρριαν. Ἀλ. Ἀναβ. Β. σελ. 100. ἐκδ. Gronov.

ταῦτα· «Ἀπεστάλκαμεν δὲ περὶ τούτου Ἀνδρέαν τε τὸν ἀρχισωματοφύλακα καὶ Ἀριστέαν τιμωμένους παρ᾽ ἡμῖν» κτλ. Ἀλλ᾽ ἀδίκως φαίνεται καὶ ταῦτα ὑπονοήσας ὁ μέγας ἀνήρ· διότι αὐτὸς μὲν ὁ Ἀριστέας οὐδὲν ἕτερον ἐπώνυμον ἑαυτοῦ ἔγραψεν, εἰ μὴ μόνον ἁπλῶς τὸ κύριον ὄνομα. Τὸ δὲ μνημονευόμενον χωρίον τῆς ἐπιστολῆς τοῦ βασιλέως ἔχει τὸ ἐπίθετον, τὸ ἀρχισωματοφύλακα, τεταγμένον μεταξὺ τῶν ἑκατέρωθεν παρακειμένων ὀνομάτων, ὡς ἀνῆκον κατὰ ζεῦγμα εἰς ἀμφοτέρους, Ἀνδρέαν τε καὶ Ἀριστέα· ὅθεν ἐπιφέρεται καὶ πληθυντικῶς ἡ μετοχὴ «*τιμωμένους* παρ᾽ ἡμῶν». Οὕτως ἐξέλαβε τὴν φράσιν καὶ Ἰώσηπος λέγων, «Ἀνδρέαν τε καὶ Ἀριστέα τὴν τοῦ σώματος αὐτοῦ φυλακὴν ἐγκεχειρισμένους» (α). Ὅτι δὲ ἦσαν καὶ ἄλλοι παρὰ τὸν Ἀνδρέαν ἀρχισωματοφύλακες τοῦ βασιλέως, τουτέστιν «*ἄρχοντες τῶν σωματοφυλάκων*» (ὡς ἐξήγησε πάλιν ὁ Ἰώσηπος Ἀρχ. ΙΒ. §. ϐ.), μαρτυρεῖ πάλιν αὐτὸς Ἀριστέας (§. ε.) ὀνομάζων «Σωσίβιόν τε τὸν Ταραντῖνον καὶ Ἀνδρέαν *τοὺς ἀρχισωματοφύλακας*» (ἦσαν δὲ οἱ τοιοῦτοι ἄρχοντες, ἢ καὶ ἀξιωματικοὶ τῆς βασιλικῆς φρουρᾶς, παρακολουθοῦντες τοῖς βασιλεῦσι, καὶ παραμένοντες ἐν τοῖς βασιλείοις, ὡς οἱ παρὰ Ῥωμαίοις praefecti satelitum, οἷς ἄν τις παρεικάσειεν ὁπωσδήποτε καὶ τοὺς καθ᾽ ἡμᾶς officiers de la garde)· ἀλλὰ περὶ τούτων μηκύνειν τὸν λόγον φαίνεται περιττόν. Ὀλίγον ὠφελεῖ τὸ γινώσκειν ἀκριβῶς τὴν Ἀριστέου πατρίδα καὶ τὴν ἀξίαν, τὸ δὲ τὴν ἕξιν καὶ τὸ ἦθος καὶ τὴν σπουδὴν τοῦ ἀνδρὸς καταμαθεῖν διαφέρει παρὰ πολύ· ταῦτα τοίνυν πληροφορούμεθα ἐκ τῶν ἐφεξῆς.

§. ι. Ἀλέξανδρος ὁ Πολυΐστωρ (ἤκμαζε δὲ οὗτος Ὀλυμπ. ρο.) μνημονεύει παρ᾽ Εὐσεβίῳ συγγράμματός τινος Ἀριστέου, ἐπιγεγραμένου *περὶ Ἰουδαίων*, ἐξ οὗ προστίθησι κατὰ λέξιν ὁ Πολυΐστωρ τὴν ἐφεξῆς περικοπήν· «Ἀριστέας δὲ φησὶν *ἐν τῷ περὶ Ἰουδαίων, τὸν Ἡσαῦ γήμαντα Βασσάρας υἱὸν* (γρφ. τῶν

(α) Ἰώσ. κ. Ἀπίων. Β. §. δ.

υἱῶν Ἡσαῦ υἱὸν γήμαντα Βοσσόραν· βλ. Ἰὼϐ μϐ, 17), «ἐν Ἐδὼμ, γεννῆσαι υἱὸν (γρφ. *'Ιώϐ*)· κατοικεῖν δὲ τοῦτον ἐν τῇ Αὐσίτιδι χώρᾳ, ἐπὶ τοῖς ὅροις τῆς Ἰδουμαίας καὶ Ἀραϐίας· γενέσθαι δὲ αὐτὸν δίκαιον καὶ πολύκτηνον· — τοῦτον δὲ τὸν Ἰὼϐ πρότερον Ἰωϐὰμ (γρ. Ἰωϐὰϐ) ὀνομάζεσθαι » κτλ. (α). Ἐκ ταύτης τῆς λαμπρᾶς περικοπῆς, ἐν ᾗ τὰ κατὰ τὸν θεῖον Ἰὼϐ ἀκριϐῶς ἱστοροῦνται, φαίνεται ὅτι τὸ *περὶ 'Ιουδαίων* πόνημα τοῦ Ἀριστέου περιεῖχεν ὑπομνήματα εἰς τὴν Ἰουδαϊκὴν, καὶ πᾶσαν τὴν ἱερὰν ἱστορίαν. Καὶ ἄλλο δὲ τοῦ αὐτοῦ Ἀριστέου βιϐλίον ὁ Εὐσέϐιος μνημονεύει τὸ «*περὶ τῆς ἑρμηνείας τοῦ τῶν 'Ιουδαίων νόμου*» (ϐ), ἤγουν αὐτὴν τὴν μέχρι καὶ εἰς ἡμᾶς διασωθεῖσαν περὶ τῆς ἑρμηνείας τῶν Ο, συγγραφὴν (τὴν πρὸς τὸν Φιλοκράτην ἐπιστολὴν), ἣν ἐχαρακτήρισεν ὁ Εὐσέϐιος ῥητῶς ὀνομάσας οὐχὶ «*περὶ τῶν 'Ιουδαίων*», ἀλλὰ *περὶ τῆς ἑρμηνείας τοῦ νόμου τῶν 'Ιουδαίων* (γ). Πρόσθες, ὅτι καὶ αὐτὸς Ἀριστέας ἐν ἀρχῇ τῆς ἐπιστολῆς μνημονεύει καὶ ἄλλης, ἣν διέπεμψε

(α) Παρ' Εὐσεϐ. Εὐαγ. Προπαρ. Θ. σελ. 251, ἐκδ. Lutet. 1554. καὶ Ὀλυμπιόδ. Σειρ. εἰς Ἰώϐ. Ταύτην τὴν 'Αριστέου περὶ τοῦ Ἰὼϐ ἱστορικὴν ἔκθεσιν ὠνόμασεν ὁ Ὀλυμπιόδωρος καὶ ὑπόμνημα τοῦ Ἀριστέου εἰς τὸν 'Ιώϐ· μνημονεύει δὲ τοῦτο ὡς ἐκ τῆς Εὐσεϐίου ἐκκλησιαστικῆς ἱστορίας (εἴτε τὴν εὐαγγελικὴν τοῦ Εὐσεϐίου προπαρασκευὴν ἐννοῶν, εἴτε καὶ μνήμης ἁμαρτίᾳ τὴν ἑτέραν ὀνομάσας ἀντὶ τῆς ἑτέρας τοῦ Εὐσεϐίου συγγραφῆς). Ὁ δὲ κλεινὸς Ὅδιος, ἄγνοιαν πλασάμενος, ὑποδάκνει τὸν Ὀλυμπιόδωρον λέγων « Μέμνηται Ὀλυμπιόδωρος ὡς ἐκ τῆς Εὐσεϐίου ἐκκλησ. ἱστορίας καί τινων ὑπομνημάτων εἰς τὸν 'Ιὼϐ ὑπ' 'Αριστέου συγγεγραμμένων· ἀλλὰ τοιούτων ὑπομνημάτων μνήμην παρ' Εὐσεϐίῳ ματαίως ζητήσεις (Hody Ii. §. 2.) Καὶ ὅμως ὁ τοιαῦτα περὶ τοῦ Ὀλυμπιοδώρου λέγων ἀκριϐὴς κριτικὸς εἴτε ἄκων εἴθ' ἑκὼν ἐπελάθετο, οὐδ' ἐμνημόνευσεν αὐτόθι κατὰ σειρὰν καὶ τὸ ἕτερον τὸ παρ' Εὐσεϐίῳ τοῦ αὐτοῦ 'Αριστέου βιϐλίον, τὸ περὶ τῆς ἑρμηνείας τοῦ τῶν 'Ιουδαίων νόμου, περὶ οὗ λέγομεν εὐθὺς ἀνωτέρω.

(ϐ) Εὐσεϐ. Εὐαγ. Προπ. Θ. σελ. 266. Βλ. καὶ Fabric. Biblioth. Gr. L. IV c. VI.

(γ) Ὁ δὲ κλεινὸς Μοντεφαλκώνιος (Prælim. in Hexapl. C. III. §. IX), καὶ ἄλλοι τῶν νεωτέρων, κακῶς ἐξέλαϐον ὡς ἓν καὶ τὸ αὐτὸ βιϐλίον τό, τε περὶ 'Ιουδαίων· καὶ τὸ περὶ τῆς ἑρμηνείας τοῦ τῶν 'Ιουδαίων νόμου. Οὔτε τὸ παρὰ τῷ Πολυΐστορι μνημονευόμενον ἀνωτέρω χωρίον τοῦ Ἀριστέου εὑρίσκεται ἐν τῷ περὶ τῆς ἑρμηνείας· καὶ μόνη ἡ ἐπιγραφὴ παρίστησι τῶν δύω συγγραφῶν τὴν διαφοράν.

πρότερον πρὸς τὸν ἀδελφὸν Φιλοκράτην, ἰδίας *ἀναγραφῆς* (τουτ. συγγραφῆς) « ἣν μετελάβομεν, λέγει, παρὰ τῶν κατὰ τὴν Αἴγυπτον λογιωτάτων Ἀρχιερέων τοῦ γένους τῶν Ἰουδαίων ». Τοῦτο δὲ τὸ βιβλίον φαίνεται διάφορον τοῦ προμνημονευθέντος ἱστορικοῦ *περὶ τῶν Ἰουδαίων* συντάγματος (κἂν Ὅδιος πειρᾶται συγχέειν ἀμφότερα)· διότι ταύτην *μὲν τὴν ἀναγραφὴν* (ὡς λέγει ῥητῶς) συνέγραψεν ὁ Ἀριστέας ἐξ ὧν μετέλαβε γνώσεων παρὰ τῶν Ἀρχιερέων. Τὸ δὲ *περὶ τῶν Ἰουδαίων* συνέταξεν ὕστερον, ἐξ αὐτῆς ἀναλεξάμενος τῆς ἑρμηνείας τῶν ἱερῶν Γραφῶν, ὡς δείκνυσιν ἡ φράσις τοῦ παρὰ τῷ Πολυΐστορι προμνημονευθέντος ἐκ τοῦ Ἰὼβ ἀποσπάσματος· καὶ περὶ τούτου μὲν λέγομεν καὶ ἀλλαχοῦ. Ἐξ ὧν δὲ ὁ Εὐσέβιος αὐτός τε καὶ ἐκ τοῦ Πολυΐστορος ἐμνημόνευσεν ἀνωτέρω, καταφαίνεται λαμπρῶς, ὅτι ὁ πατὴρ τῆς *περὶ τῆς ἑρμηνείας τοῦ τῶν Ἰουδαίων νόμου* συγγραφῆς (ἣν καὶ ταύτην πάντως μετὰ τὴν ἑρμηνείαν συνέγραψεν), ὁ Κύπριος Ἀριστέας ὁ τοῦ Φιλαδέλφου ὑπασπιστὴς, ἢ ἀρχισωματοφύλαξ, συνέγραψε καὶ ἱστορικά τινα περὶ τῶν Ἰουδαίων ὑπομνήματα, ἀκολουθῶν τὸ παράδειγμα τοῦ τε Δημητρίου τοῦ Φαληρέως (περὶ οὗ λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ), καὶ Ἑκαταίου τοῦ Ἀβδηρίτου, ὅστις καὶ αὐτὸς συνέγραψεν Ἰουδαϊκὰ, τοὺς Ἰουδαίων νόμους καὶ τ᾽ ἄλλα τὰ καλὰ τοῦ ἔθνους εἰλικρινῶς ἐπαινῶν (α). Καὶ Φίλων μὲν ὁ Ἑρέννιος, ὁ Βύβλιος (β), πικρότατος τῶν Ἰουδαίων ἐχθρὸς, ἔψεγε καὶ αὐτὸν τὸν Ἑκαταῖον, ὡς δῆθεν ἰουδαΐσαντα· « εἰκὸς γὰρ (ἔλεγεν) αὐτὸν συνηρπάσθαι ὑπὸ τῆς παρ᾽ Ἰουδαίοις πιθανότητος, καὶ συγκατατεθεῖσθαι *αὐτῶν* τῷ λόγῳ » (γ)· Οἱ δὲ περὶ τὸν Ὅδιον καὶ Βανδάλην, πολὺ δριμύτερον κατ᾽ Ἀριστέου χολωθέντες, ἀπεγύμνωσαν τὸν ἄνδρα παντελῶς καὶ αὐτῆς αὐτοῦ τῆς φυσικῆς γενέθλης, ἰου-

---

(α) « Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης καὶ περὶ αὐτῶν Ἰουδαίων συνέγραψε βιβλίον » (Ἰώσηπ. κατὰ Ἀπίων. Α. §. 22. σελ. 455 Τόμ. Β. ἐκδ. Haverc.). Μνημονεύει δὲ τούτου καὶ Διόδωρος παρὰ Φωτίῳ (κωδ. σμδ.). Βλ. καὶ Εὐσεβ. Εὐαγ. Προπ. Θ. 4. Ἀλλὰ καὶ περὶ τούτου ἐν τοῖς ἔμπροσθεν.

(β) Εὐσεβ. Εὐαγ. Προπ. Α. σελ. 20 καὶ 26. πρβλ. Σουΐδ. λ. Φίλων.

(γ) Ἑρέννιος παρ᾽ Ὠριγέν. κ. Κέλσου, α, 15. σελ. 334. τόμ. α. ἐκδ. Delarue.

δαῖον ἀποφαίνοντες αὐτόχρημα, καὶ τοῦτον ἀπατεῶνα καὶ ψευδώνυμον, νόθα γράφοντα καὶ ὑποβολιμαῖα!

§. ιά. Ἐσκανδάλισε σφόδρα τοὺς κριτικοὺς, ἡ περὶ τὸν νόμον καὶ τὰς δόξας τῶν Ἰουδαίων ἐν τῇ συγγραφῇ τοῦ Ἀριστέου φαινομαίνη τιμή. Ὡς ἂν ὑπῆρχεν ἀδύνατον Ἕλληνά τε τὸ γένος εἶναι τὸν αὐτὸν, καὶ πολὺ τῆς εἰδωλοθρησκείας ὑψηλότερα καὶ σοφώτερα δοξάζειν περὶ Θεοῦ! Καὶ ὅμως, « Πρῶτοι οἱ παρὰ τοῖς Ἕλλησι φιλοσοφήσαντες τῷ μὲν δοκεῖν τὰ πάτρια διεφύλαττον, ἐν δὲ τοῖς πράγμασι καὶ τῷ φιλοσοφεῖν ἐκείνῳ *(τῷ Μωσεῖ)* κατηκολούθησαν· ὅμοια μὲν περὶ Θεοῦ φρονοῦντες, εὐτέλειαν δὲ βίου καὶ τὴν πρὸς ἀλλήλους κοινωνίαν διδάσκοντες », ὡς ἐκήρυττε δημοσίως εἰς ἐπήκοον τῶν Ἑλλήνων ὁ Ἰώσηπος, ἐξελέγχων τὸν κατήγορον Ἀπίωνα (α). Ἀλλὰ καὶ κατὰ μέρος οὐ μόνον ὁ Ἑκαταῖος ἐπήνεσε τὰ τῶν Ἰουδαίων, ὡς προείπομεν, ἀλλὰ καὶ Στράβων αὐτὸς, ὁ ἀδεισιδαίμων εἶναι βουλόμενος, ἀνεκήρυξεν ὅμως τοὺς ἀρχαίους Ἰουδαίους «*δικαιοπραγοῦντας καὶ θεοσεβεῖς ὡς ἀληθῶς ὄντας*» (β). Ἄλλα παραδείγματα παραλείπομεν ἀναβάλλοντες εἰς τὰ ἐφεξῆς. Τί θαυμαστὸν λοιπὸν ἂν καὶ ὁ Ἀριστέας, καὶ Ἕλλην ὢν τὸ γένος, καὶ πλατωνικαῖς ἴσως δόξαις ἐντεθραμμένος, ἠρέσκετο καὶ τοῖς Μωσέως θειοτέροις φιλοσοφήμασιν; Ὁ δὲ σοφὸς Δεμάγιστρος καὶ προσήλυτον ὑπέλαβε τὸν Ἀριστέα, ἴσως ἐκ τῶν θεοσεβῶν ἐκείνων, οἵτινες ἀρνούμενοι τὴν ἐθνικὴν εἰδωλολατρείαν ἐσέβοντο τὸν Θεὸν τοῦ Ἰσραὴλ, ὡς ἕνα καὶ μόνον Θεὸν ἀληθινὸν, καὶ ἐπολιτεύοντο κατὰ τὰς (ὡς λέγουσιν οἱ Ῥαββίνοι) *ἑπτὰ τοῦ Νῶε ἐντολὰς* (τὰς πλείστας τοῦ Δεκαλόγου), ἄλλως δὲ μήτε περιτομὴν μήτε βαπτισμοὺς μήτε τὰς ἄλλας τῶν Ἰουδαίων ἱεροτελεστίας τηροῦντες· οὗτοι δὲ καὶ *εὐλαβεῖς* ἐλέγοντο (γ) καὶ

(α) Ἰώσηπ. κ. Ἀπίων. Β. §. λθ. σελ. 494. Τοῦτον τὸν λάλον, καὶ πολλὰ κατὰ τῶν Ἰουδαίων μετὰ μεγάλου κροτοθορύβου διακυμβαλίσαντα γραμματικὸν τῆς Ἀλεξανδρείας Ἀπίωνα, Τιβέριος μὲν ὁ Αὐτοκράτωρ ἐπωνόμαζε « τύμπανον κόσμου »· ὁ δὲ Πλίνιος « τύμπανον τῆς δημοσίας φήμης » (Plin. Hist. Nat. VI). Βλ. καὶ Ittigij Proleg. ad Joseph. edit. p. 81. τόμ. β. ἐκδ. Haverc.

(β) Στραβ. Βιβλ. ις. σελ. 761.— (γ) Πραξ. β. 5: η, 2.

σεβόμενοι (τὸν Θεὸν), καὶ *φοβούμενοι τὸν Θεὸν* (α), οἱ αὐτοὶ καὶ παρὰ τοῖς Ἰουδαίοις *προσήλυτοι τῆς θύρας* (ἢ θυραῖοι). Ἕτεροι δὲ τούτων ἦσαν οἱ λεγόμενοι *προσήλυτοι δικαιοσύνης*, ἢ *δίκαιοι ἐθνικοὶ τοῦ αἰῶνος* (οἷος φαίνεται καὶ ὁ Κανδάκης εὐνοῦχος. Πράξ. η, 27), περιτομὴν τηροῦντες καὶ βαπτισμοὺς καὶ θυσίας, κτλ. (β). Ἐκ τοῦ πρώτου εἴδους τῶν *Θυραίων* προσηλύτων φαίνεται καὶ τὸν Ἀριστέα νομίζων ὁ Δεμάγιστρος (καί τοι μὴ διορίζων ῥητῶς τὸ εἶδος τοῦ προσηλυτισμοῦ)· ἐπιφέρει δὲ πρὸς ἀπόδειξιν ὅτι πολλαὶ καὶ πολυπληθεῖς ἀποικίαι τῶν Ἰουδαίων ἔκπαλαι γεγόνασιν εἰς τὴν Κύπρον (ἣν καὶ Ἱερώνυμος οὐ μόνον ἴσως διὰ τὴν θέσιν, ἀλλὰ καὶ διὰ τοῦτο μάλιστα *τῆς Ἰουδαίας γειτόνισσαν* ὀνομάζει) (γ), ὅθεν ἦσαν ἐν τῇ νήσῳ καὶ διάσημοι Συναγωγαὶ (δ). Εἰσάγει δὲ ὁ Δεμάγιστρος καὶ αὐτὸν τὸν Ἀρισταῖον εὐθὺς ἐν ἀρχῇ τῆς ἐπιστολῆς ὁμολογοῦντα μὲν περὶ ἑαυτοῦ τὰ ἐφεξῆς· «*Ἔχοντες ἡμεῖς πρὸς τὸ περιέργως*» (Ἴσ. γρ. Ἔχοντες ἡμεῖς *περιέργως πρὸς τὸ*) *τὰ θεῖα κατανοεῖν* » κτλ., ἐπαινοῦντα δὲ καὶ τὸν ἀδελφόν, ὡς «ἔχοντα *πρόσκλισιν* πρὸς τὴν σεμνότητα καὶ τὴν τῶν ἀνθρώπων διάθεσιν, τῶν κατὰ τὴν σεμνὴν *νομοθεσίαν* (τοῦ Μωσέως) *διεξαγόντων*» (ἴσ. διαγόντων) κτλ. (ε). Ἀλλὰ κἂν ἐκ

(α) Πράξ. ι. 2: ιγ. 43. 50: ις. 14. κτλ. — (β) Περὶ τῶν εἰδῶν τῶν παρ' ἰουδαίοις προσηλύτων βλ. Hotting. Thes. Philolog. p. 18. — Schleusn. Lex. N. T. λ. προσήλυτος καὶ εὐλαβής. — Bauer's Lehrbuch der hebraeisch. Alterthümer pag. 183. Leipzig. 1835.

(γ) Hieron. Com. εἰς Ἱερεμ. β. — (δ) Πράξ. ιγ. 5.

(ε) Demagistr. l. c. p. 532. Ὁ δὲ κλεινὸς Ῥοδομύλλερος (Rosenmüller Handbuch für die Literatur etc. vol. 2. p. 379) ἐπίκειται πολὺς κατὰ τοῦ Δεμαγίστρου, ὡς παντάπασιν ἀπιθάνως συμπεραίνοντος τὸν Ἀριστέα προσήλυτον ἐκ τῆς ἀνωτέρω φράσεως τῆς « ἔχοντες πρὸς τὸ περιέργως κτλ. » (ἣν ὡσαύτως ἐσφαλμένην καὶ αὐτὸς ὁ σοφώτατος ἑλληνιστὴς ἀντιγράφει, καθὼς κεῖται καὶ παρὰ τῷ Δεμαγίστρῳ, καὶ ἐν ταῖς κοιναῖς ἐκδόσεσι τοῦ Ἀριστέου)· ἀλλὰ μήπως ἐκ ταύτης τῆς περικοπῆς ἀποδείκνυται τὸ προσηλυτικὸν ἢ θεοσεβὲς ἦθος τοῦ Ἀριστέου; οὐχὶ δὲ καὶ ἐξ ἄλλων πολλῶν; ἢ ποῖον ἔχοντες γνώρισμα λογικὸν καὶ βέβαιον αὐτοὶ οἱ περὶ τὸν Ῥοδεμύλλερον σοφοὶ διέκριναν τοὺς γνησίους Ἰουδαίους, ἀπὸ τῶν προσηλύτων, ἢ θεοσεβῶν, ἐν οἷς ἐλάλουν οὗτοι (καθὼς ὁ Ἀριστέας) περὶ Θεοῦ;

τούτων οὐκ ἐξάγεται ῥητῶς, ὅτι ὁ Ἀριστέας ὑπῆρχε *δημοσίως προσήλυτος*, δείκνυται δὲ ὅμως βεβαίως ὅτι γοῦν ὑπῆρχε θεοσεβὴς τὸ φρόνημα, τιμῶν τὰ θεῖα κατὰ τὴν Μωσέως θεοσοφίαν, καὶ «*τοῖς λογιωτάτοις τῶν ἀρχιερέων*» ἀσμένως συνὼν, καὶ περὶ τὰ νόμιμα συμφιλοσοφῶν. Ὅθεν καὶ ῥητῶς πρὸς τὸν βασιλέα παῤῥησιάζεται μὲν ὡς Ἕλλην «οὔτε γένει προσήκων (τοῖς Ἰουδαίοις) οὔτε ὁμόφυλος ὤν» (παρ' Ἰωσήπ. Ἀρχ. ΙΒ. β. 2)· ὁμολογεῖ δὲ καὶ ὅτι σέβεται «τὸν πάντων *ἐπόπτην καὶ κτίστην Θεὸν*, ὃν καὶ οὗτοι (οἱ Ἰουδαῖοι) *σέβονται, καὶ πάντες, ἡμεῖς δὲ μάλιστα* (οἱ Ἕλληνες), προσονομάζοντες ἑτέρως *Ζῆνα*»· πρὸς δὲ τὸν ἀδελφὸν ὅμως (*ὡς οὐ μόνον κατὰ τὸ συγγενὲς ἀδελφὸν καθεστῶτα, ἀλλὰ καὶ κατὰ τὸν τρόπον*) σαφέστερον ὑμνεῖ τά τε ἄλλα τῆς θείας νομοθεσίας καλὰ, καὶ τὸ «*γράμμασιν ἁγίοις* (ἐπὶ τοῦ χρυσοῦ πετάλου) *γεγραμμένον ὄνομα τοῦ Θεοῦ*»· καὶ αὐτὸν ἐκεῖνον (ὡς εἴπομεν) ἐπαινεῖ, «ὡς ἔχοντα πρόσκλισιν *πρὸς τὴν σεμνὴν νομοθεσίαν*» (α). Θεοσεβεῖς δέ τινες ὡς ἐκ τῶν λόγων φαίνονται καὶ Ἀνδρέας καὶ μάλιστα Σωσίβιος οἱ ἀρχισωματοφύλακες (Ἀριςσελ. 3). Καὶ θαυμαστὸν οὐδὲν, εἰ παρὰ τῷ Πτολεμαίῳ διέτριβον καὶ τοιοῦτοι θεοσεβεῖς Ἕλληνες τιμώμενοι δικαίως, ὅπου καὶ ἐξ αὐτῶν τῶν Ἰουδαίων κατέταξεν εἰς τὴν αὐλὴν αὐτοῦ ὁ Φιλάδελφος «*τοὺς ἀξίους καὶ πιστοὺς περὶ αὐτὸν εἶναι δυναμένους*», καθὼς αὐτὸς ἐν τῇ πρὸς Ἐλεάζαρον ἐπιστολῇ διακηρύττει (ϐ).

§. ιβ'. Τούτους οὖν τοὺς Ἀριστέου λόγους εἴπερ ἀπαθέστερον ἀνεγίνωσκον οἱ κριτικοὶ καὶ μᾶλλον ἐπισταμένως, οὐκ' ἂν κατεδίκαζον τὸν ἄνδρα ὡς ἰουδαΐσκον (ἢ, καθὼς ὁ χρυσολόγος Βανδάλης σεμνοστομεῖ, **verpulum!**), γόητα καὶ μυθογράφον, διότι ἔγραψε περὶ τῶν Ἰουδαίων καλά! οὐδ' ἐκάθιζον αὐτὸν κλαίοντα καὶ ληροῦντα ἐν ταῖς Συναγωγαῖς τῆς Ἀλεξανδρείας, ἀποσπάσαντες ἀπὸ τοῦ Σεραπείου καὶ τῶν Πτολεμαϊκῶν ἀνακτόρων, καὶ συνωθήσαντες βιαίᾳ χειρὶ καὶ γλώσσῃ παχείᾳ (καθὼς ἐπλατυῤῥημόνησαν οἱ περὶ τὸν Ὅδιον)· οὐδ' ἐτόλμων ἐπὶ τοσοῦτον, ὥστε τὰς ἰδίας

(α) Ἀριστέας σελ. 1, 2, 3, 13 κτλ. ἐκδ. Hody. (ϐ) Αὐτ. αὐτόθ. σελ 6.

ἑαυτῶν ὑπονοίας ἰταμῶς θεσμοθετεῖν, σοφιστευόμενοι ποικίλως, καὶ πολλάκις ἐξυβρίζοντες καὶ καταπατοῦντες τὰς ἱστορικὰς περὶ τοῦ πράγματος διδασκαλίας καὶ παραδόσεις τῆς ἱερᾶς ἀρχαιότητος. Ἢ τί διαφέρουσι τούτων τῶν σοφῶν αἱ κατ᾽ Ἀριστέου κρίσεις, παρὰ τὰς πικρὰς κακολογίας τοῦ τῷ Φιλαδέλφῳ καὶ αὐτῷ τῷ Ἀριστέᾳ συγχρονίσαντος Μανέθωνος τοῦ Αἰγυπτίου, ὅσας ὁ δεισιδαίμων οὗτος ἀρχιερεὺς τῶν εἰδώλων ἐξέδωκεν ἀνωνύμως κατ᾽ Ἀριστέου; (ἂν τῷ ὄντι ὑπαινίττεται τοὺς περὶ τὸν Ἀριστέα, καθὼς ἔκρινεν οὐκ ἀπιθάνως ὁ Δεμάγιστρος). Ἰδοὺ τὰ ἔπη τοῦ Μανέθωνος

« Σωματοφρουρητῆρας, ἰδ᾽ ἔμπαλι σωματοφορβοὺς,
Πλαστογράφους τεύχειτε (ἴσ. τεύχεσσι), καὶ ἐν ψεύσταις προφέροντας·
Καὶ θεολωβητὰς, κακοεργέας, ἀφθιτομίσους (ἴσ. ἀφθιτομισεῖς).
Καὶ κατονειδιστῆρας ἐν ἀλλοτρίῃσι βλάβῃσι,
Ψέκτας ἀνθρώπων, διαβλήτορας, οἷς τὸ τεχνασθὲν
Εἰς ἀπάτην δολόεσσαν, ἀληθείας πέλας ἥξει » (α).

Ἐν τῷ πρώτῳ στίχῳ λέγει ῥητῶς τὸ ἀξίωμα τοῦ βασιλικοῦ *Σωματοφύλακος* Ἀριστέου (ἐπιφέρει δὲ κατὰ παρωνυμίαν καὶ τὸ ὑβριστικὸν *σωματοφορβόν*). Ἐν δὲ τῷ δευτέρῳ καταμωκᾶται τοῦ Ἀριστέου, ὡς πλαστὰ καὶ ψευδῆ γράφοντος *ἐν τοῖς τεύχεσι*, τὰς δύω δηλονότι νοῶν αὐτοῦ συγγραφὰς κατ᾽ ἐξοχὴν, τό,τε *περὶ τῶν Ἰουδαίων* ἱστορικὸν, καὶ τὴν προτέραν πρὸς τὸν ἀδελφὸν Φιλοκράτην *ἀναγραφὴν*, περὶ ἧς προείπομεν (§. 1.) (διότι τὸ *περὶ τῆς τοῦ νόμου ἑρμηνείας* εἶχε μάρτυρας αὐτόπτας πάντας τοὺς τότε ζῶντας Ἀλεξανδρεῖς, καὶ τὴν Αἴγυπτον καὶ τὴν Ἰουδαίαν ἅπασαν). *Θεῶν δὲ Λωβητὴν* ὠνόμασεν αὐτὸν καὶ *ἀφθιτομισῆ* (τοῖς ἀφθίτοις ἢ ἀθανάτοις μισητὸν, δηλονότι *θεομισῆ*), ὡς μὴ τιμῶντα τοὺς αἰγυπτίους καὶ πατρῴους Θεοὺς, κτλ. Σημείωσαι δὲ κἀκείνην τοῦ Αἰγυπτίου τὴν κακοήθειαν, μεθ᾽ ἧς ἀμφίβολον πειρᾶται δεικνύειν τὴν κοινῶς ὁμολογουμένην ἀλήθειαν τῶν ὧν ὠνόμασε ψευδῶν λόγων καὶ τευχῶν, ἢ συγγραφῶν· «πρὸς οὕτω (λέγει) δολερὰν ἀπάτην ἐτεχνεύθησαν, ὥστε πλησιάζουσιν ὡς

(α) Μανέθ. Ἀποτελ. Δ, 232—237. ed. Coloniae ad Rhen. 1832.

ἔγγιστα τῆς ἀληθείας» (α). Ἀλλὰ ταῦτα μὲν ἐχέτωσαν ὅπως ἂν ἔχωσιν.

§. ιγ΄. Ὥρα δὲ ἡμῖν ἤδη καὶ πρὸς αὐτὰς τὰς κατ᾽ Ἀριστέου ποικίλας τῶν πολεμίων ἀποδείξεις χωρεῖν, ἐξετάζοντας ἑκάστην, κατὰ τὴν παρ᾽ Ὀδίῳ τάξιν τῶν ἐπιχειρημάτων.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Εἰ διάφορος τῆς κοινῆς τοῦ Ἀριστέου ἱστορίας, ἡ περὶ τῶν Ο, ἱστορία, ἧπερ ἐχρήσατο Ἐπιφάνιος.

§. α΄. Δύω (λέγουσιν) ὑπῆρχον ἱστορίαι τὸ πάλαι, ἐπιγεγραμμέναι τὸν Ἀριστέα, μία μὲν ἡ κοινὴ καὶ μέχρι σήμερον περιφερομένη, καὶ ἄλλη ἡ παρὰ μόνῳ τῷ ἱερῷ Ἐπιφανίῳ καθ᾽ ἡμᾶς περισωθεῖσα, καὶ φράσει καὶ διανοίᾳ παντάπασι διαφέρουσα τῆς ἑτέρας. Καὶ ὑπῆρξαν ἄρα (λέγουσιν) ἄνθρωποι ἐπὶ τοσοῦτον ἀργοί, οἵτινες ἐσπούδασαν, κἂν θέμις κἂν μὴ θέμις, αὐθεντίαν τε καὶ κῦρος εἰς τὴν ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν περιποιῆσαι. Νεωτέραν δὲ κρίνουσιν οἱ ἄνδρες τὴν ἣν εὕρηκαν παρ᾽ Ἐπιφανίῳ Ἀριστήϊον ἱστορίαν, δείξεις ἐπιφέροντες τὰς ἐφεξῆς. α) Ἡ τοῦ Πτολεμαίου δευτέρα πρὸς τοὺς Ἱεροσολυμίτας ἐπιστολὴ προοιμιάζεται οὕτω· «*Θησαυροῦ κεκρυμμένου, καὶ πηγῆς ἐσφραγισμένης, τίς ὠφέλεια ἐν ἀμφοτέροις;* Τοῦτο δὲ (φασὶ) καὶ μόνον ἀρκεῖ πρὸς ἀπόδειξιν, ὅτι ὁ γράφων ὑπῆρχεν οὐχὶ Πτολεμαῖος ὁ Φιλάδελφος, ἀλλ᾽ ἑβραῖός τις ἑλληνιστής, καὶ οὗτος πολὺ τοῦ Πτολεμαίου νεώτερος, ὅστις ἀντέγραψεν ὁλόκληρον σχεδὸν τὴν ῥῆσιν ἀπὸ τῆς πολὺ μετὰ τοὺς Φιλαδέλφου χρόνους ὑπὸ τοῦ Σειραχίδου μεταφρασθείσης Σοφίας τοῦ Σειράχ, ὅπου γράφεται παρομοίως «Σοφία κεκρυμμένη, καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις;» (Σ. Σειρ. κ. 30, καὶ μα, 14)· τοῦτο δὲ καὶ Ὑσσέριος ὁ μέγας ἐν τοῖς χρονικοῖς (ἔτ. 3727) παρετήρησε. — β) Ἐν δὲ

(α) Βλ. Demagistr. l. c. p. 549.

τῇ Δημητρίου τοῦ Φαληρέως πρὸς τὸν Πτολεμαῖον συνδιαλέξει ἀναγινώσκονται καὶ τὰ ἐφεξῆς. «Ἀκούομεν δὲ ἔτι πολὺ πλῆθος (βιβλίων) *ἐν τῷ κόσμῳ* ὑπάρχειν, παρά τε Αἰθίοψι καὶ Ἰνδοῖς, Πέρσαις τε καὶ Ἐλαμίταις καὶ Βαβυλωνίοις, Ἀσσυρίοις τε καὶ Χαλδαίοις, παρὰ *Ῥωμαίοις* τε καὶ Φοίνιξι, Σύροις τε καὶ τοῖς ἐν Ἑλλάδι, *οὔπω Ῥωμαίοις καλουμένοις ἀκμὴν ἀλλὰ Λατίνοις*». — Εἰς τοῦτο δὲ τὸ χωρίον (λέγει Ὅδιος) ἐσημείωσεν ὁ τοῦ Ἐπιφανίου ἐκδότης Πεταυΐος «Ὅτι κατ' ἐκείνους τοὺς (ἐπὶ τοῦ Φαληρέως) χρόνους οὔπω παρὰ Ῥωμαίοις ἤκμαζε τοσαύτη συγγραφέων δόξα καὶ πληθὺς, ὥστε δύνασθαι καὶ περὶ τούτων τοιαῦτα λέγειν τὸν Φαληρέα· οὐδ' εἶχον ἔτι τότε οἱ Ῥωμαῖοι συγγράμματα ἄλλα, παρὰ τὴν Δωδεκάδελτον τῶν νόμων, καὶ τὰ Ποντιφήκων χρονικὰ, καὶ ἄλλα τινα βιβλία σκοτεινὰ καὶ ἄσημα» (α). γ) Ἡ φράσις, ἡ *ἐν κόσμῳ*, φαίνεται συνήθως παρὰ μόνοις τοῖς ἑλληνισταῖς Ἰουδαίοις καὶ τοῖς Χριστιανοῖς. Ὁ δὲ Φαληρεὺς, καὶ πᾶς τις ἄλλος αὐλικὸς τοῦ Φιλαδέλφου βασιλέως εἶπεν ἂν ἑλληνικώτερον «*ἐν τῇ οἰκουμένῃ*. Οὕτω (λέγουσι) καὶ ὁ παλαιότερος συγγραφεὺς τῆς κοινῇ περιφερομένης Ἀριστηΐδος ἱστορίας ἔγραψεν «ἅπαντα τὰ *κατὰ τὴν οἰκουμένην βιβλία* (καὶ ἀλλαχοῦ, «*παρ' ὅλην τὴν οἰκουμένην*»)· τοιοῦτο (λέγουσι) νεωτερικὸν καὶ τὸ «*τοῦ ἁγίου τόπου*» (ὡς ὀνομάζει ὁ παρ' Ἐπιφανίῳ Πτολεμαῖος τὸν ἐν Ἱεροσολύμοις ναὸν, κατὰ τὸ «ἐν *τόπῳ ἁγίῳ*») (β). Καὶ ἀπὸ τῆς φράσεως λοιπὸν καὶ ἐκ τῶν νοημάτων οὗτος ὁ παρ' Ἐπιφανίῳ Ἀριστέας ἀποδείκνυται σύγγραμμα σχολαστικοῦ τινος ἑλληνιστοῦ Ἰουδαίου, ἢ καὶ (ἂν θέλῃς) χριστιανοῦ» (γ).

§. β'. Ἀλλὰ πρὸς ταῦτα πρῶτον μὲν, ὅσον περὶ τῆς φράσεως, ἀπαντῶμεν ἐν γένει μίαν καὶ καλὴν (ὡς νομίζομεν) ἀπάντησιν·

(α) Hody l. c. II. §. 3. pag. 8—9. Ἀλλ' ὁ Πεταυΐος κἄτι πλέον ἐσημείωσεν (ὡς λέγομεν ἐφεξῆς §. η). Ὁ δὲ σοφὸς Ὅδιος παρέκοψε καὶ τὴν σημείωσιν καὶ τὸ νόημα τοῦ Πεταυΐου! εἴτε λακωνικώτερον ἐκφραζόμενος, εἴτε καὶ διότι κατεφρόνησε καὶ ταῦτα ὡς λήρους (ineptias), καθὼς ὠνόμασε καὶ αὐτὰ τὰ τοῦ Ἐπιφανίου!

(β) Ματθ. κδ'. 15: Πράξ. ς. 13. κα. 28 κτλ.

(γ) Hody ibid. — Van Dale l. c p. 45. sq.

ὅτι Ἀριστέου ἰδία καὶ κυρία συγγραφὴ οὐδεμία ὑπάρχει οὐδόλως οὐδαμοῦ παρὰ τῷ θείῳ Ἐπιφανίῳ, καθὼς ὠνειρεύθησαν οἱ κριτικοί. Ὅσα δὲ παρεκβατικῶς καὶ συντόμως περὶ τῆς ὑπὸ τῶν Ο μεταφράσεως τῶν Γραφῶν ὁ πατὴρ ἱστορεῖ, πάντα ταῦτα αὐτὸς ἀφ᾽ ἑαυτοῦ διηγεῖται, συντιθεὶς τῆς διηγήσεως τὴν ὑφὴν κατὰ τὸν ἰδιάζοντα παρ᾽ αὐτῷ χαρακτῆρα τοῦ λόγου, καὶ μήτε παραφράζων μήτε κατὰ λέξιν ἀντιγράφων τὸν Ἀριστέα. Ταύτην τὴν ἀλήθειαν αἰσθάνεται μὲν καὶ ἐκ πρώτης ὀμμάτων ἐπιβολῆς ὁ προσεκτικὸς ἀναγνώστης· διαλευκαίνουσι δὲ καὶ τὰ ἐφεξῆς. α) Αὐτὸς ὁ Ἐπιφάνιος διακηρύττει ὅτι οἴκοθεν διηγεῖται τὴν ἱστορίαν, ἐκ διαλειμμάτων καὶ κατὰ διακοπὰς αὐτὴν ἀναμιγνὺς καὶ προσαρμόζων πρὸς τὸ φιλολογικὸν αὐτοῦ σύνταγμα (τὸ *περὶ μέτρων καὶ σταθμῶν*), καθὼς ἡ ῥύμη τοῦ λόγου ἀπαιτεῖ. Τ᾽ ὄνομα δὲ τοῦ Ἀριστέου μόνον ἅπαξ ἐμνημόνευσε, καὶ μόνον εἰς μαρτυρίαν τῆς ἐκ τῶν δώδεκα φυλῶν ἐκλογῆς τῶν ἑρμηνευτῶν (α). Ἰδοὺ τοῦ Πατρὸς αἱ λέξεις αὐταί. «Καὶ πρῶτοι μὲν ἑρμηνενταὶ γεγόνασι τῆς αὐτῆς θείας Γραφῆς ἀπὸ ἑβραϊκῆς διαλέκτου εἰς ἑλληνίδα ΟΒ, ἄνδρες τὸν ἀριθμὸν, τὴν αὐτὴν πρώτην ἑρμηνείαν ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου ἑρμηνεύσαντες· *οἵτινες ἐξελέγησαν ἐκ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ, ἓξ ἄνδρες* κατὰ φυλὴν, ὡς *ἐξέδωκεν Ἀρισταῖος ἐν τῷ αὐτοῦ συντάγματι*, περὶ ὧν (τῶν οϐ,) ἀνωτέρω διὰ τῶν ἀστερίσκων καὶ τῶν ὀϐελῶν, καὶ περὶ τῶν ἄλλων, τουτέστιν Ἀκύλα καὶ Συμμάχου καὶ λοιπῶν, *ἀπὸ μέρους διηγησάμεθα*» (σελ. 159—161), «*ἐνταῦθα δὲ καὶ τὰς αἰτίας σοι δηλώσομεν*. Ὁ γὰρ μετὰ τὸν Πτολεμαῖον δεύτερος βασιλεύσας» κτλ. (ϐ). Καὶ αὐτὸς λοιπὸν ὁ Ἐπιφάνιος ὁμολογεῖ, ὅτι αὐτὸς

(α) Τοῦτο καὶ Ῥοδομύλλερος ὁμολογεῖ, καὶ πάλιν Ὀδίῳ χαρίζεται (Rosenmül. Handbuch für die Literatur. etc. p. 373—376.).

(ϐ) Ἐπιφάν. περὶ μέτρ. §. θ. σελ. 166. τόμ. Β. ἐκδ. Petav. Ὁ δὲ σοφὸς Βανδάλης παρασπᾷ καὶ περικόπτει τὴν Ἐπιφανίου φράσιν βανδαλικώτερον, ὅπως ἀποδείξῃ, ὅτι ὅσα γράφει ὁ Ἐπιφάνιος, ἀναφέρει εἰς Ἀρισταῖον, ὡς ἐξ αὐτοῦ μεταγράψας τά τε ἄλλα καὶ τὰς δύω τοῦ Πτολεμαίου πρὸς τοὺς ἱεροσολυμίτας ἐπιστολὰς, ἵνα καὶ οὕτως ἐξελέγξῃ ὁ κριτικὸς ἄλλην τὴν κοινὴν, καὶ ἄλλην

διηγεῖται *καὶ δηλοῖ καὶ ἱστορεῖ τὰ κατὰ τοὺς Ο*, ἀλλαχοῦ δὲ πάλιν (οἷον ἐν τοῖς περὶ τῆς ἑρμηνείας ἑκάστου τεύχους τῆς γραφῆς), ἀποδίδωσι τὸ διήγημα ῥητῶς εἰς τὴν φήμην, λέγων ἐπὶ λέξεως «*ὡς ᾄδεται λόγος*»· τοῦτο δὲ καὶ αὐτοὶ, τέλος, οἱ περὶ τὸν Ὅδιον ὡμολόγησαν (βλ. ἐφεξ. βιϐ. β. κεφ. ς. §. γ.). — β) Ὅλη τῆς διηγήσεως καὶ αὐτῶν τῶν δύο τοῦ Πτολεμαίου ἐπιστολῶν ἡ λεκτικὴ ἑρμηνεία διὰ πάσης συλλαϐῆς καὶ κεραίας βοᾷ μεγαλοφώνως κηρύττουσα συντάκτην ἑαυτῆς καὶ συγγραφέα τὸν μακάριον Ἐπιφάνιον. — γ) Ὅλα τὰ μέχρι σήμερον ἐν ταῖς κατὰ τόπους βιϐλιοθήκαις ἀποσωθέντα χειρόγραφα τοῦ Ἀριστέου, καὶ αἱ τούτων ἐκδόσεις, μίαν καὶ μόνην ὁμοφώνως ἀποδεικνύουσι πανταχοῦ τὴν Ἀριστήϊον συγγραφὴν, τὴν κοινὴν παρὰ τοῖς κριτικοῖς ὀνομαζομένην, καὶ νῦν καθ' ἡμᾶς περιφερομένην. Ἕτερος δὲ κώδηξ Ἀριστέου τοιοῦτος, ὁποῖον ἐνόμισαν οἱ ἄνδρες ὅτι εὕρηκαν παρ' Ἐπιφανίῳ, οὐδαμοῦ οὐδόλως εὑρέθη, ἀλλ' οὐδ' ἂν εὑρεθείη πώποτε, ἐφ' ὅσον διακρίνονται τά τε πρόσωπα τοῦ Ἀριστέου καὶ τοῦ Ἐπιφανίου, καὶ ὁ χρόνος καθ' ὃν ἔζησαν ἑκάτερος ἐπὶ γῆς. Πῶς λοιπὸν οἱ Βανδάλ αι μετὰ τῶν Ὁδίων διώρισαν δύω κώδηκας Ἀριστειανοὺς, ἕνα τὸν κοινὸν καὶ συνήθη, καὶ ἕτερον ὃν λέγουσιν Ἐπιφανιανὸν (Epiphanianum), καὶ *φράσει καὶ διανοίᾳ* (et styto et sententia) διαφέροντας ἀπ' ἀλλήλων, αὐτοὶ πάλιν ἂν εἰδεῖεν οἱ περίσοφοι παραδοξολόγοι.

§. γ. Ἐκ τούτων ἀναφαίνεται φωτὸς τηλαυγέστερον, ὅτι καὶ ὅσα περὶ *φράσεως* ἰδίως ἐσημείωσαν, οἷον τὸ, τοῦ *ἁγίου καὶ ἱεροῦ τόπου*

τὴν παρ' Ἐπιφανίῳ ἱστορίαν τοῦ Ἀρισταίου. « Ita enim (λέγει) loquitur (Epiphanius), dum simul provocat ad Aristaeum his verbis, ὡς ἐξέδωκεν Ἀρισταῖος ἐν τῷ συγγάγματι (γρ. συγγράμματι) », καὶ εὐθὺς ὑπερπηδήσας τὰ ἐν μέσῳ ὑποσυνάπτει μετὰ τὸ, ὡς φησὶν Ἀρισταῖος τὰ ἐφεξῆς τοῦ Ἐπιφανίου. « Ὁ γὰρ μετὰ τὸν Πτολεμαῖον δεύτερος κτλ. (Van Dale pag. 45). Οὕτως ὁ μὲν Ἐπιφάνιος φέρει μάρτυρα τὸν Ἀρισταῖον εἰς τὰ προηγηθέντα (καὶ μόνον περὶ τῆς ἐκ τῶν ιβ φυλῶν ἐκλογῆς)· ὁ δὲ Βανδάλης ἐφαρμόζει τὸ ὡς φησὶν Ἀρισταῖος, εἰς τὴν ἑπομένην μερίδα τῆς ἱστορίας, ἐν ᾗ περιέχονται αἱ διάφοροι τῶν παρὰ τῷ Ἀριστέᾳ φερομένων ἐπιστολαὶ τοῦ Πτολεμαίου, περὶ ὧν λέγομεν ἐφεξῆς.

(ὅπερ, ὅσον ἐκ τῆς φράσεως εἴθιστο καὶ παρ' ἕλλησιν, ὡς τὸ « *χῶρος ἅγιος* » καὶ « *ἱερὸς* » Παυσαν. κτλ.), καὶ τὸ τοῦ *κόσμου*, καὶ ἄλλο εἴτι τοιοῦτο συναρπάσαντες ἀποδεικνύουσι τὴν ἣν λέγουσι παρ' Ἐπιφανίῳ Ἀριστεανὴν ἱστορίαν ἔργον ἑλληνιστοῦ τινος Ἰουδαίου, ἢ χριστιανοῦ μεταγενεστέρου, πάντα ταῦτα ἀφ' ἑαυτῶν πίπτουσι κωφά· διότι καὶ ταῦτα, καὶ αὐτῆς τῆς ὑπὸ τοῦ Φαληρέως πρὸς τὸν βασιλέα τὸ πρῶτον γενομένης ἀναφορᾶς περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν, καὶ αὐτῶν δὲ, τέλος, τῶν παρὰ τοῦ βασιλέως πρὸς τοὺς Ἱεροσολυμίτας ἐπιστολῶν ὁ λεκτικὸς χαρακτὴρ, καί τινα τῶν νοημάτων ἀνήκουσιν ἰδίως εἰς τὸν ἱερὸν Ἐπιφάνιον, αὐτοσχεδιάσαντα τὴν ἔκφρασιν τῶν ἐννοιῶν τῆς ἱστορίας ἐκ διαλειμμάτων καὶ κατ' ἐπιτομὴν, ὡς λέγομεν εὐθύς (α).

§. δ. Κατὰ τέσσαρας τινὰς ἐπισήμους διαφορὰς παραλλάσσει τῆς Ἀριστέου ἱστορίας τὸ παρ' Ἐπιφανίῳ συνοπτικὸν διηγημάτιον (ὡς βλέπει καθαρῶς πᾶς τις παραβάλλων ἀμφοτέρων τὰς ἐκθέσεις ἐν τῷ τέλει τοῦ παρόντος συντάγματος ἐκδεδομένας). α) Ὁ Ἐπιφάνιος εἰσάγει τοὺς οβ, ἑρμηνεῖς ἀνὰ δύω κεκλεισμένους εἰς λϛ, δωμάτια, καὶ τοὺς πάντας συμφώνως μεταφράζοντας τὰς Γραφὰς, ὅπερ ὁ Ἀριστέας οὐ φαίνεται ῥητῶς ἱστορῶν· β) Ὁ Ἐπιφάνιος διορίζει καὶ τὸν ἀριθμὸν τῶν μεθηρμηνευμένων τευχῶν τῆς Γραφῆς, ὁ δ' Ἀριστέας εἶπεν ἁπλῶς καὶ μονολεκτικῶς *τὸν νόμον* ἐξελληνισθέντα. γ) Ὁ Ἐπιφάνιος ἔχει δύω Πτολεμαίου τοῦ βασιλέως ἐπιστολὰς ἐπιγε-

---

(α) Καὶ αὐτὸς ὁ κλεινὸς Ὅδιος ὑποπτευόμενος τὸ πρᾶγμα, καὶ προλαμβάνων τὴν ἀντίῤῥησιν ὑπεσημείωσε (καθὼς εἴωθε πολλάκις ἀκροθιγῶς καὶ συντόμως ἐν ὑποσημειώσεσι παραῤῥίπτειν καὶ διαφεύγειν, ἐκνεύων ἐπιδεξίως, ὅσα βλέπει πρὸς τὰς δόξας αὐτοῦ προφανῶς ἀντιβαίνοντα), λέγων ἐπὶ λέξεως ταῦτα. « Εἰσὶν οἳ νομίζουσι ταύτας τὰς ἐπιστολὰς οὐκ ἀπό τινος Ἀριστειανῆς ἱστορίας ληφθείσας (μεταγραφείσας), ἀλλ' αὐτὸν τὸν Ἐπιφάνιον συγγραφέα κεκτημένας· ἵνα ᾖ μία καὶ μόνη ἡ ἱστορία, ἡ τῷ Ἀριστέου ὀνόματι ἐπιγεγραμμένη. Ἀλλ' ἔμοι γε τοῦτο ἧττον πιθανὸν δοκεῖ » (σελ. 8). Ταῦτα (εἰ δεῖ λέγειν τ' ἀληθὲς) οὐ πάνυ τοι πρέπουσιν εἰς ἄνδρα φιλολόγον ἑλληνιστὴν, ἐξελέγχοντα τὸ νόθον τε καὶ γνήσιον τῶν συγγραμμάτων ἐκ τοῦ χαρακτῆρος τοῦ λόγου, καὶ ἀπὸ λέξεων πολλάκις ὀλίγων, ὡς ποιήσει πολλάκις ὁ σοφὸς ἀρχιδιάκονος. Πόσῳ τούτου κριτικώτερον ἐγνώρισε τὸ ὕφος τοῦ Ἐπιφανίου ὁ σοφὸς Λύμπερος! (βλ. Lumper Histor. Theologico-critic. de vit. script. atq. doct. S. Patrum. vol. 7. pag. 456).

γραμμένας, τὴν μὲν «*τοῖς ἐν Ἱεροσολύμοις τῶν Ἰουδαίων*, τὴν δὲ «*τοῖς τῆς εὐσεβείας διδασκάλοις τοῖς ἐν Ἱεροσολύμοις* », οὐδεμίαν δὲ παρ' αὐτῶν ἀπάντησιν πρὸς τὸν Πτολεμαῖον. Ὁ δὲ Ἀριστέας ἔχει μίαν καὶ μόνην παρὰ τοῦ Πτολεμαίου πρὸς Ἐλεάζαρον τὸν Ἀρχιερέα ἰδίως ἐπιγεγραμμένην, καὶ ἄλλην παρὰ τούτου πρὸς ἐκεῖνον ἀποκριτικήν. δ) Ὁ Ἐπιφάνιος εἰσάγει τὸν Φαληρέα Δημήτριον ἀναφέροντα καθ' ἕκαστον ἔθνος ὀνομαστὶ, ὅθεν συνῆγεν ὁ Φαληρεὺς τὰ βιβλία ἐν τῇ τοῦ Φιλαδέλφου βιβλιοθήκῃ (βλ. ἀνωτέρω §. α. τὰς ὀνομασίας τῶν ἐθνῶν), καὶ ἐν τῇ βιβλιοθήκῃ λέγει ὅτι ἦσαν συνηγμέναι « *πέντε μυριάδες βιβλίων καὶ τετρακισχίλιαι ὀκτακόσιαι* ». Ὁ δὲ Ἀριστέας οὔτε τὰ ἔθνη ὀνομάζει ὅθεν συνήγοντο τὰ βιβλία (εἰμὴ μόνον ἁπλῶς « τὰ κατὰ τὴν οἰκουμένην βιβλία»), καὶ τούτων ἀριθμὸν διορίζει ῥητῶς *ὑπὲρ τὰς εἴκοσι μυριάδας* ». Ταῦτα κυρίως διαφέρει τῆς παρὰ τῷ Ἀριστέᾳ ἱστορίας, ἡ παρ' Ἐπιφανίῳ σύνοψις (πλὴν ὀλίγων τινῶν ἄλλων ἀσημάντων παραλλαγῶν, ὅσας ἀπηρίθμησεν ἀκριβολογούμενος ὁ πτωχὸς Βανδάλης (α)), τὰ δ' ἄλλα πάντα κατὰ νόημα συμφωνεῖ πρὸς τὸν Ἀριστέαν ὁ Ἐπιφάνιος. Καὶ τὴν μὲν α, καὶ β, διαφορὰν ἐξετάζομεν ἐν τοῖς ἔμπροσθεν ἀπαντῶντες πρὸς τοὺς περὶ τὸν Ὅδιον, ἰδίᾳ περὶ τούτων ἐν χωριστοῖς κεφαλαίοις πραγματευσαμένους (β)· ἤδη δὲ θεωροῦμεν τὰς δύω τὰς ὑστέρας διαφωνίας.

§. ε. Τῶν παρ' Ἐπιφανίῳ δύω τοῦ Πτολεμαίου πρὸς τοὺς Ἰουδαίους ἐπιστολῶν, ἡ μὲν πρώτη περιέχει τὴν αἴτησιν τῶν ἑβραϊκῶν Γραφῶν, ἡ δὲ δευτέρα (πολὺ τῆς πρώτης συντομωτέρα) ζητεῖ καὶ τοὺς ἑρμηνεῖς αὐτῶν. Τὰς δύω ταύτας ἀξιώσεις συνάμα περιέχει παρὰ τῷ Ἀριστέᾳ μία ἐπιστολή· ἥτις, ὅσον περὶ τῆς κυρίας ὑποθέσεως, κατ' οὐδὲν ἕτερον διαφέρει τῶν παρ' Ἐπιφανίῳ διττῶν, πλὴν ὅτι αὗται φέρουσι τὸν λεκτικὸν χαρακτῆρα τῆς Ἐπιφανίου γραφίδος (ὡς

(α) Βλ. Van Dale Diss. cap. VI. Ἀλλὰ καὶ περὶ τούτων, καὶ περὶ ἄλλων ὅσας ὁ Βανδάλης ἐσημείωσε τοῦ Ἀριστέου διαφορὰς πρός τε τὸν Φίλωνα καὶ Ἰώσηπον, καὶ Ἰουστῖνον, καὶ Εἰρηναῖον, λέγομεν ἐν τοῖς ἐφεξῆς ἀπαντῶντες κατὰ πλάτος πρὸς Ὅδιον, πολλὰ καὶ μακρὰ περὶ τῶν αὐτῶν διαλαβόντα.

(β) Βλ. ἐφεξ. Βιβ. Β. κεφ. ς. καὶ κεφ. ζ.

προείρηται). Εἰς ταύτην ἀνήκει καὶ τὸ μέγα εὕρημα τοῦ Ὑσσερίου, τὸ γραφικὸν ἐκεῖνο ῥητὸν, « *Θησαυροῦ κεκλεισμένου* » κτλ. διότι καὶ τοῦτο αὐτὸς ἀφ᾽ ἑαυτοῦ ἔγραψεν ὁ μακάριος Ἐπιφάνιος, ὡς προοίμιον τῆς ἧς ἐξέφραζε τὸ γνήσιον νόημα δευτέρας ἐπιστολῆς τοῦ Πτολεμαίου. Καὶ φαίνεται μὲν ἡ χρῆσις τοῦ προοιμίου μικρὸς ἀναχρονισμὸς (διότι ὁ Πτολεμαῖος ὑποτίθεται ἀνεγνωκὼς ἑλληνιστὶ τὰς Γραφὰς, καὶ αὐτὴν τὴν Σοφίαν τοῦ Σειρὰχ, πρὶν ἔτι μεταφρασθῶσιν)· ἀλλ᾽ οὐδὲν ἐκ τούτου παραβλάπτεται ἡ ἀλήθεια τῆς αἰτήσεως τῶν ἑρμηνευτῶν, περὶ ἧς πραγματεύεται συντόμως ἡ ἐπιστολὴ (α). Ἀντὶ δὲ, τέλος, τῆς παρὰ τῷ Ἀριστέᾳ πρὸς τὸν Πτολεμαῖον ἀποκρίσεως τοῦ ἀρχιερέως (ἐν ᾗ δηλοῦται καὶ τὸ ποσὸν τῶν πεμπομένων οβ, πρεσβυτέρων ἑρμηνευτῶν, ἀνὰ ἓξ ἀφ᾽ ἑκάστης ἐκλεγέντων φυλῆς, ὡς ἐζήτησε καὶ ὁ βασιλεὺς), ὁ Ἐπιφάνιος ἔγραψε διηγηματικῶς καὶ συντόμως τὸ ἐφεξῆς· « τότε τοὺς οβ, ἑρμηνευτὰς ἐκλεξάμενοι οἱ τῶν Ἑβραίων διδάσκαλοι ἀποστέλλουσιν » (Εἶχε δὲ προηγουμένως ἱστορήσας ὁ Ἐπιφάνιος καὶ περὶ τοῦ τρόπου, καθ᾽ ὃν ἐξελέγησαν οἱ οβ, ἑρμηνεῖς, ἐπιφερόμενος μάρτυρα περὶ τούτου τὸν Ἀριστέα, καθὼς προείπομεν ἀνωτέρω §. ϛ.). Αὐτὴν δὲ τὴν πρὸς τοὺς Ἱεροσολυμίτας μίαν τοῦ Πτολεμαίου ἐπιστολὴν, πῶς ἄρα διε-

---

(α) Τοιούτους ἀβλαβεῖς ἀναχρονισμοὺς εὑρίσκομεν ἐνίοτε καὶ παρ᾽ αὐτοῖς τοῖς ἐνδοξοτάτοις ἱστορικοῖς καὶ συγγραφεῦσιν. Οὕτω, φέρ᾽ εἰπεῖν, ὁ Πλούταρχος ἔπεσεν εἰς παρόμοιον ἀναχρονισμὸν, ἐν οἷς εἰσάγει τὸν Μιθιδράτην λέγοντα πρὸς τοὺς φίλους τὰ ἐφεξῆς. « Τί δῆτα προστάξει Σερτώριος ἐν Π α λ α τ ί ῳ κ α θ ε ζ ό μ ε ν ο ς, εἰ νῦν εἰς τὴν Ἀτλαντικὴν ἐξεωσμένος θάλασσαν, ὅρους ἡμῶν τῇ βασιλείᾳ τίθησι; » κτλ. Ἀλλὰ κατὰ τοὺς Μιθιδράτου χρόνους (τῷ 80 π. Χ.) οὔτε π α λ ά τ ι ο ν ὑπῆρχέ πω κατὰ τὴν Ῥώμην, οὔτε Καίσαρες ᾤκουν ἐν αὐτῷ μοναρχοῦντες (ὁποῖον ὁ Μιθριδάτης ὑποτίθεται νομίζων ἔσεσθαι τὸν Σερτώριον)· ἀλλ᾽ οὐδ᾽ ἡ τότε κυριεύουσα Σύγκλητος τῶν Ῥωμαίων ἠθροίζετο ἐν τῷ Παλατίῳ. Μόλις ὕστερον, ἀφ᾽ οὗ μετέπεσεν εἰς μοναρχίαν ἡ τῶν Ῥωμαίων ἡγεμονία, καὶ Καίσαρες ἐγένοντο, καὶ τὸ παλάτιον αὐτῶν κατοικία (βλ. Πλούταρχ. Σερτωρ. §. κδ.). Ὥστε ὁ Πλούταρχος ἐξέφερε τοὺς Μιθριδάτου λόγους ἀναχρονικῶς, ὡς ἂν ὁ Μιθριδάτης ἐλάλει περὶ πράγματος ὑπάρχοντος ἐπὶ τῶν ἡμερῶν αὐτοῦ. Ἀλλ᾽ οὔτε ἐκ τούτου παραβλάπτεται τὸ πραγματικὸν τῆς Πλουταρχικῆς ἱστορίας, οὔτ᾽ ἐκ τοῦ παρ᾽ Ἐπιφανίῳ γραφικοῦ τῆς ἐπιστολῆς προοιμίου ἀναιρεῖται ἡ ἀλήθεια τῆς ἀποστολῆς τῶν ἑρμηνευτῶν, οὓς ἐζήτησεν ὁ Πτολεμαῖος.

μέρισεν εἰς δύω ὁ Πατὴρ, οὕτω προφανῶς διαφωνῶν πρὸς τὸν Ἀριστέα; Ὁ σοφὸς Δεμάγιστρος ὑπέλαβε τὸν Ἐπιφάνιον ὅτι περιέπεσεν εἰς ἀτελὲς καὶ διεφθαρμένον ἀντίγραφον τοῦ Ἀριστέου (ὁποῖον παράδειγμα φέρει καὶ τὸ κατὰ τὴν Βαρβερίναν ἐν Ῥώμῃ βιβλιοθήκην σωζόμενον μικρὸν ἀπόσπασμα τῆς Ἀριστέου ἱστορίας· ὅθεν, λέγει, τὰς ἐλλείψεις ἐκείνου τοῦ κώδηκος ἀνεπλήρωσεν ἐξ ἀνάγκης ἀπὸ μνήμης αὐτὸς ὁ Ἐπιφάνιος (α). Ἀλλὰ παρὰ τῷ Ἐπιφανίῳ (καθὼς προείπομεν) οὐδ᾽ ἴχνος σῴζεται τῆς Ἀριστέου φράσεως· κἂν ὁ ἱερὸς Πατὴρ ἤθελε τὰς ἐλλείψεις τοῦ τοιούτου κώδηκος ἀναπληροῦν, εἶχε πρόχειρον τὸν Ἰώσηπον, ὅστις συνώψισεν ὅλην ἀκριβῶς τὴν Ἀριστέιον ἱστορίαν. Ἄλλην (εἰ μήπως ἀπατώμεθα) πιθανωτέραν νομίζομεν αἰτίαν τῆς Ἐπιφανίου πρὸς τὸν Ἀριστέα περί τε τὰς ἐπιστολὰς καὶ ἔν τισιν ἄλλοις φαινομένης διαφορᾶς· Ὁ μακάριος Ἐπιφάνιος εἶχε πάντως πρότερον ἀναγνοὺς οὐ μόνον ὅλον τὸν Ἀριστέα καὶ τὸν Ἰώσηπον (καὶ αὐτὸν δὲ, ἴσως, τὸν ἐξ Ἀριστέου τὰ πλεῖστα μεταγράψαντα Εὐσέβιον), ἀλλὰ καὶ τὸν φιλόσοφον ἐν μάρτυσιν Ἰουστῖνον (ὡς βλέπομεν εὐθὺς)· ἀλλ᾽ ὅτε συνέγραφε τὸ *περὶ μέτρων καὶ σταθμῶν*, οὐδένα τούτων τῶν συγγραφέων εἶχε πρὸ ὀφθαλμῶν· ἱστόρησε δὲ τὰ κατὰ τοὺς Ο, σποράδην ἐν τῷ συντάγματι καὶ κατ᾽ ἐπιτομὴν (ἐν μόλις 60, στίχοις), ἐκφράζων ἐλευθέρως καὶ αὐτοσχεδίως τὰ κυριώτατα τῆς ἱστορίας, ὅσα περέμειναν εἰς τὴν αὐτοῦ μνήμην ἐκ τῆς ἀναγνώσεως των εἰρημένων συγγραφῶν. Καὶ τούτου δεῖξις ἡ ἐφεξῆς.

§. ς. Τὴν εἰς δύω τῆς μιᾶς τοῦ βασιλέως ἐπιστολῆς κατατομὴν πολὺ πρότερον (δύω καὶ ἥμισυν αἰῶνας περίπου) πρὸ τοῦ Ἐπιφανίου, φαίνεται πρῶτος ἐκφράσας Ἰουστῖνος ὁ μάρτυς καὶ φιλόσοφος· Λέγει δὲ ταῦτα ἐπὶ λέξεως· « Πτολεμαῖος ὁ Αἰγυπτίων Βασιλεὺς . . . *προσέπεμψε* (τῷ τῶν Ἰουδαίων ἱερεῖ) *ἀξιῶν διαπεμφθῆναι αὐτῷ τὰς βίβλους τῶν προφητῶν*. Καὶ ὁ μὲν . . . τῇ προειρημένῃ ἑβραΐδι αὐτῶν φωνῇ γεγραμμένας διεπέμψατο. Ἐπει-

(α) S. Demagistr. Diss. V. p. 549—550 in Δανιὴλ κατὰ τοὺς Ο.

δὲ οὐκ ἦν γνώριμα τὰ ἐν αὐταῖς γεγραμμένα τοῖς Αἰγυπτίοις, *πάλιν αὐτὸν ἠξίωσε πέμψας*, τοὺς μεταβαλοῦντας αὐτὰς εἰς τὴν ἑλλάδα φωνὴν ἀνθρώπους ἀποστεῖλαι » κτλ. (α). Ταῦτα τὰ τοῦ Ἰουστίνου πάντως μεμνημένος ὁ ἱερὸς Ἐπιφάνιος ἐξέφρασε σαφέστερον ἐξηγήσας καὶ τὸ νόημα τῶν διπλῶν τοῦ Πτολεμαίου ἐπιστολῶν, συμφώνως πρὸς ὅσα περιεῖχεν ἡ μία καὶ μόνη παρὰ τῷ Ἀριστέᾳ. Αὐτὸς δὲ ὁ μάρτυς Ἰουστῖνος πόθεν ἆρά γε μαθὼν ἐξελάμβανε διπλὰς τὰς ἀποστολάς; Περὶ τούτου λέγουσιν οὐδὲν οἱ σοφοὶ κριτικοί. (Καὶ πολλὴ χάρις εἰς τὴν αὐτῶν ὀλιγάρκειαν, ὅτι μὴ καὶ τρίτον ἔπλασεν *Ἰουστίνειον* τινα κώδηκα τῆς Ἀριστέου συγγραφῆς, ὁρμηθεῖσα ἐκ τῆς παρ' Ἰουστίνῳ διττῆς παρὰ τοῦ Πτολεμαίου πρὸς τοὺς ἐν Ἱεροσολύμοις ἐπιστολῆς). Ὅσον δὲ τὸ ἐξ ἡμῶν, πιθανὴν αἰτίαν νομίζομεν τὴν ἐφεξῆς. Ἀνέγνω καὶ ὁ θεῖος Ἰουστῖνος τὴν ἱστορίαν τοῦ Ἀριστέου, κἂν ἰδίως καὶ περὶ τούτου οὐδεμίαν ἐξ ὀνόματος ποιεῖται μνείαν, ἐν οἷς ἀναφέρει τοὺς ἱστορήσαντας τὰ περὶ τῶν Ο. « Ἃ δὲ (λέγει) καὶ παρ' ἑτέρων ἔξεστιν ὑμῖν μανθάνειν, καὶ μάλιστα παρ' αὐτῶν τῶν περὶ τούτων ἱστορησάντων σοφῶν καὶ δοκίμων ἀνδρῶν, Φίλωνός τε καὶ Ἰωσήπου καὶ *ἑτέρων πλειόνων* » (β). Ἀλλὰ καὶ διεξελθὼν ὁ μάρτυς τὸν Ἀριστέα, φαίνεται ὅμως μήτε τοῦτον μήτε τὸν Ἰώσηπον αὐτὸν ἔχων μετὰ χεῖρας, ὅτε συνέγραφε τὴν Α. Ἀπολογίαν. Ὅθεν διὰ σφάλμα μνήμης, ἴσως, συνέχεε τὰς παρὰ τῷ Ἀριστέᾳ καὶ παρ' αὐτῷ δὲ τῷ Ἰωσήπῳ δύω φερομένας ἐπιστολὰς (τὴν τοῦ Πτολεμαίου πρὸς τοὺς Ἰουδαίους, καὶ τὴν τούτων ἀπάντησιν πρὸς τὸν Πτολεμαῖον) νομίσας ὅτι ἀμφότεραι κατὰ μέρος ἀπεστάλησαν παρὰ τοῦ Πτολεμαίου, ἀξιοῦντος τοὺς ἐν Ἱεροσολύμοις διὰ μὲν τῆς πρώτης, ὅπως ἀποστείλωσιν αὐτῷ τὰς βίβλους, διὰ δὲ τῆς ἑτέρας, καὶ τοὺς ἑρμηνεῖς τῶν Γραφῶν. Ἢ (τὸ μᾶλλον πιθα-

---

(α) Ἰουστῖν. Ἀπολογ. Α. σελ. 64. Venet. 1747. Ταῦτα τοῦ Ἰουστίνου ἀντέγραψε καὶ ὁ ἱερὸς Αὐγουστῖνος, διττὴν καὶ αὐτὸς ἱστορῶν τὴν περὶ τῶν Γραφῶν πρὸς τοὺς Ἰουδαίους ἀποστολὴν καὶ αἴτησιν τοῦ Πτολεμαίου. Βλ. τὸ χωρίον τοῦ Αὐγουστίνου ἐν τοῖς ἐφεξῆς Βιβλ. Β. Κεφ. Δ. §. δ.

(β) Ἰουστῖν. λόγῳ πρὸς Ἕλληνας. σελ. 17.

νώτερον), καὶ φήμη τις ἴσως διέτρεχε τότε τοιαύτη (καθὼς συνήθως συμβαίνει), δημώδης καὶ μὴ ἀκριβὴς (α), προελθοῦσα παρ' ἀνθρώπων ἀτελῶς εἰδότων τὰ κατὰ τοὺς Ο, καὶ ἢ μηδόλως, ἢ γοῦν ἐπιπολαίως ἀποσπάσματά τινα τῆς Ἀριστέου καὶ Ἰωσήπου ἱστορίας ἀνεγνωκότων. Κἂν ὑποτεθῇ, ὅτι τὴν τοιαύτην φήμην διέσπειραν καὶ γραπταί τινες τότε περιφερόμεναι σημειώσεις, ἐκ τῆς Ἀριστέου συγγραφῆς ἀτάκτως ἀπηνθισμέναι, ἢ καὶ παρὰ χειρῶν ἀδαῶν ἀντιγεγραμμέναι (β), τίς λοιπὸν ὀρθὰ καὶ δίκαια φρονῶν συμπεραίνει ἐκ τῶν τοιούτων καὶ νέας ὁλοκλήρους Ἀριστηΐδας ἱστορίας (ὁποίαν ἐνόμισαν οἱ περὶ τὸν Ὅδιον ὅτι εὕρηκαν παρ' Ἐπιφανίῳ); πῶς δὲ πάλιν ἐκ τῶν τοιούτων μικρῶν παραλλαγῶν εἰσάγουσι πλαστογράφους Ἰουδαίους, ἄλλους ἄλλοτε τὰ κατὰ τοὺς Ο, μεταπλάττοντας ἐξεπίτηδες καὶ μυθογραφοῦντας, ὅπως δῆθεν ὑπερυψώσωσι τὴν ἑρμηνείαν τῶν Ο; ἢ μεγάλως (οὐχ' ὁρᾷς;) καὶ πολὺ πρὸς τοῦτον τὸν σκοπὸν ὠφελήθησαν ἂν οἱ τοιοῦτοι, διαιροῦντες τὴν μίαν εἰς δύω τοῦ Πτολεμαίου ἐπιστολὰς, καὶ σιωπῶντες τὴν ἀπάντησιν τοῦ Ἀρχιερέως, ἥτις μάλιστα τὴν ἱστορίαν τῆς ἑρμηνείας ἐπικυροῖ! Ἀλλὰ περὶ τούτου σκοπείτωσαν αὐτοὶ πάλιν οἱ δριμεῖς κριτικοί. Τὴν δ' οὖν περὶ τῆς διπλῆς τοῦ Πτολεμαίου ἀποστολῆς ἀδέσποτον φήμην ἀπεριέργως ἀνέμιξε καὶ ὁ μακάριος Ἰουστῖνος μετὰ τῶν ὅσα συντόμως (ἐν ὀκτὼ καὶ μόλις στίχοις) ἀνέφερε περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν ἐν τῇ *Α. Ἀπολογίᾳ.* Ἐν δὲ τῷ πρὸς τοὺς Ἕλληνας ὅμως (ὅπου πλατύτερον καὶ ἀσφαλέστερον τὰ κατὰ

(α) *Τοιούτων τῆς τῶν πραγμάτων ἀληθείας ὑπὸ τῆς δημώδους φήμης μεταποιήσεων καὶ παραλλαγῶν ἔχομεν μυρία παραδείγματα καὶ ἐκ τῶν ἀρχαίων ἱστορικῶν. Οἷον αὐτῶν τῶν Ἀθηναίων τὸ πλῆθος, παρ' οἷς ὁ Ἵππαρχος ἐφονεύθη, τοῦτον ἐνόμιζον τύραννον ὄντα ἀποθανεῖν, καὶ οὐκ ἴσασαν ὅτι Ἱππίας (ὁ ἀδελφὸς αὐτοῦ) ἐτυράννει. Ἄλλοι τὸν Πιτανάτην λόχον ἔπλαττον παρὰ Λακεδαιμονίοις, ὃς οὐδ' ἐγένετο πώποτε. κτλ. κτλ. (Θουκυδ. Α. §. κ.).*

(β) Βλ. Rosenmüller ubi sup. p. 376. ὅπου καὶ αὐτὸς φαίνεται νομίζων ὅτι ἴσως καὶ ἐξ ἄλλων (παρὰ τὸν Ἀριστέα) πηγῶν ἠρύσατο τὴν διήγησιν ὁ ἱερὸς Ἐπιφάνιος, κτλ. πρβ. καὶ Montfauc. Praelim. in Hexapl. c. III. §. 5 et 7. καὶ Nicol. le Nourry Apparat. ad Biblioth. Patr. Tom. 1. p. 244.

τοὺς Ο, διηγεῖται φέρων μάρτυρας καὶ τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον, ὡς προείπομεν) οὐδὲν ὁ πατὴρ περὶ τῆς διπλόης ἔγραψε τῶν ἀποστολῶν· ἀλλ᾽ ἁπλῶς διέλαβεν, ὅτι « Πτολεμαῖος σοφοὺς ἄνδρας ἑβδομήκοντα, τοὺς καὶ τὴν Ἑλλήνων καὶ Ἑβραίων διάλεκτον εἰδότας, ἑρμηνεῦσαι αὐτοῖς τὰς βίβλους προσέταξεν ἀπὸ τῆς Ἱερουσαλὴμ μεταστειλάμενος » (σελ. 16). Καὶ ταῦτα μὲν τοιαῦτα νομίζομεν, καὶ ἴσως πιθανώτερα παρὰ τοὺς πλάττοντας ποικίλους καὶ πολλοὺς Ἀριστήδος ἱστορίας κώδηκας. Ὅσον δὲ *περὶ τῆς ἐπιγραφῆς* τῶν δύω παρ᾽ Ἐπιφανίῳ ἐπιστολῶν, ἀφελέστερον καὶ ταύτας ἐπέγραψεν ὁ Πατὴρ, ἀπευθύνων οὐχὶ πρὸς μόνον τὸν ἀρχιερέα (καθὼς ἐπιγράφεται ἡ παρὰ τῷ Ἀριστέᾳ), ἀλλὰ καθολικώτερον « *τοῖς ἐν Ἱεροσολύμοις τῶν Ἰουδαίων* », καὶ « *τοῖς Ἱεροσολύμοις διδασκάλοις* », ἀναφερόμενος πρὸς ὅλον δηλαδὴ τὸ Συνέδριον, καὶ ἴσως ἔχων κατὰ νοῦν καὶ τὰς ἐν Β. Μακκαβαίων (κεφ. α) ἐπιγραφὰς τῶν ἐπιστολῶν ἐκείνων « *Οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι* » κτλ. καὶ « *Οἱ ἐν Ἱεροσολύμοις καὶ οἱ ἐν τῇ Ἰουδαίᾳ καὶ ἡ Γερουσία* » κτλ. (α).

§. ζ. Τούτων οὕτω τεθέντων, ἕπεται λοιπὸν αὐτομάτη καὶ τοῦ τετάρτου ζητήματος ἡ ἐπίλυσις. Ὁ Ἀριστέας διηγούμενος τὴν πρὸς τὸν Πτολεμαῖον συνέντευξιν Δημητρίου τοῦ Φαληρέως ἔγραψεν, ὅτι ἐρωτηθεὶς ὁ Δημήτριος ὑπὸ τοῦ βασιλέως « πόσαι τινὲς μυριάδες βιβλίων εἰσὶν ἐν τῇ βιβλιοθήκῃ; *ὑπὲρ εἴκοσιν* ἀπεκρίνατο » (καὶ Ἰώσηπος ὡσαύτως ἔγραψε, « *περὶ τὰς εἴκοσιν* »)· ὁ δὲ μακάριος Ἐπιφάνιος ἔχει (καθὼς ἀναγινώσκεται τὴν σήμερον) « *πέντε* μυριάδες *βιβλίων* καὶ τετρακισχίλιαι καὶ ὀκτακόσιαι » (β). Καὶ τὴν μὲν προσθήκην (τὴν *τετρακισχίλιαι καὶ ὀκτακόσιαι*)

(α) Οὕτως εἶπε καὶ ὁ μακάριος Εἰρηναῖος « ἠτήσατο παρὰ τῶν ἱεροσολυμιτῶν (ὁ Πτολεμαῖος) εἰς τὴν ἑλληνικὴν διάλεκτον σχεῖν αὐτῶν μεταβεβλημένας τὰς Γραφάς ». Εἰρην. κατὰ Αἱρέσ. βιβλ. γ. κε.

(β) Ἐν δὲ τῷ παρὰ Μοντεφαλκωνίῳ (Hexapl. Orig. T. I. p. 86) ἀνεκδότῳ ἀποσπάσματι τῆς ἐπιτομῆς « τοῦ ἁγίου Ἐπιφανίου περὶ τῶν Ο, ἑρμηνευτῶν, καὶ τῶν παρερμηνευσάντων » γράφεται ὁ ἀριθμὸς « τῶν συναγομένων βιβλίων ἕως μυριάδες ε, καὶ δ, χιλιάδων ». Αὕτη δὲ ἡ ἐπιτομὴ φαίνεται συντάκτου τινὸς ἑτέρου παρὰ τὸν Ἐπιφάνιον αὐτόν. βλ. Rosenmüller l. c. p. 412.

ἔγραψε κατὰ τὴν φήμην πάλιν ὁ Πατὴρ, ἥτις ἐφιλοτιμήθη μικροπεριέργως διορίσαι καὶ τὸ παρὰ τῷ Ἀριστέᾳ ἀδιόριστον ὑπὲρ («ὑπὲρ τὰς εἴκοσι»). Τὸ δὲ *πέντε*, ἀντὶ *εἴκοσιν*, οὐκ αὐτὸς ὁ Ἐπιφάνιος ἔγραψεν, ἀλλ' ἡ τῶν πρώτων ἀντιγραφέων ἀπρόσεκτος ἀβλεψία (ἥτις παρατηρεῖται καὶ ἐν τῷ ὄπισθεν σημειωθέντι ἀποσπάσματι τῆς Ἐπιφανίου ἐπιτομῆς, «ἕως μυριάδες ε,»). Ὁ Ἐπιφάνιος ἐχάραξε τὸν ἀριθμὸν δι' ἀριθμητικοῦ στοιχείου οὐχὶ τοῦ ε, (=5, ὡς φαίνεται ἐν τῷ ἀποσπάσματι), ἀλλὰ τοῦ κ (=20)· ὁ δ' ἀπρόσεκτος ἀντιγραφεὺς ἔτρεψε τὸ κ εἰς ε, καί τις ἄλλος ἐφεξῆς μετέγραψεν ὁλόγραφον τὸν ἀριθμὸν, *πέντε*. Τούτου δεῖξις ἀναντίῤῥητος καὶ ἄλλη πάλιν ἄλλων ἀριθμῶν γραφὴ, παρομοίως ἐσφαλμένη ἐν ἑτέρῳ χωρίῳ τῆς αὐτῆς τοῦ Πατρὸς συγγραφῆς· οἷον (ἐν σελ. 167) «καὶ ἀπέστειλαν ηϐ (ἀντὶ κϐ) τὰς ἐνδιαθέτους (βίβλους), *ἑβδομήκοντα δύω δὲ τὰς ἀποκρύφους*». Ἀλλ' ὀλίγῳ πρότερον (σελ. 163) ἀντὶ τῆς ἐψευσμένης *ἑβδομηκονταδύω* ἀναγινώσκεται ἡ ἀληθὴς τοῦ Ἐπιφανίου γραφή. «Αὗται (λέγει) τοίνυν (αἱ ἐνδιάθετοι βίβλοι), εἰκοσιδύο ἀριθμούμεναι, τὸν τρόπον ὃν εἴπομεν ἡρμηνεύθησαν, καὶ *εἰκοσιδύω* τῶν ἀποκρύφων» (α). Καὶ φαίνεται μὲν ἄπορον πῶς καὶ ταῦτα καὶ ἄλλα πολλὰ σφάλματα διέφυγον τὴν ὀξυδέρκειαν τοῦ σοφοῦ Πεταυΐου περὶ τὴν ἔκδοσιν τῶν συγγραμμάτων τοῦ Πατρὸς, ἅτινα παρέσχον εἰς αὐτὸν ἐνίοτε πράγματα καὶ δυσκολίας (ϐ). Ὁ δὲ βαθύσοφος Βανδάλης ἀποβαίνει καὶ λίαν οἰκτρὸς, περισπώμενος ἄνω καὶ κάτω, μυκτηρίζων καὶ ἀσθμαίνων, ὅπως ἀφειδῶς ἐξελέγξῃ τὸν κατ' αὐτὸν *ψευδαριστέα* καὶ ἐκ τούτου δὴ τοῦ παρ' Ἐπιφανίῳ παρα-

(α) Ποίας ἀριθμεῖ τὰς εἰκοσιδύο ἀ π ο κ ρ ύ φ ο υ ς ὁ ἱερὸς Ἐπιφάνιος, λέγομεν ἐφεξῆς ἐν τῷ οἰκείῳ τόπῳ (βλ. ἔμπρ. Βιβλ. Β. κεφ. ε. §. η, καὶ σημ.)

(ϐ) Οἷον τὸ ἀνωτέρω (σελ. 167) παράπτωμα τῶν οϐ (καὶ ὁλόγραφον ἑ β δ ο μ η κ ο ν τ α δ ύ ω γραφὲν ὑπὸ τῶν ἀντιγραφέων), δέον διορθοῦν εἰς κϐ (καθὼς αὐτὸς ἐξέδωκεν ὁ Πεταύϊος καὶ ἐν σελ. 163), ὁ δὲ μᾶλλον ἐσημείου διαμαρτυρόμενος «ὅτι δυσκόλως ἂν πεισθείη ταῦτα (περὶ τῶν 72 ἀποκρύφων) λέγοντι τῷ Ἐπιφανίῳ» (D. Petavij Animadv. ad Epiphan. vol. 2. p. 381). Εἰς κβ. διορθοῖ τὸ ἡμαρτημένον τοῦτο ΟΒ. καὶ ὁ Κοτελέριος (PP. Apost. T. I. p. 346. Antverp. 1698.)

πτώματος τῶν ἀντιγραφέων (α). Τοιαύτη πλάνη τῆς ἀντιγραφῆς μετέτρεψε καὶ τὸ ἀνωτέρω *εἴκοσι* (κ) εἰς τὸ *πέντε* (ε) (β). Καὶ ἄλλο δὲ σφάλμα τυπογραφικὸν ἐν τῷ αὐτῷ τοῦ Ἐπιφανίου χωρίῳ μετέγραψε πιστῶς ὁ Βανδάλης, μηδὲν μηδόλως ὑπονοήσας, ἐν μέρει δὲ καὶ μεθηρμήνευσε κακῶς. Πᾶς τις καὶ τῶν ἄκρῳ δακτύλῳ παιδείας ἑλληνικῆς γευσαμένων βλέπει καθαρῶς, ὅτι ἐν τῇ ἀνωτέρω (τῇ ἐν ἀρχῇ τοῦ παραγράφου) ῥήσει τοῦ Ἐπιφανίου, οὐ μόνον τὸ *πέντε* διορθωτέον εἰς τὸ *εἴκοσιν*, ἀλλὰ καὶ ἐν τοῖς ἐφεξῆς, ἢ τὸ *βιβλίων* τρεπτέον εἰς τὸ *βίβλων* (θηλυκῶς), ἵνα συμφωνῇ πρὸς τὰ ἑπόμενα ἐπίθετα τετρακισχίλιΑΙ, καὶ ὀκτακόσιΑΙ (βίβλοι), ἢ (τὸ πιθανώτερον, καὶ μᾶλλον ἁρμόζον εἰς τὴν Ἐπιφανίου σύνθεσιν) αὐτὰ τὰ ἀριθμητικὰ τρεπτέον εἰς οὐδέτερα «*τετρακισχίλιΑ*, *ὀκτακόσιΑ*» (βιβλία), ἵνα συμφωνῶσι πρὸς τὸ προηγούμενον *βιβλίων*. Καθὼς δ' ἔχει νῦν ἡ ἔκδοσις, γίνεται τὸ νόημα γελοῖον καὶ παντάπασιν ἀπίθανον· «*μυριάδες* (λέγει) *πέντε βιβλίων*, καὶ *τετρακισχίλιαι ὀκτακόσιαι*»! — μυριάδες δηλονότι καὶ αὗται (ἢ τί ἄλλο δύναταί τις συμβαλεῖν;). Καὶ ὅμως ὁ Βανδάλης ἀντέγραψεν ἐπ' ἀκριβὲς καὶ τοῦτο τοῦ τυπογράφου τὸ σφάλμα (γ), καὶ οὕτως ἐπλήρωσε τῶν Πτολεμαίου βιβλίων

(α) Βλ. Van Dale Diss. pag. 55—58. Ὅπου ταύτας δὴ τὰς παρ' Ἐπιφανίῳ δῆθεν 72 ἀποκρύφους παραβάλλει πρὸς ἕν τι χωρίον τοῦ λατινιστὶ μόνον περιφερομένου Δ, βιβλίου τοῦ Ἔσδρα (νόθου συγγράμματος), ἄλλα τε ληροῦντος, καὶ ὅτι τὰ τεύχη τῆς Γραφῆς εἰσὶ 204: δηλονότι 134, κανονικὰ (ἀντὶ τῶν 22), καὶ 70: τὰ ἀπόκρυφα! Ἐπειδὴ δὲ ταῦτα τὰ παρὰ τῷ Ψευδέσδρᾳ, τὰ ἀπόκρυφα, οἱ περὶ Φραγκῖσκον τὸν Ἰούνιον (σοφώτατον, κατὰ τὸν Βανδάλην, θεολόγον) κρίνουσιν ὅτι ἦσαν τῆς τῶν χυμικῶν ἢ χρυσοποιῶν πλάνης ἀναπλάσματα, διατείνεται καὶ ὁ Βανδάλης ὅτι τοιαῦτα ἦσαν καὶ τὰ 72, ὧν ὁ κατ' αὐτὸν Ψευδαριστέας ἐμνημόνευσε παρ' Ἐπιφανίῳ. Βλ. καὶ τὰ τοῦ Ὀδίου ἐφεξῆς Βιβλ. Β. κεφ. Ε. §. ζ. Οὗτος δὲ καὶ ἄλλα παρεξήγησε (Βλ. Βιβλ. Β. Κεφ Ε. §. γ. καὶ Κεφ. Ζ. §. ιβ.)

(β) Τοιαύτη τις ἀντιγραφέων ἀβλεψία καὶ παρὰ τῷ Συγκέλλῳ μετέστρεψε τὸ κ (εἴκοσιν) εἰς ι (δέκα)· «Μυριάδας (λέγει) βίβλων ι, ἀπέθετο (ὁ Φιλάδελφος) κατὰ τὴν Ἀλεξάνδρειαν» κτλ. καὶ πάλιν ἐφεξῆς (ὁλόγραφον) «δέκα μυριάδες βίβλων ἦσαν» κτλ. (Σύγκελ. Χρονογρ. σελ. 516 καὶ 518 τόμ. α. ἐκδ. Bonnae 1829). Βλ. καὶ ἔμπροσθεν κεφ. Θ. §. κα.

(γ) Van Dal. p. 45 (τὸ δὲ παράδοξον, ὅτι καὶ αὐτὸς ὁ Rosenmüller, ubi sup. p. 370).

οὐ μόνον τὴν Ἀλεξάνδρειαν, ἀλλὰ καὶ πᾶσαν τὴν Αἴγυπτον, συμφορήσας τόμων μυριάδας ὅλας *πέντε καὶ ὀκτακοσίας καὶ τετρακισχιλίας* (τουτέστι τεσσαράκοντα ὀκτὼ ἑκατομμύρια, καὶ πεντήκοντα χιλιάδας)! Ἐκλατινίζων δὲ τὸ χωρίον, τἄλλα μὲν ἐξέφρασεν ὀρθῶς (ὁδηγούμενος ἐκ τῆς Λατινικῆς μεταφράσεως), πλὴν μόνον τὸ *τετρακισχίλια* (εἴτε φρίξας καὶ αὐτὸς πρὸς τὸ ποσὸν, εἴτε μὴ νοήσας τὴν λέξιν, εἴτε καὶ παραναγνοὺς), μετέπλασεν εἰς τὸ *τρισχίλια*! (α).

§. ή. Τελευταῖον, ὁ μὲν Ἀριστέας ἔγραψεν ὅτι ὁ Δημήτριος ἐσπούδαζε «συναγαγεῖν, εἰ δυνατὸν, *ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην* βιβλία» (ὡσαύτως καὶ Ἰώσηπος), ὁ δὲ Ἰουστῖνος «τὰ *πάντων ἀνθρώπων συγγράμματα*» (Ἀπολογ. α. σελ. 63). Τοῦτο τοίνυν ὁ μακάριος Ἐπιφάνιος ἐκφράζων πλατυκώτερον (ὡς ἐξήγησε καὶ τὰ εἴδη τῶν συγγραμμάτων, «*ποιητῶν*, λέγων, *καὶ λογογράφων, ῥητόρων τε καὶ σοφιστῶν καὶ ἰατρῶν.* κτλ.) (β), ἀπηρίθμησε καὶ τὰ τότε τῶν ἐθνῶν ἐπισημότερα. «Ἀκούομεν δὲ ἔτι» (λέγει παρ' αὐτῷ πρὸς τὸν Πτολεμαῖον ὁ Δημήτριος) «πολὺ πλῆθος (βιβλίων) *ἐν τῷ κόσμῳ* ὑπάρχειν, παρά τε Αἰθίοψι καὶ Ἰνδοῖς, Πέρσαις τε καὶ Ἐλαμίταις, καὶ Βαβυλωνίοις, Ἀσσυρίοις τε καὶ Χαλδαίοις, παρὰ *Ῥωμαίοις* τε καὶ Φοίνιξι, Σύροις τε καὶ τοῖς ἐν τῇ Ἑλλάδι, *οὔπω Ῥωμαίοις καλουμένοις ἀκμὴν ἀλλὰ Λατίνοις*». Εἰς ταῦτα ὁ Πεταΰϊος ἐσημείωσεν ὡς ἰδίαν ἑαυτοῦ εἰκασίαν, ὅτι τότε (ἐπὶ τοῦ Φαληρέως) οὐκ ἦσαν παρὰ Ῥωμαίοις ἔνδοξοι καὶ πολλοὶ συγγραφεῖς (καὶ τ' ἄλλα, ὅσα μόνον ἐμνη-

(α) Quinque myriades et t e r m i l l e atque octingentos (libros). Van Dale l. c. p. 48. Πολὺ συμφωνότερον πρὸς τὸ κείμενον ἔχει ἡ παρὰ τῷ Πεταυΐῳ λατινικὴ μετάφρασις τοῦ Ἐπιφανίου Quinquaginta et quatuor millia cum octingentis, καὶ ταύτην ὁ Βανδάλης εἶχε πρὸ ὀφθαλμῶν. Ὅθεν ὁ αὐτὸς ἀλλαχοῦ (σελ. 37) ἔγραψε, τέλος, ὀρθότερον διὰ χαρακτήρων ἀραβικῶν (54800).

(β) *Ἐν τῷ προειρημένῳ* (σελ. 49.) *Ἀποσπάσματι τῆς Ἐπιφανίου Ἐπιτομῆς γράφεται ἁπλῶς «τὰς πανταχοῦ βίβλους* π ο ι η τ ῶ ν τ ε κ α ὶ λ ο γ ο γ ρ ά φ ω ν». *Πότερον ἆρα, ὁ Ἐπιτομεὺς ἔγραψε μόνον τὰ γενικώτερα τῶν συγγραφέων εἴδη, παριδὼν τὰ εἰδικώτερα; ἢ καὶ ταῦτα προσετέθησαν ὕστερον ὑπὸ νεωτέρας χειρὸς ἐν τῇ συγγραφῇ τοῦ Ἐπιφανίου;*

μόνευσεν ὅδιος ἀνωτέρω, §. α. σημ.) (α). Ὅθεν (προστίθησι συνεχίζων ὁ Πετάυϊος) τὸ *παρὰ Ῥωμαίοις* ἀκαίρως ἐνταῦθα φαίνεται παρεμβεβυσμένον, μάλιστα δὲ ξένον ἐπέχει τόπον μεταξὺ τοῦ «*Χαλδαίοις καὶ Φοίνιξι*». Ἀλλὰ καὶ τὸ, «*Οὔπω Ῥωμαίοις καλουμένοις ἀκμὴν*» κτλ. ἐν παρενθέσει (λέγει) κρίνομεν ἐγκλειστέον, οὐ γὰρ νομίζομεν ὅτι ἔγραψε ταῦτα ὁ Ἐπιφάνιος ὡς ἐκ προσώπου τοῦ Δημητρίου (σφόδρα γὰρ ἀπίθανον ἦν τὸ πρᾶγμα καὶ κωφὸν), ἀλλ᾽ αὐτὸς αὐτὰ παρενέδυσεν ὁ Πατὴρ, τοῖς λόγοις τοῦ Δημητρίου συνεξυφάνας. Καί τοι καὶ τοῦτο οὐχ ἧττον ἀπίθανον εἶναι δοκεῖ, τὸ λέγειν τοὺς ἐν τῇ Ἑλλάδι (δηλαδὴ τοὺς Ἕλληνας) πρῶτον μὲν καλεῖσθαι *Λατίνους*, ἔπειτα δὲ *Ῥωμαίους!* — Λατῖνοι δὲ οὐδέποτε ἤκουσαν, οὔτ᾽ αὐτοὶ οἱ Ἕλληνες, οὔτε μὴν οἱ τῆς μεγάλης Ἑλλάδος Ἰταλιῶται λαοί. Ὑποπτεύω τοίνυν ὅτι τοῦτο τὸ κῶλον (τὸ *οὔπω Ῥωμαίοις καλουμένοις*, κτλ.), ἐξέστραπται τῆς οἰκείας χώρας ἐξαρθρωθὲν, ὅθεν καὶ μεταθετέον ἀνωτέρω παρευθὺς μετὰ τὸ *Ῥωμαίοις*, ἢ γοῦν τοῦτο, τὸ *παρὰ Ῥωμαίοις*, μᾶλλον μετατοπιστέον, καὶ τακτέον εὐθὺς μετὰ τὸ *τοῖς ἐν τῇ Ἑλλάδι* (γράφοντας οὕτω· «τοῖς ἐν τῇ Ἑλλάδι, καὶ *παρὰ Ῥωμαίοις, οὔπω Ῥωμαίοις καλουμένοις*» κτλ.)· διότι (ὡς προείπομεν) ξένον οἱ Ῥωμαῖοι τόπον ἐπέχουσι μεταξὺ Χαλδαίων καὶ Φοινίκων ἐντεθειμένοι» (β). Ταῦτα ὁ σοφὸς Ἰησουΐτης ἐσημείωσεν ὀρθῶς καὶ ἐπισταμένως, ἀλλ᾽ ὤφειλεν, ἴσως, καὶ τὸ κείμενον ἐκδοῦναι κατὰ ταύτην τὴν διόρθωσιν, μεταθεὶς τὸ *παρὰ*

(α) Τὸ *παρὰ Ῥωμαίοις* εὑρίσκεται καὶ παρὰ τῷ Συγκέλλῳ, ἀντιγράψαντι ἐκ τοῦ παλαιοῦ Ἀφρικανοῦ. «Ὃς (Πτολεμαῖος) πάντων, Ἑλλήνων τε καὶ Χαλδαίων Αἰγυπτίων τε καὶ Ῥωμαίων τὰς βίβλους συλλεξάμενος καὶ μεταφράσας τὰς ἀλλογλώσσους εἰς τὴν Ἑλλάδα γλῶσσαν κτλ. (Σύγκελ. Χρονογρ. σελ. 516 ἐκδ. Bon.). Ὅθεν (ἂν ταῦτα πάντα ὑπάρχωσι τοῦ Ἀφρικανοῦ) φαίνεται, ὅτι τῶν ἀρχαίων πατέρων τινες ἐξέφραζον καὶ κατ᾽ ἔθνη ὀνομαστὶ τὸ «πάντων ἀνθρώπων» διορίζοντες ἀπὸ τῶν ἐπισημοτέρων τῆς ἀρχαιότητος ἐθνῶν, οἷς προσετίθουν καὶ τοὺς Ῥωμαίους (διότι καὶ οὗτοι εἶχον βίβλους, ὅσας ἂν ὀλίγας καὶ εἶχον τότε ἐπὶ τοῦ Φαληρέως, καθὼς ἐσημείωσεν ὁ Πεταΰϊος)· τοῦτο καὶ ὁ ἱερὸς Ἐπιφάνιος ἐποίησε πλατυκώτερον ἑρμηνεύσας.

(β) D. Petavij Animadvers. ad Epiphan. vol. 2. p. 380.

Ῥωμαίοις κτλ. εἰς τὸν προσήκοντα τόπον (κατόπιν τοῦ *τοῖς ἐν τῇ Ἑλλάδι*), καὶ καθαρίσας τὸ χωρίον ἀπὸ τῶν τοιούτων ἐξαρθρωμάτων καὶ στρεμμάτων, ὅσα χεῖρες ἀμαθῶν ἀντιγραφέων διεστρέβλωσαν. Ὅ,τι μάλιστα βεβαιοῖ τὴν ἄτοπον τοῦ κόμματος θέσιν ὑπάρχει χωρίον τι τοῦ χρονικοῦ Κανόνος τοῦ Εὐσεβίου (ὅπερ ἄπορον, πῶς διέλαθε τὸν σοφὸν Πεταΰϊον), ἐξ οὗ φαίνεται σχεδὸν μεταγεγραμμένον (ἂν μὴ πλανώμεθα) τοῦτο δὴ τὸ *οὔπω Ῥωμαίοις*. Εἰς τὸ ῥηθὲν τοῦ *Κανόνος* χωρίον, ἀριθμουμένων τῶν βασιλειῶν ὅθεν συνέλεξεν ὁ Εὐσέβιος τὰς τῶν χρόνων ἀναγραφὰς « *Χαλδαίων, Ἀσσυρίων, Μήδων, Περσῶν, Λυδῶν, Ἑβραίων, Αἰγυπτίων, Ἀθηναίων, Ἀργείων, Σικυωνίων, Λακεδαιμονίων, Κορινθίων, Θετταλῶν, Μακεδόνων* (προστίθεται τελευταῖον), *Λατίνων, οἷς ὕστερον γέγονεν ἐπίκλην Ῥωμαῖοι* » (α). Τοῦτο λοιπὸν τὸ ὕστατον κῶλον μετεποίησεν εἰς τὸ *οὔπω Ῥωμαίοις κτλ.* ἔσχατον γράψας τὸ ἐπεξήγημα, εἴτ' αὐτὸς ὁ Ἐπιφάνιος ἔγραψεν, εἴτε (τὸ πιθανώτατον), ἄλλος τις ὕστερον ἐν τοῖς Ἐπιφανίου προσθείς (β). Εἰ δὲ καὶ τοῦτ' ἀληθεύει (καθὼς νομίζομεν), ὤφειλε λοιπὸν ὁ Πεταΰϊος ἐκδοῦναι τὴν φράσιν καὶ εἰς τὸ κείμενον ἔγκλειστον διὰ παρενθέσεως (ἢ καὶ δι' ἀστερίσκων ἑκατέρωθεν σεσημασμένην), οὐχὶ καθὸ προσθήκην (ὡς εἶπεν) αὐτοῦ τοῦ Ἐπιφανίου, συνεξυφανθεῖσαν τοῖς λόγοις τοῦ Φαληρέως (καὶ τούτους γὰρ ὁ Πατὴρ ἔγραψεν οὐκ ἐξ Ἀριστέου, ἀλλ' αὐτὸς ἐξ ἑαυτοῦ, χάριν σαφηνείας, εἰσάγων ἀφελῶς τὸν Φαληρέα λαλοῦντα, καθὼς ἂν ἐλάλησεν ἐπ' αὐτοῦ τοῦ Ἐπιφανίου), ἀλλ' ὡς φράσιν ὕποπτον, χειρὸς νεωτέρας ἐν τοῖς Ἐπιφανίου προσθήκην. Ὁ μὲν γὰρ Πατὴρ (εἴπερ αὐτὸς ἔγραψε τὴν ἀπαρίθμησιν τῶν ἐθνῶν) ἔγραψεν ἴσως μόνον τὸ « *καὶ παρὰ Ῥωμαίοις* » (καὶ τοῦτο μετὰ τὸ « *τοῖς*

(α) Βλ. Χρονικ. Κανόνων Εὐσεβ. σελ. 223 ἐκδ. Μαϊj. πρβλ. Συγκελ. Χρονογραφ. σελ. 123. Bon.

(β) Ἐν τῷ προῤῥηθέντι Ἀποσπάσματι τῆς Ἐπιφανίου Ἐπιτομῆς οὐδὲν ἀριθμεῖται ἔθνος· ἀλλὰ μόνον γράφεται « τὰς ἁπανταχοῦ βίβλους » κτλ (βλ. ὄπισθ. σελ. 49.)

ἐν τῇ Ἑλλάδι»)· ἄλλος δέ τις νεώτερος γραμματικὸς ἐσημείωσεν εἰς τὴν ᾤαν, ἢ τὸ περισέλιδον, ὡς ἐπεξήγησιν, τὸ «*οὔπω Ῥωμαίοις καλουμένοις*» κτλ. ὁ δὲ ῥεμβὸς μεταγραφεὺς παρενέδυσε καὶ τὴν σημείωσιν εἰς τὸ κείμενον εἰσκυλίσας ἀτάκτως· τοῦτο δὲ καὶ αὐτὴ μάλιστα τῆς φράσεως ἡ ἄτοπος θέσις παρέχει ὑπονοεῖν (α). Ἀλλὰ ταῦτα μὲν ἐχέτωσαν ὅπως ἂν ἔχωσιν· κἂν ὑποτεθῶσιν οἱ λόγοι γνήσιοι τοῦ Ἐπιφανίου, οὐδὲν εἶπεν ἐν τούτοις ἀνόητον ὁ Πατήρ· ἀλλ' ὅ,τι προεῖπε μὲν ὁ Εὐσέβιος, ἐπικυροῖ δὲ πᾶσα ἡ ἱστορία· τὸ *Λατῖνος* ὄνομα καὶ τὸ *Λάτιον* ὑπῆρξαν

(α) Ὁμοίας παρασημειώσεως εἰς τὸ κείμενον παρείσδυσις φαίνεται καὶ ἐν ταῖς εἰς τὸν Μ. Ἀθανάσιον ἐπιγεγραμμέναις Ῥήσεσι καὶ ἑρμηνείαις παραβολῶν κτλ. (ἐρωτ. ος. Τόμ. Β. σελ. 339. ἐκδ. Comel.) «Ἔθνη λέγει (ὁ ψαλμ. ὁ Β. 1) τῶν Ῥωμαίων [ἤγουν τῶν φράγγων] τὸ γένος, τῶν σταυρωσάντων τὸν Χριστόν». Ὁ Κάβης (Cave Script. Eccles. Hist. Lit. p. 1. pag. 104. ὅστις κατὰ λάθος ἐκφέρει τὴν ῥῆσιν ὡς ἐκ τῶν πρὸς Ἀντίοχον Ζητημάτων, καὶ αὐτῶν εἰς τὸν Μ. Ἀθανάσιον ἐπιγεγραμμένων), καὶ ὁ Δευπῖνος (Du-Pin Nouv. Bibl. des aut. Eccles. vol. 2. p. 60. ὅπου γράφει τὴν ῥῆσιν κολλοβὴν), μνημονεύουσι καὶ τοῦτο τὸ χωρίον, ὡς ἀπόδειξιν, ὅτι τὸ βιβλίον ὑπάρχει πολὺ μετὰ τὸν Μ. Ἀθανάσιον μεταγενεστέρου συγγραφέως ἐπὶ τῶν νεωτέρων Ἑλλήνων, ἀφ' οὗ τὸ Δυτικὸν βασίλειον καθυπέταξαν οἱ Φράγγοι (Γάλλοι). Καὶ προστίθησιν ὁ Φράγγος οὗτος, ὅτι «οἱ νεώτεροι Ἕλληνες συνεσκεύασαν πολλὰς τοιαύτας Συλλογὰς ἐπιγράψαντες εἰς ἀρχαίους πατέρας»! Ἀλλ' οὗτος μὲν ὁ Δυτικὸς σοφὸς κρίνει καὶ περὶ τῶν ἄλλων ἐκ τῶν οἰκείων. Τὰ δὲ πρὸς Ἀντίοχον Ζητήματα, καὶ αἱ Ῥήσεις φαίνονται μᾶλλον συντάγματα νεωτέρου τινος Ἀθανασίου (ἴσως τοῦ Πρεσβυτέρου Ἀλεξανδρείας, ἀκμάσαντος περὶ τὸ 450)· διὰ δὲ τὴν ὁμωνυμίαν ἐπεγράφησαν κατὰ λάθος εἰς τὸν Μ. Ἀθανάσιον ὑπὸ τῶν ἀντιγραφέων· ἔχουσι δὲ καί τινα σημειώματα νεωτέρας χειρὸς ἐκ τῆς ᾤας τοῦ βιβλίου εἰς τὸ κείμενον παρεισφρήσαντα· καὶ τοιοῦτο φαίνεται καὶ τὸ «ἤγουν τῶν Φράγγων» ὡς ὠνόμαζον οἱ νεώτεροι Ἕλληνες πάντας τοὺς Δυτικοὺς, καὶ αὐτοὺς τοὺς Ῥωμαίους, ἀφ' οὗ ἐπωνομάσθησαν καὶ αὐτοὶ Ῥωμαῖοι. Οὕτω καὶ ὁ Τζέτζης διακρίνων τοὺς κυρίως Ῥωμαίους ἀπὸ τῶν Ἑλλήνων ἔγραψεν ἐπεξήγησιν «Ῥωμαίων, τῶν Λατίνων» (Χιλ. Ε. 15). Οὕτω καὶ Γεώργιος ὁ Σύγκελλος· «Λατῖνοι, οἱ καὶ Ῥωμαῖοι» (Χρονογρ. σελ. 93 Bon.). Ἄλλος δέ τις καὶ πλέον διωρισμένως· «Λατίνων τῶν ἀπὸ Λατίνου βασιλέως αὐτῶν, καὶ Ἰταλῶν, ἔκ τινος ἡγεμονεύσαντος αὐτῶν, καὶ ὕστερον ἐπικληθέντων Ῥωμαίων ἀπὸ Ῥώμου,» κτλ. (Γεώργ. Ἁμαρτωλ. Χρονικ. πρβλ. σημ. Maij in Euseb. Chronic. II. pag. 224. ἐκδ. Mediolan.).

ἀρχαιότερα τοῦ *Ῥώμη* καὶ *Ῥωμαῖος*. Ἀρκεῖ μόνον ἡ βεβαιότης, ὅτι οὐκ ἀπό τινος Ἀριστέου, ἀλλ᾽ αὐτὸς ὁ μακάριος Ἐπιφάνιος ἐξέφρασεν ἀφ᾽ ἑαυτοῦ τοὺς πρὸς τὸν Πτολεμαῖον λόγους τοῦ Δημητρίου, πλατύνας τὴν ἔκφρασιν καὶ διὰ τῆς ἀπαριθμήσεως τῶν ἐθνῶν, ὅθεν συνῆγεν ὁ Δημήτριος τὰ βιβλία. Καὶ ὁ μὲν Πεταύϊος εἰς τὴν ἔκδοσιν ἐσημείωσε τὴν ἄλλως καὶ καθ᾽ ἑαυτὴν φαινομένην τοῦ Ἐπιφανιακοῦ τούτου χωρίου παρὰ τῶν ἀντιγραφέων διαφθοράν. Ἐμνημόνευσε καὶ Ὅδιος παρακόψας τοῦ Πεταυΐου τὴν σημείωσιν. Ὁ δὲ καλὸς Βανδάλης, ἐκλατινίζων τὸ χωρίον, κἄτι πλέον ἐφιλοτιμήθη. Εἰς αὐτοὺς εἰσωθεῖ τοὺς ὀφθαλμοὺς τοῦ ἀναγνώστου προβάλλων μεγάλα καὶ τρανὰ (ἐν κεφαλαίοις γράμμασι κεχαραγμένα) τὰ κακοσύνθετα ταῦτα λόγια «*ΤΟΙΣ ἐν τῇ Ἑλλάδι, οὔπω Ῥωμαίοις καλουμένοις ΑΚΜΗΝ*» (καὶ τοῦτο τὸ *ἀκμὴν* ἑρμηνεύει EXERTE, τουτέστιν *ἐξαιρέτως!*) κτλ. καὶ χαίρει λοιπὸν φυτεύσας αὐτὰ μεγαλόγραφα, ὡς ἄν τινας ὀβελίσκους καὶ στήλας, ἐν ὑπαίθρῳ στηλιτεύοντα τὴν γλοιώδη καὶ παχυλὴν ἀμάθειαν τῶν ψευδολογιῶν τοῦ *Ψευδαριστέου!*

§. θ΄. Μὴ ἀρκεσθεὶς δὲ μόνον εἰς ταύτας τὰς ἀποδείξεις ἐπιφέρει μάρτυρα (σελ. 63) καὶ τὸν ἱερὸν Αὐγουστῖνον, ὡς ἂν ἴδε τάχα καὶ ὁ Αὐγουστῖνος ἰδίως καὶ αὐτοψεὶ (καθὼς δηλαδὴ καὶ ὁ Ἐπιφάνιος) τοῦτον δὴ τὸν νεώτερον ψευδαριστέα! Ὁ δὲ Αὐγουστῖνος τί λέγει; ἄκουε· «Ἠτήσατο (ὁ Πτολεμαῖος) παρὰ τοῦ τότε ἀρχιερέως Ἐλεαζάρου δοθῆναι αὐτῷ τὰς Γραφὰς, ἃς τῷ ὄντι ἠκηκόει, τῆς φήμης κηρυττούσης, θείας (εἶναι)· διὸ καὶ ἐπεθύμησεν ἔχειν ἐν τῇ βιβλιοθήκῃ, ἣν ἐπισημοτάτην (nobilissimam) εἶχε κατασκευάσας. Ἐπειδὴ δὲ ταύτας ὁ Ἀρχιερεὺς ἀπέστειλεν *ἑβραίας* (ἑβραϊκῇ φωνῇ γεγραμμένας), ἐζήτησεν *ἔπειτα καὶ ἑρμηνεῖς* (ὁ Πτολεμαῖος)· καὶ ἐδόθησαν αὐτῷ 72, ἀφ᾽ ἑκάστης τῶν ιβ, φυλῶν ἕξ, ἄνδρες ἑκατέρων τῶν γλωσσῶν εἰδημονέστατοι, τῆς ἑβραΐδος δηλαδὴ καὶ τῆς Ἑλληνικῆς» (α). Ὅστις παραβάλλει

(α) S. August. de Civit. Dei. L. 18. c. 49. vol. 7. pag. 524. Paris. 1685.

ταῦτα τοῦ Αὐγουστίνου πρὸς τὰ ἀνωτέρω (§. ϛ) τοῦ μάρτυρος Ἰουστίνου, βλέπει φανερῶς ὅτι, καὶ ὁ μακάριος Αὐγουστῖνος ἔγραφε περὶ τῶν Ο, ὅσα συνέλεξεν ἔκ τε τοῦ Ἰωσήπου καὶ ἐξ αὐτοῦ μάλιστα τοῦ Ἰουστίνου, παρ᾿ οὗ κατὰ λέξιν σχεδὸν ἀντέγραψε καὶ τὰ *περὶ τῆς διπλῆς τοῦ Πτολεμαίου πρὸς τὸν Ἀρχιερέα ἀποστολῆς*. Καὶ τίς οἶδεν ἂν, ἐν ᾧ συνέγραφε τὸ *περὶ πόλεως Θεοῦ* (περὶ τὸ 410—420), οὐκ εἶχεν ἤδη παρ᾿ ἄλλων μαθὼν καὶ ὅσα πρὸ τριάκοντα (τοὐλάχιστον) ἐτῶν συνέγραψεν ἐν τῷ *περὶ μέτρων καὶ σταθμῶν* ὁ ἱερὸς Ἐπιφάνιος· καὶ ταῦτα μὲν τοιαῦτα.

§. ί. Ἀλλ᾿ ἔστω, δῶμεν τοῖς ἀνδράσι πρὸς ὥραν ἀληθεύειν τὴν ἀλλόκοτον αὐτῶν ἐπίνοιαν, καὶ πολλαπλασιαζέσθωσαν οἱ τῆς Ἀριστέου ἱστορίας κώδηκες, ἄλλος μέν τις κείμενος παρ᾿ Ἐπιφανίῳ, ἄλλος δέ τις (ἂν θέλωσι) καὶ παρ᾿ Αὐγουστίνῳ, καὶ τρίτος τις παρὰ τῷ μάρτυρι Ἰουστίνῳ, πάντες οὗτοι διαφέροντες ἐν ὀλίγοις, ἢ πολλοῖς περιστατικοῖς, καὶ παραλλάττοντες τῆς ἀρχαίας ἱστορίας ἐκείνης, ἣν καὶ Ἰώσηπος μετέγραψε συνοψίσας (ὡς αὐτὸς ὅδιος ὡμολόγησε), καὶ Εὐσέβιος, καὶ ἄλλοι (καθὼς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς)· μήπως παρὰ τοῦτο ἐξελέγχεται ψευδὴς ἡ πρώτη ἐκείνη καὶ παλαιοτέρα ἱστορία τοῦ Ἀριστέου; Ἀλλ᾿ ἐὰν οὕτω κρίνωμεν, ὥρα λοιπὸν καὶ ἄλλας πολλὰς συγγραφὰς ὡς νόθους καὶ μυθώδεις ἀποκηρύξαι, διὰ τὰς ἔν τισι τῶν ἀντιγράφων ἢ καὶ τῶν συγγραφέων ἀπαντώσας παραλλαγάς! «Διάφοροι (λέγουσιν οἱ περὶ τὸν Βανδάλην, σελ. 5,8) καὶ πολλοί τινες ἐκόσμησαν τὸν περὶ τῶν Ο, μῦθον, πλάττοντες πρὸς τὸ δοκοῦν ἕκαστος ὑπὸ τ᾿ ὄνομα τοῦ Ἀριστέου, πᾶν ὅ,τι τούτοις ὑπηγόρευε ζῆλος *εὐσεβοῦς* λεγομένης

καὶ παρ' αὐτῷ τῷ Βανδάλῃ (σελ. 64)· ὅστις ὅμως καὶ ταύτην τὴν ῥῆσιν ἐξέδωκεν ἐλλειπῆ καὶ παρεστιγμένην. Ἀντὶ τοῦ « Quas profecto audierat, fama praedicante, divinas, et ideo concupiverat » etc. Ὁ Βανδάλης ἔγραψε « Qnas profecto, FAMA PRAEDICANTE DIVINAS, concupiverat etc. Ὁ Αὐγουστῖνος λέγει ὅτι « ἤκουσε τῷ ὄντι (ὁ Πτολεμαῖος) θείας εἶναι τὰς Γραφὰς, τῆς φήμης κηρυττούσης κτλ. Ὁ δὲ Βανδάλης ὅτι, τῷ ὄντι ἐπεθύμησεν ὁ Πτολεμαῖος (ἔχειν ἐν τῇ Βιβλιοθήκῃ) τὰς Γραφὰς, ὡς τῆς φήμης αὐτὰς κηρυττούσης θείας!

ἀπάτης!» — Ἀλλ' οἱ ταῦτα λέγοντες ὤφειλον (ὡς νομίζομεν), πρῶτον ἐναργῶς καὶ *διὰ γραμμικῶν* (οὕτως εἰπεῖν) καὶ ἀναντιῤῥήτων ἀποδείξεων ἐξελέγξαι μῦθον ὄντα τὰ ἱστορούμενα, καὶ πλάσμα σαφές· τὸ δὲ τοιαύτην κρίνειν τὴν ἱστορίαν, διότι πολλοί τινες (ὡς λέγουσι) καὶ διάφοροι συνέγραψαν τὰ κατὰ τοὺς Ο, κατὰ μὲν τὴν βάσιν τῆς ὑποθέσεως συμφωνοῦντες, διαφέροντες δὲ περί τινα περιστατικά, τοῦτο τῷ ὄντι φαίνεται παράλογον πρᾶγμα καὶ μυθολογικόν, εἰς πολλὰς καὶ ἄλλας ἀτοπίας ἐκτραχηλίζον τοὺς δριμεῖς ἡμῖν κριτικούς. Πολλοί τινες τῶν ἀρχαίων ἱστόρησαν τὰ κατὰ τὸν μέγαν Ἀλέξανδρον, οἱ μὲν ἐν πραγματείαις ὁλοκλήροις (ὡς Ἀῤῥιανὸς, καὶ Πλούταρχος, καὶ ὁ Ῥωμαῖος Κόϊντος ὁ Κύρτιος κτλ.), οἱ δὲ παροδικῶς καὶ κατὰ μέρος ἐπιμνησθέντες ἐν ἄλλαις συγγραφαῖς (οἷον Διόδωρος ὁ Σικελιώτης, καὶ Στράβων, καὶ Λουκιανὸς, καὶ Παυσανίας, καὶ Ἀθήναιος, καὶ εἴ τις ἕτερος). Πολλὰ δὲ οὗτοι διαφέρουσι πρὸς ἀλλήλους οὐ μόνον ἐν ὀνόμασι κυρίοις τε καὶ γεωγραφικοῖς, ἔτι δὲ καὶ ἐν ἀριθμοῖς καὶ χρονολογίαις, ἀλλὰ καὶ περὶ πράξεις ἐπισήμους, ἀποτελούσας μέρος τῆς ἱστορίας (α). Ἀλλὰ τίς τὰς φρένας ὑγιὴς ἐξεσύριξεν ὡς μῦθον τὴν

(α) Οἷον τὴν Δαρείου θυγατέρα, ἣν ἔγημεν Ἀλέξανδρος, ὁ μὲν Ἀῤῥιανὸς Β α ρ σ ί ν η ν (οὕτω καὶ Παυσανίας Θ. ζ), ὅθεν παραπεφώνηται καὶ Φ α ρ σ ί ν η (Δέξιπ. ἐν Εὐσεβ. Χρονικ. Α. ἐκδ. Σκαλιγήρ.), καὶ Μ α ρ σ ί ν η (Πορφύρ. ἐν Εὐσεβ. Χρονικ. σελ. 172 ἐκδ. Maij), οἱ δ' ἄλλοι Σ τ ά τ ε ι ρ α ν ὀνομάζουσιν. Οἱ μὲν λέγουσιν ἐν Μ α λ λ ο ῖ ς τρωθῆναι τὸν Ἀλέξανδρον (Ἀῤῥιαν. ϛ, 11. 6. Στράβ. ιε. σελ. 701. Πλούταρχ. περὶ Ἀλεξ. τύχης α, 2. καὶ β, 9), οἱ δὲ ἐν Ὀ ξ υ δ ρ ά κ α ι ς (Διόδ. Σικελ. ιζ. 98. Παυσαν. α, 6. Λουκιαν. Νεκρ. Διαλ. ιδ, 5. Κύρτιος Θ, 4, 5. καὶ πάλιν ὁ Πλούταρχ. π. τ. Ἀλεξ. τύχης β. 12). Πόλεις ἐ ς τ ρ ι ά κ ο ν τ α κ α ὶ ἑ π τ ὰ — καὶ κώμας πλήθει πολλὰς, ἔδωκεν Ἀλέξανδρος τῷ Πώρῳ κατὰ τὸν Ἀῤῥιανὸν (ε, 20 §. 3—6), κατὰ δὲ τὸν Στράβωνα (ιε, 686) «π ό λ ε ι ς π ε ν τ α κ ι σ χ ι λ ί α ς». Ὀ κ τ ὼ μ υ ρ ι ά δ α ς ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δ' ὀ κ τ α κ ι σ χ ί λ ι α καὶ ἐλέφαντας ἑξακισχιλίους ὁ Πλούταρχος ἀριθμεῖ (Ἀλεξ. βίῳ §. 62)· ὁ δὲ Διόδωρος (ιζ, 93), Δ ι σ μ υ ρ ί ο υ ς μόνον ἱππεῖς ἅρματα δὲ δ ι σ χ ί λ ι α καὶ ἐλέφαντας τετρακισχιλίους. Τὴν ἐπὶ τοῦ Κύρου τάφου μίαν καὶ τὴν αὐτὴν ἐπιγραφὴν ἄλλως μὲν ὁ Ἀῤῥιανὸς (ϛ, 29) ἀναφέρει, πολὺ δὲ διαφόρως ὁ Πλούταρχος (Ἀλεξ. βίῳ §. 69), καὶ ἄλλως πάλιν ὁ Στράβων (ιε, 730)· καὶ (ἵνα τ' ἄλλα παραλίπωμεν) τοὺς παρὰ Πλουτάρχῳ (Ἀλεξ. §. 67) καὶ παρ' ἄλλοις κώμους καὶ πότους τοῦ Ἀλεξάν-

Ἀλεξάνδρου βιογραφίαν διὰ τὰς τοιαύτας διαφωνίας τῶν ἱστορικῶν; Ὁ δὲ Στράβων καὶ αὐτὸς «τοὺς (εἰς τὰς Ἀλεξάνδρου πράξεις) προστιθέντας πολὺ καὶ τὸ τῆς κολακείας εἶδος» ἐξελέγχων, ὡμολόγησεν ὅμως ὅτι «*ἐμφαίνουσι δέ τι καὶ πίστεως ἄξιον*» (α). Ἡμεῖς δὲ, τέλος, ὅταν ἐνθυμηθῶμεν ὅτι τὴν Ἀριστέου ἱστορίαν οὐδὲ πολλοί τινες διεπραγματεύσαντο ποικίλως καὶ διαφόρως, αὐτοὶ δὲ οὗτοι οἱ κριτικοὶ παρέπλασαν ψευδωνύμων Ἀριστέων πληθὺν, συναρπάσαντες ἐκ τῶν παρ᾽ Ἐπιφανίῳ καὶ Ἰουστίνῳ μικρῶν τεμμαχίων τῆς ἱστορίας ὀλίγας τινας καὶ κούφας διαφορὰς (αἵτινες οὔτε πρὸς ἀλλήλας, οὔτ᾽ εἰς αὐτὴν τὴν Ἀριστέου διήγησιν ἀντιβαίνουσιν ἀπ᾽ εὐθείας, ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς), τότε τοὺς μὲν Ὀδίους καὶ Βανδάλας καταλείπομεν εἰδωλοπλαστοῦντας τὸν ὃν λέγουσιν Ἀριστέου μῦθον, καὶ περικρεμῶντας ἐπ᾽ αὐτοῦ πρὸς καλλωπισμὸν τὰ ποικίλα παραρτήματα τῆς ἧς λέγουσιν *εὐλαβοῦς ἀπάτης* (ἢ ἀπατηλῆς εὐλαβείας), ἢ καὶ τῆς γοητείας ἄλλων ψευδαριστέων· θαυμάζομεν δὲ μόνον, πῶς τοιούτους ἐμπαθεῖς κριτὰς πολλοὶ τῶν νεωτέρων (πολλῷ τῷ μέτρῳ καὶ σοφώτεροι καὶ φιλαληθέστεροι) παρεδέξαντο καὶ μνημονεύουσιν, ὡς λοξίας ἀψευδεῖς, ἐν ταῖς περὶ τῶν Ο, θεωρίαις! Καὶ περὶ μὲν τῆς Ἐπιφανιακῆς, καὶ εἴ τινος ἄλλης πλαττομένης Ἀριστηΐδος ἱστορίας, ὡς δῆθεν διαφόρου παρὰ τὴν κοινὴν καὶ γνησίαν Ἀριστέου συγγραφὴν, τοσαῦτα εἴχομεν λέγειν.

δρου «οὔτε Πτολεμαῖος ὁ Λάγου, οὔτε Ἀριστόβουλος ἀνέγραψαν», οὔτ᾽ αὐτὸς ἀποδέχεται ὁ Ἀῤῥιανὸς (ς. 28)· καὶ ἄλλα δέ τινα παρ᾽ ἄλλοις σιωπώμενα, ὑπ᾽ ἄλλων ἱστοροῦνται. Τοιαύτας διαφορὰς καὶ ἐν τῷ Καίσαρος βίῳ καὶ ἐν ἄλλοις πολλοῖς εὑρήσεις ἱστορικοῖς.

(α) Στράβ. ιζ, 813. πρβλ. ιε, 698.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς Ἑρμίππου μαρτυρίας, ἣν ἐπιφέρουσι κατὰ τῆς ἱστορίας τοῦ Ἀριστέου.

§. ά. Πρῶτον πάντων καὶ μέγα καὶ μόνον, σχεδὸν, ἰσχυρὸν ἐπιχείρημα κατὰ τῆς Ἀριστέου ἱστορίας προβάλλουσι περιθρυλλοῦντες οἱ κριτικοὶ τὴν παρὰ τῷ Λαερτίῳ περὶ Δημητρίου τοῦ Φαληρέως μαρτυρίαν Ἑρμίππου τοῦ βιογράφου. Ἔχει δὲ αὕτη ἐπὶ λέξεως οὕτω· « Φησὶ δὲ αὐτὸν (τὸν Δημήτριον) Ἕρμιππος, μετὰ τὸν Κασσάνδρου θάνατον, φοβηθέντα Ἀντίγονον, παρὰ Πτολεμαῖον ἐλθεῖν τὸν Σωτῆρα. Κᾀκεῖ χρόνον ἱκανὸν διατρίβοντα συμβουλεύειν τῷ Πτολεμαίῳ πρὸς τοῖς ἄλλοις, καὶ τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης περιθεῖναι παισί. Τοῦ δὲ οὐ πεισθέντος, ἀλλὰ παραδόντος τὸ διάδημα τῷ ἐκ Βερενίκης, μετὰ τὴν ἐκείνου τελευτὴν ἀξιωθῆναι πρὸς τούτου παραφυλάττεσθαι ἐν τῇ χώρᾳ, μέχρι τι δόξει περὶ αὐτοῦ· ἐνταῦθα ἀθυμότερον διῆγε. Καί πως (ἴσ. γραπ. *καί ποθ'*) ὑπνώττων, ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς, τὸν βίον μετέθηκε· καὶ θάπτεται ἐν τῷ Βουσιρίτῃ νομῷ πλησίον Διοσπόλεως » (α).

§. β'. Ἐκ τούτου τοῦ Ἑρμιππείου χωρίου χαλεπὸς ἐξεῤῥάγη καὶ βαρὺς ὁ κατ' Ἀριστέου πόλεμος, ὡς ἐκ τοῦ Δουρείου ἵππου ἡ μεγάλη καὶ κορυφαία τῶν κακῶν Ἰλιάς. Εὗρε δὲ πρῶτος ἀνιχνεύσας τὴν ῥῆσιν ὁ σοφὸς Σκαλίγηρος (β), καὶ τοσοῦτον ἐθαυμάσθη παρὰ τοῖς Ἀριστεομάχοις, ὥστε καὶ μόνην ταύτην τὴν μαρτυρίαν ἐνόμισαν ἱκανὴν πρὸς ἐναργῆ τῆς Ἀριστέου νοθείας ἔλεγχον. « Διότι (λέγουσιν) ὁ Ἕρμιππος ἱστορεῖ προφανῶς ὅτι ὁ Φιλάδελφος Πτολεμαῖος μισῶν τὸν Δημήτριον (διότι συνεβούλευε τὸν Πατέρα περιθεῖναι τὸ διάδημα τοῖς ἐξ Εὐρυδίκης αὐτοῦ παισὶν, ἀλλὰ μὴ τῷ Φιλα-

---

(α) Ἕρμιπ. παρὰ Διογ. Λαερτ. βίῳ Δημητρ. Φαληρ. §. η.

(β) J. Scalig. Animadv. ad Chronic. Euseb. N. MDCCXXXIV. p. 133. et Epist. XIV. ad Seguinum.

δέλφῳ), διὰ τοῦτο μισῶν τὸν Δημήτριον ὁ Φιλάδελφος, εὐθὺς ὡς ἐτελεύτησεν αὐτῷ ὁ πατὴρ, ἐκέλευσεν ἵνα παραφυλάττηται ὁ Δημήτριος ἔν τινι χώρᾳ, ὅπου, τέλος, καὶ ἀπέθανε δηχθεὶς ὑπ' ἀσπίδος. Ἐκ δὲ τούτων συμπεραίνουσι πρᾶγμα βέβαιον καὶ πανάληθες, ὅτι ἄρα ὁ Φαληρεὺς, οὕτως ὑπὸ τοῦ Πτολεμαίου ἅμα βασιλεύσαντος ἐξορισθεὶς καὶ τελευτήσας ἐν τῇ ἐξορίᾳ, οὔτε λοιπὸν τῆς Πτολεμαίου βιβλιοθήκης ἔφορος κατέστη, οὔτε τῆς ὑπὸ τῶν Ο, τῶν γραφῶν ἑρμηνείας ἐπιμελητής. Τοιαῦτα δὲ πῶς ἂν ἱστόρησεν ἐπίσημος ἀνὴρ, σύγχρονος γενόμενος τοῦ Πτολεμαίου καὶ αὐλικὸς καὶ ὑπασπιστὴς, ὁποῖος παρίσταται πρὸς ἡμᾶς ὁ λεγόμενος Ἀριστέας, ἀνύπαρκτα πράγματα διηγούμενος καὶ μυθώδη; Ὁ ταῦτα ἄρα μυθοπλαστήσας ἐξελέγχεται μεταγενέστερός τις Ἰουδαῖος ἀλαζὼν καὶ τῆς ἱστορίας ἀμαθὴς, ὅστις ἐψεύσθη καὶ τὴν διήγησιν καὶ τ' ὄνομα τοῦ Ἀριστέου ». Ταῦτα καὶ τοιαῦτα οἱ κριτικοί (α).

§. γ'. Ἐμβριθὴς ἡ τοῦ Ἑρμίππου φαίνεται μαρτυρία καὶ ἰσχυρά· δεινοὶ δὲ καὶ αὐτοὶ οἱ περὶ τὸν Σκαλίγηρον, καὶ Ῥίβετον, καὶ Δουπῖνον, καὶ Πριδὼν (Prideaux), καὶ Ἐπισκόπιον, καὶ Βήμψιον, καὶ Βανδάλην, καὶ, κατ' ἐξοχὴν, οἱ περὶ τὸν Ὅδιον δικασταὶ (β), καὶ βαρεῖα τούτων ἡ ψῆφος καὶ κρατερῶς ἀπότομος, καὶ τοῦτ' αὐτὸ, « Τενέδιος πέλεκυς ». Πλὴν ἀλλ' ἀντεῖπον καὶ πρὸς αὐτὴν οἱ τῶν Ἀριστέου συνηγόρων τολμηρότεροι, ποικίλας συνείροντες ἀντιῤῥήσεις· « Ἄδικον (ἀνέκραξαν ὁ Σεράριος καὶ Γρεζῆρος καὶ ἄλλοι τῶν δυτικῶν), ἄδικον καὶ παράλογον τὸ προτιμᾶν ἑνός τινος (τοῦ Ἑρμίππου) τὴν μαρτυρίαν, καὶ τούτου ἐθνικοῦ, καὶ μόλις γνω-

---

(α) Βλ. Scaliger. l. c. καὶ Hody l. c. L. I. c. II, III, IV. V. — Van Dale cap. 3. etc.

(β) Βλ. Valesij ad Histor. Eccles. Eusebij pag. 95. — Woweri Syntagm. cap. 3. p. 37. — Carpzovij Critic. Sacr. pag. 488. — Mücke de origin. vers. LXX. interpr. pag. 21. — πρβλ. καὶ τὸν σοφὸν Μενάγιον (Observ. εἰς Διογ. Λαέρτ. Ε. ε. σελ. 221 τόμ. 2. ἐκδ. Meib.), ὅστις φαίνεται καὶ οὗτος ἀσπαζόμενος τὴν περὶ τοῦ Δημητρίου γνώμην τοῦ Σκαλιγήρου. Βλ. καὶ Bonamy sur la vie de Demétrius de Phalére, dans les Mem. de l'Acad. des Inscr. et Bel. Lettr. V. VIII. p. 157.

στοῦ, καὶ τῶν Ἰουδαϊκῶν πραγμάτων ἀμαθοῦς, παρὰ πάντας τοὺς τοσούτους καὶ τοιούτους ἀρχαίους καὶ διασήμους Ἰουδαίους τε καὶ χριστιανοὺς (τοὺς Πατέρας τῆς ἐκκλησίας)· ὁ δὲ νωτεριστὴς (ὁ Σκαλίγηρος) ἐκ μόνης τραγώσης περὶ τὸ καινοτομεῖν ἀσελγείας προὐτίμησεν ἐκεῖνον! Ἀλλὰ τίς οὐκ ἂν ὁμολογήσειεν, ὅτι μᾶλλον πιστευτέος καὶ μόνος ὁ παρουσιάσας τοῖς πράγμασιν Ἀριστέας, παρὰ τὸν σκότιον τοῦτον Ἕρμιππον; » (α). Θαυμάζουσιν οἱ περὶ τὸν Ὑσσέριον καὶ Βάλτωνα καὶ ἄλλους τῶν Διαμαρτυρητῶν, πῶς ἠδύναντο ἀπατηθῆναι τοσοῦτοι καὶ τηλικοῦτοι ἄνδρες (οἷον Τερτυλλιανὸς, καὶ Κλήμης, καὶ Εὐσέβιος, καὶ Αὐγουστῖνος, καὶ Ἱερώνυμος, καὶ Ἐπιφάνιος καὶ ἄλλοι, καὶ αὐτὸς ὁ Ἰουδαῖος Ἰώσηπος, αὐτὸς ὁ ἀρχαῖος περιπατητικὸς φιλόσοφος Ἀριστόβουλος), μνημονεύοντες ῥητῶς τῆς εἰς ἑρμηνείαν τῶν Γραφῶν ἐπιστασίας Δημητρίου τοῦ Φαληρέως (β). Ὁ δὲ κλεινὸς Βάλτων (γ), καὶ ὁ Στλιγγίφλετος (Stillingfleet), καὶ μόνην τὴν Ἀριστοβούλου μαρτυρίαν (ἣν γράφομεν ἐν τοῖς ἐφεξῆς) ἱκανὴν ἐνόμισαν πρὸς ἀναίρεσιν τῆς Ἑρμιππείου περικοπῆς. Ἀλλ' οἱ κριτικοὶ ῥαδίως ἐξαμβλύνουσιν (ὡς ῥητῶς καυχῶνται) τὰ βέλη τῶν τοιούτων ἀντιῤῥήσεων, καὶ ταύτας ἀποπλύνοντες ἐξιτήλους ποιοῦσιν, ὡς ἀσθενεῖς καὶ πειρωμένας μᾶλλον διαφυγεῖν, ἢ ἀνασκευάσαι τῆς Ἑρμίππου μαρτυρίας τὸ κῦρος. Εὐθὺς οἱ περὶ τὸν Ὅδιον ἀνταποκρίνονται στρογγύλα καὶ ἰταμώτατα. « Πάντες οὗτοι (λέγουσιν) οἱ παλαιοὶ, καὶ χριστιανοὶ καὶ ἰουδαῖοι, ἠρύσαντο τὰς γνώμας ἐκ μιᾶς καὶ τῆς αὐτῆς πηγῆς, τῆς Ἀριστέου συγγραφῆς, μεταγγίζοντες εἰς τὰς ἰδίας αὐτῶν βίβλους τὰ θολερὰ τοῦ μύθου νάματα. Καὶ ἄλλως δὲ (λέ-

---

(α) Serar. Proleg. Bibl. c. 17. Quaest. 5.— C. Jac. Gretzer. Deffens. Bellarmin. II. 6.

(β) Usser. de LXX. interpr. c. I. — Walton Proleg. c. IX. §. 4. Οὕτω καὶ G. Vossius Hist. Gr. I, 12. p. 110. — Salian. Annal. an. M. 3775. — καὶ ἄλλοι τὴν Ἰωσήπου, καὶ τὴν τῶν ἁγ. Πατέρων αὐθεντίαν προβάλλονται κατὰ τοῦ Ἑρμίππου (Hody. pag. 10. not.) πρβλ. καὶ Nic. de Nourri in Appar. ad Biblioth. PP. T. I. Dissert. XII. p. 238. sq. καὶ Whiston's Append. The literal accomplishm. etc. (γ) Walton. l. c.

γουσι) τοὺς ἀρχαίους χριστιανοὺς, καὶ ἄκοντας καὶ ἀνθεστηκότας, ἠνάγκαζε πάντως πρὸς ἀποδοχὴν ἡ κατ' Ἀρισταῖον ἱστορία, τοσαῦτα καὶ τοιαῦτα χορηγοῦσα τούτοις ἐπιχειρήματα κατά τε τῶν ἐθνικῶν καὶ τῶν Ἰουδαίων αὐτῶν (α). Κατὰ μὲν τῶν ἐθνικῶν, ὡς παριστῶσα Πτολεμαῖον τὸν βασιλέα καὶ τοὺς ἄλλους Ἕλληνας θαυμαστὸν ὅσον τετιμηκότας καὶ σεβασθέντας τὰς ἁγίας Γραφάς· κατὰ δὲ τῶν Ἰουδαίων (ὅσοι πρὸς τοὺς χριστιανοὺς κατηγόρουν νενοθευμένας τὰς Γραφὰς) συνέφερεν ἡ ἱστορία, ὡς διαζωγραφοῦσα καὶ καταγλαΐζουσα τὴν ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν, ἐκπονηθεῖσαν μὲν αὐθεντίᾳ καὶ βουλῇ τοῦ μεγάλου Ἀρχιερέως καὶ τοῦ Συνεδρίου παντὸς ὑπὸ πρεσβυτέρων Ο, εἰς ἄκρον πεπαιδευμένων περὶ τὴν ἐπιστήμην τῶν θείων Γραφῶν, δημοσίως δὲ δοκιμασθεῖσαν καὶ ψήφοις ὁμοφώνοις κυρωθεῖσαν ὑπὸ τοῦ ἔθνους τῶν Ἰουδαίων, καὶ φρικταῖς δὲ, τέλος, ἀραῖς προσοχυρωθεῖσαν κατὰ παντὸς, ὅστις ἂν ἢ ἀφελεῖν ἢ προσθεῖναι τι τολμήσῃ· καὶ ταῦτα μὲν τοιαῦτα. Μωρὸν δὲ (λέγουσι) κἀκεῖνο καὶ παντελῶς ἄκριτον, ὅπερ κατὰ τοῦ Ἑρμίππου, ὡς ἐθνικοῦ καὶ εἰδωλοθρήσκου, ὀγκῶνται οἱ περὶ τὸν Γρεζῆρον Ἰησουΐται (β)· ὡς ἂν εἴπερ ἐθνικοὶ

(α) Τοιαῦτα λέγει καὶ ὁ Βοβέριος, οὗτινος τὰς γνώμας ἄσμενος πολλάκις Ὅδιος ἀντιγράφει « Inducere vel renitentes (Ecclesiae Doctores) poterat (Historia), ut 70 interpretationem miraculose proditam assererent, qua adversus gentes et Judaeos uti cogebantur » (Wower. Syntagm. pag. 28). Ἀλλ' οὗτος μὲν ἀποδέχεται τὴν Ἀριστέου ἱστορίαν γυμνὴν, χωρὶς τῶν εἴτι ἔχει παράδοξον, ἢ ὑπερβολικὸν (ὡς τὰ τοιαῦτα δῆθεν ὑπό τινων Ἰουδαίων παρεμβεβυσμένα). Οἱ δὲ περὶ τὸν Ὅδιον ἐφάνησαν μαθηταὶ κρείττονες διδασκάλων, ἀποσκυβαλίσαντες ὅλην ὡς νόθον τὴν συγγραφήν!

(β) Οὕτως ἐπὶ λέξεως ὁ Ὅδιος τιτλοφορεῖ τοὺς Ἰησουΐτας « Futile vero illud et ab omni recto judicio alienum, quod de Hermippi Gentilismo Jesuitae obganiunt (Hody pag. 10). — « Εὔφημος ὠνὴρ, Καλλιόπης ἔχων στόμα » — Βόρδωνα δὲ πάλιν (τουτ. ἡμίονον) προσηγόρευσαν οὗτοι Ἰούλιον τὸν Σκαλίγηρον (ὡς Διαμαρτυρητήν). « Quid porro sibi vellit Burdo non intelligo (Salianus Anal. an. 3775, διαπαίζων πρὸς τὸ à Burden, ἐπώνυμον τῆς οἰκογενείας τοῦ Σκαλιγήρου). Οὕτω κατακοσμοῦνται ἀμοιβαίως οἱ Δυτικοὶ πρὸς τοὺς Ἀναμορφωτὰς διὰ τὸ πρὸς ἀλλήλους θρησκευτικὸν μῖσος. Ἀλλὰ καὶ αὐτῶν τινες τῶν περικλεεστάτων φιλολόγων οὐ φείδονται τῶν τοιούτων κακοῤῥημοσυνῶν, ὅταν ἀντιλέγωσι πρὸς ἀλλή-

ἱςορικοὶ μηδόλως ἦσαν ἀξιόπιστοι, εἰ μὴ μόνον Ἰουδαῖοι καὶ Χριστιανοί! Πῶς δὲ συνιστῶσι πιστευτέον τὸν Ἀριστέα καὶ διότι παρουσίαζεν ἐν τοῖς πράγμασι; Καλὸν τῇ ἀληθείᾳ τοῦτο *τὸ ἐν ἀρχῇ αἰτεῖσθαι*! ὡς ἂν μὴ περὶ τοῦτ᾽ αὐτὸ περιεστρέφετο πᾶσα ἡ συζήτησις, πότερον ἄρα, παρῆν ὁ Ἀριστέας οὗτος, ἢ μή; Τίνα δὲ γνώστην Ἀριστέου λαβόντες παρέχουσιν ἐχέγγυον, ὅτι διεβίωσεν ὁ Ἀριστέας ἐν τοῖς βασιλείοις τοῦ Φιλαδέλφου; Σύντομος ὁ λόγος! Ἀποδειξάτωσαν (λέγουσι) τὸν συγγραφέα τοῦτον παρόντα καὶ αὐτόπτην ἐπὶ τῆς ἑρμηνείας, καὶ σιωπήσομεν εἰς αἰῶνας! Ἀμαθῆ τῶν ἰουδαϊκῶν πραγμάτων λέγουσι τὸν Ἕρμιππον. Ἔστω, καὶ δεδόσθω τοῦτο, διότι θέλουσιν· ἀλλ᾽ ὅμως οὐχ ὑπῆρχε καὶ τῶν ἑλληνικῶν πραγμάτων ὁ Ἕρμιππος ἀμαθὴς, οὐδὲ τῶν ὑπὸ Πτολεμαίου πεπραγμένων, οὐδὲ τῶν ἀφορώντων εἰς τὸν βίον καὶ τὴν τελευτὴν Δημητρίου τοῦ φιλοσόφου καὶ Ἀθηναίων ἄρχοντος, οὐδὲ τῶν ἀνηκόντων εἰς τὴν Ἀλεξανδρινὴν βιβλιοθήκην καὶ τοὺς ἐπιστάτας αὐτῆς. Τὸν Ἕρμιππον εἶπον μόλις γνωστὸν, καὶ σκότιον. Ἀλλὰ τίς ποτε θνητὸς ὑπῆρξεν ἀσημότερος καὶ σκοτεινότερος Ἀριστέου; Δι᾽ ὅλων *τριακοσίων* ἐτῶν οὐδεὶς οὐδέποτ᾽ ἐμνημόνευσε τὸν Ἀριστέα, εἴτε *λευκὸς, εἴτε μέλας* ἦν (τὸ τῆς παροιμίας). Ὁ δὲ Ἕρμιππος ὑπῆρχε τὴν πατρίδα Σμυρναῖος, τὴν σπουδὴν βιογράφος, ὀνόματι καὶ φήμῃ διασημότατος, καὶ προσέτι χρόνοις ἀρχαιότατος (α). Ὥστε οἱ τοῦτον ἄγνωστον ἀποκαλοῦντες αὐτοὶ

λους. Οὕτω τις ἐξ αὐτῶν πρὸς ἄλλον ἀντειπόντα, καὶ μάρτυρα τῆς ἰδίας γνώμης προσκαλεσάμενον τὸν Ἡσύχιον, ἐξεσφενδόνισεν ἐκεῖνο τὸ παροιμιῶδες, « ὄνος ὄνῳ προστρίβεται » (asinus asinum fricat)· παραλείπομεν ἄλλα δεινότερα (βλ. Blonfield ἐν ἐκδ. Καλλιμάχου. Londin. 1815). Οὕτω τὰ πάθη πολλάκις ἐκριπίζουσι τὸν ἄνθρωπον εἰς ὕπαιθρον ἀσχημοσύνην. Καὶ ὅμως οἱ τοιοῦτοι Εὐρωπαῖοι σοφοὶ, ὅταν ἴδωσί τινα τῶν Ἑλλήνων εἰς τοιαύτας κακοστόμους κατὰ τῶν ἐναντίων ἐκφράσεις παρεκτραπέντα, εὐθὺς περικροτοῦσι πολὺ τὸ » δυσανάγωγοι καὶ ἀγροῖκοι καὶ αὐθαδόστομοι οἱ Ἕλληνες! » Καὶ ταῦτα μὲν ἄλλως καὶ λόγου πάρεργον εἰρήσθωσαν.

(α) Δύω μόνους Ἑρμίππους ἐμνημόνευσαν οἱ περὶ τὸν Σεράριον ἐκ τοῦ Σουΐδα· τὸν μὲν Ἀθηναῖον, κωμικὸν τῆς ἀρχαίας κωμῳδίας ποιητὴν (Ἀθήν. ιε, 699), τὸν δὲ Βηρύττιον ἱστορικὸν, Φίλωνος τοῦ Βυβλίου μαθητὴν, ἀκμάσαντα κατὰ τοὺς Ἀδρια-

τὴν ἑαυτῶν ἄγνοιαν καταθεατρίζουσιν. Εἰ δ' ἦσαν οἱ τοιοῦτοι καὶ σωματικῶς τυφλοὶ, παρομοίως ἂν ἐκάλουν σκοτεινὸν καὶ αὐτὸν τὸν ἥλιον».

νοῦ χρόνους (τῷ 130 μ. Χ.). Ὅθεν καὶ ὀρθῶς ἐπέπληξε τοὺς περὶ τὸν Σεράριον ὁ Ὅδιος ἐπιλαθομένους καὶ τρίτον ἄλλον ἀρχαιότερον Ἕρμιππον, Σμυρναῖον, βίων ἀναγραφέα, ἀνθήσαντα τελευτώσης τῆς Φιλαδέλφου βασιλείας, ἐπὶ Πτολεμαίου Εὐεργέτου, υἱοῦ τοῦ Φιλαδέλφου, (Gr. Voss. Gr. Hist. I. 12)· ὅθεν καὶ Καλλιμάχειος ὀνομάζεται ὁ Ἕρμιππος οὗτος (ὡς Καλλιμάχου μαθητὴς) παρ' Ἀθηναίῳ (ε, 213, καὶ ιε, 696). Ὁ δ' Ἱερώνυμος καὶ φιλόσοφον λέγει τοῦτον περιπατητικὸν (Praefat. in Catal. Script. Eccles.). Ἐκ τούτου τοῦ Ἑρμίππου ἔλαβεν ὁ Λαέρτιος τὴν ἀνωτέρω περὶ Δημητρίου τοῦ Φαληρέως ἱστορικὴν περικοπὴν, ὡς Ὅδιος διατείνεται, προστιθεὶς καὶ ὅτι ἐσφάλησαν ὅ,τε Κασωβὼν καὶ ὁ τούτῳ σύμφωνος Μενάγιος, τιθέντες τὸν Σμυρναῖον Ἕρμιππον Θεοφράστῳ σύγχρονον. [Ἀπήντησε δὲ πρὸς τὸν Ὅδιον ὁ Μενάγιος ἄλλα τε δικαιότερα λέγων, καὶ αὐτὸν εἰσάγων μάρτυρα, τὸν Ὅδιον, ὁμολογήσαντα «νέον ἔτι τὸν Ἕρμιππον ὄντα κατὰ τοὺς χρόνους τῆς Θεοφράστου τελευτῆς» (τουτέστι Θεοφράστῳ σύγχρονον!)· πρόσθες (λέγει ὁ Μενάγιος) καὶ τὸν Γερ. Οὐόσσιον (Histor. Gr. I. 16) μαρτυροῦντα, ὅτι ὁ Σμυρναῖος Ἕρμιππος οὐδενὸς τῶν Θεοφράστου νεωτέρων ἐνδόξων ἀνδρῶν βιογραφίαν συνέγραψε. Βλ. Menagij Observat. in Laert. vol. 2. pag. 211. Καὶ ταῦτα μὲν τοιαῦτα]. Ὁ δὲ Γεράρδος Οὐόσσιος ἀπονέμει τὴν ἀνωτέρω περικοπὴν εἰς τὸν Βηρύτιον Ἕρμιππον· διότι ὁ Λαέρτιος εἶπεν ἁπλῶς (χωρὶς τοῦ Καλλιμάχειος, ἢ ἄλλου τινὸς ἐπιθετικοῦ γνωρίσματος) «Ἕρμιππος ἐν βίοις» Ἀλλ' ὁ Ὅδιος φοβούμενος τοῦ Βηρυτίου τὴν νεότητα, διϊσχυρίζεται ὅτι τὸν Σμυρναῖον Ἕρμιππον πάντως καὶ ὧδε νοεῖ ὁ Λαέρτιος, καθὼς καὶ ἀλλαχοῦ πολλαχοῦ (οἷον ἐν βίοις Θάλητος, καὶ Ἀναξαγόρου, κτλ.). Τοῦτον (λέγει) ἐνόησε καὶ ὁ Ἰώσηππος «ἄνδρα περὶ πᾶσαν ἱστορίαν ἐπιμελέστατον» ὀνομάζων (κατὰ Ἀπίων· α.). Ἀλλ' ὅμως καὶ σὺν πᾶσι τούτοις, πάλιν τὸν ἐκ Βηρυτοῦ Ἕρμιππον θέλει πατέρα τῆς περικοπῆς ὁ τοῦ Ἀριστέου Ἔκδικος (Vindication etc. pag. 44 sq.), συμφωνῶν πρὸς τὸν Γεράρδον Οὐόσσιον· καὶ φέρει πρὸς ἀπόδειξιν ὅτι ὁ Βηρύτιος, πολυμαθέστατος γενόμενος, συνέγραψε περὶ διαφόρων (Σουϊδ.), καὶ ὅτι κατ' ἐκείνους τοὺς χρόνους ἐμνημονεύοντο τὰ τούτου συγγράμματα· ὁ Τερτυλλιανὸς (de anima c. 46. p. 299) ἀναφέρει τὸ περὶ ἐνυπνίων, καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς τὸ περὶ τῆς ἑβδομάδος, ῥητῶς τὸν Βηρύτιον ὀνομάζων (Στρωματ. Ε, σελ. 686, ὡς καὶ Α, σελ. 306)· ὅθεν καὶ τὸ περὶ τῶν ἑπτὰ σοφῶν (ὅπερ ἐμνημόνευσεν ὁ Ἀθήναιος Ι. 443) εἰς τὸν Βηρύτιον ἀπονεμητέον. Τούτου τοῦ Ἑρμίππου καὶ Ὠριγένης ἐμνήσθη (κατὰ Κέλσ. α. σελ. 13 Cantab. 1677.), ἄλλην αὐτοῦ συγγραφὴν ἀναφέρων, τὴν περὶ Νομοθετῶν, ἣν ἀπεμνημόνευσε καὶ Ἀθήναιος (Δ, 154: ΙΓ, 555). Καὶ τούτων ἄρα τῶν Νομοθετῶν τοὺς βίους ἐννοεῖ και ὁ Λαέρτιος, ὅθεν ἔλαβε τὸ ἀνωτέρω χωρίον (Ὅτι δὲ μεταξὺ τῶν νομοθετῶν διέπρεψε καὶ ὁ Δημήτριος, φανερόν· Βλ. Στραβ. Θ, 398. Cicer.

§. δ΄. Ταῦτα συντόμως ἀπαντῶσι πρὸς τὰς εἰρημένας ἀντιῤῥήσεις οἱ κριτικοί. Εἰ μὲν οὖν ἐξαμβλύνουσιν αὐτάς, ἢ καὶ παντελῶς ἀποπλύνουσι κατακλύζοντες, κρινέτω ὁ δίκαιος ἀναγνώστης. Ὅσον ἡμεῖς αἰσθανόμεθα, πάλιν ὀξείας βλέπομεν καὶ τομὰς τῶν βελῶν τὰς ἀκίδας, καὶ ἀνέκπλυτον τὸ χρῶμα τῆς ἐν ταῖς ἀντιῤῥήσεσιν ἀληθείας, σκοποῦμεν δὲ ὧδε. Εἰ καὶ ἀπὸ μόνου τοῦ Ἀριστέου (καθὼς λέγουσιν) ἠρύσαντο τὴν ἱστορίαν ἅπαντες οἱ μετ᾽ αὐτὸν ἐπισημότατοι, μήπως παρὰ τοῦτο ἀποβαίνει μῦθος ἡ ἱστορία; Πᾶν τοὐναντίον μάλιστα, κρατύνεται καὶ κατοχυροῦται τὸ βέβαιον τοῦ πράγματος διὰ τῆς συγκαταθέσεως τοσούτων καὶ τηλικούτων μαρτύρων, οἵτινες ἀπεδέξαντο μηδὲν ἐνδοιάσαντες τὰ ἱστορημένα, καθὸ πιστὰ καὶ κύρια καὶ ἀνομολογούμενα παρὰ πάντων. Εἰ δὲ μή, οἴχεται λοιπὸν ἡμῖν ἅπασα πίστις ἱστορική, καὶ οὔτε Ἴλιον (φέρ᾽ εἰπεῖν) ὑπῆρξεν, οὔτε Τρῶες, ἀλλ᾽ οὐδὲ γοῦν Σκάμανδρος, διότι ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ τῆς ἑλληνικῆς σοφίας πατρὸς ἐδιδάχθησαν καὶ ἱστόρησαν τὰ ἰλιακὰ πάντες οἱ μεθ᾽ Ὅμηρον καὶ ποιηταί, καὶ ἱστορικοί, καὶ γεωγράφοι τῆς Ἑλλάδος συγγραφεῖς· ἀλλὰ περὶ τούτου λέγομεν καὶ ἐν τοῖς ἐφεξῆς (κεφ. ε. §. η). Ἀστεία δὲ καὶ ἡ ἀνάγκη δι᾽ ἣν πλάττουσι τοὺς θείους πατέρας καὶ ἄκοντας ἀποδεχομένους τὴν ἱστορίαν! πάντως (οὐχ ὁρᾷς;) οὔτε γενναῖοι τοσοῦτον (ὅσον ὁ Σκαλίγηρος) ὑπῆρχον ἐκεῖνοι της ἀληθείας οἱ κήρυκες καὶ ἐξετασταί, καὶ χωρὶς τῆς Ἀριστέου ἱστορίας οὐδεμίαν ἄλλην εἶχον δύναμιν, ἢ μαρτυρίαν εἰς

---

de legib. II. p. 477. vol. 2. Londin. 1681)· Καὶ ταῦτα μὲν ὁ Ἔκδικος εἰκοτολογεῖ· ἀλλ᾽ ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, ἡμεῖς ἄσμενοι χαρίζομεν τὸ ζητούμενον Ὀδίῳ τῷ σοφῷ (ἐπειδὴ σφόδρα καὶ τοῦτο βούλεται), καὶ τὸν Σμυρναῖον Ἕρμιππον ἀποδεχόμεθα. Κᾂν ἀπῄτει συγγραφέα τοῦ χωρίου καὶ ἄλλον παλαιὸν κᾀκεῖνον Ἕρμιππον (τὸν Κυζικηνὸν), παιάνων ποιητὴν (Ἀθήν. ιε, 697), ὃν οὐδόλως ἐμνημόνευσεν ὁ Ὄδιος, ὡς οὐδὲ τὸν Ἀστρολογικὸν (Ἀθην. ια, 478), καὶ εἴτινα ἄλλον ἐζήτει, καὶ πρὸς τοῦτον ἂν εὐθέως (τοῦ χρόνου συγχωροῦντος) συγκατενεύομεν, παρέχοντες εὐκόλως, καθὼς τοῖς γεωμέτραις τὰ αἰτήματα. Τὸν Σμυρναῖον Ἕρμιππον ὡμολόγησε συγγραφέα τῆς περικοπῆς καὶ Ἰσαὰκ ὁ Οὐόσσιος (De LXX. interpr. cap. 2).

τὸ πεῖσαι τοὺς ἐθνικοὺς περὶ τῆς θειότητος τῶν Γραφῶν! Ἀλλ' ἐκεῖνοι μὲν οἱ μακάριοι καὶ *στόμα καὶ σοφίαν* εἶχον εἰς τὸ κήρυγμα *τοῦ προκηρυχθέντος διὰ τῶν προφητῶν*· εἶχον δὲ καὶ παραδείγματα ἐθνικῶν, ἀποδεξαμένων ὡς θείας τὰς Γραφὰς, ἄλλα καλὰ καὶ λαμπρὰ, καὶ ταῦτα πολὺ τῶν περὶ τὸν Πτολεμαῖον νεαρώτερα καὶ πιστότερα, *τοὺς Ἀρειοπαγίτας Διονυσίους, καὶ τοὺς ἐκ τῆς Καίσαρος* (καὶ τούτου Νέρωνος) *οἰκίας*, κτλ. Εἰ δέ ποτέ τινες (ὡς ὁ Ἀποστολικὸς ἀνὴρ Ἰουστῖνος), διαλεγόμενοι πρὸς τοὺς ἑλληνίζοντας ἐθνικοὺς, ἥπτοντο καὶ τοῦ ἱστορήματος τῆς ἑρμηνείας τῶν ἑβραΐδων Γραφῶν, ἐκ περιουσίας τοῦτο ἐποίουν, καὶ μετὰ πάσης πληροφορίας καὶ πεποιθήσεως, οὔτε διστάζοντες, οὔτ' « ἄλλο τι μὲν κεύθοντες ἐν φρεσὶν, ἄλλο δὲ βάζοντες » ἀκουσίως, (οἵους ἡμῖν ὑπέγραψεν, οὐχὶ πάντως μετὰ τῆς ὀφειλομένης αἰδοῦς, τοὺς θεοφόρους πατέρας ἡ σοφὴ τῶν Ὀδίων λαλιά!). Ὅτι δὲ καὶ πρὸς τοὺς Ἰουδαίους αὐτοὺς οἱ Πατέρες μετεχειρίζοντο τὴν Ἀριστέου συγγραφὴν (ὡς ἐξαίρουσαν τὴν ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν), τοῦτο καὶ παντάπασιν ἑαυτῶν ἐπιλαθόμενοι διεθρύλλησαν οἱ σοφοί. Αὐτοὶ (μικρὸν ἀνωτέρω καὶ ἐν τοῖς ἐφεξῆς) αὐτοὺς τοὺς Ἰουδαίους ἄνω καὶ κάτω περιάγουσι δακτυλοδεικτοῦντες, ὡς πλαστουργήσαντας τὸν (ὡς λέγουσι) μῦθον τῆς ἑρμηνείας. Καὶ αὐτὸν δὲ τὸν Ἀρισταῖον ἀκραιφνῆ καὶ γνήσιον εὕρηκαν *ἑβραῖον ἐξ ἑβραίων*! Ὁμολογοῦσι δὲ καὶ ὅτι πᾶσα τῶν ἑλληνιστῶν Ἰουδαίων ἡ συναγωγὴ τὰς ἑλληνίδας ἀνεγίνωσκε Γραφὰς (ὡς θείας δηλονότι τιμῶσα καὶ θεοσόφως ἡρμηνευμένας)· ποίαν λοιπὸν οἱ Πατέρες εἶχον ἀνάγκην ἵνα προβάλλωσι πρὸς τοὺς Ἰουδαίους ὅ,τι μηδ' αὐτοὶ οὗτοι ἠρνοῦντο, ἀλλὰ καὶ μάλιστα καυχώμενοι διεκήρυττον, ὡς οἱ περὶ τὸν Ἰώσηπον, καὶ πρὸ τούτου δὲ ὁ Φίλων, θεοπνεύστους ἄντικρυς τοὺς ἑρμηνεῖς ἱστορῶν; Εἰ δὲ καὶ κατὰ τὸν Β, αἰῶνα οἱ σκληροτράχηλοι σταυρωταὶ ἀντέλεγον πρὸς τὴν στηλιτεύουσαν αὐτοὺς ἑρμηνείαν τῶν Ο, καὶ νέας ἐχάλκευον μεταφράσεις διὰ τοῦ Ἀκύλα καὶ τοῦ Συμμάχου, ἀλλ' ἤρκουν ὅμως πρὸς ἔλεγχον τῆς πωρώσεως τῶν τοιούτων, αὐτοὶ αὐτῶν οἱ πρώην

διδάσκαλοι καὶ πατέρες, καὶ τοσαῦται σύγχρονοι μυριάδες ὁμογενῶν, πιστευσάντων εἰς τὴν ἀκήρατον ἑρμηνείαν τῶν Ο.

Ταῦτα τὰ τῶν κριτικῶν κυριώτερα. Τὰ δὲ λοιπὰ φαίνονται γελοῖα. Μετ' ἴσης ἑτοιμότητος εἶχεν ἂν καὶ ὁ Γρεζῆρος ἀνταπαντῆσαι πρὸς τὸν Ὅδιον· « Σὺ δὲ πάλιν οὔτε τοὺς Ἰουδαίους οὔτε τοὺς Χριστιανοὺς, μόνους δὲ τοὺς ἐθνικοὺς νομίζεις ἀξιοπίστους; μήπως δὲ καὶ ἀγνοεῖς (ἣν τοσοῦτον ἐφεξῆς περισαλπίσεις) τὴν πρὸς ἑκατέρους ἀντιπάθειαν τῶν ἐθνικῶν; » Ἡ ἀλήθεια πανταχοῦ τιμητέα καὶ παρὰ πᾶσιν ἀνθρώποις· μένει μόνον πρὸς ἐξέτασιν, εἴπερ ὁ ἐθνικὸς Ἕρμιππος ἀληθεύει, ἢ καὶ ἀληθεύων μή ποτε παρεξηγεῖται στρεβλῶς· βλέπομεν ἐφεξῆς περὶ τούτου. Τὸ δὲ παρὰ *τὸ ἐν ἀρχῇ αἰτεῖσθαι* ποῖον λόγον ἔχει πρὸς μηδόλως δεχομένους ἀρχάς; Ὅσοι παρεδέξαντο τὴν ἀνέκαθεν παρὰ τῶν ἀρχαίων παραδοθεῖσαν, καὶ διὰ τοσούτων αἰώνων καὶ τόπων ἀναντιῤῥήτως κεκρατηκυῖαν ἱστορίαν τῆς ἑρμηνείας τῶν Ο, θεωροῦσι καὶ τὸν πρῶτον αὐτῆς συγγραφέα, τὸν Ἀρισταῖον, ὡς παρουσιάσαντα τοῖς πράγμασι, καθὼς αὐτὸς ὁμολογεῖ. Οἱ δὲ χθιζοὶ νεωτερισταὶ, τὸ πᾶν τοῦ πράγματος ἀπαρνούμενοι, πῶς ἔπειτα ἀρκοῦνται εἰς μόνην τὴν ἀπόδειξιν τῆς εἰς τὴν ἑρμηνείαν παρουσίας τοῦ Ἀριστέου; ποία δὲ πρὸς τοιούτους ἀπόδειξις ἕξει χώραν, οἵτινες πυῤῥωνίζουσι καὶ πρὸς αὐτὰ τῶν τεκμηρίων τὰ ἐναργέστατα; Τοῦ μικρῷ μετὰ τὸν Ἀριστέα γενομένου φιλοσόφου Ἀριστοβούλου τὴν μαρτυρίαν νοθίζουσι (α)· τοῦ Φίλωνος καὶ Ἰωσήπου τὰς ὁμολογίας καταπατοῦσιν· ἀθετοῦσι καὶ αὐτὸ τῆς ἱερᾶς τῶν Μακκαβαίων Β, Βίβλου τὸ προοίμιον (ὡς ὀψόμεθα), τ' ἄλλα παραλείπομεν· καὶ ἔπειτα ζητοῦσι καινοτέρας ἀποδείξεις, ἵνα *σιγήσωσιν εἰς αἰῶνας*, ἀλλὰ κἂν βοήσωσι καὶ κεκράξωσιν εἰς αἰῶνας, μήπως αὐτῶν ἡ σομφὴ καὶ γεηρὰ καὶ διεῤῥωγυῖα κραυγὴ δύναται κατασβέσαι τὴν ἐρισμάραγον καὶ ἀειλαμπῆ καὶ ἀέναον τῆς ἀληθείας φωνήν; Παράδοξον δὲ κἀκεῖνο, ὅτι « τότε μόνον σιωπή-

---

(α) Hody L. I. cap. IX. — R. Simonius etc. (Βλ. ἐφεξῆς κεφ. ιϐ.).

σουσιν, ὅταν ὁ Ἀριστέας ἀποδειχθῇ παρὼν εἰς τὴν ἑρμηνείαν »· ὡς ἂν ἡ τῶν πραγμάτων ἀλήθεια, ἢ τὸ ψεῦδος, ἐξήρτητο ἀπολύτως ἐκ μόνης τῆς παρουσίας, ἢ τῆς ἀπουσίας τῶν ἱστορούντων! Παρόντες ἦσαν ὅ,τε Κτησίας ὁ ἰατρὸς παρὰ τῷ Ἀρταξέρξῃ, πολεμοῦντι πρὸς Κῦρον τὸν ἀδελφὸν, καὶ ὁ ἱστορικὸς Ἀριστόβουλος παρὰ τῷ μεγάλῳ Ἀλεξάνδρῳ ἀναβαίνοντι εἰς Ἀσίαν· ἀλλ' ὁ μὲν Κτησίας « ἐμβέβληκεν εἰς τὰ βιβλία (τῆς κατ' αὐτὸν ἱστορίας) μύθων ἀπιθάνων καὶ παραφόρων παντοδαπὴν πυλαίαν » (α), τοῦ δὲ Ἀριστοβούλου χωρίον τι τῆς ἑαυτοῦ συγγραφῆς πρὸς αὐτὸν ἀναγινώσκοντος τὸν Ἀλέξανδρον, πλέοντα ἐν τῷ Ὑδάσπει ποταμῷ, λαβὼν τὸ βιβλίον ὁ Ἀλέξανδρος « ἔῤῥιψεν ἐπὶ κεφαλὴν εἰς τὸ ὕδωρ, ἀγανακτήσας διὰ τὰ ψεύδη, καὶ ἐπειπὼν, « Καὶ σὲ δὲ οὕτως ἐχρῆν Ἀριστόβουλε » (β). Ἐξ ἐναντίας δὲ πάλιν ὁ Θουκυδίδης, καὶ ἀπὼν ἐξόριστος εἰς τὴν Σκαπτησύλην τῆς Θρᾴκης, συνέγραψεν ἀκριβέστατα τὸν πόλεμον τὸν Πελοποννησίων καὶ Ἀθηναίων, « κτῆμα ἐς ἀεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν » (γ). Τελευταῖον· ἔστω λαμπρὸς ὁ Ἕρμιππος καὶ περικλεέστατος, ὅσον θέλει Ὅδιος, ἀλλὰ διὰ τί θέλει τοῦτον καὶ ἀναμάρτητον; ἐκ ποίου δὲ δικαιώματος ἀποφαίνεται τὸν μὲν Σμυρναῖον τὴν πατρίδα καὶ μηδέποτ' ἴσως ἰδόντα τὴν Ἀλεξάνδρειαν Ἕρμιππον ἀληθεύοντα περὶ Φιλαδέλφου καὶ τοῦ Φαληρέως, ψευδόμενον δὲ τοῦ Ἀριστέα; (βλ. ἐφεξῆς κεφ. ε. §. η.)· ποίας ἔσχεν ἀναντιῤῥήτους ἀποδείξεις ἰδίως περὶ τῆς Ἑρμιππείου περικοπῆς, ὡς πάντη πάντως ἀληθευούσης; ποίας, τέλος, ἐγγύας ἀξιοχρέους, ὡς μὴ στρεβλῶς ἐφαρμοζομένης εἰς ἔλεγχον τοῦ Ἀριστέου; Τούτου δὲ τοῦ (κατ' αὐτὸν) σκοτίου, καὶ δι' ὅλων τριακοσίων ἐτῶν ἀφανοῦς, καὶ θνητῶν ἁπάντων ἀσημοτάτου Ἀριστέου τὴν ἱστορίαν ἐπεκύρωσεν (ἀναγνοὺς ἐξάπαντος) ὁ Ἑρμίππου σύγχρονος, καὶ πολὺ περὶ τὴν ἱερὰν ἱστορίαν ἀξιοπιστότερος Ἀριστόβουλος, καὶ ἄλλοι,

---

(α) Πλούταρχ. βίῳ Ἀρταξ. §. α. πρβλ. Φωτ. ἀναγν. οβ.: Λουκιαν. π. δεῖ ἱστ. συγγράφ. §. 39.

(β) Λουκιαν. πῶς δεῖ ἱστορ. συγγράφ. §. 12. — (γ) Θουκυδ. Α. §. κβ.

καὶ αὐτὸς ὁ Φαληρεὺς Δημήτριος, ὅστις εἶχε μετὰ χεῖρας τὴν εἰς ἣν ἐπεστάτησε μὲν αὐτὸς, ἱστόρησε δ' Ἀριστέας, ἑρμηνείαν τῶν Ο, καθὼς ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ. Ἤδη δὲ προσαποδίδομεν καὶ ἄλλην τῶν φιλαριστέων ἀντίῤῥησιν, ἥτις κατερείπει τὴν ἀξιοπιστίαν ταύτης δὴ τῆς κατ' Ἀριστέου μαρτυρίας τοῦ Ἑρμίππου.

§. έ. Ὁ σοφὸς Ἰ. Οὐόσσιος ἀνακρίνων τὸ χωρίον ἐσημείωσεν ἐν αὐτῷ δύω σφάλματα, τὰ ἐφεξῆς. α) Ὁ Ἕρμιππος ἱστορεῖ τὸν Φαληρέα Δημήτριον ἐλθόντα πρὸς τὸν Πτολεμαῖον «*μετὰ τὴν Κασσάνδρου τελευτὴν*». Αὕτη δὲ ἡ γνώμη, λέγει, (ἣν καὶ Στράβων ἀντέγραψεν Θ, 389) ὑπάρχει ψευδής· Κάσσανδρος μὲν γὰρ ἀπέθανε τῷ β, ἔτει τῆς ρκ, Ὀλυμπιάδος (τῷ 296 π. Χ.), ὁ δὲ Δημήτριος ἦλθεν εἰς Αἴγυπτον ὀκταετίαν ὅλην πρότερον, τῷ β, ἔτει τῆς ριη. Ὀλυμπ. (τῷ 304 π. Χ.). Ὡς γὰρ ἐξέπεσε τῶν Ἀθηνῶν ὁ Δημήτριος, ἦλθεν εἰς Θήβας· ὅπου «*ἀδοξῶν καὶ ταπεινὰ πράττων*» (α) ἀνεχώρησε πιθανώτατα διὰ Μακεδονίας εἰς τὴν Θράκην (ὡς ἔγραψεν ὁ Πολύαινος, Στρατ. γ. ιε.), κἀκεῖθεν διεσώθη πρὸς Πτολεμαῖον εἰς τὴν Αἴγυπτον, ὑπὸ τὸν αὐτὸν ἐνιαυτὸν (τὸ β, τῆς ριη, Ὀλυμπ.), ὡς ὁ Σικελιώτης Διόδωρος (Κ. 45) ἱστορεῖ (β). — β) Ὁ Ἕρμιππος ἐψεύσθη περὶ τοῦ Δημητρίου καὶ ὅτι κατέφυγεν εἰς Αἴγυπτον (μετὰ τὴν Κασσάνδρου τελευτὴν), *φοβηθεὶς Ἀντίγονον*· ἀλλ' ὁ Ἀντίγονος οὗτος ἐτελεύτησε τριετίαν ὅλην πρὸ τοῦ Κασσάνδρου. Ὅλος δὲ ὁ χρόνος, ὅσον ἐν Αἰγύπτῳ διέτριψεν ὁ Δημήτριος, ἐγένοντο ἔτη κδ, ἀπὸ τοῦ β, δηλαδὴ τῆς ριη, μέχρι τοῦ β, τῆς ρκδ Ὀλυμπιάδος, ὁπότε, τοῦ Λαγίδου Πτολεμαίου τελευτήσαντος, ἤρξατο μόνος ὁ Φιλάδελφος βασιλεύειν (ἐν τούτῳ τῷ μεταξὺ ἦλθον οἱ Ο, εἰς τὴν Αἴγυπτον, ὡς λέγομεν ἐν τοῖς ἐφεξῆς). Ταῦτα ὁ κλει-

---

(α) Πλούταρχ. π. τ. π. δ. τὸν κόλακα τοῦ φίλου.

(β) Ὁ δὲ Τζέτζης (Χιλ. Δ. 748) λέγει καὶ ὅτι ὁ Δημήτριος ἐξορισθεὶς, τῶν Ἀθηνῶν ἐδίδασκεν ἐν Κορίνθῳ γράμματα! ἀλλ' ἔσφαλε τὸν Τζέτζην ἡ μνήμη συγχύσασα τὸν Φαληρέα Δημήτριον πρὸς Διονύσιον τὸν Σικελίας τύραννον, περὶ οὗ συνήθως ᾄδεται τὸ παροιμιῶδες «Διονύσιος ἐν Κορίνθῳ» (Πλούταρχ.).

νὸς Οὐόσσιος (α)· ταύτας δὲ τὰς περὶ τὴν ἱστορίαν δύω πλάνας τοῦ Ἑρμίππου βεβαιοῦσι καὶ ἄλλοι τῶν σοφῶν, ἐν οἷς καὶ ὁ περικλεὴς Βεντλήϊος (β).

§. ς΄. Ἀλλ' οἱ περὶ τὸν Ὅδιον ἀντέστησαν ὑπερασπιζόμενοι τὸν Ἕρμιππον. Καὶ πρὸς μὲν τὸ πρῶτον λέγουσιν, ὅτι Δημήτριος Ἀθηνῶν ἐκπεσὼν κατέφυγεν εἰς Θήβας ὑπὸ τὴν Κασάνδρου προστασίαν· μετὰ δὲ τὴν τούτου τελευτὴν ἔφυγεν εἰς Αἴγυπτον, ὡς ὁ Στράβων, ἐμβριθέστατος συγγραφεὺς, Ἑρμίππῳ συμμαρτυρεῖ (γ). βεβαιοῖ δὲ καὶ τῶν πραγμάτων ὁ ἐπιλογισμός. Ὁ Κάσσανδρος, λαβὼν ὑπήκοον τὴν πόλιν τῶν Ἀθηνῶν, ἐπέστησεν ἄρχοντα τῶν πολιτῶν Δημήτριον τὸν Φαληρέα (δ) (διὸ « καὶ στρατηγῶν Ἀθηναίων ὁ Φαληρεὺς ἐτύγχανε Κασσανδρίζων ». Πολύαιν. Δ. ζ. β.). Ἐπειδὴ δὲ ἀπροσδοκήτως ἐπελθὼν ἄλλος Δημήτριος, υἱὸς Ἀντιγόνου τοῦ Μακεδόνος, ὁ Πολιορκητὴς, κατέσχε τὸν Πειραιᾶ, ὁ δὲ Φαληρεὺς διὰ τὴν μεταβολὴν τῆς πολιτείας ἐφοβεῖτο μᾶλλον τοὺς πολίτας, ἢ τοὺς πολεμίους, οὐκ ἠμέλησεν αὐτοῦ ὁ ὁμώνυμος Δημήτριος (ὁ Πολιορκητὴς), « ἀλλὰ καὶ τὴν δόξαν αἰδεσθεὶς καὶ τὴν ἀρετὴν τοῦ ἀνδρὸς, εἰς Θήβας αὐτὸν ὥσπερ ἠβούλετο, μετὰ ἀσφαλείας συνεξέπεμψε » (ε). Προείλετο δὲ τὴν εἰς Θήβας μετάβασιν, καταφεύγων πρὸς τὸν φίλον Κάσσανδρον (παρ' ᾧ καὶ κατέμεινε χρόνον ἱκανὸν, δεκαετίαν περίπου). Παρ' αὐτοῦ δὲ, καθὼς φαίνεται, καὶ εἰς Θράκην ἀπεστάλη πρὸς Λυσίμαχον, φίλον ὄντα Κασσάνδρου, πράγματά τινα τῶν αὐτοῦ τοῦ Κασσάνδρου πραγματευόμενος, ἴσως, πρὸς ἄλλον τῆς Θράκης ἐγχώριον

(α) I. Voss. de LXX. cap. 2. — (β) Bentlejus Dissert. de Epist. Socrat. pag. 68. πρβλ. καὶ L. Valckenair de Aristob. Iud. pag. 54, καὶ S. Demagistr. in Δανιὴλ κατὰ τοὺς Ο, Apolog. IV. pag. 476 sq.

(γ) « Ἀλλ' οὕτως ὁ φθόνος ἴσχυσε καὶ ἡ πρὸς ὀλίγους ἀπέχθεια, ὥστε μετὰ τὴν Κασσάνδρου τελευτὴν (ὁ Δημήτριος) ἠναγκάσθη φυγεῖν εἰς Αἴγυπτον ». Στράβ. Θ. 398. (δ) Στραβ. αὐτόθ.: Διοδ. Σικελ. κ. σελ. 439. Wes: Παυσαν. Α. 25. πρβλ. Διονύσ. Ἁλικαρν. εἰς Δείναρχον: Φιλόχορ. παρὰ Σκαλιγ. in Anagraph. Olymp. — Plin H. N. L. 34. 6.

(ε) Πλούταρχ. Δημητρ. § Θ.

βασιλέα, πρὸς ὃν ὁ Λυσίμαχος συνεχῶς ἐπολέμει (α), καὶ οὗτινος ἀνωνύμως ὁ Πολύαινος ἐμνημόνευσεν (β). Ὕστερον δὲ μετὰ τὸν Κασσάνδρου θάνατον ἔφυγεν εἰς Αἴγυπτον ὁ Φαληρεὺς Δημήτριος, ὡς Ἕρμιππος ἱστόρησεν. Ἀλλ' οὐδ' αὐτὸς ὁ Διόδωρος λέγει ῥητῶς, ὅτι παρευθὺς ἐκ τῶν Θηβῶν ἀνεχώρησεν εἰς Αἴγυπτον ὁ Φαληρεύς· ἀλλ' ἀφ' οὗ διέγραψε, πῶς κατὰ τὸ β, τῆς ριη Ὀλυμπιάδος ἐξέπεσε τῶν Ἀθηνῶν, τοσοῦτον μόνον ὑποσυνῆψεν, ὅτι «*ἔφυγεν εἰς Θήβας, ὕστερον δὲ πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον*» (γ). Ταῦτα μόνον προσέθηκεν ὁ Διόδωρος· τὸν δὲ μεταξὺ χρόνον τῆς Θήβησι διατριβῆς τοῦ Φαληρέως, καὶ τὴν Κασσάνδρου τελευτὴν παρέδραμεν, ἐπιτέμνων τὸν λόγον· Καθ' ὁμοίαν ἐπιτομὴν καὶ Πλούταρχος (ἀνωτέρω) τὴν εἰς Θήβας ἀναχώρησιν τοῦ Φαληρέως ἱστορήσας, ἀπεσιώπησε τὴν εἰς Αἴγυπτον φυγήν.» Ταῦτα συντόμως οἱ περὶ τὸν Ὅδιον ἀπαντῶσι πρὸς τὸ φαινόμενον πρῶτον σφάλμα τοῦ Ἑρμίππου, πάντα μὲν τ' ἄλλα λέγοντες τὰ πέριξ, μηδὲν δὲ βέβαιον ἀποδεικνύντες περὶ τοῦ κυρίου πράγματος (ὅτι δηλαδὴ πάντως ὁ Φαληρεὺς ἀνεχώρησεν εἰς Αἴγυπτον *μετὰ τὸν Κασσάνδρου θάνατον*). Οὔτε γὰρ τῶν μνημονευθέντων συγγραφέων οὐδεὶς ἐδήλωσεν, ὅτι κατέφυγεν *εἰς τὴν Κασσάνδρου προστασίαν* (ὡς ἡ Ὀδίου ῥητορεία διέγραψε), καὶ ὁ Πλούταρχος λέγει κατὰ λέξιν ὅτι *διῆγεν ἐν Θήβαις ἀδοξῶν καὶ ταπεινὰ πράττων*»· ταῦτα δ' οὐκ ἂν ἔπασχεν ὁ Δημήτριος,

---

(α) Jusin· XVI. 1.

(β) «Δημήτριος ὁ Φαληρεὺς συλλαμβάνεσθαι μέλλων ὑπὸ τοῦ Θρακῶν βασιλέως, κατακρύψας αὐτὸν εἰς ἅμαξαν χορτοφόρον, εἰς τὴν ὅμορον χώραν διεσώθη» (Πολύαιν. Γ. ιε. 1)...

(γ) Διόδωρ. Κ. 45. σελ. 439. (πρβλ. Πλουταρχ. Δημητρ. §. θ. καὶ Ἱστορ. Συναγωγ. ἐν Scalig. Thesaur Tempor. p. 330). Ὁ δὲ Βανδάλης (c. IV. p. 25) τὸ ἀνωτέρω ὕστερον τοῦ Διοδώρου μεταφράσας postea, ἐπεξηγεῖ καὶ posteris temporibus (ὑστέροις χρόνοις), συμπεραίνων, ὅτι δηλοῖ χρόνου διάστημα οὐ σμικρὸν, ἀλλ' ἱκανῶς μέγα. Ὁμολογεῖ ὅμως καὶ ἄλλως, ὅτι «πότε ὁ Φαληρεὺς, εἴτ' ἐκ τῶν Θηβῶν, ὅπου τὸ πρῶτον ἀνεχώρησεν, εἴτε καὶ ἄλλοθεν ἀπῆλθε πρὸς τὸν Λάγου Πτολεμαῖον, ὑπάρχει πρᾶγμα ἄδηλον καὶ ἀβέβαιον». Οὕτως ἄρα «Σοφὸς ἀνὴρ, οἷα κύβος, πρὸς πάντ' ἐστιν εὐπετής»!

εἴπερ ἀπήλαυε τῆς προστασίας Κασσάνδρου (θλιβομένου τότε καὶ πολλὰ πάσχοντος ὑπὸ τοῦ πολεμίου Δημητρίου τοῦ πολιορκητοῦ)· οὐδ' ἂν ἐφιλοχώρει πάλιν ἐπὶ πολὺ κατὰ τὰς Θήβας τοιαῦτα πράττων. Ὅθεν οὐδ' ἐβράδυνε διὰ τῆς Μακεδονίας εἰς Θράκην (κατὰ τὸν Πολύαινον) μεταβῆναι, σπεύδων πιθανώτατα πρὸς τὸν Κασσανδρίζοντα Πτολεμαῖον (τὴν δὲ πρὸς τῶν Θρακῶν βασιλέα παρὰ τοῦ Κασσάνδρου δῆθεν ἀποστολὴν αὐτοῦ καὶ πρεσβείαν ἐφαντάσθη πάλιν ἡ Ὀδίου πλαστική). Καὶ λοιπὸν ἡ τοῦ Διοδώρου χρονολογικὴ παράστασις (ᾗ κατηκολούθησε καὶ Εὐσέβιος) (α) μένει πάλιν σαθερὰ, κατὰ τὸν αὐτὸν ὁρίζουσα χρόνον καὶ τὴν ἐκ τῶν Ἀθηνῶν εἰς Θήβας ἀναχώρησιν, καὶ τὴν ὕστερον ἐκεῖθεν εἰς Αἴγυπτον φυγὴν τοῦ Φαληρέως. Οὐδ' ἀναιρεῖται ὁ τοῦ χρόνου διορισμὸς, διὰ τοῦ προβαλλομένου προσχήματος τῆς συντομίας. Ὁ Πλούταρχος οὔτ' ἐχρονολόγει, καὶ μόνης τῆς ἐν Θήβαις ταπεινῆς τοῦ Δημητρίου διατριβῆς εἶχε χρείαν πρὸς παράδειγμα, τὰ δ' ἄλλα τῆς ἱστορίας παρέλιπε. Καθὼς πάλιν καὶ αὐτὸς ὁ Στράβων, ἐπιτέμνων τὸν λόγον (καὶ μηδ' αὐτὸς χρονολογῶν), οὐδόλως τῶν Θηβῶν

(α) Ὀλυμ. ριη — Δημήτριος ὁ Φαληρεὺς, Ἀθηναίοις ἀποδοὺς τὴν δημοκρατίαν, ἦλθεν εἰς Αἴγυπτον (Εὐσεβ. Κανον. ἐκδ. Scalig. pag. 179). Τὰ δ' αὐτὰ καὶ Σύγκελλος (Χρονογραφ. σελ. 521 ἐκδ. Bon.). Ταύτην δὲ τὴν ἀπόδοσιν τῆς δημοκρατίας ὁ Ὄδιος ἐπεξηγεῖ βιαίαν καὶ κατηναγκασμένην, ὡς διὰ τῆς φυγῆς αὐτοῦ τὴν δημοκρατίαν Ἀθηναίοις ἀποδόντος τοῦ Δημητρίου! (τὸ αὐτὸ, ὡς καὶ ἂν ἔλεγεν, ὅτι καὶ Διονύσιος διωχθεὶς ἐκ τῆς Σικελίας ἀπέδωκε Σικελοῖς τὴν ἐλευθερίαν! οὕτω δὲ καὶ νόσος ἐξελαθεῖσα χαρίζεται τὴν ὑγείαν!). Ἀλλ' ὁ Σύγκελλος ἐννοεῖ ἢ τὰ τοῦ Στράβωνος ὅτι, « Κασσάνδρου τὴν πόλιν (τῶν Ἀθηνῶν) ὑπήκοον λαβόντος, ὁ Δημήτριος, ἄρχων ὑπ' αὐτοῦ κατασταθεὶς, οὐ μόνον οὐ κατέλυσε τὴν δημοκρατίαν, ἀλλὰ καὶ ἐπηνόρθωσε » (Θ. 398)· καὶ κατὰ ταῦτα τὸ τοῦ Συγκέλ. « Ἀθηναίοις ἀποδοὺς τὴν δημοκρατίαν » ἐξηγεῖται ἀναφορικῶς (« ὅστις ἀπέδωκε κτλ.) » ἢ (τὸ μᾶλλον πιθανώτερον, ὡς καὶ αὐτὸς ὁ Σκαλίγηρος ἐσημείωσεν) ἐννοεῖ τὰ τοῦ Διοδώρου (κ. σελ. 439.), ἐν οἷς ὁ Φαληρεὺς ἱστορεῖται πρεσβεύσας πρὸς τὸν Ἀντιγόνου Δημήτριον ὑπὲρ τῆς Ἀθηναίων δημοκρατίας. Μαρτυρεῖ δὲ καὶ ὁ μακάριος Ἱερώνυμος ἐν τῇ τῶν Εὐσεβίου χρονικῶν ἑρμηνείᾳ (βιβλ. 6), ὅστις καί τοι συγχύσας τὸν Πτολεμαῖον πρὸς τὸν Δημητριον κατὰ λάθος, ἔγραψεν ὅμως, ὅτι « Δημήτρ. ὁ Φαληρεὺς, πρὸς Πτολεμαῖον (γρ. πρὸς Δημήτριον) ἐλθὼν, ἐξητήσατο τὴν δημοκρατίαν ἀποδοθῆναι τοῖς Ἀθηναίοις» (Chronic. num. MDCCIX. pag. 139. πρβλ. καὶ Scalig. animadver. pag. 129).

ἐπεμνήσθη, ἀλλ' εὐθὺς ἀπὸ τῶν Ἀθηνῶν ἀπέστειλε κατ' εὐθεῖαν εἰς Αἴγυπτον τὸν Δημήτριον. Τὸ δὲ « *μετὰ τὴν Κασσάνδρου τελευτὴν* » προσέθηκεν ὁ Στράβων εἴτ' ἐξ ἀκοῆς ἀβασανίστως παραλαβὼν, εἴτε καὶ προχείρως μεταγράψας ἐξ Ἑρμίππου (εἴπερ οὗτος ὑπῆρχεν ὁ Σμυρναῖος, καὶ μὴ ὁ Βηρύτιος). Ἀλλὰ, τέλος, κἂν τὴν Στράβωνος μαρτυρίαν ὡς αὐθεντικὴν καὶ κυρίαν ἐκλαβόντες μὴ διαφερώμεθα περὶ τούτου πρὸς τὸν Ἕρμιππον (ὡς κρίνει προτιμότερον καὶ ὁ Ἔκδικος τοῦ Ἀριστέου) (α), ἀλλ' οὐδὲν ἐκ τούτου πλέον κερδανοῦμεν, εἰ μὴ μόνον ὅτι ὁ χρόνος τῆς ἐν Αἰγύπτῳ τοῦ Φαληρέως διατριβῆς ἀντὶ τῶν 24, ἀποβήσεται 14, ἢ 15, ἐνιαυτῶν (β).

§. ζ. Πολλῷ πλέον προφανέστερον σφάλμα τοῦ Ἑρμίππου δείκνυται τὸ δεύτερον (τὸ περὶ τὸν Ἀντίγονον). Ἀλλ' οἱ περὶ τὸν Ὅδιον κἂν τούτῳ δικαιοῦσι τὸν Ἕρμιππον. « Ἀντίγονον (λέγουσιν) ὁ Ἕρμιππος ἐννοεῖ οὐχὶ τὸν Μέγαν ἐπωνυμούμενον, τὸν πατέρα τοῦ Πολιορκητοῦ, τὸν ἐν Ἰψῷ πεσόντα (μαχόμενον πρὸς Σέλευκον καὶ τοὺς ἄλλους βασιλεῖς), μεθ' ὃν ἐπέζησε τριετίαν ὁ Κάσσανδρος, οὐ τοῦτον λέγει τὸν Ἀντίγονον ὁ Ἕρμιππος, ἀλλὰ τὸν αὐτοῦ τοῦ Κασσάνδρου υἱὸν, τὸν κοινότερον καλούμενον καὶ Ἀντίπατρον (κατὰ διωνυμίαν)· καὶ μάρτυς ὁ τοῦ Εὐσεβίου Κανών· « *Μακεδόνων ἐβασίλευσαν κζ (γ) Ἀντίγονος καὶ Ἀλέξανδρος Κασσάνδρου υἱοὶ, ἔτη δ.* » (Χρον. β. σελ. 179. Scal.). Ὡσαύτως ἔχει καὶ ἐν τῇ λατινικῇ ἑρμηνείᾳ ὁ Ἱερώνυμος (σελ. 139). Ἐν δὲ τῷ Α, τῶν Εὐσεβίου *Χρονικῶν* (οὗτινος τὰ πλεῖστα οὐκ εἰσὶ τοῦ Εὐσεβίου γνήσια), ὁ αὐτὸς Ἀντίγονος καλεῖται Ἀντίπατρος, « *Μακεδόνων ἐβασίλευσαν κζ, τρεῖς παῖδες Κασσάνδρου, Φίλιππος καὶ Ἀλέξανδρος, καὶ Ἀντίπατρος, ἔτη γ* (δ)· ἀλλ' ὅμως καὶ

(α) Vindication of the history of Septuag. etc. p. 46. Βλ. ἐφεξ. §. ι.

(β) I. Voss. Append. ad Pomp. Melam. p. 58. sq.

(γ) Τὸ κζ (27) σημαίνει τὸν ἀριθμὸν τῆς σειρᾶς τῶν βασιλέων τῆς Μακεδονίας, ἀπὸ Καράνου πρῶτον ἀρξαμένων. πρβλ. καὶ Σύγκελλ. Χρονογ. σελ. 498 Bon.

(δ) Εὐσέβ. Χρονικ. Α. ἐν Scalig. Thesaur. Tempor. pag. 64. Amstelod. 1658.

τούτου τοῦ Α, τῶν Χρονικῶν ἡ ὑπὸ Ἱερωνύμου λατινικὴ μετάφρασις συμφωνεῖ πρὸς τὸ Β, τὸν χρονικὸν κανόνα, *Ἀντίγονον* ἔχουσα οὐκ *Ἀντίπατρον* (α). Τούτοις δὲ πάλιν συμφωνοῦσι καὶ τὰ ὑπὸ Σκαλιγήρου ἐν τῷ τοῦ Εὐσεβίου Χρονικῷ συνυφασμένα διαφόρων ἀποσπάσματα, ἐν οἷς εἰς τὴν σειρὰν τῶν Μακεδόνων βασιλέων ἀριθμοῦνται *Φίλιππος, Ἀριδαῖος, Κάσσανδρος, Ἀντίγονος, Δημήτριος* καὶ οἱ ἐφεξῆς. Τοῦτον τοίνυν (λέγουσι) τὸν Ἀντίγονον τοῦ Κασσάνδρου, τὸν καὶ Ἀντίπατρον, φοβηθεὶς ὁ Φαληρεὺς ἔφυγεν εἰς Αἴγυπτον. Ἐφοβήθη δὲ, διότι μετὰ τὴν Κασσάνδρου τελευτὴν ὁ υἱὸς Ἀντίγονος (ὁ καὶ Ἀντίπατρος), διαστασιάζων περὶ τῆς βασιλείας πρὸς τὸν νεώτερον ἀδελφὸν Ἀλέξανδρον, ἀποκτείνει τὴν μητέρα Θεσσαλονίκην, ὡς συμπράττουσαν Ἀλεξάνδρῳ· ταύτης δὲ τῷ μέρει προσέκειτο πάντως καὶ ὁ Φαληρεὺς, ὡς μνήμων τοῦ φίλου καὶ εὐεργέτου Κασσάνδρου. Ὡς οὖν ἴδε τὸν Ἀντίγονον εἰς τοσοῦτον ὠμότητος ἐλάσαντα, ὥστε μιάναι τὰς χεῖρας καὶ λύθρῳ μητρικοῦ αἵματος, φοβηθεὶς μή τι πάθῃ καὶ αὐτὸς ὑπὸ τοῦ θηριώδους βασιλέως, ὡς σύμβουλος τῆς μητρὸς, ἔφυγεν εἰς Αἴγυπτον πρὸς τὸν Πτολεμαῖον, ἀρχαῖον Κασσάνδρου φίλον. Οὕτως οἱ περὶ τὸν Ὅδιον ἐπαληθίζουσι τὸν Ἕρμιππον.

§. ή. Ἀλλ᾽ ὁ κλεινὸς Οὐόσσιος ἀρνεῖται πρῶτον τὴν διωνυμίαν τοῦ Ἀντιπάτρου, λέγων· «Εἴ περ ἦν διώνυμος ὁ Ἀντίπατρος, ἔπρεπεν ἵνα λέγηται Ἀντίπατρος Κάσσανδρος (ἀπὸ τοῦ πατρὸς), οὐκ Ἀντίπατρος Ἀντίγονος. Διότι τὰ ἐπώνυμα προσετίθεντο παρ᾽ Ἕλλησιν ἢ *ἀπὸ τῶν πατέρων* (οἷον Ἀῤῥιδαῖος Φίλιππος, Θεόκρι-

---

(α) Macedonum (regnavit) XXVII. Antigonus et Alexander an 4. (Scalig. ibid. pag. 139). Σημείωσαι πῶς εἰς τὴν μετάφρασιν λείπει μὲν τὸ Φίλιππος, τὰ δὲ ἔτη γράφονται 4, ὡς καὶ ἐν τῷ Κανόνι ἀνωτέρω. Πλὴν ἀλλ᾽ ὁ Σύγκελλος (χρον. σελ. 513) συμφωνῶν ἀκριβῶς πρὸς τὸ Α. τῶν χρονικῶν, γ τὰ ἔτη γράφει (κυρίως γ, καὶ μῆνας 6), καὶ Ἀντίπατρον (οὐκ Ἀντίγονον). «Μακεδόνων ἐβασίλευσαν παῖδες Κασσάνδρου, Φίλιππος καὶ Ἀλέξανδρος καὶ Ἀντίπατρος, ἔτη γ». Ὥστε καὶ ἐκ τούτου μόνου δείκνυται ἡ περὶ τοῦ ὀνόματος Ἀντίγονος ἡμαρτημένη ἐν τῷ Κανόνι γραφὴ (λέγομεν περὶ ταύτης καὶ ἐφεξῆς §. θ.). Σημ. ἡμετ.

τος Σιμμιχίδας, Εὐμήδης Κρατίδας, Πτολεμαῖος Λάγος, καὶ ἄλλα πάμπολλα τῶν τοιούτων, ἃ καλοῦσιν Ἕλληνες «*πατρωνυμικὰ ἀπαραλλάκτως λεγόμενα*»), ἢ *ἀπὸ διδασκάλων* (οἷον Ἀπολλώνιος Μόλων, καὶ παρὰ Ῥωμαίοις Μανίλιος Ἀντίοχος, Ἀριστείδης Κυϊντιλιανὸς, καὶ ἄλλοι), ἢ τέλος, *ἀπὸ τῶν δεσποτῶν* (ὡς παρὰ Ῥωμαίοις μάλιστα) (α). Ἀλλ᾽ ἐπὶ τοῦ Ἀντιπάτρου (λέγει Οὐόσσιος) οὐδὲν τούτων ἔχει χώραν· οὐδ᾽ ἂν ἐπινοηθείη ἄλλη τις αἰτία, δι᾽ ἣν αὐτῷ προσετέθη καὶ τὸ, Ἀντίγονος. Ἔπειτα δὲ καὶ αὐτὰ τὰ ἐκ τοῦ χρονικοῦ τοῦ Εὐσεβίου Κανόνος ὁ Οὐόσσιος ἀποβάλλει διὰ μιᾶς, ὡς ἡμαρτημένως καὶ πλημμελῶς ἐξ ἡμαρτημένης τῆς Ἱερω-

---

(α) Οὐ μόνον ἀπὸ πατέρων, καὶ θείων, ἢ πατραδέλφων (Πλούτ. Δημητρ. §. 6), ἀλλὰ καὶ ἀπὸ παλαιοτέρων προγόνων, ἢ καὶ συγγενῶν ἐπισήμων, ἢ καὶ ἄλλως πως ἐπωνομάζοντο οἱ Ἕλληνες· ἀρχαία δὲ ἡ διωνυμία· οἷον ὁ τοῦ Ἀχιλλέως υἱὸς Νεοπτόλεμος, ὁ καὶ Πύῤῥος («ὅπερ ἦν αὐτῷ παιδικὸν ἐπωνύμιον». Πλούταρχ. Πύῤῥ. §. i), καὶ ὁ παρ᾽ Ὁμήρῳ Ἀλέξανδρος καὶ Πάρις [ἄλλα δὲ πολλὰ διώνυμα παρὰ τῷ ποιητῇ, τὰ μὲν εἰς τὴν γλῶσσαν τ ῶ ν Θ ε ῶ ν (δηλονότι τῶν ἀρχαιοτέρων καὶ παλαιγενῶν ἀνδρῶν), τὰ δὲ εἰς τὴν τ ῶ ν ἀ ν θ ρ ώ π ω ν (τῶν μεταγενεστέρων) ἀπονεμόμενα, παραλείπομεν· οἷον Ἰλ. α, 403: 6, 814: ξ, 291: υ, 74: κτλ. πρβλ. καὶ Εὐστάθ. εἰς Ἰλ. φύλ. 94]. Ὅθεν ὁ Ὅσιος δικαίως ἀντεῖπε πάλιν πρὸς Οὐόσσιον φέρων παραδείγματα τὰ ἑφεξῆς, τὸ τοῦ Ἑρμοδάμαντος μὲν τὸ ὄνομα, Κρεωφύλου δὲ ἐπιλεγομένου, «ὃς ἐλέγετο Κρεωφύλου ἀπόγονος εἶναι, Ὁμήρου ξένου τοῦ ποιητοῦ» (Ἰάμβλ. βίῳ Πυθαγόρ.), καὶ τὰ, Ἀλέξανδρος Ἀντίοχος, Δημήτριος Σέλευκος (Συρίας βασιλεῖς), Πτολεμαῖος Ἀλέξανδρος (Αἰγύπτου βασιλεὺς, υἱὸς Πτολεμαίου τοῦ β, Εὐεργέτου), Δημήτριος Ἰξίων (γραμματικὸς) (Hody pag. 15)· καὶ ταῦτα μὲν οὕτως· Εἰς δὲ τὰ ἀπὸ διδασκάλων, τὰ ἀ π α ρ α λ λ ά κ τ ω ς λεγόμενα, παραδείγματα προστεθείσθω (διὰ τὸ ἐπίσημον) καὶ Θάσκιος Καικίλιος, ὁ μακάριος Κυπριανὸς, ἀπὸ τοῦ διδασκάλου τῆς εὐσεβείας αὐτῷ γενομένου Καικιλίου (Caecilij) παρονομασθεὶς (ἄλλας δὲ πολλὰς, παρὰ Ῥωμαίοις μάλιστα, τριωνυμίας καὶ τετραωνυμίας ἀπό τε πατέρων, καὶ ἀπὸ γένους συγγενείας (οἰκογενειῶν), καὶ ἀπὸ προσηγορικῶν ἐπιθέτων, πρὸς τὰς φύσεις, ἢ τὰς πράξεις, ἢ τὰ τοῦ σώματος εἴδη καὶ πάθη, ἢ καὶ σκωπτικῶς προστιθεμένων (Πλούταρχ. Κοριολ. §. ια: Γαϊ. Μαρ. §. α) παρασιωπῶμεν. Ὅτι δὲ καὶ εἰς ἑλληνικὰς χώρας, ἀπὸ τῶν Ῥωμαίων μάλιστα, συνειθίσθησαν τριωνυμίαι, μαρτυρεῖ Τίτος Φλάβιος, Κλήμης, ὁ ἱερώτατος Ἀλεξανδρεύς. Ὁ δὲ Παμφίλου Εὐσέβιος (κατὰ γενικὴν, οὐκ ἀ π α ρ α λ λ ά κ τ ω ς διωνυμούμενος) προσηγορεύθη ἀπὸ τοῦ φίλου Παμφίλου (οἷον κατὰ πατρωνυμίαν, ἢ καὶ διδασκαλωνυμίαν, ὡς λέγεται καὶ Ἀπολλώνιος ὁ Μόλωνος, κατὰ γενικήν.). Ὠριγένει δὲ τῷ πάνυ προσετέθη τὸ Ἀδαμάντιος, οὐχ ὡς δεύτερον κύριον, ἀλλ᾽ ὡς ἂν προσηγορικὸν παρωνύμιον, διὰ τὸ περὶ τοὺς ἀγῶνας ἀδάμαστον καὶ ἀκάματον, καθὼς καὶ τὸ χ α λ κ έ ν τ ε ρ ο ς. Καὶ ταῦτα λόγου πάρεργον, Ὁσίῳ συμμαχοῦντα τῷ κλεινῷ.

νόμου μεταφράσεως ὑπὸ τοῦ Σκαλιγήρου προστεθειμένα (α). Ἀλλὰ πρὸς τὰς Οὐοσσίου ταύτας παρατηρήσεις ὁ Ὅδιος ἔμεινεν ἀμετάπειστος, ἀποδράσεις τινας, μηχανώμενος καὶ διεκδρομάς. Καὶ πρὸς μὲν τὴν Οὐοσσίου ἐρώτησιν, ἐκ ποίας αἰτίας ἆρά γε προσετέθη τῷ Ἀντιπάτρῳ καὶ τὸ Ἀντίγονος ἐπωνύμιον; προφασίζεται λέγων ὅτι «πολλὰ τῶν κατὰ τὴν οἰκογένειαν τοῦ Κασσάνδρου διέμειναν ἀγνοούμενα· φαίνεται δὲ ὅμως ἐν αὐτῇ σύνηθες τ' ὄνομα τοῦ Ἀντιγόνου» — (πόθεν;) — «διότι (λέγει) καὶ θυγάτηρ τις τοῦ Κασσάνδρου (ἀδελφοῦ τοῦ Ἀντιπάτρου, καὶ πατραδέλφου Κασσάνδρου τοῦ βασιλέως) *Ἀντιγόνη* καλεῖται (Σχολ. εἰς Θεοκριτ. εἰδ. ιζ.), καὶ ταύτης πάλιν ἡ θυγάτηρ, ἡ Βερενίκη, μίαν τῶν αὐτῆς θυγατέρων ὠνόμασεν *Ἀντιγόνην* (ἧς καὶ Πλούταρχος ἐπεμνήσθη ἐν βίῳ Πύῤῥου §. δ)· ἴσως δὲ (προστίθησι) καὶ αὐτὸς ὁ περὶ οὗ λόγος Ἀντίγονος, τοῦτο κύριον ἔσχεν ὄνομα· τὸ δ' Ἀντίπατρος

(α) Τὸ τοῦ Ευσεβίου Χρονικὸν, εἰς δύω μέρη διηρημένον (τὸ μὲν α, «παντοδαπῆς ἱστορίας Χρονικῶν Λόγ. Α,» τὸ δὲ Β. «Χρονικὸς Κανὼν,» οἷον τοῦ Α, ἐπιτομὴ) μετέφρασε λατινιστὶ οὐχὶ μετὰ πάσης ἀκριβείας (ὡς ἐνίοτε συνείθιζε περὶ τὰς μεταφράσεις) ὁ μακάριος Ἱερώνυμος· διότι καὶ ἀφεῖλέ τινα καὶ μετέβαλε, τινὰ δὲ καὶ προσέθηκε (καὶ μάλιστα εἰς τὰ τῆς Ῥωμαϊκῆς ἱστορίας), ὡς αὐτὸς ὁμολογεῖ (Praef. ad Chronic. Euseb.). Τὸ δ' ἑλληνικὸν τοῦ Εὐσεβίου κείμενον, ὑπὸ τοῦ χρόνου κατηκρωτηριασμένον (καὶ μάλιστα τὸ Α, μέρος) ἐξέδωκε συνάμα μετὰ τῆς Ἱερωνύμου μεταφράσεως καὶ σημειώσεων κριτικῶν ὁ ἀκάματος Σκαλίγηρος (in Thesaur. Temporum. Lugd. Batav. 1606· ὅθεν καὶ ἡ ἔκδ. ἐν Amstelodam. 1658), ἀναπληρώσας τὰ μὲν ἐκ τῆς λατινικῆς ἑρμηνείας, τὰ δ' ἐκ τοῦ Συγκέλλου, καὶ Κεδρηνοῦ, καὶ τοῦ Ἀλεξανδρινοῦ χρονικοῦ, καὶ εἴποθεν ἄλλοθεν ἀνθολογήσας, (ἴσως δέ τινα καὶ αὐτὸς ἐκ τῶν Ἱερωνύμου λατινικῶν ἐξελληνίσας), καὶ πολλὰ καὶ ποικίλα πλουσίᾳ χειρὶ συναθροίσας εἰς ἕν. Ἀλλ' ἐκ τούτου προέκυψεν ἄλλο τι σύνταγμα διάφορον ἐν πολλοῖς τοῦ πρωτοτύπου (βλ. Hanck. de Byzant. Script. Gr. P. I. c. 1. p. 90. sq.), καὶ δικαίως ἀμφιβάλλεται, εἰ πάντα τὰ περιεχόμενα παραδεκτέον ὡς γνήσια τῆς Εὐσεβίου χειρὸς (βλ. Cave Script. Eccles. Hist. vol. 1. p. 93 — Du-Pin Nouvel Biblioth. ect. T. 2. p. 4)· περὶ δὲ τὰς ἀρχὰς τοῦ παρόντος αἰῶνος οἱ περὶ τὸν Ζόραβον καὶ τὸν εὐκλεέστατον Ἄγγελον τὸν Μάϊον, χειρογράφῳ περιτυχόντες παλαιᾶς Ἀρμενικῆς μεταφράσεως, καὶ ταύτην ἐκλατινίσαντες, καὶ τὰ σῳζόμενα ἑλληνικὰ λείψανα προσθέντες, ἐξέδωκαν τὴν καλὴν ἔκδοσιν τοῦ Χρονικοῦ τοῦ Εὐσεβίου «Eusebij Pamphil. Chronicorum Canonum Libr. II. etc. Mediolani, 1818. βλ. καὶ editor. praef. p. 16.

ἐπωνύμιον εἶχεν ἀπὸ τοῦ *Πάππου*, τοῦ Κασσάνδρου πατρός »· ταῦτα ὁ Ὅδιος· ἐν οἷς ἄν τις εὐθὺς ἀπορήσοι δικαίως, διὰ τί μὴ μᾶλλον ἀπὸ τοῦ *πάππου πρώτως καὶ κυρίως* Ἀντίπατρος ὠνομάσθη; (κατὰ τὴν ἔκπαλαι καὶ μέχρι σήμερον παρ᾽ Ἕλλησιν ἐπικρατοῦσαν συνήθειαν τῆς τῶν ἐγγόνων πολλάκις ἐπὶ τῶν πάππων κυριωνυμίας). Ὁποῖον δὲ καὶ τὸ συνεπὲς τῆς εἰκασίας! ἐπειδὴ ἦσαν *Ἀντιγόναι* καλούμεναι ἐν τῇ Κασσάνδρου οἰκογενείᾳ, καὶ ὁ Κασσανδρίδης ἄρα Ἀντίπατρος, ὠνομάζετο κυρίως *Ἀντίγονος!* ἀλλ᾽ οὕτως ἡμῖν Ὅδιος ἠδύνατο καὶ τοὺς Οἰδίποδος υἱοὺς ἀμφοτέρους, τὸν Ἐτεοκλῆν καὶ τὸν Πολυνείκην, ἐπονομάσαι καὶ Ἀντιγόνους, διότι κᾀκεῖνοι εἶχον ἀδελφὴν *Ἀντιγόνην*, « τέκνον τυφλοῦ γέροντος » (α). Τοῦ δὲ κατ᾽ Εὐσέβιον δῆθεν Κανόνος ἔχεται πάλιν Ὅδιος ἀπρὶξ, ἀπὸ μίτου λεπτοῦ καὶ σαπροῦ (τὸ τοῦ λόγου) τὴν ἰδίαν αὐτοῦ γνώμην ἀναρτῶν, καὶ δῆλον ἐκ τῶν ἑξῆς.

§. θ΄. Οὐδεὶς τῶν ἱστορικῶν ὅσοι τῶν Κασσάνδρου παίδων ἐμνημόνευσαν, οὐδὲ κᾂν εἷς οὐδαμοῦ τὸν *Ἀντίπατρον* ὠνόμασε καὶ *Ἀντίγονον*· ἅπαντες δ᾽ ἀπαξαπλῶς καὶ ὁμοφώνως Ἀντίπατρον κυρίως καὶ μόνον τοῦτον καλοῦσιν. Οὕτω Διόδωρος ὁ Σικελιώτης (β), καὶ Πλούταρχος (γ), καὶ Παυσανίας (δ), καὶ Πορφύριος, καὶ πολὺ πρὸ τούτου Δέξιππος (ε), καὶ ὁ ῥωμαῖος Ἰουστῖνος (ζ), καὶ ὁ τὰ Δεξίππου κατὰ λέξιν ἀντιγράψας Σύγκελλος ὁ χρονογράφος (η). Καὶ αὐτὸς δὲ, τέλος, ὁ Εὐσέβιος *Ἀντίπατρον* ἔγραψεν ἐν τῷ Α, τῶν Χρονικῶν (σελ. 64. Scal.), ὡς φέρεται καὶ τὴν σήμερον, οὐκ Ἀντίγονον, συμφωνῶν δηλονότι πρὸς πάντας τοὺς ἀρχαίους ἱστορικοὺς, ἀφ᾽ ὧν ἠρανίζετο τὴν χρονολογίαν (θ).

(α) Σοφοκλ. Ἀντιγόν. 1. (β) Διόδ. Βιβλ. κα. ἐκλογ. 7. σελ. 490.
(γ) Πλούτ. Πύῤῥ. §. ς. καὶ Δημητρ. §. λς. (δ) Παυσ. Βοιωτ. κεφ. ζ.
(ε) Εὐσέβ. Χρονικ. Α. σελ. 58 καὶ 63 ἐκδ. Scalig. (ζ) Iustin. Lib. XVI. c. 1.
(η) Γ. Σύγκελ. Χρονογρ. σελ. 505 ἐκδ. Bon.

(θ) Ὁ δὲ Βανδάλης διατείνεται ὅτι ὁ Ἀντίπατρος ὀνομάζεται Ἀντίγονος οὐ μόνον ὑπὸ τοῦ Εὐσεβίου, ἀλλὰ καὶ ὑπὸ τοῦ Διωξίππου « A Dioxippo sicut et ab Eusebio in Chronico, Antigonus appellatur » (cap. III. p. 25). Ὁ δὲ Διώξιππος οὗτος τίς; καὶ πόθεν; Οὔτε πάντως ὁ Ὀλυμπιονίκης (Λαέρτ. ς. β,

Τίς οὖν ἀμφιβάλλει ὅτι παρομοίως ἔγραψε καὶ ἐν τῷ Κανόνι; Ἡ δὲ τῶν ἀντιγραφέων ἀβλεψία, εἴτε παρὰ τὴν ταυτότητα τῶν ἐν τοῖς ὀνόμασι πρώτων συλλαβῶν ἀπατηθεῖσα (*Ἀντί-* καὶ *Ἀντί-*), εἴτε καὶ (καθὼς ἄλλοι θέλουσιν), ἐξ ἀρχῆς ὑπὸ τοῦ Εὐσεβίου κατὰ συγκοπὴν γεγραμμένον ἀπαντήσας τις τὸ ὄνομα (ΑΝΤΙΠ.), ἐξέλαβε τὸ Π, ἀντὶ τοῦ ὁμοιομόρφου Γ, καὶ ἀνεπλήρωσε τὰς ἐλλειπούσας συλλαβὰς, ἈΝΤΊΓονον γράψας (ὡς καὶ τοῦτο συνηθέστατον παρὰ τοῖς Μακεδόσιν), ἀντὶ τοῦ ἈΝΤΊΠατρον (α). Καὶ τοιούτῳ χειρογράφῳ περιπεσὼν ὁ μακάριος Ἱερώνυμος ἀντέγραψε τὸ ἡμαρτημένον (πλὴν εἰ μή πως αὐτὸς ὁ Δαλμάτης Πατὴρ πρῶτος παρανέγνω καὶ ὀρθὴν οὖσαν τὴν γραφὴν, ὡς παρηρμήνευσε καὶ ἄλλα παραναγνοὺς, περὶ ὧν ἀλλαχοῦ)· ἢ, τέλος, ὅλον τὸ ἁμάρτημα ἀποῤῥιπτέον εἰς τοὺς Ἱερωνύμου ῥωμαίους ἀντιγραφεῖς (γράψαντας Antigonus, ἀντὶ Antipatrus) (β). Ἐντεῦθεν ἡ ψευδωνυμία μετεγράφη ὕστερον καὶ εἰς τὸ χάσμα τῶν διεφθαρμένων σελίδων τοῦ (κατὰ Σκαλίγηρον) ἑλληνικοῦ κειμένου τοῦ Κανόνος. Τοῦτο φαίνεταί πως μαρτυρῶν καὶ Σύγκελλος (ὅστις εἶχεν ἀείποτε πρὸ ὀφθαλμῶν ὅλον ἀκραιφνὲς ἔτι τότε τοῦ Εὐσεβίου τὸ χρονικὸν),

---

6), οὔτε πάλιν ὁ Κωμικὸς (Ἀθήν. γ, 100), ἤ τις ἕτερος, (Διωξίππου γὰρ μαρτυρίαν οὐδεὶς ἐμνημόνευσεν ἐπὶ τοῦ προκειμένου ζητήματος· οὐδὲ σῴζεται παρ' οὐδενὶ τῶν ἀρχαίων τοιοῦτο χωρίον Διωξίππειον). Φαίνεται λοιπὸν ὅτι τὸν Δ έ ξ ι π π ο ν ὁ σοφὸς ἑλληνιστὴς μετωνόμασε Δ ι ώ ξ ι π π ο ν· καὶ τοῦτο μὲν οὐδὲν θαυμαστόν. Μνήμης παράπτωμα, ἢ παραδρομὴ γραφίδος, ἢ ἀβλεψία τυπογράφου προσεκόλλησεν εἰς τὴν καλὴν τοῦ Βανδάλου διατριβὴν καὶ ταύτην τῆς ψευδωνυμίας τὴν κῆρα. (Ἔπειτα καὶ ἄλλως, ἀφ' οὗ τὸν Ἀντίπατρον μετέπλασεν εἰς Ἀντίγονον, τί παράδοξον εἰ μετέβαλε καὶ τὸν Δέξιππον εἰς Διώξιππον; παρὰ μίαν συλλαβὴν διαφέρουσι τὰ ὀνόματα· καί πως καὶ συνωνυμοῦσιν· εἴγε ὁ μὲν δ έ χ ε τ α ι, ὁ δὲ δ ι ώ κ ε ι ἵππους!). Τὸ παραδοξότατον φαίνεται, πῶς πρὸς τὴν παρ' Εὐσεβίῳ γραφὴν φέρει συμφωνοῦντα καὶ τὸν Δέξιππον, ὅστις, πᾶν τοὐναντίον, Ἀ ν τ ί π α τ ρ ο ν, ο ὐ κ Ἀ ν τ ί γ ο ν ο ν λέγει (βλ. τὴν ῥῆσιν ἐφεξῆς ἐν τῷ τέλει τοῦ παραγράφου.)

(α) Βλ. Vindication of the history of the Septuagint etc. p. 47.

(β) Ἐκ τῆς παρ' Ἱερωνύμῳ ἡμαρτημένης γραφῆς ἐπλανήθησαν καὶ ἄλλοι τῶν νεωτέρων. « Ἢ ἐσφάλη ὁ Ἕρμιππος (λέγει ὁ Wesseling εἰς Διόδ. τόμ. Β. σελ. 439), ἢ ὁ Ἀντίγονος οὗτος νομιστέος ὁ αὐτὸς καὶ Ἀντίπατρος ὁ Κασσάνδρου, καθὰ καὶ Ὑσσέριος εἴκασε ».

Ἀντίπατρον γράψας, καθὼς προείπομεν (§. ζ. σημ.). Ἐπικυροῖ δὲ, τέλος, λαμπρῶς καὶ αὐτὴ ἡ τοῦ Κανόνος ὑπὸ τοῦ Μαΐου γενομένη ἔκδοσις, ὅπου γράφεται «Ἀλέξανδρος καὶ *Ἀντίπατρος* (ἐβασίλευσαν) ἔτη γ» (ὡς καὶ ἐν τῷ Α, τῶν χρονικῶν) (α). Εἰς τοιοῦτο προφανέστατον σφάλμα γραφικὸν ἐθεμελίωσεν ὅλην τὴν ἑαυτοῦ γνώμην ὁ σοφὸς δόκτωρ (ἢ διδάκτωρ) Ὅδιος, καὶ προτιμήσας τὴν δύω συλλαβῶν, ἢ καὶ μόνον ἑνὸς γράμματος (τοῦ Π, ἀντὶ τοῦ Γ,) διεψευσμένην ὑπό τινων ἀντιγραφέων μεταβολὴν, κατεπάτησε τὸ κῦρος καὶ τὴν αὐθεντίαν ὅλων τῶν ἀρχαίων συγγραφέων, καὶ τοῦ Εὐσεβίου αὐτοῦ! Ἀλλ' ἐὰν δέχηται ὡς μόνην ἀληθῆ καὶ γνησίαν τὴν ἣν ἐμνημόνευσε ῥῆσιν ἐκ τοῦ Σκαλιγηρείου Κανόνος τοῦ Εὐσεβίου, τότε λοιπὸν (ὡς ὀρθῶς συλλογίζεται ὁ τοῦ Ἀριστέου Ἔκδικος) (β), ὀφείλει πάντως ὁ Ὅδιος ἵνα δεχθῇ ὡς ἀληθινὸν καὶ γνήσιον καὶ τὸν κατὰ τὴν αὐτὴν σελίδα, πρό τινων γραμμῶν κεχαραγμένον, διορισμὸν τῆς εἰς Αἴγυπτον φυγῆς τοῦ Φαληρέως, ὡς γενομένης κατὰ τὸν αὐτὸν ἐκεῖνον χρόνον, ὁπότ' ἐξέπεσεν ἐκ τῶν Ἀθηνῶν (τὸ β, τῆς ριη, Ὀλυμπιάδος, ὡς ἐχρονολόγησε καὶ Διόδωρος ἀνωτέρω §. ε.)· ἀλλὰ τοῦτο καταστρέφει ῥιζηδὸν τὴν τῆς Ἑρμίππου ῥήσεως ἀξιοπιστίαν, ἧς τὸ ἄπτωτον καὶ ἀκήρατον ἐκ παντὸς τρόπου προστατεύει γενναίως ὁ κριτικός.

Πόσον δὲ δυστυχῶς ἀπέβησαν αὐτῷ καὶ τ' ἄλλα τὰ φαντάσματα, ὅσα παρέπλασε περὶ τῆς αἰτίας, δι' ἣν τὸν παρ' αὐτῷ Ἀντίγονον (δηλονότι τὸν Ἀντίπατρον) ὁ Φαληρεὺς Δημήτριος ἐφοβήθη. Πρῶτον μὲν εἰσάγει τοῦτον αἴσχιστα συνωμοτοῦντα μετ' Ἀλεξάνδρου κατὰ τοῦ *Ἀντιγόνου*, καὶ συνεξάπτοντα πολέμους ἀδελφῶν, καὶ τρέφοντα τὴν ἐμφύλιον νόσον τῆς οἰκίας ἐκείνης, εἰς ἣν ἐχρεώστει τὴν μεγίστην αὐτοῦ δόξαν καὶ σωτηρίαν! Ἔπειτα,

---

(α) Βλ. Euseb. Chronic. Canon. p. 256 ἐκδ. Maij. Πρόσθες ὅτι καὶ ἡ παρὰ τοῦ Μαΐου ἐκλατινισθεῖσα παλαιὰ τοῦ Χρονικοῦ Ἀρμενικὴ μετάφρασις Ἀντίπατρον ἔχει (αὐτ. σελ. 173.), καὶ προσέτι περιέχει καὶ τοὺς τρεῖς υἱοὺς (Philippus, Alexander atque Antipater). Ὅθεν καὶ εἰς τὸ ἑλληνικὸν κείμενον φαίνεται προσθετέον τὸ Ἀλέξανδρος, κατὰ λάθος ἐκπεπτωκός («τοῦτον διαδέχεται Φίλιππος καὶ Ἀντίπατρος»). (β) Vindication of the history etc. pag. 48.

ἐν ᾧ ὁ Ἕρμιππος οὔτε τοὺς υἱοὺς Κασσάνδρου μνημονεύει, οὔτε τὴν Ἀντιπάτρου μητροκτονίαν, οὔτε τὴν τούτου πρὸς τὸν ἀδελφὸν διαμάχην (διότι ἐνόει *Ἀντίγονον*, καὶ οὐχὶ *Ἀντίπατρον*), καὶ οὔτε τόπον τῆς τότε τοῦ Φαληρέως διατριβῆς, οὔτε χρόνον τῆς εἰς Αἴγυπτον φυγῆς ὀνομαστὶ διορίζει, ἀλλ᾽ ἁπλῶς καὶ ἀορίστως διέλαβε μόνον, ὅτι μετὰ τὸν Κασσάνδρου θάνατον, φοβηθεὶς Ἀντίγονον (ἔφυγεν εἰς Αἴγυπτον), ὁ σοφὸς Ὅδιος συναγαγὼν τὰ κατὰ τὸν Κασσανδρίδην Ἀντίπατρον περιστατικὰ προσανήρτησε πάντα, καὶ ἄκοντος Ἑρμίππου, εἰς τὸν παρ᾽ αὐτῷ *Ἀντίγονον*, ὅπως Ἀντίπατρον ἐκεῖνον τὸν Ἑρμίππειον Ἀντίγονον καταστήσῃ! Τελευταῖον, δανεισάμενος ἐξ Ἑρμίππου τὸ κατ᾽ Αἴγυπτον τῷ Δημητρίῳ συμβεβηκὸς, ἐπανέλαβεν, ὡς ταὐτὸ σχεδὸν καὶ πρότερον αὐτῷ συμβὰν, ὅτε διέτριβεν ἐν Θήβαις, ἢ ἐν Μακεδονίᾳ (ἢ ὅπου ἀλλαχοῦ καθίζει τοῦτον Ὅδιος). Περὶ βασιλείας ἐν Αἰγύπτῳ (κατὰ τὸν Ἕρμιππον) συνέπραττεν ὁ Δημήτριος τοῖς ἐξ Εὐρυδίκης τοῦ Πτολεμαίου παισὶ, τούτοις τὸν πατέρα συμβουλεύων περιθεῖναι τὴν ἀρχήν· διὸ καὶ ἐξέπεσε περιορισθείς. Περὶ βασιλείας καὶ ἐν Μακεδονίᾳ (κατὰ τὸν Ὅδιον) συνέπραττεν Ἀλεξάνδρῳ, συμβουλεύων τὴν μητέρα μετ᾽ αὐτοῦ συμμαχεῖν· διὸ καὶ ἔφυγε φοβηθείς. Πανταχοῦ ὁ Φαληρεὺς εἰς τὰς περὶ βασιλείας τῶν διαδόχων ἀντιζηλίας παρενέπλεκεν ἑαυτὸν, καὶ προσέκρουεν, ὡς κακός τις καὶ ἀδέξιος ἐν αὐλαῖς σκευωρός! Ἀλλ᾽ ἐν μὲν Αἰγύπτῳ συνέπραττε τοῖς ἐξ Εὐρυδίκης *πρεσβυτέροις* υἱοῖς τοῦ Πτολεμαίου (ὧν ὑπῆρχεν εἷς καὶ Πτολεμαῖος ὁ Κεραυνὸς), εὔλογά πως ῥαδιουργῶν! διὰ τί καὶ παρὰ Μακεδόσιν οὐ συνεμάχει περὶ τῆς βασιλείας μετὰ Ἀντιγόνου *τοῦ πρεσβυτέρου* ἀδελφοῦ, συνέπραττε δὲ μᾶλλον Ἀλεξάνδρῳ *τῷ νεωτέρῳ*, παράνομα πολιτευόμενος καὶ παρὰ τὰ δίκαια τῶν ἐθνῶν (κεφ. ϛ. §. δ.), ὁ σοφώτατος νομοθέτης; Εἰ δὲ καὶ τοῦτ᾽ ἔπραττεν (οὕτω δόξαν), διὰ τί κἂν οὐ κατέφευγε πρὸς αὐτὸν τὸν Ἀλέξανδρον ἐκ τοῦ σύνεγγυς, εἴπερ ἐφοβήθη τὸν μητροκτόνον *Ἀντίγονον*, ἀλλ᾽ ἀπέδρα θηρεύων οὕτω μακρὰν καὶ διαπόντιον σωτηρίαν; Ἄδικα ταῦτα καὶ λίαν ἀπίθανα περὶ

τοῦ Φαληρέως ἔπλασεν ὁ κριτικὸς, οὐδ' ἔλαβεν ἐκ τούτων οὐδὲ γοῦν ὀβολοῦ ὑπόχρεων τὸν Ἕρμιππον, ὑπὲρ οὗ δικηγορικώτερον ἐῤῥητόρευσεν. Εἰ μὲν γὰρ ὁ Δημήτριος *πρὸ τῆς Κασσάνδρου τελευτῆς* (κατὰ τὴν Διοδώρου χρονολογίαν) ἔφυγεν εἰς Αἴγυπτον (α), ἔζη λοιπὸν ἀσφαλὴς, καὶ πολὺ μακρὰν τῆς μετὰ ταῦτα μητροκτονίας καὶ πρὸς τὸν ἀδελφὸν διαμάχης τοῦ (καθ' Ὅδιον) Ἀντιγόνου. Εἰ δὲ πάλιν ἔφυγε (κατὰ Στράβωνα), *μετὰ τὸν Κασσάνδρου θάνατον*, διότι (κατὰ τὸν Ἕρμιππον) ἐφοβήθη τὸν Ἀντίγονον, τοῦτον λοιπὸν τὸν Ἑρμίππειον *Ἀντίγονον*, οὐχὶ τὸν Κασσανδρίδην *Ἀντίπατρον* ἐφοβήθη. Καίτοι μηδὲ τοῦτον εἶχε φοβεῖσθαι (κἂν ὑποτεθῇ πρὸς ὥραν ὁ Ἀντίπατρος ὁ αὐτὸς καὶ ὁ Ὁδιακὸς Ἀντίγονος)· ἐσώζετο γὰρ ἂν ὁ Δημήτριος παρὰ τῷ νεωτέρῳ Ἀλεξάνδρῳ, ὅστις ὑπὸ Πύῤῥου βοηθούμενος ἐδίωξε, τέλος, ἀνεπιστρεπτὶ τὸν πολέμιον ἀδελφὸν, καταστὰς αὐτὸς ἐπὶ τῆς βασιλείας· καὶ μάρτυς ὁ Δέξιππος· « Ἀντίπατρος δὲ Θεσσαλονίκην ἀνελὼν τὴν ἰδίαν μητέρα, συμπράττουσαν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ περὶ βασιλείας, εἰς Πόντον φεύγει πρὸς Λυσίμαχον, καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ, καίπερ γήμας θυγατέρα αὐτοῦ » (β).

(α) Τοῦτο φρονεῖ καὶ Champollion-Fig. Annales des Lagides T. 1. p. 333.

(β) Δέξιππ. παρ' Εὐσεβ. χρονικ. Α. σελ. 58 Scalig. βλ. καὶ τὰς Animadvers. p. 135. πρβλ. Συγκέλ. χρονογραφ. σελ. 505 Bonn. Οὕτω καὶ Πορφύριος (παρ̕ Εὐσεβ. χρονικ. Α. κεφ. λζ. σελ. 173 ἐκδ. Maij. καὶ ἐκδ. Scalig. pag. 63). πρβλ. Iustin. L. XVI. c. 2. Βλ. καὶ Demagistr. Aopolg. 4. pag. 477. (ὅπου τὰ ἀνωτέρω τοῦ Δεξίππου « τῷ ἀδελφῷ περὶ βασιλείας, εἰς Πόντον » κτλ. γράφεται ἡμαρτημένως, « τῶν ἀδελφῶν περὶ βασιλείας εἰπόντων· καὶ στίζεται δὲ τὸ χωρίον κακῶς. Ἀντέγραψε δὲ τὰ σφάλματα ὁ Δεμάγιστρος ἀπ' αὐτοῦ τοῦ Σκαλιγήρου, οὕτω ταῦτα πρῶτον ἐκδόντος, ὡς καὶ ἄλλα τινα (οἷον, πρινὴ ἄξασθαι, ἀντὶ, « ἢ πρὶν ἄρξασθαι ». — Ἐλάτρῳ ἀντὶ, Ἐλατείᾳ » κτλ.). Σημείωσαι δὲ ὅτι συντόμως ἐνταῦθα καὶ συνεπτυγμένως οἱ περὶ τὸν Δέξιππον ἱστοροῦσι τὰ κατὰ τὸν Ἀντίπατρον· οὐδ' ἐννοοῦσιν, ἢ ὅτι πρὶν ὁ Ἀντίπατρος βασιλεύσῃ, φονεύσας τὴν μητέρα ἐξέφυγεν εἰς Πόντον εὐθὺς, ἢ, ὅτι παρευθὺς ὡς ἦλθε πρὸς Λυσίμαχον, ἐφονεύθη· διότι καὶ συνεβασίλευσε (πρὸ τῆς μητροκτονίας) μετὰ τοῦ ἀδελφοῦ ἔτη γ (κατὰ τὸν Εὐσέβιον), καίτοι διαστασιάζων, καὶ τοῦτον ἐξελαύνων· καὶ πάλιν μετὰ τὴν μητροκτονίαν ὑπ' ἐκείνου νικηθεὶς καὶ φυγὼν, διέτριψε χρόνον τινα « παρὰ τῷ Λυσιμάχῳ, προθυμουμένῳ τούτῳ βοηθεῖν » (βλ. Πλούταρχ.

§. ί. Καὶ λοιπὸν ἐσφάλη μὲν ὁ Ὅδιος παρεξηγῶν τὸν Ἑρμίππειον Ἀντίγονον· ἐσφάλη δὲ καὶ αὐτὸς ὁ Ἕρμιππος ἐκφοβίζων τὸν Δημήτριον ἐκ τοῦ Ἀντιγόνου. Ποῖον ἄρα τοῦτον ἐνόει τὸν Ἀντίγονον; Ὁ Οὐόσσιος ὑπέλαβεν, ὅτι τὸν μέγαν εἶχε κατὰ νοῦν ὁ Ἕρμιππος, τὸν πρὸ τοῦ Κασσάνδρου τελευτήσαντα (§. ε.). Ἀλλὰ τοῦτο φαίνεται ἀπίθανον. Ὁ Ἕρμιππος λέγει, ὅτι « *ἐφοβήθη* τὸν Ἀντίγονον ὁ Δημήτριος ». Ἀλλ᾽ ὁ μέγας Ἀντίγονος, καί τοι φοβερώτατος γενόμενος τῶν τότε κατ᾽ Ἀσίαν βασιλέων (α), ἐφ᾽ ὅσον ὅμως ὁ Κάσσανδρος ἔζη (ὑφ᾽ οὗ καὶ κατεπολεμήθη, τέλος, ὁ Ἀντίγονος· Παυσ. Α, ς.), οὐδένα φόβον ἠδύνατο παρέχειν τῷ Δημητρίῳ, διάγοντι παρὰ τῷ Κασσάνδρῳ (τοῦτο γὰρ συνάγεται ἐκ τῶν Ἑρμίππου λόγων, ὅτι « *μετὰ τὸν Κασσάνδρου θάνατον* ἐφοβήθη »). Εἰ δὲ ταῦτα οὕτως ἔχουσιν, ἕτερον λοιπὸν ὁ Ἕρμιππος Ἀντίγονον ἐνόει· τίνα τοῦτον; τὸν αὐτοῦ τοῦ μεγάλου ἔγγονον, υἱὸν δὲ Δημητρίου τοῦ Πολιορκητοῦ, τὸν ἐπικαλούμενον *Γονατᾶν*. Καὶ παρεχρόνιζε μὲν ὁπωσδήποτε καὶ εἰς τοῦτον (ὡς λέγομεν εὐθὺς), πλὴν ἀλλ᾽ οὕτως ἐξηγεῖταί πως ἡ τοῦ φόβου αἰτία. Ὁ Κάσσανδρος ἐτελεύτησε τὸ γ, ἔτος τῆς ρκ Ὀλυμπιάδος (Εὐσέβ. χρονικ.). τοῦτον διεδέξατο Φίλιππος ὁ υἱὸς, καὶ μετ᾽ αὐτὸν Ἀντίπατρος καὶ Ἀλέξανδρος οἱ διαστασιάσαντες ἀδελφοί· οὗτοι ἐβασίλευσαν ἔτη γ, ἢ δ. Μετὰ τούτους Δημήτριος ὁ Πολιορκητὴς, ἀποκτείνας Ἀλέξανδρον τὸν Κασσάνδρου (β), βασιλεύει Μακεδονίας ἐπὶ ἔτη

Πύῤῥ. ς. καὶ Δημητρ. §. λς. βλ. καὶ ἐφεξῆς §. ια). Ὥστε ὁ σοφὸς Δεμάγιστρος (αὐτόθι) ὀρθῶς τ᾽ ἄλλα περὶ τούτου πρὸς Ὅδιον ἀπαντῶν, οὐκ ἀκριβῶς ὅμως συνεπέρανεν ἐκ τῶν τοῦ Δεξίππου ὅτι « κἂν ὁ τοῦ Κασσάνδρου Ἀντίπατρος Ἀντίγονος ἐκαλεῖτο, οὐδ᾽ οὕτως ἂν ὑπῆρχε πρὸς τὸν Δημήτριον φοβητέος « οὐδὲ γὰρ ἔφθασε βασιλεῦσαι ». Πολὺ προσεκτικώτερον Οὐόσσιος ἐξεφράσθη λέγων (ὅτι ἐφονεύθη ὁ Ἀντίγονος οὗτος ὑπὸ τοῦ Λυσιμάχου) « πρὶν ἢ ἐπὶ τοῦ θρόνου στηριχθῇ » (antequam in solio confirmaretur). Append. ad Pomp. Mel. pag. 61.

(α) Σύγκελ. Χρονογρ. σελ. 505. Bon. πρβλ. Παυσαν. Α. ς.

(β) Ἐνταῦθα σημειοῦμεν ὡς διορθωτέον (εἰ δοκεῖ τοῖς Κριτικοῖς) χωρίον τι τοῦ Πορφυρίου· ὅπου, πλὴν τῶν παρ᾽ ἅπασιν ὡμολογημένων τριῶν υἱῶν τοῦ Κασσάνδρου (Φιλίππου καὶ Ἀντιπάτρου καὶ Ἀλεξάνδρου τοῦ νεωτέρου), φαίνεται καί τις τέταρ-

ἓξ, εἶτα Πύῤῥος, ἔπειτα Λυσίμαχος ἔτη πέντε, μεθ᾽ ὃν Πτολεμαῖος ὁ Κεραυνὸς καὶ Σωσθένης. Ὕστερον δὲ, τέλος, Ἀντίγονος ὁ Γονατᾶς, ἐπελθὼν μετὰ ἔτη ιθ, ἀπὸ τῆς Κασσάνδρου τελευτῆς. Ἐπειδὴ δὲ ὁ Ἀντίγονος οὗτος, καὶ πρὶν ἢ βασιλεύσῃ Μακεδονίας, ἐβασίλευσεν ὅμως δι᾽ ὅλων δέκα, ἢ δώδεκα ἐτῶν εἰς ἄλλας χώρας τῆς Ἑλλάδος (Σύγκελ. σελ. 514), ἐντεῦθεν ὁ Ἕρμιππος ἀπατηθεὶς παρεχρόνισεν, εἰσαγαγὼν αὐτὸν ἑπτὰ τοὐλάχιστον ἐνιαυτοὺς πρότερον εἰς τὴν βασιλείαν τῶν Μακεδόνων (ὅπου ἴσως, ἢ παρὰ Θηβαίοις, Μακεδόνων φίλοις, ὑπελάμβανε τὸν Φαληρέα Δημήτριον διατρίβοντα μετὰ τὸν θάνατον τοῦ Κασσάνδρου). Καὶ τοῦτον ἄρα τὸν Ἀντί-

---

τος, Πτολεμαῖος· « Φίλιππος μὲν (λέγει) ἐν Ἐλατείᾳ ἀποθνήσκει. — Ἀντίπατρος δὲ Ἀλεξάνδρῳ τῷ παιδὶ συμπράττουσαν ἀνελὼν τὴν μητέρα — εἰς Λυσίμαχον ἔφυγε. — Ἀλέξανδρος δὲ γαμεῖ Λυσάνδραν τὴν τοῦ Πτολεμαίου· πρός τε τὸν νεώτερον Πτολεμαῖον ἀδελφὸν εἰς συμμαχίαν ἐπικαλεῖται Δημήτριον τὸν Ἀντιγόνου — ἀναιρεῖταί τε ὑπ᾽ αὐτοῦ » (Πορφύρ. παρ᾽ Ευσεβ. Χρονικ. Α. σελ. 63 Scalig. καὶ ἐκδ. Maij σελ. 173). Ἀπαραλλάκτως ἔχει καὶ ἡ τοῦ Μαΐου ἐκλατινισθεῖσα Ἀρμενικὴ μετάφρασις, « νεώτερον ἀδελφὸν (cum minore fratre)· τὸ δὲ Πτολεμαῖον ὁ Ἀρμενικὸς κώδηξ εἶχεν εἰς τὴν ᾤαν προσγεγραμμένον, ὅθεν οἱ ἐκδόται εἰσήγαγον τοῦτο καὶ εἰς τὸ κείμενον τὸ Λατινικόν (βλ. Euseb. Cbronic. Canon. L. I. p. 173). Ἀλλ᾽ ἡ γραφὴ τοῦ Πορφυριανοῦ χωρίου φαίνεται τεταραγμένη· καὶ τὸ μὲν δεύτερον Πτολεμαῖον ἐπανέλαβεν ἀναμφιβόλως ἡ ἀβλεψία τοῦ ἀντιγραφέως ἐκ τοῦ σύνεγγυς Πτολεμαίου. Τὸ δὲ νεώτερον (ἀντὶ τοῦ πρεσβύτερον· ὡς ἔχει Παυσανίας, Πλούταρχος, κτλ.) φαίνεται σφάλμα παλαιῶν ἀντιγράφων, ἢ μνημονικὸν ἁμάρτημα τοῦ Δεξίππου (ἐξ οὗ καὶ Πορφύριος ἀντέγραψεν ἴσως). Γραπτέον τοίνυν παρὰ τῷ Πορφυρίῳ — « Ἀλέξανδρος δὲ γαμεῖ Λυσάνδραν τὴν τοῦ Πτολεμαίου· πρός τε τὸν πρεσβύτερον ἀδελφὸν εἰς συμμαχίαν ἐπικαλεῖται Δημήτριον, — ἀναιρεῖταί τε ὑπ᾽ αὐτοῦ ». Καὶ μαρτυρεῖ Δέξιππος γράφων σχεδὸν ταὐτά « Ἀλέξανδρος δὲ Λυσάνδραν τὴν Πτολεμαίου γαμεῖ· παρὰ Δημητρίου δὲ (ἴσ. τε) ἀναιρεῖται τοῦ πολιορκητοῦ, συμμαχήσειν (ἴσ. γρ. συμμαχῆσαι) κατὰ Ἀντιπάτρου τοῦ νεωτέρου (ἀντὶ πρεσβυτέρου) ἀδελφοῦ προσκαλεσαμένου (ἐν Εὐσεβ. Χρονικ. Α. σελ. 58 ἐκδ. Σκαλιγήρ.), ὅπου γραπτέον προσκαλεσάμενος (ὡς ἔχει καὶ ὁ Σύγκελος Χρονογραφ. σελ. 505 Bon.), προσθετέον δὲ, ἴσως, καὶ τὸ αὐτόν. Ὁ δὲ κλεινὸς Ὅδιος καταλιπὼν τὰ τοῦ Δεξίππου καὶ Πορφυρίου (ἃ τοσάκις ἀνέγνω παρὰ τῷ φίλῳ καὶ ὁμόφρονι Σκαλιγήρῳ), ψέγει ἔπειτα τὸν τὰ Δεξίππου μεταγράψαντα Σύγκελλον, ὅτι κακῶς οὗτος εἶπε πρεσβύτερον τὸν νεώτερον Ἀλέξανδρον (Hody pag. 16).

γονον τὸν Γονατᾶν ὁ Φαληρεὺς ἐφοβήθη κατὰ τὸν Ἕρμιππον, εἴτε καθὸ σύνοικος καὶ φίλος Θηβαίων, ὑπ' Ἀντιγόνου πολεμηθέντων, εἴτε καὶ ὡς φίλος Κασσάνδρου, καὶ τῆς Κασσάνδρου οἰκίας, οὓς ἐμίσουν οἱ τοῦ μεγάλου Ἀντιγόνου ἀπόγονοι, διὰ τὴν πρὸς ἐκεῖνον ἀχαριστίαν τοῦ Κασσάνδρου (Παυσ. Α. ς). Τὸν Γονατᾶν Ἀντίγονον, τέλος, καὶ Οὐόσσιος ἀπέδωκεν ὕστερον παροδικῶς εἰς τὸν Ἕρμιππον. Ἀλλ' ὁ Ὅδιος ἀντέκραξεν, ὅτι καὶ τοῦτο δείκνυται τρανὸς Οὐοσσίου παραχρονισμός (α). Καὶ ὅμως ὁ παραχρονισμὸς οὗτος ἀνήκει μᾶλλον εἰς τὸν Ἕρμιππον αὐτόν.

§. ιά. Τελευταῖον, οἱ περὶ τὸν Ἀριστέου Ἔκδικον ἀθωοῦσι παντάπασι τὸν Ἕρμιππον ἀπὸ τῶν δύω τούτων σφαλμάτων. Καὶ ἐπὶ μὲν τοῦ α, παρὰ τὴν Διοδώρου χρονολογίαν προτιμῶσι μᾶλλον τὴν γνώμην τοῦ Στράβωνος « ὅτι ὁ Δημήτριος ἔφυγεν εἰς Αἴγυπτον μετὰ *τὴν Κασσάνδρου τελευτήν* ». Τὸ δὲ δεύτερον θεραπεύουσιν οὕτως· Ἀντίπατρος ὁ Κασσάνδρου πατὴρ ἐτελεύτησε τὸ δ, ἔτος τῆς ριδ Ὀλυμπιάδος (Διόδωρ. ΙΗ. σελ. 653), καταλιπὼν κυβερνήτην τῆς Μακεδόνων βασιλείας τὸν Πολυσπέρχοντα. Ὁ δὲ Κάσσανδρος ἀνελθὼν εἰς Ἀσίαν, καὶ βοήθειαν λαβὼν παρ' Ἀντιγόνου τοῦ μεγάλου, καὶ Πτολεμαίου (τοῦ Λάγου) ἐπανῆλθεν εἰς τὴν Ἑλλάδα, τὸ γ, τῆς ριε, Ὀλυμπ. (Διόδ. ιη, 667), καὶ καταλαβὼν τὰς Ἀθήνας κατέστησε τῆς πόλεως ἐπιστάτην Δημήτριον τὸν Φαληρέα. Τῷ δ' ἐφεξῆς ἔτει διεσώσατο τὴν πάτριον βασιλείαν τῶν Μακεδόνων. Κατὰ δὲ τὸ β, τῆς ριη, Ὀλυμπ. (ἀπὸ δὲ τῆς Ἀλεξάνδρου τελευτῆς ἔτει ιζ) Δημήτριος Ἀντιγόνου ὁ Πολιορκητὴς, ἐλθὼν ἐκ τῆς Ἀσίας στόλῳ μεγάλῳ, ἀπέδωκε τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις (Διόδ. Κ. 756), καὶ τὸν Φαληρέα Δημήτριον ἐξέπεμψεν εἰς Θήβας (αὐτ. καὶ Πλούταρχ. Δημητρ. §. θ). Ὅπου καὶ διέτριψεν ὁ Φαληρεὺς χρόνους ἱκανοὺς (β), ἀπολαύων

(α) Βλ. Vossij Append. ad Pomp. Mel. p. 61 καὶ Hody pag. 15.

(β) Τοῦτο συμπεραίνει ὁ Ἔκδικος ἐκ τοῦ Πλουτάρχου (π. τ. π. δ. τὸν κόλακα τοῦ φίλου) ὅπου καὶ παραπέμπει. Ἀλλὰ τὸ Πλουτάρχειον τοῦτο χωρίον οὐδὲν οὐδόλως διαλαμβάνει περὶ τοῦ χρόνου τῆς ἐν Θήβαις τοῦ Φαληρέως διατριβῆς.

τῆς εὐνοίας Κασσάνδρου. Ὁ Κάσσανδρος ἐτελεύτησε τῷ γ, τῆς ρκ, Ὀλυμπιάδ. (α), καὶ τῷ κε, ἢ κς, ἔτει μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν (βασιλεύσας ἔτη 19). Τοῦτον διεδέξατο Φίλιππος ὁ πρεσβύτατος τῶν υἱῶν, ὅστις καὶ ἀπέθανε μετ᾽ ὀλίγον (β). Μετ᾽ αὐτὸν δὲ Ἀντίπατρος, διαστασιάζων πρὸς Ἀλέξανδρον τὸν νεώτατον ἀδελφὸν περὶ τῆς βασιλείας, ἀπέκτεινε τὴν μητέρα Θεσσαλονίκην (γ, ἢ δ, ἔτει μετὰ τὸν θάνατον τοῦ Κασσάνδρου). Ἀλέξανδρος δὲ βοηθοὺς ἐκάλει ἐκ μὲν Ἠπείρου Πύῤῥον, ἐκ δὲ Πελοποννήσου Δημήτριον τὸν Πολιορκητήν (γ). Ἔφθασε πρότερος ὁ Πύῤῥος ἐλθών· καὶ φεύγει μὲν Ἀντίπατρος πρὸς Λυσίμαχον εἰς τὴν Θρᾴκην (δ)· καθίσταται δὲ εἰς τὴν ἀρχὴν ὁ Ἀλέξανδρος, καὶ τότε ἦλθε παρ᾽ αὐτῷ ὁ Πολιορκητὴς Δημήτριος βοηθήσων, μηκέτι δεομένῳ. Ὑποπτεύεται τοῦτον ὁ Ἀλέξανδρος καὶ ἐπιβουλεύει· προφθάνει δὲ ὅμως ὁ Δημήτριος ἐννοήσας, καὶ κτείνει τὸ μειράκιον, καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδονίας τῷ β, τῆς ρκα, Ὀλυμπ. Τῷ δ᾽ ἐφεξῆς ἔτει στρατεύει κατὰ Λυσιμάχου, προθυμουμένου βοηθεῖν Ἀντιπάτρῳ (τῷ πρόσφυγι καὶ γαμβρῷ αὐτοῦ γενομένῳ, κατὰ τὸν Δέξιππον· βλ. ὄπισθ. §. θ.). Ἐπειδὴ δὲ καὶ τοὺς Βοιωτοὺς ὁ Δημήτριος ὑπωπτεύετο, πέμπει καὶ κατ᾽ αὐτῶν τὸν υἱὸν Ἀντίγονον τὸν Γονατᾶν (Πλούτ. Δημητ. §. λθ.). Τότε ὁ Φαληρεύς, διατρίβων ἔτι

(α) Εὐσέβ. Χρονικ. Καν. ἀριθμ. 1719. σελ 179. ἔκδ. Scalig.

(β) Iustin. Libr. XVI. c. 1. Παυσαν. Βοιωτικ. ζ.

(γ) Iustin. ibid. Πλούταρχ. Βίῳ Πύῤῥ. §. ς. καὶ Δημητρ. §. λς.

(δ) Ταύτην τὴν Ἀντιπάτρου δίωξιν ὁ Παυσανίας ἐννοεῖ λέγων « Ὁ δὲ Ἀλέξανδρος ἐπαγόμενος Δημήτριον τὸν Ἀντιγόνου » (μᾶλλον τὸν Πύῤῥον πρῶτον) « καθεῖλε δι᾽ ἐκείνου καὶ ἐτιμωρήσατο τὸν ἀδελφὸν Ἀντίπατρον (Παυσαν. Θ. ζ.). Οἱ δὲ περὶ τὸν σοφὸν Μάϊον ἐκδόται τῶν Εὐσεβίου Χρονικῶν, ἐκ τούτου τοῦ ἐτιμωρήσατο ὁρμηθέντες, οὐκ ὀρθῶς ὑπέλαβον ὅτι ὁ Παυσανίας ἱστορεῖ τὸν Ἀντίπατρον ὑπ᾽ αὐτοῦ φονευθέντα τοῦ Ἀλεξάνδρου (βλ. Not. in Euseb. Chronic. I. p. 173). Οἱ δ᾽ αὐτοὶ (αὐτόθ.) καὶ τὸν Διόδωρον εἰσήγαγον ἱστοροῦντα δῆθεν τὸν Ἀντίπατρον φονευθέντα ὑπὸ τοῦ Δημητρίου. Ἀλλ᾽ ὁ Διόδωρος λέγει ῥητως « Ὅτι Ἀλέξανδρος, ἀδελφὸς Ἀντιπάτρου, προσκαλεσάμενος Δημήτριον εἰς βοήθειαν δολοφονεῖται ὑπ᾽ αὐτοῦ (Διόδωρ. Ἐκλογ. κα. 7. τόμ. Β. σελ. 490 Wessel.).

κατὰ τὰς Θήβας (δραστήριος ἀνὴρ, καὶ οἷός τε παρορμῆσαι τοὺς Βοιωτοὺς Ἀντιπάτρῳ τῷ Κασσάνδρου συμμαχεῖν, ἔτι ζῶντι τότε καὶ διατρίβοντι ἐν Θράκῃ παρὰ τῷ Λυσιμάχῳ), ἔκρινεν ἀσφαλέστερον ἐκ Θηβῶν εἰς Αἴγυπτον ἀπελθεῖν πρὸς Πτολεμαῖον τὸν Σωτῆρα, ὅστις αὐτὸν μετὰ τιμῆς ὑπεδέχθη » (α). Οὕτως εὐφυῶς οἱ περὶ τὸν Ἀριστέου Ἔκδικον ἀπολύουσι τὸν Ἕρμιππον ἀθῳοῦντες ἀπὸ τῶν διπλῶν ἐγκλημάτων. Πλὴν ἀλλ᾽ ἑτέρωθεν ἵσταται κεχολωμένος καὶ σκυθρωπάζων ὁ Διόδωρος (παρ᾽ οὗ πᾶσαν σχεδὸν οἱ ἀπολογηταὶ τὴν χρονολογίαν ἐδανείσαντο, κατεσκευάζοντες τὴν ἀθῴωσιν)· δυσκόλως δὲ καὶ Πλούταρχος συγκαταφάσκει, διαγράφων μὲν τὰς Θήβας ὑπ᾽ αὐτοῦ Δημητρίου τὸ πρῶτον ἁλούσας, μὴ παρόντος Ἀντιγόνου, σιωπῶν δὲ περὶ τοῦ Φαληρέως, μηδ᾽ ὀνομάζων καὶ τοῦτον μετὰ τῶν ἄλλων (ὧν ὠνόμασεν), ὡς παρόντα, μήτε κατὰ τὴν α, μήτε κατὰ τὴν β, πολιορκίαν τῶν Θηβῶν. Καὶ πρὸς ταῦτα μὲν, καὶ εἴ τι ἄλλο φαίνεται τραχυνόμενον, μηδὲ πρᾴως δεχόμενον τὴν φιλίωσιν, κρινέτω τὸ δοκοῦν ὁ ἀναγνώστης. Ἡμεῖς δὲ πρός τε διαλλαγὰς ἑτοίμως ἔχοντες, καὶ τοῦ γηραιοῦ Οὐσσίου συγχωροῦντος, ἀπαιτοῦντος δὲ καὶ τοῦ σεμνοτάτου Στράβωνος, παραδεχόμεθα τὴν ἐκ τούτων γοῦν τῶν ἐγκλημάτων ἀθῴωσιν τοῦ Ἑρμίππου (μέλλει γὰρ μετ᾽ ὀλίγον ἐν ἄλλοις ἐξελεγχθήσεσθαι ἀνθρώπινά τινα παθὼν καὶ αὐτὸς ὁ πολυμαθέστατος ἱστοριογράφος, οὐδ᾽ ἄπτωτος ἐν πᾶσι διατελέσας, οἷον αὐτὸν ἐθέλουσιν οἱ περὶ τὸν Ὅδιον). Καὶ ἀπίτω λοιπὸν ἐκ τῶν Θηβῶν εἰς τὴν Αἴγυπτον ὁ Φαληρεὺς πέμπτῳ ἔτει *μετὰ τὸν Κασσάνδρου θάνατον, φοβηθεὶς Ἀντίγονον* (τὸν Δημητρίου, τὸν Γονατᾶν). Ἤδη δὲ καταλιπόντες τὰ τοιαῦτα, ὡς ἔξω τοῦ ζητήματος, θεωροῦμεν τὴν Ἑρμίππου μαρτυρίαν ἐφηρμοσμένως ἐπ᾽

(α) Βλ. Vindication etc. pag. 49—50. πρβλ. Vaillant Hist. Ptolem. Aegypt. Reg. pag. 19—20. Amstel. 1701. Ὁ δὲ σοφὸς Δοδούελλος (Dodwell), ἀείποτε ἐνθουσιῶν περὶ τὰς ὑπερβολὰς, τίθησι τὴν εἰς Αἴγυπτον φυγὴν τοῦ Φαληρέως ἔτι μεταγενεστέραν ὅλοις ἔτεσιν ὀκτὼ (Dodw. de aetate Dicaearch. pag 54), ὅπερ ὁ Ἔκδικος κατέκρινεν, ὡς ἄγαν ἡμαρτημένον (Vindicat. αὐτόθ.).

αὐτῶν τῶν παρὰ τῷ Ἀριστέᾳ περὶ τοῦ Φαληρέως ἱστορουμένων, ὅπως ἴδωμεν, εἴ περ ἐξελέγχει ταῦτα ὁπωσδήποτε, ἢ καὶ ἀναιρεῖ παντάπασιν ἡ Ἑρμίππειος μαρτυρία, καθὼς ὑπέλαβον οἱ Σκαλιγηρίζοντες κριτικοί.

ΚΕΦΑΛΑΙΟΝ Ε.

Παράθεσις τοῦ Ἑρμιππείου χωρίου πρὸς τὰ τοῦ Ἀριστέου περὶ τοῦ Φαληρέως.

§. ά. Ἐπαναλάβωμεν τὴν Ἑρμίππου ῥῆσιν (χάριν τῆς εὐκολίας τοῦ ἀναγνώστου). « Φησὶ δ᾽ αὐτὸν Ἕρμιππος μετὰ τὸν Κασσάνδρου θάνατον, φοβηθέντα Ἀντίγονον, παρὰ Πτολεμαῖον ἐλθεῖν τὸν Σωτῆρα· κἀκεῖ χρόνον ἱκανὸν διατρίβοντα συμβουλεύειν τῷ Πτολεμαίῳ πρὸς τοῖς ἄλλοις καὶ τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης περιθεῖναι παισί. Τοῦ δὲ οὐ πεισθέντος, ἀλλὰ παραδόντος τὸ διάδημα τῷ ἐκ Βερενίκης, μετὰ τὴν ἐκείνου τελευτὴν ἀξιωθῆναι πρὸς τούτου παραφυλάττεσθαι ἐν τῇ χώρᾳ, μέχρι τι δόξει περὶ αὐτοῦ· ἐνταῦθα ἀθυμότερον διῆγε. Καί πως (ἴσ. πόθ᾽) ὑπνώττων, ὑπ᾽ ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μετέθηκε, καὶ θάπτεται ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως » (α).

(α) Ὁ κλεινὸς Ὑσσέριος (de LXX. inter. c. I.) ὑπερασπιζόμενος τὸν Ἀριστέα, μεταξὺ τῶν ἄλλων ἐπιχειρημάτων ἔκρινε καὶ ὅτι τὸ χωρίον τοῦ Ἑρμίππου καταλήγει μέχρι τοῦ « δόξει περὶ αὐτοῦ »· καὶ τοῦτο (λέγει) δείκνυσιν ἡ πλαγία τοῦ λόγου σύνθεσις δι᾽ ἀπαρεμφάτων ἱστορικῶν ἐκφερομένη. Τὰ δ᾽ ἀπὸ τοῦ ἐνταῦθα καὶ ἐφεξῆς οὐχ ὁ Ἕρμιππος, ἀλλ᾽ αὐτὸς προσέθηκεν ὁ Λαέρτιος ἐξ ἄλλου τινος ἀνωνύμου ἱστορικοῦ προσλαβών. Ὅθεν καὶ τὴν σύνθεσιν τοῦ λόγου μετέβαλεν ὁριστικῶς ἀπὸ πλαγίας εἰς ὀρθὴν (ὡς ἀφ᾽ ἑαυτοῦ τὸ πρᾶγμα διηγούμενος). Οὕτως ὁ σοφὸς ἀνὴρ φοβηθεὶς τὸν Ἕρμιππον, ὡς ἄμαχον καὶ ἀήττητον, ἄλλον εἰσήγαγεν ἀδοξότερον καὶ ἀνώνυμον ἀντίπαλον Ἀριστέου. Ἀλλ᾽ εἰς μάτην ὅ,τε Ὑσσέριος ἐφοβήθη, καὶ ὁ Ὅδιος ἀντεῖπεν, ὅλην σελίδα δαπανήσας πρὸς ἀπάντησιν ἀνωφελῆ· τὸν τρόπον τοῦ θανάτου τοῦ Φαληρέως ἱστόρησαν καὶ ἄλλοι. Καὶ ὁστισδήποτ᾽ ἂν ὑποτεθῇ ὁ παρὰ Λαερτίῳ ἱστοριογράφος οὗτος, λέγει πράγματα μὴ ἀναιρούμενα ῥητῶς ὑπ᾽ ἄλλων ἐνδοξοτέρων, ἅτινα ὅμως οὐδεμίαν ἔχουσιν ἀναφορὰν πρὸς τὸν Ἀριστέα, καθὼς φανήσεται ἐκ τῶν ἐφεξῆς.

§. β΄. Πρὸς ταῦτα τοῦ Ἑρμίππου προστίθησιν ὁ Λαέρτιος περὶ τοῦ Φαληρέως καὶ ἄλλο παράλληλον χωρίον τοῦ Ἡρακλείδου, συγγραφέως ἀρχαιοτέρου παρὰ τὸν Ἕρμιππον, καὶ οὐχ ἧττον ἐνδόξου ἱστορικοῦ, ὅστις φαίνεται λαμπρῶς ἀντιφάσκων πρὸς τὴν Ἑρμίππου διήγησιν. Ἰδοὺ τὸ χωρίον. « Ἡρακλείδης δὲ, ἐν τῇ ἐπιτομῇ τῶν Σωτίωνος διαδοχῶν (ἱστορεῖ), τῷ Φιλαδέλφῳ τὴν βασιλείαν θέλειν ἐκχωρῆσαι τὸν Πτολεμαῖον· τὸν δὲ (Δημήτριον) ἀποτρέπειν, φάσκοντα, *Ἂν ἄλλῳ δῷς, σὺ οὐχ ἕξεις* » (α). Ὥστε, κατὰ τὸν Ἡρακλείδην, ὁ Δημήτριος ἀπέτρεπε τὸν Πτολεμαῖον ἁπλῶς καὶ ὁλοσχερῶς *ἄλλῳ* τινι μηδενὶ (τῶν τέκνων δηλονότι) παραχωρῆσαι τὴν βασιλείαν, μήτε τῷ *Φιλαδέλφῳ* (τῷ ἐκ Βερενίκης), ὃν ὠνόμασε ῥητῶς ὁ Ἡρακλείδης, μήτε πάλιν *τοῖς ἐξ Εὐρυδίκης παισὶν*, οἷς τὴν βασιλείαν περιθεῖναι συμβουλεύοντα τὸν Δημήτριον ἀνέγραψεν ὁ Ἕρμιππος. εἰ τοίνυν οὗτος ἐψεύσθη περὶ τὴν συμβουλὴν τοῦ Δημητρίου, δυσκόλως πιστευθήσεται ὡς ἀληθεύων περὶ τῆς ἐκ τούτου συμβάσης αὐτῷ ἐξορίας, ἣν καὶ ταύτην ὁ Ἡρακλείδης φαίνεται παντάπασιν ἀγνοῶν· οὐδὲν γὰρ περὶ αὐτῆς ἔγραψε. Καὶ αὐτὸ δὲ τὸ ἀόριστον « *τοῖς ἐξ Εὐρυδίκης* » παρίστησι τὸν Ἕρμιππον ἀμφιγνοοῦντα καὶ διστάζοντα περὶ τὴν ἔκφρασιν τῆς τοῦ Δημητρίου συμβουλῆς. Ὁ Λαγίδης Πτολεμαῖος εἶχεν ἐκ τῆς Εὐρυδίκης παῖδας πλείονας ἑνὸς, οἷον τὸν ὑπὸ τοῦ Φιλαδέλφου ἤδη βασιλεύοντος ἀποκτανθέντα (Παυσ.

(α) Παρὰ Λαερτ. Ε, ε. 8. Ταύτην τοῦ Ἡρακλείδου τὴν ῥῆσιν ἀποδεχόμενος ἀσμένως μνημονεύει καὶ ὁ σοφὸς Ὅδιος· ἀλλὰ καὶ εἰς αὐτὴν « φίλης οὐ λήθετο τέχνης ». Ἀπέκοψε τὸ « Ἂ ν ἄ λ λ ῳ δ ῷ ς, σ ὺ ο ὐ χ ἕ ξ ε ι ς », καὶ μετέφρασε μόνον τὸ πρῶτον κῶλον· Demetrium Phal. Ptolemaeum Lagi hortatum fuisse, ne Philadelpho regno cederet (pag. 17), τουτέστιν « ὁ Δημήτριος ἀπέτρεπε τὸν Πτολεμαῖον ἐκχωρῆσαι τῷ Φιλαδέλφῳ τὴν βασιλείαν »· ἕως ὧδε κ α ὶ π λ έ ο ν ο ὔ! τὸν δὲ τῆς μὴ ἐκχωρήσεως λόγον, ὃν ἔλεγεν ὁ Δημήτριος πρὸς τὸν Πτολεμαῖον, ἀπεσιώπησεν ὅλως ὁ Κριτικὸς (ὡς ἀσύμφωνον πρὸς τὰ τοῦ Ἑρμίππου). Οὕτως εὐχερῶς καὶ συντόμως συνέπηξεν ἑδραίαν ὅλην τὴν Ἑρμίππου διήγησιν, ὑπερειδομένην, ὡς λέγει (suffulcitur), καὶ βεβηκυῖαν ἀσφαλῶς (ὡς ἂν ἐπ' ἀκρανδάτου τινος ἀντηρίδος, ἢ Καρυάτιδος) ἐπὶ τῆς μαρτυρίας τοῦ Ἡρακλείδου!

Α, ζ), καὶ Μελέαγρον (α), καὶ εἴ τινα ἄλλον, καὶ τὸν πρωτότοκον Πτολεμαῖον τὸν Κεραυνόν. Εἰς ποῖον ἄρα τούτων τῶν παίδων ῥητῶς συνεβούλευεν ὁ Δημήτριος τὸν Πτολεμαῖον περιθεῖναι τὴν βασιλείαν; τοῦτον ὤφειλεν ἐξάπαντος ὁ Ἕρμιππος ὀνομάσαι διωρισμένως, ἀλλ' ἀγνοῶν, ὡς φαίνεται, καὶ μηδένα κυρίως ἔχων εἰπεῖν ἐξ ὀνόματος, μηδενὶ γὰρ τῶν παίδων ὁ Δημήτριος συνεβούλευε τῷ Πτολεμαίῳ παραδοῦναι τὴν βασιλείαν, κατὰ τὸν Ἡρακλείδην, ἐξέφερε λοιπὸν ὁ Ἕρμιππος ὅλους συλλήβδην τοὺς ἐξ Εὐρυδίκης παῖδας διὰ τὸ ἀσφαλέστερον! Ἢ μήπως εἰσάγει τὸν Δημήτριον παραινοῦντα τῷ Πτολεμαίῳ διαμερίσαι τὸ κράτος τῆς Αἰγύπτου κατὰ μοίρας καὶ νομοὺς ἰσαρίθμους τοῖς ἐξ Εὐρυδίκης αὐτοῦ παισίν; (τοιοῦτο γάρ τι νόημα προκύπτει κατὰ πρῶτον ἐκ τῆς φράσεως « *τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης περιθεῖναι παισίν* »). Ἀλλ' οὔτε Πτολεμαῖος ὁ Σωτὴρ ἱστορεῖται φίλος πολυαρχίας καὶ πολυκοιρανίας (διὸ καὶ ἑνὶ τῶν υἱῶν, τῷ Φιλαδέλφῳ, καὶ *ἤθελε* κατὰ τὸν Ἡρακλείδην, καὶ *περιέθηκε*, τέλος, τὴν βασιλείαν), οὔτ' αὐτὸς ὁ Φαληρεὺς Δημήτριος· ὅστις ὑπὸ Κασσάνδρου κατασταθεὶς Ἀθηνῶν διοικητὴς, ἐπηνώρθου μὲν τὴν δημοκρατίαν, ὡς εἶπεν ὁ Στράβων (βλ. ὄπισθ. Κεφ. Δ. §. ϛ. σημ.), ἀλλ' ὅμως ἠγάπα καὶ τὰ τῆς μοναρχίας καλά· διὸ πάλιν ἀνέγνωμεν « τὴν τότε κατάστασιν (τῆς πολιτείας) λόγῳ μὲν ὀλιγαρχικὴν, ἔργῳ δὲ μοναρχικὴν γενομένην, διὰ τὴν τοῦ Φαληρέως δύναμιν » (Πλουτ. Δημητ. §. 10). Ἀλλὰ περὶ τοῦ Ἑρμίππου, ὅτι καὶ πρὸς ἄλλους ἀντιφάσκει λέγομεν καὶ ἐν τοῖς ἐφεξῆς· ἤδη δὲ προστιθέμεθα μόνον, ὅτι καὶ αὐτὸς ὁ Λαέρτιος ὑπηνίξατο τὴν πρὸς τὸν Ἕρμιππον ἐναντιολογίαν τοῦ Ἡρακλείδου· προτάξας γὰρ πρῶτον τὸ τοῦ Ἑρμίππου χωρίον, καὶ τὸ ἴδιον εἰς τὸν Φαληρέα ἐπίγραμμα, ἔπειτα παρευθὺς ἐν τῷ ἐφεξῆς παραγράφῳ ὑποσυνάπτει καὶ τὴν Ἡρακλείδου ῥῆσιν, ἀρξάμενος διὰ τοῦ *ἐναντιωματικοῦ δέ*· « Ἡρακλείδης δὲ », κτλ. Ταῦτα πρῶτον γράφομεν

(β) Πορφύρ. παρ' Εὐσεβ. Χρονικ. Α. κεφ. 3ο σελ. 174 Maij.

περὶ τῆς Ἑρμίππου μαρτυρίας καθόλου, δεικνύοντες ἐκ προοιμίων μή τοι πάντῃ ἀναντίῤῥητον αὐτὴν οὖσαν, μηδ᾽ ἰσχυράν τινα καὶ ἀῤῥαγῆ καὶ ἀνυπόστατον ἑλέπολιν κατὰ τῆς Ἀριστέου συγγραφῆς, ὁποίαν φέροντες ἔστησαν αὐτὴν οἱ κριτικοί· ἤδη δὲ θεωροῦμεν καὶ πῶς ἐφαρμόζουσιν αὐτὴν κατὰ μέρος εἰς ἔλεγχον καὶ ἀνατροτροπὴν τῶν τοῦ Ἀριστέου.

§. γ. Α) Εἰς τὴν μαρτυρίαν τοῦ Ἑρμίππου οὐδένα χρόνον βλέπομεν ὡρισμένον, καθ᾽ ὃν *ἠξίωσεν ὁ Φιλάδελφος Πτολεμαῖος παραφυλάττεσθαι τὸν Δημήτριον ἐν τῇ χώρᾳ*, ἀλλ᾽ ἁπλῶς καὶ ἀορίστως ἔγραψεν ὁ Ἕρμιππος ὅτι, « *μετὰ τὴν ἐκείνου* (τοῦ πατρὸς αὐτοῦ) *τελευτήν*. Ὁ δὲ περικλεὴς Σκαλίγηρος ἑρμηνεύων τὰ τοῦ Ἑρμίππου γράφει κατὰ λέξιν, « *ὁ Φαληρεὺς εὐθέως* (statim) *ἐν τῇ ἀρχῇ τῆς τοῦ Φιλαδέλφου βασιλείας ἀπώλετο*· καὶ, *ζῶντος ἔτι Πτολεμαίου τοῦ Λαγίδου, διὰ μεγίστου μίσους ἦν ἀείποτε* παρὰ τῷ Φιλαδέλφῳ » (α). Τοῦτο τὸ *εὐθέως* (ἢ τὸ ςάτιμ) τοῦ Σκαλιγήρου, ὡς ἐξ ἑνὸς συνθήματος ἐπανέλαβον ἅπαντες σχεδὸν οἱ τούτου ὀπαδοί· *στάτιμ* ἀνέκραξαν οἱ περὶ τὸν Ὅδιον καὶ Βανδάλην (β), *στάτιμ* οἱ περὶ τὸν Δουπῖνον (γ), καὶ Μύκκην (δ), καὶ πάντες (πλὴν ὀλίγων) τῆς ἀριστεομάχου χορείας οἱ θιασῶται, εἴτε λίαν ἀσμενιζόμενοι τὸ ἐπίῤῥημα, εἴτε καὶ ἀντιγράφοντες ἕτερος ἐξ ἑτέρου (καθὼς εἰώθασιν ἐνίοτε οὐκ ὀλίγοι μεγάθυμοι παῖδες κριτικῶν!). Ἀλλὰ πόθεν ἔμαθον οἱ ἄνδρες τοῦτο δὴ τὸ *στάτιμ*; Ὁ Ἕρμιππος, οὔτε τῶν ἄλλων ἀρχαίων ἱστορικῶν οὐδεὶς εἶπεν, οὐδ᾽ ἐνόησε τὸ, *εὐθέως*· τὸ δὲ λεξείδιον τοῦτο τὸ σμικρὸν τοσαύτην ἔχει δύναμιν ἐλλεῖπον ἢ προστιθέμενον ἐν τῷ λόγῳ, ὅσην καὶ ὁ δι᾽ αὐτοῦ σημαινόμενος καιρὸς ἐπὶ τοῖς πράγμασιν. Ἠθέλησαν οἱ περὶ τὸν Σκαλίγηρον ἀποδεῖξαι τὸν Δημήτριον ἀπολό-

(α) « Demetr. Phaler. s t a t i m initio Regni Philadelphi perierit, et maximo in odio ei semper sub Ptolemaeo Lagi fuit. » J. Scaliger Animadvers. in Chronic. Euseb. pag. 133.

(β) Hody pag. 16, 18, 19. — Van Dale pag. 24.

(γ) Du-Pin Nouvel Biblioth. etc. vol. 1. p. 58.

(δ) Mücke de orig. version. LXX. pag. 21.

μενον *εὐθέως* κατ' αὐτὴν τῆς Φιλαδέλφου βασιλείας τὴν πρώτην βαλβῖδα, μηδένα χρόνον, μηδ' ὥραν γοῦν ἀφιέντες ἐν τῷ μεταξὺ πρὸς τὴν ὑπ' Ἀριστέου ἱστορουμένην ἐπὶ τῆς τῶν Γραφῶν ἑρμηνείας ἐπιστασίαν τοῦ Δημητρίου. Τῆς δὲ ταχίστης ταύτης, εἴτε καθείρξεως, εἴτε (κατὰ τὸν Σκαλίγηρον) ἀπωλείας τοῦ Δημητρίου μάρτυρα καὶ διηγήτορα φέρουσι τὸν Ἕρμιππον! Ἀλλ' ὁ Ἕρμιππος οὐκ ἐπέσπευσεν οὕτω ταχέως τὴν δυστυχίαν τοῦ Δημητρίου, οὐδὲ χρόνον ταύτης ἐδήλωσεν ὅλως, ἀλλ' ἁπλῶς καὶ ἀορίστως εἶπε «*μετὰ τὴν ἐκείνου* (τοῦ Λαγίδου) *τελευτήν*»· ὥστε κἂν βεβαία τηρηθῇ καὶ ἐκραιφνὴς ἡ περὶ τὸν Ἕρμιππον πίςις, ἠδύνατο πάντως ὁ Φιλάδελφος καὶ δύω ἢ καὶ πλείονας ἐνιαυτοὺς ὕστερον τιμωρήσασθαι τὸν Δημήτριον. Ἦ μὴν, ὁμολογοῦμεν, ὅτι

« Θυμός γε μέγας ἐστι διοτρεφέος βασιλῆος ».

Ἀλλ' εὑρίσκεται καὶ βασιλεὺς ἀγανόφρων καὶ μεγαλόψυχος καὶ πραΰθυμος, καὶ εἴτε δι' ἐμβρίθειαν συνέσεως, ἢ καὶ πολλὴν φιλανθρωπίαν, ἀνεκτικὸς, εἴτε γοῦν εἴρων τις καὶ ὑποκριτὴς, ὅστις *καταπέττει* καὶ συγκρύπτει πρὸς τὸ παρὸν τὴν ὀργὴν, ἀναβάλλων κατόπιν τὴν ἐκδίκησιν, ὡς εἶπε πάλιν ὁ αὐλικώτατος Ὀδυσσεύς·

« Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ.

Καὶ τοιοῦτος ἂν ἐφάνη πρὸς τὸν Φαληρέα καὶ ὁ Φιλάδελφος, *οὐκ εὐθέως μετὰ τὴν τοῦ πατρὸς τελευτὴν*, ἀλλὰ καὶ μῆνας ὕστερον πολλοὺς, ἢ καὶ *περιτελλομένους*, ἴσως, *ἐνιαυτοὺς* ἐξορίσας τὸν ἄνδρα, προφάσεώς τινος δραξάμενος ἐπιτηδειοτέρας. Καὶ ἄλλως δὲ συνέφερεν αὐτῷ τοιαύτη τις ἀναβολὴ, ἵνα μὴ λίαν ἄγριος καὶ φιλέκδικος ὁ χαρίεις καὶ φιλομουσότατος Πτολεμαῖος πρὸς τὸν ἐπεξενωμένον Μουσῶν ὑποφήτην ἀναφανῇ, στέφων τὰ προοίμια τῆς μοναρχίας δι' οὕτως ὠμῆς εἰς φίλον πατρῷον καὶ τ' ἄλλα περικλεέστατον ἄνδρα καταδρομῆς. Ἀλλὰ παραλείποντες τὰς τοιαύτας εἰκοτολογίας παράγομεν εἰς μέσον ὡς συνήγορον αὐτὸν πάλιν τὸν Ἕρμιππον, ἄλλην τούτου φράσιν ὁμοίως καὶ ἀπαραλλάκτως ἀόριστον ἀναφέροντες, τὴν, «*μετὰ τὸν Κασσάνδρου θάνατον*».

Ταύτην καὶ αὐτοὶ οἱ Ἀριστεομάχοι, καὶ αὐτὸς ὁ εὐγενὴς Ἔκδικος τοῦ Ἀριστέου (τούτοις μάλιστα χαριζόμενος) ἐκλαμβάνουσι πλατυκώτερον, πέντε ὅλους (οἱ δὲ, καὶ πλείονας) ἐνιαυτοὺς προστιθέντες ὡς ὑπονοουμένους *μετὰ τὴν Κασσάνδρου τελευτὴν*, καὶ τότε διορίζοντες τὴν εἰς Αἴγυπτον ἀναχώρησιν τοῦ Φαληρέως (α). Διατί μὴ παρομοίως ἐκδέχονται καὶ τὴν προκειμένην τοῦ Ἑρμίππου φράσιν, τὴν, *μετὰ τὴν τοῦ πατρὸς τελευτήν* »; Εἰ δὲ πρὸς ταύτῃ προστιθέασι τὸ *εὐθέως* (statim), προστεθείσθω λοιπὸν τὸ *λεξείδιον* ὁμοίως καὶ εἰς τὸ « *μετὰ τὴν Κασσάνδρου τελευτὴν* », καὶ τότε ζητήτωσαν οἱ φιλέρμιπποι παρὰ τῷ Ἑρμίππῳ ῥανίδα γοῦν, ἢ κόκκον ἱστορικῆς πίστεως!

§. δ. Β) Ὁ Ἕρμιππος οὐδὲν ἔγραψεν, οὐδὲ λέξιν περὶ τοῦ πῶς ποτε διέκειτο πρὸς τὸν Δημήτριον ὁ Φιλάδελφος, ἔτι ζῶντος αὐτῷ τοῦ πατρός. Οἱ δὲ περὶ τὸν Σκαλίγηρον ἱστοροῦσιν (ὡς ἂν ἐξ Ἑρμίππου μαθόντες), ὅτι καὶ τότε «*καὶ ἀείποτε διὰ μεγίστου μίσους εἶχεν ὁ Φιλάδελφος τὸν Δημήτριον*». Δεκαπέντε περίπου ἐνιαυτοὺς διέτριψεν ὁ Δημήτριος ἐν Αἰγύπτῳ παρὰ τῷ Λαγίδῃ Πτολεμαίῳ (ὅσους ἦρξε καὶ τῆς ἑαυτοῦ πατρίδος (β)), τιμώμενος παρ' αὐτῷ καὶ ἀγαπώμενος, ὡς *σύμβουλος* καὶ *τῶν φίλων πρῶτος*. Τοῦτο καὶ Ἕρμιππος, καὶ Πλούταρχος (*π. φυγῆς*) ἱστοροῦσι, καὶ αὐτὸς ὁ τηλαυγὴς τῆς πολυμαθείας ἀστὴρ, ὁ Σκαλίγηρος, ἠπίστατο μαθὼν παρ' αὐτῶν. Ὅτι δὲ τὸν Δημήτριον ὁ Φιλάδελφος *ἐξαισίως καὶ διὰ παντὸς ἀνενδότως* ἐμίσει, πόθεν ἔμαθεν ὁ Σκαλίγηρος; Ἴσως τοῦτο συνῆξεν ὡς παρεπόμενον ἐκ τῆς πρὸς τὸν Πτο-

---

(α) Βλ, ὄπισθεν κεφ. Δ. §. ι. πρβλ. καὶ Vindication etc. p. 51 sq.

(β) Βλ. Πλούταρχ. Δημητρ. §. κβ. πρβλ. καὶ ὄπισθ. κεφ. Δ. §. ς, καὶ ια. 'Αλλὰ κατὰ τὸν Διόδωρον (Κ, 45) καὶ τὸν Λαέρτιον (Ε, 1, 2,) « δέκα μόνον ἔτη ἐξηγήσατο τῆς πόλεως ». Ὁ Σκαλίγηρος (Animadvers. in Chronic. Euseb. p. 129) εὑρίσκει τὴν γνώμην τοῦ Πλουτάρχου πρὸς τῇ χρονολογίᾳ συμφωνοτέραν. καὶ ταύτην ἐγράψαμεν ἀνωτέρω. Ἀλλ' ἐν τοῖς παρὰ τῷ Λαερτίῳ μνημονευομένοις συγγράμμασι τοῦ Φαληρέως εὑρίσκεται καὶ ἓν περὶ τῆς δεκαετίας· ἆρά γε οὐκ ἐπραγματεύετο ἐν τούτῳ ὁ Δημήτριος περὶ τῆς ἑαυτοῦ δεκαετοῦς ἐν 'Αθήναις ἐπιστασίας;

λεμαῖον, *περὶ τῶν ἐξ Εὐρυδίκης αὐτοῦ παίδων*, οὐχ ὑπὲρ τοῦ Φιλαδέλφου, συμβουλῆς τοῦ Δημητρίου. Ἀλλὰ πρῶτον μὲν τὸ κατὰ τοῦ Δημητρίου τοῦτο ἔγκλημα ἠδύνατο εἶναι διαβολὴ καὶ συκοφαντία. Αὐλικός τις συκοφάντης κατατρέχων τὸν Δημήτριον (ὁποῖα συμβαίνουσι συνήθως ἐν ταῖς αὐλαῖς), ὡς ἀπέθανεν ὁ φίλος αὐτοῦ καὶ προστάτης Πτολεμαῖος ὁ Α, εἰσήγγειλε πρὸς τὸν Φιλάδελφον, «ὅτι τοιαῦτά τινα συνεβούλευε τῷ πατρὶ κατὰ σοῦ ὁ Δημήτριος»· ὁ δὲ νέος βασιλεὺς τιμῶν τὸν φίλον τὸν πατρῷον καὶ θεραπεύων ἐν ἀρχῇ τῆς αὐτοῦ μοναρχίας (καθὼς καὶ πρότερον), καὶ *μήτε μέγιστα μήτ' ἐλάχιστα μισῶν*, ἔπειτα μετά τινα χρόνον, τῇ συκοφαντίᾳ πιστεύσας, καί τοι μηδὲν κακὸν παθὼν ἐξ αὐτῆς, ὅμως ἀποστραφεὶς τὸν Δημήτριον ἐξέβαλεν αὐτὸν τῆς εὐνοίας καὶ τῆς αὐλῆς, ἀξιώσας παραφυλάττεσθαι ἐν τῇ χώρᾳ, μέχρι τι δόξει περὶ αὐτοῦ. Ταῦτα πιθανῶς εἶχε κατὰ νοῦν ἐν ᾧ ἔγραφεν ὁ Ἕρμιππος. Ἐκ δὲ τούτων οὐδεμία κατ' Ἀριστέου συνάγεται ἀντίφασις. Ἀλλ' ὁ Ὅδιος ἀγανακτῶν ὑπὲρ ἧς ἀκριβῶς ἐγίνωσκεν ἀληθείας (ὡς ἂν εἰ παρῆν αὐτὸς ἐν τοῖς βασιλείοις τῶν Πτολεμαίων, ἀριθμούμενος μεταξὺ τῶν σοφῶν τοῦ Μουσείου τῆς Ἀλεξανδρείας ὡς ἔπρεπε πάντως, εἴπερ ἔζη τότε) «*Ληροῦσιν* (ἀνακράζει) *οἱ λέγοντες τὸ πρᾶγμα συκοφαντίαν* (σελ. 18). Ἔστω λοιπὸν ἀληθὴς (Ὀδίου χάριν) ἡ περὶ τῶν ἐξ Εὐρυδίκης παίδων συμβουλὴ τοῦ Δημητρίου· ἡμεῖς (δὲ προσχαριζόμενοι τῷ σοφῷ) προστιθέμεθα καὶ τὴν ἄλλην, τὴν *καθ' Ἡρακλείδην* τοῦ Δημητρίου συμβουλὴν, δι' ἧς ἀπέτρεπε τὸν Πτολεμαῖον ἐθέλοντα τῷ Φιλαδέλφῳ παραχωρῆσαι τὴν βασιλείαν. Πάντα (ταῦτα καί τοι μεταξὺ τοῦ βασιλέως καὶ τοῦ συμβούλου μόνου, καθὼς ἔπρεπεν, ἐν ἀποκρύφοις λεγόμενα) (α), τῶν τις αὐλικῶν ἡσυχῇ προσερπύσας πρὸς τοῦ βασιλικοῦ ταμείου τὰς θύρας, καὶ ὑπακούσας ἐξήνεγκε πρὸς τὸν Φιλάδελφον, εἴτε τοῦτον κολακεύων, εἴτε τῷ Δημητρίῳ φθονῶν. Ἀλλὰ καὶ τοῦτο τὸ μυστήριον ἐξηνέχθη μετὰ τὸν θάνατον τοῦ πατρὸς (οὐ γὰρ ἂν

(α) « Secretissima de Haerede regni constituendo consilia cum eo (Demetrio Ptolemaeus) consociaverit » αὐτὸς ὁ Ὅδιος μαρτυρεῖ (Lib. I. c. 8. p. 42).

ἐτόλμησεν ὁ διαβολεὺς, ἔτι ζῶντος ἐκείνου), καὶ οὕτως οὐδὲν ἐκ τούτου πάλιν ἐπιχείρημα προκύπτει κατ' Ἀριστέου. Πλὴν ἀλλ' ἴσως ὁ ὠτακουστὴς ἐκεῖνος οὐκ ἠπίστατο « *φυλάττειν μυστήριον βασιλέως* ». οὐδ' εἶχε τοῦ κωμικοῦ Φιλιππίδου τὴν σύνεσιν, ὅστις ἐφοβεῖτο καὶ ἀπέφευγε « *τῶν βασιλικῶν ἀποῤῥήτων τὴν μετάδοσιν* » (α). Θῶμεν τοίνυν, ὅτι, καὶ ζῶντος ἔτι τοῦ πατρὸς, ἔμαθε τὸ ἀπόῤῥητον ὁ Φιλάδελφος· καὶ πληρούσθω λοιπὸν ἔκτοτε βαρείας ὀργῆς, καὶ μισείτω τὸν Δημήτριον ἀποστυγῶν *ἶσα καὶ κηρὶ μαλαίνῃ, ὁμῶς ἀΐδαο πύλῃσιν* (ὡς κωλύοντα τὴν εἰς τὸν θρόνον ἀνάβασιν αὐτοῦ). Ἀλλὰ πῶς ὁ Σωτὴρ, ὁ τοῦ Δημητρίου φίλος, οὐ διήλλαττε τοῦτον πρὸς τὸν υἱὸν, ἀφ' οὗ μάλιστα παρέδωκε τούτῳ τὴν βασιλείαν, ἐναντίον τῆς αὐτοῦ τοῦ Δημητρίου συμβουλῆς; (ἐπέζησε δὲ μετὰ ταῦτα διετίαν ὁ Λαγίδης). ἢ, τούτου μὴ γενομένου, διὰ τί μὴ πάλιν ὁ Δημήτριος ἐφρόντισεν ὠνήσασθαι τὴν ἑαυτοῦ σωτηρίαν διὰ φυγῆς, ὡς ἐσώθη καὶ ἀπὸ τῆς ἰδίας αὐτοῦ πατρίδος; ἢ μήπως ὁ φίλος αὐτοῦ Λαγίδης, πρὸς ὃν κατέφυγεν, ἔμελλεν εἰς τοῦτο μᾶλλον ἀχρηστότερος αὐτῷ φανήσεσθαι παρὰ τὸν μέγιστον ἐχθρὸν αὐτοῦ τε Κασσανδρίζοντος, καὶ αὐτοῦ τοῦ Λαγίδου, Δημήτριον λέγω τὸν Πολιορκητὴν, *αἰδεσθέντα καὶ τὴν δόξαν καὶ τὴν ἀρετὴν τοῦ ἀνδρός*; Ἀλλ' ἴσως εἴπῃ τις, ὅτι τὸ Σκαλιγήρειον τοῦτο *μέγιστον μῖσος* ἐτήρει μυστικὸν ὁ Φιλάδελφος, ἐγκοτῶν καὶ μηνίων καὶ *κακὰ φρεσὶ βυσσοδομεύων*. Ἔστω καὶ τοῦτο· παραχωροῦμεν. Ἀλλ' εἰ μὲν ἀπέκρυπτε τοὺς ἄλλους τὸ μῖσος, αὐτὸν ὅμως τὸν Δημήτριον οὐκ ἂν ἔλαθεν ὁ Φιλάδελφος ἕως τέλους. Ἐπῆλθεν ἡ θανατηφόρος ἐκείνη ἡμέρα, καθ' ἣν παραλαβόντος τοῦ Φιλαδέλφου τὴν βασιλείαν (ἔτι ζῶντος καὶ συμβασιλεύοντος τοῦ πατρὸς,) ἔφυγε μὲν ἐκ τῆς Αἰγύπτου ἡ βασίλισσα Εὐρυδίκη προλαβοῦσα μετὰ τῶν τέκνων, ἀλλαχοῦ τε πλανωμένη καὶ εἰς Μίλητον τῆς Ἀσίας (Πλουταρχ. Δημητρ. § μς), ἔφυγε δὲ, τέλος, καὶ ὁ πρωτότοκος αὐτῆς υἱὸς (ὡς ἀντιποιούμενος τῆς διαδοχῆς) Πτολε-

---

(α) Παρὰ Πλουτάρχ. Δημητρ. §. ιϐ.

μαῖος ὁ Κεραυνὸς, ἐλθὼν πρὸς Λυσίμαχον εἰς τὴν Θρᾴκην, καὶ πάλιν πρὸς Σέλευκον εἰς Συρίαν (α). Ὁ δὲ Δημήτριος, ὁ τούτοις ὑπὲρ τῆς διαδοχῆς (κατὰ τὸν Ἕρμιππον) συμπράξας καὶ συνομωμοκὼς, ἐκάθητο ἄρα ἀνήκοος καὶ ἀναίσθητος τῆς μηδὲ τῶν ὁμοπατρίων ἀδελφῶν φεισαμένης ὀργῆς τοῦ βασιλεύσαντος Φιλαδέλφου; ἢ τούτους μὲν ἐδίωκεν ὁ νέος Βασιλεὺς, ὡς ἀντιζήλους τῆς ἀρχῆς, τὸν δὲ, δι᾽ οὗ τὰ πάντα ἔπραττον ἐκεῖνοι πρὸς τὸν πατέρα, διετήρει πάλιν παρ᾽ αὐτῷ τῷ πατρὶ, συνήθως ἂν ῥᾳδιουργοῦντα καὶ μεταπείθοντα ὑπὲρ τῶν φυγάδων; ἠσμενίζετο δὲ τοῦτον βλέπουσα εἰς τὴν αὐλὴν καὶ αὐτὴ τῆς Εὐρυδίκης ἡ ἀντίζηλος Βερενίκη, ἡ μήτηρ τοῦ Φιλαδέλφου; Καὶ αὐτὸς δὲ, τέλος, ὁ πολιτικώτατος Δημήτριος, ὁ μηδὲ τοῖς συμπολίταις τὴν ἑαυτοῦ σωτηρίαν καταπιστεύσας «*ἀλλὰ τούτους μᾶλλον, ἢ τοὺς πολεμίους διὰ τὴν μεταβολὴν τῆς πολιτείας φοβηθεὶς*, ἔμενεν ἄρα ἥσυχος καὶ ἀτάραχος εἰς ξένην αὐλὴν, καραδοκῶν πότε, τελευτήσαντος τοῦ γηραιοῦ καὶ φίλου βασιλέως, ἀποβήσεται θῦμα τοῦ, πρὸς ὃν ἀντεπολιτεύσατο, Φιλαδέλφου; Πρὸς ταῦτα, νομίζομεν, οὐδ᾽ αὐτὸς ἂν ἐπένευσεν ὁ Βανδάλης, ἢ καὶ ἄλλος τις θερμότατος τῶν Ἑρμίππου παρεξηγητῶν. Ὥστε, ἐπειδὴ παρέμεινεν εἰς τὴν αὐλὴν τῶν Πτολεμαίων ὁ Δημήτριος τιμώμενος μέχρι τῆς Λαγίδου τελευτῆς, δυοῖν θάτερον, ἢ οὐδόλως ἐμίσησεν αὐτὸν ὁ Φιλάδελφος, ἐτίμα δὲ μᾶλλον καὶ ἠγάπα τὸν ἄνδρα ὡς φίλον πατρῷον, ἀμελήσας παντάπασιν, εἴ τι τῷ πατρὶ ματαίως ὑπὲρ τῶν ἐξ Εὐρυδίκης παίδων συνεβούλευσεν· ἢ τἀνάπαλιν, καί τοι σφοδρῶς αὐτὸν μισῶν ὁ Φιλάδελφος καὶ ἐχθαίρων ἀείποτε (κατὰ τὸν Σκαλίγηρον), ἀλλ᾽ ὅμως ἠναγκάζετο κρύπτειν στεγανώτατα τὸ μῖσος, πᾶσαν τιμὴν πρὸς αὐτὸν καὶ φιλίαν σχηματιζόμενος, διὰ τὸ σέβας τοῦ διετίαν ὅλην, ἀφ᾽ οὗ παρέλαβε τὴν βασιλείαν, ἐπιζήσαντος πατρός· Καὶ ἐν τούτῳ λοιπὸν τῷ μεταξὺ εἴτε ὄντως, εἴτε δοκούντως, ὑπὸ τοῦ Φιλαδέλφου τιμώμενος ὁ Δημήτριος ἐπεστάτησεν εἰς τὴν ἑρμηνείαν τῶν

(α) Ἀππιαν. Σύρ. πολεμ. σελ. 128 ἐκδ. 1592. καὶ Μέμνων παρὰ Φωτίῳ. Ἀναγνώσ. σκδ. σελ. 714—715 ἐκδ. Schot. 1611.

Γραφῶν (ὡς λέγομεν ἐφεξῆς). Οὐδὲ τοίνυν κατὰ τοῦτο ποσῶς ἀντιλέγει ὁ Ἕρμιππος πρὸς τὸν Ἀριστέα. Οἱ δὲ Σκαλιγήρειοι μάτην ἐπέσαξαν εἰς τὴν ῥῆσιν τοῦ Ἑρμίππου *τὸ μέγιστον καὶ διηνεκὲς κατὰ τοῦ Δημητρίου μῖσος τοῦ Φιλαδέλφου* (καθὼς ἀνωτέρω καὶ τὸ *εὐθέως*), ἀποκλείοντες πανταχόθεν, καὶ πρότερον καὶ ὕστερον τῆς τοῦ Λαγίδου τελευτῆς, τὴν ἐπὶ τῆς ἑρμηνείας τῶν Γραφῶν ἐπιστασίαν τοῦ Φαληρέως.

§. ε. Γ) Ὁ Ἕρμιππος, λέγει, ὅτι ὁ Φιλάδελφος « ἠξίωσε παραφυλάττεσθαι τὸν Δημήτριον *ἐν τῇ χώρᾳ*, μέχρι τι δόξει περὶ αὐτοῦ κτλ. Τοῦτο δὲ τὸ *ἐν τῇ χώρᾳ* πάλιν ὁ Σκαλίγηρος ἡρμήνευσεν ἀορίστως *ἔν τινι χώρᾳ*, τρέψας εἰς ἀόριστον τὸ ὡρισμένον ἄρθρον τοῦ ὀνόματος (α). Ἀλλὰ « τῷ μεταφράζοντι τοὺς Ἕλληνας, καθ' ἕκαστον χιλιοστὸν λεπτὸν τῆς ὥρας προσεκτέον » (καθὼς ἔκρινεν ὁ βέλτιστος Οὐαλκενῆρος) (β). Ἀνδρῶν δὲ τηλικούτων (οἷος ὁ Σκαλίγηρος) καὶ τὰ σμικρότατα παραπτώματα λίαν ἀποβαίνουσιν ἐπικίνδυνα· ὅθεν οὐδὲ ταῦτα παροπτέα. Κατὰ τὴν Σκαλιγήρειον ἑρμηνείαν στενοῦνται καὶ συστέλλονται παρὰ πολὺ τὰ ὅρια τῆς φυλακῆς τοῦ Δημητρίου, καθὸ παραφυλαττομένου οὐκ *ἐν τῇ χώρᾳ* ἀπολύτως (κατὰ τὸν Ἕρμιππον), ἀλλ' *ἔν τινι χώρᾳ* (χωρίῳ δηλονότι οἱῳδήποτε, ἀγνώστῳ καὶ ἀσήμῳ, καὶ οἷον ἐν γωνίᾳ που καὶ παραβύστῳ περιωρισμένῳ καὶ στενῷ), ὅπου καθειργμένος ὁ Δημήτριος οὐδεμίαν πρὸς οὐδένα σχέσιν εἶχε καὶ συνδιάλεξιν (διότι

(α) « Q u a d a m r e g i o n e ». Scalig. Animadvers. in Chron. Euseb. p. 133. Σημειωτέον δὲ ὅτι ὁ Σκαλίγηρος ἔγραψε τὸ κείμενον τὸ ἑλληνικὸν οὕτως « ἐ ν τ ῇ (τ ι ν ὶ) χ ώ ρ ᾳ » (ἴσως ἔκ τινος ἐκδόσεως, ἥτις εἶχεν οὕτως ἐσφαλμένην τὴν γραφὴν), καὶ ἑπομένως ἔκρινεν ὀρθότατα, ὅτι « τὸ ἐν παρενθέσει γεγραμμένον (τὸ τ ι ν ὶ) ἐξαλειπτέον » (virgulis inclusa delenda)· ἀλλ' ἔπειτα πάλιν οὗτος αὐτὸς ἡρμήνευσε κρατήσας ὡς ὀρθότερον τὸ ἀόριστον τ ι ν ι (quadam)! Πλὴν ἀλλ' ὅμως αἱ ἐκδόσεις, αἷς ὅ,τε Βανδάλης καὶ Ὅδιος ἐχρήσαντο, εἶχον ἐ ν τ ῇ χ ώ ρ ᾳ (ὡς ἀντέγραψαν καὶ αὐτοί· Hody pag. 9. Van Dale p. 24). Οὕτως ἔχουσι καὶ παρ' ἡμῖν τὴν σήμερον. Καὶ αὐτὸς ὁ ἀρχαῖος τοῦ Λαερτίου μεταφραστὴς ἔγραψε χωρὶς τοῦ ἀορίστου (asservatum i n p r o v i n c i a δηλ. ἐν τῇ ἐ π α ρ χ ί ᾳ). Ὁ δὲ Ὅδιος (σελ. 9) μετέβαλεν in d i t i o n e s u a (ἐν τῇ αὐτοῦ ἐπικρατείᾳ).

(β) Valcken. de Aristobul. pag. 54.

τοῦτο μάλιστα συνέφερε τῷ Σκαλιγήρῳ κατ᾽ Ἀριστέου!)· διῆγε δὲ ἄρα πολὺ στενώτερον ὁ Φαληρεὺς παρὰ τὸν ὁμώνυμον, καὶ πρῴην αὐτῷ πολέμιον, καὶ παρομοίως, τέλος, δυστυχήσαντα, τὸν Πολιορκητήν, (ὅστις κἀκεῖνος, συγχρόνως σχεδὸν αἰχμαλωτισθεὶς ὑπὸ Σελεύκου, περιωρίσθη εἰς τὴν Συριακὴν Χεῤῥόνησον, « *φυλακῆς περὶ αὐτὸν ἐπισταθείσης ἰσχυρᾶς*) (α). Ἀλλὰ τὸ *ἐν τῇ χώρᾳ* τοῦ Ἑρμίππου σημαίνει καθόλου τὸ ἐν τῇ *Αἰγύπτῳ*, κατὰ φράσιν μάλιστα παρὰ τοῖς Ἀλεξανδρεῦσιν εἰθισμένην (ὡς ἐσημείωσεν ὁ Οὐαλκενῆρος), ἥτις ἀντιδιαστέλλει πολλάκις τὴν βασιλεύουσαν Ἀλεξάνδρειαν ἀπὸ τῆς ἄλλης ἐπικρατείας τῆς Αἰγύπτου, οὐ μόνον ὡς κεφαλὴν ἀπὸ τοῦ λοιποῦ σώματος, ἀλλὰ καὶ διὰ τὸ μέγεθος τῆς πόλεως, ἧς οἷον *προσθήκη* τις (κατὰ Δίωνα τὸν Χρυσόστομον, λόγ. λβ) φαίνεται ἡ ἄλλη Αἴγυπτος (β). Ὅθεν ἔλεγε καὶ ὁ Φίλων « Ἀλεξάνδρειαν τὴν πρὸς Αἴγυπτον » (γ). Οὕτως ἀναγινώσκομεν καὶ ἀλλαχοῦ· οἷον « Οὐ μόνον τοῖς κατ᾽ Ἀλεξάνδρειαν — ἀλλὰ καὶ *τοῖς ἐν τῇ χώρᾳ* » (δ)· καὶ πάλιν « τοῖς κατ᾽ Αἴγυπτον καὶ κατὰ [τὸν] *τόπον* » (τὴν πόλιν δηλαδὴ τῆς Ἀλεξανδρείας) (ε), ὡς καὶ « κατὰ *τὴν χώραν* καὶ κατὰ *τὸν τόπον* » (ζ), τὸ αὐτὸ καὶ « ἐπ᾽ Αἴγυπτόν τε καὶ Ἀλεξάνδρειαν » (η). Οὕτω διαστέλλονται καὶ ἄλλων ἐπικρατειῶν αἱ πρωτεύουσαι· οἷον « οἱ ἐν Ἱεροσολύμοις καὶ οἱ *ἐν τῇ χώρᾳ* τῆς *Ἰουδαίας* (θ), καὶ πάλιν, « τὴν πόλιν καὶ τὴν χώραν » (ι). Κατὰ ταῦτα λοιπὸν ὁ κλεινὸς Οὐαλ-

(α) Βλ. Πλούταρχ. Δημητρ. §. Ν.

(β) Οὕτω καὶ Ἀππιανὸς « ἡ μεγάλη πόλις, ἣν Ἀλέξανδρος ἔθηκε πρὸ Αἰγύπτου » (Ῥωμαϊκ. ἱστορ. προοίμ. §. α. σελ. 2. τόμ. α. ἐκδ. Schweigh.).

(γ) Φίλ. σελ. 884 καὶ 1028. Τ. Β. πρβλ. καὶ Στράβ. α, 7, 58 κτλ.

(δ) Γ. Μακκαβ. γ. §. 1. (ε) Αὐτ. §. 12. βλ. καὶ Ἰωάν. δ, 20: ια, 48: Πράξ. ς, 14 (ὅπου τόπος=πόλις, ἡ τῶν Ἱεροσολύμων). (ζ) Αὐτ. δ. 18.

(η) Ξενοφ. Ἐφεσ. ε, 66. 67. (θ) Β. Μακκ. α, 1.

(ι) Ζάλευκ. παρὰ Στοβ. σελ. 279. Βλ. Valckenaer l. c. p. 54, 55. Καὶ πρὸ τοῦ Οὐαλκενήρου δὲ ἐσημείωσεν ὁ Γραίβιος (Graev. ad Gloss. Isidori) χώραν λέγεσθαι μάλιστα τὴν ἀνωτέρω Αἴγυπτον (βλ. καὶ Reland. εἰς Ἰώσηπ. ἀρχ. ιβ. Β, §. 3). Πρόσθες καὶ τὸ τοῦ Ἀριστέου « εἴς τε τὴν πόλιν (Ἀλεξάνδρειαν) καὶ τὴν χώραν (ἐκδ. Hod. pag. IV). Τοιοῦτο καὶ τὸ « Πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ

κενῆρος ἡρμήνευσε τὴν Ἑρμίππου ῥῆσιν οὕτω πως· ὅτι « τὸν Δημήτριον ὁ Φιλάδελφος ἐξώρισεν ἐκ τῆς βασιλευούσης πόλεως Ἀλεξανδρείας *εἰς τὴν Αἴγυπτον*, ἵνα φυλάττηται ἐκεῖ, μέχρις ἂν ἄλλο τι δόξῃ τῷ βασιλεῖ περὶ αὐτοῦ. Τὸν δὲ τόπον (λέγει) τῆς ἐξορίας (ὅπου δηλαδὴ μονίμως ἐτηρεῖτο) οὐκ εἶχεν ὁ

Ἱεροσολυμῖται » (Μάρκ. α, 5). Καὶ μερικώτερον δὲ πολλάκις ἡ χώρα ἀντιδιαστέλλεται πρὸς μίαν αὐτῆς οἱανδήποτε προέχουσαν πόλιν (καί τοι μὴ βασιλεύουσαν τῆς ὅλης ἐπικρατείας), καθὸ δηλαδὴ πρωτεύουσαν μιᾶς τινος ἐπαρχίας, ἢ νομοῦ (οἷον μητρόπολιν), ἢ καὶ ἄλλως διὰ μέγεθος ἐξέχουσαν περὶ τὴν περιοικίδα γῆν. Οἷον τό, τε ἀνωτέρω τοῦ Ζαλεύκου, καὶ τὰ ἐφεξῆς· « τὴν πόλιν τε (τὸ Βυζάντιον) καὶ τὴν χώραν αὐτῆς Περινθίοις ἐχαρίσατο » (Ξιφιλ. γ.) — « Ὑμῖν (ὦ Ταρσεῖς) παρέσχεν (ὁ Καῖσαρ) χ ώ ρ α ν » κτλ. (Δίων Χρυσ. λόγ. λδ. δηλονότι γῆν περὶ τὴν Ταρσόν, territorium civitatis, τουτ. χώραν πόλεως, ὡς λέγουσιν οἱ Ῥωμαῖοι νομικοί, Pompon. πρβλ. Salmas. Exercit. Plin. pag. 996: Schleusn. Lex. N. Test. v. χώρα). Ἄλλοτε δὲ πάλιν ἡ χώρα, ἁπλῶς καὶ ἀπολύτως (χωρὶς τῆς πρὸς τὸ π ό λ ι ς διαστολῆς) λεγομένη, σημαίνει καθολικώτερον πᾶσαν τὴν ἐπικράτειαν, καὶ αὐτῆς τῆς βασιλευούσης πόλεως ἐμπεριλαμβανομένης. Οὕτως ὁ Φίλων πολλάκις εἶπε χ ώ ρ α ν ἁπλῶς ὅλον τῆς Αἰγύπτου τὸ κράτος· οἷον, « τῷ τῆς χώρας ἐπιτρόπῳ » (δηλαδὴ τῷ Ἰωσήφ. τόμ. β. σελ. 67. Mang.), καὶ ὁ Στράβων ὁμοίως· « ἡ χώρα τὴν μὲν πρώτην διαίρεσιν εἰς νομοὺς ἔσχε » κτλ. (ιζ, 787.). Ἐντεῦθεν ἴσως κατὰ μετάληψιν καὶ αὐτὴ ἡ βασιλεύουσα πόλις (καὶ πᾶσα πόλις ἑπομένως, ὡς μέγα μέρος τῶν κατοίκων τῆς χώρας περιέχουσα) ὠνομάσθη καὶ αὐτὴ χ ώ ρ α· τῆς δὲ τοιαύτης μεταλήψεως εὑρίσκομεν σπάνια μὲν παραδείγματα παρὰ τοῖς Ἀλεξανδρινοῖς (ὡς καὶ τὸ συνώνυμον τ ό π ο ς ἐν τοῖς ἀνωτέρω παραδείγμασι), συνηθέστατα δὲ παρὰ τοῖς εἰσέπειτα καὶ παρ' ἡμῖν τὴν σήμερον· οἷον « ἀνεχώρησε πᾶσα ἡ χώρα » (Ἱερεμ. δ. 29. ὅπου τὸ ἑβραϊκὸν ἔχει π ό λ ι ς). Παρὰ δὲ τοῖς Ἀττικοῖς καὶ τοῖς ἀρχαίοις ἀμφιβάλλομεν εἴ περ ὅλως ὑπῆρξε τοιαύτη τοῦ ὀνόματος ἐκδοχή. Ἐνόμισάν τινες ὅτι εὕρηκαν ταύτης ἴ χ ν η (καθὼς εἶπον) ἐν τῷ τοῦ Ἀριστοφάνους,

« Χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο ».

(βλ. Ἀτάκτ. τόμ. Δ. σελ. 696). Ἀλλὰ καὶ ὧδε τὸ χ ώ ρ α Κ έ κ ρ ο π ο ς σημαίνει πᾶσαν τὴν Κ ε κ ρ ο π ί α ν γ ῆ ν (ἢ τὴν Ἀττικήν, τὴν περίοικον τῶν Ἀθηνῶν)· ἔχει δὲ καὶ προφανῶς ἐν τῷ προηγουμένῳ στίχῳ ἀντιδιαστελλόμενον τὸ « Π α λ λ ά δ ο ς κ λ ε ι ν ὸ ν π έ δ ο ν » (αὐτὸ τὸ ἄστυ τῶν Ἀθηνῶν) (Ἀριστοφ. Πλούτ. 771 — 773). Οὕτως εἶπε καὶ Εὐριπίδης « εὐδαίμονα Θησέως χώραν » (Εὐρ. Τρῳαδ. 209 — 219. πρβλ. Μηδ. 826) πᾶσαν τὴν Ἀττικὴν ὁμοῦ καὶ τὰς Ἀθήνας.

Ἕρμιππος διορίσαι, μηδὲν περὶ τούτου μαθὼν ἐν Ἀλεξανδρείᾳ » (α). Ἀλλ' (ἴσως ἂν ἀπήντησε δικαίως πρὸς τὸν Οὐαλκενῆρον ὁ Σκαλίγηρος)· « ἀλλ' ἐὰν ὁ Ἕρμιππος ἐννοῇ τόπον τῆς Αἰγύπτου τεταγμένον, ἀφῆκε δ' αὐτὸν ἀδιόριστον ἀγνοῶν, τί λοιπὸν, ὦ τέκνον, ἡμῖν ἐπιπλήττεις, ὅτι προσεθήκαμεν πρὸς τὸ *χώρᾳ*, καὶ τὸ *τινί*; Μὴ γὰρ ἄλλο τι, εἰ μὴ χώρα *τις* ἐν τῇ Αἰγύπτῳ, ὑπῆρχε καὶ ἣν Ἕρμιππος (ὡς λέγεις) ἀγνοῶν ἀφῆκεν *ἀόριστον* »; Ταῦτ' ἂν εἶπεν ὁ Σκαλίγηρος· καὶ ἡμεῖς, ὅσον κατὰ τοῦτο, δικαιοῦμεν τὸν γηραιόν. Προσέχοντες δὲ ὅμως καὶ ταῖς λεπτοτάταις τῶν Ἑλλήνων συγγραφέων στιγμαῖς (κατὰ τὸ σοφὸν ἀπόφθεγμα τοῦ Οὐαλκενήρου), ἀποδεχόμενοι δὲ (πρός γε τὸ παρὸν) καὶ τὴν ὑπ' αὐτοῦ ἐξήγησιν τῆς *χώρας*, ἀντὶ *πάσης γῆς Αἰγύπτου* (χωρὶς δηλαδὴ τῆς Ἀλεξανδρείας), νομίζομεν, ὅτι ὁ Ἕρμιππος ἐννοεῖ τὸν Δημήτριον ἐξωρισμένον ἐκ τῆς βασιλευούσης εἰς τὴν ἄλλην Αἴγυπτον, οὐχὶ κατά τινα διωρισμένον μονίμου ἐξορίας τόπον, ἀλλὰ μᾶλλον ἐλευθέρως καὶ ἀκωλύτως, ὅπου ποτ' ἐθέλοι τῆς ἐπικρατείας, περιϊόντα, φυλαττόμενον δὲ ὅμως ὑπὸ παραμένοντος καὶ παρακολουθοῦντος αὐτῷ φύλακος στρατιώτου (τοῦτο φαίνεται σημαίνουσα καὶ ἡ *παρὰ* πρὸς τὸ *φυλάττεσθαι* συνημμένη· *παραφυλάττεται* γὰρ οὐ μόνον ὁ ἐν τόπῳ τινὶ μένων, ἢ καὶ ἐν εἱρκτῇ καθειργμένος, ἀλλὰ καὶ ὁ περιερχόμενος ἐλευθέρως, ὅταν ἔχῃ φύλακά τινα παρακολουθοῦντα (β)). Ὁ δὲ Δημήτριος οὐκ ἦν ἐν εἱρκτῇ δεδεμένος, (ὡς κηρύττει πάλιν αὐτὸ τὸ ἀπολύτως καὶ ἐνάρθρως εἰρημένον *ἐν τῇ χώρᾳ*). Εἰ δὲ καὶ τὸ *χώρα* (κατὰ τὴν ἄλλην πάλιν τῆς λέξεως σημασίαν) σημαίνει μερικώτερον τὴν περὶ τὴν πόλιν τῆς Ἀλεξανδρείας περιοικίδα γῆν, ἡ δὲ πρόθεσις ἡ *παρὰ*, τὸ πλησίον αὐτῆς τῆς βασιλευούσης, τότε λοιπὸν ἔχει δίκαιον ὁ Λυδιάτης εἰκάζων τὸν Δημήτριον φυλαττόμενον παρ' αὐτῇ τῇ Ἀλεξανδρείᾳ (ἐν τῷ νομῷ αὐτῆς), καὶ « *ἴσως* (καθὼς λέγει) *πέριξ αὐτῆς τῆς βιβλιο-*

(α) Valckenaer. l. c. pag. 54.

(β) Οὕτω καὶ ἐν ταῖς ἁγίαις δέλτοις βλέπομεν τὸν θεῖον Παῦλον ἐλεύθερον ἐν τῇ μεγάλῃ Ῥώμῃ « μένοντα καθ' ἑαυτὸν, σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ » (Πράξ. κη, 16).

θήκης » (ὅπερ ἐσκανδάλισε μάλιστα τὸν Ὅδιον, ὡς παντάπασιν ἀντιφάσκον πρὸς τὸν Ἕρμιππον) (α). Τελευταῖον· ἐπειδὴ ὁ Ἕρμιππος οὐδὲν ἔγραψεν οὐδόλως περὶ τῆς ἐκ τῆς βασιλευούσης ἐξορίας τοῦ Δημητρίου, λέγει δὲ μόνον ἁπλῶς καὶ ἀπολύτως « παραφυλάττεσθαι *ἐν τῇ χώρᾳ* », τί βλάπτει, ἂν ἐκληφθῇ ἡ λέξις ὡς πάσης τῆς τοῦ Φιλαδέλφου ἐπικρατείας σημαντική; (καὶ αὐτῆς δηλαδὴ τῆς τοῦ κράτους μητροπόλεως συμπεριλαμβανομένης. βλ. ὄπισθ. σελ. 99. σημ.). Καὶ λοιπὸν κατὰ ταύτην τὴν (εἰ μὴ παντάπασιν ἀπατώμεθα) πιθανωτάτην τῆς λέξεως ἐκδοχὴν, ὁ Ἕρμιππος λέγει, ὅτι ὁ Φιλάδελφος διέταξε περὶ τοῦ Φαληρέως, ἵνα *παραφυλάττηται* (ὑπό τινος, ἤ τινων φυλάκων παρεπομένων) ἐν τῇ *ἐπικρατείᾳ τῆς Αἰγύπτου* (μήπως ἐκφύγῃ τοῦ κράτους), ἀκωλύτως δηλονότι, ὅπου ἂν ἐθέλοι, περινοστῶν, καὶ μηδ' αὐτῆς τῆς βασιλευούσης ἐκκεκλεισμένος. Ὅτι δὲ καὶ ὁ Κικέρων, ἐν οἷς λέγει τὸν Δημήτριον ὑπ' ἀσπίδος ἀποθανεῖν, παρίστησι τοῦτον οὐχὶ κατά τινα τόπον μονίμως τηρούμενον, ἀλλ' ἁπλῶς καὶ ἀπολύτως *ἐν τῷ βασιλείῳ τῆς Αἰγύπτου* (in Regno Aegypti) διατρίβοντα, λέγομεν ἐφεξῆς.

§. ϛ. Δ) Ὡς τὰ προηγούμενα, παρομοίως παρεξήγησαν καὶ τὰ λοιπὰ τῆς Ἑρμιππείου ῥήσεως οἱ μισαρισταῖοι κριτικοί.

Πρῶτον· ὁ Ἕρμιππος λέγει « (παραφυλάττεσθαι τὸν Δημήτριον ἐν τῇ χώρᾳ) *μέχρι τι δόξει (τῷ βασιλεῖ) περὶ αὐτοῦ* ». Τί δὲ, τέλος, ἔδοξεν, ὁ μὲν Ἕρμιππος διώρισεν οὐδέν. Οἱ δὲ καὶ κατὰ τοῦτο πρὸς τὸν Ἀριστέα διαλλάττοντες τὸν Ἕρμιππον εἶπον, ὡς εὔλογον πρᾶγμα καὶ πιθανὸν, ὅτι πάλιν ὁ Φιλάδελφος ἐφιλιώθη πρὸς τὸν Δημήτριον, τῆς παραφυλακῆς αὐτὸν ἀπαλλάξας, εἶτ' ἀθῷον τοῦ

(α) Lydiati not. ad Chronic. Arund. apud Hody pag. 18. Ὁ δὲ σοφὸς Δεμάγιστρος (pag. 475) ἐκλαμβάνων, ἴσως, τὸ *χώρα* ἀντὶ τοῦ *πόλις* (αὐτὴ δηλονότι ἡ βασιλεύουσα Ἀλεξάνδρεια), οὐδ' ἐκ τῆς αὐλῆς τοῦ Φιλαδέλφου ἐξάγει τὸν Δημήτριον, ἀλλ' αὐτοῦ φαίνεται νομίζων τοῦτον παραφυλαττόμενον (ἢ τοὐλάχιστον, ἐν τῇ πόλει), καὶ φέρει παράδειγμα τὴν παρὰ τοῦ Σολομῶντος πρὸς τὸν ἐν Ἱεροσολύμοις περιορισθέντα Σεμεΐ διαταγήν. « Οἰκοδόμησον σεαυτῷ οἶκον ἐν Ἱερουσαλὴμ, καὶ κάθου ἐκεῖ, καὶ οὐκ ἐξελεύσῃ ἐκεῖθεν οὐδαμοῦ » (Γ. Βασιλ. γ, 36).

ἐγκλήματος εὑρών, εἴτε καὶ φιλανθρωπευσάμενος διὰ τὴν ἄλλην ἀρετὴν καὶ σοφίαν τοῦ ἀνδρὸς (καὶ τούτου πατρῴου φίλου)· ὁποῖα καὶ συνήθως πολλάκις συμβαίνουσι παρὰ τοῖς βασιλεῦσι. Τοιαῦτα λέγει ὁ κλεινὸς Φρασσήνιος, Σεῤῥαρίῳ καὶ Σαλιανῷ συμμαχῶν (α). Ὁ δὲ Δεμάγιστρος (σελ. 476) καί τι συγγενὲς τῷ Φιλαδέλφῳ παράδειγμα προστίθησι, χαρίεν ἔργον τοῦ Μάγα (ἦν δὲ οὗτος ὁμομήτριος, ἐξ ἄλλου δὲ πατρὸς, ἀδελφὸς τοῦ Φιλαδέλφου καὶ πολέμιος. Παυσ. Α, ζ)· ὅστις, ἐπειδὴ Φιλήμων ὁ κωμῳδοποιὸς ἐλοιδόρησεν αὐτὸν ἐν τῷ θεάτρῳ δημοσίως ὡς ἀγράμματον, λέγων

« Παρὰ τοῦ βασιλέως γράμμαθ᾽ ἥκει σοι Μάγα,
Μάγα κακόδαιμον, γράμματ᾽ οὐκ ἐπίστασαι »·

λαβὼν ὁ Μάγας τὸν λοιδορήσαντα ποιητὴν, « ὑπὸ χειμῶνος εἰς Παραιτόνιον (τῆς Αἰγύπτου) ἐξενεχθέντα, ςρατιώτῃ μὲν ἐκέλευσε γυμνῇ τῇ μαχαίρᾳ θιγεῖν τοῦ τραχήλου μόνον, εἶτα κοσμίως ἀπελθεῖν. ἀστραγάλους δὲ καὶ σφαῖραν, ὡς παιδαρίῳ νοῦν οὐκ ἔχοντι, προσπέμψας ἀφῆκεν » (ϐ). Εἰ δὲ καὶ Μάγας ὁ ἄμουσος καὶ ἀγράμματος ἐπεδείξατο τοσαύτην ἐπιείκειαν πρὸς τὸν κωμῳδοποιὸν, πολλῷ μᾶλλον ἔμελλεν ὁ μουσικώτατος Πτολεμαῖος διαλλαγήσεσθαι τῷ λαμπροτάτῳ φιλοσόφῳ καὶ νομοθέτῃ, χαρισάμενος τὸ ἔγκλημα, καὶ πάλιν ἀποκαταστήσας εἰς τὴν ἐπιστασίαν τῆς, περὶ ἣν θαυμαστῶς ἐφιλοτιμεῖτο, βιβλιοθήκης. Ὁ Πτολεμαῖος, ὅστις οὐδὲ τὸν κιναιδολόγον Σωτάδην, οὕτως εἰς αὐτὸν πικρὰ βλασημήσαντα κατὰ πρόσωπον, οὐδὲν ἐτιμώρησεν αὐτὸς, ἀλλ᾽ ἀφῆκεν· (ἄλλος δέ τις τῶν Πτολεμαίου στρατηγῶν, διὰ μῖσος ἴδιον, ἴσως, ἢ καὶ νομίζων ἀρεστὸν τῷ βασιλεῖ, κατεπόντωσεν ὕστερον τὸν Σωτάδην εἰς Καῦνον λαβὼν, μακρὰν τῆς Ἀλεξανδρείας) (γ). Τοιαῦτα λέγουσιν οἱ ἄν-

(α) Frassenius Disquisit. Bibl. Libr. II. c. 3. καὶ παρ᾽ Ὀδίῳ σελ. 18.

(ϐ) Πλούταρχ. περὶ ἀοργησ. σελ. 796. τόμ. 7. Reisk.

(γ) « Ἐκπλεύσαντα γὰρ αὐτὸν τῆς Ἀλεξανδρείας — καὶ δοκοῦντα διαπεφευγέναι τὸν κίνδυνον (εἰρήκει γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινὰ) — Πάτροκλος, ὁ τοῦ Πτολεμαίου στρατηγὸς, λαβὼν αὐτὸν, καὶ εἰς μολυβδῆν κεραμίδα ἐμβαλὼν, καὶ ἀναγαγὼν εἰς τὸ πέλαγος, κατεπόντωσε » (Ἡγήσανδρ. παρ᾽ Ἀθην. ιδ, 621). Ὅθεν ὁ

δρες, καὶ συμπεραίνουσιν ὀρθά. Συμμαχεῖ δὲ τούτοις καὶ αὐτὸ τὸ κοῦφον τῆς ἐπιτεθείσης τῷ Δημητρίῳ ποινῆς παρὰ τοῦ βασιλέως· ὅστις *ἐν τῇ χώρᾳ παραφυλάττεσθαι* τὸν ἄνδρα κελεύσας, φαίνεται οὐ μᾶλλον ἐκεῖνον τιμωρῶν, ἢ φοβούμενος αὐτὸς μήπως στερηθῇ τοῦ φιλοσόφου, φυγόντος ἄν, ἴσως, δι᾽ ἀγανάκτησιν ἐκτὸς τῆς ἐπικρατείας. Τούτου χάριν οὐδὲ ψῆφον κυρίαν καὶ τελείαν ἐξήνεγκε κατ᾽ αὐτοῦ (τί γὰρ ἂν ἐκώλυε τὸν Φιλάδελφον ἢ παρευθὺς ἀποκτεῖναι τὸν Δημήτριον, ἢ γοῦν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν, ἢ καὶ εἰς σιδηρᾶν γαλεάγραν, ὡς ὁ Μ. Ἀλέξανδρος τὸν, ὡς ἐπίβουλον κατηγορηθέντα κἀκεῖνον, φιλόσοφον Καλλισθένην;) (α). Οὕτω δὲ μετέωρον τὴν περὶ τοῦ Δημητρίου κρίσιν ἀνασχόντος τοῦ Φιλαδέλφου, καὶ μηδὲν ἀνήκεστον παθεῖν αὐτὸν ἀξιώσαντος, σκληρὸν ἔπειτα πρᾶγμα φαίνεται καὶ κακόηθες, ἄν τις ἀποφαίνηται, ὅτι μέχρι τέλους ἔμεινε πρὸς τὸν πατρῷον φίλον ἀμείλικτος καὶ ἀδιάλλακτος ὁ βασιλεύς. Ἢ μήπως ὁ Φιλάδελφος ὑπῆρχε πρὸς χάριτας καὶ μούσας ἀγνωμονέστερος παρὰ τὸν ἐν πολλοῖς πολλῷ κατώτερον αὐτοῦ τρισέγγονον, Πτολεμαῖον τὸν Φιλομήτορα; Καθότι καὶ οὗτος ὀργισθείς ποτε κατ᾽ Ἀριστωνύμου τοῦ κωμῳδοποιοῦ, τῶν βιβλιοθηκῶν καὶ τούτου τὴν προστασίαν (ὡς ὁ Δημήτριος) ἐν Ἀλεξανδρείᾳ πεπιστευμένου, καὶ περιπαθὴς γενόμενος (διότι διεσκευάσθη ὁ Ἀριστώνυμος, ἵνα φύγῃ κρυφίως πρὸς Εὐμένη τὸν τότε βασιλεύοντα τῆς Περγάμου), καθεῖρξε μὲν αὐτὸν ὁ βασιλεὺς ἐπὶ χρόνον τινά, ἀλλ᾽ ὅμως πάλιν ἀπέλυσε ταχέως ἐξιλεωθεὶς (Σουΐδ. λ. Ἀριστώνυμος). Ἦπου πολὺ ταχύτερον ἔμελλεν ὁ Φιλάδελφος ἀνακτήσεσθαι τὸν ἀσυγκρίτως Ἀριστωνύμου ἐνδοξότερον Φαληρέα, ὅντινα μηδὲ καθεῖρξαι κἂν ἠξίωσε τὴν ἀρχήν. Ἀλλ᾽ ὅμως οἱ κριτικοὶ τὰς μὲν τοιαύτας εἰκοτολογίας ἐκμυκτηρίζουσι, κρατοῦν-

---

Δεμάγιστρος (σελ. 476) κακίζει τὸν Φαβρίκιον εἰπόντα τὸν Σωτάδην καταποντισθῆναι κατὰ προσταγὴν αὐτοῦ τοῦ Φιλαδέλφου (Fabric. Bibl. Gr. vol. 2. p. 495 Harl.). Ὁ δὲ Πλούταρχος οὐδὲ φονευθῆναι τὸν Σωτάδην φησίν, ἀλλ᾽ ὅτι « ἐν δεσμωτηρίῳ πολλοὺς κατεσάπη χρόνους, — ἵνα δὲ γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔκλαυσε » (περὶ παίδ. ἀγωγ. σελ. 36. τόμ. 6. R.).

(α) Λαέρτ. Ε. α, 6: Πλούταρχ. Ἀλεξάνδρ. §. νε.

τες τὰς ἑαυτῶν εἰκασίας, ὡς ἀληθείας ἐπιστημονικάς· καὶ τὸ « *μέχρι τι δόξει περὶ αὐτοῦ* » παρασπῶντες, ἐκλαμβάνουσιν οὕτως, ὡς εἴπερ ἂν ἐσήμαινεν, ἀραρότως ἤδη *δεδογμένα* τὰ κάκιστα κατὰ τοῦ Δημητρίου· διαλλαγὴν δὲ τούτου πρὸς τὸν Φιλάδελφον οὐδεμίαν στέργουσιν οὐδαμῇ οὐδαμῶς. Διὸ καὶ Ὅδιος ἀστείως καὶ χαριέντως κερτομεῖ τοὺς περὶ τὸν Σεῤῥάριον λέγων, « ὅτι τάχα αἰσθανόμενοι ἑαυτοὺς εὐθέως ἐσομένους ὑποβρυχίους εἰς τὰ κύματα τῆς ἀποδείξεως, ἥρπασαν πρὸς βοήθειαν, οἷόν τινα σχεδίαν ἐκ καλαμαίας (ἢ ψιάθιον), τὴν πρὸς τὸν Δημήτριον τοῦ Φιλαδέλφου διαλλαγήν. Οὕτω, λέγει, λαμπρῶς ληροῦσιν οἱ ἄνθρωποι » (σελ. 18). Αὐτοὶ δὲ ἄρα οἱ περὶ τὸν Ὅδιον, ὡς ἂν εἰς *Ἀργὼ πασιμέλουσαν*, τὴν Ἑρμίππου ῥῆσιν, ἀσφαλῶς ἐπιβεβηκότες σεμνάς τινας φθέγγονται τῆς ἀληθείας φωνάς, παριστῶντες τὸν Δημήτριον ἀποθανόντα, πρὶν ἢ πρὸς τὸν Φιλάδελφον διαλλαγῇ. Ἄκουε.

Δεύτερον (λέγουσιν)· « Ὁ Δημήτριος (*ἔν τινι χώρᾳ* φυλακισθεὶς) *προσοχθήσας τῇ ἐρημίᾳ*, ἤρξατο ἀθυμεῖν· καὶ κατενεχθεὶς *εἰς ὕπνον ὑπὸ χαυνώσεως*, δήγματι ἀσπίδος ἀπώλετο, καὶ συνεχῆ τὸν ὕπνον τῷ θανάτῳ συνῆψεν » (α). Οὕτως ὁ Σκαλίγηρος ἑρμηνεύει ἐκεῖνα· « Ἐνταῦθα (ἐν τῇ χώρᾳ) ἀθυμότερον διῆγε. Καί *πως* (γρ. ποθ') ὑπνώττων (β), ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μετέθηκεν »

(α) « Quum ex taedio solitudinis animum deponere inciperet (Demetrius), et in somnum ex languore degravatus esset, morsu aspidis perierit, et somnum cum morte continuavit ». Scalig. Animadv. in Chonic. Euseb. p. 133.

(β) Τὸ « καί π ω ς ὑπνώττων » (ὡς ἔχουσιν ἅπασαι, ὅσαις ἐνετύχομεν, αἱ ἐκδόσεις τοῦ Λαερτίου) φαίνεται κακόφραστον, καί πως καὶ ἀφύσικον· (διότι ὁ ὑπνώττων οὐχὶ κατά τινα μὲν τρόπον ὑπνώττει, κατά τινα δ' οὔ, ἀλλ' ὑ π ν ώ τ τ ε ι κατὰ φύσιν « ὕ π ν ο υ ἀ ω τ ῶ ν, (ἐφ' ὅσον ἂν κυρίως ὑπνώττῃ)· « πλὴν, εἰ μή που προσποιεῖται ὑπνώττων »· ἀλλὰ τότε ο ὐ χ ὑ π ν ώ τ τ ε ι! ἢ μήπως ὁ Φαληρεὺς ὑπνώτττειν προσεποιεῖτο, προσπαίζων, ἢ καὶ δολιευόμενος πρὸς ἐπιοῦσαν τὴν ἀσπίδα; Ἀλλὰ τοῦτο οὐδ' αὐτὸς ὁ Σκαλίγηρος ἀπεδέχετο, μεταφράσας ἐντονώτερον, ὅτι καὶ ὑ π ὸ χ α υ ν ώ σ ε ω ς εἰς ὕ π ν ο ν κ α τ ε β α ρ ύ ν θ η! Ὁ δὲ παλαιὸς μεταφραστὴς ἡρμήνευσεν ac forte dormiens (βλ. Λαέρτ. ε. τμημ. 78, ἐκδ. Menag. τόμ. α. σελ. 309), ἀλλὰ τὸ π ῶ ς οὐ σημαίνει forte (ἴσως). Ὁ δὲ χρυσοῦς Βανδάλης

κτλ. Μανθάνεις λοιπὸν ἀναγνῶσα ὅτι ἡ *τὶς ἐκείνη χώρα* (ἐν ᾗ ὑπὸ τοῦ Σκαλιγήρου *ἐξωρίσθη* ὁ Δημήτριος) ὑπῆρχεν *ἔρημος*· ὁ δὲ Ἕρμιππος ἄρα τοῦτο ἠγνόει! (διὰ τοῦτο προσετέθη τὸ *προσοχθίσας τῇ ἐρημίᾳ*). Τὸ δὲ πάλιν *διῆγε* (χρόνου παράτασιν δηλοῦν) ἐῤῥέθη πάντη περιττῶς παρὰ τῷ Ἑρμίππῳ! διὸ καὶ ἀπεσίγησε τὴν λέξιν ὁ κριτικὸς (μίαν, ἴσως, ἢ δύω μόνας ἡμέρας χαριζόμενος τῷ καθειργμένῳ Φαληρεῖ· διότι, καθὼς λέγει, *προσοχθήσας ἐκοιμήθη*· καὶ κοιμηθεὶς ἀπέθανεν ὑπὸ τῆς ἀσπίδος»· μόλις ἄρα νυχθήμερον ἄϋπνος διατέλεσε! Καὶ τοῦτο τὸ τοῦ κριτικοῦ σφόδρα σοφόν· μήποτε, *διάγων* πλείονα χρόνον εἰς τὴν *εἱρκτὴν*, εὑρεθῇ ζῶν ὁ Δημήτριος, εἴπερ ἂν, ἴσως, κατὰ τύχην ἠθέλησε διαλλαγῆναι πρὸς αὐτὸν ὁ Φιλάδελφος). Οὕτω δὲ ταχέως τῇ ἐρημίᾳ προσοχθήσας, ἅμα τε εἰς ὕπνον ὑπὸ χαυνώσεως κατηνέχθη, καὶ πάραυτα κατὰ τὸν *πρῶτον ἐκεῖνον ὕπνον* δηχθεὶς ὑπὸ τῆς ἀσπίδος οὐδ' ἤλγησεν, οὐδ' ἐξύπνωσεν ὅλως αἰσθανθεὶς, ἀλλ' ἔτι καθεύδοντα καὶ ῥέγχοντα «*παρέθηκεν αὐτὸν* ὁ ὕπνος τῷ ἀδελφῷ»! Καὶ οὕτως ὁ Δημήτριος ἀπόλωλεν εὐθὺς κατ' *αὐτὴν τὴν ἀρχὴν τῆς βασιλείας τοῦ Φιλαδέλφου* (καθὼς προεῖπεν ὁ Σκαλίγηρος ἀνωτέρω §. γ.). Ἀλλὰ καὶ ταῦτα πάλιν ἀγνοεῖ ὁ τάλας Ἕρμιππος! Ὁ δὲ κλεινὸς Ὅδιος ὀξύτερον περαίνει τὸ πρᾶγμα, οὐδὲ περιμένει κἂν μετὰ τῆς ἀσπίδος καραδοκῶν, ἕως ἂν ὑπνώσῃ ὁ Δημήτριος, ἀλλ' ἤδη καὶ ἀγρυπνοῦντι προσῆψεν αὐτῷ τὸ θηρίον, εἰς ἄλλην ἡμῖν Κλεοπάτραν τὸν Φαληρέα μεταμορφῶν· «πότερον (λέγει, σελ. 18), αὐτὸς καθ' ἑαυτοῦ ὁ Δημήτριος, τὴν ἀσπίδα προσάψας, κατεψηφίσατο τὸν θάνατον (α), ἢ *τοῦ βασιλέως τοῦτο κελεύσαντος*,

---

(σελ. 24) ἔγραψε **veluti**, ὡσανεὶ, ἢ οἱονεὶ κοιμώμενος (ἤγουν κοιμᾶσθαι προσποιούμενος)· αὐτὸ δὲ τὸ ἐγκλιτικὸν πως ἐν τῷ κειμένῳ τονίσας περιέσπασε, πῶς! (ἴσως ἐρωτηματικὸν τὸ μόριον ἐκλαβών). Ἐμοὶ μὲν οὖν ἡ διόρθωσις, ἡ πόθ', ἀναγκαία τε φαίνεται καὶ ὀρθή. Εἰ δὲ μὴ, «ὡς δόξει τοῖς κριτικοῖς.

(α) Τοῦτο ἐπανέλαβε καὶ ὁ Καλμέτης (Diction. de la Bible, v. Septante), καὶ ἄλλοι, καὶ πρὸ τούτων ὁ Σκαλίγηρος (ἔνθα ἀνωτ.), εἰσάγων τὸν Κικέρωνα τοῦτο λέγοντα, καθὼς αὐτὸς ἐξηγεῖ τὸ τοῦ Ῥωμαίου ῥήτορος «**aspide ad corpus**

ἢ κατὰ τύχην (ὅπερ Ἕρμιππος φαίνεται νοῶν) ἐνέφυ αὐτῷ ἡ ἀσπὶς, τοῦτο πρὸς ἡμᾶς οὐδὲν διαφέρει » (καλὴ ἀδιαφορία! τὸν μὲν νοῦν τοῦ συγγραφέως ὁμολογεῖν φανερὸν, ἔπειτα τοῦτον παρερμηνεύειν καὶ διαφθείρειν πρὸς τὸ δοκοῦν!) « Μόνον (λέγει) ἡ διαλλαγὴ μάχεται διόλου πρὸς τοὺς λόγους τοῦ Ἑρμίππου. Οὗτος διαβεβαιοῖ, *χωρὶς μηδεμιᾶς μήτε περὶ τὴν ἔννοιαν μήτε περὶ τὰς λέξεις ἀσαφείας καὶ σκοτεινότητος*, ὅτι ὁ Δημήτριος *εὐθὺς* μετὰ τὸν Πτολεμαίου τοῦ Λάγου θάνατον ὑπὸ τοῦ Φιλαδέλφου *εἰς φυλακὴν ἐνεβλήθη*, καὶ *ἀπέθανεν ἐν ἐκείνῃ τῇ φυλακῇ*.

---

admota » (βλ. τὴν ῥῆσιν ἑφεξῆς §. ζ). Ἀλλὰ τὸ Κικερώνειον admota (εἴπερ ἔξεστιν ἡμῖν περὶ Κικέρωνος πρὸς Σκαλίγηρον ἀντειπεῖν!) φαίνεται σημασίαν ἔχον οὐχὶ παθητικὴν (ὡς ἂν εἴπῃς « ἀσπίδος πρὸς τὸ σῶμα προστεθείσης, ἢ προσαφθείσης ὑπ' αὐτοῦ τοῦ Δημητρίου ἑκόντος), ἀλλὰ μέσην, δηλαδὴ προσαψάσης ἑαυτὴν τῆς ἀσπίδος, καὶ ἑλληνικώτερον, « προσφύσης, ἢ ἐμφύσης » ὡς εἶπε καὶ Πλούταρχος (Ἀντων. §. πς) » ὁρμήσασαν (τὴν ἀσπίδα) ἐμφῦναι τῷ βραχίονι (τῆς Κλεοπάτρας) κτλ.. Οὐδὲν δὲ ξένον εἰ καὶ Σκαλίγηρος ἠπατήθη περὶ τὴν λατινικὴν ἀφαιρετικὴν (ablativum) πτῶσιν (τὴν admota), περὶ ἣν καὶ ἄλλοι τῶν νεωτέρων σοφῶν προσέκρουσαν, καὶ αὐτὸς ὁ σοφώτατος Σπρεγγέλιος· διότι κἀκεῖνος τὸ παρὰ τῷ Πλινίῳ ἀπροσώπως εἰρημένον templo cremato (τοῦ ναοῦ ἐμπρησθέντος), ἐξέλαβεν ὡς παθητικὸν, ἀναγόμενον εἰς τὸ προηγούμενον Ἱπποκράτης· καὶ παρέστησε τὸν Κῷον γέροντα ἐμπρηστὴν τοῦ ἐν Κῷ ναοῦ τοῦ Ἀσκληπιοῦ (Βλ. Ἱπποκράτ. περὶ ἀέρ. ὑδάτ. τόπ. προλεγόμ. σελ. κε. ἐκδ. Κορ. Παρισίοις 1816). Οὕτω καὶ ὁ Σκαλίγηρος τὸ aspide admota ἐξέλαβε παθητικῶς (Βλ. καὶ ἑφεξῆς Κεφ. ια. §. ις.). Αὐτοῦ δὲ τοῦ Ὀδίου ἴδιόν ἐστιν ὃ προστίθησιν ἑφεξῆς, « τοῦ βασιλέως κελεύσαντος » (jussu Regis)! Τοιοῦτό τι φαίνεται φρονήσας καὶ ὁ θαυμάσιος Περιζώνιος· ὅστις, σκαλιγηρίζων κἀκεῖνος, ἀμελλητὶ τὸν Δημήτριον ὑπὸ τοῦ Φιλαδέλφου (ἅμα βασιλεύσαντος) ἐξορίζει, καὶ πρὸς τὸν ἐκ δήγματος ἀσπίδος θάνατον ταχέως ἀπάγει· « Relegatum (λέγει) ab eo (Philadepho), ac ad mortem aspidis morsû adactum » (Jac. Perizon. εἰς Αἰλιαν. π. ἱς. γ. 17. σελ. 238). Καὶ ἐσφάλη ἄρα καὶ ὧδε ὁ φιλόλογος Περιζώνιος, καὶ πολὺ βαρύτερον, ἢ ὅσον προσέκρουσεν ἑφεξῆς (ἐν κεφ. ιδ. βιβλ. ιγ. αὐτ.), ὅπου τοὺς Ἀλκινόου Ἀπολόγους ἐξέλαβε καὶ ἡρμήνευσεν ἁπλῶς λόγους αὐτοῦ τοῦ Ἀλκινόου (sermones Alcinoi!)· καίτοι σεμνῶς προδιακηρύξας ὅτι « πάντα τὰ δυσχερῆ καὶ ἀσαφῆ καὶ ἀγνοούμενα τοῦ συγγραφέως ἀναπτύξει, φωτὶ καθαρῷ περιχεάμενος » (liquida perfundere luce!)· τοῦτο δὲ καὶ ἄλλοι πρὸ ἡμῶν ἐσημειώσαντο (βλ. Εὐγεν. τὰς καθ' Ὅμηρ. ἀρχαιότητ. σελ. 404—407. Μόσχᾳ, 1804).

ὅθεν (λέγει) καταφαίνεται καὶ φωτὸς λαμπρότερον, ὅτι οὐκέτι ἐπανῆλθεν εἰς τὴν εὔνοιαν καὶ τὴν αὐλὴν τοῦ Φιλαδέλφου». — Ἀκούεις ἀναγνῶστα, τί βεβαιοῖ τορῶς καὶ λαμπρῶς καὶ διαῤῥήδην ὁ Ἕρμιππος; παράβαλε ταῦτα πρὸς τὰ τοῦ Ἑρμίππου, καὶ μὴ θαυμάσῃς, ἂν δυνηθῇς, τὴν τόλμην τῶν τοιούτων κριτικῶν. Ἀλλὰ καὶ περὶ τῆς ἐν τούτοις γνησίας ἐννοίας τοῦ ἱστορικοῦ λέγομεν εὐθὺς, τοσοῦτον μόνον προσθέντες· ὅτι αὐτὸς ὁ Ὅδιος μικρὸν προχωρήσας (σελ. 42) ὑπεψιθύρισεν, ὑποτιθεὶς οὐκ ἀδύνατον τὴν ἐκ τῆς θανατηφόρου φυλακῆς ἀπαλλαγὴν τοῦ Φαληρέως, καὶ τὴν ἐπανάληψιν τῆς τῶν βιβλιοθηκῶν προστασίας, εἰς ἣν καὶ μόνην ἄκοντα (ὡς εἰς ἔργον δῆθεν εὐτελὲς), καὶ ἐξ ἀνάγκης αὐτὸν στέρξαντα παρίστησιν (ἀφ' οὗ δηλονότι, τῶν ἄλλων τῶν ἀρχαίων τιμῶν ἐγυμνώθη προσκρούσας τῷ Φιλαδέλφῳ)· ἀλλ' ἐκεῖνα μὲν τὰ ῥήματα τοῦ δόκτωρος βλέπομεν ἐν τῷ οἰκείῳ τόπῳ·

Τρίτον καὶ τελευταῖον, ὁ σοφὸς Ὅδιος (αὐτόθ.) προστίθησιν ὅτι καὶ τὰ τελευταῖα τοῦ Ἑρμίππου ἐκεῖνα, « *καὶ θάπτεται ἐν τῷ βουσιρίτῃ νομῷ* », κτλ. (ἀπεῖχε δὲ οὗτος ὁ νομὸς πολὺ μακρὰν τῆς Ἀλεξανδρείας), δεικνύουσιν ἐναργῶς τὸν Δημήτριον ἐν ταύτῃ παραφυλαττόμενον τῇ χώρᾳ, ἐν ᾗ καὶ τὸν βίον μετήλλαξεν ». Ἀλλ' ὅτι μὲν ὁ Δημήτριος δηχθεὶς ὑπὸ τῆς ἀσπίδος ἀπέθανεν ἐν ᾗ χώρᾳ καὶ ἐτάφη, τοῦτο μὲν εἶχέ τινα λόγον ὁ Ὅδιος συμπεραίνων ὡς πιθανὸν, καίτοι μηδὲ τοῦτο παντελῶς ἀναντίῤῥητον ὂν (διότι πολλοί τινες τῶν ἐνδόξων, ἐν ἄλλῃ χώρᾳ θανόντες, ἐτάφησαν ἀλλαχοῦ διακομισθέντες· καὶ μαρτυροῦσιν Ἀγησίλαος, καὶ Κίμων, καὶ Ἀλέξανδρος αὐτὸς, καὶ Δημήτριος ὁ πολιορκητής· ἄλλους παραλείπομεν) (α). πλὴν ἀλλ' ἔστω· συναινοῦμεν· καὶ

(α) « Κίμων περὶ Κίτιον τῆς Κύπρου τελευτήσας Ἀθήνησιν ἐτάφη (Πλούταρχ. Κίμ. §. ιθ). Ἀγησίλαος δὲ ἐν ἐρήμῳ χωρίῳ Λιβύης ἀποθανὼν εἰς Σπάρτην ἐκομίσθη (αὐτ. Ἀγησιλ. §. μ.). Ἀλεξάνδρου δὲ τὸν νεκρὸν ἐκ Βαβυλῶνος καταγαγὼν ἔθαπτεν ἐν Μέμφει (ἢ μᾶλλον, ἐν αὐτῇ τῇ Ἀλεξανδρείᾳ) Πτολεμαῖος ὁ Λάγου (Παυσαν. Α. ς. : Στράβ. ιζ. 794 : Διόδωρ. ιη. 26—28 : Αἰλιαν. π. ἱστορ. ιβ, 64). Τοῦ δὲ Πολιορκητοῦ Δημητρίου τὰ λείψανα μετακομισθέντα ἐκ τῆς Χεῤῥονήσου ἐκήδευσεν ἐν Δημητριάδι ὁ υἱὸς Ἀντίγονος (Πλούταρχ. Δημητρ. §. νγ.). Ἀλλὰ καὶ τὸν φιλό-

τεθνάτω δὴ ὁ Φαληρεὺς ἐν ᾗ καὶ τέθαπται χώρᾳ. Ὅτι δὲ καὶ ζῶν ἐν ταύτῃ τῇ χώρᾳ παρεφυλάττετο, τοῦτο οὔτε πιθανὸν Ὅδιος συνῆξε, καὶ παντάπασιν ἀντιφάσκων πρὸς τὸν Ἕρμιππον· ὅστις γράφει τὸν Δημήτριον παραφυλαττόμενον ἀπολύτως *ἐν τῇ χώρᾳ*, (τῇ τῆς Αἰγύπτου ἐπικρατείᾳ). Εἰ δ' ὑπῆρχεν ὡρισμένος ὁ τόπος τῆς τοῦ Δημητρίου παραφυλακῆς (αὐτὸς δηλαδὴ τῆς Βουσίρεως ὁ νομὸς), πολὺ πάντως Ὅδιε πρὸ σοῦ, καὶ κατὰ πᾶσαν ἀνάγκην ἔγραψεν ἂν ὁ Ἕρμιππος αὐτὸς ἐξ ὀνόματος εἰπὼν, « ἀξιῶσαι (τὸν Φιλάδελφον) παραφυλάττεσθαι τὸν Δημήτριον *ἐν τῇ χώρᾳ τοῦ Βουσιρίτου νομοῦ*. — Ἀλλὰ (λέγεις) αὐτὴ τοῦ λόγου ἡ σύμπραξις τοιοῦτό τι παρέχει νοεῖν· διότι μετὰ τὸ « *ἐν τῇ χώρᾳ* », εὐθὺς ἐπάγει, « *ἐνταῦθα ἀθυμότερον διῆγε, καίπως ὑπνώττων* » κτλ. — Ἀλλ' ὦ σοφώτατε ἀνδρῶν, ἴσως πλανᾶσαι ἁμαρτάνων περὶ τὴν στίξιν. Σὺ δ' (ἂν θέλῃς) μετὰ τὸ *διῆγε*, στίξον στιγμὴν τελείαν, καὶ στῆσον μετὰ τῆς διανοίας τὴν φωνήν· τὰ δ' ἐφεξῆς ἀνάγνωσ ἀπ' ἄλλης ἀρχῆς, ὡς ἄσχετα πρὸς τὴν προηγουμένην ἔννοιαν, νέαν ἀπαρτίζοντα περίοδον. « Καὶ ποθ' ὑπνώττων », κτλ. Οὕτω δ' ἀναγνοὺς εὑρήσεις πάντως τὸν ἀληθινὸν τοῦ συγγραφέως νοῦν, ἱστοροῦντος τὴν τοῦ Δημητρίου παραφυλακὴν μέχρι τοῦ « *ἐνταῦθα* (ἐν τῇ ἐπικρατείᾳ) *ἀθυμότερον διῆγε*. Πόσον δὲ χρόνον διήγαγε παραφυλαττόμενος, καὶ τί τούτῳ μετὰ ταῦτα συνέβη μέχρις *ὕπνωσε τὸ ἔσχατον*, ὁ μὲν Ἕρμιππος ἀπεσιώπησεν· οὐδὲν δὲ παράδοξον, οὐδ' ἀπίθανον, ἀλλὰ καὶ λίαν πιθανὰ, καὶ τοῖς τε πράγμασι καὶ τῷ καιρῷ καὶ τῷ τοῦ Φιλαδέλφου ἤθει πρέποντα λέγουσιν οἱ λέγοντες, ὅτι ἐν τούτῳ τῷ μεταξὺ διηλλάγη

σοφον Φερεκύδην, ἐν Ἐφέσῳ λειποψυχοῦντα, μεταβιβάσαντες ἔθαψαν ἐν τῇ χώρᾳ τῶν Μαγνήτων, ὡς αὐτὸς πάλιν ὁ Ἕρμιππος ἱστορεῖ (παρὰ Λαερτ. Α. ια, 4). Καὶ ἀπὸ τῆς νεωτέρας ἱστορίας, καὶ τῶν καθ' ἡμᾶς δὲ χρόνων αὐτῶν, ἔχομεν παραδείγματα βασιλέων μεγάλων καὶ ἄλλων ἐνδόξων ἀνδρῶν, ἀλλαχοῦ μὲν τελευτησάντων, ἀλλαχοῦ δὲ ταφέντων. Παρομοίως ἠδύνατο καὶ ὁ Φαληρεὺς ἀλλαχοῦ τῆς Αἰγύπτου θανὼν ἑτέρωθι ταφῆναι, διά τινα λόγον, ὃν ἠγνόουν, ἢ παρέλιπον οἱ ἱστορικοί. Εἰ δὲ παρεσιώπων καὶ τοὺς τόπους, ὅπου Κίμων καὶ Ἀλέξανδρος ἀπέθανον καὶ οἱ λοιποὶ, πόσον ἂν τις ἡμάρτανε τῆς ἀληθείας συμπεραίνων, ὅτι καὶ οὗτοι ἐτελεύτησαν ἐν οἷς τόποις ἐκηδεύθησαν;

πρὸς τοῦτον ὁ Φαληρεύς, καὶ πάλιν ἐνεπιστεύθη τὴν τῆς βιβλιοθήκης ἐπιστασίαν. Ὁ δὲ Ἕρμιππος ταῦτα συντεμὼν ἔσπευσε πρὸς τὴν διήγησιν τοῦ τέλους τοῦ Φαληρέως. Πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα συντομίας παραδείγματα ἀπαντῶνται παρ᾽ ἄλλοις ἱστορικοῖς. Καί μοι μὴ θορυβήσῃς, Ὄδιε, παρακαλῶ. Αὐτόν σε μάρτυρα σοφώτατον καὶ συνήγορον καλῶ· ὅστις ἀντιλέγων πρὸ μικροῦ πρὸς Οὐόσσιον περὶ τῆς τοῦ Διοδώρου φράσεως (καὶ ταῦτα χρονολογοῦντος), ἔλεγες, ὅτι συνῆψεν ὑπὸ τὸν αὐτὸν χρόνον ὁ ἱστορικὸς τήν τε φυγὴν τὴν ἐξ Ἀθηνῶν καὶ τὴν εἰς Αἴγυπτον ἄφιξιν τοῦ Φαληρέως, χάριν συντομίας, ὑπερπηδήσας τὸν ἐν τῷ μεταξὺ χρόνον τῆς Θήβησιν αὐτοῦ διατριβῆς καὶ τὸν θάνατον τοῦ Κασσάνδρου (βλ. ὄπισθ. Κεφ. Δ. §. ϛ.). Πολλῷ δὴ πιθανώτερον ἐπέτεμε τὸν λόγον ὁ Ἕρμιππος, μήτε χρονολογῶν, καὶ πρᾶγμα ποιῶν σύνηθες πολλάκις καὶ παρ᾽ ἄλλοις ἱστορικοῖς. Μὴ γὰρ οὐκ ἀπεσιώπησε καὶ ὁ Πλούταρχος ἄλλα τε ἄλλων ἐν τοῖς βίοις, καὶ τὴν αὐτοῦ τοῦ Φαληρέως (ὡς καὶ σὺ παρετήρησας) ἐκ τῶν Θηβῶν εἰς Αἴγυπτον ἀναχώρησιν; Ὁ δὲ Στράβων πάλιν, τὴν ἐξ Ἀθηνῶν εἰς Θήβας παραπομπὴν αὐτοῦ καὶ διατριβήν; Καὶ οὗτοι δὲ καὶ ἄλλοι, τὸν ἐκ τοῦ Θρᾳκῶν βασιλέως ἔσχατον αὐτοῦ κίνδυνον (ὃν ἔγραψεν ὁ Πολύαινος); Καὶ αὐτὸς δὲ, τέλος, ὁ Λαέρτιος καὶ τοῦτο καὶ ἄλλα τοσαῦτα τῆς τοῦ Δημητρίου ζωῆς περιστατικὰ, συντόμως βιογραφῶν; Διῆγε λοιπὸν ὁ Δημήτριος ἀθυμότερον *(ὁπωσοῦν ἀθύμως)* ἐν τῇ χώρᾳ (παραφυλαττόμενος). Ἔπειτα δὲ πάλιν ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν, φίλος παρὰ φίλῳ τῷ Φιλαδέλφῳ, τῆς βιβλιοθήκης ἐπιστατῶν (ὡς Ἀριστέας ἱστόρησε· τὰ δὲ κατὰ τὸν Ἕρμιππον περιστατικὰ τοῦ Φαληρέως παρέλιπεν οὗτος, ὡς μηδὲν αὐτῷ συμβάλλοντα πρὸς τὸν σκοπὸν τῆς ἱστορίας· οὐδὲ γὰρ ἐβιογράφει τὸν Δημήτριον ὁ Ἀριστέας). Καί ποτε χρόνου πάλιν ἐξῆλθεν *εἰς τὴν χώραν* ὁ σοφώτατος Φαληρεὺς, οὔτε παραφυλαττόμενος, οὔτ᾽ ἐξόριστος, ἀλλὰ περιηγούμενος φιλοσοφῶν, καὶ φυσιολογῶν, ἢ καὶ ἀστρονομῶν, ὡς ἄξιος ἀξίου διδασκάλου μαθητὴς, τοῦ Θεοφράστου, τοῦ μεταξὺ μυρίων ἄλλων, καὶ ἀστρολογικὴν

συγγράψαντος ἱστορίαν (Λαέρτ. Ε, β, 13). Ὅθεν καὶ *Δημητρίου σκοπαὶ* μνημονεύονται παρὰ τῷ Στράβωνι (ιζ, 771) κατ' αὐτὰς τὰς πρὸς τὴν Ἀραβίαν ἐσχατιὰς τῆς Αἰγύπτου (ὡς κἀκεῖ δηλονότι τοῦ Δημητρίου, τούτου δὴ *τοῦ Φαληρέως*, χάριν ἱστορίας ἀφικομένου· βλ. Δεμάγιστρον σελ. 478). Τοιαῦται δὲ καὶ τοῦ Εὐδόξου *σκοπαὶ*, ἀλλαχοῦ τε κείμεναι καὶ πρὸ τῆς Ἡλιουπόλεως, «καθ' ἃς ἐσημειοῦτο ἐκεῖνος τῶν οὐρανίων σωμάτων τινὰς κινήσεις» (Στράβ. ιζ. 806). Ἀλλὰ καὶ εἰς τὰς Θήβας τὰς ἑκατονταπύλους (τὴν μεγάλην Διὸς πόλιν), καὶ κατ' αὐτὴν δὲ τὴν Ἡλιούπολιν ἄσμενος πάντως μετὰ τῶν Αἰγυπτίων ἱερογραμματέων συνδιέτριβεν ὁ Φαληρεὺς «*ἐν ταῖς ἐκεῖ Πλάτωνος καὶ Εὐδόξου διατριβαῖς*» ἱστορῶν τινα φιλόσοφα θεωρήματα καὶ αὐτὸς, καθὼς ἐκεῖνοι (Στράβ. αὐτ.), ἢ καὶ διερευνῶν τὰ κατὰ τὴν Διόσπολιν τηρούμενα ποικίλα ὑπομνήματα (καθὼς ὕστερον ὁ Ἐρατοσθένης) (α). Ἐκεῖθεν δὲ ἄρα παρὰ τὴν μικρὰν κατέβη Διόσπολιν, καὶ εἰς Βούσιριν ἦλθεν (ἔνθα καὶ γενέθλη καὶ τάφος Ὀσίριδος. Πλούταρχ. π. Ἴσιδ.) πανηγυρίζων, ἴσως, κατὰ τὸ μέγιστον ἐκεῖ τῆς Ἴσιδος ἱερὸν (β), καὶ τ' ἄλλα τὰ κατὰ τὸν Βουσιρίτην νομὸν ἱστορῶν, ἀκίνδυνος καὶ ἀσφαλὴς, ὅσον ἐκ τῶν Βουσιριτῶν· ὡς μήτε τούτων σφόδρα μισοξένων (ὡς ᾄδεται) γενομένων (Στράβ. ιζ, 802), μήτ' αὐτὸς ὁ Φαληρεὺς σαλπιγκτής τις ὢν, ἢ Ναυκρατίτης αὐλητὴς, οὓς ἐμίσουν οἱ Βουσιρῖται (γ), ἀλλ' ἔνδοξος τῶν βασιλέων φίλος, καὶ μουσῶν θεράπων λογιώτατος. Καί ποτε (κατὰ τὸν Βουσιρίτην τοῦτον νομὸν), *Καὶ ποθ' ὑπνώττων, ὑπ' ἀσπί-*

(α) Συγκέλ. Χρονογραφ. σελ. 279, καὶ 171. ἐκδ. Bon.

(β) Ἡρόδ. β, 59: Στέφ. Βυζ. λ. Βούσιρ.— Τὸ δὲ Βούσιρις ὄνομα, ἄλλως παρ' ἄλλοις μυθολογούμενον, φαίνεται τὸ αὐτὸ καὶ τὸ Αἰγυπτιακὸν Π ο υ σ ί ρ ι (καὶ νῦν Ἀραβικ. **Abusir**)· ἐκ τοῦ πι (ἄρθρου = ὁ) καὶ Ὄ σ ι ρ ι ς· βλ. τοῦ σοφοῦ καὶ περικλεοῦς Οἰκουμενικοῦ Πατριάρχου, Κωνσταντίου τοῦ Α, τὰ Α ἰ γ υ π τ ι α κ ὰ, σελ. 424.

(γ) «Βουσιρῖται Ναυκρατίταις ἐγκαλοῦσιν, ὅτι χρῶνται τοῖς ὀνείοις ὀστέοις εἰς αὐλόν· ἐκείνοις δὲ (τοῖς Βουσιρίταις) καὶ σάλπιγγος ἀκούειν ἀθέμιτον, ὡς ὄνῳ φθεγγομένης ὅμοιον· ὄνον δὲ ὑπ' Αἰγυπτίων ἴστε δήπου διὰ Τυφῶνα προπηλακιζόμενον». Πλούταρχ. Ἐπτ. Σοφ. Συμπόσ. σελ. 572. τόμ. 6. R.

δος τὴν χεῖρα δηχθεὶς τὸν βίον μετήλλαξε, καὶ θάπτεται πλησίον Διοσπόλεως ». Νύκτα δὲ κοιμώμενον, ἢ μεσημβριάζοντα

« Ἀνεῖλεν ἀσπὶς τὸν σοφὸν Δημήτριον » (Λαέρ. Ε. ε),

τοῦτο μαντεύσουσιν οἱ Σκαλιγήρειοι εὐτυχέστερον, παρ' ὅσον ἡρμήνευσαν τὸ τοῦ Ἑρμίππου χωρίον, ἀντεξανιστάντες ἄκοντα, μηδ' ἀντιλέγοντα μηδὲν, τὸν Σμυρναῖον ἱστορικὸν ἐναντίον Ἀριστέου. Ἡμεῖς δὲ μόνον ἓν ἔτι θαῤῥούντως ὑπενθυμίζομεν τοὺς περὶ τὸν Ὄδιον. Μεταξὺ τῶν ἄλλων μαρτύρων, ὅσους ἐπιφέρουσιν ἀποδεικνύοντες τὸν Ἕρμιππον εἶναι τὸν Σμυρναῖον ἱστορικὸν, ἀριθμοῦσιν ἀσμένως καὶ τὸν Ἰώσηππον. Καὶ ὅμως ὁ Ἀρχαιολόγος οὗτος οὐδὲν εὗρε τὸν Ἕρμιππον ἀντιλέγοντα πρὸς ὃν καὶ αὐτὸς ἀντέγραψεν Ἀριστέα (εἰ δ' ἀντέλεγε, πάντως ἂν ἐξήλεγχε τὴν ἀντιλογίαν ὁ φιλόπατρις Ἰώσηππος)· πᾶν δὲ τοὐναντίον, ἐπαινεῖ τὸν Ἕρμιππον « ὡς ἄνδρα περὶ πᾶσαν ἱστορίαν ἐπιμελῆ » (α). Ἐπειδὴ δὲ (καθὼς νομίζομεν) κατενόει τὸν Σμυρναῖον ἱστορικὸν ὁ Ἰουδαῖος ἀρχαιολόγος ἐπίσης ἀκριβῶς, ὅσον καὶ ὁ Βαταυὸς Σκαλίγηρος (ἴσως δέ τι καὶ ἀκριβέστερον, ὡς ἔχων ἀνὰ χεῖρας ὁλοκλήρους τότε σωζομένας αὐτὰς τοῦ Ἑρμίππου τὰς συγγραφὰς, ὧν σμικρὸν ἀπόσπασμα παρὰ τῷ Λαερτίῳ ὁ Σκαλίγηρος εὑρὼν ἥρπασε, θερμῆς ἀντιλογίας ζώπυρον), κείσθω δὴ καὶ Ἰώσηππος μαρτυρῶν, ὅτι ὁ Ἕρμιππος οὐδὲν οὐδόλως ἀντιλέγει πρὸς Ἀριστέα.

§. ζ'. Ε.) Ἀλλ' ἔστω, δῶμεν πρὸς ὥραν τοῖς σοφοῖς, ὅτι ἀντιφάσκει πρὸς Ἀριστέα περὶ τοῦ Φαληρέως περιφανῶς καὶ ἀδιαλλάκτως. Ἀλλ' ὁ Ἕρμιππος οὗτος, ὁ σοφὸς καὶ πολυΐστωρ, εἴτε Βηρύτιος εἴτε Σμυρναῖος, ἱστοριογράφος, ἀντιφάσκει περὶ τοῦ Φαληρέως καὶ πρὸς ἄλλον ἑαυτοῦ παλαιότερον ἱστορικὸν, τὸν Ἡρακλείδην· καὶ ταύτην τὴν ἀντίφασιν ὑπεσήμανε καὶ αὐτὸς ὁ Λαέρτιος, ὡς προείδομεν (§. β.). Ἀντιφάσκει δὲ καὶ πρὸς τὸν Σικελιώτην Διόδωρον (κατὰ τὴν Οὐοσσίου παρατήρησιν), καὶ περὶ τὸν Ἀντίγονον παρεχρόνισε (κεφ. δ. §. ε. κτλ.). Ὁ Ἕρμιππος ἀντιφάσκει καὶ πρὸς τὸν Κικέρωνα. Πολλάκις ὁ Ῥωμαῖος οὗτος Δημο-

(α) Ἰώσηπ. κατὰ Ἀπίων. Α. §. κϐ. σελ. 453. Haverc.

σθένης μνημονεύει τὸν Φαληρέα μετ᾽ εὐφημίας ὡς πρωτεύσαντα « τῇ τε περὶ τὴν παιδείαν σπουδῇ, καὶ τῇ τῆς πόλεως διοικήσει » (α). Ἅπαξ δέ που τῶν συγγραμμάτων ὑπέρ τινος ἀνδρὸς Ῥωμαίου, Ῥαβιρίου τοῦ Ποστούμου, ἀπολογούμενος (κατηγορηθέντος πρὸς Ῥωμαίους ὑπὸ τοῦ τότε τῆς Αἰγύπτου βασιλεύοντος Πτολεμαίου τοῦ Αὐλητοῦ), καὶ τὸν ἔλεον τῶν δικαστῶν ἐπισπώμενος, μνημονεύει πρῶτον ἄλλους τε σοφοὺς δυστυχίᾳ παρ᾽ ἡγεμόσι περιπεσόντας (οἷον τὸν Πλάτωνα παρὰ τῷ τυράννῳ τῆς Σικελίας Διονυσίῳ, καὶ τὸν Καλλισθένη παρὰ τῷ μεγάλῳ Ἀλεξάνδρῳ), καὶ ἔπειτα συνάπτει καὶ περὶ τῆς τελευτῆς τοῦ Φαληρέως τὰ ἐφεξῆς· « Δημήτριον (παρελάβομεν), τὸν ἀπό τε τῆς Ἀθηναίων πολιτείας, ἣν ἄριστα διῴκησεν, ἀπό τε σοφίας ἐπίσημον καὶ λαμπρὸν, ὃς ἐπεκαλεῖτο Φαληρεὺς, *ἐν αὐτῷ τούτῳ τῷ βασιλείῳ τῆς Αἰγύπτου, ἀσπίδος τῷ σώματι προσφύσης, στερηθῆναι τοῦ βίου* » (α).

(α) Cicer. de Legib. III. c. 6. p. 557. vol. iv. ed. Orellij. Turici. 1828.

(β) Sed ego in hoc tamen Postumo non ignoscam, homini mediocriter docto, in quo videam sapientissimos homines esse lapsos? Virum unum totius Graeciae facile doctissimum, Platonem, iniquitate Dionysij, Siciliae tyranni, cui se ille commisserat, in maximis periculis, insidiis que esse versatum accepimus: Callisthenem, doctum honinem, comitem magni Alexandri, ab Alexandro necatum· Demetrium, et ex republica Athenis [quam optime digesserat], et ex doctrina nobilem et clarum, qui Phalereus vocitatus est, in eodem isto Aegypti Regno, aspide ad corpus admota, vita esse privatum ». Cicer. pro C. Rabir. Postum. cap. IX. pag. 409. vol. 2. ed. Orell. Καὶ σημείωσαι τὴν δριμύτητα καὶ σύνεσιν τοῦ ῥήτορος. Τὸν μὲν Διονύσιον καὶ τὸν Ἀλέξανδρον διαῤῥήδην ἀνέφερεν ἐξ ὀνόματος, ὡς κακώσαντας τὸν Πλάτωνα καὶ τὸν Καλλισθένην. Ἐπὶ δὲ τοῦ Φαληρέως, μηδόλως ἔχων ἀποδεῖξαι μήτε τὸν Σωτῆρα, μήτε τὸν Φιλάδελφον Πτολεμαῖον, μισήσαντας ἢ βλάψαντας τὸν παρ᾽ αὐτοῖς ἀείποτε τίμιον καὶ φίλον διατελέσαντα Δημήτριον, ἀποῤῥίπτει τῆς τούτου τελευτῆς τὴν αἰτίαν καὶ μομφὴν εἰς τὸ βασίλειον τῆς Αἰγύπτου καὶ τὴν ἀσπίδα. Εἰ δ᾽ ἐπίστευεν ὁ Κικέρων (κατὰ τὸν Ἑρμίππου λόγον) τὸν Φιλάδελφον τιμωρὸν τοῦ Δημητρίου γεγονότα, πολύ γ᾽ ἂν πρὸ τῶν ἄλλων βασιλέων τοῦτον ὁ ῥήτωρ ὠνόμαζεν, ὡς πρόγονον δηλονότι τοῦ (καθ᾽ οὗ τῷ Ποστούμῳ συνηγόρευεν) Αὐλητοῦ, οὐδ᾽ ἂν ἐμέλλησεν ὀνειδίσαι τὸν Αὐλητὴν ὡς γενέθλιον κληρονομήσαντα κῆρα, καὶ νόσημα προγονικὸν, τὸ πρὸς τοὺς ἐνδόξους ἄνδρας μῖσος (Βλ. καὶ Demagistr. pag. 478. πρβλ. καὶ ὄπισθ. σελ. 101 καὶ 105 σημ.).

Ἐν τούτοις οὖν ὁ Κικέρων οὔτε διωκόμενον ὑπὸ τοῦ Φιλαδέλφου γνωρίζει τὸν Φαληρέα, οὔτε παραφυλαττόμενον ἐν τῇ χώρᾳ, καθὼς ἱστόρησεν ὁ Ἕρμιππος (ἔλεγε δ᾽ ἂν ταῦτα πάντως ὁ ῥήτωρ, εἴ περ ἐνόμιζεν ἀληθινὴν τὴν δυσπραγίαν τοῦ Φαληρέως, ὡς ἐλεεινὰ καὶ χρήσιμα πρὸς τὸν τοῦ λόγου σκοπὸν), ἁπλῶς δὲ μόνον ἐμνημόνευσε τὸν ἐν τῷ βασιλείῳ τῆς Αἰγύπτου θάνατον αὐτοῦ, δηχθέντος ὑπ᾽ ἀσπίδος (α). Ὁ Ἕρμιππος ἀντιφάσκει καὶ πρὸς ἄλλον ἀρχαῖον καὶ ἀνώνυμον ἱστορικὸν παρὰ τῷ Σουΐδᾳ (λ. Δημήτριος), λέγοντα ταῦτα· « Δημήτριος ἐξελαθεὶς ὑπὸ τῶν Ἀθηναίων ἦλθεν

(α) Ὡς ἀντιφάσκοντα πρὸς τὸν Λαέρτιον (τουτ. πρὸς τὸν Ἕρμιππον) παρίστησι τὸν Κικέρωνα καὶ Βοδέριος (Wower. Syntagm. c. 3. p. 36). Καὶ ἀλλαχοῦ δὲ πάλιν ὁ Κικέρων (καί τοι τοῦ λόγου προφανῶς ἀπαιτοῦντος), ἀπεσιώπησε τὴν παρὰ τοῦ Φιλαδέλφου λεγομένην βλάβην τοῦ Φαληρέως. Ἰδοὺ κἀκείνη τοῦ ῥήτορος ἡ περικοπή. « Itaque multi, quum in potestate essent hostium, aut tyrannorum, multi in custodia, multi in exilio, dolorem suum doctrinae studiis levaverunt. Princeps hujus civitatis (Athenarum) Phalereus Demetrius, quum patria pulsus esset injuria, ad Ptolemaeum se regem Alexandriam contulit. Qui quum in hac ipsa philosophia, ad quam te hortamur, excelleret, Theophrasti que esset auditor; multa praeclara in illo calamitoso otio scripsit, non ad usum aliquem suum, quo erat orbatus: sed animi cultus ille erat ei quasi quidam humanitatis cibus. (Cicer. de Finib. Libr. V. c. 19 pag. 205. vol. 4. ed. Orellij) τουτέστι. « Τοιγάρ τοι πολλοὶ μὲν ὑπεξούσιοι πολεμίοις ἢ τυράννοις γεγονότες, πολλοὶ δὲ καθ᾽ εἱρκτὴν, πολλοὶ δὲ καὶ ἐν φυγῇ, τοῖς περὶ τὴν σοφίαν σπουδάσμασιν ἀνεκούφιζον τὴν ὀδύνην. Δημήτριος ὁ τῆς Ἀθηναίων πόλεως ἄρχων, ὁ Φαληρεὺς, ἀδίκως ἐκπεσὼν τῆς πατρίδος, εἰς Ἀλεξάνδρειαν ἀφίκετο παρὰ τὸν βασιλέα Πτολεμαῖον. Ἐπειδὴ δὲ περὶ ταύτην τὴν (πολιτικὴν) φιλοσοφίαν, πρὸς ἣν καὶ σὲ παρορμῶμεν, ἐξόχως διέπρεπε, Θεοφράστου γενόμενος ἀκουστὴς, πολλὰ συνέγραψε καὶ λαμπρὰ κατ᾽ ἐκείνην τὴν ὀϊζυρὰν σχολὴν » (τὴν ἀπὸ τῆς Ἀθηναίων δηλαδὴ πολιτείας, ἀφ᾽ ἧς ἐξέπεσε. πρβλ. καὶ Valckenaer. de Aristob. p. 56), « οὐ πρὸς χρῆσιν ἰδίαν, ἧς ἀπεστέρητο » (ὡς ἤδη ἰδιωτεύων), « ἀλλ᾽ ἔχων ἐκείνην τῆς διανοίας τὴν ἄσκησιν οἱονεί τινα τροφὴν ἀνθρωπισμοῦ ».—Ταύτης τῆς Κικερωνείου περικοπῆς μνημονεύει καὶ ὁ Βανδάλης (σελ. 26), τί βουλόμενος καὶ τί ἀποδεικνύων; ὅτι (φησὶ) τὴν ὑπὸ τοῦ Φιλαδέλφου ἐξορίαν τοῦ Φαληρέως ᾐνίττετο δῆθεν καὶ ὁ Κικέρων διά τε « τῆς ὀϊζυρᾶς σχολῆς », καὶ τῆς « ἧς ἀπεστέρητο χρήσεως »! διὸ καὶ γράφει πάλιν ὁ Βανδάλης τὰς λέξεις ταύτας τὰς λατινικὰς, γράμμασι μὲν μεγάλοις καὶ κεφαλαίοις, νῷ δὲ κεφαλῆς μικρῷ.

εἰς Αἴγυπτον. Καὶ παρὰ τῷ Σωτῆρι Πτολεμαίῳ διατρίβων, δηχθεὶς ὑπ' ἀσπίδος, ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον τῆς Διοσπόλεως, τῆς ἐν τοῖς Ἕλεσι ». Καὶ ἴσως μὲν ὁ ἱστορικὸς οὗτος συνέχεε τὸν Σωτῆρα πρὸς τὸν Φιλάδελφον Πτολεμαῖον, ἐφ' οὗ βασιλεύοντος ἀπέθανεν ὁ Φαληρεύς· ἴσως δὲ καὶ λίαν συντόμως εἰπὼν τὴν τοῦ Φαληρέως παρὰ τῷ Σωτῆρι (πρὸς ὃν τὸ πρῶτον κατέφυγε) διατριβήν, ἔπειτα πάντα τὰ ἐν μέσῳ παραδραμὼν ἔγραψε μόνον τὸ εἶδος τῆς αὐτοῦ τελευτῆς καὶ τὸν τόπον τῆς ταφῆς. Ἀλλ' ὁποτέρως ἂν ἔχῃ τὸ πρᾶγμα, ἠγνόει ἄρα καὶ οὗτος ὁ ἱστορικός, ἢ κατεφρόνει ὡς μῦθον τὴν (κατὰ τὸν Ἕρμιππον) ὑπὸ τοῦ Πτολεμαίου καταδρομὴν τοῦ Φαληρέως, ἀκατακρίτως αὐτὸν ἀποθανόντα παριστῶν, καὶ οὐχ ὡς ἐξόριστον καὶ φυγάδα. Καὶ πρὸς τούτους μὲν ὁ Ἕρμιππος τοιαῦτα περὶ τοῦ Δημητρίου διαφωνεῖ· πρὸς ἄλλους δὲ περὶ ἄλλων ὁποῖα καὶ πόσα! Ἰδοὺ καὶ τούτων ὀλίγα δείγματα.

Ὁ Ἕρμιππος ἱστορεῖ τὸν Ζήνωνος τοῦ Ἐλεάτου θάνατον πάντῃ διαφόρως παρὰ τὸν Ἡρακλείδην, καὶ ἄλλους ἱστορικούς (Λαέρτ. Θ, ε, 5). Ὁ δ' αὐτὸς κᾀκεῖνο τὸ περίφημον γνωμάτευμα, τό, « τριῶν ἕνεκα χάριν ἔχειν τῇ τύχῃ » κτλ. ἀναφέρει εἰς τὸν Θαλῆν, ὅπερ ἄλλοι κοινῶς ἀπονέμουσιν εἰς Σωκράτην. Καὶ τὴν Ἀναξαγόρου δὲ καταδίκην κατ' ἄλλον μὲν τρόπον ὁ Ἕρμιππος διηγεῖται, κατ' ἄλλον δὲ πάλιν Ἱερώνυμος ὁ ἱστοριογράφος (Λαέρ. Β, γ, 9). Ἄλλην αἰτίαν ἀπέδωκαν ἄλλοι, δι' ἣν ὁ Ἀριστοτέλης προσηγορεύθη περιπατητικός, ἄλλην δ' εἶπεν Ἕρμιππος (Αὐτ. Ε, α, 4). Κατὰ τὸν Ἕρμιππον, ὁ Μενέδημος, ἐπίσημος Ἐρετριεὺς φιλόσοφος, ἐν Ὠρωπῷ διατρίβων, ἐν τῷ τοῦ Ἀμφιαράου ἱερῷ, χρυσῶν ἐν αὐτῷ ποτηρίων ἀπολομένων, ἐκελεύσθη δόγματι κοινῷ τῶν Βοιωτῶν ἀναχωρῆσαι εἰς ἄλλον τόπον· ὅθεν καὶ ἀπέθανεν ἐξ ἀθυμίας. Ἀλλ' ὁ Ἡρακλείδης καὶ Ἀντίγονος ὁ Καρύστιος πᾶν τοὐναντίον ἱστοροῦσι περὶ τοῦ Μενεδήμου (Αὐτ. Β, ιη, 17). Ὁ Ἕρμιππος ἔγραψε περὶ τοῦ Πλάτωνος ὅτι ἐτελεύτησεν ἐν γάμοις δειπνῶν, ζήσας ἔτος ἓν πρὸς τοῖς 80 (Αὐτ. Γ. α, 2), ὁ δὲ Κικέρων, ὅτι ἀπέθανε γράφων

ἐν τῇ οἰκίᾳ (α)· καὶ Νεάνθης ὁ Κυζικηνὸς (τῷ Φιλαδέλφῳ σύγχρονος), ὅτι ἔζησεν ὁ φιλόσοφος ἔτη 84 (Αὐτ. Γ, α, 2). τοῦ Νεάνθους τὴν γνώμην ἐπικυροῖ καὶ ὁ Μενάγιος (β). Τὸν Ἡρακλείδου θάνατον ὁ Ἕρμιππος ἀνέγραψε τερατώδη καὶ μυθιστορικόν· ὁ δὲ Δημήτριος ὁ Μάγνης, καὶ ὁ Ἱππόβοτος, φυσικώτερον καὶ πάντῃ διάφορον, τούτοις δὲ καὶ Λαέρτιος συναινεῖ (Ε, ς, 6). Ὁ Ἕρμιππος ἱστόρησε τὸν Χρύσιππον, ἐπὶ θυσίας γλυκὺν ἄκρατον πιόντα καὶ ἰλιγγιάσαντα, πέμπτην ὕστερον ἡμέραν ἀποθανεῖν. Ἄλλοι δὲ, ὅτι ἐτελεύτησε παρευθὺς, ὑπὸ σφοδροῦ γέλωτος· « Ὄνου γὰρ τὰ σῦκα αὐτῷ φαγόντος » (ἐν τῇ οἰκίᾳ), « δὸς (εἶπε πρὸς τὴν γραῖαν ὑπηρέτιν), δὸς καὶ ἄκρατον τῷ ὄνῳ ἐπιῤῥοφῆσαι· καὶ ὑπερκαγχάσας ἐτελεύτησε » (Λαέρ. Ζ, ζ, 7). Καὶ τὸν Πυθαγόραν ὁ Ἕρμιππος ἱστόρησεν ὅτι ἀπέθανεν ἐν Σικελίᾳ, ὑπὸ Συρακουσίων ἀναιρεθείς. Ἡρακλείδης δὲ καὶ Σάτυρος (οὗτινος τῶν βίων ἐπιτομὴν ἔγραψεν ὁ Ἡρακλείδης) καὶ Δικαίαρχος ἔγραψαν τὸν φιλόσοφον οὐκ ἐν Σικελίᾳ ἀλλ᾽ ἐν Ἰταλίᾳ, κατὰ τὸ Μεταπόντιον, ἀσιτίᾳ καταστρέψαι τὸν βίον, μὴ βουλόμενον περαιτέρω ζῆν (Λαέρ. Η. α, 21)· καὶ ἄλλοι δὲ κατὰ τὴν Ἰταλίαν λέγουσι τελευτῆσαι Ποθαγόραν, καὶ ἄλλως διαφωνοῦσι περὶ τοῦ τρόπου τῆς τελευτῆς (Αὐτ. αὐτόθ.). Ἀλλὰ μακροὶ γινόμεθα, καὶ τοῖς ἀναγνώσταις ἴσως ὀχληροὶ, καταλέγοντες τὰς Ἑρμίππου πρὸς πολλοὺς καὶ ἀγαθοὺς περὶ πολλῶν ἀντιλογίας, ποικίλας οὔσας καὶ συχνάς (γ). Τοῦ γοῦν τοιούτου ἱστορικοῦ τὴν περὶ τοῦ Φαληρέως μαρτυρίαν πῶς ἄν τις ἀποδέξαιτο κυρίαν καὶ βεβαίαν καὶ πάντῃ πάντως ἀσφαλῆ; Καὶ ὑπάρχουσι μὲν, ὁμολογοῦμεν, ἱστορικαί τινες ἀντιφάσεις καὶ μεταξὺ τῶν ἐνδοξοτάτων τῆς ἀρχαιότητος συγγραφέων, ἐνίοτε πρὸς ἀλλήλους διαφωνούντων ἄλλα τε, καὶ μάλιστα περὶ τοῦ θανάτου τῶν μεγάλων ἀνδρῶν, οὕς τινες πολλάκις τραγικώτερον καὶ ῥητο-

---

(α) Cicer. de Senectute. — (β) Menag. εἰς Λαέρτ. αὐτόθ.

(γ) Λαέρτ. Η, β, 2 : ζ, 4. Θ, α. §. 3. Ι. § 2. κτλ. Καὶ Ἀθην. βιβλ. Β. 58. πρβλ. Vindication of the history etc. pag. 58—60.

ρικῶς ἐπικοσμοῦσιν (α)· ὅθεν καὶ ὁ Κικέρων τὰς τοιαύτας ὑπερβολὰς ἐκσυρίττων ἐκ τῆς ἱστορικῆς ἀληθείας, εἰς τὸ τοῦ θεάτρου λογεῖον καὶ τὴν ὀρχήστραν ἀποστέλλει, τὰς τῶν ἐπισημοτέρων γνώμας δηλονότι καὶ συμφωνοτέρας προτιμῶν (β). Ἀλλ᾽ ὅταν εἷς τις, ὡς ὁ Ἕρμιππος, πολλάκις πρὸς πολλοὺς καὶ περὶ πολλῶν ἀντιλέγῃ, καί ποτε καὶ ἀπίθανα τερατοποιῇ (ὡς τὰ κατὰ τὸν Ἡρακλείδου θάνατον), πῶς λοιπὸν οἱ Σκαλιγήρειοι προβάλλουσι τὸν τοιοῦτον ὡς ἄπτωτον καὶ *νημερτῆ*, καὶ οἷον ἐκ τρίποδος ἀτρεκῶς ἀποθεσπίζοντα τἀναντία πρὸς Ἀριστέα; Μὴ γὰρ οὐχ᾽ ὑπέκειτο καὶ Ἕρμιππος εἰς τὰς ἀπατηλὰς τῆς φήμης ἐξαγγελίας, καὶ πολλῶν ψευδῶς πεπιστευμένων τὰ περιαδόμενα θρυλλήματα; «Πολλά γε (ἔλεγεν ἐκεῖνος ὁ τῶν ἑπτὰ σοφῶν ἄξιος συνδαιτυμὼν Αἰγύπτιος, παρὰ Πλουτάρ. Συμπ.), πολλά γε, ὦ Διόκλεις, πιστεύεται ψευδῶς· καὶ χαίρουσιν οἱ πολλοὶ λόγους ἀνεπιτηδείους περὶ σοφῶν ἀνδρῶν αὐτοί τε πλάττοντες, καὶ δεχόμενοι παρ᾽ ἑτέρων ἕτοιμοι· οἷα καὶ πρὸς ἡμᾶς εἰς Αἴγυπτον ἀπηγγέλη περὶ Χίλωνος, ὡς ἄρα διαλύσαιτο τὴν πρὸς Σόλωνα φιλίαν καὶ ξενίαν, ὅτι τοὺς νόμους ὁ Σόλων

(α) Οἷον· Θεμιστοκλῆν τὸν Ἀθηναῖον ὁ μὲν Θουκυδίδης, ὁ Ἀθηναῖος, καὶ μικρῷ Θεμιστοκλέους μεταγενέστερος, ἱστόρησε νοσήσαντα (ὡς δὲ λέγουσί τινες, φάρμακον λαβόντα) τελευτῆσαι τὸν βίον, καὶ τούτου τὰ ὀστᾶ ταφῆναι κ ρ ύ φ α τ ῶ ν Ἀ θ η-ν α ί ω ν ἐν τῇ Ἀττικῇ (Θουκυδ. Α. 138). Κλειτόμαχος δὲ καὶ Στρατοκλῆς (παρὰ Κικέρωνι de clar. Oratorib.) τραγικώτερον εἶπον, « αἷμα ταύρειον πιόντα » τελευτῆσαι τὸν Θεμιστοκλῆν. τοῦτο δὲ κατ᾽ ἄλλας διαφορὰς καὶ Πλούταρχος ἐμνημόνευσε (Θεμιστ. §. λα, λβ. πρβλ. Παυσαν. Α. α, 2. Corn. Nep. Themist. §. 10 καὶ σχολ.). Καὶ τὸν Ἀλεξάνδρου τοῦ Μεγάλου θάνατον ἄλλοι ἄλλως διέγραψαν (Πλούταρχ. Ἀλεξ. §. οζ). Τὸν δὲ Περσαῖον, Ζήνωνος τοῦ Κιτιέως μαθητὴν, καὶ τοῦ Φαληρέως σχεδὸν σύγχρονον, ἔγραψαν ὑπ᾽ Ἀράτου τοῦ Σικυωνίου φονευθῆναι κατὰ τὸν Ἀκροκόρινθον, ὃν ἐφρούρει (Παυσαν. Ζ, η. §. 1). Ἀλλ᾽ οὗτος, κατ᾽ ἄλλους, μόνον ἐξηλάθη καὶ τῆς ἄκρας καὶ αὐτῆς τῆς Κορίνθου, διαφυγὼν (Πλούταρχ. Ἀράτ. §. κγ. Ἀθην. Δ. 162). Περὶ τοῦ Σωτάδου προείπομεν ἀνωτέρω (§ ς. σημ.). Ἄλλα πάμπολλα καὶ Ἑλλήνων καὶ Ρωμαίων (οἷον τοῦ Κοριολάνου καὶ Ἀτιλίου κτλ.) παραδείγματα παραλείπομεν.

(β) Cicer ubi supr. πρβλ. Palmer. Exercitat. ad. Appian. p. 151: Cleric. comp. Hist. p. 67: Demagistr. l. c. pag. 478, 479.

ἔφη μετακινητέου εἶναι ». Οὐκ ἠδύναντο ἄρα παρομοίως καὶ ἐξ Αἰγύπτου πρὸς τοὺς Ἕλληνας, ἀλλαχοῦ τε τῆς Ἑλλάδος καὶ εἰς τὴν Σμύρνην, ἀπαγγελθῆναι τοιαῦτα ψεύδη περὶ διαλύσεως τῆς τοῦ Φιλαδέλφου πρὸς τὸν Φαληρέα ξενίας τε καὶ φιλίας; Ἱδρῶτι πολλῷ περιῤῥεόμενος ὁ Ὅδιος ἀπεδείκνυεν ἀνωτέρω τοῦτον δὴ τὸν Ἕρμιππον οὐχ ἕτερον ὄντα πάντως, εἰ μὴ τὸν Σμυρναῖον (οἷόν τινα Φοῖβον, ἢ καὶ ἄλλον Μέλητος υἱὸν ἐπισείων ἡμῖν τὸν ἱστορικόν)· ἀλλὰ τοιοῦτόν τινα Ἕρμιππον, τὴν πατρίδα Βαταυὸν, εὗρε καὶ αὐτὸς ὁ σοφὸς ἐξαίφνης εἰς ἑαυτὸν πειραθείς! τίνα τοῦτον καὶ ποῖον; αὐτὸν ἐκεῖνον (πρᾶγμα παράδοξον) αὐτότατον τὸν ἑαυτοῦ συνήγορον καὶ ὁμόφρονα Βανδάλην. Ζῶντα καὶ διδάσκοντα ἐν Ὀξωνίῳ, καὶ συγγράφοντα τὸν σοφὸν Ὅδιον, ἐθρήνει κατὰ τὸ Ἀμστελόδαμον ὁ Βανδάλης μεμψιμοιρῶν, ὅτι οὐκ ἔφθασε περατῶσαι τὴν μεγάλην κατ᾽ Ἀριστέου συγγραφὴν, ὑπὸ θανάτου προαρπαγείς (α)! ἀλλὰ τοὺς Βανδαλείους ὀλοφυρμοὺς διεδέξατο κατόπιν γέλως πλατὺς, διότι μετ᾽ ὀλίγον διεκήρυξεν ὁ Κλέρικος τὸν Βανδάλην ἠπατημένως τοιαῦτα γράψαντα περὶ τοῦ Ὁδίου, ὅστις εἶχεν ἤδη συντετελεσμένον τὸ σύγγραμμα, καὶ διὰ τύπων ἐκδεδομένον, πρὶν ἔτι φανῇ καὶ αὐτὴ ἡ τοῦ Βανδάλου διατριβή (ϐ). Καὶ εὑρέθη ἄρα καὶ ὁ Ὅδιος (ὅσον κατὰ τοῦτο τὸ περιστατικὸν) παρόμοιος τοῦ Φαληρέως (καίτοι κατά τινα πρόθεσιν ἐναντίαν). Ἀμφότεροι διεφημίσθησαν ὡς ἤδη τεθνηκότες, ζῶντες ἀμφότεροι καὶ φιλοπονοῦντες, ὁ μὲν (ὁ Φαληρεὺς) βίβλους γράφων καὶ συνάγων, καὶ ἐπιστατῶν *εἰς τὴν ἑρμηνείαν τῶν Ο*, ὁ δὲ κλεινὸς Ὅδιος, διδάσκων καὶ συγγράφων ἄλλα τε καὶ *κατὰ τῶν Ο!*

(α) « Multa is (Hody) atque egregia protulit : sed dolendum est, ipsum m o r t e p r a e v e n t u m illa non ulterius potuisse pertractare, quae in Aristeam pertractare conceperat. » Van Dale praef. in Dissert. etc.

(ϐ) J. Cleric. Biblioth. Chois. VIII, 371. πρϐλ· καὶ Demagistr. p. 479. φαίνεται δὲ πρότερον μῆνάς τινας πρὸ τῆς Βανδάλου διατριβῆς ἐκδοθεῖσα αὕτη τοῦ Ὁδίου ἡ (πρὸς ἣν ἤδη καὶ ἡμῖν ὁ λόγος) συγγραφὴ (de biblior textib.)· διότι καὶ ταύτης καὶ τῆς τοῦ Βανδάλου διατριβῆς ἡ διὰ τύπων ἔκδοσις χρονολογεῖται κατὰ τὸ ἔτος τὸ αὐτὸ (1705). βλ. ὄπισθ. σελ. 18.

ὁ Κλέρικος προστίθησι καὶ ἄλλον ἄνδρα σοφὸν ψευδῶς φημισθέντα κἀκεῖνον ὡς ἀποθανόντα, Ἀντώνιον τὸν Μαγλαμβέχιον, ἰταλὸν συγγραφέα, *πλήρη* (καθὼς λέγει) ζωῆς. Καὶ, τέλος, συμπεραίνει φρονίμως, « μεθ᾽ οἵας καὶ πόσης βλάβης τῆς ἀληθείας ἀνατρέπεται πολλάκις ὑφ᾽ ἑνός τινος καὶ δύω μαρτύρων ἡ τῶν ἱστορικῶν πραγμάτων σειρά! ». Καὶ τὰ μὲν κατὰ τὸν Ἕρμιππον τοιαῦτα, παραβαλλόμενον πρὸς ἄλλους περὶ τῶν αὐτῶν πραγμάτων ἱστορικούς.

§. ή. ς). Κἂν δὲ τοῦτον παραβάλλωμεν μόνον πρὸς μόνον τὸν Ἀριςέα, πότερος ἆρα τῶν δύω (καθ᾽ ἑαυτὸν θεωρούμενος ἐξ ὧν φέρει γνωρισμάτων) φαίνεται μᾶλλον ἀξιόπιστος; Τὸ ζήτημα πρόκειται γνωστόν. Ἐμεσίτευσεν ἆρα Δημήτριος ὁ Φαληρεὺς πρὸς τὸν Φιλάδελφον βασιλεύοντα; καὶ, τούτου διατάξαντος, ἐφρόντισεν ἆρα περὶ τῆς ὑπὸ τῶν Ο, μεταφράσεως τῶν Γραφῶν, ὡς ἱστόρησεν Ἀριστέας; Ἢ ψεύδεται μὲν οὗτος, ἀληθεύει δὲ μᾶλλον ὁ Ἕρμιππος ἱστορῶν (κατὰ τὴν γνώμην τῶν κριτικῶν), ὅτι τὸν Δημήτριον ἅμα βασιλεύσας ὁ Φιλάδελφος, εὐθὺς ἐξήλασε τῆς Ἀλεξανδρείας εἴς τινα χώραν, ὅπου φυλαττόμενος ἀπέθανε, τέλος, δηχθεὶς ὑπ᾽ ἀσπίδος; Σκεψώμεθα. Ὁ Ἀριστέας α), ἀνὴρ σοφὸς καὶ θεοσεβὴς, καὶ μάλιστα πιστὸς καὶ τίμιος ἐν τῇ αὐλῇ τοῦ Φιλαδέλφου, ὑπῆρξεν ὁ αὐτὸς καὶ μάρτυς αὐτόπτης, τοῖς πεπραγμένοις παρατυχὼν, καὶ τῷ βασιλεῖ περὶ τὴν ἑρμηνείαν ὑπηρετήσας, καὶ τὰ κατ᾽ αὐτὴν αὐτὸς ἱστόρησε συγγράψας κατὰ τὸν χρόνον τὸν αὐτόν. β) Τῆς πρὸς τοὺς Ο, συνδιαλέξεως τοῦ βασιλέως (καὶ ἑπομένως ὅλου τοῦ περὶ τῆς ἑρμηνείας ἱστορήματος) κυρωτικὴν ἀπόδειξιν καὶ πίστωσιν προβάλλεται ὁ Ἀριστέας αὐτὴν τὴν ἐν τοῖς δημοσίοις ἀρχείοις φυλαττομένην ἀναγραφὴν τῶν ἑκάστοτε ὑπὸ τοῦ βασιλέως λαλουμένων καὶ πραττομένων. Περὶ τούτου λέγομεν καὶ ἐν τοῖς ἐφεξῆς πλατύτερον. γ) Τοῦ παρὰ τῷ Ἀριστέᾳ Δημητρίου τοῦ Φαληρέως (ὡς ἐπιστατήσαντος εἰς τὴν ἑρμηνείαν) ἐμνημόνευσεν ὀνομαστὶ καὶ ὁ μόλις 80 ἔτη νεώτερος Ἀριστέου γενόμενος Ἀριστόβουλος (φιλόσοφος ἐπίσημος ἐν Ἀλε-

ξανδρείᾳ καὶ διδάσκαλος τοῦ βασιλέως Πτολεμαίου, τοῦ β. Εὐεργέτου) ἐν ταῖς εἰς τὸν Νόμον τοῦ Μωσέως ἐξηγήσεσιν, ἃς ἐξέδωκε δημοσίως προσφωνήσας πρὸς τὸν βασιλέα τὸν Φιλομήτορα, τρισέγγονον τοῦ Φιλαδέλφου. δ) Φίλων ὁ Ἀλεξανδρεὺς, φιλόσοφος ἀνὴρ καὶ πολιτικὸς, ἐν οἷς ἐδημοσίευσε συγγράμμασι τὴν διὰ τοῦ Φιλαδέλφου τῶν Γραφῶν ἑρμηνείαν ἱστορεῖ συμφωνότατα πρὸς τὸν Ἀριστέα, καί τοι μὴ τὸν Δημήτριον ἐξ ὀνόματος μνημονεύων. ε) Ἰώσηπος ὁ σοφώτατος ἀρχαιολόγος τῶν Ἰουδαίων, καὶ ἐκ γένους ἱερεὺς τοῦ ναοῦ τῶν Ἱεροσολύμων, αὐτὴν τὴν Ἀριστέου ἱστορίαν ὀνομαστὶ συνοψίσας ἐξέδωκεν ἐν τῇ Ἀρχαιολογίᾳ, παῤῥησίᾳ ταύτην κοινοποιῶν εἰς πᾶσαν τὴν οἰκουμένην, τὴν ὑπὸ Ῥωμαίοις τότε διατελοῦσαν (ὡς ὁμολογούμενον δηλονότι καὶ ἀναντίῤῥητον ἱστόρημα, καὶ γνωστὸν καθ᾽ ὅλην τὴν ἔν τε Παλαιστίνῃ καὶ ἐν Αἰγύπτῳ καὶ ἀλλαχοῦ τῆς Οἰκουμένης Συναγωγὴν τῶν Ἰουδαίων). ϛ) Ἰουστῖνος ὁ μάρτυς καὶ φιλόσοφος, διαλεγόμενος καὶ πρὸς Ἰουδαίους καὶ πρὸς τοὺς Ἕλληνας, τὴν αὐτὴν ἐπανέλαβε τῆς μεταφράσεως ἱστορίαν. Παρομοίως δὲ καὶ Εἰρηναῖος, καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς, καὶ ὁ τούτου σύγχρονος Τερτυλλιανὸς, καὶ Εὐσέβιος ὁ ἱστορικὸς, καὶ ἄλλοι μετὰ τούτους ἱεροὶ διδάσκαλοι τῆς Ἐκκλησίας, ἥτις παραλαβοῦσα τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν συμπαρεδέξατο πάντως καὶ τὴν κατ᾽ αὐτὴν ἱστορίαν, ὑπὸ τῶν ἀρχαιοτάτων Πατέρων βεβαίαν διακηρυχθεῖσαν, καθὼς προείπομεν (Κεφ. Β. §. ϛ.) (α). Εἰ δέ τινες τῶν κριτικῶν πάντας τοὺς περὶ

(α) Ὁ σοφὸς Οὐαλκενῆρος ἀρκεῖται καὶ εἰς μόνους τοὺς τρεῖς, τὸν Ἀριστέα καὶ τὸν Ἀριστόβουλον καὶ τὸν Φίλωνα, ἢ καὶ μόνον εἰς τοὺς δύω (ἄν τινες ἀποβάλλωσι, λέγει, τὸν Ἀριστέα), ὡς μάρτυρας τοῦ πράγματος αὐθεντικοὺς, καὶ ὧν ἡ πίστις διαμένει ἀκηλίδωτος καὶ ἀμώμητος. Οὗτοι, λέγει, οἱ δύω μαρτυροῦσιν, ὡς εἰδότες ἀκριβῶς τὰς ἱερὰς τοῦ ἔθνους αὐτῶν βίβλους, ἐξελληνισθείσας ἐπὶ τοῦ Φιλαδέλφου, καὶ προσέτι (καθὼς ὁ Ἀριστόβουλος ὀνομαστὶ προστίθησι) διὰ Δημητρίου τοῦ Φαληρέως (Valcken. de Arist. Jud. p. 54). Κάλλιστα ταῦτα καὶ θαυμαστῶς ὁ κριτικός! Μόνον περὶ τὸν Ἀριστέα φαίνεταί πως πρὸς τοὺς ἐναντίους ἠπιώτερος τοῦ δέοντος καὶ συγκαταβατικός· ἀποδεξάμενος γὰρ τὸν Φίλωνα καὶ τὸν Ἀριστόβουλον ὡς μάρτυρας τῆς ἱστορίας ἀναντιῤῥήτους, ὤφειλεν ὁμολογῆσαι καὶ τὸν Ἀριστέα τοιοῦτον, ὡς τὴν αὐτὴν πραγματευσάμενον ἱστορίαν. Εἰ δὲ καὶ τοῦτον ἔν τισι ψευ-

τῶν Ο, μετὰ τὸν Ἀριστέα μνημονεύσαντας παραγράφουσι τολμηρότερον λέγοντες, ὅτι πάντες οὗτοι δῆθεν ἠρύσαντο τὴν γνώμην ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ, δηλονότι τοῦ Ἀριστέου, ἀλλὰ πρὸς τὴν ἄδικον ταύτην παραγραφὴν ἀπηντήσαμεν καὶ προηγουμένως ἐπιτροχάδην (Κεφ. Δ. §. δ.), καὶ νῦν δὲ πάλιν ἀπαντῶμεν. Πόθεν ἄρα ἐπληροφορήθησαν οἱ ἄνδρες, ὅτι πάντες ἐξ Ἀριστέου μετέλαβον τὴν διήγησιν; Λέγει τοῦτο ῥητῶς ὁ Ἀριστόβουλος; οὐδαμῶς. ὁ δὲ Φίλων; οὐδ' αὐτὸς (τοῦτον μάλιστα καὶ πρεσβύτερον Ἀριστέου θέλουσιν οἱ περὶ τὸν Βανδάλην σοφοί!)· ἀλλ' ὁ Κλήμης;

δόμενον δῆθεν ἐξήλεγξαν ἄνδρες κριτικοί, μήπως οὐκ ἐσυκοφάντησαν οἱ αὐτοὶ παρομοίως, ὡς λογοποιοὺς, καὶ τὸν Φίλωνα καὶ τὸν Ἀριστόβουλον αὐτόν; « Ἐγγὺς ὅδ' ἐστιν ἀνήρ »! Οὐδεὶς ἐλοιδόρησε τὸν Ἀριστόβουλον ἀκρατέστερα, καὶ πικρότερα παρ' αὐτὸν τὸν Οὐαλκενῆρον ἐν τῇ αὐτῇ διατριβῇ! Καὶ ταῦτα μὲν τοιαῦτα· ἀλλὰ καὶ τὰ ἐφεξῆς πάντῃ παράδοξα διεγνωμάτευσε. « Τῶν ἐκκλησιαστικῶν Πατέρων (λέγει) ἐνταῦθα ἡ μαρτυρία, ὁμολογῶ, ὅτι οὐ μεγάλου λόγου (non magni momenti) ἐστὶν ἀξία, ὡς οὐδ' ἡ τοῦ Ἰωσήπου, ᾧ κατακολουθοῦσιν. Οὐδὲν γὰρ ἐστὶν ἕτερον, ἢ κρίσις ἀνδρῶν πεπαιδευμένων περὶ τῆς ἄλλου τινος, ᾧ παρέπονται, μαρτυρίας » (αὐτόθι). Πῶς, ὦ σοφώτατε ἀνδρῶν, ἡ τοῦ ἰουδαίου Ἰωσήπου μαρτυρία μικροῦ σοι λόγου δοκεῖ, διότι, ἴσως, ἀπεῖχε μακρὰν τῶν χρόνων τῆς πράξεως; ἀλλ' οὕτω καὶ Φίλων ἀπεῖχεν· εἰ δὲ τοῦτον ἰσοστάσιον Ἀριστοβούλῳ κρίνεις, διὰ τί μὴ καὶ τὸν Ἰώσηπον; Πῶς δὲ πάλιν οἱ πατέρες, οἷον Ἰουστῖνος καὶ Κλήμης καὶ Εὐσέβιος, ἀντέγραψαν ἁπλῶς ἐκ τοῦ Ἰωσήπου; τὸν δὲ Φίλωνα καὶ τὸν Ἀριστόβουλον καὶ τὸν Ἀριστέα (ἐφ' ὧν ἔκρινας « ἀναγομένην ἅπασαν τὴν ἀρχαιότητα τῆς περὶ τῶν Ο, ἱστορίας » αὐτόθ.), τούτους οὐκ ἀναφέρουσιν οἱ πατέρες, ἄλλος ἄλλον ἐξ ὀνόματος; Πῶς δὲ καὶ τὴν κρίσιν τούτων καὶ τῶν τοιούτων ἀνδρῶν παρ' οὐδὲν τιθεὶς ἀποσκυβαλίζεις; Οὕτως ἄρα τυφλῶς καὶ ἀταλαιπώρως ἀπεδέχθησαν οἱ ἄνδρες ἐκεῖνοι τὴν, ᾗ κατηκολούθησαν ἱστορίαν; Εἰ δὲ καὶ παραδόσει βεβαίᾳ, καὶ πίστεσιν ἄλλαις, καὶ μαρτυρίαις ἀρχαιοτάταις, πεισθέντες ἐξέφερον καὶ αὐτοὶ ὡς κυρίαν τὴν ἱστορίαν, οὐδὲν λοιπὸν ἡ τούτων κρίσις συμβάλλει πρὸς πίστιν καὶ ἀπόδειξιν τῆς ἱστορικῆς τοῦ πράγματος βεβαιότητος; Καὶ ὅταν λοιπὸν κρίνῃς περὶ τῆς ἀξιοπιστίας Ἡροδότου καὶ Θουκυδίδου καὶ τῶν τοιούτων, ἐν οἷς ἱστοροῦσι κἀκεῖνοι τὰ παλαιότατα (οἷον τῶν τε Τρωϊκῶν τὰ βεβαιότερα, ἐκ τῆς Ὁμήρου ποιήσεως παραλαβόντες, « καὶ εἴτι ἄλλο τῶν ἀρχαίων ἔλεγον τότε καὶ αὐτοὶ οἱ τὰ σαφέστατα μνήμῃ παρὰ τῶν πρότερον παραδεδεγμένοι), καὶ τούτων λέγω τῶν ἱστορικῶν τὴν μαρτυρίαν παρ' οὐδὲν, ὦ βέλτιστε, θήσεις, ὡς κρίσιν ἁπλῆν καὶ ἀνίσχυρον πρὸς ἀπόδειξιν; Σκληρά γε ταῦτα καὶ πυῤῥωνικώτερα ἔκρινας, ὦ Οὐαλκενῆρε, καί πως καὶ ἀσύμφορα καὶ ὑμῖν τοῖς κριτικοῖς. Ὡσαύτως γὰρ καὶ περὶ τὰς κρίσεις τὰς ὑμετέρας, τάς γε τοιαύτας, οὐδὲν ἀπολείπεται βάρος, οὐδ' ἀξιοπιστία πρὸς μαρτυρίαν!

ἢ ὁ Εἰρηναῖος; ἢ ὁ Κύριλλος; οὐδὲ τούτων οὐδεὶς οὐδαμοῦ! Ὁ δὲ μακάριος Ἰουστῖνος, μνημονεύσας καθολικώτερον « *τῶν* (τὰ περὶ τῆς ἑρμηνείας) *ἱστορησάντων σοφῶν καὶ δοκίμων ἀνδρῶν* », καὶ μόνους ὀνομάσας *τὸν Φίλωνα καὶ Ἰώσηπον*, εὐθὺς ὑποσυνάπτει « *καὶ ἑτέρων πλειόνων* »· *πλείονας* δὲ λέγων ὁ φιλόσοφος μάρτυς, ἄλλο τι ποιεῖ, ἢ διακηρύττει μὴ μόνον Ἀριστέα καὶ Ἀριστόβουλον, ἀλλὰ καὶ ἄλλους τῆς αὐτῆς μνημονεύοντας ἱστορίας δοκίμους συγγραφεῖς; Ἢ μή πως κατ' ἐκείνους τοὺς Ἀριστοβούλου χρόνους οὐχ' ὑπῆρχον ἐν τῇ αὐλῇ τῶν Πτολεμαίων οὐδ' αὐτὰ τὰ μικρὸν ἀνωτέρω μνημονευθέντα βασιλικὰ ὑπομνήματα, ἐξ ὧν καὶ Ἀριστόβουλος καὶ ἄλλοι τινές, ἴσως, ἀντέγραψαν τὸ συμβεβηκός;

Ἀλλ' ἀφέντες ταῦτα ἀρκούμεθα εἰς ἓν μόνον θεώρημα, μηδ' αὐτοῖς, τυχὸν, τοῖς ὑπερβάταις κριτικοῖς ὑπερπηδητόν. Δυοῖν θάτερον· ἢ ἀντέγραψεν ὁ ἀρχαιότατος Ἀριστόβουλος (παραλείπομεν τοὺς ἄλλους), ἢ οὐκ ἀντέγραψεν ἐξ Ἀριστέου τὴν ἱστορίαν. Καὶ εἰ μὲν ἀντέγραψε (καθὼς θέλουσι), τοῦτο γίνεται λαμπρότατον τεκμήριον, ὅτι ἡ τοῦ Ἀριστέου ἱστορία ὑπῆρχε τότε κοινῶς ὑπὸ πάντων Ἰουδαίων κατὰ τὴν Ἀλεξάνδρειαν ὁμολογουμένη κυρία καὶ ἀληθὴς χωρίς τινος ἀντιλογίας, ὡς ἱστοροῦσα πρᾶγμα πεπραγμένον δημοσίως ἐν τῇ πόλει τῇ αὐτῇ, καὶ συγγεγραμμένη παρὰ προσώπου ζήσαντος κατὰ τὴν πόλιν ἐκείνην ἐπισήμου καὶ γνωστοῦ. Εἰ δὲ πάλιν ὁ Ἀριστόβουλος οὐκ ἀντέγραψεν ἐξ Ἀριστέου, μή πως ὀλίγας εἶχε τότε καὶ ἄλλας τῆς ἱστορίας πηγάς; Πλὴν τῶν προειρημένων βασιλικῶν τῆς Ἀλεξανδρείας ἀρχείων, πόσοι καὶ ἄλλοι τότε παρῆσαν ἐν Ἀλεξανδρείᾳ μάρτυρες τῆς πράξεως ἀξιόπιστοι καὶ Ἰουδαῖοι καὶ ἐθνικοὶ, καὶ ἄσοφοι καὶ σοφοί! Ἔζων ἔτι τότε πολλοὶ παῖδες τῶν μετὰ Ἀριστέου καὶ αὐτοῦ τοῦ Φαληρέως συναναστραφέντων. Αὐτοῦ τοῦ Ἀριστοβούλου οἱ γονεῖς ἴσως, ἢ γοῦν οἱ πάπποι πάντως, ἐγνώρισαν ἀμφοτέρους, καὶ παρῆσαν κατ' ἐκείνην τὴν πάνδημον ἀνάγνωσιν καὶ πανηγυρικὴν ἐπικύρωσιν τῆς τῶν Ο, μεταφράσεως. Αὐτὸς ὁ βασιλεὺς Πτολεμαῖος ὁ Φιλο-

μήτωρ (πρὸς ὃν ὁ Ἀριστόβουλος προσεφώνει τὰς τοῦ Νόμου ἐξηγήσεις) ἐγνώριζε πάντως τὰ κατὰ τὸν πρόγονον αὐτοῦ, τὸν Φιλάδελφον, περὶ τὴν ἑρμηνείαν διαπραχθέντα, πολλαχόθεν μαθὼν καὶ βεβαιωθείς (βλ. ἐφεξ. Κεφ. ΙΒ. §. δ.). Τίς οἶδε καὶ πόσοι ἄλλοι τῶν τότε « *κατὰ τὴν Αἴγυπτον λογιωτάτων ἀρχιερέων* » (καθὼς ὁ Ἀριστέας ὁμολογεῖ), πόσοι δὲ καὶ τῶν περὶ Ἰουδαίων ἰδίως συγγεγραφότων (ὧν πολλοὺς ὁ Ἰώσηπος ἐν τοῖς κατὰ Ἀπίωνος ὀνομάζει) διεμνημόνευσαν τὰ τῆς ἑρμηνείας, ὡς διασημοτάτου πράγματος, ἐν τοῖς συγγράμμασιν αὐτῶν. Ἀλλὰ κἂν (ἐξ ὑποθέσεως) οὐδὲν τούτων ἐσώζετο κατὰ τοὺς χρόνους τοῦ Φίλωνος καὶ τοῦ Ἰωσήπου, τὰ γοῦν *Ἐξηγητικὰ* ὑπομνήματα τοῦ Ἀριστοβούλου (ὧν καὶ Κλήμης καὶ Ὠριγένης καὶ Εὐσέβιος ἐμνημόνευσαν) βεβαίως ὑπῆρχον. Ὥστε καὶ ὁ Ἰώσηπος ἀνέγνω ταῦτα, καθὼς καὶ οἱ χριστιανοὶ συγγραφεῖς. Ἐκ δὲ τῆς τούτων ἀναγνώσεως, καὶ τῆς ὁμοφώνως ἔν τε τοῖς Ἱεροσολύμοις καὶ πανταχοῦ τῆς Παλαιστίνης τότε κρατούσης παραδόσεως ὁρμώμενος ὁ Ἰώσηπος, ἠδυνήθη πάντως ἐξακριβῶσαι τὴν Ἀριστέου συγγραφήν· διὸ καὶ ταύτην ἐδοκίμασε, καὶ συνώψισε, καὶ μετὰ τῆς ἐκ τῶν ἱερῶν γραμμάτων ἀπανθισθείσης ἀρχαιολογίας συνεσωμάτωσεν, ὡς κυρίαν καὶ γνησίαν τοῦ εἰς ὃν ἐπιγράφεται πραγματείαν, διαλαμβάνουσαν περὶ πραγμάτων ἀληθινῶν καὶ βεβαίων παρὰ πᾶσι πρεσβευομένων. Καὶ ὁ μὲν Ἀριστέας τοιοῦτός τε καὶ τοσοῦτος.

Ὁ δὲ Ἕρμιππος, ὁ Σμυρναῖος, ὁ πολυμαθὴς ἱστορικός, ποῖός τις (ὡς πρὸς τὸ ζήτημα), καὶ πόσος; *εἷς καὶ μόνος, μονώτατος!* Μόνος αὐτὸς ἱστορεῖ τοιαῦτα τὰ κατὰ τὸν Δημήτριον (ἐξ ὧν οἱ Σκαλιγήρειοι κατεσκευάζουσι τὰς ἑαυτῶν δοξασίας)· ἄλλος δέ τις τῶν ἀρχαίων, οὔθ᾽ Ἑλλήνων, οὔτε βαρβάρων, οὐδεὶς οἶδεν, οὐδ᾽ ἔγραψε τούτων οὐδὲν, οὔτε παλαιότερος οὔτε νεώτερος Ἑρμίππου (Ὅτι δὲ ἐν ἄλλοις ἱστορήμασιν ἔχει καὶ πολλοὺς τοὺς ἀντιλέγοντας ὁ Ἕρμιππος, τοῦτο παραλείπομεν). Ποίαν τοίνυν ἰσχὺν καὶ κράτος ἡ τούτου ῥῆσις ἔχει κατ᾽ Ἀριστέου; καὶ ποῖον δικαστήριον ψηφιεῖ τὸν μὲν Ἕρμιππον ἀληθεύοντα, ψευδόμενον δὲ

τὸν Ἀριστέα; Γέγραπται ἐν τῷ νόμῳ Μωσέως (Δευτερ. ιθ. 15.), καὶ κεκύρωται ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ (α) ὅτι « *ἐπὶ δύω μαρτύρων ἢ τριῶν σταθήσεται πᾶν ῥῆμα* ». Ἑνὸς δέ τινος μαρτυρία οὐδαμοῦ οὐδόλως ἰσχύει πρὸς ἔλεγχον καὶ καταδίκην τοῦ ἀντιδίκου, καὶ τούτου περιστοιχουμένου ὑπὸ τοσούτου νέφους μαρτύρων ἐνδοξοτάτων (β). Ἀλλὰ καὶ μάρτυρας εἴπερ οὐδένας εἶχε περὶ τοῦ Φαληρέως ὁ Ἀριστέας, πάλιν ἔμενεν ἀκατάκριτος. Ὅταν δύω τινὲς ἀντιλέγωσι πρὸς ἀλλήλους περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος, ἄλλος δὲ περὶ τούτου μάρτυς μηδεὶς εὑρίσκηται μηδαμοῦ, μηδὲ σημεῖον μηδὲν ἢ τεκμήριον τοῦ πράγματος ἐναργὲς, πρὸς ἔλεγχον τῆς ἀληθείας, ποῖος ἔπειτα νόμος, ἢ ποία Θέμις, ἀποδέχεται μὲν τὸν ἕτερον τῶν διαδίκων ὡς ἀληθῆ, κατακρίνει δὲ τὸν ἕτερον ὡς παντάπασι ψευδόμενον; Τί δ᾽ ἄλλο παρὰ τοῦτο ποιοῦσιν οἱ περὶ τὸν Σκαλίγηρον κριτικοί; Ἀναστάντες ὀκτωκαίδεκα καὶ πλείονας ὅλους αἰῶνας μετὰ τὸν Ἀριστέα καὶ τὸν Ἕρμιππον, καὶ καθίσαντες λόγων δικαστήριον, παρέστησαν ἀμφοτέρους, ὡς ἂν διαδίκους κρινομένους, τοὺς συγγραφεῖς, καὶ ἔπειτ᾽ ἐπαφῆκαν τὸν ἕτερον κατὰ τοῦ ἑτέρου, μάρτυρα καὶ κατήγορον ἀποφαίνοντες τὸν αὐτὸν εἰς τὸν κοινὸν τῆς δίκης ἀγῶνα. Καὶ ἤρκεσε μία μόνη φράσις Ἑρμίππου (καὶ αὕτη ἀδιόριστος καὶ ἀσαφὴς, καὶ, τὸ χείριστον, ὑπ᾽ αὐτῶν τῶν δικαστῶν παρηρμηνευμένη) πρὸς ἐσχάτην καταδίκην ὅλης τῆς ἱστορίας τοῦ Ἀριστέου! Τοιαύτην δὲ δίκην δικάσαντες οἱ νεωτερίζοντες θιασῶται τῆς κριτικῆς, ἐξελέγχονται διπλῶς ἡμαρτηκότες. Πρῶτον μὲν γὰρ ἠθέτησαν τὸν νόμον τὸν κελεύοντα « *τὰς δίκας τὰς δικασθείσας κυρίας εἶναι* »· περὶ δὲ τῆς τοῦ Φαληρέως εἰς τὴν ἑρμηνείαν τῶν Γραφῶν ἐπιστασίας, καὶ συμπάσης δὲ τῆς Ἀριστέου ἱστορίας ἐπικρίναντες ἐψήφισαν ὁσίως καὶ δικαίως, ἀληθινὴν αὐτὴν καὶ κυρίαν εἶναι, μηδενὸς ἀντιλέγοντος, μηδ᾽ αὐτοῦ τοῦ Ἑρμίππου (οὗ τινος καὶ τούτου μετὰ κρίσεως ἐξηκρίβωσαν

(α) Ματθ. ιη, 16. πρβλ. Ἰωάν η, 17. Β. Κορινθ. ιγ. 1.

(β) Βλ. Vindication of the history of the Septuagint etc. pag. 54—57.

τὰς φωνὰς), τοσοῦτοι καὶ τοιοῦτοι τῆς πολιᾶς ἀρχαιότητος δικασταί, καὶ πᾶσα τῶν γραμμάτων, τῶν τε ἱερῶν καὶ τῶν θύραθεν, ἡ σεμνοτάτη πολιτεία, ἣν αὐτοὶ νῦν ἐπελθόντες οἱ νεώτεροι διαφθείρουσιν (ὅσον τὸ ἐπ᾽ αὐτοῖς) καὶ ἀναστατοῦσιν· « Οὐ γὰρ οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ᾽ ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίνωνται, καὶ διεφθαρμέναι» (Πλάτ. Κρίτων. §. ια.). Δεύτερον, ἀδικοῦσι καὶ αὐτὸ τῆς κριτικῆς Θέμιδος, ὃ περιβέβληνται, τὸ ἀξίωμα· διότι λέγειν τε καὶ πείθειν ὄντες ἱκανοὶ λανθάνουσιν ἀδικοῦντες, καὶ πλανῶσι τοὺς ἁπλουστέρους, οἵτινες ἀκολουθοῦσιν ἐξοπίσω τῆς ἁβρᾶς αὐτῶν πολυμαθείας, ὡς ἂν πρόβατα κατόπιν τοῦ θαλλὸν, ἢ χλοερὸν κλαδίον, προσείοντος βοσκοῦ. Καὶ οὕτως ἔχουσιν οἱ ἄνδρες « *τὴν τελεωτάτην ἀδικίαν* » ὡς ὁ θεῖος Πλάτων ὠνόμασε «*τὸ δοκεῖν ἀληθῆ καὶ δίκαιον εἶναι, μὴ ὄντα*» (Πολιτ. β. 4.).

§. θ. Ζ) Καὶ τελευταῖον. Ἀλλ᾽ (ἵνα, τέλος, ἐκπεράνωμεν τὸν μακρὸν περὶ Ἑρμίππου λόγον, ἐπὶ πολὺ μηκυνθέντα διὰ τὰς πολλὰς παρὰ πολλῶν καὶ ποικίλας ἀντιλογίας), ἀλλὰ δικαιούτωσαν ἐξηγοῦντες ὅπως θέλουσι τὸν Ἕρμιππον οἱ κριτικοί· καὶ ἐξελαυνέτω τὸν Δημήτριον ὁ Φιλάδελφος, ὡς ἐβασίλευσεν εὐθὺς, μετὰ τὴν τελευτὴν τοῦ πατρὸς (μηδ᾽ ὥραν γοῦν, μηδὲ λεπτὸν ἀναμείνας), πορρωτάτω τῆς Ἀλεξανδρείας ἀποπέμπων· καὶ καθειργνύτω δὲ παραφυλαττόμενον ὑπὸ *πολλῶν τετραδίων στρατιωτῶν* κατ᾽ αὐτὸν τὸν Βουσιρίτην νομόν· καὶ, τέλος, τελευτάτω μετ᾽ ὀλίγον ὁ Δημήτριος ἐν τῇ φυλακῇ δηχθεὶς ὑπὸ τῆς ἀσπίδος, καὶ ταύτης μὴ κατὰ τύχην ἐμφύσης, ἀλλ᾽ ἤτοι κατὰ προσταγὴν τοῦ βασιλέως ἐπαφεθείσης, ἢ καὶ ὑπ᾽ αὐτοῦ τοῦ Δημητρίου ἑκόντος τῇ χειρὶ προσαφθείσης· (εἶχε δέ που τὴν ἀσπίδα καὶ οὗτος, ἴσως, ἐν ὑδρίᾳ κεκλεισμένην, καθὼς ὕστερον καὶ ἡ Κλεοπάτρα, κᾀκεῖθεν ἐξεκάλεσε τὸ θηρίον ἐπὶ τῆς χειρὸς, διαγριάνας πρότερον διά τινος, ἴσως, γραφίδος αὐτὸς, ὡς ἐκείνη « *δι᾽ ἠλακάτης χρυσῆς*». Πλουτ. Ἀντων. §. πς.). Πάντα ταῦτα οὐδὲν ἔχουσι κοινὸν πρὸς τὸν Ἀριστέα. Δημήτριος ὁ Φαληρεὺς ἐπεστάτησεν εἰς τὴν ὑπὸ τῶν Ο, μετάφρασιν τῶν Γραφῶν, ἔτι ζῶντος

Πτολεμαίου τοῦ Λάγου, κατὰ τὴν διετίαν ἣν συνεβασίλευσε μετὰ τοῦ υἱοῦ, τοῦ Φιλαδέλφου. Τοῦτο δὲ καὶ αὐτὸς Ὅδιος ἀποδέχεται (κἂν ἄλλως καὶ περὶ τούτου σκιαμαχεῖ πρὸς τὸν Ἀριστέα), ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς (κεφ. ϛ, § β). πάντα δὲ ὅσα πρὸ μικροῦ δι' ὅλων δύω κεφαλαίων (τοῦ δ, καὶ ε) ὑπὲρ Ἑρμίππου κατ' Ἀριστέου τῷ Σκαλιγήρῳ συμμαχῶν κατεῤῥητόρευσεν, ἐξαίφνης αὐτῷ ἀπεῤῥύησαν, ὑπ' ἀελλῶν ἀναρπαγέντα. Καὶ λοιπὸν, ἕως ἂν ἄλλο τι γενναιότερον ἀποδείξῃ, καθήσθω δὴ πρὸς τὸ παρὸν καὶ αὐτὸς ἐξελέγχων καὶ ἄκων τοὺς περὶ τὸν φίλον Σκαλίγηρον, ὅτι τε ματαίως ἐπήγειραν τὸν Ἕρμιππον κατ' Ἀριστέου, μηδὲν ἔχοντα κοινὸν, καὶ ὅτι καὶ αὐτὴν τὴν Ἑρμίππου ῥῆσιν σοφιστικώτερον παρεξήγησαν. Τοῦτο δ' ἀπαιτήσουσι πάντως καὶ ὅσοι τῶν νεωτέρων σοφῶν ἐξήλεγξαν τὸ πρᾶγμα, ἄλλοι τε, καὶ μάλιστα οἱ προμνημονευθέντες, ὅ,τε Ἔκδικος τοῦ Ἀριστέου, καὶ ὁ Δεμάγιστρος, καὶ αὐτὸς ὁ μή τι πάνυ φίλα τῷ Ἀριστέᾳ φρονῶν Οὐαλκενῆρος (α).

ΚΕΦΑΛΑΙΟΝ ϛ.

Πότε μετέφρασαν οἱ Ο, τὰς θείας Γραφὰς, καὶ εἰ πρὸς τὸν ὡρισμένον τῆς μεταφράσεως χρόνον ἀντιφάσκει ὁ Ἀριστέας.

§. α. Ἡ περικλεὴς τῶν Οὐοσσίων δυὰς, ὅ,τε Γεράρδος, ὁ πατὴρ, καὶ ὁ υἱὸς Ἰσαάκιος, τάττουσι τὴν ἐποχὴν τῆς τῶν Γραφῶν ἑρμηνείας ἐπὶ τῆς διετίας ἐκείνης, καθ' ἣν ὁ τοῦ Λάγου Πτολεμαῖος ὁ Σωτὴρ συνεβασίλευε τῷ υἱῷ τῷ Φιλαδέλφῳ, παραχωρήσας αὐτῷ τῆς διοικήσεως, μετέχων δὲ καὶ αὐτὸς τῆς βασιλίδος τιμῆς. (βλ. ἐφεξ. §. δ. καὶ κεφ. θ, § γ. καὶ §. ιέ). Ὁ δὲ χρόνος οὗτος συμπίπτει πρὸς τὸ δ ἔτος τῆς ρκγ, Ὀλυμπιάδος καὶ τὸ α, τῆς ρκδ,

(α) Βλ. Vindication of the history of the Septuagint etc. pag. 41—60. Demagistr. l. c. pag. 476—480. — Valckenaer de Aristob. Jud. p. 52—55.

(τῷ 284 καὶ 283 π. χ.) (α). Κατὰ ταύτην οὖν τὴν διετίαν ἐγένετο ἡ ἑρμηνεία τῶν θείων Γραφῶν. Οὕτω δὲ καὶ ἡ τοῦ Ἑρμίππου πρὸς Ἀριστέα πλαστουργηθεῖσα διαφωνία διαλλάττεται πληρέστατα· τότε γὰρ καὶ ὁ Δημήτριος, εὐδοκιμῶν παρὰ τῷ ἔτι ζῶντι Πτολεμαίῳ τῷ Σωτῆρι, καὶ τῆς βιβλιοθήκης ἐπιστατῶν, ἐπραγματεύσατο τὰ περὶ τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν κατ' ἀξίωσιν τοῦ ἤδη βασιλεύοντος Φιλαδέλφου. καὶ οὕτως ἀληθεύει ὁ Ἀριστέας. Καὶ πάλιν, εἴπερ εὐθὺς (ὥς λέγουσι) μετὰ τὴν τελευτὴν τοῦ πατρὸς ἐξώρισεν ὁ Φιλάδελφος τὸν Δημήτριον, ἠδύνατο καὶ οὗτος ἀποθανεῖν ἐν τῇ ἐξορίᾳ ἀνεπιστρόφως, μηδόλως παραβλαπτομένου τοῦ ἔργου τῆς τῶν Γραφῶν ἑρμηνείας (ὡς ἤδη τετελεσμένης), καὶ οὕτως ἀληθεύει καὶ ὁ Ἕρμιππος (καθὼς αὐτὸν ἐξήγησαν οἱ περὶ τὸν Σκαλίγηρον). Οὗτος ὁ χρονικὸς τῆς τῶν Γραφῶν ἑρμηνείας διορισμὸς ἐπιστηρίζεται πρώτιστα καὶ κράτιστα εἰς τὴν χρονολογίαν τοῦ κατ' Εὐσέβιον χρονικοῦ (περὶ οὗ λέγομεν ἐφεξῆς, κεφ. θ)· ἀπεδέξαντο δὲ τοῦτον καὶ ἄλλοι τῶν νεωτέρων σοφῶν, ἐν οἷς καὶ Διονύσιος ὁ Πεταΰϊος (β), καὶ Ἑῤῥίκος Οὐαλήσιος, καὶ Ἰάκωβος ὁ Περι-

---

(α) Ger. Joh. Vossij Hist. Gr. Lib. I. c. 12. p. 110, καὶ Is. Vossij de LXX. c. 2. p. 5 καὶ Canon Chronol. p. 222. Ταύτην τὴν γνώμην καὶ πρὸ τῶν Θυσσσίων ἀπεδέξατο καὶ Ὀττιγῆρος, συμπεραίνων ἔκ τινος κανόνος Ἀβδίου τοῦ Πραιτωρίου, ὃν καὶ χρυσοῦν ἐπονομάζει· λέγει δὲ Πραιτώριος « In supputationibus annornm patris et filij, simul administrantium, nonnunquam de communi administratione, nonnunquam de propria textus loquitur » (Abdia Praetor. apud Hottinger. Thes. Philolog. Libr. I. c. 3. p. 286). « Ptolemaeus igitur (συμπεραίνει ὁ Ὀττιγῆρος) philadelphus in consortionem regni a patre, versionem Graecam suadente, assumptus, propterea solus translationem procurasse fertur » etc. Τὴν αὐτὴν τῆς διετίας ἐποχὴν ἀπεδέξατο καὶ ὁ σοφὸς Ὑσσέριος καὶ ἄλλοι (Carpzov. Crit. Sacr. p. 495). Ἀπέδειξε δὲ ἤδη καὶ καθ' ἡμᾶς ἐναργῶς ὁ περιεκλεέστατος Χαμπολλιὼν « ὅτι ὁ Σωτὴρ παρεχώρησε τῷ υἱῷ τῆς ἀρχῆς 5, μηνὶ τοῦ δ, ἔτους τῆς ρκγ, Ὀλυμπ. (τῷ 284 π. Χ.), ἐτελεύτησε δὲ 5, μηνὶ τοῦ β, ἔτους τῆς ρκδ. Ὀλυμπ. (τῷ 282. π. Χ.). Champollion-Figeac, Annales des Lagides, T. 1. p. 399, καὶ T. 2. p. 10—12. Paris 1819.

(β) Petavij Animadver. in S. Epiphan. Tom. 2. p. 379· ἐν δὲ τῷ Χρονικῷ τίθησιν ὁ Πεταΰϊος τῷ 278 π. Χ. Οὕτω καὶ ὁ Humph. Pridaeux, τῷ 277 ἐγγύτερον δὲ τῆς ἀληθείας ὁ Γρονόβιος, περὶ τὸ 280: π. Χ. κατὰ τὴν γνώμην τοῦ Βαρονίου

ζώνιος, καὶ ὁ κλεινὸς Οὐαλκενῆρος (α), καὶ τῶν νεωτάτων δὲ συχνοί (β).

§. β΄. Ἀλλὰ καὶ αὐτὸς ὁ Ὅδιος ἄσμενος ἀποδέχεται τὸν χρόνον τοῦτον (Ὀλυμπ. ρκγ, τὸ γ, καὶ δ), καὶ ἀληθὲς, ἢ πιθανὸν, εἶναι τὸ πρᾶγμα *καὶ συγχωρεῖ καὶ βεβαιοῖ* (γ). Πλὴν ἀλλ' ἑτέρωθεν πάλιν, ἀμείλικτος πρὸς τὸν Ἀριστέα διατελῶν, ἐπιχειρεῖ πολυτρόπως αὐτὸν ἐξελέγξαι ὡς παριστῶντα τὴν ἑρμηνείαν μὴ κατὰ τοῦτον τὸν καιρὸν, ἀλλὰ πολὺ κατωτέρω τῶν χρόνων γεγενημένην. « Οὗτος γὰρ (φησὶν) ὁ συγγραφεὺς κἀντεῦθεν τηλαυγῶς ἀποδειχθήσεται νόθος ὢν καὶ πεπλασμένος· καθότι διορίζει τὴν ἑρμηνείαν *πολὺν ἤδη χρόνον* μετὰ τὸν τοῦ Λάγου Πτολεμαίου θάνατον γενομένην, καὶ ταύτην ἐπιστασίᾳ Δημητρίου τοῦ Φαληρέως (ὅστις ὅμως *εὐθὺς* μετὰ τὴν Λαγίδου τελευτὴν ἐξορισθεὶς τὸν βίον ἐτελεύτησε!). Πρὸς τούτου τοίνυν τὴν ἀπόδειξιν *ἀτρόμητοι* (λέγει) χωροῦμεν, πλείστοις καὶ πυκνοῖς ἐπιχειρήμασιν ὡπλισμένοι » (σελ. 19). Ταῦτα *στεῦται* καὶ ὑπόσχεται γενναίως ὁ σοφὸς Ἀρχιδιάκονος ἐναργῆ καταστῆσαι, μακρὰ βιβὰς, καὶ προχωρῶν, ὡς εἶπεν, *ἀτρόμητος* (οἷα παμμάχος τις πανοπλίτης), ἵνα καὶ δεύτερον τοῦτο τρόπαιον, μετὰ τὸ Ἑρμίππειον, φυτεύσῃ κατ' Ἀριστέου. Ἰδοὺ τῶν ἐπιχειρημάτων πάντων ἡ τάξις καὶ τὸ νόημα, ἀκριβῶς ἐκτεθει-

---

(Annal.). Βλ. J. F. Gronov. Thesaur. Graec. Antiqu. T. VIII. p. 2746 Venet. — πρβ. καὶ J. Baptist. Ricciolius Chronol. T. 1. p. 203.

(α) H. Vales. in Euseb. Hist. Eccl. V. c. 8. p. 223. — Perizon. in Aelian. V. H. lib. III, p. 238. — Valcken. De Aristob.. Jud. p. 57. — Ἀλλ' οἱ τρεῖς οὗτοι θέλουσι τὴν ἑρμηνείαν ἀρξαμένην μὲν ἐπὶ τῆς ἄνω διετίας, συντελεσθεῖσαν δὲ μετὰ τὴν Λαγίδου τελευτὴν ἐπὶ μόνου τοῦ Φιλαδέλφου· παράδοξα θέλοντες· (βλ. ἐφεξ. κεφ. θ. §. κγ. ἄρθρ. 5). Ταύτην δὲ τὴν γνώμην ἔσχε μὲν πρῶτος, ἀλλ' ἔπειτ' ἐγνωσιμάχησεν ὁ Ger. Vossius l. c. p. 110.

(β) Ὀνομάζομεν δύω μόνον (καὶ τούτους οὐχὶ λίαν εὐμενεῖς πρὸς τὸν Ἀριστέα), πρῶτον τὸν περικλεέστατον Ὅρνον (Th. Horne, An introduct. to the crit. Study-of the Holy Script. vol. 2. P. I. pag. 206), καὶ ἕτερον τὸν Ἀννεράβιον, ὅστις καὶ αὐτὸς τίθησι τὴν ἑρμηνείαν περὶ τὸ 286, π. χ. (v. Hanneraw Manuel Biblique vol. 1. p. 3.) Βλ. καὶ ἐφεξ. Κεφ. Θ. § γ. κτλ.

(γ) « Et verum id esse, sive probabile, concedimus et confirmamus ». Hody Libr. I. cap. 6. p. 19. καὶ Libr. II. c. 11. p. 93.

μένων· πρὸς ἕκαστον δὲ τούτων ὑποσυνάπτομεν παρὰ πόδας καὶ τὴν ἀπάντησιν.

§. γ΄. Α) « Ἄν τις (λέγει) κρίνῃ παραδεκτέον τὸ τοῦ Ἀριστέου ἀπόγραφον, ᾧπερ Ἐπιφάνιος ἐχρήσατο, πρόχειρος ὁ ἔλεγχος καὶ λαμπρός. « *Ἐκ τῆς ὑφ᾽ ἡμῶν* » (λέγει ἐκεῖ ὁ βασιλεὺς, ὁ Φιλάδελφος, ἐν τῇ πρὸς Ἐλεάζαρον τὸν ἀρχιερέα τῶν Ἰουδαίων ἐπιστολῇ), « ἐκ τῆς ὑφ᾽ ἡμῶν περὶ ὑμᾶς εὐνοίας *ἀναμνησθέντες* εἴσεσθε ». καὶ « *Μέμνησθέ* που, ὡς αἰχμαλώτων πολλῶν ἐκ τῆς ὑμετέρας ληφθέντων, καὶ εἰς Αἴγυπτον, τὴν ἡμετέραν πατρίδα, ἀχθέντων, ἀνῆκα » κτλ. Ἐνταῦθα (λέγει) τὸ « *μέμνησθε* », καὶ τὸ « *ἀναμνησθέντες* » ἀποδεικνύουσι τρανώτατα τοὺς αἰχμαλώτους Ἰουδαίους ἀπελευθερωθέντας (κατὰ τὴν γνώμην τοῦ συγγραφέως) *μακρῷ χρόνῳ* πρότερον, πρὶν ἢ ζητηθῶσιν εἰς ἑρμηνείαν αἱ βίβλοι τῶν Γραφῶν. Ὁ δὲ Φιλάδελφος παρέλαβε τὸ στέμμα ἕνα ἢ δύω μόλις ἐνιαυτοὺς πρὸ τῆς τελευτῆς τοῦ πατρός ».

Ἀπαντῶμεν.

Τὸ λεγόμενον ἐπιφανιανὸν ἀπόγραφον τοῦ Ἀριστέου αὐτὸς ὁ Ὅδιος κατεδίκασε πολλάκις προλαβὼν (α), « *ὡς φλυάρου τινος σύγγραμμα, πολὺ μεταγενέστερον τῆς κοινῶς περιφερομένης τοῦ Ἀριστέου συγγραφῆς.* Ἤδη δὲ πειρᾶται καὶ ἐκ τούτου δὴ, τοῦ κατ᾽ αὐτὸν φληνάφου, χαλκεύειν ἐπιχείρημα πρὸς ἀντίῤῥησιν. Ἀλλ᾽ ὅτι μὲν Ἀριστέου κώδηξ παρ᾽ Ἐπιφανίῳ οὐδεὶς οὐδόλως ὑπάρχει, δέδεικται σαφῶς (Κεφ. Γ. §. β. γ). Ὁ δὲ γνήσιος Ἀριστέας (ὃν ὁ τεχνικὸς Ὅδιος περιφεύγων στρέφεται περὶ τὰ πέριξ), ἰδοὺ πῶς ἐκφέρει τὴν περὶ ἧς ὁ λόγος φράσιν τῆς ἐπιστολῆς τοῦ βασιλέως· « Καὶ ἡμεῖς δὲ *παραλαβόντες τὴν βασιλείαν φιλανθρωπότερον ἀπαντῶμεν τοῖς πᾶσι*, πολὺ δὲ μᾶλλον τοῖς σοῖς πολίταις, ὧν ὑπὲρ δέκα μυριάδας αἰχμαλώτων ἠλευθερώκαμεν » κτλ. Ἐν τούτοις βλέπει πᾶς τις προφανῶς ὅτι οὔτε τὸ *μεμνῆσθαι* καὶ *ἀναμεμνῆσθαι* φαίνεται οὐδαμοῦ, καὶ τὸ « *παραλαβόντες τὴν*

(α) Hody Libr. I. c. 1. §. 11, §. 15 καὶ c. 2. p. 8.

βασιλείαν ἀπαντῶμεν τοῖς πᾶσιν » ἐμφαίνει τότε νεωστὶ βασιλεύσαντα τὸν Φιλάδελφον. Ὁ δὲ μακάριος Ἐπιφάνιος ἐκφράζων τὸ νόημα τῆς ἐπιστολῆς πρὸς τὸ κοινότερον ὕφος, καὶ κατὰ τὸν αὐτῷ συνήθη χαρακτῆρα τοῦ λόγου, προσέθηκε καὶ τὸ *μέμνησθε* ἁπλούστερον, ἀντὶ τοῦ *ἐνθυμεῖσθε*, τουτέστιν *ἐννοεῖτε*, *γινώσκετε τὸ ἤδη γεγονὸς*, καὶ τὸ « *ἀναμνησθέντες* » ἀντὶ τοῦ *ἀναλογισάμενοι*, *διανοηθέντες* (α). Ἔπειτα καὶ ἄλλως λίαν φαίνεται θαυμαστὸν, πῶς διέλαθε τὴν ἑλληνίδα τοῦ Ὀδίου μοῦσαν, ὅτι τὸ *μεμνῆσθαι* λέγεται παρ' Ἕλλησιν οὐ μόνον ἐπὶ τῶν πάλαι παρῳχημένων, ἀλλὰ πολλάκις καὶ περὶ τῶν οὐ πρὸ πολλοῦ, ἀλλ' *ὑπόγυιον ἐχόντων τὴν μνήμην*, καὶ περὶ τῶν πρὸ *μικροῦ* πραχθέντων ἢ λεχθέντων, ὅταν ἐθέλωμεν περὶ τούτων ὑπομνῆσαι τὸν προσδιαλεγόμενον. Αὐτίκα Πλάτων· « Μέμνησαι οὖν, ὅτι οὐ τοῦτό σοι διεκελευόμην· — ἢ οὐ μνημονεύεις » ; (β). Τί λοιπὸν ἐκ τούτου συμπεράνωμεν ; ὅτι μακρὸς παρῆλθε χρόνος καὶ πολὺς, ἀφ' οὗ εἶπεν ὁ Σωκράτης διαλεγόμενος πρὸς Εὐθύφρονα τὰ μικρὸν ἀνωτέρω εἰς ἕνα καὶ τὸν αὐτὸν διάλογον καὶ κατὰ τὴν αὐτὴν ἡμέραν (καὶ ὥραν, ἴσως) εἰρημένα; Οὕτως εἶπε καὶ Πτολεμαῖος (κατὰ τὸν Ἐπιφάνιον) πρὸς τοὺς Ἰουδαίους « μέμνησθε τῆς λύσεως τῶν αἰχμαλώτων », οὓς εἶχεν ἀπολύσας ὀλίγῳ πρότερον (μῆνάς τινας ἴσως) πρὸ τῆς μεταπέμψεως τῶν ἑρμηνευτῶν.

§. δ'. Β) « Ἀλλὰ καὶ ἐξ αὐτῆς (φησὶ) τῆς Ἀριστέου συγγραφῆς οὐδὲν ἄλλο πρότερον ἀπαντᾷ, οὐδὲν ἄλλο φανώτερον. Περὶ τοῦ πατρὸς Πτολεμαίου τοῦ Σωτῆρος οὐδεμία γίνεται μνήμη, ὡς τότε ζῶντος. Πάντα πρὸς τὸν υἱὸν ἀναφέρονται, τὸν Φιλάδελφον. Οὗτος καὶ

(α) Τοιοῦτο καὶ τὸ « *μνήσθητι, ὅτι ὀργὴ οὐ χρονιεῖ* » (Σειρ. ζ.17. τουτ. ἐννόησον, βάλε κατὰ νοῦν, διανοήθητι). Οὕτω πάλιν τὸ ἐνθυμοῦμαι (ἐν θυμῷ τίθημι, ἐννοῶ) ἐκλαμβάνεται πολλάκις καὶ ὡς ταυτόσημον τοῦ μέμνημαι καὶ παρὰ τοῖς ἀρχαίοις (Θουκυδ. ε, 32. ζ, 18), καὶ πολὺ πλέον εἰς τὴν Συνήθειαν (ἥτις καὶ ἐνθύμησιν λέγει τὴν μνήμην, καὶ τὸ μνημονικὸν ἐνθυμητικόν).

(β) Πλάτ. Εὐθύφρ. σελ. 13. τομ. α. Βip. Πρόσθες καὶ τὸ « φίλων παρόντων καὶ ἀπόντων μέμνησο ». Γνωμικ. (=ἐνθυμοῦ, ἔχε κατὰ νοῦν καὶ τοὺς παρόντας, ἔχε διὰ μνήμης καὶ τοὺς ἀπόντας φίλους).

νόμους καὶ διαταγὰς εἰσάγεται ἀκυρῶν, χωρὶς φαινομένης συγκαταθέσεως τοῦ πατρός· βουλευομένῳ δὲ τῷ βασιλεῖ περὶ τούτων, Ἀνδρέαν τε καὶ Σωσίβιον καὶ αὐτὸς ἑαυτὸν ὁ Ἀριστέας παρακαθίζει συμβούλους. Ὥστε κωφὸν ἂν εἴη πρᾶγμα καὶ λίαν ἄτοπον τὸ νομίζειν, ὅτι δι' ἄλλην αἰτίαν παρεσιώπησε τὸν Σωτῆρα Πτολεμαῖον ὁ Ἀριστέας, εἰ μὴ διότι τοῦτον ὑπελάμβανε μηκέτι περιόντα τῷ βίῳ ».

Ἀπαντῶμεν.

Εἰ μὲν ὁ Ἀριστέας ἐφρόνει ζῶντας ἢ τεθνηκότας τοὺς Φιλαδέλφου γονεῖς κατὰ τὸν χρόνον τῆς τῶν Γραφῶν ἑρμηνείας, αὐτὸς ἡμῖν ὁμολογήσει ῥητῶς ἀλλαχοῦ (βλ. ἔμπροσθ. Κεφ. η. §. ε, περὶ τὸ τέλος)· πρὸς δὲ τὰς ἀνωτέρω δῆθεν ἐξ αὐτοῦ συναγομένας εἰκασίας ἀποκρινόμεθα. Παντὸς πράγματος ἡ ἀκριβὴς καὶ ἀπέριττος ἱστορία μόνα τὰ πρόσωπα τοῦ δράματος ἀπαιτεῖ· ἀργὰ δὲ καὶ κωφὰ δορυφορήματα, καὶ πράξεις ἐπεισοδιώδεις, καταλείπει εἰς τὴν σκηνὴν καὶ τὴν δραματοποιΐαν. Μόνος ὁ Φιλάδελφος, νέος καὶ δραστήριος καὶ μάλιστα περὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης ἐνθουσιῶν, ἐφιλοτιμήθη καὶ περὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν. Πρὸς τοῦτον λοιπὸν καὶ ὁ Φαληρεὺς ἐκοινολογεῖτο, καὶ τὰ λοιπὰ ἀνεφέροντο. Νόμους δὲ πατρῴους ὁ Φιλάδελφος οὐδένας οὐδαμοῦ παρὰ τῷ Ἀριστέᾳ φαίνεται κατηργηκώς. Καὶ ἴσως ὁ Ὅδιος (ὑπερβολικώτερον καὶ ὧδε) *νόμους καὶ διατάξεις* ὠνόμασε τὴν εἰς δουλείαν τοῖς στρατιώταις ὑπὸ τοῦ Λάγου Πτολεμαίου παραχώρησιν τῶν πολλῶν αἰχμαλώτων Ἰουδαίων, οὓς ἀπελύτρωσεν ὁ Φιλάδελφος, παρακαλούμενος ὑπὸ τῶν ἰδίων ὑπασπιστῶν, Ἀνδρέου τε καὶ Σωσιβίου καὶ αὐτοῦ τοῦ Ἀριστέου. Ἀλλ' εἴπερ ἀπαθέστερον ἀνεγίνωσκε τὸν Ἀριστέα ὁ κριτικός, ἔβλεπεν ἂν φανερῶς, ὅτι «*τὸ χύμα τούτων τῶν αἰχμαλώτων εἴασεν εἰς οἰκετίαν ὁ Πτολεμαῖος — οὐχ οὕτω τῇ προαιρέσει κατὰ ψυχὴν ἔχων, ὡς κατακρατούμενος ὑπὸ τῶν στρατιωτῶν* » (Ἀριστέας σελ. 3). Ὅθεν καὶ ὁ υἱός, ὁ Φιλάδελφος, ἐκδιδοὺς τὸ διάταγμα τῆς ἀπολυτρώσεως ἀνεκήρυξε, «*καὶ παρὰ τὴν τοῦ πατρὸς ἡμῶν βούλησιν, καὶ παρὰ τὸ καλῶς ἔχον ᾐχμαλωτίσθαι αὐτούς* » (Αὐτ. σελ. 4). Καὶ τῷ πατρὶ λοιπὸν ὁ Φιλάδελφος,

ζῶντι καὶ ὁρῶντι, λίαν ἔπραττε κεχαρισμένα, καταργῶν τὸ παρὰ τὴν γνώμην καὶ τὴν θέλησιν αὐτοῦ γεγονὸς, ὅπερ ὁ κλεινὸς Ὅδιος *Νόμον* ἄντικρυς ἀποκαλεῖ. Ἤθελε δὲ ἄρα ὁ κριτικὸς ἵνα καὶ νέαν περὶ τούτου *διάταξιν* τοῦ μηκέτι τὸ κράτος διοικοῦντος πατρὸς ἀναφέρῃ ὁ Ἀριστέας, ὅπως ἂν ἐκ τούτου φανῇ ζῶντα τότε νομίζων καὶ περιόντα τὸν Σωτῆρα! Ἀλλ' ἄτοπα ταῦτα καὶ παράδοξα ἠξίωσεν ὁ σοφός. Ἔπειτα πόθεν οἶδεν ὅτι περὶ τούτων οὐδόλως ἐκοίνωσεν οὐδὲν ὁ Φιλάδελφος τῷ πατρὶ κατὰ τὰς οἰκιακὰς συναναστροφὰς, καὶ τὰς περὶ πολλῶν τῆς βασιλείας πραγμάτων συσκέψεις καὶ ἰδιολογίας; ἢ μήπως ὤφειλε καὶ ταύτας ἀναγράψαι διηγούμενος καταλεπτῶς ὁ Ἀριστέας, ὡς ἂν συνέγραφεν ἱσορίαν τῆς κατὰ τὴν διετίαν ἐκείνην συμβιώσεως τοῦ Σωτῆρος καὶ Φιλαδέλφου; Τελευταῖον, ὁ Φιλάδελφος, ζῶντος ἔτι τοῦ πατρὸς « *παραλαβὼν τὸ διάδημα* », διῴκει τὰ τῆς βασιλείας αὐτεξουσίως, οὐδ' εἶχεν ἐπὶ πᾶσι τὸν πατέρα παιδαγωγὸν ἐφεστῶτα. Καὶ τὰ περὶ τὴν ἑρμηνείαν λοιπὸν τῶν Γραφῶν ὡς μόνον αὐτὸν κατορθωκότα παρέστησεν ὁ Ἀριστέας, μηδόλως τοῦ πατρὸς μνημονεύσας (καί τοι συνειδότος τὸ πρᾶγμα, καὶ τῷ υἱῷ καταπιστεύσαντος· βλ. ἐφεξῆς Κεφ. Θ. §. κγ. ἄρθρ. ιϐ.). Εἰ δ' ἐκ τούτου τὸν ἱστορικὸν ὡς νόθον ἐξελέγχουσιν οἱ περὶ τὸν Ὅδιον, τί λοιπὸν βραδύνουσι καὶ οὐκ ἐκσυρίττουσι παρομοίως καὶ ἄλλους ἐνδόξους συγγραφεῖς; Ζῶν ἔτι καὶ Ἀντίγονος προσεῖπε τὸν υἱὸν Δημήτριον βασιλέα· καὶ τὸ διάδημα περιέθηκεν, οὐχὶ *παραχωρήσας* αὐτῷ ἢ ὅλης (ὡς ὁ πατὴρ τῷ Φιλαδέλφῳ), ἢ γοῦν τοῦ πλείστου τῆς βασιλείας, ἀλλ' αὐτὸς ὁ Ἀντίγονος αὐθαιρέτως κυριαρχῶν καὶ διοικῶν τὴν Ἀσίαν. Καὶ ὅμως ὁ Δημήτριος ἔπραττε μυρία αὐτογνωμόνως, τά τε περὶ τὰς δυνάμεις παρασκευάζων, « *ὡς πάντα ἐκ περιουσίας ὑπάρχειν βουλόμενος εἰς τὰς χρείας, καὶ τῆς περὶ τὰς ναῦς καὶ τὰς μηχανὰς μεγαλουργίας ἀπλήστως ἔχων* », καὶ πόλεμον, ἢ συνθήκας καὶ εἰρήνην (ὡς πρὸς τοὺς Ῥοδίους) διαπεραίνων, καὶ τὴν Ἑλλάδα ἐλευθερῶν. Ὅθεν καὶ οἱ Ἀθηναῖοι, Κασσάνδρου τὸ ἄστυ πολιορκοῦντος, « *τὸν Δημήτριον ἐκάλουν* »· (ὅτι δὲ καὶ πρέσβεις

αἱ πόλεις πρὸς αὐτὸν οὐκ ἔπεμπον, ἀλλὰ *θεωροὺς* [ὡς πρὸς θεὸν], καὶ τὰς ἀποκρίσεις *χρησμοὺς* ὠνόμαζον, καὶ τὰ τοιαῦτα κάταισχρα, κολακεύματα παραλείπομεν). Καὶ ἄλλα δὲ πολλὰ μετὰ τῶν ἄλλων ἱστορικῶν καὶ ὁ Χαιρωνεὺς ὡς ἔργα διηγεῖται τοῦ Δημητρίου, μηδόλως ἔν γε τούτοις Ἀντιγόνου, ζῶντος ἔτι καὶ βασιλεύοντος-μεμνημένος (α). Ἀλλὰ μήποτε παρὰ τοῦτο φανήσεται καὶ οὗτος νομίζων μηκέτι τότε ζῶντα τὸν πατέρα τοῦ Δημητρίου; Καὶ ταῦτα μὲν τοιαῦτα.

Τοῦ δὲ Φιλαδέλφου ποία τις ὑπῆρξεν ἡ μετὰ τοῦ πατρὸς συμβασιλεία; ζητεῖται γὰρ καὶ περὶ τούτου. Ὁ μὲν οὖν Ὅδιος διατείνεται ὅτι οὐδέποτ' ἐπαύσατο ὁ πατὴρ διέπων τὸ βασίλειον κράτος (σελ. 20. σημ.). Ὁ δὲ Οὐόσσιος ἀπήντησεν, ὅτι καὶ ἄλλους μὲν τινας ἐνιαυτοὺς συνεβασίλευσεν ὁ Φιλάδελφος τῷ πατρὶ (ὑπερβολικώτερον, ἴσως, τοῦτο λέγων, πρὸς ὃ δικαίως ἀντεῖπεν Ὅδιος), κατὰ δὲ τὴν τελευταίαν τοῦ πατρὸς διετίαν παντάπασιν ἐγένετο τῆς βασιλείας ἐγκρατής, παραχωρήσαντος αὐτῷ τοῦ πατρός (β). Καὶ ὅτι μὲν συνεβασίλευσεν ὁ Φιλάδελφος τῷ πατρὶ *διετίαν*, μαρτυροῦσι πολλοί· α) Ὁ Λουκιανὸς (ὅστις, ἄπορον, πῶς διέλαθε τὸν Ὅδιον) « Πτολεμαῖος δὲ ὁ Λάγου ζῶν παρέδωκε τὴν ἀρχὴν *πρὸ δυοῖν ἐτοῖν* τῆς τελευτῆς τῷ Πτολεμαίῳ τῷ υἱῷ, Φιλαδέλφῳ δὲ ἐπίκλησιν, ὅστις διεδέξατο τὴν πατρῴαν βασιλείαν » (γ). — β) Ὁ Πορφύριος· « Πτολεμαῖος ὁ ἐπικληθεὶς Φιλάδελφος ζῶντος μὲν ἔτι τοῦ πατρὸς *δύο πληροῖ τῆς βασιλείας ἔτη*, ἀποθανόντος δὲ, ὀκτὼ καὶ τριάκοντα » (δ) — γ) Ὁ Παυσανίας (Α, ς. §. 8.) « Ὁ δὲ Πτολεμαῖος (ὁ Λάγου) — ὡς ἦν οἱ πλησίον ἡ τελευτὴ » (δηλονότι *πρὸ δύω ἐτῶν*) « Πτολεμαῖον ἀπέλιπεν Αἰγύπτου βασιλεύειν, γεγονότα ἐκ Βερενίκης » κτλ. — δ) Ὁ τοῦ Θεοκρίτου Σχολιαστὴς (εἰς Εἰδύλ. ιζ. 41) « ζῶν γὰρ ἔτι ὁ Σωτὴρ ἐκοινοποίησε

(α) Βλ. Πλούταρχ. Δημητρ. §. ιη, κη. πρβλ. καὶ § ιγ. καὶ περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. λόγ. Β. καὶ Διόδ. Σικελ. Κ. 784. — (β) J. Voss. Append. ad Pomp. Mel. p. 61. — (γ) Λουκιαν. Μακροβ σελ. 216. τόμ. 3. ἐκδ. Reitz. — (δ) Πορφύρ. παρ' Εὐσεβ. χρονικ. Α. κεφ. κβ. σελ. 115. ἐκδ. Mediol.

τῷ Φιλαδέλφῳ τὴν βασιλείαν» κτλ. Ἀλλὰ μέχρι πόσου τάχα ἡ κοινοποίησις ἐπετείνετο; Τὸ τοῦ Λουκιανοῦ «*παρέδωκε τὴν ἀρχὴν*», καὶ τὸ τοῦ Ἑρμίππου «*παραδοῦναι τὸ διάδημα τῷ ἐκ* Βερενίκης», καὶ τὸ τοῦ Ἡρακλείδου, *τῷ Φιλαδέλφῳ τὴν βασιλείαν θέλειν ἐκχωρῆσαι τὸν Πτολεμαῖον* (βλ. ὄπισθ. κεφ. ε. §. α, ϐ.), καὶ αὐτὸ τὸ τοῦ Πορφυρίου «*δύο πλημοῖ τῆς βασιλείας ἔτη*» (καὶ ἀλλαχοῦ, «*τῆς ἀρχῆς παρεχώρησε τῷ υἱῷ*), ταῦτα δεικνύουσι τὸν Φιλάδελφον ὅλης τῆς βασιλείας ἐγκρατῆ, μοναρχικῶς διοικοῦντα τὸ κράτος· τοῦτο δὲ λαμπρῶς καὶ Ἰουστῖνος ὁ ἱστορικὸς μαρτυρεῖ λέγων, «Πτολεμαῖος, — παρὰ τὰ δίκαια τῶν ἐθνῶν, τῷ νεωτάτῳ τῶν υἱέων, πρὶν ἢ νοσήσῃ (πρὸς θάνατον), — παρέδωκε τὴν βασιλείαν. — Ἐν δὲ τοῖς ἄλλοις δείγμασι τῆς τοῦ πατρὸς πρὸς τὸν υἱὸν φιλοστοργίας, καὶ τοῦτο μάλιστα τὴν τοῦ λαοῦ εὔνοιαν περιεποίησε τῷ νέῳ (τῷ Φιλαδέλφῳ). Ὁ γὰρ πατὴρ, παραδοὺς αὐτῷ δημοσίᾳ τὴν βασιλείαν, μεταξὺ τῶν δορυφόρων ὡς ἰδιώτης ὑπηρέτει τῷ βασιλεῖ, κρεῖττον βασιλείας ἁπάσης τιθεὶς τὸ βασιλέως εἶναι πατήρ» (α). Καὶ κατὰ ταῦτα τοίνυν ὁ Λαγίδης Πτολεμαῖος φαίνεται πᾶσαν τὴν βασιλικὴν ἐξουσίαν τῷ υἱῷ παραχωρήσας (ϐ). Ἀλλ' ἑτέρωθεν πάλιν, ἐπειδὴ καὶ αὐτὸς ὁ Πορφύριος, καὶ Δέξιππος, καὶ Ἀφρικανὸς παρ' Εὐσεβίῳ (γ) τεσσαράκοντα ἔτη τὸν πάντα χρόνον βασιλεῦσαι λέγουσι τὸν Λαγίδην Πτολεμαῖον (συνεπιλογιζόμενοι δηλονότι καὶ τὴν διετίαν, καθ' ἣν συνεβασίλευσε τῷ υἱῷ), φαίνεται ὅτι τὸ μὲν σχῆμα καὶ τὴν τιμὴν τῆς

(α) Justin. Libr. XVI. c. 2. πρϐλ. Champoll. Annal. des Lagid. T. 1. p. 386.

(ϐ) «Οὕτω καὶ Ἀριαράθης (Καππαδοκῶν ϐασιλεὺς) ἐξίστατο τῆς ὅλης ἀρχῆς τῷ παιδὶ» (Διόδωρ. ἐκλογ. βιϐλ. λα. τόμ. ϐ. σελ. 518. Wess.). Ἄλλος δὲ πάλιν Καππάδοξ ἀρχαιότερος, ὁ Ἀριάμνης, «ζῶν ἔτι περιέθετο τῷ παιδὶ (Ἀριαράθῃ τῷ α) τὸ διάδημα, καὶ συνάρχειν πάντων τῶν τῆς βασιλείας προτερημάτων ἐπίσης μετέδωκε» (αὐτόθ.).

(γ) Εὐσεϐ. Χρονικ. Α. κϐ. ἐκδ. Mediol. πρϐλ. καὶ ἐκδ. Scalig. Χρονικ. α. σελ. 58 κτλ. Πρόσθες καὶ τὸν Ἰώσηπον (Ἀρχαιολ ΙΒ. ϐ. §. 1)· ὁ δὲ Ὄδιος τοῦτον παραλείψας ἐμνημόνευσεν (ἐκ τοῦ Κορνηλίου Νέπωτος) τὸ παρά τισιν ἀλογώτατα καὶ ψευδῶς πιστευθὲν, ὅτι ἄρα ὁ Φιλάδελφος φαρμάκῳ ἀπέκτεινε τὸν πατέρα, τῆς βασιλείας ἐπιθυμῶν (Hody pag. 20.)

βασιλείας διετήρησεν ὁ Λαγίδης· καὶ κατὰ τοῦτο μόνον ἐλέγετο συμβασιλεύειν τῷ υἱῷ (ὅστις ἠπίστατο καὶ ἄλλως θεραπεύειν καὶ τιμᾷν βασιλικῶς τὸν πατέρα) (α). Ἄλλως δὲ, τὸ κράτος ὅλον διεῖπεν ὁ Φιλάδελφος αὐτοτελῶς καὶ αὐτεξουσίως καθ' ὅλην τὴν διετίαν. Τοῦτο βεβαιοῦσιν οἱ ἀνωτέρω μνημονευθέντες, Ἡρακλείδης, Ἕρμιππος, αὐτὸς ὁ τὰ τούτων μεταγράφων Λαέρτιος, Παυσανίας, Πορφύριος, Ἰουστῖνος. Τούτοις πρόσθες καὶ τὸν Πλούταρχον, ὅςις παραβάλλει τὸν Φιλάδελφον πρὸς τὸν Σελεύκου Ἀντίοχον, καὶ τὸν Δαρείου Ἀρταξέρξην (τὸν τοῦ Κύρου Ἀδελφὸν), οἵτινες, ζώντων τῶν Πατέρων, παρέλαβον τὴν βασιλείαν (βλ. ἐφεξῆς §. ς. ἀπαντ. σημ.), καὶ τὸν Ἀππιανὸν (Συριακ. γ.) «ὅτι τῷ νεωτάτῳ παιδὶ ὁ Πτολεμαῖος τὴν *ἀρχὴν ἐπενόει δοῦναι*», καὶ τὸν Ἡρωδιανὸν (Α, 6) ἱστοροῦντα τὸν φιλάδελφον ἐν νεότητι *τὴν ἀρχὴν παραλαβεῖν*· αὐτὸν πρὸ πάντων τὸν παρὰ τῷ νεωστὶ βασιλεύσαντι Φιλαδέλφῳ διατρίψαντα Θεόκριτον (ΙΖ, 40), κηρύττοντα σαφῶς, ὅτι ὁ Σωτὴρ «*ὧδέ κε παισὶ*» (τῷ Φιλαδέλφῳ καὶ τῇ ἀδελφῇ καὶ βασσιλίσσῃ Ἀρσινόῃ)

«Θαρσήσας σφετέροισιν ἐπιτρέποι οἶκον ἅπαντα.» (βλ. ἐφεξ. §. ις).

αὐτὸν τελευταῖον τὸν Φιλάδελφον, ὅστις (ἐν τῇ πρὸς Ἐλεάζαρον ἐπιστολῇ) λέγει καθαρῶς, ὅτι «*παρέλαβε* (παρὰ τοῦ πατρὸς) *τὴν βασιλείαν*». Καὶ αὐτὸς λοιπὸν αὐταρχικῶς τά τε ἄλλα διῴκει καὶ τὰ περὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν. Καὶ τοῦτο μὲν τοιοῦτο· μετέλθωμεν δὲ ἤδη καὶ εἰς τὰ λοιπὰ τῶν ἀντιῤῥήσεων.

§. έ. Γ) Ἄλλο. «Τὸ προοίμιον (λέγει) τῆς Ἐλεαζάρου τοῦ Ἀρχιερέως πρὸς Φιλάδελφον ἐπιστολῆς ἄρχεται οὕτως. «*Αὐτός τε ἔῤῥωσΟ, καὶ ἡ βασίλισσα Ἀρσινόη ἡ ἀδελφὴ, καὶ τὰ τέκνα,*

(α) Τοιοῦτό τι συμπεραίνεται καὶ ἐξ ὧν ὁ Μέμνων ἱστορεῖ (παρὰ Φωτ. ἀναγν. ρκδ. κεφ. 13). ὅτι ἄρα ὁ Σέλευκος (πρὸς ὃν κατέφυγεν ἐκπεσὼν τῆς Αἰγύπτου ὁ Κεραυνὸς) ὑποσχέσεις αὐτῷ παρεῖχεν, «εἰ τελευτήσειεν ὁ γεινάμενος» (ὁ Λαγίδης Πτολεμαῖος) «εἰς τὴν Αἴγυπτον, πατρῴαν οὖσαν ἀρχὴν, αὐτὸν καταγεῖν» (ὡς ἔτι δηλαδὴ τιμωμένου καὶ φόβον παρέχοντος τοῦ ζῶντος Πτολεμαίου, καὶ ἀφ' οὗ παρέδωκε τῷ υἱῷ τὴν βασιλείαν).

καλῶς ἂν ἔχοι » (α). Ἐκ δὲ τούτου πολλὰ προκύπτουσιν ἐπιχειρήματα πρὸς ἀπόδειξιν. Καὶ πρώτιστον, ὅτι κατὰ τὴν προσαγόρευσιν ἀναφέρεται μὲν ἡ *βασίλισσα καὶ τὰ τέκνα* τοῦ Φιλαδέλφου, τῶν δὲ γονέων οὐδεμία γίνεται μνήμη· διότι τούτους ὡς οὐκέτι τότε ζῶντας ὑπελάμβανε πάντως ὁ συγγραφεὺς τῆς ἐπιστολῆς. Τοῦτ' αὐτὸ πορίζεται καὶ ἐκ τῆς εὐχῆς ἑνός τινος τῶν οβ, πρεσβυτέρων, ὃν εἰσήγαγεν ἐν τῷ συμποσίῳ πρὸς εὐλογίαν τῆς τραπέζης λέγοντα τάδε· « Πληρῶσαι σε, βασιλεῦ, πάντων τῶν ἀγαθῶν ὧν ἔκτισεν ὁ παντοκράτωρ θεός· καὶ δῴη σοι *ταῦτ' ἔχειν καὶ γυναικὶ καὶ τέκνοις καὶ τοῖς ὁμονοοῦσιν ἀνέκλειπτα* » κτλ.

Ἀπαντῶμεν.

Ὁ Ἐλεάζαρος, παρὰ μόνου τοῦ Φιλαδέλφου τὴν ἐπιστολὴν δεξάμενος καὶ τὰ δῶρα, πρὸς τοῦτον καὶ μόνον ὤφειλεν ἀπαντῆσαι. Προσαγορεύων δὲ τὸν βασιλέα συνῆψε καὶ *τὰ τέκνα καὶ τὴν βασίλισσαν*, πάντως κατὰ τὸν τότε συνήθη τύπον τῶν πολιτικῶν ἐπιστολῶν, ἀλλαχοῦ τε κρατοῦντα, καὶ μάλιστα κατὰ τὴν αὐλὴν

(α) Οὕτως ἐξέδωκεν Ὅδιος τὸ προοίμιον τοῦτο, καὶ κατ' αὐτὴν τὴν Ἀριστέου συγγραφὴν (σελ. VII), ὡσαύτως καὶ ὁ λογιώτατος Βανδάλης (σελ. 247), ἐξ ἡμαρτημένων πάντως παλαιῶν ἀπογράφων ἀμφότεροι πλανηθέντες ἐξ ἀγνοίας (ὡς καὶ ὁ Rosenmüller Handbuch für die Literatur etc. 2 Bd. p. 381). Ἐν δὲ τῷ ἀνωτέρῳ χωρίῳ ὁ Ὅδιος (σελ. 20) γράψας παλιν τὴν κακὴν γραφὴν ἀπαραλλάκτως, ἔπειτα προσέθηκε διὰ παρενθέσεως καὶ ταῦτα (vel, ut melius legitur apud Eusebium, Εἰ αὐτός τε ἔῤῥωσΑΙ), καλὴν δηλονότι καὶ τὴν πρώτην φράσιν εὑρίσκων, (τὴν διόλου βάρβαρον καὶ ἀναναταπόδοτον), κρείττονα δὲ ὅμως τὴν παρ' Εὐσεβίῳ (τὴν μόνην δηλαδὴ ὀρθὴν καὶ ἑλληνικὴν, ἣν ὤφειλε πάντως καὶ εἰς τὸ κείμενον τοῦ Ἀριστέου εἰσαγαγεῖν, καὶ αὐτὸς μεταγράφειν ὁσάκις ἤθελεν). Οὐ μόνον δὲ παρ' Εὐσεβίου, ἀλλὰ καὶ ἄλλοθεν ὁ σοφὸς ἑλληνιστὴς ἠδύνατο μαθεῖν τὸ μόνον ὀρθῶς ἔχον τῆς γραφῆς. οἷον, Β. Μακκ. Θ, 20. « Εἰ ἔῤῥωσθε, καὶ τὰ τέκνα » κτλ. καὶ « Εἰ ἔῤῥωσαι, εὖ ἂν ἔχοι » (Ἰώσηπ. Ἀρχαιολ. ΙΒ. γ. §. δ, Τοιοῦτο καὶ τὸ παρὰ λατίνοις, οἷον τῷ Κικέρωνι, συνηθέστατον ἐν ταῖς ἐπιστολαῖς « Si vales, bene est. ego quoque valeo. »)· καὶ ἀλλαχοῦ δὲ βλέπει τις τὸν ἀρχαῖον τοῦτον τύπον τοῦ προοιμίου τῆς ἐπιστολῆς· ὡσαύτως δὲ καὶ παρ' αὐτῷ τῷ Ἀριστέᾳ ἀναγνοὺς ὁ Ἰώσηπος ἐξέφερεν αὐτὸς τὴν φράσιν συνεπτυγμένως « Ἐῤῥωμένων σοῦ τε καὶ τῆς βασιλίσσης Ἀρσινόης καὶ τῶν τέκνων, καλῶς ἡμῖν ἔχει πάντα » (Ἀρχαιολ. ΙΒ. Ϛ. §. ε).

τῶν Πτολεμαίων, καὶ πρώτιστα τοῦ Φιλαδέλφου (ὅστις ἔχαιρε πανταχοῦ συνάπτων μετὰ τοῦ ἰδίου καὶ τὸ ὄνομα τῆς βασιλίσσης καὶ ἀδελφῆς Ἀρσινόης, οἷον κοινωνοῦ τῆς βασιλείας, ὡς ἄλλαι τε δηλοῦσιν ἐπιγραφαὶ, καὶ νομίσματα προσέτι, καὶ ζῶντος αὐτοῦ καὶ τεθνηκότος κεκομμένα, φέροντα τὸ « *Ἀδελφῶν* », ἢ « *Θεῶν ἀδελφῶν* ») (α). Ὁ δὲ κριτικὸς ἤθελεν ἄρα καὶ τῶν γονέων (τί δ᾽ οὐχὶ καὶ τῶν ἀδελφῶν, καὶ πάντων τῶν οἰκείων;) τὴν ἐπίσημον προσαγόρευσιν· ἀπούσης δὲ ταύτης, ἀποδείκνυσι λοιπὸν τὸν συγγραφέα, τεθνηκότας ἤδη νομίζοντα τοὺς σιωπηθέντας γεννήτορας τοῦ Φιλαδέλφου. Ἀλλ᾽ οὕτω κινδυνεύουσι καὶ πάντες οἱ καθ᾽ ἡμᾶς βασιλεῖς ὀρφανοὶ γονέων τε καὶ τέκνων, καὶ χηρεύοντες βασιλισσῶν ἀποδείκνυσθαι, ὡς ἐκ τοῦ νῦν ἐν ταῖς αὐλαῖς ἐπικρατοῦντος τύπου τῶν ἐπιστολῶν, ἐν αἷς οὔτε γεννητόρων, οὔτε

(α) Καὶ ἐν τῷ Ἀδουλιτανῷ, ἢ Ἀδουλαίῳ λεγομένῳ μνημείῳ (monumentum Adulitanum, ἀπὸ Ἀδούλης, πόλεως Αἰθιοπικῆς, ὅπου εὑρέθη κεχαραγμένον ἐπὶ δίφρου μαρμαρίνου) ἀναγινώσκεται ἡ Πτολεμαίου τοῦ Εὐεργέτου (υἱοῦ τοῦ Φιλαδέλφου) ἐφεξῆς ἐπιγραφή· « Βασιλεὺς μέγας Πτολεμαῖος, υἱὸς βασιλέως Πτολεμαίου καὶ βασιλίσσης Ἀρσινόης, θεῶν ἀδελφῶν, τῶν » (ὑπάκουε τέκνων) « βασιλέωΝ (ἴσ. γρ. ΒασιλέωΣ) Πτολεμαίου καὶ βασιλίσσης Βερενίκης, Θεῶν Σωτήρων » κτλ. (βλ. Κοσμ. Ἰνδικοπλ. Χριστιαν. τοπογρ. ἐν Montfaucon Collect. Nov. PP. Tom. 2. p. 141 καὶ, Demagistr. l. c. p. 425)· πρβλ. Eckel Doctr. Num. P. I. Tom. IV. p. 9 sq. —Ed. Chishul. Antiquit. Asiat. p. 73—80. Londin. 1728. — Wolf und Buttmann Museum der Alterthums-Wissenschalt. vol. 2. p. 105. — Annal. de l'Institut. de Correspond. Archéolog. T. XII. p. 262. Roma 1841. κτλ. Τοῦτο δὲ τὸ ἀξιολογώτατον μνημεῖον νόθον ἐνόμισάν τινες τῶν καχυπόπτων Κριτικῶν (οἷον Beyer in Thes. Brandeb. vol. 3. καὶ ἄλλοι, καὶ ὁ πάντων μάλιστα δριμύτατος Οὐαλκενῆρος. Valcken. Elegiar. fragm. Callimach. p. 90), προπηλακίζοντες τὸν πρῶτον τὴν ἐπιγραφὴν ἀνακαλύψαντα Κοσμᾶν ὡς εὔπιστον, ἢ καὶ πλάνον γόητα· ἀλλ᾽ ἀντεῖπον πρὸς αὐτοὺς ἄλλοι τε καὶ ὁ Βυτμάννος (Buttman. l. c.). καὶ ὁ καιρὸς ἀπέδειξε τὸ βέβαιον καὶ γνήσιον τοῦ μνημείου. Μόνον τὸ δεύτερον μέρος τούτου ὑπέλαβον οἱ περὶ τὸν Σακῦν (Annales des voyages, Memoir. de m. de Sacy T. XII. p. 330), ὡς ἀνῆκον εἰς ἕτερον τοῦ Α, Εὐεργέτου βασιλέα. Βλ. Champol. Annal. des Lagides T. 2. p. 49. 55. πρβλ. Saxe Onomast. Liter. p. 212—216. — Fabric. Bibl. Graec. vol. 4. p. 251. Harl. Schoell. Hist. de la litt. Gr T. 3. p. 53. 59. Βλ. καὶ ἐφεξῆς § η. καὶ κεφ. ζ, §. λη.

βασιλίσσης, ἢ τέκνων, γίνεται μνεία. Καὶ καθόλου δὲ θεωρουμένου τοῦ χαρακτῆρος τῶν ἐπιστολῶν, πολλῆς ἀτοπίας ἔμπλεως φαίνεται ἡ ἀντίῤῥησις. Καλὰ, μὰ τὴν ἀλήθειαν, καὶ βέβαια συνάγει τις τὸν χρόνον, καθ᾽ ὃν ἀπέθανόν τινος οἱ γονεῖς, συμπεραίνων ἔκ τινος πρὸς τοῦτον παρὰ φίλου πεμφθείσης ἐπιστολῆς, ἥτις προσαγορεύουσα τὴν αὐτοῦ γυναῖκα καὶ τὰ τέκνα παρέλιπεν ἀπροσαγορεύτους ἐκείνους! Πόσης δὲ ἀδικίας γέμει κἀκεῖνο. Ὁ Ἐλεάζαρος γράφει τὴν ἐπιστολὴν πρὸς τὸν Φιλάδελφον, καὶ ὁ Ἀριστέας ὑπέχει λόγον περὶ τῆς μὴ προσαγορεύσεως τῶν ἐκείνου γονέων. Ἀλλ᾽ ὤφειλε (νομίζομεν) ὁ κριτικὸς, εἴπερ ἤθελεν, αὐτὸν κἂν λοιδορεῖν τὸν ἀρχιερέα « *περὶ τοῦ* (κατ᾽ αὐτὸν) *ἐν τῇ προσαγορεύσει τούτου πταίσματος* »· (καινοτέραν ταύτην ἐκείνου τοῦ Λουκιανείου σφάλματος μομφὴν ἀνακινῶν). Ὁ δὲ, τὸν Ἐλεάζαρον ἀφεὶς, ἄγχει τὸν παραδόντα καὶ αὐτῷ καὶ πάσῃ τῇ φιλολογικῇ ἱστορίᾳ τὴν καλὴν ἐπιστολὴν, ὡς σκότιον πατέρα καὶ νόθον νόθου γεννήματος. — Τοιαῦτα καὶ περὶ τῆς εὐχῆς τοῦ γέροντος ἀπαντῶμεν. Ὁ Φιλάδελφος μόνος παρουσίαζεν ἐν τῷ συμποσίῳ φιλοξενῶν τοὺς νεήλυδας πρεσβυτέρους ἑρμηνευτάς· καὶ πρὸς τοῦτον μόνον ὁ ἱερεὺς Ἐλεάζαρος ἀπεύθυνε τὴν εὐχὴν, ἅμα καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων (κατὰ τὸν τύπον πάλιν) ἐπιμνησθείς (α).

(α) Ὁ Ὅδιος λέγει τὴν εὐχὴν γενομένην « ἐ π' ε ὐ λ ο γ ί ᾳ (ἢ κ α θ ι ε ρ ώ σ ε ι) τ ῆ ς τ ρ α π έ ζ η ς (ad mensam consecrandam. pag. 20), ἴσως καταμωκώμενος καὶ τούτου, καθὼς καὶ ἄλλων τῆς Ἀριστηΐδος ἱστορίας πολλῶν· (ἢ διὰ τί « τ ρ α π έ ζ η ς ε ὐ λ ο γ ί α ν, ἢ κ α θ ι έ ρ ω σ ι ν, ὀνομάζει τὴν πρὸ τῆς τραπέζης ἁπλῆν τῶν ἑστιωμένων εὐχήν ;). Ἀλλὰ τὸ καὶ πρότερον καὶ ὕστερον μάλιστα τῆς τραπέζης εὔχεσθαι πρὸς θεὸν ὑπῆρχε σύνηθες ἐξ ἀρχῆς (ὡς ἐπίσταται καὶ Ὅδιος), οὐ μόνον παῤ Ἰουδαίοις, ἀλλὰ καὶ παῤ ἐθνικοῖς. Οὕτω κατ᾽ αὐτὴν τὴν τράπεζαν τοῦ Φιλαδέλφου παρῆσαν καὶ « ἱεροκήρυκες καὶ θύται, οἷς ἔθος ἦν τὰς κατευχὰς ποιεῖσθαι. » (οὓς ἐκώλυσε τότε ὁ ἐπὶ τῆς τραπέζης Δωρόθεος. Ἀριστέας σελ. 21 ἐκδ. Hod.). Καὶ Ἕλληνες δὲ ηὔχοντο πρῶτον ἐπὶ τῶν θυσιῶν, μεθ᾽ ἃς εὐωχοῦντο· καὶ ἀπὸ τῆς τραπέζης πάλιν ἐξανιστάμενοι ἔ σ π ε ν δ ο ν (ὡς περὶ τούτων ἡ ἀρχαιολογία διδάσκει, καὶ πάμπολλα χωρία συγγραφέων και ποιητῶν). « πᾶσα γὰρ συμποσίου συναγωγὴ παρὰ τοῖς ἀρχαίοις τὴν αἰτίαν εἰς θεὸν ἀνέφερε, καὶ στεφάνοις ἐχρῶντο τοῖς οἰκείοις τῶν θεῶν, καὶ ὕμνοις καὶ ᾠδαῖς » (Ἀθήν. Ε. 192. πρβλ. αὐτ. 179. κτλ.).

Ὁ δὲ πατὴρ, ὁ Λαγίδης, οὔτ᾽ ἐπὶ τῆς ἑστιάσεως παρῆν, οὔτε μετὰ τῶν πρεσβυτέρων ἱστορεῖται (καθὼς ὁ Φιλάδελφος) πρότερον συνδιαλεχθείς· ἢ μήπως ἡ σύντομος ἐκείνη εὐχὴ ἔπρεπεν ἵνα ἐκφωνηθῇ καὶ ὡς γενεαλογία τοῦ Φιλαδέλφου, μεμνημένη πάντων τῶν συγγενῶν ἐξ ὀνόματος; Ἔπειτα καὶ ἄλλως, μὴ οὐ συμπεριέχονται καὶ οἱ γονεῖς *μετὰ τῶν ὁμονοούντων*, ὧν ἐμνημόνευσεν ἡ εὐχὴ περιληπτικῶς; Τελευταῖον, τὸ μήτ᾽ ἐν τῇ ἐπιστολῇ, μήτε κατὰ τὴν εὐχὴν, μνημονεύεσθαι τὸν Λαγίδην, τοῦτο δείκνυσιν αὐτὸν πεπαυμένον οὐχὶ τῆς ζωῆς, ἀλλὰ τῶν φροντίδων τῆς βασιλείας, ἣν εἶχεν ἤδη παραχωρήσας τῷ υἱῷ, τῷ Φιλαδέλφῳ. Καὶ βεβαιοῦται ἄρα καὶ ἐκ τούτου, ὅτι ἡ περὶ τὴν μετάφρασιν τῶν Γραφῶν πραγματεία, καὶ ἡ τῶν Ο, ἑρμηνευτῶν εἰς τὴν Ἀλεξάνδρειαν ἄφιξις ἐγένετο κατὰ τὸν α, ἢ τὸν β, ἐνιαυτὸν τῆς τελευταίας διετίας τοῦ Λαγίδου Πτολεμαίου, καθ᾽ ἣν τῷ υἱῷ συνεβασίλευεν, ὡς προείπομεν.

§. ϛ΄. Δ) « Καὶ ἡ ἐπιστολὴ καὶ ἡ εὐχὴ μνημονεύουσι (λέγει) *βασιλίσσης καὶ τέκνων* τοῦ Φιλαδέλφου. Ἀλλὰ πόθεν τότε βασίλισσα καὶ τέκνα τῷ Φιλαδέλφῳ, ὅστις παρέλαβε τὴν βασιλείαν νεώτατος; « *Νέον* » αὐτὸν ὀνομάζει ὁ ἱστορικὸς Ἰουστῖνος (ιϛ. 6)· « *Ἐν νεότητι τὴν βασιλείαν αὐτὸν παραλαβεῖν* » εἶπε καὶ Ἡρωδιανὸς (Α, 6), καὶ ὅτι, « *διὰ τὸ ἄωρον τῆς ἡλικίας*, οὕτω διεφθάρη τὰ ἤθη, ὥστε καὶ ἀδελφικοῖς ἔρωσιν ἐμπλακῆναι » (α). Συμφωνεῖ καὶ ὁ Πορφύριος ἐν τῷ περὶ Πτολεμαίων (παρ᾽ Εὐσεβ. Χρονικ. Α. ι) λέγων « *τῷ υἱῷ Πτολεμαίῳ, τῷ παιδὶ τὴν ἀρχὴν διαδεξαμένῳ* » (β). Τούτοις (εἴ τις χρεία βεβαιώσεως) προστε-

---

(α) Τοῦτο τὸ « διὰ τὸ ἄωρον τῆς ἡλικίας » κτλ. οὐκ οἶδεν Ἡρωδιανὸς (Βλ. τὴν τούτου ῥῆσιν ἐφεξῆς §. ΙΒ. ἄρθρ. ζ.), καὶ δικαίως ὁ Οὐόσσιος ἐξήλεγξε τὸν Ὅδιον, ὡς κακῶς ἑρμηνεύσαντα τὸ χωρίον τοῦ Ἡρωδιανοῦ (Voss. Append. ad P. Mel. p. 63). Σημ. ἡμετ.

(β) Ἰδοὺ τοῦ Πορφυρίου ἡ φράσις ὁλόκληρος· « Πτολεμαῖος ὁ Λάγου καὶ Ἀρσινόης υἱὸς σατραπεύει μὲν τὰ πρῶτα ἔτη ἑπτὰ καὶ δέκα· βασιλεύει δὲ τρία καὶ εἴκοσιν· ὥστε πάντα μ, λογίζεσθαι αὐτῷ ἄχρι τῆς τελευτῆς. Ἐπεὶ δὲ ζῶν ἔτι τῆς ἀρχῆς

θήτω καὶ ὅτι, Πτολεμαῖος ὁ Κεραυνὸς (υἱὸς Λαγίδου καὶ αὐτὸς ἐξ Εὐρυδίκης), Μακεδόνων βασιλεὺς, τοῦ Φιλαδέλφου πρεσβύτερος, ὁπότε πρὸς Γαλάτας ἐπολέμησεν, ὑπῆρχε κατὰ τὸν Ἰουστῖνον (κδ, 4)· « *ἄωρος νεανίας* » (immaturus juvenis), καὶ « τὴν ἡλικίαν *νέος παντελῶς* », κατὰ Διόδωρον τὸν Σικελιώτην (Ἐκλογ. κβ). Ἐπολέμησε δὲ πρὸς τοὺς Γαλάτας τὸ δ, ἔτος περίπου μετὰ τὴν Πτολεμαίου τοῦ Λάγου τελευτὴν, καὶ ἐπομένως, ς, ἔτος, ἀφ᾽ οὗ ἐβασίλευσεν ὁ Φιλάδελφος (ὁ μὲν γὰρ Λαγίδης ἀπέθανε περὶ τὸ τέλος τῆς ρκγ, Ὀλυμπ. ὁ δὲ Κεραυνὸς ἀπώλετο ἐν τῷ Γαλατικῷ πολέμῳ περὶ τὸ τέλος τῆς ρκδ, Ὀλυμπ. ἢ ἀρχομένης τῆς ρκε. τὴν δὲ τοῦ Κεραυνοῦ βασιλείαν τίθησιν ὁ Εὐσέβιος τῷ γ, τῆς ρκδ, ὅπερ ἦν γ, ἔτος μετὰ τὸν θάνατον τοῦ Λαγίδου). *Εἰ δὲ νέος* παντελῶς ἦν ὁ τοῦ Φιλαδέλφου προγενέστερος Κεραυνὸς (ἀπέθανε δὲ οὗτος 28 ἢ 30 ἐτῶν), πόσῳ μᾶλλον ὑπῆρχε νεώτατος ὁ ὑστερογενὴς Φιλάδελφος; Τελευταῖον· καὶ ὁ Πλούταρχος (ἐν τῷ Β, περὶ τῆς Ἀλεξ. τύχης) ἐμπαρόδως ἀναφέρει τὸν Φιλάδελφον « *ἐγγηράσαντα τῇ βασιλείᾳ* », ὅπερ καὶ αὐτὸ συμφωνεῖ τοῖς προηγουμένοις. Ἐβασίλευσε καὶ γὰρ ὁ Φιλάδελφος ἔτη περίπου τεσσαράκοντα· δοθέντος τοίνυν, ὅτι, πρὶν ἢ παραλάβῃ τὴν ἀρχὴν, ἦγεν ἡλικίαν ἐτῶν 18, ἢ 20, ἕπεται λοιπὸν ὅτι ἔζησεν ἔτη τὰ πάντα 60. Κᾂν, εἴπωμεν, ὅτι παραλαμβάνων τὴν βασιλείαν ἦγεν ἔτη 16 (ὃ καὶ μᾶλλον πρὸς τὴν Πορφυρίου φράσιν ἁρμόζει, τὴν, « *παιδὶ παραλαβόντι τὴν βασιλείαν*), καὶ οὕτω πάλιν ὀρθῶς λέγεται *ἐγγηράσας τῇ βασιλείᾳ*, ζήσας ὅλους ἐνιαυτοὺς 56 ».

Ἀπαντῶμεν.

α) Περὶ τῆς σημασίας τοῦ *παῖς* καὶ *νέος* συνεβούλευσεν ὁ γηραιὸς

παρεχώρησε τῷ υἱῷ Πτολεμαίῳ, τῷ παιδὶ τὴν ἀρχὴν διαδεξαμένῳ, οὐκέτι δὴ τεσσαράκοντα, τριάκοντα δὲ καὶ ὀκτὼ τὰ τοῦ πρώτου Πτολεμαίου, ὃν Σωτῆρα ἀπεκάλουν, λογίζονται » (παρ᾽ Εὐσεβ. Χρον. α. σελ. 115. Med. καὶ ἐκδ. Scalig. p. 59. πρβλ. ἐφεξ. Ἀπαντήσ. ἄρθρ. γ.). Σημ. ἡμετ.

Ούόσιος τὸν Ὅδιον, ὅτι ταῦτα τὰ ὀνόματα οὐκ ἀείποτε βεβαίαν καὶ σταθερὰν ὁρίζουσιν ἡλικίαν· Καὶ γὰρ καὶ *τριακοντούτεις* λέγονται *νεανίαι* (adolescentes, αἰζηοὶ), καὶ μέχρι δὲ τοῦ τεσσαρακοστοῦ καὶ ἕκτου ἐνιαυτοῦ, *νέοι* (juvenes) πολλάκις μὲν παρ' Ἕλλησι, πάντοτε δὲ παρὰ τοῖς Ῥωμαίοις. » — Ἀλλ' Ὅδιος ἐπέμεινε, λέγων, ὅτι καὶ τούτου δοθέντος, τὸ τοῦ Ἡρωδιανοῦ ὅμως *ἐν νεότητι*, καὶ μάλιστα τοῦ Πορφυρίου τὸ *παιδὶ*, σημαίνει σταθερῶς *τὴν παιδικὴν ἡλικίαν* τοῦ Φιλαδέλφου· ἢ γελοῖος ἂν ἦν ὁ Πορφύριος προστιθεὶς τὸ *παῖδα τοῦτον ὄντα βασιλεῦσαι*, εἰ μὴ ἤθελε σημαίνειν τὸ τοῦ πράγματος ἀσύνηθες καὶ ἀξιοσημείωτον (α). Μάρτυς δὲ (λέγει) πάλιν αὐτὸς ὁ Πορφύριος, χρησάμενος καὶ ἀλλαχοῦ τῷ *παῖς* ἀκριβῶς ἐπὶ τοῦ κυρίου σημαινομένου τῆς ἡλικίας (β)». — Ἀλλὰ καὶ ταῦτα ματαίως ἀντεῖπεν Ὅδιος. Αὐτὸς οὗτος χρονογραφῶν τὸν Φιλάδελφον ὡς οὐ μόνον 16, *ἀλλὰ καὶ* 20 ἐτῶν, ἄλλο τι ποιεῖ, ἢ ὁμολογεῖ καὶ ἐκλαμβάνει *τὸ παῖς* τοῦ Πορφυρίου ἀντὶ τοῦ *ἔφηβος καὶ νέος*; Καὶ γὰρ « *οἱ ταῖς ἑβδομάσι διαιροῦντες τὰς ἡλικίας* » (Ἀριστοτ. Πολιτ. ζ), παῖδα μὲν λέγουσιν ἀπὸ τοῦ 7, μέχρι τοῦ 14 ἔτους· τὴν δ' ἐφεξῆς ἑβδομάδα τῶν ἐτῶν, *ἔφηβοι καὶ μειράκια*, ἢ *μείρακες*, καὶ *πάλληκες* (συνήθως παλληκάρια) καὶ κοῦ-

---

(α) Οὐδ' οὕτω πάλιν ἀσύνηθες (ὅσον Ὅδιος παρίστησιν) ὑπῆρχε παρὰ τοῖς ἀρχαίοις ἡ τῶν νεων βασιλεία. Ὁ Μ. Ἀλέξανδρος ἐβασίλευσε νέος παντελῶς (Πολύβ. ἐκλογ. σελ. 22, τόμ. 3, ἐκδ. Vindob. 1763. καὶ Διόδ. Σικελ. ΙΖ, 162), καὶ μόλις εἰκοσαετὴς, κατὰ τὸν Δέξιππον και Πλούταρχον (Ἀλεξ. §. ια). Ἐτῶν δὲ 24, ὁ τοῦ Φιλαδέλφου υἱὸς, Πτολεμ. ὁ Εὐεργέτης. Πολὺ δὲ τούτου νεώτερος, Πτολεμαῖος ὁ Φιλοπάτωρ (Πλούταρχ. Κλεομ. §. λγ. Πολύβ. Ε, 34). Ὁ δὲ Φιλομήτωρ, ἦν παιδίσκος (Ἀθήν. ε, 195). Ἀντίοχον δὲ τὸν τοῦ Σελεύκου παραλείπομεν (Πολύβ. αὐτ.). Τὸν δὲ Πύῤῥον ὁ Γλαυκίας (Ἰλλυριῶν βασιλεὺς), 17 ἐτῶν γενόμενον καταγαγὼν εἰς τὴν Ἤπειρον, βασιλέα κατέστησε. (Πλούταρ. Πύῤῥ. §. γ, καὶ δ). Καὶ Ἀριαράθης Καππαδοκῶν βασιλεὺς κατέλιπε τῷ υἱῷ τὴν βασιλείαν νηπίῳ παντελῶς ὄντι (Διόδ. ἐκλ. βιβλ. λα. τόμ. 6. σελ. 518 Wess. καὶ Φωτ. κωδ. ρμδ). κτλ. κτλ. Σημ. ἡμετ.

(β) « *Παῖδα μὲν οὖν ὄντα ἔπεμπεν εἰς κιθαριστοῦ καὶ παιδοτρίβου καὶ ζωγράφου, νεανίαν δὲ γενόμενον, εἰς Μίλητον πρὸς Ἀναξίμανδρον, μαθησόμενον τὰ γεωμετρικὰ καὶ ἀστρονομικά* » (ἐν βίῳ Πυθαγ.).

ροι καὶ *νεανίσκοι* καὶ *νεανίαι* ἢ *νέοι* καλοῦνται καὶ τὰ τοιαῦτα, μέχρι καὶ τοῦ 28, ἢ καὶ τοῦ 30 πολλάκις ἔτους ἐπεκτεινόμενα (α). Τούτων δὲ παραδείγματα, κἂν Οὐόσσιος ἀπεσιώπησεν (ὡς γνωστὰ καὶ συνήθη), ἀλλ' αὐτὸς πάλιν ὁ κριτικὸς ἠδύνατο καὶ ἄλλα πολλὰ πρὸς τῷ τοῦ Πορφυρίου προσθεῖναι· ὁποῖον, φέρ' εἰπεῖν, τὸ τοῦ ἐπιγράμματος ἐκεῖνο· « *Εἰκοσέτη* τὸν *παῖδα* θοὴ κατενήρατο μοῖρα » (ϐ). (Ὅθεν καὶ ὁ Γαληνὸς τὸν δεκαπενταέτη παῖδα ὠνόμασεν ὑποκοριστικῶς παιδάριον, ὡς τοῦ θετικοῦ μείζονα πολλάκις ἡλικίαν δηλοῦντος· περὶ Συνθ. φαρμ. Α. ζ). Ὁ δὲ Φίλων τὸν Ἰωσὴφ *τριακοντούτη* διορίσας (ὅτε τὴν ἀρχὴν παρέλαϐε τῆς Αἰγύπτου), *νεανίαν* τὸν αὐτὸν καὶ *νεανίσκον* καλεῖ (τόμ, ϐ. σελ. 56, 58, 77.). καὶ πάλιν ἀλλαχοῦ τὸν Γαΐου τοῦ αὐτοκράτορος ἀνεψιὸν καὶ διάδοχον *μειράκιον* διορίσας, ἔπειτα προσεῖπε καὶ *νήπιον κομιδῇ* (γ). Καὶ Ἀντίγονος ὁ μέγας τὸν υἱὸν Δημήτριον εἴκοσι καὶ δύω ἐτῶν ὄντα, καὶ στρατεύσαντα κατὰ Πτολεμαίου (*γενειήτην* τότε πάντως, ἢ γοῦν *ὑπηνήτην*), ἀπεκάλεσεν *ἀγένειον* (Πλουτ. Δημητ. §. ε, ϛ), ὁ δὲ Διόδωρος (ιθ, 381) καὶ *νέον παντελῶς*. Ἀλλὰ καὶ τὸν Ἀρταξέρξου τοῦ Μνήμονος υἱὸν Δαρεῖον ὁ Πλούταρχος ἱστορήσας « *πεντηκοστὸν ἔτος ἤδη γεγονότα* (ὁπότε τοῦτον ὁ πατὴρ ἀνέδειξε βασιλέα), ἔπειτα *νεανίσκον* αὐτὸν (διὰ τὸ ζηλότυπον) ἐπωνόμασεν (Ἀρταξ. §. κϛ, κη). Τί λοιπὸν παράδοξον, εἰ καὶ ὁ Πορφύριος, τὴν νεανικὴν ἡλικίαν τοῦ Φιλαδέλφου σημαίνων, προσεῖπεν αὐτὸν τὸ γενικώτερον ὄνομα, *παῖδα*; Ἴσως

(α) Βλ. Πολυδ. Β. κεφ. α. §. 1 καὶ κεφ. ϐ. §. 2—6. πρϐλ. ῥῆσιν Ἱπποκράτους, καὶ Σόλωνος ἐπίγραμ. παρὰ Φίλων. περὶ Κοσμοπ. Τ. α. σελ. 25. ἐκδ. Mang. καὶ Κλήμ. Στρωμ. ϛ. σελ. 494. ἐκδ. Heins. καὶ Πλούταρχ. περὶ τοῦ Εἰ τοῦ ἐν Δελφ. §. 18.

(ϐ) Ἀνθολογ. η, 124. Βλ. καὶ Delect. Epigram. Graec. ὑπὸ Fr. Jacobs. p. 313. Οὕτω καὶ Εὐσέϐιος τὸν εἰκοσαέτη Ὠριγένην, εἶπε πταίσαντα ἐν παιδὶ (ἐκκλ. ἱστορ. βιϐλ. ϛ. κεφ. η. πρϐλ. και κεφ. γ). « παῖς καὶ ὁ τῇ ἡλικίᾳ νέος » (Ἡσύχ.)· Ἐνίοτε δὲ καὶ ἐπὶ τῆς ἀνδρικῆς ἡλικίας, ὡς καὶ τὸ ἑϐραϊκὸν Β ὰ ρ (Schleusn. Lex. N. T. Λ. παῖς). Ὅθεν παῖδές τινος καὶ τὰ τέκνα (ὁποιασδήποτ' ἂν ὦσιν ἡλικίας), κτλ.

(γ) Φιλ. περὶ Ἀρετῶν Τομ. Β. σελ. 549. ἐκδ. Mang. Ὁ δὲ Δίων τὸν αὐτὸν ἐπωνόμασε παιδίον (Δίων Κάσσ. ϐιϐλ. νθ. §. 2. σελ. 902 Hamb. 1702.)

δὲ ταῦτα γράφων εἶχε κατὰ νοῦν καὶ τὴν φράσιν τοῦ Πολυβίου (Ε, 34), ὅστις εἶπε τοὺς υἱοὺς *Ἀντιγόνου* καὶ *Σελεύκου*, τὸν Ἀντίοχον καὶ Φίλιππον, « διαδεδεγμένους τὰς ἀρχὰς *παντάπασι νέους καὶ μονονοὺ παῖδας* ». Ἀλλ' ἐκεῖ μὲν τὸ *παῖς* ἀκριβέστερον ἴσως ἐῤῥέθη, παρὰ δὲ τῷ Πορφυρίῳ περὶ τοῦ Φιλαδέλφου ἐτέθη (εἴ γε καὶ ὅλως ἐτέθη) ἐπεκτατικῶς καὶ πλατυκώτερον (α).

β) Ὁ Κεραυνὸς Πτολεμαῖος, ὁ (κατὰ τὸν Ἰουστῖνον) « *ἄωρος νεανίας* » καὶ (κατὰ τὸν Διόδωρον) « *νέος παντελῶς* », ἀπέθανεν ἐν τῷ πρὸς Γαλάτας πολέμῳ, ἔχων ἡλικίαν 28, ἢ 30 ἐτῶν, καθὼς Ὅδιος αὐτὸς διορίζει (καὶ σημείωσαι ὅτι τὸ *ἄωρος*, καὶ τὸ *παντελῶς νέος*, ἐπὶ τοῦ τριακονταετοῦς Κεραυνοῦ λεγόμενα, παρῆλθε μεμυκόσιν ὄμμασιν ὁ κριτικὸς, ἐξινιάζει δὲ καὶ λεπτολογεῖ τὸ, *ἐν νεότητι*, καὶ τὸ *παῖς*, μόνον ἐπὶ τοῦ Φιλαδέλφου!). Ὁ δ' αὐτὸς Κεραυνὸς εἶχε καὶ θυγατέρα· καὶ ταύτην ἤδη Μακεδόνων βασιλεύσας ἐμνήστευσε Πύῤῥῳ τῷ Ἠπειρώτῃ (Ἰουστῖν. ΙΖ, 2 : κδ, 1), νεωτάτην οὖσαν ἔτι κορίσκην, (γίνονται δὲ, λέγει Ὅδιος, καὶ

(α) Λέγομεν ε ἰ κ α ὶ ὅ λ ω ς ἐ τ έ θ η, διότι ἡ τοῦ παρ' Εὐσεβίῳ Πορφυριανοῦ χωρίου ἐκλατινισθεῖσα Ἀρμενικὴ μετάφρασις, ἀντὶ τοῦ « τ ῷ π α ι δ ὶ τ ὴ ν ἀ ρ χ ὴ ν δ ι α δ ε ξ α μ έ ν ῳ, γράφει « τῷ ἐ π ι κ λ η θ έ ν τ ι Φ ι λ α δ έ λ φ ῳ « Ἰδοὺ ἡ μετάφρασις « Hic tamen adhuc superstes in filium suum Ptolemaeum cognomento Philadelphum transtulit imperium, b i e n n i o q u e v i t a m p r o d u x i t c u m f i l i o r e g n a n t e. Quare jam haud quadraginta etc. » τουτ. « Ζῶν ἔτι τῷ υἱῷ Πτολεμαίῳ, τῷ Φ ι λ α δ έ λ φ ῳ ἐ π ι κ λ η θ έ ν τ ι, παρεχώρησε τῆς ἀρχῆς, καὶ ἐ π ὶ δ ι ε τ ί α ν τ ὸ ν β ί ο ν π α ρ έ τ ε ι ν ε μ ε τ ὰ τ ο ῦ β α σ ι λ ε ύ ο ν τ ο ς υ ἱ ο ῦ, οὐκέτι γοῦν τεσσαράκοντα » κτλ. (Εὐσέβ. Χρονικ. σελ. 115 Mediol.). Τὴν Ἀρμενικὴν γραφὴν ἐπικυροῖ καὶ ἡ ἐφεξῆς ἀκολουθία τοῦ κειμένου τοῦ Πορφυρίου « Τοῦτον (λέγει) *διαδέχεται* Πτολεμαῖος *ὁ υἱὸς, ὁ ἐπικληθεὶς*, ΩΣ ΕΦΑΜΕΝ, Φ ι λ ά δ ε λ φ ο ς κτλ. (*αὐτόθ.*)· *ἀλλὰ τὸ* Φιλάδελφος *οὐδαμοῦ τῶν προηγουμένων ἀναφέρεται*. Ὥστε *καὶ ὁ* Πορφύριος *κατὰ τὸν* Εὐσέβιον *ἔγραψεν, ὡς μετέφρασεν ὁ* Ἀρμένιος· *καὶ ἴσως ἡ ποικίλη σύγχυσις τῶν* Εὐσεβίου *χρονικῶν παρεισήνεγκε τὴν φράσιν*, « *τῷ παιδὶ*, » *κτλ*. Αὕτη *δὲ καὶ ἄλλως μετὰ τὸ* τ ῷ υ ἱ ῷ *προστιθεμένη φαίνεται κατὰ τὴν σύνθεσιν ἀνάρμοστος εἰς τὸν χαρακτῆρα τοῦ* Πορφυριανοῦ *λόγου*. Εἰ *γὰρ ἔγραφε τοιοῦτό τι ὁ* Πορφύριος, *ἐξέφραζεν ἂν εὐφραδέστερον, οἷον* « *τῷ υἱῷ* Πτολεμ., *ὄντι νέῳ παντάπασι καὶ μονονοὺ παιδὶ* » (*καθὼς εἶπε καὶ* Πολύβιος), *ἢ καὶ, ὡς περί τινος ὁμοίας περιστάσεως ἔγραψε* Παυσανίας (Α. ς. §. 5) « Παραδοὺς (*τὰς πόλεις*) Δημητρίῳ τ ῷ π α ι δ ὶ, ἡ λ ι κ ί α ν μ ὲ ν ν έ ῳ » *κτλ*.

τοιαῦται πρόωροι μνηστεῖαι, οἷον ἐνέχυρα φιλίας πολιτικῆς), ἴσως ἑπταετῆ, ἢ δεκαετῆ (κατὰ τὸν Ὅδιον) (α). Ἐτέκνωσε λοιπὸν τὴν κόρην ὁ Κεραυνὸς, ἄγων ἔτος ἤδη περίπου κϐ, ἢ γοῦν κγ, ἀλλ' *εἰκοσαετῆ* (τὸν ἔσχατον ὅρον) ὥρισεν Ὅδιος καὶ αὐτὸν τὸν Φιλάδελφον ἐν τῷ παραλαμϐάνειν, ἢ καὶ (καθὼς λέγει) *πρὶν ἢ παραλάβῃ τὴν ἀρχήν*· ποίαν οὖν ἐπίσημον διαφορὰν εὑρίσκει μεταξὺ τῶν δύω τούτων ἡλικιῶν, ἐξ ἧς συμπεραίνει τὸν Φιλάδελφον νεώτατον παιδάριον, ὡς πρὸς τὸν *ἄωρον νεανίαν*, καὶ *νέον παντελῶς* ἱστορούμενον Κεραυνόν; Τὸ δὲ παραδοξότερον, ὅτι μετ' ὀλίγον καὶ αὐτὴν τῆς διετίας τὴν διαφορὰν ἐξήλειψεν ὁ κριτικὸς, προϐιϐάσας εἰς τὸν θρόνον τὸν Φιλάδελφον ἐτῶν 22 (ὡς βλέπομεν ἐφεξῆς). Τοῦτο τὸ ἐπιχείρημα ἅλις ἀσυλλόγιστον δοκεῖ. Πολὺ δὲ δικαιότερος φαίνεται Οὐόσσιος, πολλῷ πλέον ἢ 30 ἐτῶν ὑπολαϐὼν ἀποθανόντα τὸν Κεραυνὸν, καὶ ὡς ἔγγιστα *τεσσαρακοντούτη*, «εἴ περ ἦν (φησὶ) καὶ οὗτος μεταξὺ τῶν πρώτων τέκνων, ἅπερ ἔσχεν ὁ Πτολεμαῖος ἐξ Εὐρυδίκης». Ὁ δὲ Ὅδιος καὶ πρεσϐύτατον ἁπάντων ἐκείνων τῶν τέκνων ἐθέλει τὸν Κεραυνόν. οὐκ ἀπίθανον τοῦτο θέλων. Πλὴν ἀλλὰ καὶ οὕτως οὐδὲν ὁ δόκτωρ ὠφελήθη πρὸς τὸν σκοπόν. Ὁ μὲν γὰρ Φιλάδελφος ἐξ ἄλλης μητρὸς, τῆς Βερενίκης, γεννηθεὶς ἦγε, τοὐλάχιστον, ἔτος 24, ὅτε παρέλαϐε τὴν βασιλείαν (βλ. ἐφεξῆς §. ζ.). Ὁ δὲ Κεραυνὸς τῷ ς,

(α) Τὸ ἑπτάετες πιθανώτερον. Ὁ γὰρ Κεραυνὸς ἔφυγεν ἐκ τῆς Αἰγύπτου «διὰ τὸ δέος», ὁπότε παρέλαϐε τὴν βασιλείαν ὁ Φιλάδελφος, δηλαδὴ τὸ δ, τῆς ρκγ Ὀλυμπιάδος (βλ. §. α)· ἐτελεύτησε δὲ (κατὰ τὸν Ὅδιον) ἕκτον ἔτος περίπου μετὰ τὴν ἀναγόρευσιν τοῦ Φιλαδέλφου. Παίδων δὲ πατὴρ ἐν Αἰγύπτῳ γενόμενος ὁ Κεραυνὸς ὑπ' οὐδενὸς ἱστόρηται. Καὶ ἔγημεν ἄρα, καὶ τὴν κόρην ἐτέκνωσε μετὰ τὴν ἀναχώρησιν· ὥστε κινδυνεύει ἡ θυγάτηρ νεωτέρα καὶ τῆς ἑπταετίας φανῆναι· πλὴν ἀλλ' ἔστω καὶ ἑπταέτις· δεκάετες δὲ τὸ θυγάτριον οὐκ ἂν ἀποδειχθείη ῥᾳδίως. Σημείωσαι δὲ, ὅτι ὁ μὲν Ἰουστῖνος λέγει κατὰ λέξιν, ὅτι ὁ Κεραυνὸς «συγγένειαν συνῆψε μετὰ τοῦ Πύῤῥου, δοὺς αὐτῷ πρὸς γάμον τὴν θυγατέρα» (affinitatem que cum Pyrrho, data ei in matrimonium filia sua, jungit). Εἰ δὲ ταῦτα μνηστείαν σημαίνουσιν ἁπλῆν, ὡς Ὅδιος ἐξέφρασε (filiam in sponsalia tradidit. p. 21), περὶ τούτων ἡμεῖς οὐδὲν πολυπραγμονοῦμεν.

ἔτει τῆς Φιλαδέλφου βασιλείας ἀποθανών, ὑπερεῖχε τοῦτον ἔτη περίπου ἕξ· ἐτελεύτησε γὰρ ἐτῶν εἰ καὶ μὴ 40 (κατὰ τὸν Οὐόσσιον), ἀλλὰ γοῦν 36, ἢ 38· καὶ ὅμως καὶ αὐτὸς *νέος παντελῶς* ὠνομάσθη παρὰ τοῖς συγγραφεῦσι, καθὼς ὁ Φιλάδελφος *παῖς*. Δείκνυται δὲ τοῦ Κεραυνοῦ ἡ ἡλικία μάλιστα ἐκ τῶν ἐφεξῆς. Ὁ Λαγίδης Πτολεμαῖος ἔσχε τῆς Αἰγύπτου τὴν ἀρχὴν τῷ δ, τῆς ριγ, ἢ τῷ α, ἔτει τῆς ριδ, Ὀλυμπιάδος· καὶ μετὰ ἔτη τρία (Ὀλυμπ. ριδ, τὸ δ) ἐνυμφεύθη τὴν Εὐρυδίκην (ἐτῶν οὖσαν περίπου 16), θυγατέρα τοῦ Ἀντιπάτρου (Παυσ. Α, ς). Ἐγεννήθη τοίνυν ὁ Κεραυνὸς κατὰ τὴν ἐφεξῆς Ὀλυμπιάδα (τὸ β, ἢ γ, τῆς ριε)· ἐπειδὴ δὲ ἀπέθανε τὸ δ, τῆς ρκδ (α), ἦγεν ἄρα τότε ἡλικίαν μεταξὺ τῶν 36 καὶ 38 ἐτῶν. Ἀλλ᾽ ἐνίσταται ὁ Ὄδιος λέγων, ὅτι ἡ Εὐρυδίκη οὐκ ἐνυμφεύθη τὸν Πτολεμαῖον περὶ τὰς ἀρχὰς τῆς αὐτοῦ βασιλείας· ὅτε γὰρ ἔφυγεν ἐκ τῆς Αἰγύπτου (περὶ τὸ δ, τῆς ρκδ Ὀλυμπ.), ὑπῆρχε τοσοῦτον νέα ἡ Εὐρυδίκη, ὥστε, καθ᾽ ὃν χρόνον καταβᾶσα εἰς τὴν Μίλητον ἐξέδοτο τὴν θυγατέρα Πτολεμαΐδα Δημητρίῳ τῷ Πολιορκητῇ, ἔσχε καὶ αὐτὴ τέκνον ἐξ αὐτοῦ συμφθαρεῖσα, καθὼς ὁ Πλούταρχος (Δημητρ. §. νγ.) μαρτυρεῖ· « Λέγεται δὲ καὶ Κόῤῥαβον υἱὸν ἐξ Εὐρυδίκης αὐτῷ γενέσθαι ». — Ἀλλ᾽ εἴ περ ἐνέκυπτεν ἡσυχώτερον ὁ κριτικὸς εἰς οὓς εἶχε μετὰ χεῖρας συγγραφεῖς, ἔβλεπεν ἄν, αὐτὸς ἐξ ἑαυτοῦ κατανοήσας, ὅτι καὶ ὧδε ἐσφάλη διττῶς. Ὁ μὲν γὰρ Ἀντίπατρος, ὅστις ἀπέστειλε *ζῶν ἔτι* τὴν Εὐρυδίκην πρὸς τὸν Λαγίδην, ἀπέθανε τῷ δ, ριδ Ὀλυμπιάδος (ὡς ὁ Διόδωρος μαρτυρεῖ)· ὥστε κατ᾽ οὐδένα τρόπον δύναται παραταθῆναι κατωτέρω τούτου τοῦ ἔτους ἡ τοῦ Λαγίδου μετὰ τῆς Εὐρυδίκης συνοίκησις. Ὁ δὲ Πλούταρχος πάλιν Εὐρυδίκην ἐννοεῖ οὐχὶ τὴν Ἀντιπάτρου, ἀλλὰ « τὴν Μιλτιάδου μὲν ἀπόγονον, συνοικήσασαν δ᾽ Ὀφέλτᾳ, τῷ Κυρήνης ἄρξαντι, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν ἀφι-

---

(α) Βλ. Wesseling in Διοδ. Ἐκλογ. κϐ. Τόμ. Β. σελ. 562. πρβλ καὶ τὴν ἐφεξῆς τοῦ Πολυβίου ῥῆσιν. — Ὁ δὲ Champollion (Annal. des Lagid. T. 2. p. 17.) τίθησι τὸν Κεραυνοῦ θάνατον τῷ 10, μηνὶ τοῦ α, ἔτους τῆς ρκε. Ὀλυμ. (278 π χ.). Βλ. καὶ ἐφεξῆς κεφ. ζ. § ε, καὶ κη.

κομένην πάλιν εἰς Ἀθήνας », ἔνθα χηρεύουσαν ἔγημεν ὁ Δημήτριος (Δημ. §. ιδ). Ἡ δὲ τοῦ Ἀντιπάτρου θυγάτηρ, τῷ Λαγίδῃ συνοικήσασα 34, περίπου ἐνιαυτοὺς (ἀπὸ τοῦ δ, τῆς ριδ, Ὀλυμπιάδος μέχρι τοῦ γ, ἢ δ, τῆς ρκγ, ὁπότε ἔφυγεν ἐκ τῆς Αἰγύπτου), ὑπῆρχε τότε τοὐλάχιστον πεντηκοντaέτις, καὶ πρὸς τεκνογονίαν ἀσθενὴς (ὥστε ματαίως ἤδη μετὰ τοσούτους αἰῶνας συκοφαντεῖται). Καὶ ταῦτα μὲν περὶ τῆς ἡλικίας τοῦ Κεραυνοῦ (βλ. καὶ ἐφεξ. κεφ. ζ). Περὶ δὲ τοῦ, εἰ ὑπῆρχεν οὗτος τοῦ Φιλαδέλφου πρεσβύτερος, ἀδίκως μὲν ἀμφέβαλεν ὕστερον Οὐόσσιος, εὔλογα δὲ πάλιν πρὸς τοῦτον ἀντεῖπεν Ὅδιος, ἐξελέγξας τὸ λάθος ἐκ τῶν Ἀππιανοῦ (Συριακ. γ), καὶ Παυσανίου (Α, ϛ), καὶ Ἰουστίνου (ιϛ, 6).

γ) Ἀλλ' ὅμως (ἵνα διέλθωμεν καὶ τὰ λοιπὰ τῆς ἀντιῤῥήσεως) ἐπλανήθη πάλιν Ὅδιος τιθεὶς τὴν Λαγίδου τελευτὴν περὶ *τὸ τέλος τῆς ρκγ, Ὀλυμπιάδος*. Ὁ Λάγου Πτολεμαῖος ἐτελεύτησε τῷ 5 μηνὶ τοῦ β, ἔτους τῆς ρκδ Ὀλυμπ. (τῷ 282. μ. χ.). Καὶ μαρτυρεῖ λαμπρῶς τὴν Ὀλυμπιάδα μετὰ τοῦ Διοδώρου καὶ ἄλλων ἐπισήμων ὁ ἐπισημότατος Πολύβιος (Β, 41)· « Ὀλυμπιὰς μὲν ἦν εἰκοστὴ τετάρτη πρὸς ταῖς ἑκατόν. — Πτολεμαῖος ὁ Λάγου, καὶ Λυσίμαχος, ἔτι δὲ Σέλευκος, καὶ Πτολεμαῖος ὁ Κεραυνὸς — πάντες οὗτοι *περὶ τὴν προειρημένην Ὀλυμπιάδα τὸ ζῆν ἐξέλιπον* ». Ἐπικυροῖ δὲ ταῦτα καὶ αὐτὴ, τέλος, ἡ κοινῶς παρὰ πᾶσιν ἀνωμολογημένη διάρκεια τῆς τεσσαρακονταετοῦς τοῦ Λάγου βασιλείας (α).

δ) Τελευταῖον· Ὁ Πλούταρχος λέγει τὸν Φιλάδελφον ὅτι *ἐγή-*

(α) Ὁ Πτολεμαῖος ἦρξε τῆς Αἰγύπτου Ὀλυμπ. ριγ, τὸ δ, (5, Ἰουν. 323, π. χ.)· τῷ δὲ 40, ἔτει τῆς βασιλείας παρεχώρησεν αὐτὴν τῷ Φιλαδέλφῳ (τῇ α, Νοεμβ. 284. π. χ.)· ἐβασίλευσε τοίνυν ἔτη 39 καὶ μῆνας 5, καθ' ἑαυτὸν, καὶ διετίαν ὅλην μετὰ τοῦ υἱοῦ, τελευτήσας τῷ 282. π. χ. (βλ. ὄπισθεν σελ. 126.). Ὅθεν ἐν τῷ Κλαυδίου Πτολεμαίου κανόνι τῶν βασιλειῶν, διορίζεται ἡ βασιλεία τοῦ Λαγίδου ἔτη λθ. (Κλαυδ. Πτολ. Κανόν. Βασ. σελ. 4. ἐκδ. Halma. Paris 1819) χωρὶς τῆς διετίας· κατὰ δὲ τὸν Πορφύριον μετὰ τῆς διετίας, ἔτη 40. (βλ. ὄπισθ. σελ. 138). Ἀλλὰ τὰ περὶ τούτου ἐκ τῶν ἀρχαίων χρονολόγων διερευνᾷ ὁ Champoll. Annal. des Lagid. T. 1. p. 243, 246, 396 : καὶ T. 2. p. 10.—12. πρβλ. Voss. de LXX. in Canon Chronol. p. 222: Petav. Animad. in S. Epiph. T. 2 p. 382. βλ. καὶ ἐφεξ. κεφ. ζ, §. κγ, κδ.

ρασεν ἐν τῇ βασιλείᾳ » (α)· γέροντα δὲ τοῦτον καὶ Ὅδιος νομίζει, καίτοι τελευτήσαντα ἐτῶν 56. Ἀντεῖπε δὲ Οὐόσσιος καὶ περὶ τούτου πρὸς αὐτὸν, ὑπενθυμίζων τὸ τοῦ Ἁλικαρνασσέως Διονυσίου (βίῳ Δεινάρχ.). « Τίθεμεν δὴ αὐτὸν (τὸν Δείναρχον) *ἑβδομηκοστὸν ἔχοντα* ἔτος ἀπὸ τῆς φυγῆς καταληλυθέναι, ὡς καὶ αὐτός φησι, *γέροντα αὑτὸν ἀποκαλῶν*· ἀφ' οὗ χρόνου καὶ καλεῖν τοὺς ἐν τῇ ἡλικίᾳ ταύτῃ μάλιστα εἰώθαμεν ». Ἀλλ' ὁ κριτικὸς ἀνθίσταται πάλιν, ἀντιτιθεὶς ἐξ Ἰαμβλίχου (βίῳ Πυθαγορ. ε.) τὸν Πυθαγόραν, ὅστις ἄγων ἔτος 56, ἔλεγεν ὅτι τὰς μαθήσεις (ἃς εἶχεν ἐκ νέου προσειληφὼς) ἀπέμαθεν ἤδη, « *διὰ τὸ γῆρας καὶ τὴν ἐκ τούτου ἀμνημοσύνην* »· καὶ Λουκιανὸς εἶπε « *τὸν ὑπὲρ ἑξήκοντα ἔτη ἤδη γηρῶντα* » (περὶ τῆς Περεγρ. τελευτ. §. 10). Καὶ Πλούταρχος (Πομπ. §. ογ, οθ.) τὸν Πομπήϊον « *ἐν γήρᾳ* » λέγει τὸ πρῶτον πειραθέντα φυγῆς (ἀπέθανε δὲ ὁ Πομπήϊος ἐτῶν 59). Τοσούτων ἐτῶν ὄντα καὶ τὸν φιλόσοφον Ἀντωνῖνον *γηραιὸν* προσεῖπεν ὁ Ἡρωδιανὸς (Α. 3.). Καὶ ἄλλα δὲ παραδείγματα ὁ Ὅδιος ἐκ Λατίνων μνημονεύει καὶ σοφὰ καὶ μάταια! Ὁ Φιλάδελφος *ἐνεγήρασεν ἐν τῇ βασιλείᾳ*, τελευτήσας ἐτῶν 64· ἐβασίλευσε μὲν γὰρ ἔτη 38, καθ' ἑαυτὸν, καὶ διετίαν μετὰ τοῦ πατρὸς, παρέλαβε δὲ τὸ πρῶτον τὴν βασιλείαν ἄγων ἔτος κδ, ἢ κε (βλ. ἐφεξ. §. ζ)· τότε δὲ πάντως ἠδύνατο καὶ γυναῖκα καὶ παῖδας ἔχειν· συγκατανεύσει δὲ πάντως καὶ Ὅδιος αὐτὸς, ὅςις μικρὸν ἀνωτέρω τὸν Κεραυνὸν 28, ἢ 30, ἐτῶν τιθεὶς ἀποθανόντα, καὶ γυναικὸς ἄνδρα τοῦτον εἰσήγαγε, καὶ πατέρα θυγατρὸς ἑπταετοῦς ἢ δεκαετοῦς, γεννηθείσης δηλονότι κατὰ τὸ 23, ἢ κατὰ τὸ 20 ἔτος τῆς ἡλικίας τοῦ Κεραυνοῦ.

(α) Ἰδοὺ τοῦ Πλουτάρχου ὅλη ἡ περικοπή· « Ἄπιθι πρὸς Ἀντίοχον τὸν Σελεύκου, πρὸς Ἀρταξέρξην τὸν Κύρου ἀδελφόν· ἄπελθε πρὸς Π τ ο λ ε μ α ῖ ο ν τ ὸ ν Φ ι λ ά δ ε λ φ ο ν· ἐ κ ε ί ν ο υ ς ζ ῶ ν τ ε ς ο ἱ π α τ έ ρ ε ς β α σ ι λ ε ῖ ς ἀ ν η γ ό ρ ε υ σ α ν —. Ἐκείνων ἕκαστος δι' εὐτυχίαν β α σ ι λ ε ύ ω ν ἐ γ ή ρ α σ ε » (Πλούταρχ. περὶ τῆς Ἀλεξ. τύχ. ἢ ἀρετ. λόγ. Β. σελ. 344. τόμ. 7. R.). Ὁ Ἀρταξέρξης ἐτελεύτησεν ἐτῶν 94, βασιλεύσας 62, ὅστις καὶ αὐτὸς τὸν υἱὸν Δαρεῖον ἔτι ζῶν ἀνηγόρευσε βασιλέα (Πλούτ. Ἀρταξ. κε, λ.). Καὶ περὶ τοῦ Ἀντιόχου, καὶ ὅπως ὑπὸ Σελεύκου τοῦ πατρὸς ἀπεδείχθη βασιλεὺς τ ῶ ν ἄ ν ω π ά ν τ ω ν τ ό π ω ν, βλ. Πλούταρχ. Δημητρ. §. λη, καὶ ὄπισθ. §. δ. σελ. 134.

§. ζ΄. Ε) Ὁ Ὅδιος προβιβάσας ἠρέμα τὸν Φιλάδελφον ἀπὸ τοῦ 16 ἔτους μέχρι τοῦ 20, τελευταῖον, ἀναγορεύει τοῦτον βασιλέα δυοκαιεικοσαετῆ. Καὶ κυμαίνεται μὲν ὁ εὐκλεὴς ἀνὴρ ἀστατῶν καὶ ἀντιπεριπίπτων εἰς ἑαυτὸν, τείνει δὲ ὅμως ἐξιεπαίνως ἐγγυτέρω πρὸς τὴν ἀλήθειαν. Ἰδοὺ πῶς συλλογίζεται· «Ἤδη τὸν Φιλάδελφον διορίζω εἰκοσιδύω μὲν ἐτῶν, ὁπότε τῷ πατρὶ τῆς βασιλείας ἐγένετο κοινωνὸς, εἰκοσιτεσσάρων δὲ πάλιν, ὅτε μόνος ἐβασίλευσε, τοῦ πατρὸς ἀποθανόντος. Αὐτὸς μὲν γὰρ ἐγεννήθη Ὀλυμ. ριζ, τὸ δ, τοῦ δὲ πατρὸς αὐτοῦ τὸ τελευταῖον ἔτος συμπίπτει πρὸς τὸ δ, τῆς ρκγ, Ὀλυμπιάδος· καὶ ἰδοὺ ἡ δεῖξις. Ὁ Φιλάδελφος ἐγεννήθη ἐν τῇ νήσῳ Κῷ· καὶ μαρτυρεῖ Καλλίμαχος ὁ ποιητὴς (ὕμν. εἰς Δῆλον, στίχ. 165), ποιῶν τὸν Ἀπόλλωνα προφοιβάζοντα περὶ τῆς Κῶ τὰ ἔπη ταῦτα·

« Ἀλλά οἱ ἐκ μοιρέων τὶς ὀφειλόμενος θεὸς ἄλλος
Ἐστὶ, Σαωτήρων ὕπατον γένος ». κτλ.

ὅπου ὁ Σχολιαστὴς « Διὰ τὸ ἐκεῖσε ἀνατραφῆναι τὸν Φιλάδελφον Πτολεμαῖον ἐν τῇ Κῷ ». (ὅτι δὲ ὅμως ὁ ποιητὴς οὐκ *ἀνατραφῆναι*, ἀλλὰ γεννηθῆναι νοεῖ τὸν Φιλάδελφον ἐν Κῷ, φανερόν). Τοῦτο κηρύττει καὶ ὁ Θεόκριτος (Εἰδυλ. ιζ. 58.).

Καί σε Κόως ἀτίταλλε, βρέφος νεογιλὸν ἐόντα,
Δεξαμένη παρὰ ματρὸς, ὅτε πρώταν ἴδες ἀῶ.

καὶ ὁ Σχολιαστὴς « Ὁ Φιλάδελφος ἐν τῇ Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης ». Ὁ δὲ τοῦ Φιλαδέλφου πατὴρ ἀπῆλθεν εἰς τὴν Κῶ (συμπαρακολουθούσης καὶ τῆς Βερενίκης), καὶ χρόνον τινὰ διέτριψεν ἐν τῇ νήσῳ, ἐπὶ ἄρχοντος μὲν Ἀθηναίων Δημητρίου τοῦ Φαληρέως, ὑπατευόντων δὲ Ῥώμης Κ. Φαβίου καὶ Γ. Μαρκίου (τουτέστιν Ὀλυμπιάδος ριζ, τὸ δ). Μάρτυς ἀξιόπιστος, ὁ Σικελιώτης Διόδωρος (βιβλ. κ. §. κζ) ».

Ἀπαντῶμεν.

Ὁ Φιλάδελφος καὶ ἐγεννήθη καὶ ἐτράφη πάντως ἐν τῇ νήσῳ Κῷ· ἀλλ' Ὅδιος κἀνταῦθα παραχρονίζει. Ὁ Φιλάδελφος ἐγεννήθη

τὸ δ, τῆς ριζ, Ὀλυμπιάδος (τῷ 308. π. χ.)· ἐγένετο δὲ τῆς βασιλείας κοινωνὸς τὸ δ, τῆς ρκγ (τῷ 284, π. χ.), ἦγε τότε τοίνυν ἔτος οὐχὶ 22, ἀλλὰ πάντως 24, ὡς ἀπέδειξε καὶ ὁ περικλεὴς Χαμπολλιὼν (α). (τοσαῦτα δήπου καὶ αὐτὸς Ὄδιος, καὶ πᾶς τις ἄλλος ἀριθμήσει τὰ ἔτη τῶν ἓξ Ὀλυμπιάδων, ὅσα διέδραμον ἀπὸ τοῦ δ, τῆς ριζ, μέχρι τοῦ δ, τῆς ρκγ)· ὅτε δὲ μόνος ἐβασίλευσε, μετὰ τὴν τελευτὴν τοῦ διετίαν ὅλην συμβασιλεύσαντος πατρὸς, ἦν ἐτῶν κϛ. Πάλιν, ὁ Διόδωρος διορίζων ἐπὶ τίνων τῆς Ῥώμης ὑπάτων κατέπλευσεν ὁ Λαγίδης εἰς τὴν Κῶ, περὶ τῆς τότε τοῦ Φιλαδέλφου γεννήσεως οὐδὲν λέγει. Ἔδοξεν ὅμως τοῖς πλείστοις ἀποδεκτὸν, ὅτι τότε ἐγεννήθη καὶ ὁ Φιλάδελφος «ἐπὶ Κ. Φαβίου καὶ Γ. Μαρκίου ὑπατευόντων». Ἀλλ' ἡ τούτων πάλιν ὑπατεία παρ' Εὐσεβίῳ τίθεται ῥητῶς οὐχὶ τὸ δ, ἀλλὰ τὸ γ, τῆς ριζ, Ὀλυμπιάδος, ὡς ἐξέδωκεν ὁ Σκαλίγηρος (β). Καὶ κατὰ ταῦτα λοιπὸν ὁ Πτολεμαῖος συνεβασίλευσε τῷ πατρὶ ἔτος ἄγων κε (γ)· ὥστε καὶ τότε, καὶ τῷ ἐφεξῆς τῆς διετίας ἔτει (ὁπότε ἔλαβε τὴν παρὰ τοῦ ἀρχιερέως ἐπιστολὴν) ἄγων ἔτος κϛ, καὶ πολὺ δὲ πρότερον (ἀπὸ τοῦ 20, τοὐλάχιστον ἔτους καὶ ἐφεξῆς), ἠδύνατο πάντως ὁ Φιλάδελφος καὶ γυναικὸς ἀνὴρ εἶναι καὶ τέκνων πατήρ.

§. ή. Ϛ) «Ἀλλ' ὅτι τότε (προστίθησιν Ὄδιος) οὔτε τέκνα, οὔτε γυναῖκα εἶχεν ὁ Φιλάδελφος, φαίνεται σαφῶς καὶ ἐκ τῆς πομπῆς, ἣν αὐτὸς ἐτέλεσε μεγαλοπρεπέστατα, καθ' *ὃν χρόνον συνεβασίλευε τῷ πατρί*». Διαγράφει δὲ ταύτην Καλλίξενος ὁ Ῥόδιος κατὰ πλάτος παρ' Ἀθηναίῳ (Βιβλ. Ε. 196—203). Ἐν ταύτῃ τοίνυν τῇ πομπῇ παραδίδωσιν ὁ Καλλίξενος ὅτι «*Καὶ στεφάνοις χρυσοῖς ἐστεφανώθησαν ἐν τῷ ἀγῶνι, αὐτὸς μὲν ὁ Φιλάδελφος εἴκοσι*» (στεφάνοις). Πτολεμαῖος δὲ ὁ πρῶτος, ὁ πατὴρ αὐτοῦ, *εἴκοσι καὶ αὐτός· ἡ δὲ μήτηρ, ἡ Βερενίκη, εἰκοσιτρισὶν, ἐποχουμένοις ἐφ'*

(α) Champollion—Figeac Annales des Lagides T. 2. p. 13.

(β) Βλ. Scalig. in Thes. Tempor. Εὐσέβ. χρονικ. καν. σελ. 178· τὸ δὲ δ, τῆς ριζ, Ὀλυμπιαδ. ἐπιγράφεται «ἄνευ ὑπάτων» (αὐτόθ.).

(γ) Τοῦτο φρονεῖ καὶ Fr. Ritschl, Die Alexandrinischen Bibliotheken etc. pag. 82. Breslau. 1838.

ἁρμάτων χρυσῶν » (α). Περὶ δὲ γυναικὸς τοῦ Φιλαδέλφου λόγος οὐδείς· εἰ δ' εἶχε τότε γυναῖκα, πάντως ἂν ἐμέμνητο καὶ ταύτης ὁ συγγραφεὺς, ὅστις οὐ μόνον τοῦ πατρὸς, ἀλλὰ καὶ τῆς μητρὸς ἐπεμνήσθη, καὶ μάλιστα ἐν ᾧ φιλοτιμεῖται πρὸς ἐπίδειξιν τοῦ κατ' ἐκείνην τὴν πομπὴν μυριαρίθμου πλούτου καὶ τῶν χρυσῶν στεφάνων· τούτοις δὲ πάντως ἂν ἐστεφανοῦτο καὶ ἡ σύζυγος (εἴπερ ἦν), ὡς καὶ ἡ μήτηρ τοῦ Φιλαδέλφου ».

Ἀπαντῶμεν.

Πρὸς ταῦτα (εἴπερ εἶχον ὅλως ἀναφοράν τινα πρὸς τὸ ζητούμενον) ἁπλῆ τις ἂν ὑπῆρχε καὶ πρόχειρος ἀπάντησις, ἡ ἐφεξῆς. Ὁ Φιλάδελφος ἐστεφάνου τοὺς ἰδίους αὐτοῦ γονεῖς· τὸν δὲ Φιλάδελφον, ἄλλοι τινὲς, Αἰγύπτιοι ἴσως, ἢ καὶ πρέσβεις ἄλλων πόλεων συνελθόντες εἰς τὴν πανήγυριν· (οὐδὲ γὰρ αὐτὸς Ὅδιος ἀνέξεται τὸν Φιλάδεφον οὕτως ἀλαζόνα καὶ σαλάκωνα γενέσθαι καὶ φορτικὸν, ὥςε αὐτὸς ἑαυτὸν καὶ τὴν σύζυγον στεφανοῦν). Οἱ δὲ τὸν Φιλάδελφον στεφανοῦντες οὐκ ἔκριναν στεφανῶσαι καὶ τὴν βασίλισαν. Ἀλλ' ἐκ τούτου πάντως οὔτ' ἐκεῖνοι κατεκρίθησαν, οὔτε ὁ Φιλάδελφος ἀποδείκνυται τότε ἄγαμος ὤν· πλὴν εἰ μήπου καὶ τὸν Ἀλέξανδρον ἄγαμον ἔτι κατὰ τὴν ἐν Βαβυλῶνι τελευταίαν αὐτοῦ διατριβὴν ἐθέλουσιν οἱ Ὁδιακοὶ, διότι μεταξὺ τῶν στεφάνων, οἷς αὐτὸν ἐστεφάνουν οἱ παντοίων ἐθνῶν πρέσβεις (Διόδωρ. ιζ, 249), οὐ μνημονεύεται στεφανωθεῖσα παρομοίως καὶ ἡ τότε ζῶσα καὶ πρὸ πολλοῦ νόμιμος αὐτοῦ γαμετὴ Ῥωξάνη (Πλούταρ. Ἀλέξ. §. μζ). Ἢ καὶ, τἀνάπαλιν, ὡς ἂν ὁ Γέλων ὁ Συρακούσιος ἐκινδύνευεν ἄγαμος ἀναφανῆναι καθ' ὃν χρόνον ἐπολέμει Καρχηδονίοις, εἰ μὴ τούτου τὴν γυναῖκα Δημαρέτην οἱ Καρχηδονίοι, νικηθέντες, ἐστεφάνουν ἀφ' ἑκατὸν ταλάντων χρυσίου! (β). Ἀλλὰ παραλείποντες

(α) Athenaeus — ex Callixeno tradit « Coronis aureis in agone coronatos fuisse, Philadelphum ipsum, 20: Ptolemaeum primum, ejus patrem, etiam 20: et Berenicem ejus matrem, 23: advectis super aureis curribus ». Hody L. I. c. 6. §. 7. pag. 23.

(β) Διόδωρ. ΙΑ, 424 — Ὁ δὲ κλεινὸς Οὐόσσιος, (Appendic. ad P. Mel. p. 63)

τὰ τοιαῦτα, ὡς πόῤῥωθεν συναγόμενα, καὶ πέριξ τοῦ πράγματος ὄντα, λέγομεν πολὺ βεβαιότερα καὶ ἁπλούστερα.

Α) Ὁ σοφὸς Ὅδιος ἐσφάλη μεγάλως προβαλὼν ὡς ἀπόδειξιν τῆς ἰδίας αὐτοῦ γνώμης καὶ ταύτην τοῦ Καλλιξένου τὴν μαρτυρίαν, ἥτις αὐτὸν ἐξελέγχει λαμπρῶς. Αὐτὸς ὁ Καλλίξενος διαγράφων τὰ μέρη, ἢ τὰς τάξεις, τῆς πομπῆς λέγει ῥητῶς, ὅτι κατόπιν τῆς πρώτης τάξεως ἐβάδιζεν « *ἡ τοῖς ΤΩΝ ΒΑΣΙΛΕΩΝ γονεῦσι κατωνομασμένη* » (σελ. 197)· δῆλον δὲ καὶ ἀναντίῤῥητον, ὅτι, *βασιλέων* λέγων πληνθυντικῶς, ἐννοεῖ *τὸ ζεῦγος* τῶν τότε βασιλευόντων *ἀδελφῶν* (τοῦ Φιλαδέλφου καὶ τῆς Ἀρσινόης), ὧν ἦσαν *γονεῖς* Πτολεμαῖος ὁ Α, καὶ Βερενίκη (οἱ Θεοὶ οἱ Σωτῆρες), καὶ ὧν ἔφερε τὸ ὄνομα ἡ δευτέρα τάξις τῆς πομπῆς (α). Ὥστε τοῦ Ὁδίου ἡ ἐπίνοια πίπτει παραχρῆμα, « *μῦς ἐν πίσσῃ* » (τὸ τοῦ λόγου) εὑρεθεῖσα, καὶ σαγηνευθεῖσα εἰς τὸ ἴδιον αὐτῆς ἀμφίβληστρον. Β) ὁ σοφὸς ἀνὴρ (ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ καὶ μετ᾽ αὐτὸν) ἠπατήθη (καθὼς νομίζομεν) ἐκλαβὼν τὴν πομπὴν τελεσθεῖσαν ὑπὸ τοῦ Φιλαδέλφου, ζώντων αὐτῷ τῶν γονέων, ὁπότε συνεβασίλευε μετὰ τοῦ πατρός (β). Καὶ ὑπὸ ταύτης τῆς ἐννοίας

ἀπαντᾷ πρὸς Ὅδιον, «ὡς οὐδὲν παράδοξον, εἴπερ ἐν τῇ παρὰ τῷ Καλλιξένῳ πομπῇ οὐδεμία γίνεται μνεία τῆς (ἣν ἀναφέρει καὶ ἡ τοῦ ἀρχιερέως ἐπισολὴ) Ἀρσινόης, τῆς ἀδελφῆς τοῦ Φιλαδέλφου, (ἣν εἶχε μὴ κατὰ νόμους), ἐν ᾧ μηδὲ τῆς νομίμου αὐτοῦ συζύγου, Ἀρσινόης κἀκείνης, Λυσιμάχου δὲ θυγατρὸς, μηδὲ ταύτης λέγω μηδαμοῦ φαίνεται τὸ ὄνομα » κτλ. — Ἀλλ᾽ ὅσον περὶ τούτων (εἰ δεῖ τ᾽ ἀληθὲς εἰπεῖν) λίαν ἀσθενῶς καὶ συγκεχυμένως, καὶ οἷον ἐν παρέργῳ, ἀπήντησεν ὁ γηραιός. Βλ. περὶ τῆς Ἀρσινόης ἐφεξῆς Κεφ. Ζ. §. ιζ.

(α) R e g i n a A r s i n o e e r a t, u x o r e a d e m q u e s o r o r P t o l e m a e i P h i l a d e l p h i: parentes, Ptolemaeus primus, cognomine Soter, et Berenice; qui tum adhuc in vivis erant » διακηρύττει καὶ ὁ σοφὸς Σβειγαυσῆρος ἐν ταῖς εἰς Ἀθήναιον πολυμαθεστάταις ἐπιστασίαις (Schweighaeus. Animadvers. in Athen. vol. 3 pag. 92).

(β) Οὐ μόνον ὁ Σβειγαυσῆρος (ἔνθ᾽ ἀνωτέρ.). ἀλλὰ καὶ πάντες ὅσοι τῶν φιλολόγων ἠσχολήθησαν περὶ τὸ χωρίον τοῦτο τοῦ Καλλιξένου, ζῶντας τότε θέλουσι τοὺς ἐν αὐτῷ μνημονευομένους τοῦ Φιλαδέλφου γονεῖς. Καὶ οἱ περὶ τὸν Λεβῶν αἰτίαν τῆς πομπῆς νομίζουσι τὴν ἐπὶ τῆς βασιλείας ἀναγόρευσιν τοῦ Φιλαδέλφου (Lebeau in Hist. del' Académie des Inscript. T. XXXI. p. 99. sq.). Ἀλλ᾽ αἰτία τῆς πομπῆς φαίνεται

κεκρατημένος ὁ Ὅδιος διέστρεψε πρὸς αὐτὴν συνταράξας καὶ τὸ κείμενον τοῦ συγγραφέως. Ἀλλ' ἵνα μὴ δόξωμεν ἀναπόδεικτα λέγειν, ἐξετάσωμεν πρῶτον αὐτὸ τὸ τοῦ Ἀθηναίου χωρίον, εἴπερ ἔχει τὴν αὐτὴν ἔννοιαν καὶ τάξιν, καθ' ἣν αὐτὸ παρέστησεν Ὅδιος. Ἀφ' οὗ ὁ γραφικώτατος Καλλίξενος ἐζωγράφησε τὰ κατὰ τὴν πομπὴν, ἄλλα τε μυρία πρόσωπα, καὶ σκεύη παντοῖα, καὶ χρυσώματα ποικίλα, καὶ πλῆθος στεφάνων χρυσῶν, καὶ ἄλλων ἐπιχρύσων χιλιάδας πολλὰς (σελ. 197, 200, 202), κατακλείει τέλος τὴν πομπὴν ἐσχάτας ἀριθμῶν τὰς ἐπακολουθούσας ἱππικὰς καὶ πεζικὰς δυνάμεις (57600 πεζοὺς, καὶ 23000, ἱππεῖς). Ἔπειτα ἐπιφέρει καὶ τὰ ἐφεξῆς (ὅσα Ὅδιος ἡρμήνευσε) « *Ἐστεφανώθησαν δ' ἐν τῷ ἀγῶνι καὶ στεφάνοις χρυσοῖς εἴκοσι. Πτολεμαῖος δὲ ὁ πρῶτος καὶ Βερενίκη εἰκοσιτρισὶν, ἐφ' ἁρμάτων χρυσῶν, καὶ τεμένεσιν ἐν Δωδώνῃ.— Ὁ δὲ Φιλάδελφος Πτολεμαῖος, υἱὸς αὐτῶν, εἴκοσι χρυσαῖς (γρ. χρυσοῖς), δυσὶ μὲν ἐφ' ἁρμάτων χρυσῶν, ἐπὶ δὲ κιόνων, ἑξαπήχει μιᾷ, πενταπήχεσι πέντε, τετραπήχεσιν ἕξ* » (Ἀθήν. ε, 203). Λέγει τοίνυν ὁ Καλλίξενος, ὅτι « *Ἐν τῷ ἀγῶνι* » (τῷ γενομένῳ μετὰ τὴν πομπὴν ἐφεξῆς, κατὰ τὰς θέας τῆς πανηγύρεως, ἧς ἀρχὴ ὑπῆρξεν ἡ πομπεία (α),

σαφῶς ἡ ἑορτὴ τῆς π ε ν τ α ε τ η ρ ί δ ο ς (ἣν καὶ γυνὴ πομπεύουσα ἐξεικόνιζε· καὶ τὰ κατ' αὐτὴν δὲ τὴν πομπὴν ὑπῆρχον ἀναγεγραμμένα « ἐν ταῖς τῶν Πενταετηρίδων γραφαῖς » Ἀθην. Ε. 197,198 καὶ Κασωβ. αὐτ.)· Εἰ δ' ὑπῆρχεν ἄλλη τις αἰτία, οὐκ ἂν ἐσιώπησεν αὐτὴν ὁ Καλλίξενος, ἢ αὐτὸς ὁ Ἀθήναιος, ὅστις καὶ ἀλλαχοῦ (Θ. 387) τῆς αὐτῆς πανηγυρικῆς τελετῆς μνημονεύων, «τὴν ἐν Ἀλεξανδρείᾳ, λέγει, γενομένην πομπὴν Πτολεμαίου τοῦ Φιλαδέλφου», μηδὲν ἕτερον προστιθείς). Τελευταῖον (ἵνα παραλίπωμεν τοὺς ἄλλους), καὶ αὐτὸς ὁ καθ' ἡμᾶς περικλεέστατος Χαμπολλιὼν ἐν τῷ στεφανηφόρῳ αὐτοῦ συγγράμματι, τῷ Annales des Lagides (T. 1. p. 398) εἰς τὴν παρὰ τῷ Καλλιξένῳ ταύτην πομπείαν ἐνόμισεν ὅτι εὗρε ζωγραφουμένην καὶ τὴν ἐποχὴν, καθ' ἣν τότε πρῶτον ὁ Φιλάδελφος ἐπέβη τῆς βασιλείας (τῷ 284. π. χ. Νοεμβ. 2). Ἀλλὰ τοῦτον μὲν τὸν χρόνον ὀρθῶς συνείκασε καὶ ἐξ ἄλλων θεωρημάτων ὁ τὰ πλεῖστα τῶν Λαγιδῶν (καὶ μάλιστα τῆς κατ' αὐτοὺς χρονολογίας) θαυμαστῶς ἐξακριβώσας φιλοπονώτατος ἀνήρ. Ὅσον δὲ περὶ τοῦ χρόνου τῆς Καλλιξένου πομπῆς, οὐκ ἔτυχεν (ὡς νομίζομεν) τοῦ σκοποῦ. ἡ πομπὴ πάντως (ὡς λέγει) ἤχθη κ α τ ὰ μ έ σ ο ν χ ε ι μ ῶ ν α (Ἀθήν. Ε 197.)· ἀλλ' οὐ παρὰ τοῦτο καὶ ὁ χειμὼν ἐκεῖνος ὑπῆρχεν ἡ ἐποχὴ τῆς ἀναγορεύσεως τοῦ Φιλαδέλφου.

(α) Οὕτω καὶ Ἀντίοχος ὁ Ἐπιφανὴς, Συρίας βασιλεὺς, τελέσας πανήγυριν ἀγώνων

καὶ καθ' ἣν ἐπόμπευον καὶ « *ἆθλα διωρισμένα τοῖς (ἐσομένοις) τῶν ἀθλητῶν χορηγοῖς* » σελ. 198), ἐν τούτῳ δὴ τῷ ἀγῶνι *ἐστεφανώθησαν καὶ στεφάνοις χρυσοῖς εἴκοσι.* — τίνες; — *εἴκοσι* δηλονότι *ἀγωνισταὶ*, τοῖς στεφάνοις ἰσάριθμοι (τοῦτο γὰρ τὸ πρόσωπον ὑπακούεται εἰς τὸ, *ἐστεφανώθησαν* ἐν τῷ ἀγῶνι). Πτολεμαῖος δὲ ὁ πρῶτος (ὁ Λαγίδης αὐτὸς), καὶ ἡ Βερενίκη ἐστεφανώθησαν καὶ οὗτοι χρυσοῖς στεφάνοις *εἰκοσιτρισὶ* (ποῦ δὲ τυγχάνοντες οὗτοι ἐστεφανώθησαν, λέγομεν ἐφεξῆς)· καὶ οὗτοι μὲν οἱ στέφανοι, οἱ εἴκοσι καὶ τρεῖς, ἀνέκειντο ἐφ' ἁρμάτων χρυσῶν. Πρὸς δὲ τοῖς χρυσοῖς στεφάνοις οἱ γονεῖς τοῦ Φιλαδέλφου ἐστεφανώθησαν (τουτέστιν, *ἐτιμήθησαν*) καὶ *τεμένεσιν* (ὁρισθεῖσιν εἰς τιμὴν αὐτῶν) *ἐν Δωδώνῃ* (α). Αὐτὸς δὲ ὁ υἱὸς αὐτῶν ἐστεφα-

---

ἐπὶ Δάφνης (προαστείου δηλαδὴ τῆς Ἀντιοχείας, « ὅπου πανηγυρίζειν ἔθος ἦν τοῖς Ἀντιοχεῦσι », Στράβ. ΙϚ. 750, ἢ, κατ' ἄλλους, εἰς τιμὴν τῆς Δάφνης καὶ τοῦ Ἀπόλλωνος) « ἀρχὴν τῆς πανηγύρεως ἐποιήσατο τὴν πομπείαν », ἣν ὁ αὐτὸς Ἀθήναιος διαγράφει (βιβλ. Ε, σελ. 194, κτλ.).

(α) Τὸ στέφειν ἢ στεφανοῦν τίθεται καὶ ἐπὶ τοῦ γεραίρειν, βραβεύειν, κοσμεῖν, τιμᾷν (ἀπὸ μεταφορᾶς τῶν νικώντων καὶ στεφανουμένων)· οἷον « Τύμβον στεφανοῦν αἵματι χλωρῷ » (Εὐριπίδ. Ἑκάβ. 128, Τρωάδ. 1030), καὶ « Καί σε παγχρύσοις στέψω λαφύροις » (Σοφοκλ. Αἴαντ. 92), καὶ, « Θεὸς μορφὴν ἔπεσι στέφει » (Ὀδυσ. Θ. 170, τουτ. κοσμεῖ), πρβ. Πλουτ. Δίων. §. λα. Ὥστε τὸ ἐστεφανώθησαν ἐνταῦθα ἐπὶ μὲν τοῦ χρυσοῖς στεφάνοις λέγεται κυριώτερον. Ἐπειδὴ δὲ οἱ στεφανούμενοι Θεοὶ Σωτῆρες οὐκ ἦσαν ἐν τοῖς ζῶσιν (ὡς ἐροῦμεν ἐφεξῆς), ἐκλαμβάνεται τὸ ῥῆμα ἀπὸ κοινοῦ καὶ εἰς τὸ τεμένεσι, κατὰ μεταφορικὴν σημασίαν (τουτ. ἐτιμήθησαν διὰ τῶν αὐτοῖς καθιερωθέντων χρυσῶν στεφάνων καὶ τῶν ἐν Δωδώνῃ τεμενῶν· λέγεται δὲ καὶ χρυσοῖς τινα στεφάνοις τιμᾷν· Διόδωρ. ιζ. 177· τοιοῦτό τι καὶ τὸ « στεφανοῦν τινα χρυσοῖς τρισχιλίοις (στεφάνοις), καὶ μυρίαις πανοπλίαις, καὶ τοῖς ἴσοις καταπέλταις » Ἀθήν. ιβ, 538). Ὁ δὲ Καλλίξενος εὐθὺς μετὰ τὸ τεμένεσι προστίθησι καὶ τὰ ἐφεξῆς. « Καὶ ἐγένετο τὸ δαπάνημα τοῦ νομίσματος » (τοῦ δαπανηθέντος εἰς τοὺς στεφάνους, καὶ εἰς τὴν διορισθεῖσαν ὠνὴν τῶν τεμενῶν) « τάλαντα 2239, μναῖ 50, καὶ ταῦτ' ἠριθμήθη πάντα παρὰ τοῖς οἰκονόμοις » (τοῖς βασιλικοῖς δηλονότι) « διὰ τὴν τῶν στεφανούντων προθυμίαν, πρὸ τοῦ τὰς θέας » (τῆς πανηγύρεως) « παρελθεῖν » (αὐτ. σελ. 203). Καὶ ταῦτα μὲν οὗτος. Ὁ δὲ σοφὸς Παλμέριος καὶ λίαν φαίνεται παράδοξος νομίζων, ὅτι πάντες οἱ πομπεύσαντες στέφανοι οὐκ ἦσαν χρυσοῖ ἀληθινοὶ, ἀλλ' ἐκ ξύλου, ἢ παπύρου Αἰγυπτίου κατεσκευασμένα στεφάνων ὁμοιώματα κεχρυσωμένα· (Οὕτω καὶ ὁ Ζοήγας, ἀπίθα-

νώθη καὶ οὗτος (ὑπὸ τῶν φίλων, ἴσως, τῶν χορηγῶν, ἢ καὶ τῶν συνελθόντων ἐκ τῶν πόλεων θεωρῶν) χρυσοῖς στεφάνοις εἴκοσιν, ὧν δύω μὲν ἐπέκειντο ἐφ' ἁρμάτων χρυσῶν, οἱ δὲ λοιποὶ ἦσαν ἀνατεθειμένοι ἐπὶ κιόνων· αὗται δὲ αἱ κίονες ἦσαν δώδεκα (α)·

νον εὑρίσκων τοσοῦτον ἄφατον καὶ ἀμύθητον χρυσοῦ πλῆθος, ἀντὶ ἐ π ι χ ρ ύ σ ω ν ἐκληπτέον νομίζει τὰ πλεῖστα γοῦν τῶν ἐν τῷ χωρίῳ τούτῳ λεγομένων χρυσῶν σκευῶν. Zoëga Bassiril. Ant. T. I. p. 36). Καὶ ἐξήλεγξε μὲν τὴν γνώμην ταύτην ὁ Σβειγαυσῆρος (καὶ πολὺ πρὸ τούτου αὐτὸς ὁ Καλλίξενος λέγων, ὅτι διηγεῖται μόνα ἐ ν ο ἷ ς χ ρ υ σ ὸ ς ἦ ν κ α ὶ ἄ ρ γ υ ρ ο ς. σελ. 201), ἀληθινοὺς ἐκ χρυσοῦ, καὶ ἢ χυτούς, ἢ (διὰ τὸ κουφότερον) ἐλατοὺς ἐκδεχόμενος τοὺς στεφάνους. Προστίθησι δὲ καὶ ὅτι « τοὺς χρυσοὺς στεφάνους οὐκ ἀείποτε ὡς ἀληθινοὺς ἐκδεκτέον· διότι καὶ γέρας ἐπίσημον οἱονδήποτε, τιμῆς ἕνεκα προσφερόμενον, σ τ έ φ α ν ο ς παρ' Ἕλλησι καὶ Corona παρὰ Λατίνοις ἐλέγετο. (ὅθεν καὶ τὸ «ἐστεφάνωσαν τὸν Ἀντίοχον πεντακοσίοις ταλάντοις» Πολύβ. ΙΓ 9. τουτ. ἐπὶ λόγῳ καὶ ὀνόματι στεφάνου ἐδωρήσαντο » Schweighaeus. Animadvers. in Athen. vol. 3. p. 127)· καὶ ταῦτα μὲν ἀληθῆ· πρὸς τοὺς προκειμένους ὅμως ἀ λ η θ ι ν ο ὺ ς τοῦ Πτολεμαίου καὶ τῆς Βερενίκης κτλ. σ τ ε φ ά ν ο υ ς οὐδὲν ἔχουσι κοινόν. Αὐτὰ δὲ τὰ τ ε μ έ ν η (οἷς ἐστεφανώθησαν οἱ Θεοὶ οἱ Σωτῆρες) διωρίσθησαν ἐν τῇ Δωδώνῃ, πόλει τῆς Ἠπείρου (ὅπου καὶ ὁ Μ. Ἀλέξανδρος ἤθελε κτίσαι ναόν, ὡς καὶ ἐν Δήλῳ, καὶ ἀλλαχοῦ. Διόδωρ. ιη, 260), διά τε τὸ σεμνότατον καὶ ἀρχαιότατον τοῦ Δωδωναίου μαντείου (Στράβ. Ζ, 328), καὶ μάλιστα διότι Πύῤῥος, ὁ τῆς Ἠπείρου βασιλεύς, Πτολεμαίῳ τῷ Σωτῆρι φίλτατος ἦν, καὶ γαμβρὸς τῆς Βερενίκης (Πλούταρχ. Πύῤῥ. §. δ.), « μ ε μ ν η μ έ ν ο ς Β ε ρ ε ν ί κ η ς κ α ὶ Π τ ο λ ε μ α ί ο υ » (αὐτ. §. ς.). Ὅθεν πάντως καὶ οἱ Ἠπειρῶται ἐτίμων τὴν μνήμην τῶν Σωτήρων Θεῶν. Καὶ ἄλλως δὲ οἱ ἀπ' Ἀλεξάνδρου τῆς Αἰγύπτου βασιλεῖς (οἵτινες ἔχαιρον καλούμενοι Μακεδόνες, καὶ μάλιστα ὁ Λαγίδης, « Μακεδόνα γράφων ἑαυτὸν ἐν ταῖς ἐπιγραφαῖς » Παυσαν. Ϛ. 3, καὶ Ι. 7· διὸ καὶ ὁ Καλλίμαχος, Ὕμν. εἰς Δῆλον, Μ α κ ε δ ό ν α τὸν Φιλάδελφον ὠνόμασεν), οἱ τῆς Αἰγύπτου, λέγω, Μακεδόνες βασιλεῖς εἶχον καί τινα φιλοτιμίαν οἰκειότητος πρὸς τοὺς Ἠπειρώτας· ὁ γὰρ Μακεδὼν Ἀλέξανδρος « Ἠπειρώτης ἦν καὶ τῶν Αἰακιδῶν τὰ πρὸς μητρός » (Παυσαν α. ·9.). Ταύτης μόνης τῆς τελευταίας αἰτίας ἀκροθιγῶς ἥψατο ὁ Παλμέριος εἰπὼν « ὅτι οἱ τῆς Αἰγύπτου βασιλεῖς, ὡς Μακεδόνες τὸ γένος, ἀντεποιοῦντο τιμῶν ἑλληνικῶν, καὶ τὴν Κύπρον εἶχον καὶ Κιλικίαν, ὅπου πολλαὶ πόλεις ἦσαν Ἑλληνίδες· καὶ αὐτὸς ὁ Β. Πτολεμαῖος Ἀρσινόην πόλιν ἔκτισεν ἐν Αἰτωλίᾳ » (βλ. Schweighaeus. ibid. p. 125). Ἀλλ' ἐν τούτοις, τί κοινὸν Κύπρῳ καὶ Κιλικίᾳ καὶ Αἰτωλίᾳ πρὸς Δωδώνην; Παράδοξον δὲ ὅτι καὶ αὐτὸς ὁ μέγας Κασωβὼν οὐδὲν εἶπε περὶ τούτου πιθανόν, μηδ' αὐτῆς τῆς πρὸς τὸν Πύῤῥον συγγενείας τοῦ Φιλαδέλφου ἐπιμνησθείς (βλ. τὰ τοῦ Κασωβῶνος παρὰ Schweighaeus. ibid.).

(α) Ὁ κίων, καὶ ἡ κίων, θηλυκ. « κίονα μ α κ ρ ή ν » (Ὅμηρ. Ὀδυσ. α, 127. ρ. 29) κτλ. καὶ « μ α κ ρ ὸ ν » (Ὀδυσ. θ. 66, 473. κτλ.): Ὁ δὲ Willebrun ἀντὶ κ ι ό

μία μὲν ἑξάπηχυς, πέντε δὲ πενταπήχεις, καὶ ἄλλαι τετραπήχεις ἕξ· ταῦτα λέγει (νομίζομεν) ὁ Καλλίξενος. Ὁ δὲ σοφὸς Ὅδιος πολλαχῶς συνετάραξε τὸ νόημα τῆς ἧς ἀνέφερε περικοπῆς (βλ. σελ. 148). Καὶ α) μὲν, μὴ κατανοήσας, ἴσως, τὸ πρῶτον κῶλον *(τὸ ἐστεφανώθησαν ἐν τῷ ἀγῶνι κτλ.)* ἀφεῖλεν ἐκ τῆς τελευταίας περιόδου τὸ ὄνομα τοῦ Φιλαδέλφου (ἀποσχίσας ἀπὸ τῶν ἄλλων τῶν συνημμένων φωνῶν), καὶ προσεκόλλησε πρὸς τὸ πρῶτον κῶλον (διότι εὗρε καὶ ἐκεῖ 20, *στεφάνους*). β) Ἐκ δὲ ταύτης τῆς μεταθέσεως διέφθειρε καὶ ἄλλως τὸ νόημα τοῦ κειμένου. Ἐξ ὧν γὰρ αὐτὸς ἔγραψε, φαίνεται καὶ αὐτὸς ὁ Φιλάδελφος ἀναμὶξ μετὰ τῶν ἄλλων ἀγωνιστῶν στεφανωθεὶς, ὡς ἐκεῖνοι, καὶ φέρων λοιπὸν καὶ αὐτὸς *κατὰ κεφαλῆς* οὐχ ἕνα (καθὼς ἐκείνων ἕκαστος), ἀλλ' *εἴκοσιν ὅλους στεφάνους χρυσοῦς*! γ) προσέθηκεν ὡς παρόντας εἰς *τὸν ἀγῶνα* καὶ τὸν Α, Πτολεμαῖον καὶ τὴν Βερενίκην αὐτὴν (οἷον ἀγωνίστριάν τινα φερώνυμον, *φερενίκην*!). Καὶ τὸν μὲν Πτολεμαῖον στεφανοῖ κατ' ἰδίαν *στεφάνοις εἴκοσι*· τὴν δὲ Βερενίκην, ἔτι φιλοτιμότερον, 23· τούτους ὅμως τοὺς στεφάνους ἀφῆκεν ἐποχουμένους *ἐφ' ἁρμάτων χρυσῶν*, ὡς φέρονται καὶ παρὰ τῷ συγγραφεῖ (α)· δ) Ἀπέκοψε, τέλος, καὶ τὸ συνημμένον « *καὶ τεμένων*, διορθοῖ ἡ μ ι ό ν ω ν (Βλ. Schweighaeus. ibid.)· ἀλλ' ἡμίονοι τεσσάρων, καὶ 5, καὶ 6, πηχῶν τὸ μῆκος ποῦ ἠκούσθησαν;

(α) Παρὰ τῷ συγγραφεῖ λείπει τὸ ῥῆμα (κατ' ἔλλειψιν συνήθη παρ' Ἕλλησι) « χ ρ υ σ ο ῖ ς σ τ ε φ ά ν ο ι ς ἐ φ' ἁ ρ μ ά τ ω ν, — ἐ π ὶ κ ι ό ν ω ν, » κτλ. Οἱ Λατῖνοι μεταφρασταὶ ἐξέφρασαν τὸ ῥῆμα διὰ τοῦ advectis (ἐ π ο χ ο υ μ έ ν ο ι ς: Hody etc.), κινούμενα δηλαδὴ (καὶ τρέχοντα ἴσως) ἐν τῷ ἀγῶνι καὶ ταῦτα τὰ χρυσᾶ (ἐφ' ὧν οἱ στέφανοι ὠχοῦντο), ἅρματα ἐκλαμβάνοντες (οἱ δέ τινες, τοὺς κήρυκας ἱσταμένους ἐπὶ τῶν ἁρμάτων ὑπέλαβον, ἀναγορεύοντας τοὺς στεφάνους· ἄλλους δέ τινας ἐπιτροπικῶς ἀγωνισθέντας ὡς ἐκ προσώπων τοῦ Πτολεμαίου καὶ τῆς Βερενίκης· Βλ. Schweighaeus. ibid. ἀλλ' ὁ συγγραφεὺς (ὡς νομίζομεν) ἐννοεῖ κ ε ι μ έ ν ο υ ς, ἀ ν α κ ε ι μ έ ν ο υ ς, ἢ ἑστηκότας, βεβηκότας, τοὺς στεφάνους ἐπὶ τῶν χρυσῶν (καὶ τούτων ἑ σ τ η κ ό τ ω ν) ἁρμάτων, ὡς καὶ ἐπὶ τῶν κ ι ό ν ω ν, κτλ. Οὕτω καὶ τὸ « χρυσᾶς εἰκόνας ἐ φ' ἅ ρ μ α τ ο ς στῆσαι » (Διόδωρ. Κ, 439). Τοιαῦται δὲ εἰκόνες ἦσαν καὶ ἐπὶ χαλκῶν ἁρμάτων ἀνακείμεναι καὶ σ υ ν ω ρ ί δ ω ν (Παυσαν. ς. §. 12. § 1. καὶ 3. βλ. καὶ Λαέρτ. Ε, ε. §. 2. κτλ.).

νεσιν ἐν Δωδώνῃ », διὰ τὸ δυσνόητον. Ὁμολογοῦμεν ὅτι πολλὰ τῶν ἀρχαίων συγγραφέων χωρία (ἐν οἷς καὶ τοῦτο μάλιστα τὸ τοῦ Καλλιξένου, καθὼς ὡμολόγηται καὶ παρ᾽ ἄλλοις) δυσνόητα συναντῶσι καὶ δυσεξήγητα καὶ ὑπόζοφα· ἀλλὰ τὸ μεταπλάττειν τὰ τοιαῦτα καὶ περικόπτειν, καὶ τὰς περιόδους ἀναποδίζειν, καὶ τὴν ὅλην σύνθεσιν συνταράσσειν πρὸς κατασκευὴν σπουδαζομένης τινὸς μαρτυρίας, ταῦτα πάντως οὐ πρὸς τῆς μούσης Ὀδίου! (α). Ὁ δ᾽ αὐτὸς καὶ ζῶντας ἔτι τότε τὸν Α, Πτολεμαῖον καὶ τὴν Βερενίκην ὑπέλαβεν (ὡς καὶ ἄλλοι τῶν φιλολόγων, βλ. ὄπισθ. σελ. 150), καὶ τὸν χρόνον τῆς πομπῆς ἔταξε κατὰ τὴν διε-

---

(α) Πολὺ πρὸ τοῦ Ὀδίου καὶ ἄλλος σοφὸς, ὁ Δαλεκάμπης (ὅστις, ἴσως, ἔσφαλε καὶ τὸν Ὄδιον) μὴ κατανοήσας μηδ᾽ αὐτὸς τὸ « ἐ σ τ ε φ α ν ώ θ η σ α ν ἐ ν τ ῷ ἀ γ ῶ ν ι σ τ ε φ α ν. χ ρ υ σ. ε ἴ κ ο σ ι ν » ἀφεῖλε τὸν ἐν τῷ κειμένῳ παρακολουθοῦντα μεταβατικὸν δ ὲ (Πτολεμαῖος ΔΕ, κτλ.), καὶ συνῆψε τὸ ε ἴ κ ο σ ι πρὸς τὴν ἐφεξῆς περίοδον, ἑρμηνεύσας οὕτω· « Ludis quidem publicis aureis coronis viginti Ptolemaeus primus » (καὶ εἰς τὴν ᾤαν τοῦ βιβλίου παρεσημείωσεν « a b A e g y p t i p o p u l i s. L a g i f i l i u s, m a r i t u s B e r e n i c e s) « donatus est. Beremice vero tribus et viginti, super aureis curribus advectis, et luco (καὶ παρασημειοῖ a u r e o, n i s i f a l l o r) « Dodonae. — Ptolemaeus Philadelphus, illis genitus, » etc. (ὡς ἂν εἴπερ ἐγέγραπτο παρὰ τῷ συγγραφεῖ « Ἐστεφανώθησαν ἐν τῷ ἀγῶνι στεφ. χρυσ. ε ἴ κ ο σ ι Π τ ό λ ε μ α ῖ ο ς ὁ π ρ ῶ τ ο ς. Β ε ρ ε ν ί κ η δ ὲ ε ἰ κ ο σ τ ρ ι σ ὶ ν, ἐ π ο χ ο υ μ έ ν ο ι ς ἐφ᾽ ἁρμάτων, και τ ε μ έ ν ε ι ἐν Δωδώνῃ. — Ὁ δὲ Φιλάδελφος Πτολεμαῖος » κτλ. Ἐπεξήγησε δὲ καὶ ὑπὸ τίνος οὗτοι ἐ σ τ ε φ α ν ώ θ η σ α ν, παρασημειώσας, ὅτι ὑ π ὸ τ ῶ ν λ α ῶ ν τ ῆ ς Αἰγύπτου· καὶ τὸ τ ε μ έ ν ε σ ι δὲ, ἑνικῶς ἑρμηνεύσας, ὑπέλαβε καὶ τοῦτο, καθὼς παρεσημείωσε, χ ρ υ σ ο ῦ ν! (ἄλλος δέ τις τὸ τ ε μ έ ν ε σ ι ν ἐξελατίνισε, lignis ex luco Dodonae. Demag. l. c. p. 415. : « ξύλοις ἐκ τοῦ δρυμοῦ τῆς Δωδώνης » Ἀλλ᾽ οὐ πάνυ τι καλὸν στεφάνωμα τὸ ξύλον!). Ἀλλ᾽ ὅμως ὁ Δαλεκάμπης διετήρησε κἂν ἀσύγχυτον τὴν τάξιν τῶν περιόδων, ἀφεὶς κατὰ χώραν τὸ « ὁ Φιλάδελφος Πτολεμαῖος » κτλ. Ὁ δὲ κλεινὸς Ὄδιος καὶ τοῦτο μετέστησεν ἀνώτατον μεταγγίσας, καὶ προσάψας εἰς αὐτὸν τὸν Φιλάδελφον τοὺς πρώτους ε ἴ κ ο σ ι σ τ ε φ ά ν ο υ ς (τῶν εἴκοσιν ἀγωνιστῶν)· και ταῦτα, ἐν ᾧ εἶχε πάντως πρὸ ὀφθαλμῶν τὸν ἐπιφανέστατον Κασωβῶνα, ὅστις καὶ τοῦ Δαλεκάμπου κατέκρινε τὴν μετάφρασιν, καὶ αὐτὸς ἡρμήνευσεν ὀρθῶς « Coronati sunt in certamine coronis aureis v i g i n t i e v i c t o r i b u s (εἴκοσιν ἐκ τῶν νικητῶν)· ὁ δὲ κλεινὸς Σβειγαυσῆρος ὀρθότερον ἐξέλαβε τὸ ε ἴ κ ο σ ι ν ἀπὸ κοινοῦ ἐπί τε τῶν στεφάνων, καὶ τῶν ἰσαρίθμων στεφανωθέντων ἀγωνιστῶν. Βλ. Schweighaeus. Animadv. in Athen. vol. 3. p. 123 — 124.

τίαν τῆς τοῦ Φιλαδέλφου μετὰ τοῦ πατρὸς συμβασιλείας. Ἀλλὰ τίνα φέρει τούτου βεβαίαν ἀπόδειξιν; Ὅλον μάλιστα τοὐναντίον συμπεραίνεται ἐκ τῶν λόγων τοῦ Καλλιξένου, ὅτι ὁ πατὴρ καὶ αὐτὴ ἡ μήτηρ τοῦ Φιλαδέλφου ὑπῆρχον ἤδη τεθνηκότες (ὡς δείξομεν εὐθύς). Καὶ φέρονται μὲν παραδείγματα πολλῶν ἰσοθέοις τιμαῖς ἔτι ζώντων τιμηθέντων, οὐ μόνον Ἑλλήνων, ἀλλὰ καὶ ἄλλων ἐθνῶν. Οὕτως οἱ Αἰγύπτιοι (πρὸ τῆς ἐπικρατείας τῶν Μακεδόνων) Δαρεῖον τὸν Ξέρξου πατέρα ζῶντα θεὸν προσηγόρευσαν, μόνον τῶν ἄλλων βασιλέων (Διόδωρ. Α, §. 95). Αὐτὸν (ἵνα παραλίπωμεν ἄλλους) αὐτὸν τὸν Λαγίδην Πτολεμαῖον οἱ Ῥόδιοι δι' εὐγνωμοσύνην θεὸν μὲν οὐ προσηγόρευσαν, ἀλλ' ὅμως *ἐτίμησαν ὡς θεὸν* (συμβουλευθέντες πρῶτον τὸ τοῦ Ἄμμωνος χρηστήριον) (α). Ἐτίμησαν δὲ πῶς; « τέμενος ἀνῆκαν ἐν τῇ πόλει τετράγωνον, οἰκοδομήσαντες παρ' ἑκάστην *στοὰν πλευρὰν* (ἴσ. γρ. *πλευρὰν στοὰν*) σταδιαίαν, ὃ προσηγόρευσαν Πτολεμαῖον » (Διόδ. Κ. §. 100. σελ. 478). Τότε καὶ *Σωτῆρα* τοῦτον ἐπωνόμασαν (Παυσ. Α, η, 6.)· καὶ *παιᾶνα* δὲ ᾖδον εἰς αὐτόν (β). Ἀλλ' ὅμως αὐτὸς ὁ Λαγίδης οὐδαμοῦ φαίνεται θεὸν ἑαυτὸν ἔτι ζῶντα ἀνακηρύξας (ὡς οὐδ' Ἀντίγονος, οὐδ' ὁ υἱὸς αὐτοῦ Δημήτριος, εἰς οὓς ἡ τότε τῶν Ἀθηναίων ἀσελγαίνουσα κολακεία συνεσώρευσε τοσαύτας θείας τιμάς) (γ), οὔτε ἐν νομί-

---

(α) Οὕτω καὶ τὸν Λυκοῦργον τὸ πάλαι χρησμός τις προσεῖπε θεόν, τιμῆς χάριν. « Δίζω, ἤ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον. Ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόοργε » (Ἡρόδ. Α. 65). Ἀλλ' ὅμως οἱ Λακεδαιμόνιοι τὸν Λυκοῦργον οὐδέποτε προσεῖπον θεὸν διὰ τὸν χρησμόν.

(β) Ἀθήν. ΙΕ. 696. Ἀλλὰ τοιούτους παιᾶνας ᾖδον καὶ ἄλλοι εἰς ἄλλους θνητοὺς (αὐτ. αὐτόθ.). « Πρώτῳ δὲ τῶν Ἑλλήνων Λυσάνδρῳ (τῷ Λακεδαιμονίῳ) βωμοὺς αἱ πόλεις ἀνέστησαν, ὡς Θεῷ, καὶ θυσίας ἔθυσαν· εἰς δὲ πρῶτον παιᾶνες ᾔσθησαν » κτλ. (Πλούτ. Λυσάνδ. §. ιη.). Καὶ αὐτὸς ὁ χρηστὸς Ἄρατος ἐκάθητο « Ἀντιγόνεια θύων, καὶ παιᾶνας ᾄδων αὐτὸς ἐστεφανωμένος εἰς ἄνθρωπον (τὸν Ἀντίγονον), ὑπὸ φθόης κατασηπόμενον » (Πλούταρχ. Κλεομ. §. ις.).

(γ) Πλούταρχ. Δημητρ. §. ι — ιδ, καὶ Διόδωρ. Κ. τόμ. Β. σελ. 439 Wess· ὅστις προστίθησιν, ὅτι καὶ βωμὸν οἱ Ἀθηναῖοι προσηγόρευσαν Σωτήρων (τοῦ Ἀντιγόνου καὶ Δημητρίου)· καὶ Σικυώνιοι δὲ θυσίας καὶ πανηγύρεις καὶ ἀγῶνας συντελεῖν κατ' ἐνιαυτὸν τῷ Δημητρίῳ ἐψηφίσαντο (Διόδωρ. Κ. σελ. 480). παρὰ δὲ τοῖς

σμασιν, οὔτε ἀλλαχοῦ (α). Ἀλλ' οὐδ' αὐτὸς ὁ Ἀλέξανδρος («ὅςις καὶ τοῖς *Ἕλλησι μετρίως ἑαυτὸν ἐξεθείαζε*». Πλούτ. Ἀλέξανδρ.

Λακεδαιμονίοις, ὁ μέγιστα τούτους εὐεργετήσας Ἀντίγονος «Εὐεργέτης ἐκρίθη παρ' αὐτὸν τὸν καιρὸν, ἀλλὰ μεταλλάξας, Σωτήρ» (Πολύβ. Ε, 9).

(α) Μεταξὺ τῶν ἀποσωθέντων νομισμάτων, ἢ μεταλλοσήμων (médailles) τῶν πρώτων Πτολεμαίων εὑρίσκεται κἀκεῖνο τὸ διασημότατον, ὅπερ ἔνθεν μὲν φέρει παραλλήλους τὰς κεφαλὰς Πτολεμαίου τοῦ Σωτῆρος καὶ τῆς Βερενίκης, μετ' ἐπιγραφῆς ΘΕΩΝ, ἑτέρωθεν δὲ τὰς τοῦ Φιλαδέλφου καὶ τῆς Ἀρσινόης, μετ' ἐπιγραφῆς ΑΔΕΛΦΩΝ (χωρὶς τοῦ Θεῶν)· τοῦτο πιθανώτατα ἐκόπη ἐπ' αὐτοῦ τοῦ Φιλαδέλφου βασιλεύοντος, εἰς μνήμην τῶν μετὰ τὴν τελευτὴν ἀποθεωθέντων γονέων αὐτοῦ, καὶ τῆς συμβασιλευούσης ἀδελφῆς. (οἱ δέ τινες καὶ εἰς τὸν γ, Πτολεμαῖον κατάγουσι τοῦ μεταλλοσήμου τὴν τύπωσιν, οὐ πάνυ τι εἰκότα ὑποπτεύοντες). ΘΕΟΥΣ ΣΩΤΗΡΑΣ ὠνόμασε τοὺς προπάτορας, καὶ ΘΕΟΥΣ ΑΔΕΛΦΟΥΣ τοὺς ἰδίους γονεῖς, ἤδη τετελευκότας, καὶ ὁ γ, Πτολεμαῖος ὁ Εὐεργέτης ἐν τῷ εἰρημένῳ Ἀδουλαίῳ μνήματι (ὄπισθ. σελ. 136.) πρβλ. καὶ Annal. de l'Instit. de Correspond. Archéolog. Tom. XII. p. 264· βλέπε ἐφεξῆς § ιϐ, καὶ τὴν ἐν Κανώϐῳ εὑρεθεῖσαν τοῦ αὐτοῦ Εὐεργέτου ἐπιγραφήν). Εἰς τούτου τοῦ Εὐεργέτου τοὺς χρόνους ἀνάγεται δικαίως καὶ ἡ τύπωσις ἄλλου σωζομένου χρυσοῦ μεταλλοσήμου (παρὰ Demagistr. l. c. p. 419), φέροντος ἔνθεν μὲν τὰς κεφαλὰς τοῦ Α, Πτολεμαίου καὶ τῆς Βερενίκης ἀνεπιγράφους, ἑτέρωθεν δὲ τὰς τοῦ Φιλαδέλφου καὶ τῆς Ἀρσινόης, μετ' ἐπιγραφῆς «Θεῶν ἀδελφῶν» (ἤδη τεθνηκότων δηλονότι· ζῶντες γὰρ ἐπεγράφοντο μόνον ἀδελφῶν). *Εἰς δὲ πάλιν τὴν Ῥοσσέτειον λεγομένην ἐπιγραφὴν ἀναγινώσκεται καὶ Θεῶν Εὐεργετῶν, ὡς ὠνομάσθησαν μετὰ θάνατον αὐτός τε ὁ Εὐεργέτης καὶ ἡ σύζυγος αὐτοῦ Βερενίκη* (Visconti Iconog Gr. T. 3 p. 222). Αὐτὸς δὲ ὁ Εὐεργέτης οὔτε ἐν τῇ Ἀδουλαίᾳ ἐπιγραφῇ, *οὔτε ἐν τοῖς νομίσμασιν ἀπέδωκεν εἰς ἑαυτὸν τὴν θεωνυμίαν*. Ἀλλ' οὐδ' ὁ Ε, Πτολεμαῖος ὁ Ἐπιφανὴς ἐπεγράφετο ἄλλως, ἢ ἁπλῶς βασιλεὺς («Πτολ. βασιλέως»)· (*τοῦτο δὲ καὶ ἐν ἄλλοις ἄλλων Πτολεμαίων νομίσμασιν εἴθισται, ὡς ἐπὶ τὸ πλεῖστον*)· *καί τοι κατὰ τὴν ἀναγόρευσιν, ἢ ἐν τοῖς ἀνακλητηρίοις, ἔτι παῖς ὁ Ἐπιφανής, μηδὲ τὴν νόμιμον ἔτι ἡλικίαν ἔχων* (Πολύβ. ιζ, 36) *ἐπωνομάσθη καὶ Θεὸς Ἐπιφανής, εὐχάριστος* (*βλ. καὶ τὴν Ῥοσσέτειον ἐπιγραφὴν ἐν* Eclairc. sur l'inscript. Grec. trouvée à Rosette par M. Ameilhorn. Paris. 1803. καὶ Champol. Annal. T. 2 p. 119, 405). *Τοιαύτη δὲ καὶ τοῦ Δ, Πτολεμαίου τοῦ Φιλοπάτορος εὕρηται ἐν μαρμάρῳ θεωνυμίας ἐπιγραφή· «Πτολ. καὶ Κλεοπ. Θεῶν Φιλοπατόρων»* (*βλ. Κωνστ. τοῦ Πατριάρχου Αἰγυπτιακ. σελ.* 116.), *καὶ ἄλλη δέ τις ἰδία τῆς Ἀρσινόης, τῆς ἀδελφῆς καὶ συζύγου τοῦ Φιλοπάτορος. «ἈρσινόηΣ (γρφ. ἈρσινόηΝ) Θεὰν Φιλοπάτορα. κτλ.* (*ἣν ὀρθῶς ἀνεπλήρωσεν ὁ* Droysen, in Rheinisches Museum p. 539. 3 Jahrg. Bonn. 1829. *ἐσφαλμένως ἐκδεδομένην ὑπὸ* Letronne ἐν Journal des Savans. 1828, p. 260). *Πρώτου ἐκ τῶν Λαγιδῶν, ὅσον ἡμεῖς οἴδαμεν, τοῦ Ϛ, Πτολεμαίου νόμισμα φέρεται*

§. 28), οὐδ' ὁ πατὴρ αὐτοῦ Φίλιππος (καί τοι τυραννικώτερον ὑπὸ τύφου μετὰ τῶν δώδεκα θεῶν τρισκαιδέκατος πομπεύσας αὐτὸς, καὶ τῇ ἐφεξῆς ἡμέρᾳ ἐν τῷ θεάτρῳ κατασφαγείς), (α),

---

« βασιλέως Πτολεμαίου Θεοῦ Φιλομήτορος»· σῴζονται δὲ καὶ ἐπιγραφαὶ «θεῶν Φιλομητόρων» τοῦ ς, Πτολεμαίου καὶ τῆς ἀδελφῆς καὶ γυναικὸς Κλεοπάτρας (βλ. Viscont. l. c. p. 235 καὶ Ez. Spanhem. De usu etc. nomismat. Dissert. VII. καὶ Observat. in Καλλιμάχ. ὕμν. εἰς Δία στίχ. 79. πρβλ. Wessel. εἰς Διόδωρ. τόμ. Α. σελ. 106). Οὕτω καὶ τῶν Σελευκιδῶν, τῶν ἀπ' Ἀλεξάνδρου βασιλέων τῆς Συρίας, ἐθεωνυμήθησαν δύω τινὲς ἔτι ζῶντες, Ἀντίοχος ὁ Θεὸς, ὑπὸ Μιλησίων πρῶτον ἀναγορευθεὶς (Ἀπιαν. Συριακ. § ξε), καὶ ὕστερον, Δημήτριος ὁ γ, καὶ εἴτις ἄλλος ἀλλαχοῦ, κωνείου δεόμενος. Καὶ ὀρθῶς λοιπὸν ἔκριναν ὅσοι ὑπέλαβον ὅτι οὔτε Πτολεμαῖος ὁ Σωτὴρ, οὔτε ὁ Φιλάδελφος ἔτι ζῶντες ἀνηγορεύθησαν θεοί· διὸ καὶ οὐδ' ἐν τοῖς νομίσμασιν ἢ ἐπιγραφαῖς τῶν ἔτι ζώντων Λαγιδῶν ἀπαντᾶται τὸ Θεὸς μέχρι τοῦ Δ, καὶ τοῦ Ε, Πτολεμαίου.). Ἀλλ' ὁ κλεινὸς Δεμάγιστρος ἀντιλέγων τοῖς περὶ τὸν Ἀρδουΐνον ἐπιφέρει, ά) «Ὅτι τὸν Α, Πτολεμαῖον ἔτι ζῶντα ἀνηγόρευσαν οἱ Ῥόδιοι Σωτῆρα.» — Ἀλλὰ τὸ Σωτὴρ διαφέρει τοῦ Θεός. περὶ τούτου λέγομεν καὶ εἰς ἄλλην ἐφεξῆς σημείωσιν. β'.) λέγει ὅτι καὶ τὸ, «Θεοῖς Σωτῆρσιν» ἐπιγεγραμμένον εἰς τὸν ἐν τῇ Φάρῳ πύργον, τὸν Α, Πτολεμαῖον καὶ τὴν Βερενίκην ἐννοεῖ, καὶ ζώντων αὐτῶν ἐπεγράφη ». — Λέγομεν καὶ περὶ τούτου ἐφεξῆς ἐν τῷ οἰκείῳ τόπῳ, τοσοῦτον μόνον ἐνταῦθα παρενείραντες, ὅτι οὐδ' αὐτὸς ὁ Σωτὴρ ἔτι ζῶν ὠνομάσθη Θεὸς, μήτι γε ἡ Βερενίκη! γ') Ἐπιφέρει πρὸς ἀπόδειξιν καὶ τὸ εἰς τὸν Ἄρατον ἐπίγραμμα τῶν Σικυωνίων, ὅπου (λέγει) « ὁ Σωτὴρ καὶ ἡ Βερενίκη καλοῦνται Σωτῆρες Θεοὶ, ἐν τοῖς ἔπεσι τοῖς ἐφεξῆς. « Ἄμμες δ' εἰκόν', Ἄρατε, τεὰν, νόστοιο τυχόντες, Στάσαμεν, ἀντ' ἀρετᾶς ἠδὲ δικαιοσύνας, Σωτῆρος, Σωτῆρσι Θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ » κτλ. (βλ. Πλούταρχ. Ἀράτ. §. ιδ.) — Ἀλλ' ἐσφάλη καὶ περὶ τὴν ἔννοιαν τοῦ ἐπιγράμματος ὁ Δεμάγιστρος, διχῶς· α) Σωτῆρες θεοὶ λέγονται ἐνταῦθα οὐχ οἱ περὶ τὸν Α, Πτολεμαῖον, ἀλλ' οἱ ἐπουράνιοι θεοί, οἱ τὴν πατρίδα καὶ τοὺς φυγάδας σώσαντες δι' Ἀράτου, ὃν καὶ τοῦτον καλοῦσι σωτῆρα. « Ἡμεῖς δὲ (λέγουσιν) Ἄρατε, τῆς εἰς τὴν πατρίδα ἐπανόδου τυχόντες, εἰς μνήμην τῆς σῆς ἀρετῆς καὶ δικαιοσύνης ἐστήσαμεν (ἀνεθήκαμεν) τὴν εἰκόνα Σου (τεὰν) τοῦ Σωτῆρος, τοῖς σωτῆρσι θεοῖς » κτλ. (βλ. Πλουτάρχ. Ἄρατ. §. ιδ. σελ. 244 καὶ 440 ἐκδ. Κορ.). β) Ὁ Ἄρατος ἔτυχε γενναίας συνδρομῆς εἰς ἐλευθέρωσιν τῆς πατρίδος οὐχὶ παρὰ τοῦ Σωτῆρος (ἤδη προτετελευτηκότος), ἀλλὰ παρὰ τοῦ υἱοῦ, τοῦ Φιλαδέλφου (ὅπερ καὶ αὐτὸς ὁ Δεμάγιστρος ὁμολογεῖ). Κἂν λοιπὸν (καθὼς ὑπέλαβε) τὸ Σωτῆρσι θεοῖς τοῦ ἐπιγράμματος ἀνεφέρετο εἰς τὸν α, Πτολεμαῖον, τί ἂν ἕτερον ὑπῆρχε καὶ τοῦτο, εἰμὴ λαμπρὰ πρὸς ταῖς ἄλλαις ἀπόδειξις, ὅτι τὸ ἐπώνυμον ἀπεδόθη τοῖς γονεῦσι τοῦ Φιλαδέλφου μετὰ τὴν αὐτῶν τελευτήν;

(α) « Τῆς πομπῆς γενομένης, — εἴδωλα τῶν δώδεκα Θεῶν ἐπόμπευε· — σὺν δὲ

οὐδ' αὐτοὶ (λέγομεν) πανδήμως ἀπεθεώθησαν παρὰ τοῖς οἰκείοις, εἰ μὴ μετὰ τὴν τελευτήν (α).

Τοιοῦτοι μετὰ θάνατον ἀποτεθεωμένοι φαίνονται καὶ κατὰ τὴν Καλλιξένου πομπὴν οἱ τοῦ Φιλαδέλφου γονεῖς, καὶ τοῦτο (εἰ μὴ παντελῶς ἀπατώμεθα) ἀποδείκνυται ἐκ τῶν ἐφεξῆς· Α) ἡ ἱερὰ αὕτη παράταξις, ἢ πανηγυρικὴ πομπὴ καὶ πρόοδος, ἤγετο διὰ τοῦ σταδίου (τοῦ καὶ *ἑπτασταδίου*) τῆς Ἀλεξανδρείας· ἐτελέσθη δὲ καὶ κατὰ τὴν ἑορτὴν τῆς πενταετηρίδος, ἀρξαμένη ἀπὸ τῆς πρωϊνῆς αὐγῆς τοῦ ἑωσφόρου, καὶ διαρκέσασα μέχρι τῆς ὀψίας ἐπιφαύσεως τοῦ Ἑσπέρου (βλ. σελ. 197, 198). Διῃρεῖτο δὲ εἰς μερικωτέρας ἄλλας πομπὰς, ἢ τάξεις (β). Πρώτη ἐβάδιζεν ἡ εἰς τιμὴν τοῦ *Ἑωσφόρου*. Ἔπειτα, *ἡ τοῖς τῶν βασιλέων γονεῦσι κατωνομασμένη*. Μετὰ ταύτας *αἱ τῶν θεῶν ἁπάντων*· (διάφοραι δὲ ἦσαν τάξεις, ὑποδιαιρούμεναι κατὰ τὴν διασκευὴν τῆς περὶ ἑκάστου τῶν Θεῶν ἱστορίας· διέγραψε δὲ μόνον ὁ Καλλίξενος ἐξαιρέτως τὴν τάξιν ἢ πομπὴν τοῦ Διονύσου, ὡς μάλιστα μεγαλοπρεπῶς γενομένην, ἴσως διότι ὁ Φιλάδελφος ἀνῆγε τὸ γένος οὐ μόνον εἰς Ἡρακλῆν, ἀλλὰ καὶ εἰς τὸν Διόνυσον. (βλ. ἐφεξ. Κεφ. Ζ. §.λη. σημ.)· καὶ τελευταία τάξις ἐπηκολούθει ἡ τοῦ *Ἑσπέρου* (σελ. 197). Βλέπομεν λοιπὸν καὶ *τοὺς γονεῖς τῶν βασιλέων* (αὐτοῦ τοῦ Φιλαδέλφου δηλαδὴ καὶ τῆς Ἀρσινόης), ὅτι εἶχον κᾀκεῖνοι μετα-

---

τούτοις αὐτοῦ τοῦ Φιλίππου τρισκαιδέκατον ἐπόμπευε θεοπρεπὲς εἴδωλον, σύνθρονον ἑαυτὸν ἀποδεικνύοντος τοῦ βασιλέως τοῖς δώδεκα Θεοῖς. (Διόδωρ. βιβλ. ις. σελ. 153 τόμ. β. ἐκδ. Wess. πρβλ. Στοβ. τιτ. ϙϛ. σελ. 524). Ταῦτα ὁ Φίλιππος! ὅστις ἄλλοτε Μενεκράτην τὸν ἰατρὸν, Δία ἑαυτὸν ἀποκαλοῦντα, χαριέντως ἐπέσκωψεν ἐπιστείλας «Φίλιππος Μενεκράτει ὑ γ ι α ί ν ε ι ν» (ἀντὶ τοῦ χαίρειν). Αἰλ. π. ἱστορ. ΙΒ, 51.

(α) Βλ. Διόδωρ. ιη, σελ. 278, 303, καὶ ιθ, 334 κτλ. πρβλ. Πλούταρχ. Εὐμέν. §. ιγ. καὶ Πολύαιν. Δ, η. 2. καὶ Ἀῤῥιαν. Βιβλ. ζ. — Θεμιστ. λόγ. ὑπατικῷ. — Κλήμεντ. πρὸς τοὺς Ἕλλην. σελ, 27, 45. Heins.

(β) Πομπαὶ ὀνομάζονται συνωνύμως καὶ τὰ καθ' ἕκαστα διωρισμένα μέρη, ἢ αἱ τάξεις, εἰς ἃς ὑπῆρχε διῃρημένη ἡ ὅλη πομπή. Οὕτω καὶ ἱστορίαν *π ρ ώ τ η ν*, ἢ *δ ε υ τ έ ρ α ν* λέγουσιν οἱ Ἕλληνες (καὶ οἱ Λατῖνοι primam vel secundam historiam) τὸ *π ρ ῶ τ ο ν*, ἢ *δ ε ύ τ ε ρ ο ν* μέρος τῆς ἱστορίας. (βλ. Κασωβῶν. εἰς Ἀθήν. αὐτόθ.).

ξὺ τῶν Θεῶν ἰδίαν πομπὴν αὐτοῖς *κατωνομασμένην* (δηλονότι κατὰ τὸ κοινὸν ἀμφοτέρων ὄνομα, « *Θεῶν Σωτήρων* »). Οὕτω δὲ μόνον μετὰ θάνατον κοινῶς ὠνομάσθησαν ἀποθεωθέντες (διὸ καὶ προηγοῦνται τῶν εἰς τοὺς θεοὺς ἀναφερομένων τάξεων, προπομποί τινες καὶ πρόπολοι τῶν Θεῶν). Εἰ δὲ καὶ ζῶντα τὸν Πτολεμαῖον ἐτίμησαν ἰσοθέοις τιμαῖς οἱ Ῥόδιοι, πρῶτοι *Σωτῆρα* προσαγορεύσαντες, ἀλλ' οὐχὶ καὶ *θεὸν* ἀνεκήρυξαν, οὐδ' αὐτὸς *θεὸς* ἐπωνομάζετο ζῶν (α)· τὸ δὲ « *Θεῶν Σωτήρων* » ἀπεδόθη μετὰ

(α) Τὸ Σωτὴρ ἐπίθετον ὁ Κικέρων « Οὕτω μέγα (λέγει), ὥστε διὰ μιᾶς λέξεως παρὰ Λατίνοις οὐκ ἂν ἐξηγηθείη· Σωτὴρ γάρ ἐστιν ὁ δοὺς σωτηρίαν (qui salutem dedit. Cicer. Lib. II. in Verr. §. 63). Ἐντεῦθέν τινες ὁρμηθέντες ἡρμήνευσαν πολὺ σφοδρότερον τὴν λέξιν γαλλιστὶ, Θεὸν Σωτῆρα (Dieu Sauveur· Viscont. l. c. p. 195). Ἀλλ' ὅτι μὲν καὶ Θεοῖς (ὡς καὶ θνητοῖς, τοῖς μεγίστοις εὐεργέταις) ἀπενέμετο τὸ σωτὴρ, καὶ μεγάλην ἔμφασιν ἔχει, καὶ πλεῖόν τι σημαίνει παρὰ τὸ ἀντίστοιχον λατινικὸν (servator, ἢ salvator), καλῶς συνεῖδεν ὁ Κικέρων· ἀλλ' ὅμως οὗτος οὐκ εἶπεν ὅτι σημαίνει καὶ τὸ Θεὸς, οὐδ' αὐτὸς ἐξελατίνισε τὸ Soter (Σωτὴρ) deus servator, ἀλλ' ἁπλῶς σωτηρίας δώτορα. Καταφαίνεται δὲ τὸ ἄτοπον τῆς προστεθείσης ἐκδοχῆς, καὶ μόνον ἄν τις ἐξελληνίσῃ τὴν γαλλικὴν τοῦ ὀνόματος μετάφρασιν λέγων, ὅτι τὸ « σωτὴρ, σημαίνει τὸ, θεὸς σωτήρ » (ἤγουν σημαίνει καὶ αὐτὸ ἑαυτὸ, καὶ τὸ θεός!). Εἰ δ' εἶχε καὶ τὴν θεοῦ σημασίαν ἀχώριστον παρὰ τοῖς ἀρχαίοις Ἕλλησι τὸ σωτὴρ, οὔτ' ἐκεῖνος ὁ ἐξώλης Δημήτριος ὁ γ, ὁ Φιλοπάτωρ (Συρίας βασιλεὺς) ἐπικαλούμενος κἀκεῖνος Σωτὴρ, προσετίθει καὶ τὸ Θεὸς (Βλ. Visconti Jconogr. Gr. planch. p. 47), οὔτ' αὐτοὺς τοὺς Φιλαδέλφου γονεῖς, Σωτῆρας καλουμένους, ἐπωνόμαζον ἔπειτα καὶ Θεοὺς, οἱ μετὰ θάνατον αὐτοὺς ἐκθεώσαντες. Ὥστε καὶ τὸ σπανίως (ἅπαξ ἴσως) ἐπὶ νομίσματος τοῦ Α, Πτολεμαίου ἐπιγεγραμμένον « ΠΤΟΛ. ΣΩΤΗΡΟΣ » (εἰ μὴ καὶ τοῦτο ἐκόπη μετὰ τὴν αὐτοῦ τελευτήν· διότι τὰ ζῶντος αὐτοῦ χαραχθέντα φέρουσι τὸ σύνηθες, ΠΤΟΛ. ΒΑΣΙΛΕΩΣ) καὶ τοῦτο, λέγομεν, τὸ Σωτῆρος σημαίνει οὐχὶ τὴν αὐτοῦ ζῶντος ὡς (ὑπέλαβόν τινες) ἀποθέωσιν, ἀλλὰ τὴν (οὕτως εἰπεῖν) ἀποσωτήρωσιν, πρῶτον ὑπὸ Ῥοδίων Σωτῆρος ἐπικληθέντος· Οὕτω καὶ Γέλων πολὺ πρότερον ὑπὸ Συρακουσίων Σωτὴρ καὶ εὐεργέτης ἐπωνομάσθη (Διόδωρ. βλ. ια, 425), « καὶ Λυδοὶ τὸν βασιλεύοντα Σωτῆρα σφίσιν » (οὐ θεὸν) « ἐπίστευον εἶναι » (Στοβ. μζ. σελ. 323), περὶ δὲ τοῦ Ἀντιγόνου εἴπομεν (σελ. 157). Ἀλλὰ καὶ εἰς αὐτοὺς τοὺς ἥρωας μετὰ θάνατον κυρίως ἀπένεμον οἱ Ἕλληνες τὴν ἀποθέωσιν

« Ὅταν δὲ κάμψῃς, καὶ τελευτήσῃς βίον,
Θεὸς κεκλήσῃ »· (ἔλεγον πρὸς τὴν ἀδελφὴν Ἑλένην ἄνωθεν ἐπιφανέντες οἱ δύω Σωτῆρες Διόσκουροι. Εὐριπ. Ἑλέν. 1682. πρβλ. Λουκιαν. Ἀλεξ. § 4. σελ. 410. R. καὶ Σέξτ. κατ. Μαθημ. σελ. 325).

θάνατον εἰς ἀμφοτέρους τοὺς συζύγους, ὡς προείπομεν. — Β) Ἐπὶ τετρακύκλου (ἀπήνης) ἤγετο *Διόνυσος καὶ Ἥρα*, κτλ. καὶ πρὸς τούτοις *Ἀλεξάνδρου καὶ Πτολεμαίου ἀγάλματα*, — καὶ *Ἀρετῆς ἄγαλμα παρεστὸς τῷ Πτολεμαίῳ*, — καὶ *Κόρινθος ἡ πόλις αὐτῷ παρεστῶσα* (σελ. 201), ὡς ὑποταγεῖσα τῷ Λαγίδῃ (Πολύαιν. η, 58: Διόδωρ. Κ. σελ. 432). Καὶ ταῦτα δηλοῦσιν ἤδη τετελεσμένην τὴν ἀποθέωσιν (α). — Γ) Μετὰ τὴν Ἀλεξάνδρου πομπὴν (ὅστις ἐφέρετο χρυσοῦς ἐφ᾽ ἅρματος ἑλκομένου ὑπὸ ἐλεφάντων ἀληθινῶν), ἐπόμπευσαν καὶ θρόνοι πολλοὶ (θεῶν ἴσως, ἢ καὶ τῶν ἀρχαίων τῆς Μακεδονίας βασιλέων, προγόνων τῶν Λαγιδῶν· οὐδεὶς ὅμως ἐπ᾽ ὀνόματι τοῦ Φιλαδέλφου)· ἐν δὲ τούτοις καὶ ὁ *Πτολεμαίου τοῦ Σωτῆρος θρόνος, ἐφ᾽ ὃν ἐπέκειτο στέφανος ἐκ μυρίων κατεσκευασμένος χρυσῶν* (σελ. 202). Ἐπόμπευον δὲ κατόπιν καὶ *θυμιατήρια χρυσᾶ, καὶ ἐσχάραι*, καὶ *βωμοὶ ἐπίχρυσοι*, καὶ δᾷδες ἐφ᾽ ἑνὶ τούτων *πεπηγμέναι χρυσαῖ* » κτλ. (β). Καὶ ταῦτα δεικνύουσι τὸν Πτολεμαῖον ἀποθανόντα (αὐτὸς δὲ καὶ ἰδίως, ἴσως,

(α) Τοιαύτην τινὰ εἰκόνα τοῦ ἀποτεθεωμένου Πτολεμαίου «*Ἀλεξάνδρῳ παρεδρεύοντος ἐν Διὸς οἴκῳ, καὶ Θεοῖς ὁμοτίμου*» διέγραψε καὶ Θεόκριτος ὁ ποιητὴς (Εἰδυλ. ιζ. 16 κτλ. βλ. τὰ ἔπη ἐφεξῆς ἄρθρ. ϛ), ὅπου ὁ Σχολιαστὴς « τὸν Σωτῆρα φησὶ Πτολεμαῖον τοῦ Λάγου, καθὸ ἐξεθεώθη ὑπὸ τοῦ υἱοῦ ». Οὕτω καὶ τὴν Βερενίκην ἀποθεωθεῖσαν παραστήσει μετ᾽ ὀλίγον ὁ Θεόκριτος. Ὠνομάσθη δὲ καὶ αὕτη μετὰ θάνατον Σώτειρα Θεά, ὡς ἀναγινώσκεται ἐν ἐπιγραφῇ· « ΘΕΑΝ (ἴσ. ΘΕΑ) ΣΩΤΕΙΡΑ », ὅπερ ἐσφαλμένως ἀναγνωσθὲν ἐγράφη ΟΚΑΝ ΣΩΤΕΙΡΑ· τοῦτο δὲ τὸ ΟΚΑΝ ὁ πολὺς Σκαλίγηρος (Animadv. in Euseb. Chonic.) διώρθου δι᾽ ἄλλης οὐχ ἧττον ἐσφαλμένης γραφῆς, Ὅσσαν σώτειρα· ὁ δὲ πάλιν Λεμοῦνος ἐπανορθῶν τοῦτο τὸ Ὅσσαν σφάλμα τοῦ ἡλίου τῶν κριτικῶν (καθὼς ὠνόμασε τὸν Σκαλίγηρον), καὶ τρέπων εἰς τὸ γνήσιον Θεάν, ἔγραψεν αὐτὸς τὸ Σώτειρα κατὰ γένος ἡμαρτημένον, Σωτῆρα· « διότι, λέγει, καὶ ἡ Βερενίκη ὠνομάζετο Σωτήρ »! (Βλ Le Moyen Var. Sacr. vol. 2. pag. 130).

(β) *Οὕτω καὶ ἐν τῇ σκηνῇ (εἰς ἣν συνιόντες ἐβουλεύοντο οἱ ἡγεμόνες μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν) ἀνέκειτο Ἀλεξάνδρῳ « θρόνος χρυσοῦς, καὶ στέφανος ἐπὶ τούτου χρυσοῦς, — καὶ πρὸ τοῦ θρόνου τράπεζα χρυσῆ· ἐπὶ δὲ ταύτης ἐσχαρὶς καὶ λιβανωτὶς χρυσῆ, καὶ λιβανωτὸς καὶ θυμιάματα εὐώδη » κτλ.* Πολύαιν. Δ. η, 2. *Διόδωρ. ιθ. 434, κτλ.*

ἐφέρετο χρυσοῦς μετὰ τῆς Βερενίκης *εἰς τὴν αὐτοῖς κατωνομασμένην πομπήν*, ἥν, καθὼς καὶ ἄλλας, ἐμνημόνευσε μέν, ἀλλ' οὐ καὶ κατὰ μέρος διέγραψεν ὁ Καλλίξενος). Δ) Ἐφεξῆς ἐφέρετο « *μυστικὸς* » (ἐν μυστηρίοις χρήσιμος) στέφανος χρυσοῦς, ὀγδοηκοντάπηχυς, « *ὃς περιετίθετο τῷ τοῦ Βερενικείου θυρώματι* » (σελ. 202). Ἰδοὺ καὶ ναὸς τῆς Βερενίκης (τὸ Βερενίκειον), οὗτινος ἴσως (ἢ ἄλλου τινὸς ναοῦ πρὸς τιμὴν ἀμφοτέρων τῶν γονέων ὑπὸ τοῦ υἱοῦ καθιδρυμένου) τυπικὸν ἀφομοίωμα ἐπόμπευε τότε καὶ αὐτὸ (ὡς παρέχει νοεῖν ὁ μικρὸν ἀνωτέρω μνημονευόμενος ἀνωνόμαστος « *ναὸς ἐπίχρυσος* » αὐτόθ.). Ὅτι δὲ ὁ Φιλάδελφος ἀποθανοῦσιν ἤδη τοῖς γονεῦσιν ἵδρυσε ναούς, βλέπομεν εὐθύς. Ε) Καὶ αὐτὸ δὲ τὸ « *στεφανωθῆναι τούτους τεμένεσιν ἐν Δωδώνῃ* » ἀποδείκνυσιν ὅτι καὶ τὰ τεμένη καθιερώθησαν αὐτοῖς ἀμφοτέροις, ὡς ἤδη μετ' ἀθανάτων νενομισμένοις *Θεοῖς Σωτῆρσι* (α). Τοὺς δὲ χρυσοῦς στεφάνους ἀνεκήρυξαν ἐν τῷ ἀγῶνι, οὐχ ὡς ἀνήκοντας εἰς ζῶντας τότε (καθὼς ὑπέλαβον) τοὺς ἤδη ἐκτεθεωμένους βασιλεῖς, ἀλλ' ἁπλῶς καὶ λόγῳ μόνον ἐπ' αὐτοῖς κατωνομασμένους, εἰς γέρας καὶ τιμὴν τῶν εὐκλεεστάτων ἀγώνων καὶ τῶν νικῶν, ἃς ὁ Λαγίδης ἐνίκησεν ἔτι ζῶν, καὶ συζῶν μετὰ τῆς Βερενίκης (ὅθεν οὐδὲ διῃρημένως, ἀλλὰ συνάμα στεφανοῦνται ἀμφότεροι στεφάνοις 23 : καὶ ἴσως ὁ ἀριθμὸς τῶν ϛεφάνων, ὅστις εἶχε καί τινα σημασίαν, ἐσήμαινεν ἢ τὰς νίκας, ἢ καὶ τὰ ἔτη, ὅσα συνέζησε μετὰ τῆς Βερενίκης ὁ πρὸ αὐτῆς τελευτήσας σύζυγος Πτολεμαῖος. βλ. ἐφεξ. Κεφ. Ζ. §. ι, καὶ §. κγ.). Αὐτοῦ δὲ τοῦ Φιλαδέλφου οἱ στέφανοι ἦσαν 20, νίκας ἴσως καὶ

(α) Τεμένη (*χῶραι ἀποτετμημέναι*) *ἦσαν καὶ ἥρωσι καὶ θεοῖς καθιερωμένα* (βλ. Ὁμηρ. Ἰλιαδ. Β, 696. Θ, 48, κτλ.). *Σημαίνει δὲ τὸ τέμενος καὶ αὐτὸ τὸ ἱερόν, ἢ τὸν σηκὸν (τὸ εἰδωλεῖον), « ἔνθα καθιδρύονται οἱ Θεοί »* (Πολυδεύκ.). *Τοιοῦτο τέμενος καὶ Ἀλεξάνδρῳ κατεσκεύασεν ὁ Λαγίδης Πτολεμαῖος, ἐν ᾧ τοῦτον ἐκήδευσεν ἐν Ἀλεξανδρείᾳ, θυσίαις τιμήσας ἡρωϊκαῖς· κτλ.* (Διόδωρ. ιη, 278). *κτλ. τοιοῦτό τι καὶ τὸ Ῥοδίων εἰς Λαγίδην ἔτι ζῶντα ἀνεθὲν τέμενος* (βλ. ὄπισθ. σελ. 156)· *ἀλλ' ἐκεῖνο μὲν εἰς μόνον ἐκεῖνον· τὰ δὲ ἐν Δωδώνῃ εἰς ἀμφοτέρους, δι' ὃν εἴπομεν ἀνωτέρω λόγον. Ἄλλα δὲ τεμένη, ἢ χῶραι ἀπετέμνοντο τοῖς ζῶσι βασιλεῦσιν ὡς γέρα, καὶ μάλιστα ἐν ταῖς ἐπικρατείαις αὐτῶν* (Ἰλιάδ. Μ. 314). « *Τοῖς βασιλεῦσι καὶ τοῖς ἡγεμόσι τεμένη καὶ χώρας ἐξαιροῦσι* » (Ἀριστείδ. λόγ. εἰς Ἀθηνᾶν).

τούτου δηλοῦντες τινάς, ἢ καὶ τὸν ἀριθμὸν τῶν στεφανούντων ἐθνῶν, ἢ τύπον τινα τηρούμενον ἴσως ἐν τοῖς πανηγυρικοῖς καὶ μεγαλοπρεπέσι στεφανώμασιν· ἀλλὰ ταῦτα μὲν κείσθωσαν ὡς ἁπλαῖ τινες εἰκασίαι. Τοὺς δ' οὖν χρυσοὺς τῶν γονέων στεφάνους σὺν αὐτοῖς τοῖς χρυσοῖς ἅρμασι μετὰ τὴν πομπὴν ἀνέθηκεν, ἴσως, ὁ Φιλάδελφος εἰς τοὺς ναοὺς αὐτῶν πάλιν τῶν Σωτήρων Θεῶν, ἐν οἷς ἵσταντο καὶ αὐτοὶ « χρυσῷ περικαλλέες ἠδ' ἐλέφαντι ἱδρυμένοι » (Θεόκριτ.). Ὅτι δὲ καὶ ἄλλως ἐστεφάνουν οἱ ἀρχαῖοι τὰ τῶν Θεῶν ἀγάλματα καὶ ἰδίᾳ καὶ κατὰ τὰς πανδήμους ἑορτὰς καὶ πομπάς, καὶ ταῦτα τὰ *στέμματα* ἢ *στεφανώματα* ἀνέκειντο εἰς τοὺς ναούς, φανερόν (α). Ἐστεφάνουν δὲ πολλάκις καὶ τοὺς ἀπόντας, ὡς ἄλλους ἄλλοι, καὶ Ἀθηναῖοι τὸν Ἀντίγονον, ἀπόντα εἰς Ἀσίαν (μετὰ τοῦ παρόντος Ἀθήνησι Δημητρίου), ὁπότε τούτους ἐτίμησαν ἰσοθέοις τιμαῖς (β). — Ϛ) Καὶ τελευταῖον· ὁ τοῦ Καλλιξένου προγενέστερος, καὶ τῷ Φιλαδέλφῳ φίλος καὶ σύγχρονος Θεόκριτος (ὅστις ἴδεν, ἴσως, αὐτοψεὶ τὴν ὕστερον ὑπὸ Καλλιξένου ζωγραφηθεῖσαν πομπὴν) διακηρύττει ῥητῶς, ὅτι τὰς ἰσοθέους τιμὰς ἀπένειμεν εἰς τοὺς γονεῖς ὁ Φιλάδελφος μετὰ τὴν τελευτὴν ἐκθειασθέντας. « *Πολλὰ* (λέγει πρὸς τὸν Φιλάδελφον)

« Πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα,
Ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκών » (Εἰδυλ. ιε, 46),

(α) Βλ. Παυσαν. Β. ιζ. §. 4, 6. Θουκυδίδ. Δ. 133. πρβλ. Car. Paschalij de coronis Libr. IV.

(β) « Ἐψηφίσαντο χρυσᾶς μὲν εἰκόνας ἐφ' ἅρματος στῆσαι τοῦ τε Ἀντιγόνου καὶ Δημητρίου. — στεφανῶσαι δὲ ἀμφοτέρους ἀπὸ ταλάντων διακοσίων, καὶ βωμὸν ἱδρυσαμένους προσαγορεῦσαι Σωτήρων» (Διόδωρ. Κ, 439). Καὶ τὸν Ἀλέξανδρον ἀριστεύοντα κατὰ τὴν Ἀσίαν ἐστεφάνουν ἐπὶ τῆς Ἑλλάδος « οἱ σύνεδροι τῶν Ἑλλήνων, ψηφισάμενοι πρέσβεις πέμπειν στέφανον φέροντας χρυσοῦν, ἀριστεῖον Ἀλεξάνδρῳ παρὰ τῆς Ἑλλάδος » (Διόδωρ. ιζ. 197, πρβλ. 249). Τὸν δὲ Ῥωμαίων δῆμον ὁ Ἀριαράθης ἔστεφεν ἐν Καππαδοκίᾳ, καὶ τὸν στέφανον ἔπεμπεν εἰς τὴν Σύγκλητον ἀπὸ χρυσῶν μυρίων· καὶ Δημήτριος (ὁ Σωτὴρ) ὡσαύτως. (Διόδωρ. ἐκλογ. π. πρεσβειῶν κδ, κε). Ὅτι δὲ καὶ δῆμοι δήμους ἐστεφάνουν, φανερόν.

« *Ἐξ οὗ* (λέγει ὁ Σχολιαστὴς, ἤγουν *ἀφ᾽ οὗ χρόνου*) ὁ πατήρ του ἀπεθεώθη, ὁ Σωτὴρ Πτολεμαῖος· ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου ». Ἀπεθεώθη δὲ πάντως μετὰ θάνατον. Τότε « *Τῆνον καὶ μακάρεσσι πατὴρ* (Ζεὺς) *ὁμότιμον ἔθηκεν Ἀθανάτοις· καί οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ Δέδμηται. παρὰ δ᾽ αὐτὸν Ἀλέξανδρος — ἑδριάει· Ἀντία δ᾽ Ἡρακλῆος ἕδρα σφίσι* »· κτλ. (ὡς ἀμφοτέροις Ἡρακλέους ἀπογόνοις· ἐλέγετο δ᾽ ὁ Σωτὴρ καὶ ὁμοπάτριος Ἀλεξάνδρου ἀδελφὸς, ἀπὸ Φιλίππου, ὃς ἐγκυμονοῦσαν ἐξ αὐτοῦ τὴν Ἀρσινόην, Μελεάγρου θυγατέρα, μητέρα δὲ τοῦ Σωτῆρος, ἐξέδοτο Πτολεμαίῳ τινὶ, τοὐπίκλην Λάγῳ, ὅθεν ἡ ἐπωνυμία τῶν Λαγιδῶν. Παυσ. Α, ϛ. §. 2 : Σουΐδ. λ. Λάγος : Χαμπολλ. τ. α. σελ. 202. Βλ. καὶ ἐφεξ. Κεφ. Ζ, §. λη. σημ.). Ὅθεν καὶ αὐτὸς ὁ Σωτὴρ (ὡς καὶ ὁ Μ. Ἀλέξανδρος) « Ἀθάνατοι καλοῦνται — ὅττι σφέων Κρονίδας μελέων ἐξείλετο γῆρας » (Εἰδυλ. ιζ, 16—24). Καὶ ταῦτα πάλιν ὁ Σχολιαστὴς ἐξηγῶν « Καθὸ (λέγει) *ὁ Πτολεμαῖος ἐξεθεώθη ὑπὸ τοῦ υἱοῦ* ». Οὐ μόνον δὲ τὸν πατέρα μετὰ τὴν τελευτὴν ἐξεθέωσεν ὁ Φιλάδελφος, ἀλλὰ καὶ τὴν μητέρα, τὴν Βερενίκην, ὕστερον ἀποθανοῦσαν. Ὅθεν πάλιν ὁ Θεόκριτος·

« Εὐειδὴς (Βερενίκα) *Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν*,
Ἀλλά μιν ἁρπάξασα (ὦ Ἀφροδίτη), πάροιθ᾽ ἐπὶ νᾶμα κατενθῆν
κυάνεον, — ἐς ναὸν κατέθηκας, ἑᾶς δ᾽ ἀπεδάσσαο τιμᾶς (α). »

κτλ. (Εἰδυλ. ιζ. 47—50). Διὸ καὶ « *Μοῦνος ὅδε προτέρων* (ὁ Φιλάδελφος),

Ματρὶ φίλᾳ καὶ πατρὶ, θυώδεας εἵσατο νηώς » (β)·

(α) Τὸ « ἑᾶς ἀπεδάσσαο τιμᾶς » σημαίνει μὲν κυρίως ὅτι σύνναον καὶ πάρεδρον αὐτὴν ἀνέδειξεν ἡ Ἀφροδίτη· ἴσως δέ πως συνυπονοεῖ καὶ τὸ Σώτειρα τῆς Βερενίκης ἐπώνυμον· ἐτιμᾶτο δὲ καὶ Κύπρις Σώτειρα (Εὐριπ. Μήδ. 528), ὡς καὶ Ἀθηνᾶ παρ᾽ Ἀθηναίοις (Ἀριστοφ. Βατρχ. 376, καὶ Ἡσύχ.). καὶ Ἄρτεμις (Ὀρφ. Ὕμν. α). πρβλ. Spanhem. Observ. in Καλλίμαχ. ὕμνῳ εἰς Ἄρτεμ. 129.

(β) Εἰς τοῦτον τὸν στίχον ὁ πολὺς Οὐαλκενῆρος ἐξέδωκε καὶ ἄλλο σχόλιον ἐξ ἀρχαίου χειρογράφου λαβὼν, « ἄλλοις (καθὼς λέγει) προτιθεὶς τῶν ἐν

καὶ τούτους ἐν αὐτοῖς ἵδρυσε χρυσοὺς, « *πάντεσσιν ἐπιχθονίοισιν ἀρωγούς* » (ὡς ἐπικαλουμένων τούτους πολλῶν· καθὰ καὶ Μακεδόνες Ἀλέξανδρον καὶ Φίλιππον ὡς θεοὺς ἐπεκαλοῦντο. Ἰουστῖν. κδ, 5). Οὕτω δὲ τοὺς μετὰ θάνατον ἐκθειασθέντας τοῦ Φιλαδέλφου γονεῖς ὑμνήσας ὁ Θεόκριτος, εἶπε, τέλος, καὶ αὐτὸν *ἴσον καὶ ἡμιθέοις* (κατὰ τοὺς ἐκ Θεῶν δηλονότι γεγεννημένους ἥρωας)· « Σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων μνάσομαι ἡμιθέων » (Εἰδυλ. ιζ. στίχ. 133)· καὶ θύων τούτοις ὁ Φιλάδελφος μετὰ τῆς ἀδελφῆς ἔκαιε κατὰ μῆνα « πολλὰ πιανθέντα μηρία βοῶν » (αὐτ. σχ. 121). Τούτων δὲ οὕτως ἐχόντων, ἄρα καὶ τὸ κατὰ τὴν διαγραφὴν τῆς πομπῆς μνημονευόμενον *Βερενίκειον*, καὶ τὰ πομπεύοντα *θυμιατήρια*, καὶ οἱ βωμοὶ, καὶ αὐτὰ τὰ ἐν Δωδώνῃ τεμένη μαρτυροῦσι τὸν Φιλάδελφον οὐχὶ ζῶντας, ἀλλὰ τετελευτηκότας ἤδη τοὺς γονεῖς ἐκθειάζοντα, καὶ γεραίροντα τιμαῖς ἰσοθέοις. Εἰ δέ τις χρεία καὶ ἄλλης παρὰ ταῦτα μαρτυρίας ἐπισήμου, παρίτω καὶ αὐτὸς Ὅδιος ἐπικυρῶν, ὡς πρᾶγμα « *συνεστηκὸς* » καὶ βέβαιον, « ὅτι ὁ Α,

---

αὐτῷ σφαλμάτων τὴν διόρθωσιν » (Valcken. adnot. in Adoniaz. Theocr. p. 355). Λέγει δὲ τὸ σχόλιον ταῦτα « Ὅτι πολλοὺς ναοὺς ἱδρύσατο· καὶ Λύκως δὲ ἐν τῷ περὶ Νέστορος, ἐποίησεν ὁ Φιλάδελφος, φησίν. Οὕτως ᾠκοδόμησε δὲ καὶ τῶν γονέων ἀμφοτέρων παμμεγέθη ναὸν, καὶ ταῖς ἀδελφαῖς Ἀρσινόῃ καὶ φωτῆρα » (ὅπου ὁ Οὐαλκενῆρος διορθοῖ μόνον, τῇ ἀδελφῇ, τὸ δὲ φωτῆρα, λέγει, κἂν εἰς τὸ φωστῆρα τραπῇ, οὐδὲν ὄφελος)· Ἀλλὰ τὸ Σχόλιον φαίνεται τεταραγμένον ὑπὸ τῆς ἀβλεψίας τοῦ μεταγραφέως, γράψαντος τὰς λέξεις προθυστέρως (ὡς ἔμοι γε δοκεῖ). Ὁ Σχολιαστὴς ἴσως ἔγραψεν οὕτως· « Ὅτι πολλοὺς ναοὺς ἱδρύσατο καὶ ἐποίησεν ὁ Φιλάδελφος· καὶ Λύκων δὲ ἐν τῷ περὶ Νέστορος οὕτω φησίν· ᾠκοδόμησε δὲ καὶ τῶν γονέων ἀμφοτέρων παμμεγέθη ναὸν καὶ τῆς ἀδελφῆς » (κατὰ γενικὴν, ὡς καὶ τὸ τῶν γονέων) « Ἀρσινόης Ἀφροδίτης (εἰς ταῦτα νομίζω τρεπτέον τὸ ἀδιανόητον Ἀρσινόῃ καὶ φωτῆρα)· Ὅτι δὲ μεταξὺ τῶν ἄλλων ναῶν, ὧν εἰς τιμὴν τῆς ἀδελφῆς ἀποθανούσης ἱδρύσατο ὁ Φιλάδελφος, ὑπῆρχε καὶ ὁ ἐπονομαζόμενος Ἀρσινόης Ἀφροδίτης (Κύπριδος), μαρτυρεῖ Ποσείδιππος ἐν ἐπιγράμματι·

« Τοῦτο καὶ ἐν ποταμῷ, καὶ ἐπὶ χθονὶ τῆς Φιλαδέλφου
Κύπριδος ἱλάσκεσθ' ἱερὸν Ἀρσινόης » κτλ. (παρ' Ἀθην. ζ, 318. πρβλ. Valcken. l. c. Περὶ τῶν ἐπιθέτων τῆς Ἀρσινόης βλ. Turnebi Adversar. L. I. c. 7. p. 5. Aureliopoli 160.

Πτολεμαῖος καὶ ἡ Βερενίκη *μετὰ θάνατον ὑπὸ τῶν Αἰγυπτίων ἐξεθειάσθησαν, Θεοὶ Σωτῆρες ὀνομασθέντες* » (α).

Ἐκ τούτων τοίνυν ἁπάντων φαίνεται σαφῶς (καθὼς νομίζομεν) ἡ πολύχρυσος τοῦ Φιλαδέλφου πομπὴ μετὰ τὸν θάνατον οὐ μόνον τοῦ πατρὸς, ἀλλὰ καὶ τῆς μητρὸς αὐτοῦ γεγενημένη (β). Καὶ ματαίως ἄρα ὁ σοφὸς Ὅδιος ἠγωνίσθη καὶ ἐξ αὐτῆς ἐκπομπεῦσαι τὸν Φιλάδελφον ὡς ἄγαμον καὶ ἀγύναικα, καθ᾽ ὃν χρόνον παρέλαβε τὴν ἀρχήν· ἐν ᾧ καὶ ἐξ αὐτῆς τῆς πομπῆς (κἂν τεθῇ καὶ ζώντων αὐτῷ τῶν γονέων συντελεσθεῖσα) πᾶν ἀποδείκνυται τοὐναντίον, ὡς ῥητῶς

(α) Quos constat post mortem ab Aegyptijs habitos fuisse in Deorum numero, nominatos que fuisse Θεοὺς Σωτῆρας » Hody Libr. I. c. 19. p. 87. Τοῦτο συνομολογεῖ καὶ ὁ νεώτατος Θεοκρίτου ἐκδότης Wuestemann. Theocr. Reliq. (Σημ. εἰς εἰδ. ιζ, 16.) pag. 262. Gothae. 1830.

(β) Ἴσως κατὰ τὸ 5, ἔτος τῆς βασιλείας τοῦ Φιλαδέλφου (μετὰ θάνατον δηλ. καὶ τῆς μητρὸς αὐτοῦ Βερενίκης, εἴπερ ἀπέθανεν αὕτη οὐ πολὺ μετὰ τὸν σύζυγον), ὅπερ ὑπῆρχε τὸ 45, ἤτοι ἡ ἐννάτη πενταετηρὶς τῶν Λαγιδῶν. (οἱ δὲ πενταετηρικοὶ τῆς Ἀλεξανδρείας ἀγῶνες ἠριθμοῦντο ἀπὸ τῆς ἀρχῆς τῆς ἐποχῆς τῶν Λαγιδῶν ἀρξαμένης τῷ 323 : π. χ. πρώτῳ ἔτει τῆς ἐν Αἰγύπτῳ δυναστείας Πτολεμαίου τοῦ Λάγου· λέγεται δὲ παρά τισι καὶ ἐποχὴ τοῦ Φιλίππου, τοῦ Ἀῤῥιδαίου δηλαδὴ, ἀδελφοῦ καὶ διαδόχου τοῦ Ἀλεξάνδρου)· Ἦγε δὲ καὶ ἡ Ἀλεξάνδρεια, καθὼς καὶ ἄλλαι πόλεις ἐπίσημοι, πενταετηρίδας, ἢ πενταετηρικοὺς ἀγῶνας, κατὰ μίμησιν τῶν ἐν Ὀλυμπίᾳ τελουμένων (Βλ. Schweighaeus. Animadv. in Athen. vol. 3. pag. 93 καὶ 94). Ἀλλ᾽ ὁ μὲν Λαγίδης ὁ Σωτὴρ ἐτελεύτησε τῷ 282. Πόσον δ᾽ ἐπέζησεν ἡ Βερενίκη ἄδηλον. Οἱ μὲν γὰρ παρατείνουσι τὴν ζωὴν αὐτῆς μέχρι καὶ τοῦ ια ἔτους τῆς Φιλαδέλφου Βασιλείας (βλ. κεφ. ζ. §. κγ), ἀλλ᾽ ὀρθότερον ὁ Χαμπολλιὼν (T. 2. p. 427.) ἐξέλαβεν αὐτὴν τελευτήσασαν οὐ πολὺ μετὰ τὸν Σωτῆρα. Τοῦτο φαίνεται πιθανώτατον καὶ ὡς ἐκ τῆς χρονολογίας αὐτοῦ τούτου τοῦ ιζ, Εἰδυλλίου, ὅπερ ὁ Θεόκριτος ἐποίησε διατρίβων ἐν Ἀλεξανδρείᾳ πρὸ τοῦ 275. π. χ. (βλ. ἐφεξ. § ιβ, ἄρθρ. ΙΓ σημ.). Καὶ κατὰ ταῦτα ἄρα ἡ Πενταετηρὶς, καθ᾽ ἣν ἐτέλεσεν ὁ Φιλάδελφος τὴν πομπὴν φαίνεται πιθανώτατα ἡ πρώτη λαχοῦσα ἐπὶ τούτου μόνου βασιλεύοντος. Διὸ καὶ λαμπροτάτην ἐπόμπευσε τὴν ἑορτήν. ἴσως δὲ καὶ διότι κατ᾽ αὐτὴν τὸ πρῶτον ἐπεδείξατο πανηγυρικῶς διακηρύξας καὶ τὴν ἀμφοτέρων τῶν γονέων ἀποθέωσιν. Ταῦτα εἰκάζομεν ἡμεῖς, καὶ ἴσως οὐκ ἀλόγως· ἄλλοι δ᾽ ἄλλα λεγέτωσαν τελειότερα. Περὶ τῆς πενταετηρίδος βλ. καὶ ὅσα ἐσημείωσεν ὁ ἡμέτερος Ι. Πετρεττίνης, ἀνὴρ ἐπὶ φιλολογίᾳ διασημότατος, ἐν ᾗ πρῶτος ἐδωροφόρησεν εἰς τοὺς Ἰταλοὺς Ἑλληνικῇ τῶν καλῶν τεχνῶν βιβλιοθήκῃ. Bibliotheca Graeca delle belle Arti T. 2. p. 266. Milano, 1840.

ὑπὸ τοῦ Καλλιξένου κηρυττομένης *τῆς συνωρίδος τῶν βασιλέων* (καθὼς ἀνωτέρω προεξετέθη).

§. θ΄. Ζ) « Ἀλλ᾽ εἴπερ εἶχε τότε γυναῖκα (λέγουσιν) ὁ Φιλάδελφος, οὐκ ἂν ἄλλη τις ἦν, εἰμὴ ἡ πρώτη αὐτοῦ σύζυγος Ἀρσινόη, θυγάτηρ τοῦ Λυσιμάχου βασιλέως τῆς Θρᾴκης καὶ τῆς Μακεδονίας. Ἀλλὰ ταύτην ὀψέ ποτε ἐνυμφεύθη· οὐδ᾽ ὑπῆρχε κατ᾽ ἀρχὰς τῆς βασιλείας ὁ Φιλάδελφος δεσμῷ συγγενείας ᾠκειωμένος πρὸς Λυσίμαχον· καὶ τοῦτο συνάγεται διχόθεν. Πρῶτον· ὁ Σωτάδης, αἰσχρολόγος ποιητής, « κακῶς μὲν εἶπε Λυσίμαχον τὸν βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν Φιλάδελφον παρὰ Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις τῶν πόλεων » (Ἀθήν. ιδ, 620). Ἐκ δὲ τούτου φανερὸν, ὅτι οἱ δύω βασιλεῖς οὗτοι ἀλλοτρίως τότε διέκειντο πρὸς ἀλλήλους καὶ δυσμενῶς. Δεύτερον· Πτολεμαῖος ὁ προειρημένος, ὁ Κεραυνὸς, ἐκπεσὼν τῆς Αἰγύπτου κατέφυγε πρὸς Λυσίμαχον (Μέμνων π. Φωτ. ἀναγν. σκδ. κεφ. 13—14. καὶ Παυσ. Α, 10, 16). Τοῦτο δὲ οὐκ ἂν ἐποίησεν, εἴπερ ὁ Φιλάδελφος συνῴκει τότε μετὰ τῆς Λυσιμάχου θυγατρός. Ἢ ποίαν ἤλπιζε προστασίαν ὁ Κεραυνὸς παρὰ Λυσιμάχου, δριμύτατος τυγχάνων ἐχθρὸς τῆς τε θυγατρὸς αὐτοῦ καὶ τοῦ γαμβροῦ (τοῦ Φιλαδέλφου), οὓς ἤθελεν ἀποστερῆσαι τῆς βασιλείας; Καὶ ὅτε δὲ πρὸς Σέλευκον, τὸν Λυσιμάχου πολέμιον, μετέστη μετὰ ταῦτα ὁ Κεραυνὸς (ἐν ἔτει β, μὲν ἀπὸ τῆς Λαγίδου τελευτῆς, δ, δὲ ἀπὸ τῆς βασιλείας τοῦ Φιλαδέλφου), διὰ τοῦτο πιθανώτατα ηὐτομόλησε, διότι τότε ὁ Λυσίμαχος ἐξέδωκε τὴν αὐτοῦ θυγατέρα τῷ Φιλαδέλφῳ ».

Ἀπαντῶμεν.

Ἀληθῶς, ὦ φίλ᾽ Ὄδιε, κατὰ τὴν ἀρχὴν τῆς βασιλείας οὔπω πάντως ἦν νυμφευθεὶς τὴν Λυσιμάχου κόρην ὁ Φιλάδελφος (τότε γὰρ εἶχε σύζυγον τὴν ἰδίαν αὐταδέλφην Ἀρσινόην. Τὴν δὲ Λυσιμάχειον θυγατέρα ὕστερον ἔγημεν, ὡς φανήσεται λαμπρῶς ἐν τοῖς ἐφεξῆς τοῦ κεφαλαίου). Καὶ ἀπίτω λοιπὸν ὅσον θέλεις ἄφοβος ἱκέτης ὁ Κεραυνὸς πρὸς τὸν Λυσίμαχον (ὡς μήπω τότε πενθερὸν

τυγχάνοντα τοῦ Φιλαδέλφου). Κακολογείτω δὲ καὶ Σωτάδης τοὺς βασιλεῖς, τὸν ἕτερον πρὸς τὸν ἕτερον, ὡς δῆθεν ἀλλοτρίως τότε (καθὼς λέγεις) καὶ μήπω συγγενικῶς πρὸς ἀλλήλους διακειμένους καὶ διὰ ταύτης δὴ τῆς ἐπιγαμίας, ἢ κηδεστίας (ἄλλως γὰρ, αὐτός τε πάλιν ὁ Λυσίμαχος καὶ ὁ τούτου παῖς Ἀγαθοκλῆς ἦσαν τοῦ Φιλαδέλφου γαμβροὶ ἐπὶ δυσὶν αὐτοῦ ὁμοπατρίοις ἀδελφαῖς, ὡς λέγομεν εὐθύς). Ἀλλὰ κἂν αὐτὸς (ἐξ ὑποθέσεως) ἐτύγχανε τότε τοῦ Λυσιμάχου γαμβρὸς, οὐδ᾽ οὕτως ἂν ἠλήθευον ἀμφότερά σου τὰ συμπεράσματα. Ὁ Σωτάδης, Μαρωνίτης τὴν πατρίδα, κιναιδολόγος ποιητὴς (α), ἐλοιδόρει τοὺς βασιλεῖς οὐ μόνον ἄλλον πρὸς ἄλλον ἀπόντα, ἀλλὰ καὶ κατὰ πρόσωπον. Οὕτως ὕβρισε τελευταίαν ὕβριν εἰς αὐτὸν τὸν Φιλάδελφον παρόντα παρὼν (σελ. 102). Ἀπὸ τοιούτων οὖν στομάργων καὶ παραφρόνων ἀνθρώπων, οἵτινες βλασφημοῦσι πολλάκις καὶ φίλους καὶ οἰκείους καὶ ἐχθροὺς, ὅπως ἂν καὶ ὅπου τούτους ἐπιλαβοῦσα τινάξῃ τῆς γλωσσαλγίας ἡ σύνοικος νόσος, τίς φιλαλήθης καὶ σωφρονῶν συμπεραίνει τὰς πρὸς ἀλλήλους διαθέσεις τῶν κατὰ τύχην ἀκουόντων τὰς γλωσσαλγίας; Ἔπειτα, κἂν ὑποτεθῶσι δυσμεναίνοντες πρὸς ἀλλήλους οἱ βασιλεῖς, ὅτε τούτους ἐλοιδόρει Σωτάδης, τὸν ἕτερον πρὸς τὸν ἕτερον, μὴ καὶ μετὰ τὴν ἐπιγαμβρίαν οὐδέποτε συμβαίνουσι δυσμένειαι καὶ μίση πολλάκις μεταξὺ γαμβροῦ καὶ πενθεροῦ; Τοιού-

(α) «Ἦρξε δὲ Σωτάδης μὲν πρῶτος τοῦ κιναιδολογεῖν· ἔπειτα Ἀλέξανδρος ὁ Αἰτωλός· ἀλλ᾽ οὗτοι μὲν ἐν ψιλῷ λόγῳ· μετὰ μέλους δὲ, Λύσις, καὶ ἔτι πρότερος τούτου ὁ Σίμος» (Στράβ. ιδ, 648). Τοῦτο δὲ τὸ ψιλῷ λόγῳ τοῦ Στράβωνος, σημαίνει, ἴσως, οὐχὶ «λέξιν ψιλὴν» (Δ. Ἁλικαρ. π. Συνθ. κε), ἤτοι φράσιν πεζὴν καὶ δίχως μέτρων, ἀλλ᾽ ἔστι τὸ αὐτὸ καὶ ψιλομετρία, ψιλὴ ποίησις (ἄνευ ᾠδῆς, ὁποία ἡ ἡρωϊκὴ καὶ ἰαμβικὴ), ἀντιδιεσταλμένως πρὸς τὸ ᾠδὴ, καὶ μελοποιΐα, ὡς ἡ διθυραβικὴ καὶ πᾶσα λυρικὴ ποίησις (Ἀριστοτ. Ποιητ. §. α. καὶ β.—Πλάτ. Φαίδρ. 388 Bip.). Ὁ Σωτάδης ἔγραψε κατὰ ψιλομετρίαν ἰαμβικὴν, ἐξ οὗ τὸ Σωτάδειον, μέτρον ἀνακεκλασμένον (Ἡφαιστ. 7), εἰς ὃ καὶ Ἄρειος ἐνέτεινε τὰς αὐτοῦ βλασφήμους ᾠδὰς (Μ. Ἀθανάσ. ἀπολογ. β,). Καὶ ὁ Σουΐδας (λέξ. Σωτάδης) δαιμονῶντα ἰαμβογράφον λέγει τὸν Σωτάδην, γράψαντα φλύακας (κιναιδολογίας) ἰωνιστὶ, ὅθεν καὶ ἰωνικὸς λόγος, καὶ ἰωνικὰ ποιήματα τὰ τούτου καί τινων αὐτοῦ προτέρων καὶ ὁμοίων αὐτῷ (βλ. Ἀθήν. ιδ, 620).

του, τάχα, συμβάντος καὶ Φιλαδέλφῳ πρὸς τὸν πενθερὸν Λυσίμαχον, εἶχεν ἂν πρὸς τοῦτον ἀσφαλῆ καταφυγὴν ὁ Κεραυνός. Οὗτος δὲ (τὸ μέγιστον) εἶχεν, ὡς προείπομεν, καὶ συγγένειαν πρὸς ἐκεῖνον· Λυσάνδρα, ἀδελφὴ τοῦ Κεραυνοῦ ὁμομήτριος καὶ ὁμοπάτριος, ὑπῆρχε τότε σύζυγος Ἀγαθοκλέους, υἱοῦ τοῦ Λυσιμάχου, καὶ παῖδα εἶχεν ἐξ αὐτοῦ· καὶ αὐτὸς δὲ πάλιν ὁ Λυσίμαχος εἶχε γαμετὴν ἄλλην αὐταδέλφην τοῦ Κεραυνοῦ, τὴν Ἀρσινόην, καὶ υἱοὺς ἐξ αὐτῆς (Παυσ. Α, ι, §. 3). Πρὸς τὰς ἀδελφὰς τοιγαροῦν, πρὸς τοὺς ἀνεψιοὺς, πρὸς αὐτοὺς τοὺς ἰδίους γαμβροὺς, ὡς εἰς τρίκολπον λιμένα, καταφυγὼν ἱκέτης ὁ Κεραυνὸς ὑπῆρχεν ἱκανῶς ἀσφαλής· οὐδ᾽ ἂν ἐξέδωκε τῷ γαμβρῷ, τῷ Φιλαδέλφῳ, ὁ Λυσίμαχος τὸν πρόσφυγα, διπλοῦν ὄντα κηδεστήν. Ὥστε, ὅσον ἀπὸ τούτου, ὀλίγον ἢ οὐδόλως πιθανὰ συμπεραίνουσιν οἱ περὶ τὸν Ὄδιον. Ἀλλὰ καταλιμπάνοντες τὰς πιθανουργίας θεωροῦμεν, ὅτι οἱ Ὀδιακοὶ λέγουσι πράγματα ἀπ᾽ εὐθείας ἀντικείμενα πρὸς τὴν ἱστορίαν. α) Ὁ Κεραυνὸς ἐκ τῆς Αἰγύπτου κατέφυγε πρῶτον οὐχὶ πρὸς Λυσίμαχον, ἀλλὰ πρὸς τὸν Σέλευκον, βασιλέα Συρίας· «Καὶ γὰρ αὐτὸν ἐκπεσόντα Αἰγύπτου, διὰ δέος, ὅτι [τῷ] νεωτάτῳ παιδὶ ὁ Πτολεμαῖος τὴν ἀρχὴν ἐπενόει δοῦναι, ὁ Σέλευκος, οἷα φίλου παῖδα ἀτυχοῦντα, ὑπεδέξατο καὶ ἔφερβε», καθὼς λαμπρῶς ἱστορεῖ ὁ Ἀππιανός (α)· χρόνῳ δ᾽ ὕστερον παρὰ τοῦ Σελεύκου μετέβη πρὸς τὸν γαμβρὸν Λυσίμαχον εἰς τὴν Θρᾴκην, ὅθεν πάλιν καὶ δεύτερον κατέφυγε πρὸς Σέλευκον. β) Ταύτης τῆς δευτέρας πρὸς τὸν Σέλευκον τοῦ Κεραυνοῦ καταφυγῆς αἰτίαν οἱ κριτικοὶ πιθανοπλαστοῦσι τὴν ἐπὶ τῇ Λυσιμάχου θυγατρὶ ἐπιγαμβρίαν τοῦ Φιλαδέλφου· ἀλλ᾽ οἱ ἱστορικοὶ (οὓς πάλιν καὶ αὐτὸς ὁ Ὄδιος ἀντέγραψε σελ. 24) ὁμολογοῦσιν ὁμοφώνως, ὅτι ὁ Κεραυνὸς κατέφυγε πρὸς Σέλευκον, διότι ἀπέκτεινεν Ἀγαθοκλέα, τὸν ἐκ τῆς προτέρας γυ-

(α) Συριακ. §. 62, τόμ. α. σελ. 631. Schw. καὶ παρ᾽ Ὀδίῳ σελ. 22. Οὕτω καὶ Δέξιππος (παρὰ τῷ Συγκέλλῳ Χρονογρ. σελ. 507, τόμ. α. ἐκδ. Bon.) «ὅτι ὁ Κεραυνὸς ἀνεῖλε Σέλευκον, εὐεργέτην τε ὄντα ἑαυτοῦ, καὶ ἐκ φυγῆς ὑποδεξάμενον» (βλ. ἐφεξ. Κεφ. Ζ. §. κγ, καὶ κε).

ναικὸς υἱὸν τοῦ Λυσιμάχου (κατ' ἐπιβουλὴν τῆς Ἀρσινόης), *αὐτόχειρ γενόμενος τοῦ μιάσματος* ». Καὶ Λυσάνδρα δὲ τότε ἡ σύζυγος Ἀγαθοκλέους « παρὰ Σέλευκον ἐκδιδράσκει, τούς τε παῖδας ἅμα ἀγομένη, καὶ τοὺς ἀδελφοὺς τοὺς αὐτῆς, οἳ, περιελθὸν τοῦτο ἐς Πτολεμαῖον, καταφεύγουσιν » (α). Ὁ δὲ Ὅδιος, ταῦτα πάντα παραδραμὼν, ἄλλην τῆς πρὸς Σέλευκον τοῦ Κεραυνοῦ φυγῆς ἐπενόησεν αἰτίαν, ὡς δῆθεν ἰσχυροτέραν, τὴν πρὸς τὸν Φιλάδελφον κηδεστίαν τοῦ Λυσιμάχου!

Τελευταῖον (εἰ δεῖ καὶ τοῦτο προσθεῖναι), κἂν (ἐξ ὑποθέσεως) ὁ Φιλάδελφος εἶχε γυναῖκα πρώτην, οὐ τὴν αὐταδέλφην ἀλλὰ τὴν Λυσιμάχειον Ἀρσινόην, πάλιν καὶ ταύτην ὁ Ἀρχιερεὺς ἐν τῇ ἐπιστολῇ ὀρθῶς ὠνόμασεν *ἀδελφὴν*, καὶ οὕτως ὤφειλεν αὐτὴν ὀνομάσαι. Ἀνεψιὰν (ἐξ ἀδελφῆς ὁμοπατρίου) εἶχεν ὁ Φιλάδελφος τὴν Λυσιμαχίδα ταύτην Ἀρσινόην, ὡς προείπομεν (§. β). Ἀλλ' ὅτι καὶ τὰς ἀνεψιὰς καὶ τὰς ἐξαδέλφας *ἀδελφὰς* ἔλεγον πολλάκις οἱ Ἀλεξανδρεῖς, δείγματα λαμπρότατα τὰ ἐφεξῆς. α) Ἐν τῷ προμνημονευθέντι Ἀδουλαίῳ μνημείῳ ὁ Εὐεργέτης ὀνομάζεται υἱὸς *Θεῶν ἀδελφῶν* (τοῦ Φιλαδέλφου καὶ τῆς Ἀρσινόης). Ἀλλ' αὐτὸς εἶχε μητέρα οὐχὶ τὴν αὐταδέλφην, ἀλλὰ τὴν ἀνεψιὰν τοῦ Φιλαδέλφου, αὐτὴν δηλαδὴ τὴν Λυσιμαχίδα Ἀρσινόην (βλ. ἐφεξ. κεφ.

(α) Παυσαν Α, 1, 4, (Τόμ. α. σελ. 37 ἐκδ. Lipsiae, 1794)· ὅπου ἀντὶ τοῦ καταφεύγουσι ἴσ. γραπτ. ἅμα φεύγουσι. (πρβλ. Παυσαν. Α, ις, καὶ Μέμνονα παρὰ Φωτ. κώδ. σκδ. κεφ. 5—7). Ἀλλὰ καὶ ἐν τῇ ὑπὸ Ε. Βεκκήρου (Τ. α, σελ. 20 Berolin. 1826) Ἑλληνικῇ ἐκδ. τοῦ Παυσανίου, κἂν τῇ παρὰ Κλαυϊέρου (Clavier) ἑλληνογαλλικῇ (Paris 1810) ὡσαύτως γράφεται, καταφεύγουσιν. Ἐν δὲ ταύτῃ τῇ ὑστέρᾳ καὶ ἀντὶ τοῦ Ἐς Πτολεμαῖον γράφεται ἀλόγως, Ὡς Πτολεμ. καὶ ἔτι ἀλογώτερον ἐν τῇ γαλλικῇ μεταφράσει ὁ Πτολεμαῖος οὗτος ἐξελήφθη ἐπὶ τοῦ Λάγου ἀντὶ τοῦ Κεραυνοῦ. Οἱ δέ τινες καὶ ὅλην τὴν φράσιν τὴν, περιελθὸν τοῦτο (τὸ δρᾶμα δηλαδὴ τοῦ φόνου) εἰς Πτολεμαῖον), παρανοήσαντες ἐξήλεγξαν ἀδίκως τὸν Μέμνονα, ὡς δῆθεν ἐναντία τῷ Παυσανίᾳ ἱστοροῦντα. Βλ. Visconti Iconogr. Gr. vol. 2. p. 100). Ὁ δὲ Λουκιανὸς λέγων, « Λυσιμάχῳ τὸν υἱὸν Ἀγαθοκλέα ἐπιβουλεύοντα » (Ἰκαρομέν. §. 15.), ἔγραψε πάντως κατὰ τὴν περιφημισθεῖσαν συκοφαντίαν. Περὶ τοῦ Ἀγαθοκλέους φόνου βλ. καὶ Πορφύρ. παρ' Εὐσεβ. χρονικ. Α. κεφ. 38.—Ἀππιαν. Συριακ. σελ. 631. Schw.—Justin XVII. etc.

ζ, §. λη). β) Ἐν τοῖς ἐρειπίοις τοῦ Κανώβου, πρό τινων ἐτῶν (τῷ 1818) εὑρέθη πλὰξ χρυσῆ, φέρουσα τὴν ἐφεξῆς ἐπιγραφὴν, «Βασιλεὺς Πτολεμαῖος, Πτολεμαίου καὶ Ἀρσινόης, *Θεῶν ἀδελφῶν*, καὶ Βασίλισσα Βερενίκη, ἡ *ἀδελφὴ* καὶ γυνὴ αὐτοῦ, τὸ τέμενος *Ὀσίρει* « (βλ. Κωνσταντ. τοῦ Πατριάρχ. Αἰγυπτιακ. σελ. 459). αὕτη δὲ ἡ Βερενίκη, ἡ τοῦ Α, Εὐεργέτου σύζυγος, ἦν αὐτοῦ ἐξαδέλφη, Μάγα θυγάτηρ, ὁμομητρίου τῷ Φιλαδέλφῳ ἀδελφοῦ (σελ. 102). γ) Οὕτω καὶ Καλλίμαχος ἐν τῷ ποιήματι, τῷ, *Βερενίκης Πλόκαμος*, ἐπιγεγραμμένῳ, τὸν αὐτὸν Εὐεργέτην ὠνόμασε τῆς συζύγου Βερενίκης *ἀδελφὸν* (βλ. κεφ. ζ. §. λη). Ὥστε καὶ ὁ ἀρχιερεὺς ἐν τῇ ἐπιστολῇ δικαίως ὤφειλεν ἀδελφὴν τοῦ Φιλαδέλφου προσειπεῖν τὴν ἀνεψιὰν Ἀρσινόην, εἴπερ ἦν αὕτη πρώτη σύζυγος τοῦ Φιλαδέλφου. Ἀλλ᾽ ὅτι ὑπῆρχεν αὐτὴ ἡ αὐταδέλφη, δέδεικται, καὶ δειχθήσεται τρανώτερον εὐθύς (§. ιϐ). Ἡμεῖς δὲ μεταβαίνομεν ἤδη καὶ εἰς τὴν πλέον ἢ δεκαετῆ ἀτεκνίαν, εἰς ἣν αὐτογνωμόνως ὁ Ὄδιος κατεδίκασε τὸν Φιλάδελφον, καὶ ἀφ᾽ οὗ, τέλος, συνῆψεν αὐτὸν εἰς γάμον μετὰ τῆς Λυσιμάχου θυγατρὸς, ἤδη προβεβηκυίας τῆς αὐτοῦ βασιλείας· ὀψὲ γάρ ποτε, καὶ μόλις κατὰ τὸ δέκατον ἔτος, εὑρίσκει *τὸ πρῶτον* αὐτῷ παῖδας γεννηθέντας, *καὶ παππάσαντας ἐν γούνασιν*· ὡς εἰκοτολογεῖ ἐν τοῖς ἐφεξῆς.

§. ι. Η) « Ὅτι δὲ (φησὶν) οὐδὲ τέκνα κατ᾽ ἀρχὰς τῆς βασιλείας εἶχεν ὁ Φιλάδελφος, ὀψὲ δέ ποτε καὶ μετὰ χρόνους ἐπαιδοποίησεν, δεῖξις ἡ ἐφεξῆς. Ὅτι μετὰ τεσσαρακονταοῦτιν βασιλείαν ἀποθανὼν κατέλιπε παῖδας νέους τὴν ἡλικίαν. Ὁ γὰρ Εὐεργέτης, ὁ πάντων πρεσβύτατος (καὶ διάδοχος γενόμενος τῆς ἀρχῆς) ἠγάγετο κατὰ πρῶτον γυναῖκα, μόλις ἤδη τελευτήσαντος, ἢ πρὸς τῷ τέλει τοῦ βίου πλησιάζοντος, τοῦ πατρός. Ἡ δὲ Βερενίκη, ἀδελφὴ τοῦ Εὐεργέτου, ἐνυμφεύθη τὸν Ἀντίοχον, τὸν ἐπίκλην Θεὸν, Συρίας βασιλέα, εἰ καὶ μὴ κατὰ τὸν ἔσχατον ἐνιαυτὸν, ἀλλὰ πλέον ἢ τριάκοντα, ἢ γοῦν εἰκοσιτεσσάρων, παρελθόν-

των ἐτῶν τῆς βασιλείας τοῦ Φιλαδέλφου (α). Καὶ τρίτος δέ τις φέρεται Φιλαδέλφου παῖς, Λυσίμαχος, περὶ οὗ οὐδὲν ἔχομεν ἐξηκριϐωμένον (ϐ). Ὅσον δὲ (λέγει) περὶ τοῦ Εὐεργέτου, ὅτι πρῶτον γάμον ἔγημε (Βερενίκην τὴν τοῦ Μάγα, Κυρήνης βασιλέως, θυγατέρα νυμφευθεὶς), οὐ πολλῷ πρότερον (εἰμὴ καὶ ὕστερον) τῆς τελευτῆς τοῦ πατρὸς, συνάγεται πρῶτον ἐκ τοῦ Ἰουστίνου, ὅστις τοὺς Εὐεργέτου γάμους ἱστορήσας περὶ τὸ τέλος τοῦ κϛ βιϐλίου, εὐθὺς μετὰ τὴν ἀρχὴν τοῦ ἐφεξῆς βιϐλίου (τοῦ κζ) παρίστησιν αὐτὸν Αἰγύπτου βασιλέα. — Δεύτερον· ὁ Εὐεργέτης ἀνηγορεύθη βασιλεὺς, ὅτε πρὸς Σέλευκον τὸν Καλλίνικον, Βασιλέα τῆς Συρίας, ἐκίνει τὸν πόλεμον (γ). ἀλλὰ μὴν τότε νεωστὶ τοῦτον νυμφευθεντα παρίστησι Καλλίμαχος ὁ ποιητὴς *ἐν τῷ Βερενίκης Πλόκαμος* ἐπιγεγραμμένῳ εἰδυλλίῳ (οὗτινος μόνον, ἡ ὑπὸ τοῦ Κατούλλου μετάφρασις σῴζεται καθ᾽ ἡμᾶς)· λέγει δ᾽ ἐκεῖ ταῦτα ἐπὶ λέξεως ὁ Ῥωμαῖος ποιητὴς (ἢ ῥωμαΐζων ὁ Καλλίμαχος)·

« Τὸν χρόνον ὥναξ τόνδε, νέῳ θαλέθων ὑμεναίῳ,
Ἤϊε πορθήσων τέρματ᾽ ἐς Ἀσσυρίων » (δ).

(α) Βλ. Simson Chronol — πρϐλ. S. Hieronym. Comment. in Daniel. c. II.

(ϐ) Ἔχομεν ὅμως ἐκ τοῦ Πολυϐίου, ὅτι « Σωσίϐιος, ὁ Πτολεμαίου (τοῦ Φιλοπάτορος) ψευδεπίτροπος, ἐδόκει γεγονέναι σκεῦος ἀγχίνουν καὶ πολυχρόνιον, ἔτι δὲ καὶ κακοποιὸν ἐν βασιλείᾳ, καὶ πρῶτον μὲν ἀρτύσαι φόνον Λυσιμάχῳ, ὃς ἦν υἱὸς Ἀρσινόης τῆς Λυσιμάχου, καὶ Πτολεμαίου (τοῦ Φιλαδέλφου) » κτλ. Πολύϐ. λείψαν. ἐκ τοῦ ιε, βιϐλ. τόμ. 3. σελ. 52 ἔκδ. Vind. Ταῦτα θαυμαστὸν πῶς ἐνταῦθα παρέλιπεν ὁ Ὅσιος! τὸν Λυσίμαχον τοῦτον μνημονεύει καὶ ὁ Σχολιαστὴς Θεοκρίτου (Εἰδυλ. ιζ. 128). βλ. καὶ ἐφεξῆς κεφ. η §. ϛ. — Σημ. ἡμετ.

(γ) Ἀππιαν. Συριακ. — Ἰουστῖνος κζ. — Ἱερώνυμ. ἔνθ. ἀνωτέρ.

(δ) « Qua rex tempestate novo auctus hymenaeo
Vastatum fines iverat Assyrios. »

Catul. Carmen de Berenices Coma, ἐκδ. I. Vossij. (ἄλλ. πληθυντ. n o v i s auctus h y m e n a e i s, ἐκδ. Ernesti). Τούτου τοῦ Καλλιμαχείου ποιήματος μνημονεύουσιν ἄλλοι τε καὶ Γεμῖνος (Ἀστρ. 2.) λέγων « Καὶ ὁ ὕστερον κατηστερισμένος ὑπὸ Καλλιμάχου Βερενίκης Πλόκαμος »· (κατέγραψε δὲ τοῦτον εἰς τοὺς ἀστερισμοὺς οὐχ ὁ Καλλίμαχος αὐτὸς, ἀλλὰ Κόνων, Σάμιος μαθηματικός. βλ. ἐφεξ. κεφ. ζ. § λη). Ὁ δὲ κλεινὸς Βεντλήϊος (Bentlejus) ἐξέδωκε καί τινα τοῦ Καλλιμαχείου κειμένου λείψανα συναγαγὼν, ἐν οἷς ὅμως τὸ ἀνωτέρω δίστιχον οὐχ εὑρίσκεται· (διὸ καὶ τοὺς στίχους ἐξελληνίσαμεν, ὅσον κατὰ λέξιν μετρίως, ὡς δὲ πρὸς ῥυθμὸν, ἐπίσης μουσι-

Νέον δὲ λέγων *ὑμέναιον* ὁ ποιητὴς, οὐ πρὸ πολλοῦ τελεσθέντα τὸν γάμον δηλοῖ. Φαίνεται τοίνυν ἐκ τούτων, ὅτι μετὰ πολλοὺς ἐνιαυτοὺς ἀπὸ τῆς ἀρχῆς τῆς βασιλείας ἐγένοντο τὰ τέκνα τῷ Φιλαδέλφῳ. Οὐδ᾽ ὑπάρχει πρᾶγμα πιθανὸν καὶ πιστευτὸν, ἢ ὅτι ὁ Εὐεργέτης, τοσούτου βασιλέως διάδοχος, ὑπερήλασε τὸ 30, καὶ ἐπέκεινα τῆς ἡλικίας ἔτος, ὅτε τὸ πρῶτον ἔγημεν· ἢ ὅτι Βερενίκη, ἡ τοῦ Εὐεργέτου ἀδελφὴ, οὐκ ἐνυμφεύθη νέα καὶ αὐτὴ καὶ πρόσηβος, οὕτω πλουσίου καὶ ἰσχυροῦ βασιλέως θυγάτηρ, καὶ τὴν ὄψιν δὲ καλλίστη· διὸ καὶ ταύτην ἔγημεν ἐξ ἔρωτος (ὡς λέγουσιν) ὁ Ἀντίοχος».

Ἀπαντῶμεν

Πότε ἐγεννήθησαν καὶ ἐνυμφεύθησαν τὰ τοῦ Φιλαδέλφου ταῦτα τέκνα, ὀρθῶς συνῆξεν Ὄδιος (βλ. ἐφεξ. § ιϛ, καὶ κεφ. ζ. § λγ.), ἀλλ᾽ ἡ μέθοδος τῶν παρ᾽ αὐτῷ συλλογισμῶν οὐ πάνυ τοι φαίνεται ἀσφαλής. Ἀπίθανον, εἶπεν, εἴ τις νομίζοι τὸν Εὐεργέτην περίπου τριακοντούτη γεγαμηκότα. Ἀλλὰ τί ἄλλο παρὰ τοῦτο τὸ *ἀπίθανον* κατασκευάζει καὶ αὐτὸς, τιθεὶς τὸν μὲν γάμον τοῦ Εὐεργέτου πρὸς τῷ τέλει, τὴν δὲ γέννησιν, περὶ τὸ δέκατον ἔτος *τῆς τεσσαρακονταετοῦς* βασιλείας τοῦ Φιλαδέλφου; (τοῦτο οὐ *τριακοντουτίζει;*). Καὶ τῶν Ἰουστίνου βιβλίων ἡ ἀκολουθία ποῖον ἔχει κράτος πρὸς ἀπόδειξιν τοῦ χρόνου καθ᾽ ὃν ἔγημεν ὁ Εὐεργέτης; Μὴ γὰρ ἠγνόει καὶ αὐτὸς ὁ κριτικώτατος ἀνὴρ, ὅτι πολλάκις ὁ συγγραφεὺς οὐ μόνον ἐν βιβλίοις καὶ κεφαλαίοις, ἀλλὰ καὶ δι᾽ ἁπλῆς πολλάκις ἐν περιόδοις μεταβάσεως, ὑπερπηδῶν τὰ μεταξὺ, παρίστησι τὸν πρὸ μικροῦ νήπιον, ἤδη γενειῶντα· στέλλει καὶ τὸν Φαληρέα κατ᾽ εὐθεῖαν ἐκ μὲν τῶν Ἀθηνῶν εἰς Αἴγυπτον, ἐκ δὲ τῆς Πτολεμαϊκῆς αὐλῆς αὐθωρὸν εἰς τῆς Βουσιρίτιδος ἀσπίδος τὸ δῆγμα; (κεφ. Δ. σελ. 72,

---

κῶς, ὡς καὶ ὁ Σαλβίνιος ἐφεξῆς, ἀνανεοῦντες ἔπη Καλλιμάχεια!). Βλέπε Καλλιμάχου τομ. α. σελ. 371, 610 Lugdun. Batav. 1761. ἐκδ. Ἐρνέστου, ἐν ᾗ καὶ τὸ τοῦ Κατούλλου ποίημα, καὶ τούτου ἑλληνικὴ μετάφρασις ὑπὸ τοῦ Φλωρεντινοῦ Antonij M. Salvinij· ὅστις, εἰ καὶ μὴ Καλλιμαχίζει περὶ τὴν σύνθεσιν τῶν ἐπῶν, συγγνωστέος, ὡς ξένος ἑλληνιστής· τὰ δ᾽ ἀνωτέρω ἔπη μεθηρμήνευσεν οὕτως·

« Ὁππότ᾽ ἄναξ γαίων ἐρατοῖς τε νέοις θ᾽ ὑμεναίοις
Πορθήσων γαῖαν ἵκετ᾽ ἐς Ἀσσυρίων » —. (Σημ. ἡμετ.).

καὶ κεφ. Ε, σελ. 109). Οὐδὲν παράδοξον ἔκρινεν Οὐόσσιος, εἴπερ ὁ Εὐεργέτης ἔγημεν ὀψὲ τῆς ἡλικίας, καὶ περίπου τριακοντούτης. «Πολλάκις γὰρ (φησὶν) οἱ καχύποπτοι ἡγεμόνες ἀπέχονται νομίμων γάμων μέχρι καὶ προβεβηκυίας τῆς ἡλικίας, φοβούμενοι τὴν ἐκ τῶν παίδων περὶ τὸ σκῆπτρον ἐπιβουλὴν, ἀνδρυνθέντων, ὅταν τούτους γεννήσωσι νέοι». Ἀλλ' οἱ περὶ τὸν Ὅδιον ἀνανεύουσι πρὸς ταῦτα· καὶ ἡμεῖς συμφωνοῦμεν. Ἔστω νέος, νεώτατος, ὅσον ἐγχωρεῖ, νυμφευθεὶς ὁ Εὐεργέτης (καθὼς θέλουσιν)· ἀλλὰ τί μὴ παρομοίως ἐπιφέρουσιν οἱ κριτικοὶ τὴν αὐτὴν καὶ περὶ τοῦ Φιλαδέλφου κρίσιν; θέλουσι δὲ τοῦτον ἐν ἀρχῇ τῆς βασιλείας ἄγαμον καὶ ἄτεκνον, εἴκοσι καὶ τεσσάρων ἐτῶν νεανίαν, κἄτι καὶ πρεσβύτερον; Μὴ γὰρ ὑπῆρχε μικροτέρου βασιλέως, τοῦ Σωτῆρος, υἱὸς ὁ Φιλάδελφος; καὶ ταῦτα λάγνος ἄνθρωπος (ὡς λέγεται) καὶ κατωφερὴς, καὶ ὑπὸ τῆς *ἀκαίρου τρυφῆς* (ὡς τοῦτον αὐτοὶ ζωγραφήσουσι μετ' ὀλίγον) *διαφθαρείς*; Ἢ μήπως πάλιν ἔχουσιν ἀκριβῶς ἀποδεῖξαι πρωτότοκον τῶν Φιλαδέλφου παίδων τὸν Εὐεργέτην; ἄλλα δὲ τέκνα πρότερον οὐδόλως αὐτῷ γεγόνασι, νήπια τελευτήσαντα; ἀλλ' οὐδὲν περὶ τούτων τεκμήριον παρέχουσιν ἐναργὲς (ὡς ὀψόμεθα ἐφεξῆς). Ὥρα τοίνυν τοῖς περὶ τὸν Ὅδιον σοφοῖς, ὅπως ἀποδῶσι καὶ τῷ τοῦ Εὐεργέτου πατρὶ ἔγκαιρον καὶ ὥριμον γαμοστολίαν τε, καὶ τεκνογονίαν· μηδὲ καταλιμπανέτωσαν τὸν Φιλάδελφον βασιλεύοντα δι' ὅλης ὀκταετίας ἄνυμφον καὶ ἀνυμέναιον, καὶ στεῖρον δὲ καὶ ἄγονον, μήτε *Ζηνὸς καὶ Ἥρας τελείας (καθὼς ἔλεγον οἱ ἀρχαῖοι)*, μήτε *μογοστόκου Εἰλειθυίας* διὰ τοσούτων ἐτῶν εἰς τοὺς βασιλείους αὐτοῦ θαλάμους ἐπεισελθούσης. Ταῦτα πρός γε τὸ παρὸν ἀπαντῶμεν πρὸς τὰς εἰκασίας τῶν κριτικῶν, αὐταῖς αὐτοὺς ἰδίαις ψήφοις ἀνθοβολοῦντες! Ἴδωμεν δὲ καὶ τὰ ἐφεξῆς.

§. ιά. Θ) «Ἅλις ταῦτα (λέγει Ὅδιος) περὶ τῆς ἐν ἀρχῇ τῆς βασιλείας *ἀγαμίας καὶ ἀτεκνίας* τοῦ Φιλαδέλφου. Ἡ δὲ παρὰ τῷ Ἀριστέᾳ τοῦ ἀρχιερέως πρὸς Φιλάδελφον ἐπιστολὴ προσαγορεύει «καὶ *τὴν βασίλισσαν καὶ ἀδελφὴν αὐτοῦ, τὴν Ἀρσινόην*, καὶ

τὰ τέκνα ». Ἀλλ᾽ ὅτι μὲν ἔγημε τὴν ἀδελφὴν ὁ Φιλάδελφος, μαρτυροῦσι πάμπολλοι (α)· πότε δὲ καὶ ἔγημε; Τὴν Ἀρσινόην ταύτην ἐνυμφεύθη πρῶτον ὁ βασιλεὺς Λυσίμαχος, ὡς μαρτυροῦσι Μέμνων καὶ Ἰουστῖνος καὶ Παυσανίας (Α. 1.)· μετὰ δὲ τὴν Λυσιμάχου τελευτὴν Πτολεμαῖος ἔγημεν, ὁ Κεραυνός (β)· καὶ, τέλος, τούτου τελευτήσαντος, ὁ Φιλάδελφος. Καὶ ὁ μὲν Κεραυνὸς ἀπέθανεν ἕκτον περίπου ἐνιαυτὸν μετὰ τὸ βασιλεῦσαι τὸν Φιλάδελφον (ὡς προείρηται)· πόσος δὲ χρόνος παρῆλθεν ἀπὸ τῆς τελευτῆς τοῦ Κεραυνοῦ μέχρι τῆς μετὰ τοῦ Φιλαδέλφου συνοικήσεως τῆς Ἀρσινόης, ἄδηλον· διέδραμον δὲ ὅμως ἓξ τοὐλάχιστον ἔτη, καθὼς εἰκάζεται ἐκ τῆς ἡλικίας τῶν τοῦ Φιλαδέλφου παίδων, ὧν ὁ πρεσβύτατος φαίνεται οὐ πρὸ τοῦ δεκάτου ἔτους τῆς πατρῴας βασιλείας γεννηθείς. Καὶ πιθανῶς λοιπὸν ὁ Φιλάδελφος ἠγάγετο τὴν ἀδελφὴν Ἀρσινόην ἤδη βασιλεύων δωδέκατον, ἴσως, ἐνιαυτόν (γ). Βέβαιον γὰρ, ὅτι ἐκ τῆς ἀδελφῆς οὐκ ἐγένοντο παῖδες τῷ Φιλαδέλφῳ· τοὺς δὲ προειρημένους τρεῖς ἔσχεν ἐκ τῆς προτέρας γυναικὸς, Ἀρσινόης καλουμένης κἀκείνης, τῆς Λυσιμάχου θυγατρὸς, ὡς ὁ τοῦ Θεοκρίτου (Εἰδ. ιζ. 128) Σχολιαστὴς τρανῶς μαρτυρεῖ. Ἐκ τούτων τοίνυν ἁπάντων φαίνεται ἐναργῶς, ὅτι τὴν ἀδελφὴν Ἀρσινόην, ἣν ἡ τοῦ Ἀρχιερέως πρὸς Φιλάδελφον ἐπιστολὴ ὡς τούτου σύζυγον μνημονεύει, οὐκ ἔγημεν ὁ Φιλάδελφος, εἰμὴ μετά τινας ἐνιαυτοὺς ἀπὸ τῆς τοῦ πατρὸς τελευτῆς. Καὶ οἶδα μὲν (προστίθησιν), ὅτι τῶν νεωτέρων τινὲς ὑπέλαβον ἄλλην Ἀρσινόην εἶναι ταύτην δὴ τὴν ἀδελφὴν ἅμα καὶ γυναῖκα τοῦ Φιλαδέλφου, ἑτέραν δὲ πάλιν, ἣν ἔγημε πρῶτον ὁ Λυσίμαχος, καὶ μετ᾽ αὐτὸν ὁ Κεραυνός· ἀλλ᾽ εἰκαίως τοῦτο καὶ μάτην ἐφαντάσθησαν, εἰς μηδεμίαν ἀπόδειξιν βεβηκότες. Εἰ δὲ καὶ ἡ τοῦ Λυσιμάχου καὶ ὕστερον τοῦ Κεραυνοῦ σύζυγος Ἀρσινόη φαίνεται παρῆλιξ ἤδη (καθ᾽ ὃν γὰρ ἀπέθανε χρόνον ὁ Κεραυνὸς, εἶχεν ἤδη

(α) Παυσαν. Α. ζ: Στέφ. Βυζάντ. λ. Ἀρσινόη: Πλούταρχ. παίδ. ἀγωγῆς: Ἀθήν. ιδ. 621: Plin. Hist. Nat. 36, 9, κτλ. — (β) Μέμν. παρὰ Φωτ. ἀναγν. σκδ: Justin. XVII 7 καὶ XXIV. 2, 3. — (γ) Ἐντὸς ἄρα 2, ἐτῶν ἐγεννήθησαν 3, τέκνα τῷ Φιλαδέλφῳ, ἐξωρίσθη δὲ καὶ ἡ α, γαμετή (§ ιβ)! Σχῆμα γοργόν! — Σημ. ἡμετ.

ἑκκαιδεκαέτη υἱὸν ἐκ τοῦ Λυσιμάχου, καὶ ἑπομένως οὐκ ἦν τότε νεωτέρα τῶν 32 ἐτῶν) (α), ἀλλ' ὅμως καὶ οὕτως οὐδὲν ἐκώλυε τὸν Φιλάδελφον νυμφευθῆναι γυναῖκα τοσούτοις ἔτεσιν αὐτοῦ πρεσβυτέραν (β)· διὰ ταύτην ἴσως ἐν μέρει τὴν αἰτίαν οὐδὲν ἐγέννησεν ἐκ τοῦ Φιλαδέλφου τέκνον ἡ Ἀρσινόη, ὡς ἤδη γεραιτέρα τὴν ἡλικίαν ».

Ἀπαντῶμεν.

§. ιβ'. Οὔτε τὴν ἀτοπίαν τῶν Ὀδιακῶν εἰκασιῶν ἐπὶ πλέον φιλοκρινοῦμεν, οὔτε τὴν Οὐοσσίου γνώμην ἀποδεχόμεθα λέγοντος, « ὅτι ὁ Φιλάδελφος ἔχων ἤδη γυναῖκα νόμιμον, τὴν Λυσιμάχου θυγατέρα Ἀρσινόην, συνεφθείρετο καὶ μετὰ τῆς ἰδίας ἀδελφῆς Ἀρσινόης, ἀθέσμως αὐτῆς ἐρῶν, καὶ πρότερον, καὶ ἀφ' οὗ συνῴκησεν αὕτη μετὰ τοῦ Λυσιμάχου »· δυσχερῆ καὶ δυσδιάλλακτα ταῦτα, καὶ μήτε πρὸς τὴν ἱστορίαν, μήτε πρὸς τοὺς χρόνους συμφωνοῦντα διεγνωμάτευσεν ὁ γεραρὸς Οὐόσσιος. Ὅθεν καὶ δικαίως ἀντέ-

(α) Λάθος τοῦ Ὀδίου μικρόν· οὐχὶ *καθ' ὃν χρόνον ἐτελεύτησεν*, ἀλλ' ὅτε ἔγημεν ὁ Κεραυνὸς τὴν Ἀρσινόην (ἐν ἀρχῇ τῆς αὐτοῦ βασιλείας, ὅτε καὶ ἀπέκτεινεν αὐτῆς τοὺς ἐκ Λυσιμάχου δύω παῖδας) τότε τούτων ὁ πρεσβύτερος ἦν ἑκκαιδεκαέτης, ὡς μαρτυρεῖ τρανῶς ὁ Ἰουστῖνος βιβλ. κδ. 2 (καὶ παρ' αὐτῷ τῷ Ὀδίῳ σελ. 24. σημ.). Εἰ δὲ καὶ ὁ Κεραυνὸς ἀπέθανε βασιλεύσας ἔτη δύω, ἢ κἂν ἔτος ἓν καὶ μῆνας πέντε (Πορφύρ. παρ' Εὐσεβ. Χρονικ. ἐκδ. Μεδιολ. σελ. 175, καὶ 350 — Μέμν. π. Φωτ. ἀναγν. σκδ. — Ἀππιανὸς, κτλ.), ὤφειλεν ἄρα καὶ οὗτος ὁ χρόνος προστεθῆναι πρὸς τὴν ἡλικίαν τῆς Ἀρσινόης· ἀλλὰ τότε φαίνεται μείζων ἢ 34 ἐτῶν νυμφευθεῖσα τὸν Φιλάδελφον· καὶ τοῦτο ἴσως οἰκονομῶν ὁ δόκτωρ παρέτεινε τὴν ἑκκαιδεκαετίαν τοῦ παιδὸς τῆς Ἀρσινόης μέχρι καὶ τῆς τελευτῆς τοῦ Κεραυνοῦ! Πλὴν ἀλλ' ἑτέρωθεν ἐξέπεσεν εἰς ἄλλον ἀριθμητικὸν παραλογισμὸν, ἐπιλαθόμενος ἴσως ὅτι διώρισε μικρὸν ἀνωτέρω « ἓξ τοὐλάχιστον ἐνιαυτοὺς διαδραμόντας μεταξὺ τῆς τοῦ Κεραυνοῦ τελευτῆς καὶ τῆς μετὰ τοῦ Φιλαδέλφου συνοικήσεως τῆς Ἀρσινόης ». Προστεθείσης οὖν καὶ ταύτης τῆς ἑξαετίας, εὑρεθήσεται ἡ Ἀρσινόη *τεσσαρακοντοῦτις* ἤδη, καὶ προσέτι *τρίγαμος* νύμφη εἰς τοῦ *ξανθοκόμου Φιλαδέλφου* τὸν χρυσόγραφον παστόν! Ὁ δὲ κλεινὸς Οὐόσσιος καὶ 46, ἢ 48, ἐτῶν ὑπέλαβε τὴν Ἀρσινόην (Append. p. 63)· ἀλλὰ περὶ τῆς πιθανωτέρας αὐτῆς ἡλικίας λέγομεν ἐν τῷ ἐφεξῆς κεφαλαίῳ. — Σημ. ἡμετ.

(β) Καὶ πόσα ἦσαν ταῦτα τὰ ἔτη; ἕν, οὐδὲ ἕν! (κατ' αὐτὴν δηλαδὴ τὴν σειρὰν τοῦ Ὀδιακοῦ ὑπολογισμοῦ)· ἐκείνη (καθὼς λέγει) ὑπῆρχεν ἐτῶν 32· ἀλλὰ τοσούτων ἦν τότε καὶ ὁ Φιλάδελφος· βασιλεύσας μὲν ἐτῶν 20 (κατ' αὐτὸν τὸν Ὄδιον), γήμας δὲ τὴν Ἀρσινόην τῷ 12 ἔτει τῆς βασιλείας (ὡς διώρισε μικρὸν ἀνωτέρω). Εἰ δὲ πάλιν καὶ κατὰ τὴν δευτέραν Ὀδίου χρονομετρίαν (βλ. ὄπισθ. σελ. 147) ἐβασίλευσε 22, ἐτῶν ὁ Φιλάδελφος, ὑπῆρχε λοιπὸν καὶ πρεσβύτερος τῆς νύμφης ἔτη 2.—Σημ. ἡμετ.

ταξεν ὁ Ὅδιος ἀντίῤῥησιν πρὸς ταῦτα μακρὰν (σελ. 24). Ἄλλη τις φαίνεται λύσις τῶν περὶ τὸν Ἀρσινοΐτην τοῦτον δεσμὸν ἐμφαινομένων πολυπλόκων δυσκολιῶν, λύσις πάντῃ φυσικὴ (καθὼς νομίζομεν), καὶ σύμφωνος πρὸς τὴν ἱστορίαν τοῦ Φιλαδέλφου. Τρεῖς ἐγένοντο ἐπ᾿ αὐτοῦ Ἀρσινόαι, μία μὲν, ἡ Πτολεμαίου τοῦ Λαγίδου καὶ τῆς Εὐρυδίκης θυγάτηρ (διὸ καὶ μόνον ὁμοπάτριος ἀδελφὴ τοῦ Φιλαδέλφου), ἣν ἔγημε Λυσίμαχος ὁ τῆς Θρᾴκης βασιλεύς. Ταύτην τὴν τοῦ Λυσιμάχου σύζυγον Ἀρσινόην ἔγημεν ὕστερον καὶ ὁ Κεραυνὸς (καὶ ταύτην οἱ περὶ τὸν Ὅδιον θέλουσι καὶ τοῦ Φιλαδέλφου, τελευταῖον, γυναῖκα γενέσθαι, καί τοι μηδαμῶς μηδέποτε γενομένην). Δευτέραν δὲ Ἀρσινόην, θυγατέρα Λυσιμάχου καὶ τῆς εἰρημένης Ἀρσινόης, ἔγημεν ὁμολογουμένως ὁ Φιλάδελφος (καὶ ἑπομένως ἑαυτοῦ ἀνεψιὰν ἐξ ἑτεροθαλοῦς, ἢ ἀμφιμήτορος, καὶ μόνον ὁμοπάτορος ἀδελφῆς)· ἠγάγετο δὲ ταύτην οὐ πρότερον (ὡς θέλουσιν οἱ περὶ τὸν Ὅδιον), ἀλλ᾿ ὕστερον, ἀφ᾿ οὗ ἔγημε τὴν ἰδίαν ἀδελφὴν (ὡς φανήσεται ἐφεξῆς). Τρίτη, τέλος, Ἀρσινόη, θυγάτηρ τοῦ Λαγίδου ἐκ τῆς Βερενίκης (διὸ καὶ ὁμοπάτριος καὶ ὁμομήτριος αὐταδέλφη τοῦ Φιλαδέλφου). Ταύτην κατὰ πρῶτον (καὶ ἄκοντος Ὀδίου) ἔγημεν ὁ Φιλάδελφος, καὶ μετ᾿ αὐτῆς συνῴκησεν ἀδιαλείπτως μέχρι τελευτῆς αὐτῆς. Μάρτυρες·

Α) Ὁ Παυσανίας. «Οὗτος (λέγει) ὁ Πτολεμαῖος Ἀρσινόης, *ἀδελφῆς ἀμφοτέρωθεν*, ἐρασθεὶς ἔγημεν αὐτὴν, Μακεδόσιν οὐδαμῶς ποιῶν νομιζόμενα, Αἰγυπτίοις δὲ, ὧν ἦρχε». (Α. ζ.).

Β) Ὁ αὐτὸς Παυσανίας διακρίνει ταύτης τῆς Ἀρσινόης τὴν ἑτέραν (ἣν ἔγημε Λυσίμαχος), ὀνομάζων ἐκείνην *Λυσάνδρας ἀδελφὴν* (Α. ι.)· αὐτὴν δὲ τὴν Λυσάνδραν διώρισε πρότερον ὀνομάσας «*Πτολεμαίου τε τοῦ Λάγου καὶ Εὐρυδίκης*» (Αὐτ. Α. ζ.). Λυσάνδρας ἀδελφὸν εἶπεν ὁ αὐτὸς καὶ τὸν Κεραυνὸν (ὡς ὁμομήτριον αὐτῆς καὶ ὁμοπάτριον. Α. ι. καὶ ις). Οὕτω τοὺς ἑτεροθαλεῖς ἀδελφοὺς διακρίνει πολλάκις ὁ Παυσανίας, προστιθεὶς καὶ τῶν χαρακτήρων τὰς διαφορὰς (α).

(α) Τοιαῦτα καὶ τὰ ἐφεξῆς· «Πτολεμαῖος (ὁ Λάγου) γυναῖκα τῷ Πύῤῥῳ δέδωκεν

Γ) Καὶ ὁ Μέμνων παρομοίως τὴν Ἀρσινόην (τὴν Λυσιμάχου γαμετὴν) ὀνομάζει ἀδελφὴν Πτολεμαίου τοῦ Κεραυνοῦ, προστιθεὶς καὶ ὅτι ταύτην ἔγημεν ὁ Κεραυνὸς, «*ὡς πάτ ιον τοῦτο τοῖς Αἰγυπτίοις*» (τὸ λαμβάνειν εἰς γυναῖκα δηλονότι τὴν ἀμφοτέρωθεν ἀδελφὴν, ὡς εἶπεν ἀνωτέρω καὶ ὁ Παυσανίας περὶ τοῦ Φιλαδέλφου) (α).

Δ) Καὶ αὐτὸς ὁ Θεόκριτος τὴν Φιλαδέλφου σύζυγον καὶ ἀδελφὴν Ἀρσινόην *Βερενίκης θυγατέρα* καλεῖ· « Ἁ Βερενικεία θυγάτηρ, Ἑλένᾳ εἰκυῖα, Ἀρσινόα » (Εἰδυλ. ιε, 110). Ἑτέρα λοιπὸν ταύτης ὑπῆρχεν ἡ ἐξ Εὐρυδίκης Ἀρσινόη, ἣν ἔγημε Λυσίμαχος. Καὶ ταῦτα μὲν ὡς ἐκ τῶν μητέρων ἑκατέρων τῶν Ἀρσινοῶν· ἡ δὲ Βερενικεία θυγάτηρ δείκνυται τῆς ἑτέρας διαφέρουσα καὶ ἐξ ἄλλων περιστατικῶν, καὶ ἐκ τοῦ χρόνου καθ᾽ ὃν ἔγημεν αὐτὴν ὁ Φιλάδελφος. Ἄκουε.

Ε) « Οἱ δὲ οἱ (τῷ Φιλαδέλφῳ) παῖδες ἐγένοντο ἐξ Ἀρσινόης, οὐ τῆς ἀδελφῆς, Λυσιμάχου δὲ θυγατρός· τὴν δὲ οἱ συνοικήσασαν ἀδελφὴν κατέλαβεν *ἔτι πρότερον* ἀποθανεῖν ἄπαιδα » (Παυσαν. Α. ζ.). Περὶ τοῦ «*ἄπαιδα*» λέγομεν ἐφεξῆς. Τοῦ δὲ « *κατέλαβεν ἔτι πρότερον* » ὁ νοῦς ἐξάπαντος ἀποδοτέος εἰς τὸ προηγούμενον κῶλον· ἤγουν, ἡ τῷ Φιλαδέλφῳ συνοικήσασα ἀδελφὴ ἀπέθανεν *ἔτι πρότερον*, πρὶν αὐτῷ *γενέσθαι τοὺς παῖδας ἐκ τῆς Λυσιμάχου θυγατρός*. Καὶ βεβιασμένη μὲν ἡ τοῦ λόγου σύνθεσις δοκεῖ· ἀλλὰ τὸ *ἔτι πρότερον* σημαίνει τὶ πάντως, οὐδ᾽ ἐτέθη μάτην ἐν τῷ λόγῳ. Καὶ εἰ μὴ τοὺς Ὀδιακοὺς ἐφοβούμεθα, μήποτε παροξυνθέντες λοιδορήσωσιν ἡμᾶς ὡς τοῦ Παυσανιακοῦ κειμένου θρασεῖς

ἀδελφὴν ὁμομητρίαν τῶν αὐτοῦ παίδων » (Α. ια), τουτέστι τὴν Ἀντιγόνην, θυγατέρα τῆς Βερενίκης καὶ τοῦ (προτέρου ταύτης ἀνδρὸς) Φιλίππου· (Πλούταρχ. Πύῤῥ. §. δ) Καὶ πάλιν ὁ Παυσανίας (Α. ζ). « Μάγας δὲ, ἀδελφὸς ὁ μ ο μ ή τ ρ ι ο ς Π τ ο λ ε μ α ί ο υ (τοῦ Φιλαδέλφου) —. ἐγεγόνει δὲ ἐκ Φιλίππου τῇ Βερενίκῃ, Μακεδόνος μὲν » κτλ.

(α) Μέμν. παρὰ Φωτ. ἀναγν. σχδ. κεφ. 15. πρβλ. καὶ κεφ. 5. ὅπου εἴτε διὰ μνημονικὸν τοῦ συγγραφέως ἁμάρτημα, εἴτε καὶ ἐκ πλάνης τῶν ἀντιγραφέων γράφεται ἡ Ἀρσινόη (ἣν ἔγημε Λυσίμαχος) « θυγάτηρ Πτολεμαίου τοῦ Φ ι λ α δ έ λ φ ο υ » (ἀντὶ τοῦ Λάγου).

παραδιαστὰς, εἴπομεν ἂν, ὅτι τὸ *ἔτι πρότερον* ἔγραψεν ὁ Παυσανίας μετὰ τὸ *συνοικήσασαν* (« *τὴν δὲ οἱ συνοικήσασαν ἔτι πρότερον* ἀδελφὴν κατέλαβεν ἀποθανεῖν » κτλ.)· ἡ δὲ τῶν πρώτων ἀντιγραφέων ἀβλεψία συνετάραξε τῶν λέξεων τὴν τοποθεσίαν· (Οὕτω δὲ καὶ ὁ Ἔκδικος ἐξέλαβε τὸ νόημα τῆς περικοπῆς, καθὼς φαίνεται ἐκ τῆς λατινικῆς αὐτοῦ ἑρμηνείας. βλ. ἔμπροσθ. κεφ. Ζ. §. κγ). Ἀλλὰ καὶ ὡς ἔχει νῦν τὸ κείμενον οὐδὲν ἄλλο δύναται σημαίνειν, εἰ μὴ ὅτι ἡ Ἀρσινόη, ἡ ἀδελφὴ, συνῴκει τῷ Πτολεμαίῳ, πρὶν οὗτος *τεκνοποιήσῃ* (τὰ ἱστορούμενα τέκνα), καὶ ἐπομένως πρὶν ἢ συνοικήσῃ μετ' αὐτοῦ ἡ τοῦ Λυσιμάχου θυγάτηρ Ἀρσινόη.

Ϛ) Ὁ Λουκιανὸς ζωγραφῶν τὸν Ἰκαρομένιππον αἰωρούμενον εἰς τὰ ὕψη τοῦ αἰθέρος, καὶ τὰ κατὰ γῆν ἐπισκοποῦντα, λέγει περὶ αὐτοῦ, ὅτι ἔβλεπεν « οὐ τὰ ἐν ὑπαίθρῳ μόνον, ἀλλὰ καὶ ὁπόσα οἶκοι ἔπραττον *οἰόμενοι λανθάνειν, Πτολεμαῖον μὲν συνόντα τῇ ἀδελφῇ* » κτλ. (α)· ὅπου καὶ ὁ Σχολιαστής· « Πτολεμαῖος, ὁ ἐπίκλην Φιλάδελφος, Στρατονίκην *(γρ. Ἀρσινόην)* τὴν ἰδίαν ἀδελφὴν εἶχε γυναῖκα » (β). Ἐφρόνει τοιγαροῦν ὁ Λουκιανὸς, ὅτι Πτολεμαῖος ὁ Φιλάδελφος συνεφθείρετο λαθραίως μετὰ τῆς ἀδελφῆς Ἀρσινόης, καὶ πρὶν ἢ ταύτην δημοσίως (κατὰ τοὺς Αἰγυπτίων νόμους) νυμφευθῇ. Ἀλλὰ τότε (κατὰ τὴν νεανικὴν ἀκρασίαν τοῦ Φιλαδέλφου) ἡ ἐξ Εὐρυδίκης Ἀρσινόη ἀπῆν ἐκ τῆς Αἰγύπτου εἰς τὴν Θρᾴκην, πρὸ χρόνων συνοικοῦσα τῷ Λυσιμάχῳ· κατὰ γὰρ τὴν

(α) Λουκιαν. Ἰκαρομενιπ. §. 15. σελ 769, τόμ. 2. ἐκδ. Reitz. — (β) Τὸ Στρατονίκη ἀντὶ τοῦ Ἀρσινόη, εἰσεῤῥύη εἰς τὸ σχόλιον ἐκ τῆς ἀβλεψίας τῶν ἀντιγραφέων, συγχυσάντων ἐν τῷ κειμένῳ τὰ ἐφεξῆς ἐπακολουθοῦντα « τὸν Σελεύκου δὲ Ἀντίοχον Στρατονίκῃ διανεύοντα » κτλ. Τὰς ἐν τούτῳ τῷ μέρει προσθήκας τῶν ἀντιγράφων μαρτυρεῖ καὶ ὁ σοφὸς ἐκδότης· ἀλλ' οὗτος ἔπειτα καὶ τὸ σχόλιον ἐκδιδοὺς, καὶ τὰ κατὰ τοὺς Πτολεμαίους πολλάκις ἀναγνοὺς, ἀγνοῶ τίποτε παθὼν, ἐσημείωσε (σελ. 768) τὰ ἐφεξῆς « Πτολεμαῖον ἐννοεῖ τὸν Εὐεργέτην, καίτοι οὗτος δημοσίως ἔγημεν ἐρασθεὶς τὴν ἀδελφὴν, ὡς μαρτυρεῖ καὶ Ἡρωδιανὸς βιβλ. Α. ». Ἀλλ' οὔτε ὁ Εὐεργέτης ἔγημεν ἰδίαν ἀδελφὴν, καὶ ὁ Λουκιανὸς ἐνταῦθα καὶ οἱ λοιποὶ ἱστορικοὶ τὸν Φιλάδελφον ἐννοοῦσι· τοῦτον δὲ καὶ Ἡρωδιανὸς μαρτυρήτει μετ' ὀλίγον. Ὁ δὲ κλεινὸς Ῥεΐζιος ἔπαθε παράπτωμα μνημονικόν.

Λυσιμάχου τελευτὴν εἶχεν ἤδη ἐξ αὐτοῦ υἱὸν ἑκκαιδεκαέτη (ὄπισθ. σελ. 176)· αὐτὸς δὲ ὁ Φιλάδελφος ἦγεν ἔτος τότε 26. Καὶ ὅτε λοιπὸν ἡ Ἀρσινόη ἐκείνη ἐνυμφεύθη τὸν Λυσίμαχον, μόλις ὁ Φιλάδελφος ὑπῆρχε δεκαετὴς, ἢ μᾶλλον, ἐνναετὴς (εἰ μὴ καὶ νεώτερος).

Ζ) Τοῦτο μαρτυρεῖ καὶ Ἡρωδιανὸς, λέγων· ὅτι τὸν Αὐτοκράτορα Ἀντωνῖνον ἀποθνήσκοντα ἤδη, καὶ πρὸς τὴν νεότητα Κομμόδου τοῦ υἱοῦ καὶ διαδόχου ἀποσκοποῦντα, ἐλύπουν ἄλλων τε νέων βασιλευσάντων αἱ ἀταξίαι, « οἷον Διονυσίου τοῦ τυράννου Σικελίας, καὶ τῶν *Ἀλεξάνδρου διαδόχων* εἰς τοὺς ὑπηκόους ὕβρεις τε καὶ βίαι, δι' ὧν τὴν ἐκείνου ἀρχὴν κατήσχυναν. *Πτολεμαῖος μὲν καὶ μέχρις ἀδελφῆς ἰδίας ἔρωτος προχωρήσας*, παρά τε τοὺς Μακεδόνων καὶ Ἑλλήνων νόμους· Ἀντίγονος δὲ, Διόνυσον μιμούμενος » κτλ. (Ἡρωδιαν. Α. κεφ. γ.). Κατανεύει δὲ καὶ ὁ σοφὸς Ὄδιος (*δῶρον ἄδωρον*, ὡς λέγει κατὰ λέξιν, ταύτην τὴν κατάνευσιν ὑποχωρῶν, σελ. 25), καὶ ὁμολογεῖ, ὅτι νέον ἔτι τὸν Φιλάδελφον τῇ ἀδελφῇ συνοικοῦντα ὑπέλαβεν ὁ Ἡρωδιανὸς, ἀλλὰ τὴν τούτου μαρτυρίαν ὡς ἄκυρον παραγράφει· διότι (λέγει) « προδίδωσιν αὐτὴ ἐξ ἑαυτῆς παχεῖαν περὶ τὰ Πτολεμαϊκὰ *καὶ λίαν ἐπαισχυντὴν ἀμάθειαν* τούτου τοῦ ἱστορικοῦ· ὅστις τὸν Πτολεμαῖον τοῦτον νομίζει οὐχὶ τὸν Φιλάδελφον, ἀλλὰ τὸν τούτου πατέρα τὸν Λαγίδην! καὶ ἡ δεῖξις (λέγει) προφανής· α) Διότι τὰ ὀνόματα *Πτολεμαῖον καὶ Ἀντίγονον*, ἐκφέρει χωρὶς ἐπωνυμιῶν (ὡς ἐκφέρονται δηλονότι οἱ πρῶτοι ἐκεῖνοι καὶ ἄμεσοι τοῦ Ἀλεξάνδρου διάδοχοι, οἵτινες ὅμως οὐ παρέλαβον νέοι τὰς ἀρχάς). β) Διότι τούτους ὀνομάζει καὶ *διαδόχους*, ὡς προσαγορεύουσιν οἱ ἔνδοξοι συγγραφεῖς τοὺς ἀμέσως διαδεξαμένους τὸν Ἀλέξανδρον. Οὕτω Νύμφις ὁ Ἡρακλεώτης συνέγραψε, *περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων* » (παρὰ Σουΐδᾳ). — Ἀλλ' ἀδίκως παρωξύνθη τοσοῦτον ἡ χαρίεσσα Ὀδίου μοῦσα κατὰ τοῦ γέροντος Ἡρωδιανοῦ. Παρομοίαν γὰρ καὶ τὴν αὐτὴν *ἐπαισχυντὴν ἀμάθειαν* ἔπασχε κᾀκεῖνος ὁ μαμμάκουθος Λουκιανός! ὅστις (ὡς ἀνωτέρω προείδομεν) ἁπλῶς καὶ χωρὶς ἐπωνυμίας *Πτολεμαῖον* μόνον ὠνόμασε

τὸν Φιλάδελφον (α)· ἀλλ᾽ ἐπὶ τὸ προκείμενον.

Η) Ὁ Σωτάδης (παρ᾽ Ἀθηναίῳ καὶ τῷ Πλουτάρχῳ) λοιδορῶν τὸν

(α) Καὶ μήπως ὁ Λουκιανὸς μόνον; τί δ᾽ οὐχὶ καὶ Παυσανίας; (Α. ιζ. §. 2), καὶ Πολύβιος (Β, 71); καὶ ἵνα παραλίπωμεν ἄλλους (ἐν οἷς καὶ τὸν Ἀριστέα, τὸν Ἰουστῖνον, τὸν Εὐσέβιον, τὸν Χρυσόστομον, κτλ.), αὐτὸς, τέλος, ὁ Θεόκριτος Πτολεμαῖον ἁπλῶς πολλάκις ὠνόμασε τὸν Φιλάδελφον (Εἰδ. ιζ. καὶ Εἰδ. ιδ. 59)· ἐνίοτε δὲ καὶ τὸν Λαγίδην (Εἰδ. ιζ,56: ιε, 46). Καὶ ἄλλοι δὲ τῶν ἀρχαίων συγγραφέων μόνον κυριωνυμικῶς διαφόρους ἐκφέρουσι Πτολεμαίους. Οὕτως ὁ Πλούταρχος οὐ μόνον τὸν Α, Πτολεμαῖον (περὶ φυγ.), ἀλλὰ καὶ τὸν Β, (Ἀράτ §. ιϐ καὶ ιε), καὶ τὸν Αὐλητὴν (βίῳ Κάτων. §. 35), καὶ τὸν Εὐεργέτην (Κλεομ. §. 22), καὶ τὸν Φιλοπάτορα (αὐτ. §. 33). Καὶ Διόδωρος, τὸν Φιλομήτορα, καὶ τὸν Ἐπιφανῆ, καὶ τὸν Φύσκωνα, καὶ ἄλλους (Διοδώρ. τόμ. Β. σελ. 495, 562, 573, 579, 583, 588. Wess. κτλ.). Καὶ Πολύβιος πάλιν, τὸν Φιλοπάτορα, καὶ τὸν Φιλάδελφον, καὶ τὸν Εὐεργέτην (Ε, 31, 34: καὶ τόμ. 3. σελ 52. Vindobon.). Καὶ ἡ Α. Μακκαϐ. τὸν Φιλομήτορα. (1,51). Καὶ Αἰλιανὸς τὸν τοῦ Λάγου (Ποικ. ἱστ. α, 30. γ, 17: ιβ, 16), καὶ τὸν Εὐεργέτην (ιδ. 13). Καὶ ἄλλους ὁ Πολύαινος, κτλ. Οὐ μόνον δὲ τοὺς Πτολεμαίους, ἀλλὰ καὶ τοὺς ἄλλους ὁμωνύμους τῶν Ἀλεξάνδρου διαδόχων (οἷον τοὺς Σελεύκους, καὶ Ἀντιόχους, καὶ Ἀντιγόνους, κτλ.) ἐκ μόνης κυριωνυμίας οἱ ἀρχαῖοι πολλάκις ἀποκαλοῦσι. Καὶ εἰς αὐτὰ δὲ τῶν πλείστων Πτολεμαίων τὰ νομίσματα, οἷον τοῦ Σωτῆρος, τοῦ Φιλαδέλφου, τοῦ Εὐεργέτου κτλ., μίαν (ὡς ἐπὶ τὸ πλεῖστον) βλέπομεν ἐπιγραφὴν ΠΤΟΛΕΜΑΙΟΥ ΒΑΣΙΛΕΩΣ (Βλ. Viscont. Iconogr. Grecq. planch. 52—54). Πολλάκις δὲ πάλιν διακρίνουσι τοὺς Πτολεμαίους οἱ συγγραφεῖς ἢ δι᾽ ἀριθμητικῶν ἐπιθέτων, οἷον Πτολεμαῖος ὁ πρῶτος, ὁ δεύτερος, κτλ., ἢ προστιθέντες τὴν ἑκάστου προσωνυμίαν, οἷον, Πτολεμαῖος ὁ Λάγου (ἢ ὁ Σωτὴρ), ὁ Φιλάδελφος, ὁ Εὐεργέτης, κτλ. ὡς ἄλλοι τε καὶ Στράβων μάλιστα ὁ τῆς ἀκριβείας ἐραστὴς (ιζ, 795, 801 κτλ. πρβλ. Παυσαν. Α, η. καὶ Ἀθήν. πολλαχοῦ)· ἐνίοτε δὲ καὶ ἀπὸ μόνης τῆς ἐπωνυμίας (χωρὶς τοῦ κυρίου ὀνόματος)· οἷον ὁ Φιλάδελφος, ὁ Εὐεργέτης κτλ. (Στράϐ. ιζ, 789, 815, Α, 98, 99, 103, κτλ. πρβλ. Παυσ. Α, η). Μετὰ δὲ τῶν ἐπιθέτων ἀναγινώσκονται καὶ ἐν τοῖς νομίσμασιν ἐνίοτε ὡς ἐπὶ τοῦ Φιλοπάτορος καὶ τοῦ Φιλομήτορος (Viscont. l. c.). Καὶ ταῦτα μὲν πέραν ἴσως τοῦ μετρίου περὶ τῆς ὑπὸ τοῦ Ἡρωδιανοῦ προσωνυμίας τοῦ Πτολεμαίου.—Διαδόχους δὲ πάλιν ἔλεγον οὐ μόνον τοὺς Ἀλεξάνδρου στρατηγοὺς, τοὺς ἐξαιρέτως διαδόχους ὀνομασθέντας καὶ διαδεξαμένους (Πολύϐ. Θ, 28, πρϐ. Διόδ. ιη, 621: Διον. Ἁλικ. τ. α. σελ. 17 ἐκδ. R.), ἀλλὰ (κατὰ τὴν συνηθεστέραν τῆς φωνῆς ἐκδοχὴν) καὶ πάντας τοὺς ἐφεξῆς διαδεξαμένους τὴν Ἀλεξάνδρου πολυμέριστον βασιλείαν· καὶ ἀρκείτω ἀντὶ πάντων εἷς καὶ μόνος μάρτυς ὀνομασθεὶς, ὁ Ἀλεξανδρινὸς καὶ Πλατωνίζων Φίλων, λέγων· «Ἡ τῶν Πτολεμαίων οἰκία, καὶ ἡ καθ᾽ ἕκαστον τῶν διαδόχων ἐπιφάνεια» (Φίλ. π. Ἰωσ. τόμ. 2. σελ. 60 Mang. πρβλ. καὶ Iustin. L. XVII. κτλ.)· πρόσθες καὶ τὸν Ἄνδρωνα, ὅστις ἐν τοῖς Χρονικοῖς «Ἀλεξάνδρου διαδόχους» εἶπεν ἅπαντας τοὺς μέχρι Πτολεμαίου τοῦ Ζ (παρ᾽ Ἀθην. Δ. 184). Ὥστε δικαίως καὶ ὁ Ἡρωδιανὸς ὠνόμασε διαδόχους τοὺς τῶν πρώτων καὶ κυρίως

Φιλάδελφον παῤῥησίᾳ κατὰ πρόσωπον, «ὅτε τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει», ὡς ἀνοσίως καὶ ἀθέσμως αὐτῇ συνοικοῦντα, ἐλοιδόρει τοῦτον καὶ πρὸς Λυσίμαχον. Ἐκ δὲ τούτου καταφαίνονται δύω ἀλήθειαι ἤδη ἀναντίῤῥητοι. α) Ὅτι τότε λοιπὸν ἔζη ὁ Λυσίμαχος, καὶ εἶχε σύζυγον τὴν ἐξ Εὐρυδίκης Ἀρσινόην, ἣν ἔγημεν, ἔτι παιδὸς ὄντος τοῦ Φιλαδέλφου (α). Ἄλλην ἄρα ἀδελφὴν Ἀρσινόην ἔγημεν ὁ Φιλάδελφος, ὁμομήτριον δηλαδὴ, τὴν ἐκ Βερενίκης. Οὐδ' ὑπῆρχε δυνατὸν ἵνα τὴν αὐτὴν (τὴν ἐξ Εὐρυδίκης) ἔχωσιν ἀμφότεροι οἱ βασιλεῖς, ὁ μὲν κατὰ τὴν Θρᾴκην, ὁ δὲ κατ' Ἀλεξάνδρειαν βασιλεύων. β) Ὅτι ὁ Φιλάδελφος ἐγεγαμήκει γάμον ἀνόσιον (κατὰ τοὺς Ἑλλήνων νόμους) συνοικήσας μετ' ἀδελφῆς ὁμοπατρίου καὶ ὁμογά-

---

διαδόχων υἱοὺς, τοὺς καὶ Ἐπιγόνους εἰδικώτερον λεγομένους (ἐν οἷς ἦσαν Πτολεμαῖος ὁ τοῦ Α, Πτολεμαίου, καὶ Ἀντίγονος ὁ τοῦ Α, Σελεύκου). Ὁ δὲ Ὅδιος καὶ αὐτὸ τὸ Ἐπιγόνους (ὅπερ ἐμνημόνευσεν ἐκ τοῦ Νύμφιδος) παρηρμήνευσεν (ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ), καθολικώτερον ἐπεκτείνας εἰς πάντας ἐφεξῆς τοὺς μεταγενεστέρους ἀπογόνους τῶν πρώτων διαδόχων (de successoribus eorumque posteris). Ἀλλ' ἐπίγονοι κυρίως ὠνομάζοντο οἱ τῶν πρώτων διαδόχων υἱοὶ (ὡς καὶ οἱ υἱοὶ τῶν ἑπτὰ ἐπὶ Θήβας στρατευσαμένων καὶ ἀπολομένων [Ἀπολλόδ. Γ. 7. Στράβ. ζ. 501. Διόδ. δ, 310]· τούτων δὲ τῶν ἐπιγόνων καὶ Αἰσχύλος ἔγραψε τραγῳδίαν, ὡς καὶ τὴν σῳζομένην τῶν ἑπτὰ ἐπὶ Θήβας. Σχ. Πινδ. Ἰσθμ. ϛ.). Μαρτυρεῖ δὲ καὶ αὐτὸ τὸ παρὰ Σουΐδᾳ χωρίον (ὅπερ ἀντέγραψεν ἐξ ἡμισείας ὁ Ὅδιος) «Νύμφις Ξεναγόρου Ἡρακλεώτης συνέγραψε περὶ Ἀλεξάνδρου καὶ τῶν Διαδόχων καὶ Ἐπιγόνων Βιβλ. κδ. — Ἔχει δὲ καὶ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ μετὰ τοὺς Ἐπιγόνους, καὶ μέχρι τοῦ γ. Πτολεμαίου» (Σουΐδ. λ. Νύμφις). Γράψας οὖν ὁ Νύμφις τὰ μετὰ τοὺς Ἐπιγόνους (ἐν οἷς καὶ Πτολεμαῖος ὁ γ), Ἐπιγόνους ἐνόει μόνους τοὺς υἱοὺς τῶν πρώτων καὶ κυρίως διαδόχων (οἷον, Πτολεμ. τὸν Β. κτλ.). Καὶ Ἀππιανός· «πολλὰ τῶν ἄλλων σατραπῶν (τῶν ἀμέσως διαδόχων τοῦ Ἀλεξάνδρου) εἰς τοὺς Ἐπιγόνους αὐτῶν συνετρίφθη» κτλ. Ἀππιαν. Ῥωμαϊκ. ἱστορ. προοίμ. §. 10 σελ. 14. Schweigh.

(α) Ταύτην τῆς Λυσιμάχου σύζυγον Ἀρσινόην, εἷς τις τῶν αὐτοῦ ὑπάρχων, τ' ὄνομα Τελεσφόρος, ἔσκωψεν ἐν συμποσίῳ, ὡς ἐμετικὴν οὖσαν, εἰπὼν, «Κακῶν κατάρχεις τήνδ' ἐμοῦσαν εἰσάγων» (τὸ δὲ σκῶμμα κατὰ παρήχησιν· ὡς ἂν εἶπερ ἔλεγε «τήνδε μοῦσαν»). Διὸ καὶ ἐτιμωρήθη ὑπὸ Λυσιμάχου ὁ Τελεσφόρος εἰς γαλεάγραν βληθεὶς καὶ περιφερόμενος, ὡς θηρίον, καὶ τρεφόμενος καὶ κολαζόμενος, ἕως ἀπέθανεν (Ἀθήν. ιδ. 616). Τοιαῦτά τινα καὶ Σωτάδης ἴσως ἔλεγε κακόμουσα σκώμματα πρὸς Πτολεμαῖον κατὰ Λυσιμάχου καὶ τῆς ἐκείνου γυναικὸς, ὡς πάλιν πρὸς Λυσίμαχον κατὰ Πτολεμαίου καὶ τῆς τούτου ἀθεμιτογαμίας.

στορος. Οἱ δὲ νόμοι τῶν Ἑλλήνων καὶ Μακεδόνων τοιοῦτον αὐτάδελφον γάμον οὐδέποτε συνεχώρουν· καὶ τοῦτο νοῶν ὁ Σωτάδης ἔσκωπτε τὸ « *εἰς οὐχ ὁσίην τρυμαλιήν* »· (ἄλλως δὲ, πῶς ἂν ἠδύνατο λέγειν *ἀνόσιον* τὴν καθ' Ἕλληνας νόμιμον σύζυγον;) (α). Ἄλλη τοίνυν ὑπῆρχεν ἡ τῷ Φιλαδέλφῳ συνοικήσασα, διάφορος τῆς μόνον ἐκ πατρὸς αὐτοῦ ἀδελφῆς, ἣν ἔγημεν ὁ Λυσίμαχος.

Θ) Οὐδεὶς τῶν ἀρχαίων (ὅσον ἡμεῖς οἴδαμεν), ὁπόσοι τὰ κατὰ τὸν Φιλάδελφον ἐμνημόνευσαν, οὐδεὶς διέλαβε περὶ τῆς ἀδελφῆς αὐτοῦ καὶ γυναικὸς Ἀρσινόης, ὡς ἂν οὔσης αὐτῆς ἐκείνης, ἥτις καὶ τῷ Λυσιμάχῳ συνῴκησε καὶ τῷ Κεραυνῷ· πάντες δὲ ὅσοι τι περὶ τούτου λέγουσι περιστατικώτερον, διακεκριμένας ἐκφέρουσιν ἑκατέρας τὰς Ἀρσινόας, οὐδὲ ταυτίζουσιν αὐτὰς οὐδαμοῦ (καθὼς ἴδομεν ἀνωτέρω τὸν Μέμνονα καὶ Παυσανίαν καὶ Πλούταρχον καὶ Ἀθήναιον). Τούτοις, εἰ δοκεῖ, προστεθείσθω καὶ Στράβων, τὴν μὲν λέγων « *Ἀρσινόην Πτολεμαίου τοῦ δευτέρου γυναῖκα ἅμα καὶ ἀδελφὴν* (Ι. 460), τὴν δ' ἄλλην ἁπλῶς, « *Ἀρσινόην γυναῖκα το Λυσιμάχου* » (ΙΓ. 623).

Ι) Καὶ αὐτὴ ἡ ὁμωνυμία (ἥτις ἀπέβη παρὰ τοῖς πλείστοις αἰτία συγχύσεως τῶν δύω μάλιστα Ἀρσινοῶν), μαρτυρεῖ καὶ αὕτη δύω

(α) « Ὁ μὲν οὖν Ἀθηναῖος Σόλων, ὁμοπατρίους ἐφιεὶς ἄγεσθαι, τὰς ὁμομητρίους ἐκώλυσεν. Ὁ δὲ Λακεδαιμονίων νομοθέτης ἔμπαλιν, τὸν ἐπὶ ταῖς ὁμογαστρίοις γάμον ἐπιτρέψας, τὸν πρὸς τὰς ὁμοπατρίους ἀπεῖπεν. Ὁ δὲ τῶν Αἰγυπτίων χλευάζων τὴν ἑκατέρων εὐλάβειαν, ὡς ἡμίεργα διαταττομένων,—παρέσχεν ἄδειαν ἁπάσας ἀδελφὰς ἄγεσθαι, τάς τε ἰδίας τοῦ ἑτέρου τῶν γονέων — καὶ τὰς ἐξ ἀμφοῖν » κτλ. (Φίλ. π. τ. ἐν εἴδει Νόμων σελ. 303 τόμ. β, Mang. πρβ. Διοδ. Α, 16). Καὶ Πέρσαις τοιοῦτος ἀθέσμων γάμων ἐτέθη νόμος ὑπὸ τοῦ ὠμοῦ Καμβύσου, τοῦ πρώτου γήμαντος ἰδίαν ἀμφοτέρωθεν ἀδελφήν· πρότερον δὲ οὐδαμῶς εἰώθεισαν οἱ Πέρσαι ἀδελφαῖς συνοικεῖν (Ἡρόδοτ. Γ. 31. πρβλ. Πλάτων. περὶ Νομ. ια, 914. Λαέρτ. Ζ. ζ, 12. Κλήμ. Στρωμ. β, 308. Παυσαν. α. ζ. Ἀθήν. ιγ. κτλ.). Τοὺς Πέρσας ἐμιμήθη καὶ Μαύσωλος σὺν Ἀρτεμισίᾳ (Ἀῤῥιαν.)· καὶ Διονύσιος ὁ νεώτερος, Σικελίας λάγνος τύραννος, ἔγημε τὴν ἀδελφὴν Σωφροσύνην (Cornel. Nep. Dione, c. 1). Παρὰ δὲ τοῖς Συρίας βασιλεῦσιν Ἀντίοχος ὁ Σωτὴρ ἱστορεῖται τὴν αὐταδέλφην ἐπιγήμας κτλ. Οἱ δὲ Φοίνικες (παρ' ὧν ἴσως ἔμαθον καὶ οἱ Ἀθηναῖοι), μόνας ἤγοντο τὰς ὁμοπατρίους (Ἀχιλλ. Τάτ. α). Οὕτω καὶ οἱ Χαλδαῖοι (βλ. Γεν. κ. 12 : πρβ. Schulz Schol. in h. l.). βλ. καὶ Demagistr. l. c. p. 421. καὶ Irmisch. not. εἰς Ἡρωδιαν. Α. κεφ. 3. τόμ. α. σελ. 70.

κόρας τοῦ Λαγίδου διαφόρους Ἀρσινόας. Ἡ Πτολεμαίου τοῦ Λάγου μήτηρ ἐκαλεῖτο Ἀρσινόη. Κατὰ δὲ τὴν Ἑλλήνων μάλιστα συνήθειαν (ἥτις καὶ ἀπὸ πατέρων καὶ ἀδελφῶν καὶ μάλιστ' ἀπὸ πάππων καὶ μαμμῶν ὀνομάζει τοὺς ἐγγόνους), ὁ Λαγίδης Πτολεμαῖος δύω τῶν ἐξ Εὐρυδίκης αὐτοῦ τέκνων ὠνόμασε, τὸν μὲν (ἐξ ἑαυτοῦ) *Πτολεμαῖον* (τὸν Κεραυνὸν), τὴν δὲ (ἐκ τῆς μητρὸς αὐτοῦ) *Ἀρσινόην* (τὴν συνοικήσασαν Λυσιμάχῳ). Παρομοίως ὠνόμασε καὶ ἄλλα δύω τῶν ἐκ τῆς Βερενίκης, τὸν μὲν *Πτολεμαῖον* (τὸν Φιλάδελφον), τὴν δὲ *Ἀρσινόην* (τὴν τούτῳ συνοικήσασαν αὐταδέλφην).

ΙΑ) Οὐδαμόθεν ἀπέδειξαν οἱ περὶ τὸν Ὅδιον, ὅτι ἡ τοῦ Λυσιμάχου καὶ τοῦ Κεραυνοῦ γυνὴ Ἀρσινόη κατέφυγε, τέλος, εἰς Αἴγυπτον πρὸς τὸν Φιλάδελφον. Πᾶν δὲ τοὐναντίον μανθάνομεν, παρὰ μὲν τοῦ Μέμνονος, ὅτι ταύτην νυμφευθεὶς ὁ Κεραυνὸς «*τῆς βασιλείας ἐξεκήρυξεν*» (ἀποκτείνας καὶ τοὺς ἐκ Λυσιμάχου δύω παῖδας αὐτῆς), παρὰ δὲ τοῦ Ἰουστίνου (κδ, 3. σελ. 508, 509) καὶ πολὺ σαφέστερον· «Ὅτι καὶ τῆς πόλεως Κασσανδρείας (ὡς καὶ νῦν καλεῖται καθ' ἡμᾶς ἡ παρὰ τοῖς ἀρχαιοτέροις Ποτίδαια) ἀποσπάσας αὐτὴν ὁ Κεραυνὸς, ἄπλεκτον τὴν κόμην, καὶ τὸν πέπλον διεῤῥηγμένην, ἀπέστειλεν ἐξόριστον εἰς Σαμοθράκην μετὰ δύω θεραπαινιδῶν, καὶ τοῦτο μάλιστ' ἀθλίαν καὶ δυσπαθοῦσαν, ὅτι καὶ συναποθανεῖν τοῖς τέκνοις οὐκ ἠδυνήθη». Εἰ δὲ, τέλος, ἐξῆλθε τῆς Σαμοθράκης (ἐπιζήσασα μετὰ τὴν τελευτὴν τοῦ Κεραυνοῦ), καὶ εἴπερ, ἐξελθοῦσα, κατέφυγεν εἰς Αἴγυπτον πρὸς τὸν Φιλάδελφον, ταῦτα Ὅδιος ἐξ οὐδενὸς ἀπέδειξε τῶν ἱστορικῶν. Προσέθηκε δὲ μόνον ἐκ Πολυαίνου στρατήγημά τι τῆς Ἀρσινόης, ὅπερ οὐδεμίαν ἔχει σχέσιν πρὸς τὴν ὑπόθεσιν (α)· τοῦτο γὰρ ἐστρατηγήθη παρευ-

(α) «Ἀρσινόη, Λυσιμάχου τοῦ ἀνδρὸς τελευτήσαντος (ἐν τῇ πρὸς Σέλευκον μάχῃ), μεγάλης ταραχῆς οὔσης ἐν Ἐφέσῳ, καὶ τῶν Σελευκιζόντων τὰ τείχη καταβαλλόντων, καὶ τὰς πύλας ἀνοιγόντων, εἰς μὲν τὸ φορεῖον τὸ βασιλικὸν κατέκλινε θεράπαιναν, στολὴν περιθεῖσα βασιλικήν· — αὐτὴ δὲ περιβαλομένη ῥάκια, καὶ προσωπεῖον ἐῤῥυπωμένον, καθ' ἑτέραν θύραν ἐξῆλθε μόνη, καὶ δραμοῦσα ἐπὶ τὰς ναῦς, ἀπέπλευσε.» κτλ. Πολύαιν. η, 57.

θὺς μετὰ τὸν Λυσιμάχου θάνατον, ζῶντος ἔτι Σελεύκου, παρ' ᾧ διέτριβεν ὁ Κεραυνός· τὸν δὲ Σέλευκον οὗτος ἔπειτα (μετὰ μῆνας ἑπτὰ ἀπὸ τῆς Λυσιμάχου τελευτῆς. Ἰουστίν. βιβλ. ιζ) δολοφονήσας, ἅμα τε κατέστη βασιλεὺς Μακεδονίας, καὶ τὴν Ἀρσινόην γήμας κατέστρεψε (α). Πρῶτον οὖν ὤφειλον οἱ ἄνδρες ἀποδεῖξαι ταύτην τὴν Ἀρσινόην σῴαν ἐκ τῆς ἐξορίας προσφυγοῦσαν πρὸς τὸν Φιλάδελφον, καὶ τότε μετ' αὐτοῦ καὶ γραῖαν οὖσαν ἤδη, καὶ δυσκλεᾶ, καὶ ἐμετικὴν, καὶ δίγαμον, νυμφεύειν τὸ τρίτον αὐτὴν πειρᾶσθαι, καὶ βασίλισσαν τῆς Αἰγύπτου ἀναγορεύειν (β). Τοιοῦτο δέ τι οὐδ' αὐτὸς ἐδήλωσεν ὁ τοῦ Θεοκρίτου Σχολιαστὴς (περὶ οὗ λέγομεν εὐθύς). Λέγει δὲ μόνον, ὅτι ὁ Φιλάδελφος *πρῶτον* ἔγημεν Ἀρσινόην τὴν Λυσάνδρου θυγατέρα, καὶ *ἔπειτα* (ἁπλῶς καὶ ἀδιορίστως) «*τὴν οἰκείαν ἀδελφὴν Ἀρσινόην*».

ΙΒ) Ὁ Φιλάδελφος ἔγημε πάντως καὶ βεβαίως τὴν Λυσιμαχίδα Ἀρσινόην. Ταύτην δὲ ἐτέκνωσεν ὁ Λυσίμαχος ἐκ τῆς Πτολεμαίου καὶ Εὐρυδίκης Ἀρσινόης (ἣν ἐπέγημε διαζεύξας τὴν πρώτην γυναῖκα Ἄμαστριν). Πρόδηλον δὲ τὸ πρᾶγμα· διότι, κἂν μὴ ῥητῶς ὀνομάζωσιν οἱ ἱστορικοὶ τὴν μητέρα τῆς Λυσιμαχίδος Ἀρσινόης (ἣν ἐπέγημεν ὁ Φιλάδελφος), ἀλλ' ὅμως αὐτὸ τὸ ὄνομα, Ἀρσινόη, λαμ-

(α) Justin. XVII. 2. XXIV. 3: Μέμνων ἔνθ. ἀνωτ.: Παυσαν. Α. ιϛ. Ι. ιθ. Στραβ. ιγ. 623: Ἀππιαν. Συριακ. (σελ. 631 Τομ. α, ἐκδ. Schweigh): Πορφύρ. παρ' Εὐσεβ. Χρονικ. Α. κεφ. λη. §. ϛ. ἐκδ. Mediol.

(β) Ὁ σοφὸς Βισκόντης λέγει «La morte de Ptolemée Ceraunus lui rendit la libertè, et l'amour de Philadelphe son frere mit fin à tous ses malheurs. Il l'appele à Alexandrie, et, en l'epousant, il lui fit occuper sur son trône la place de la fille de Lysimaque» (Viscont. Icon. Gr. vol. 3. p. 214). Πόθεν ταῦτα μαθών;— Τοιαῦτα φρονεῖ καὶ ὁ περικλεὴς Champollion (Anal. des Lagid. t. 2. p. 18) μάρτυρα καλῶν τὸν Πλούταρχον (ἐν τῷ πρὸς Ἀπολλών. παραμυθ. καὶ ἐν τῷ π. παίδ. ἀγωγ.). Ἀλλ' ἐν τούτοις Ἀρσινόη μὲν βασίλισσα φέρεται, καὶ Ἀρσινόη ἀδελφὴ τοῦ Φιλαδέλφου (ἐμνημονεύσαμεν δὲ καὶ ἡμεῖς ἀλλαχοῦ τὰ χωρία)· ἀλλ' ὅτι αὕτη ἦν ἡ Λυσιμάχου καὶ τοῦ Κεραυνοῦ γυνὴ, καὶ ὅτι ταύτην ὁ Φιλάδελφος μετεκαλέσατο ἐκ τῆς Σαμοθράκης (τῷ 278 π. Χ.) διὰ τοῦ Σωσθένους (βασιλεύοντος τότε Μακεδονίας), οὐδὲν τούτων οὐδόλως εὑρήσεις οὔτε παρὰ Πλουτάρχῳ, οὔτε παρὰ οὐδενὶ τῶν Σωσθένους μνημονευόντων ἱστορικῶν.

πρῶς μαρτυρεῖ τυγχάνον τῆς οἰκίας τοῦ Λαγίδου Πτολεμαίου (βλ. ἀνωτέρω σελ. 154). Θέλουσι λοιπὸν οἱ κριτικοὶ, ὅτι πρῶτον ὁ Φιλάδελφος ἐνυμφεύθη τὴν θυγατέρα, καὶ μετέπειτα τὴν ἐκείνης μητέρα, ἑαυτοῦ δὲ πενθερὰν, τὴν Εὐρυδικείαν Ἀρσινόην (ἥτις ἦν ἡ αὐτὴ καὶ ὁμοπάτριος αὐτοῦ ἀδελφή)! Ἀλλ' εἰς τοιαύτην διπλῆν ἀθεμιτογαμίαν (νομίζομεν) οὐκ ἂν ἐξέπεσε, καίτοι κατωφερὴς, ὁ Φιλάδελφος, οὔτε κατὰ τοὺς Ἑλλήνων, οὔτε κατὰ τοὺς Αἰγυπτίων νόμους· εἰ δὲ μὴ, καὶ *Φιλοπένθερος* ἐξαίφνης ἂν ἀπέβαινεν ἡμῖν ὁ *Φιλάδελφος*! Πόσον δὲ καὶ ἄλλως ἄτοπον φαίνεται καὶ γελοῖον, εἴ τις πιστεύει, ὅτι ὁ Φιλάδελφος ἔγημε τὴν μητέρα (περιβόητον ἤδη διὰ τὴν κατὰ Ἀγαθοκλέους, τοῦ ἐπ' ἀδελφῇ γαμβροῦ αὐτῆς, ἐπιβουλήν· σελ. 169), ἀφ' οὗ ἐξώρισε τὴν θυγατέρα (τὴν Λυσιμάχειον Ἀρσινόην) εἰς Κοπτὸν τῆς Θηβαΐδος, ἐπιβουλεύουσαν αὐτὴν εὑρών (βλ. ἐφεξῆς ἄρθρ. ιδ).

ΙΓ) Τελευταῖον. Ὁ τῷ Φιλαδέλφῳ σύγχρονος, καὶ περὶ τὰς ἀρχὰς τῆς αὐτοῦ βασιλείας ἐν Ἀλεξανδρείᾳ διατρίψας, Θεόκριτος ὁ ποιητὴς (α), οὐδεμίαν ἀφῆκεν ἀμφιβολίαν, ὅτι καὶ νέαν ἤδη τὴν αὐταδέλ-

(α) Κατὰ τοὺς περὶ τὸν σοφὸν Βυστεμάννον, ὁ Θεόκριτος ἦλθεν εἰς Ἀλεξάνδρειαν οὐ πολὺ μετὰ τὸ 284 π. Χ. (ἴσ. τῷ 282, Ὀλυμπ. ρκδ, τὸ γ,)· ἀνεχώρησε δ' ἐκεῖθεν εἰς Συρακούσας, τῷ 275: π. Χ. (ὅτε καὶ Ἱέρων ἀνηγορεύθη τὸ πρῶτον ἐν Σικελίᾳ στρατηγός). Ἐκ τῶν τριῶν Εἰδυλλίων, λέγω δὲ τοῦ ΙΔ (ἐν ᾧ τὸν Φιλάδελφον ἐπαινεῖ περὶ τὸ τέλος), καὶ τοῦ ΙΕ (ἐν ᾧ τὴν ἀδελφὴν αὐτοῦ καὶ σύζυγον Ἀρσινόην), καὶ τοῦ ΙΖ (ὅπερ ἰδίως ἐγκώμιον εἰς Πτολεμαῖον ἐπιγέγραπται), τὸ μὲν πρῶτον πιθανῶς ἐποίησεν ἐν Ἀλεξανδρείᾳ, τὸ δὲ β, ὕστερον ἐν Σικελίᾳ διατρίβων (περὶ τὸ 273—270, π. χ.). τὸ δὲ, τέλος, ΙΖ, πολλῷ χρόνῳ πρότερον, ὡς ἦλθεν εἰς Ἀλεξάνδρειαν (Wuestemann Theocr. Reliquiae p. 260. πρβ. p. 109, 201, 215, 244). Καὶ πίπτει λοιπὸν ὁ χρόνος τῆς ποιήσεως του ΙΖ, Εἰδυλλίου καθ' ἣν διέτριψεν ἐν Ἀλεξανδρείᾳ ὁ Θεόκριτος εἴτ' ἐνναετίαν, εἴτε ἑπταετίαν (282—275), κἂν τὸ μέσον αὐτῆς ἔτος τεθῇ, κἂν καὶ τὸ τελευταῖον (276), ὅπερ ἦν τὸ 8, τῆς Βασιλείας τῶν Φιλαδέλφων (Πτολεμ. καὶ Ἀρσινόης), ἤδη καὶ τῆς Βερενίκης, τῆς μητρὸς αὐτοῖς ἀποθανούσης, οὐ πρὸ πολλοῦ τοῦ χρόνου· φαίνεται δὲ τοῦτο μάλιστα ἐκ τοῦ (στίχ. 121) « Τοκέων (ἀμφοτέρων) κονίῃ θερμὰ (τουτ. νεαρὰ) ποδῶν ἴχνη στειβόμενος ἐκμάσσεται (ὁ Πτολεμαῖος). » Τότε (καὶ ἴσως πρὸ τοῦ ΙΖ. Εἰδυλλ.) ἐποίησεν Θεόκριτος καὶ τὸ Βερενίκη ἐπιγεγραμμένον αὐτοῦ ποίημα, οὗτινος ὀλίγους στίχους (μόνον ἕξ). διέσωσε καὶ εἰς ἡμᾶς ὁ Ἀθήναιος (Ζ. 284), ἐξ αὐτοῦ δὲ καὶ Εὐστάθιος (εἰς Ἰλ. ε, σελ. 1067· ἐξέδωκε δὲ

φην ἔγημε, καὶ πρώτην, καὶ ζώντων ἔτι τῶν γεννητόρων. Παραλείπομεν ὅτι (Εἰδυλ. ιε) «*Ἑλένη εἰκυῖαν*» ἐπονομάζει ταύτην τὴν *Ἀρσινόην* (τοῦτο δ' οὐκ ἂν ἥρμοζεν εἰς ἔξωρον ἤδη γυναῖκα καὶ πλέον ἢ τεσσαρακοντοῦτιν, καὶ δὴ καὶ πολυπαθεστάτην, τὴν Λυσιμάχου σύζυγον καὶ τοῦ Κεραυνοῦ). Ἀλλ' ἐν τῷ ιζ, Εἰδυλλίῳ (ϛχ. 128—134) τρανῶς ὁ Θεόκριτος διαγράφει τὴν Ἀρσινόην, ὅτι «περιβάλλετ' ἀγοστῷ — νυμφίον ἐν μεγάροισι — *κασίγνητόν τε πόσιν τε*»· καὶ τὸν γάμον αὐτῶν παραβάλλει πρὸς τὸν αὐτάδελφον κἀκεῖνον τοῦ Διὸς καὶ τῆς Ἥρας (α). Καὶ τέλος μαρτυρεῖ λαμπρῶς ὁ

τούτους καὶ ὁ Wuestem. l. c. p. 400). Ἐποίησε δὲ τοῦτο εἰς τὴν ὑπὸ τοῦ Φιλαδέλφου ἀποθέωσιν τῆς ἀποθανούσης μητρὸς, ὡς φαίνεται ἐκ τοῦ 3. στίχ. ὅπου θεὸν αὐτὴν ὀνομάζει, τοῖς ἐπικαλουμένοις ἵλεων. Εἰ δὲ καὶ ἡ τοῦ Καλλιξένου πομπὴ ἐγένετο κατὰ τὴν ἐπὶ τοῦ Φιλαδέλφου μοναρχοῦντος πρώτην λαχοῦσαν, ἐννάτην δὲ, ἴσως, τὸν ἀριθμὸν πενταετηρίδα τῶν Λαγιδῶν (σελ. 166), ἤτοι τῷ 5, ἔτει τῆς αὐτοῦ βασιλείας, καὶ 279, μ. χ. (εἴγε ἐπὶ μὲν τοῦ Σωτῆρος, βασιλεύσαντος ἔτη 40, ἤχθησαν 8, πενταετηρίδες. Ὁ δὲ Φιλάδελφος, βασιλεύσας τῷ 284, πρώτην λοιπὸν ἀπήντησε πενταετηρίδα τῷ 279. μ. χ., τοῦ Σωτῆρος τελευτήσαντος τῷ 282)· κατ' ἐκείνην δὲ τὴν πομπὴν ἐπανηγύρισεν ὁ Φιλάδελφος καὶ τῶν γονέων τὴν ἀποθέωσιν (ὡς ὑπωπτεύσαμεν σελ. 166), φαίνεται λοιπὸν ὅτι καὶ ἡ Σώτειρα Βερενίκη ἐτελεύτησε μεταξὺ τοῦ 282 καὶ 279 π. χ. καὶ ἡ Θεοκρίτειος Β ε ρ ε ν ί κ η ἐξεδόθη οὐ πολὺ μετὰ τὴν παρὰ τῷ Καλλιξένῳ πομπήν. Περὶ τοῦ χρόνου τῆς τελευτῆς τῆς Βερενίκης εἴπομεν καὶ ὄπισθεν σελ. 166. βλ. καὶ ἐφεξῆς κεφ. ζ. § κγ.

(α) Εἰς ταύτης, ἴσως, τῆς Φιλαδέλφου Ἀρσινόης τὸν γάμον καὶ Καλλίμαχος ὁ ποιητὴς (νέος ἔτι τὴν ἡλικίαν) ἐποίησεν ἐ π ι θ α λ ά μ ι ο ν, οὗτινος ἕνα καὶ μόνον στίχον ἔσωσεν εἰς ἡμᾶς ὁ Σχολιαστὴς τοῦ Πινδάρου (εἰς Νεμ. β.), τὸν ἐφεξῆς.

« Ἀρσινόης, ὦ ξεῖνε, γάμον καταβάλλομ' ἀείδειν ».

(Καλλιμάχ. λείψαν. 195. τόμ. α. σελ. 514 Ernest). Καὶ Στράτων ὁ Λαμψακηνὸς, καὶ διδάσκαλος τοῦ Φιλαδέλφου, ἐπέστελλεν (ἐξ Ἀθηνῶν ἴσως) «Σ τ ρ ά τ ω ν Ἀ ρ σ ι ν ό ῃ ε ὖ π ρ ά τ τ ε ι ν» (Λαέρτ. Ε, γ, §. 4). Αὕτη δὲ ὑπῆρχεν αὐτὴ ἡ τοῦ Φιλαδέλφου αὐταδέλφη καὶ γυνὴ, ὡς ἔκριναν ὀρθῶς οἱ περὶ τὸν Μενάγιον (βλ. Aldobr. not. καὶ Menag. observ. in Laert. T. 2. p. 217.). Ὁ γὰρ Στράτων διεδέξατο τὸν Θεόφραστον ἐν Ἀθήναις Ὀλυμπ. ρκγ, (καὶ καθηγήσατο τῆς σχολῆς ἔτη 18). Συγχρόνως δὲ καὶ Φιλάδελφος ἐβασίλευσεν. Ὁ δὲ Στράτων διατρίψας ἐν τοῖς Βασιλείοις τοῦ Πτολεμαίου, πάντως ὑπῆρχε καὶ τῇ Βερενικείᾳ Ἀρσινόῃ γνωστὸς καὶ συνήθης. Καὶ πρὸς ταύτην λοιπὸν ἔγραφε καὶ κατ' ἄλλα μὲν ἴσως ἔτη, καὶ κατ' αὐτὰ δὲ μάλιστα τὰ πρῶτα τῆς ὀκτωδεκαετοῦς αὐτοῦ σχολαρχίας. Ὥστε καὶ ἐκ τούτου φαίνεται πρώτην γήμας ὁ Φιλάδελφος τὴν ἀδελφήν.

ποιητής, ὅτι ζῶν ἔτι ὁ πατὴρ παρεχώρησε τούτοις (ὡς « *Σαωτήρων ὑπάτῳ γένει* », κατὰ τὸν Καλλίμαχον) ἅπασαν τῆς Πτολεμαϊκῆς οἰκίας τὴν βασίλειον ἀρχὴν, «*ἐπιτρέψας οἶκον ἅπαντα*». Ἄξιον δὲ παραθέσθαι καὶ ὅλην τὴν σύμφρασιν τῶν θεοκριτείων ἐπῶν, ἐξ ἧς λαμβάνει μέγα φῶς ἡ τοῦ ζητήματος ἱστορία·

« Τῷ οὔπω τινὰ φαντὶ ἀδεῖν τόσον ἀνδρὶ γυναῖκα,
Ὅσσον περ Πτολεμαῖος ἐὰν ἐφίλασεν ἄκοιτιν·
Ἦ μὰν ἀντεφιλεῖτο πολὺ πλέον· ὧδέ κε παισὶ
Θαρσήσας σφετέροισιν ἐπιτρέποι ο ἶ κ ο ν ἅ π α ν τ α,
Ὁππότε κεν φιλέων βαῖνεν (ἄλλ. β α ί ν ο ι, ἤ, β α ί ν ῃ) λέχος ἐς φιλεοίσας·
Ἀστόργω δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰέν,
Ῥηΐδιοι δὲ γοναί, τέκνα δ' οὔ ποτ' ἐοικότα πατρί » (Εἰδ. ιζ. 38—44).

Ἐν τούτοις βλέπομεν, ὅτι πρῶτον διαγράφει τὴν πολλὴν τοῦ Λαγίδου πρὸς τὴν Βερενίκην στοργὴν, καὶ τὴν ταύτης ἔτι πλείονα πρὸς ἐκεῖνον, καὶ ἔπειτα ἐπιφέρει, ὅτι « Οὕτως οὖν (*ὧδέ κε*), καὶ διὰ τοῦτο *θαρσήσας* ὁ Λαγίδης, ἐπέτρεψε τὴν βασιλείαν τοῖς *ἐξ αὐτῆς αὐτοῦ παισὶ* (« παισὶ σφετέροισι »· ὡς μηδένα δηλονότι φόβον ἔχων ἐπιβουλῆς)· ἐπειδὴ (« *ὀππότε* ») εἶχεν ὁμόλεκτρον, *φιλῶν φιλοῦσαν*, τὴν Βερενίκην, τὴν μητέρα τούτων τῶν παίδων, *οἷς ἐπέτρεψε τὴν ἀρχήν* (α). Ἀ*στόργου* δὲ (λέγει) *γυναικὸς*

(α) Ὁ δὲ σοφὸς Βυστεμάννος (Wuestemann. Theocr. Reliquiae p. 265. σημ. εἰς εἰδ. ιζ. στιχ. 40) οὐδεμίαν εὑρίσκει τούτων τῶν ἐπῶν ἀναφορὰν πρὸς τὴν παρὰ τοῦ Λαγίδου εἰς τὸν υἱὸν, τὸν Φιλάδελφον, παραχώρησιν τῆς ἀρχῆς.—« Τὸ π α ι σ ὶ (λέγει), π λ η ν θ υ τ ι κ ῶ ς ἐκφερόμενον, οὐκ ἂν οὕτως ἐξηγηθείη (καὶ ὅμως καὶ αὐτὸς εἰς ςιχ. 42, ἐξέλαβε τὸ π α ι σ ὶ ν ἑνικῶς· βλ. ἐφεξῆς). Ἔπειτα (λέγει) ὁ ποιητὴς ἐνταῦθα διαλέγεται περὶ τῶν ο ἰ κ ι α κ ῶ ν τοῦ Λαγίδου πραγμάτων, καὶ τῆς πρὸς τὴν σύζυγον ςοργῆς, καὶ τῆς ἀφόβου πρὸς τὰ τέκνα πεποιθήσεως»—Ὅθεν και ἐξηγεῖ τὸ χωρίον οὕτως. « Ὁ Λαγίδης, ὁπότε περὶ τὸν ἔρωτα (τῆς συζύγου) σχολάζοι, πᾶσαν τοῦ οἴκου τὴν φροντίδα ἐπέτρεπεν ἀφόβως τοῖς παισὶ » (4, δὲ παῖδας ἔσχεν ἐκ Βερενίκης, τὸν Φιλάδελφον, τὸν Ἀργαῖον, τὴν Ἀρσινόην, τὴν Φιλωτέραν). Καὶ πάλιν (εἰς στίχ. 42) « παντὸς τοῦ οἴκου τὴν φροντίδα παρεδίδου τῷ υἱῷ (filio ἑνικῶς), ὁσάκις ἐπεθόρνυτο τῇ συζύγῳ» (quoties torum presserit cum conjunge !). 'Αλλ' οὕτως οἱ παῖδες τοῦ Λαγίδου φαίνονται, ὡς ἄν τινες ἰδιολόγοι (Λογοθέται τῶν οἰκιακῶν), ἢ καὶ οἰκονόμοι τῶν ἰδίων τοῦ Λαγίδου κτημάτων καθεστῶτες· καὶ τοῦτο δὲ π ρ ὸ ς ὥ ρ α ν (quoties torum. etc. πόσον δὲ καὶ τοῦτο ἄτοπον !)· τὴν δὲ φροντίδα τῆς βασιλείας τίνι τότε τάχα ἐπέτρεπεν ὁ Λαγίδης; 'Αλλ' οὐκ ἂν ἔσχε τοιαύτην γνώμην ὁ φιλόλογος οὗτος (νομίζομεν),

(ὑπαινιττόμενος δριμύτερον, ἴσως, τὴν Εὐρυδίκην) εἰς *ἀλλότριον ὁ νοῦς ἀποβλέπει* (καθὼς ἐκείνης· ἥτις καταλιποῦσα τὸν σύζυγον ἔφυγε πρὸς Σέλευκον, ἀφ' οὗ τῆς τοῦ θρόνου διαδοχῆς ἡ ψῆφος ἐπέῤῥεψεν εἰς τὸν Φιλάδελφον). Καὶ τὴν εὐτοκίαν αὐτῆς καὶ πολυτεκνίαν εὐφυέστατα διὰ τοῦ *ῥηΐδιοι γοναὶ* στιγματίζει (ἔσχε δ' ἐκ τοῦ Πτολεμαίου τέκνα πλείονα παρὰ τὴν Βερενίκην ἡ Εὐρυδίκη)· καὶ τὰ τέκνα δὲ ταύτης ὠνόμασεν *οὐχ ὅμοια τῷ πατρί*, (« οἷος ἦν *ἀνομοιότατος* ἐκεῖνος ὁ Κεραυνὸς ἐπονομασθεὶς, *διὰ σκαιότητα καὶ ἀπόνοιαν*, καὶ ὡς *πρόχειρος εἰς τὸ τολμῆσαι* ») (α). Καὶ ταῦτα μὲν ὁ Θεόκριτος.

ΙΔ) Ὁ δὲ τούτου Σχολιαστὴς (ἀνώνυμος τῶν κάτω χρόνων γραμματικὸς, ἐπὶ τοῦ ιϐ, ἴσως καὶ τοῦ ιγ, αἰῶνος γεγονὼς, ὡς συμπεραίνεται μάλιστα ἐκ τῆς χρήσεως λέξεών τινων μεταγενεστέρων), κατὰ μὲν τὸν 41, στίχον τοῦ ιζ, Εἰδυλλίου ἑρμηνεύων τὸ « *παισὶν ἐπιτρέψας οἶκον ἅπαντα* », ἐσημείωσεν ὀρθῶς, ὅτι « *ζῶν ἔτι ὁ Σωτὴρ ἐκοινοποίησε τῷ Φιλαδέλφῳ τὴν βασιλείαν* » — (καὶ μετ' ὀλίγα) « ὅτις (*ὁ Φιλάδελφος*) *εἶχε γυναῖκα τὴν Ἀρσινόην* » (αὐτὴν αὐτοῦ δηλονότι τὴν ἀδελφὴν ἐννοῶν, ὡς ἐξηγῶν τὸ *παισὶ* τοῦ ποιητοῦ). Ἀλλ' ἔπειτα καταντήσας ὁ Σχολιαστὴς εἰς τὸ τέλος τοῦ Εἰδυλλίου, ἐσημείωσε τὰ ἐφεξῆς· « Πτολεμαίῳ τῷ Φιλαδέλφῳ συνῴκει πρότερον Ἀρσινόη ἡ τοῦ Λυσιμάχου, ἀφ' ἧς καὶ τοὺς παῖδας ἐγέννησε, Πτολεμαῖον καὶ Λυσίμαχον καὶ Βερενίκην. Ἐπιϐουλεύουσαν δὲ ταύτην εὑρὼν, καὶ σὺν αὐτῇ Ἀμύνταν καὶ Χρύ-

---

εἴπερ ἐξελάμϐανε τὸ μὲν « ὁ π ό τ ε », ὡς τὸ ὅ τ ε (αἰτιολογικῶς = ἐπειδὴ· σύνηθες δὲ τοῖς Ἀττικοῖς μάλιστα)· τὸ δὲ β α ῖ ν ε λ έ χ ο ς ἀπολύτως = εἶχεν ὁμόλεκτρον, κατὰ τὸ, « γυναῖκα, ἥ κέν τοι ὁμὸν λέχος εἰσαναϐαίνοι ». Ἰλ. θ. 291 : = ἄλοχον, ἄκοιτιν, σύνευνον, κτλ.)· τὸ δὲ π α ι σ ὶ ν, ἐπὶ τοῦ Φιλαδέλφου καὶ τῆς Ἀρσινόης, οἷς ἐ π έ τ ρ ε ψ ε ν ο ἶ κ ο ν ἅ π α ν τ α, πᾶσαν τῶν Σωτήρων τὴν οἰκίαν τὴν βασιλεύουσαν· εἰς ταύτην ἐφήρμοσεν ὁ Θεόκριτος τὸ Ὁμηρικὸν ἐκεῖνο ἔπος « (Μέντορι Ὀδυσσεὺς) ἰὼν ἐν νηυσὶν, ἐ π έ τ ρ ε π ε ν ο ἶ κ ο ν ἅ π α ν τ α » κτλ. Ὀδ. Β. 226.

(α) Παυσαν. Α, ις. Βλ. καὶ Μέμν. (παρὰ Φωτίῳ)· παρῳδεῖ δὲ ἅμα καὶ τὸ τοῦ Ἡσιόδου ὁ Θεόκριτος « τίκτουσι δὲ καὶ γυναῖκες ἐοικότα τέκνα γονεῦσι » (Ἔργ.). Βλ. καὶ I. Casaubon. Lection. in Theocr. T. 2. p. 128. ἐκδ. Reiske.

σιππον τὸν Ῥόδιον ἰατρὸν, τούτους μὲν ἀνεῖλεν· αὐτὴν δ' ἐξέπεμψεν εἰς Κοπτὸν, *ἢ εἰς* τόπον τῆς Θηβαΐδος, καὶ τὴν οἰκείαν ἀδελφὴν Ἀρσινόην ἔγημε· καὶ εἰσεποιήσατο αὐτῇ τοὺς ἐκ τῆς προτέρας Ἀρσινόης γεννηθέντας παῖδας· ἡ γὰρ ἀδελφὴ καὶ γυνὴ αὐτοῦ ἄτεκνος ἀπέθανε » (α). Ταῦτα, τέλος, ἐσημείωσεν ὁ Σχολιαστὴς, ἐπιλαθόμενος ὅσα πρότερον ἔγραψε· καὶ μόνος αὐτὸς τῶν ἀρχαίων ἁπάντων εἰσάγει τὸν Φιλάδελφον πρῶτον γήμαντα τὴν Λυσιμάχου θυγατέρα, μετέπειτα δὲ τὴν οἰκείαν ἀδελφὴν Ἀρσινόην· καὶ εἰς τούτου μόνου τὴν μαρτυρίαν ἐπερείδεται Ὅδιος, καθὼς ἴδομεν (ὄπισθ. σελ. 175) (β). Ἀλλὰ τὸ ἔρεισμα τοῦτο φαίνεται (τὸ τοῦ λόγου) « *συκίνη ἐπικουρία* »· διότι ὁ μάρτυς οὐ μόνον περὶ τοῦ ζητήματος ἀντιφάσκει πρὸς ἑαυτὸν, ἀλλὰ καὶ ἄλλως ἀλλαχοῦ φαίνεται ἀσύστατά τινα λέγων, εἴτ' αὐτὸς ταῦτα γράψας, καὶ συγχύσας τὰς ἐννοίας τῶν ἱστορικῶν, ἀφ' ὧν ἀπήνθιζε τὰ σχόλια, εἴτε καὶ ὑπὸ τῶν ἀντιγραφέων πολλάκις διαφθαρείς (γ). Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, παρὰ

(α) Θεόκριτ. τόμ. α. σελ. 215. ἐκδ. Reiske. Τὸ δὲ ἢ εἰς ἐσημειώσαμεν δι' ἀστερίσκων, κρίναντες ὀβελιστέον ἴσως, ὡς περιττόν· ὁ Σχολιαστὴς πιθανώτερον ἔγραψεν, « εἰς Κοπτὸν, τόπον τῆς Θηβαΐδος ».

(β) Ταύτην ἔχουσι τὴν γνώμην καὶ τῶν νεωτέρων συχνοὶ, ἐν οἷς καί τινες τῶν διασημοτάτων ἀρχαιολόγων. Οὕτως ὁ κλεινὸς Βισκόντης τὰ δύω μνημονεύων τὰ λιθογλυφῆ προτομῶν ἀνάγλυφα, ἢ καμαῖα (Camées) τοῦ Β. Πτολεμαίου, τὸ μὲν τὸ (κάλλιστον) ἀνακείμενον ἐν τῷ Μουσείῳ τῆς Πετρουπόλεως, τὸ δὲ ἕτερον ἐν τῷ τῆς Βιέννης, ἐκεῖνο μὲν (λέγει) παρίστησι τὸν Β. Πτολεμαῖον μετὰ τῆς Α., Ἀρσινόης (τῆς, ὡς νομίζει, Λυσιμάχου θυγατρός)· τὸ δὲ Βιενναῖον, αὐτὸν πάλιν τὸν Β. Πτολεμαῖον, πρεσβύτερον τὴν ἡλικίαν μετὰ τῆς Β, (λέγει) Ἀρσινόης (τῆς ἀδελφῆς) κτλ. Πειρῶνται δὲ οἱ σοφοὶ καὶ ἀπὸ τῶν τοῦ προσώπου χαρακτήρων, καὶ ἀπὸ τῶν καλυμμάτων τῆς κεφαλῆς κτλ. τὰς ὁμοιότητας ἢ ταυτότητας αὐτῶν διακρίνειν, κάλλιστον τοῦτο ποιοῦντες (ἐφ' ὅσον ἔξεστι καὶ δύνανται)· Βλ. Viscont. Iconogr. Grecq. vol. 3. p. 209, 211. Ἀλλ' ἔχουσι καὶ ταῦτα τινὰς ἀντιῤῥήσεις. Βλ. τὴν Μυλλέρου (Müller) διατριβὴν ἐν Annal. de l'Instit. etc. Tom. XII. p. 262.

(γ) *Οἷον, κατ' αὐτὸ τοῦ* 41, *στίχου τὸ σχόλιον λέγει·* « *Τρεῖς δὲ ἐγένοντο Πτολεμαῖοι· ὁ Λαγωὸς, ἐγέννησε δὲ οὗτος Πτολεμαῖον τὸν Σωτῆρα, ὅστις εἶχε τὴν Βερενίκην γυναῖκα. Οὗτος δὲ πάλιν ἐγέννησε Πτολεμαῖον τὸν Φιλάδελφον, ὅστις εἶχε γυναῖκα τὴν Ἀρσινόην* ». — *Καὶ ὧδε τελευτᾷ τὸ Σχόλιον, τρεῖς ἐπαγγειλάμενον, καὶ δύω μόνους ἀριθμῆσαν Πτολεμαίους· (ἴσως ὁ Σχολιαστὴς ἔγραψε)·* « *Τρεῖς δὲ [ἅμα] ἐγένοντο Πτολεμαῖοι. Ὁ Λάγος ἐγέννησε τὸν*

τὸν Σχολιαστὴν πολὺ πιστότερός ἐστιν αὐτὸς ὁ Θεόκριτος καὶ οἱ τούτῳ συμφωνοῦντες ἱστορικοὶ, οἵ τε ἄλλοι οὓς ἐμνημονεύσαμεν, καὶ

Πτολεμαῖον τὸν Σωτῆρα, ὅστις εἶχε τὴν Βερ. γυν. Οὗτος δὲ πάλιν ἐγέννησε Πτολεμαῖον τὸν Φιλάδελφον, ὅστις εἶχε γυναῖκα τὴν Ἀρσινόην, ΚΑΙ ΠΤΟΛΕΜΑΙΟΝ ΤΟΝ ΚΕΡΑΥΝΟΝ ». — Πάλιν εἰς μὲν τὸν 61, στίχον ἐσημείωσεν ὀρθῶς· « Ἡ γὰρ Βερενίκη, θυγάτηρ Ἀντιγόνης τῆς Κασσάνδρου, τοῦ Ἀντιπάτρου ἀδελφοῦ », (εἶχε δὲ καὶ ἀδελφὸν Κάσσανδρον, ὁ Ἀντίπατρος, ὡς εἶχε καὶ υἱὸν ὁμώνυμον τοῦ θείου. βλ. ὄπισθ. σελ. 77), « [τοῦ] ἐσπουδακότος [εἰς] τὴν ἐν Τριοπίῳ τῶν Δωριέων Σύνοδον » κτλ. (Τὸ δὲ Τριόπιον, ἀκρωτήριον τῆς Κνίδου, ἔγγιστα κείμενον τῆς Κῶ· ὅπου ἤγοντο ἀγῶνες τῶν ἐπισημοτάτων πέντε πόλεων τῶν Δωριέων· βλ. Boeckh ad Schol. Pind. Pyth. 11, 27. t. 2. p. 34. καὶ Ot. Müller über die Dorier t. 2. p. 105, 262). Ἀλλ' ἐν τῷ σχολίῳ τοῦ 34, στίχου λέγει· « Βερενίκην τὴν Λαγοῦ μὲν θυγατέρα, γυναῖκα δὲ Πτολεμαίου τοῦ Σωτῆρος » κτλ. Καὶ αὐτὸς μὲν ὁ Σχολιαστὴς πάντως ἔγραψε καὶ ὧδε « τὴν Ἀντιγόνης μὲν θυγατέρα » κτλ. Ὁ δὲ σοφώτατος Βισκόντης ἐκλαβὼν τὸ σφάλμα τῶν μεταγραφέων (τὸ Λάγου, ἀντὶ τῆς Ἀντιγόνης), ὡς κυρίαν γνώμην τοῦ Σχολιαστοῦ, παρεξετράπη εἰς πολύμορφον ἀτοπίαν. Πρὸς τὸ ἀνωτέρω σχόλιον τοῦ 61, στίχου (τὸ « ἡ γὰρ Βερενίκη » κτλ.) προσέῤῥαψε καὶ ἄλλο σύντομον, ἀνῆκον εἰς τὸν 58, στίχον, τὸ ἐφεξῆς, « Ὅτι ὁ Φιλάδελφος ἐν Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης ». Καὶ τοίνυν ἀναγινώσκει καὶ γράφει οὕτως· « Ὅτι ὁ Φιλάδελφος ἐν Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης (ἡ γὰρ Βερενίκη θυγάτηρ Ἀντιγόνης τοῦ Κασσάνδρου τοῦ Ἀντιπάτρου), ἀδελφοῦ ἐσπουδακότος τὴν ἐν Τριοπίῳ » κτλ. Ἀλλ' ἐκ τῆς τοιαύτης ἀτόπου συμφύρσεως δύω σχολίων, εἰς ἄλλο καὶ ἄλλο χωρίον ἀνηκόντων, προέκυψαν αἱ ἐφεξῆς ἀτοπίαι. α) Τὰ ἐν παρενθέσει παρ' αὐτῷ σημειωθέντα (« ἡ γὰρ Βερενίκη » κτλ. μέχρι τοῦ Ἀντιπάτρου) θεωρῶν ὁ Βισκόντης ὡς παρέμβυστον φράσιν εἰσχυλισθεῖσαν ἐξ ἄλλου τινος σχολίου, ἀποδείκνυσιν ἐν αὐτοῖς τὴν Ἀντιγόνην θυγατέρα τοῦ Κασσάνδρου οὐχὶ τοῦ ἀδελφοῦ, ἀλλὰ τοῦ υἱοῦ τοῦ Ἀντιπάτρου. β) Αὐτὸ δὲ τὸ λειπόμενον ἀδελφοῦ κτλ. ἀναφέρει πρὸς τὸ Βερενίκης, ὡς ἂν εἰ ἐγέγραπτο « ἐγεννήθη (ὁ φιλάδελφος ἐν Κῷ) ὑπὸ Βερενίκης, ἀδελφοῦ ἐσπουδακότος », κτλ. Καὶ εἰσάγει λοιπὸν τὸν Σχολιαστὴν ὡς δηλοῦντα δῆθεν διὰ τούτων, ὅτι, ἡ Βερενίκη ἐγέννησεν ἐν Κῷ τὸν Φιλάδελφον, ἀδελφοῦ αὐτῆς (καὶ τοῦτο ἀνάρθρως, λατινικώτερον! ἀντὶ ΤΟΥ ἀδελφοῦ), αὐτοῦ δηλαδὴ τοῦ ἀνδρὸς αὐτῆς, τοῦ Σωτῆρος, προεδρεύοντος (lorsqu'il présidoit) τῶν ἐν Τριοπίῳ ἀγώνων » κτλ. (Καίτοι τοιαύτην τότε τοῦ Σωτῆρος ἐν τῷ Τριοπίῳ προεδρίαν, οὔτε Θεόκριτος εἶπεν, οὔτε τῶν ἄλλων οὐδείς. Καὶ αὐτὸν δὲ τὸν παρακείμενον, τὸν ἐσπουδακότος, ἄλλο τι σημαίνοντα παρὰ προεδρίαν, ἐξέλαβεν ὁ Βισκόντης καὶ ὡς παρατατικὸν, σπουδάζοντος, ὅπως ἐφαρμόσῃ πρὸς τὴν ἰδίαν ἔννοιαν). « Ἀδελφὸν δὲ (προστίθησι) τῆς Βερενίκης, τὸν ἄνδρα Πτολεμαῖον ἐνόμιζεν ἐσφαλμένως ὁ Σχολιαστὴς, ἀπατηθεὶς ἐκ τῆς ὁμωνυμίας τῶν πατρωνυμικῶν· διότι Λάγος ὠνομάζετο καὶ ὁ τοῦ Πτολεμαίου καὶ ὁ τῆς Βερενίκης

ὁ Παυσανίας, καὶ αὐτὸς οὗτος ὁ Σχολιαστὴς κατὰ τὴν προμνημονευθεῖσαν (σελ. 189) σημείωσιν. Πάντες οὗτοι ὁμολογοῦσιν ὅτι κατ' ἀρχὰς τῆς βασιλείας εἶχε σύζυγον ὁ Φιλάδελφος τὴν ἀδελφὴν Ἀρσινόην καὶ ἑπομένως, ὕστερον μετὰ χρόνους (ἔτος ἄγων ἡλικίας περίπου 38, καὶ περὶ τὸ 15 ἔτος τῆς βασιλείας) ἐπέγημε τὴν Λυσιμάχειον θυγατέρα, ἐξ ἧς ἔσχε καὶ τοὺς μνημονευομένους παῖδας· ἐκ δὲ τούτου σαφῶς ἐξηγεῖται καὶ ὅ,τι ὁ σοφὸς Ὅδιος ὀρθῶς παρετήρησε (βλ. ὄπισθ. κεφ. ϛ. σελ. 173), ὅτι νέα δηλαδὴ τὰ τέκνα τοῦ Φιλαδέλφου ἐνυμφεύθησαν, καὶ αὐτὸς ὁ πρεσβύτερος καὶ διάδοχος, μόλις ὢν ἐτῶν 24. (βλ. καὶ ἐφεξ. κεφ. Ζ. §. λγ.) (α).

πατήρ» (καθὼς δηλαδὴ ἐπατρωνύμησεν αὐτὴν ὁ Σχολιαστὴς ἐν τῷ ἀνωτέρω, εἰς τὸν 34, στίχον, ἐσφαλμένῳ σχολίῳ!). Τοιαῦτα ἐσφάλη ὁ παρὰ τὰ τοιαῦτα μηδὲν ἧττον μεγάτιμος καὶ περικλεὴς Ἀρχαιολόγος, ἀπατηθεὶς ὑπὸ τῆς ἔν τισι χωρίοις κακογραφίας τῶν Σχολίων τοῦ Θεοκρίτου (Βλ. Viscont. Iconogr. Gr. vol. 3. p. 198). Ἀλλ' ἐπάνειμεν ἐπὶ τὸν Σχολιαστήν. Τὸ ἐν τῇ προμνημονευθείσῃ φράσει Λαγοῦ (ἀντὶ Λάγου) ἀναγινώσκεται καὶ ἀλλαχοῦ παρὰ τῷ Σχολιαστῇ τρίς, ὡς ἐξ ὀνομαστικῆς Λαγὸς (ὅπερ ἅπαξ παρ' αὐτῷ γέγραπται καὶ Λαγωδς!)· ἀλλὰ καὶ ταῦτα πάντως ἀνήκουσιν εἰς τὴν ἀμάθειαν τοῦ μεταγραφέως (ἣν ἔκρινεν ἴσως ἀναγκαῖον δημοσιεῦσαι καὶ ὁ σοφὸς Ῥεΐσκιος, ἀπαραλλάκτως τὸ παράτονον τῶν λέξεων ἐκδούς!). Διώρθωσεν ὁ σοφὸς Οὐαλκενῆρος τὸ Λαγοῦ εἰς τὸ Λάγου (Valcken. ad. Adoniaz. p.355), ἀλλὰ παρέλιπε τὸ Λαγωός· (ὡς καὶ ὁ Βυστεμάννος ἐν τῇ Θεοκρίτου βιογραφίᾳ. σελ.3). Διώρθωσε καὶ τοῦτο ὁ νεώτατος ὧν εἴδομεν ἐκδότης τοῦ Θεοκρίτου μετὰ Σχολίων Γῆλος, ἀλλ' ἀντὶ Λάγος ἔγραψε πάλιν καὶ οὗτος Λαγὸς, προσθεὶς καὶ τὴν γενικὴν Λαγοῦ (βλ. Theocrit. Carmina p. 333. ed. J. Geel, Amstelod. 1820). Ἄλλα τοῦ Σχολιαστοῦ ἀσύστατα παραλείπομεν.

(α) Ὁ Οὐόσσιος προβάλλει καὶ αὐτὸ τὸ Φιλάδελφος ὡς ἀπόδειξιν τῆς πρὸς τὴν ἀδελφὴν ἀγάπης τοῦ νεανίου Πτολεμαίου. Ὁ δὲ Ὅδιος ἀντιλέγει, ὅτι τὸ ἐπώνυμον πολὺ ὕστερον ἔλαβεν ὁ Φιλάδελφος, ὡς καὶ ὁ πατὴρ αὐτοῦ τὸ Σωτὴρ, καὶ ὁ υἱὸς αὐτοῦ τὸ Εὐεργέτης (Hody pag. 24). Ἀλλ' ὅτι μὲν ὁ Φιλάδελφος νεώτατος ἀγαπήσας ἐρῶσαν τὴν ἀδελφὴν, εἶτα δὲ καὶ δημοσίᾳ νυμφευθεὶς, ἐπωνομάσθη συγχρόνως καὶ Φιλάδελφος καὶ οὗτος, ὡς κἀκείνη, συμπεραίνεται σαφῶς (νομίζομεν) ἐκ τῶν ἐκτεθέντων. Παρὰ δὲ τὸν Ὅδιον πολὺ παραδοξότεροι δοκοῦσιν ὅσοι τῶν νεωτέρων ἐξέλαβον τὸ Φιλάδελφος ὡς κατ' ἀντίφρασιν εἰρημένον (οἷον μισάδελφος, διότι ἀπέκτεινε δύω ἀδελφοὺς, ἐπιβουλεύοντας αἰσθόμενος. Παυσαν. Α. ζ), καθὼς δηλαδὴ καὶ τῶν κάτω Πτολεμαίων, ὁ Φιλομήτωρ (ἀντὶ μισομήτωρ), καὶ ὁ Β, Εὐεργέτης (ὁ καὶ Κακεργέτης). Ἀλλ' οἱ σοφοὶ οὗτοι ἐπελάθοντο, ἴσως, ὅτι καὶ αὐτὸς ὁ Φιλάδελφος ἔχαιρεν ἐπιγράφων ἐν τοῖς νομί-

§. ιγ΄. Μένει ἤδη πρὸς ἐξέτασιν, εἰ ἡ πρώτη τοῦ Φιλαδέλφου γυνὴ καὶ αὐταδέλφη Ἀρσινόη ἀπέθανεν *ἄτεκνος*, καθὸ *στεῖρα* δηλαδὴ, μηδέποτε τεκνογονήσασα. Ὡς ὁ Σχολιαστὴς ἀνωτέρω, οὕτω καὶ ὁ Παυσανίας βεβαιοῖ (καθὼς προείδομεν σελ. 178) ὅτι « τὴν οἱ (αὐτῷ τῷ Φιλαδέλφῳ) συνοικήσασαν ἀδελφὴν Ἀρσινόην ἔτι πρότερον, κατέλαβεν ἀποθανεῖν *ἄπαιδα* ». Τοῦτο δὲ τὸ *ἄπαις* καὶ τὸ *ἄτεκνος* σημαίνουσιν οὐχὶ κυρίως τὸν στεῖρον καὶ τὴν στεῖραν, ἢ στερίφην καὶ ἄγονον, ἀλλ᾽ ἁπλῶς καὶ καθόλου τὸν *μὴ ἔχοντα τέκνα* (Ἡσύχ.). « Ὁ γὰρ οὐκ ἔχων παῖδας *ἄπαις* καὶ *ἄτεκνος* ὀνομάζεται » (Πολυδ.). Τοιοῦτος δέ τις ἂν εἴη τετραχῶς· ἢ ὁ *μήπω* παιδοποιήσας (ὡς ὁ νέος, καὶ νεόγαμος, ἢ εἰσέτι ἄγαμος, κατὰ τὸ, « παρθένος *ἄγαμος καὶ ἄπαις* οἰχομένη ») (α), ἢ ὁ *μηκέτι* (διὰ γῆρας, ἢ νόσον), ἢ ὁ *μηδέποτε* μηδόλως τεκνογονῶν (ἔστι γὰρ πολλάκις « καὶ τὸ *ἄτεκνος*, ὡς τὸ *ἄτοκος*, κοινὸν ὄνομα τῆς τε μηκέτι τικτούσης, καὶ τῆς μηδόλως ». Πολυδ. Γ, β, 2), ἢ (τέλος) *κατὰ στέρησιν*, ὡς ὁ τῶν γεννηθέντων αὐτῷ παίδων ὀρφανισθεὶς, ἁπάντων ἀποθανόντων. Καὶ ταύτην τὴν σημασίαν μαρτυροῦσιν ἥ τε πρῴην *εὔπαις* καὶ *πολύτεκνος* Ἑκάβη, « γραῦς *ἄπαις* » ἀκούουσα παρὰ τῷ τραγικῷ (β), καὶ ὁ Πηλεὺς *ἄπαις* (φονευθέντος τοῦ παιδὸς) καὶ *ἄτεκνος*, ὁ αὐτός (γ). Οἱ δὲ τοιοῦτοι καὶ αἱ τοιαῦται λέγονται καὶ περιφραστικώτερον « *παίδων ἄπαιδες* », ἢ « *ἄπαιδες τέκνων* » (δ). (Ὅτι δὲ τὸ παῖδες παρ᾽ Ἕλλησιν ἐκλαμβάνεται, ὡς καὶ τὸ τέκνα, ἐπί τε ἀῤῥένων καὶ θηλέων ἐπίσης, πρόδηλον). Τοιαύτη τοίνυν *ἄπαις* καὶ

σμασι τὸ ὄνομα τῆς ἀδελφῆς, « Ἀρσινόης Φιλαδέλφου », καὶ οἱ ποιηταὶ ἐτίμων τὸ ἱερὸν τῆς Φιλαδέλφου Κύπριδος Ἀρσινόης (Ποσειδ. παρ᾽ Ἀθην. Ζ, 318, *βλ. καὶ ἐφεξ. κεφ.* Ζ. §. *κγ*.). *Πρόσθες, ἂν θέλῃς, καὶ* τὸν Πλούταρχον, *ὅστις καὶ αὐτὸς τὸ Φιλάδελφος ἐπ᾽ εὐφημίᾳ καὶ ἀρετῆς ἐπαίνῳ τεθειμένον ἐφρόνει, λέγων «* Ἕλληνες *ἐτίθεντο πράξεως μὲν ἐπώνυμον, τὸν* Σωτῆρα *καὶ τὸν* Καλλίνικον· *ἰδέας δὲ, τὸν* Φύσκωνα *καὶ τὸν* Γρυπόν· *ἀρετῆς δὲ, τὸν* Εὐεργέτην *καὶ τὸν* Φιλάδελφον (Πλούταρχ. Κοριολάν. §. ια).

(α) Πλούταρχ. παραμυθ. πρὸς τὴν ἰδ. γυναικ. Τόμ. 8. σελ. 410. Reisk.

(β) Εὐριπ. Ἑκάβ. 495, 669: — (γ) Εὐριπ. Ἀνδρομ. 1207, 1217. πρβλ. καὶ Ἴων 949. — (δ) « παίδων τ᾽ ἄπαιδας γραῦς ἔθηκας ». Εὐριπ. Ἀνδρ. 613, καὶ 715.

ἄτεκνος ἐτελεύτησε καὶ ἡ Ἀρσινόη, νηπίων, ἢ καὶ παιδαρίων αὐτῇ τῶν τέκνων ἀποθανόντων· καὶ πρὸς ταύτην πιθανώτατα *τὴν βασίλισσαν* Ἀρσινόην, τὸν ἔσχατον ἴσως πενθοῦσαν υἱὸν, εἰσιὼν ὁ ἀρχαῖος ἐκεῖνος φιλόσοφος, ἔλεγεν εἰς παραμυθίαν τὸν παρὰ τῷ Πλουτάρχῳ συνετὸν ἐκεῖνον καὶ φιλόσοφον μῦθον (α), ὡς καὶ ἄλλος πρὸ ἡμῶν ἐσημείωσε (βλ. ἐφεξ. κεφ. ζ. §. κγ). Εἰ δὲ καὶ ῥητῶς περὶ τοῦ θανάτου τῶν παίδων τῆς Ἀρσινόης οὐδὲν ἐμνημόνευσαν οἱ Ἕλληνες συγγραφεῖς (ὡς τὰ κατὰ μέρος καὶ μικρὰ τῶν μεγάλων οἰκιῶν περιστατικὰ πολλάκις παρασιωπῶντες), ἀλλ' ὅμως οὐδεὶς ἀμφιβάλλει, ὅτι, καθὼς τῶν ἄλλων ἀνθρώπων, ἰδιωτῶν τε καὶ βασιλέων, παιδία τελευτῶσι πολλάκις ἀνήλικα, παρομοίως καὶ τῶν τῆς Ἀλεξανδρείας βασιλέων ἄνακτες παῖδες ἀπέθνησκον· καὶ ἔμενον καὶ παρ' ἐκείνοις βασίλισσαί τινες μητέρες παίδων *ἄπαιδες καὶ ἄτεκνοι*, ἢ μέχρι τινὸς, ἢ καὶ μέχρι θανάτου, καθὼς ἡ Ἀρσινόη τοῦ Φιλαδέλφου. Ἐν τῇ τῶν ἐπιγραμμάτων Ἀνθολογίᾳ σῴζεται Ἀντιπάτρου Σιδωνίου ἐπίγραμμα ἐπιτάφιον εἴς τινα μικρὸν βασιλόπαιδα Πτολεμαῖον, ἄγνωστον διόλου παρὰ τοῖς ἱστοριογράφοις τίνος τῶν βασιλέων τῆς Αἰγύπτου γέγονεν υἱός. (β). Πόσοι καὶ ἄλλοι

(α) Πλούταρχ. παραμυθ. πρὸς Ἀπολλών. (σελ 425 T. 6 : R). «Φασὶ γάρ τινα τῶν ἀρχαίων φιλοσόφων εἰσιόντα πρὸς Ἀρσινόην τὴν βασίλισσαν, πενθοῦσαν τὸν υἱὸν, τοιούτῳ χρήσασθαι λόγῳ» κτλ.

(β) «*Μυρία σοι, Πτολεμαῖε, πατὴρ ἔπι, μυρία μάτηρ*
Τειρομένα θαλεροὺς ᾔκίσατο πλοκάμους.
Πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας
Ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
Ἁ μεγάλα δ' Αἴγυπτος ἐὰν ὠλόψατο χαίταν,
Καὶ πλατὺς Εὐρώπας ἐστονάχησε δόμος.
Καὶ δ' αὐτὰ διὰ πένθος ἀμαυρωθεῖσα Σελάνα,
Ἄστρα καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπεν·
Ὤλεο γὰρ διὰ λοιμὸν, ὅλας θοινήτορα χέρσου,
Πρὶν πατέρων νεαρᾷ σκᾶπτρον ἑλεῖν παλάμᾳ·
Οὐδέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο· δὴ γὰρ ἄνακτας
Τοίους οὐκ Ἀΐδας, Ζεὺς δ' ἐς Ὄλυμπον ἄγει».

Ἐπιγραμμ. Βιβλ. Γ. σελ. 319. Brod. καὶ Jacobs Delect. Epigram. Graec. p. 310. ὅπου καὶ ὁ φιλόλογος οὗτος ἄγνωστον ὁμολογεῖ καὶ τὸν βασιλείδην τοῦτον Πτολεμαῖον, καὶ τὸν πατέρα τὸν βασιλεύοντα.

ἄλλων Αἰγυπτίων βασιλέων παῖδες ἐτάφησαν ἀνεπίγραφοι (ὡς πρὸς ἡμᾶς), καὶ παντάπασιν ἀνιστόρητοι!

Ἀλλὰ τοὺς παῖδας τῆς τοῦ Φιλαδέλφου γυναικὸς καὶ ἀδελφῆς Ἀρσινόης, ἀρκεῖ καὶ μόνον ἓν μνημεῖον μαρτυροῦν (κἂν Ὅδιος μὴ θέλῃ), πολὺ τοῦ Ἀντιπατρίου ἐπιγράμματος ἀξιοπιστότερον, αὐτὴ δηλαδὴ τοῦ ἀρχιερέως ἡ πρὸς τὸν Φιλάδελφον ἐπιστολὴ, προσαγορεύουσα «τὴν βασίλισσαν καὶ ἀδελφὴν Ἀρσινόην, *καὶ τὰ τέκνα*». Καὶ εἶχε λοιπὸν ὁ Φιλάδελφος ἐν ἀρχῇ τῆς βασιλείας καὶ τὴν ἀδελφὴν Ἀρσινόην γυναῖκα, καὶ παιδία ἐξ αὐτῆς, ὡς ἔγραψεν ὁ ἀρχιερεὺς παρὰ τῷ Ἀριστέᾳ. Μαρτυρεῖ δὲ παρ' αὐτῷ καὶ αὐτὸς ὁ Φιλάδελφος, ὅστις διαλεγόμενος πρὸς τὸν οϐ, τῶν πρεσβυτέρων, ἠρώτησε «πῶς ἂν ἀκέραια συντηρήσας ἅπαντα, τοῖς *ἐγγόνοις* τὴν αὐτὴν παραδιδοῖ διάθεσιν ἐπὶ τέλει; ὁ δὲ εἶπεν ἄλλα τε καλὰ καὶ, «τοῖς *ἐγγόνοις* παρακελεύεσθαι μὴ ἐκπλήττεσθαι τῇ δόξῃ» κτλ. (α). Ὅτι δὲ τὸ *ἐγγόνοις* πολλάκις σημαίνει τὸ αὐτὸ καὶ *ἐκγόνοις*, τέκνοις, ἀπογόνοις, φανερόν.

§. ιδ'. Ἅλις ταῦτα, νομίζομεν, πρὸς τὰ τοῦ Ὁδίου περί τε τῆς Ἀρσινόης, καὶ τῆς δῆθεν ἐν ἀρχῇ τῆς βασιλείας ἀγαμίας τε καὶ ἀτεκνίας τοῦ Φιλαδέλφου· καὶ ἔπρεπεν ἵνα στήσωμεν ἐνταῦθα τὸν λόγον, πέραν, ἴσως, τοῦ μετρίου παρατείναντες τὸ κεφάλαιον. Ἀλλ' ἡμεῖς καὶ δεύτερον προστιθέμεθα τὸ ἐφεξῆς, ἀπανθίσαντες ἐπιτετμημένως ἐξ ὧν ὁ φιλολογώτατος Ἔκδικος ἔγραψε πρὸς Ὅδιον ἀπαντήσεων, τὰ κατὰ τὴν Βερενικείαν Ἀρσινόην διαλευκαίνων. Ἐκτίθησι δὲ οὗτος κατὰ τάξιν χρονολογικὴν ἅπαντα τὰ συναγόμενα ἐκ τῆς ἱστορίας πρὸς εὕρεσιν αὐτοῦ τε τοῦ ζητήματος, καί τινων ἄλλων ἀνηκόντων καθόλου πρὸς ἣν Ἀριστέας ἱστόρησεν ἑρμηνείαν τῶν Γραφῶν (ϐ). Ἐπειδὴ δὲ ταῦτα μεγάλην ἔχουσι σχέσιν πρός τε τὰ παρ' ἡμῶν εἰρημένα, καὶ πρὸς τὰ ῥηθησόμενα, καλὸν ἐνομίσαμεν, οἷον τούτων σύνοψιν, προσθεῖναι τὸ ἐφεξῆς κεφάλαιον μήτε τὴν

(α) Ἀριστέας· σελ. κϐ. ἐκδ. Hody.

(ϐ) Βλ. Vindication of the history of the Septuagint, etc. pag. 80—120.

ἐν πολλοῖς ἀπαντῶσαν παλιλλογίαν φοβηθέντες, καὶ χρήσιμον νομίσαντες, οὐδὲ πάντη ἀηδῆ, τοῖς φιλομαθέσιν ἀναγνώσταις ἐσομένην τὴν ὁλοσχερῆ τῶν πραγμάτων συγκεφαλαίωσιν.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

Ἐπιτομὴ τῶν κατὰ τὴν Ἀρσινόην, καὶ τῶν συνημμένων, ὅσα συντελοῦσι πρὸς ἀπόδειξιν τῆς ἐν ἀρχῇ τῆς Φιλαδέλφου βασιλείας γενομένης ἑρμηνείας τῶν Γραφῶν.

§. ά. Ἀλεξάνδρου τοῦ Μεγάλου τελευτήσαντος κατὰ τὸ α, ἔτος τῆς ριδ, Ὀλυμπιάδος, Περδίκκας παραλαβὼν τὴν τῶν ὅλων ἡγεμονίαν (ὡς ἐπιμελητὴς τῆς βασιλείας), ἐν κοινῷ συνεδρίῳ μετὰ τῶν ἄλλων ἡγεμόνων καὶ στρατηγῶν διανέμει τούτοις τὰς σατραπείας· τότε Πτολεμαῖος ὁ Λάγου (ὁ καὶ Σωτὴρ μετὰ ταῦτα), παρέλαβε τὴν σατραπείαν τῆς Αἰγύπτου, περὶ τὰς ἀρχὰς τοῦ β, ἔτους τῆς ριδ, Ὀλυμπιάδος (Διόδωρ. Σικελ. βιβλ. ιη. σελ. 628) (α).

§. β΄. Τὸ αὐτὸ ἔτος [κατὰ τὸν Χαμπολ. τῷ α, τῆς ριδ. Ὀλ. τῷ 322. π. Χ.] ὁ Πτολεμαῖος, προνοῶν ὅτι πολεμηθήσεται ὑπὸ τοῦ Περδίκκου, συνέθετο κοινοπραγίαν καὶ συμμαχίαν μετὰ Ἀντιπάτρου (παραλαβόντος τὴν Μακεδόνων ἡγεμονίαν)· τότε καὶ ὁ Κρατερὸς, Ἀντιπάτρῳ συμμαχῶν, ἔγημε Φίλαν τὴν πρεσβυτάτην τῶν Ἀντιπάτρου θυγατέρων (ἄγουσαν, ὡς ἄν τις εἰκάσειε πρὸς τὸ πιθανώτατον, ἔτος 18). βλ. Διόδωρ. ιη. σελ. 634, 637.

(α) Κατὰ τὸν Διόδωρον κτλ. ὁ θάνατος Ἀλεξάνδρου τίθεται τῷ α, τῆς ριδ, Ὀλ. (οὕτω καὶ Ἀῤῥιανός· « δεκάτῃ καὶ τετάρτῃ καὶ ἑκατοστῇ, Ὀλυμ. » Ἀλεξ. Ἀναβ. Ζ. 28: σελ. 309). Κατὰ δὲ τὸν Δημήτριον τὸν Μάγνην, Πλούταρχον, Διον. Ἁλικαρνασσέα, καὶ τοὺς νεωτέρους τοῦ Χαμπολλιῶνος ὑπολογισμοὺς, ὁ Μ. Ἀλέξανδρος ἐτελεύτησε τῷ δ, τῆς ριγ, Ὀλυμπ. (323, π. χ. Μαΐου 30). Κατὰ τὸ αὐτὸ ἔτος (323: π. χ. Ἰουνίου 5) καὶ Πτολεμαῖος ὁ Λάγου διωρίσθη σατράπης τῆς Αἰγύπτου. Ὅπου καὶ ἦλθε τὸ ἔτος τὸ αὐτὸ, Ὀκτωβρ. μηνί. (Champol. Annal. des Lagides T. I. p. 68. 79. 156. πρβλ. T. 2. p. 387—390). Ἔκτοτε ἄρχεται ἡ Βασιλεία τοῦ Λαγίδου, βασιλεύσαντος ἔτη 39, μῆν. 5. ὁπότε παρῃτήθη τῆς ἀρχῆς (τῷ 284 π. χ. νοεμβρ. 2), καὶ μετὰ τὴν διετίαν, τελευτήσαντος τῷ 282· π. χ. Ὀλυμ. ρκδ, τὸ β. (βλ. ὄπισθ. σελ. 145.). Σημ. ἡμετ.

§. γ'. Ὀλυμπ. ριδ, τὸ γ, στρατεύει Περδίκκας εἰς Αἴγυπτον κατὰ Πτολεμαίου. Ἀναβαίνει πρὸς τούτου βοήθειαν ὁ Ἀντίπατρος, ἐπαγόμενος συμμάχους καὶ τοὺς περὶ τὸν Ἀντίγονον καὶ Κρατερόν· καὶ τοῦτον μὲν κατέλιπεν ἀντιπαραταξόμενον πρὸς Εὐμένη (Περδίκκου σύμμαχον)· αὐτὸς δὲ ὁ Ἀντίπατρος μετ' ἄλλης στρατιᾶς ἔσπευδεν εἰς Αἴγυπτον. Πίπτει Κρατερὸς μαχόμενος πρὸς Εὐμένη. Σφάζεται δὲ καὶ Περδίκκας ὑπὸ τῶν ἰδίων αὐτοῦ στρατηγῶν, μὴ δυνηθεὶς περᾶσαι τὸν Νεῖλον. Ἀντίπατρος δὲ διεμοίρασεν ἐκ νέου τὰς σατραπείας. Καὶ δίδωσιν ἄλλοις ἄλλας, τὴν δὲ Βαβυλωνίαν Σελεύκῳ, Καρίαν δὲ Κασσάνδρῳ, Ἀντιγόνῳ δὲ Φρυγίαν καὶ Λυκίαν (ἃς εἶχεν ἐξ ἀρχῆς), καὶ στρατηγὸν αὐτὸν πάσης τῆς δυνάμεως ἐπὶ τῆς Ἀσίας ἀποδείξας, ὅστις ἔμελλε διαπολεμεῖν πρὸς Εὐμένη. Κατὰ δὲ τὴν Αἴγυπτον ἐπεκύρωσε πάλιν ἡγεμόνα τὸν Πτολεμαῖον. Αὐτὸς δὲ ὁ Ἀντίπατρος ἐπανῆλθεν εἰς τὴν Μακεδονίαν (Διόδωρ. ιη, σελ. 644—648). Τοῦτο τὸ ἔτος πιθανώτατα Πτολεμαῖος ὁ Λάγου μνηστεύεται τὴν Εὐρυδίκην, θυγατέρα τοῦ συμμάχου καὶ εὐεργέτου Ἀντιπάτρου.

§. δ'. Ὀλυμπ. ριδ, τὸ δ (ἢ περὶ τὰ τέλη τοῦ παρελθόντος ἔτους). Νυμφεύεται τὴν Εὐρυδίκην ὁ Πτολεμαῖος, εἰς Αἴγυπτον ἐλθοῦσαν, ἑκκαιδεκαετῆ περίπου τὴν ἡλικίαν. Συνέπεμψε δὲ μετ' αὐτῆς ὁ Ἀντίπατρος καὶ τὴν Βερενίκην μικρὰν (ἀπ' ἐξαδέλφης) ἀνεψιὰν τῆς Εὐρυδίκης (ὡς θυγατέρα Ἀντιγόνης τῆς *Κασσάνδρου*, ἀδελφοῦ τοῦ Ἀντιπάτρου)· ἦν δὲ τότε ἡ Βερενίκη οὐχὶ πάντως νεωτέρα τῶν 18, ἐτῶν, ὡς οὖσα τότε χήρα, καὶ μήτηρ υἱοῦ, Μάγα καλουμένου, καὶ δύω θυγατέρων ἐκ τοῦ πρώτου αὐτῆς ἀνδρὸς, Φιλίππου τινός (Παυσ. Α, ς. ζ). Τούτῳ τῷ ἔτει προσεκτήσατο καὶ τὴν Φοινίκην καὶ Συρίαν ὁ Λαγίδης Πτολεμαῖος, διὰ Νικάνορος τοῦ στρατηγοῦ (Διόδ. ιη, σελ. 650. πρβλ. Παυσαν. Α. ς. καὶ Ἀππιαν. Συριακ. σελ. 121). Καὶ αὐτὸς δὲ στρατεύσας ὁ Πτολεμαῖος ἐκ Παλαιστίνης εἷλε τὴν Ἱερουσαλὴμ ἡμέρᾳ Σαββάτῳ, καὶ λαβὼν ἑκατὸν περίπου χιλιάδας αἰχμαλώτων Ἑβραίων κατήγαγεν εἰς Αἴγυπτον· τοὺς δὲ

μετῴκισε καὶ εἰς τὴν Λιβύην καὶ τὴν Κυρήνην (Ἰώσηπ. Ἀρχ. ιβ. α, β. — Εὐσεβ. Χρονικ.).

§. έ. Ὀλυμπ. ριε, τὸ β, δύναται τεθῆναι (κατὰ τὰς πιθανωτάτας εἰκασίας) ἡ γέννησις Πτολεμαίου τοῦ Κεραυνοῦ, πρεσβυτάτου υἱοῦ Πτολεμαίου τοῦ Λαγίδου καὶ τῆς Εὐρυδίκης. Τὸ δ' ἐφεξῆς ἔτος, ἡ γέννησις τοῦ Πύῤῥου, υἱοῦ τοῦ Αἰακίδου βασιλέως Ἠπείρου. Κατὰ δὲ τὸ δ, τῆς αὐτῆς Ὀλυμπ. ἡ γέννησις Ἀρσινόης, αὐταδέλφης τοῦ Κεραυνοῦ, καὶ θυγατρὸς τοῦ Λαγίδου καὶ τῆς Εὐρυδίκης. Τοῦτο τὸ ἔτος καὶ Δημήτριος ὁ Ἀντιγόνου (ὁ καὶ μετὰ ταῦτα πολιορκητὴς) ἐτῶν περίπου 19, νυμφεύεται τὴν Ἀντιπάτρου θυγατέρα Φίλαν, χήραν τοῦ Κρατεροῦ (Πλούταρχ. Δημητρ. §. ιδ.), ἔτος ἄγουσαν περίπου 24.

§. ς'. Ὀλυμπ. ριϛ. τὸ α, Κάσσανδρος, Ἀντιπάτρου τοῦ πατρὸς ἤδη προαποθανόντος, ἀνεκτήσατο τὴν ἀρχὴν τῆς Μακεδονίας (ὑπ' Ἀντιγόνου βοηθούμενος), καὶ νυμφεύεται Θεσσαλονίκην θυγατέρα Φιλίππου τοῦ βασιλέως, καὶ ὁμοπάτριον ἀδελφὴν τοῦ Μ. Ἀλεξάνδρου (τότε καὶ τὰς Θήβας συνῴκισεν ἀνεγείρας, εἰκοστῷ ἔτει μετὰ τὴν ὑπ' Ἀλεξάνδρου κατασκαφήν. Διόδωρ. ιθ, 699, 700). Ἀντίγονος δὲ κατὰ τὴν Ἀσίαν ἰσχυρότατος ἀποβαίνει, κυριαρχήσας ἀπ' Ἑλλησπόντου μέχρις Ἰνδοῦ ποταμοῦ. Σέλευκος δὲ, καταπολεμηθεὶς ὑπ' αὐτοῦ, κατέφυγεν ἐκ τῆς Βαβυλῶνος εἰς Αἴγυπτον πρὸς τὸν Πτολεμαῖον. Περὶ τὸ τέλος τούτου τοῦ ἔτους τίθεται πιθανῶς ἡ γέννησις Φιλίππου, πρεσβυτάτου υἱοῦ τοῦ Κασσάνδρου καὶ τῆς Θεσσαλονίκης, καὶ ἡ γέννησις τῆς Στρατονίκης, θυγατρὸς Δημητρίου καὶ Φίλας.

§. ζ'. Ὀλυμπ. ριϛ. τὸ β, ἐγεννήθη πιθανώτατα Ἀντίγονος ὁ Γονατᾶς, υἱὸς Δημητρίου καὶ Φίλας, καὶ Ἀντίπατρος, ὁ δεύτερος υἱὸς Κασσάνδρου καὶ Θεσσαλονίκης.

§. ή. Ὀλυμπ. ριϛ. τὸ γ, περὶ τὰ μέσα τούτου τοῦ ἔτους Δημήτριος ὁ Πολιορκητὴς, ἄγων ἔτος 22 (Διόδ. ιθ, 710: Πλούταρχ. Δημητρ. §. ε), πέμπεται παρὰ τοῦ πατρὸς Ἀντιγόνου εἰς τὴν Συρίαν, ἐνεδρεύσων τοὺς περὶ Πτολεμαῖον. Αὐτὸς δὲ ὁ Ἀντίγονος

τὴν ἄλλην δύναμιν παραλαβὼν, μετέβη εἰς τὴν μικρὰν Ἀσίαν, ὡς κωλύσων τὴν Κασσάνδρου εἰσβολήν (Διόδ. ιθ, 709). Τοῦτο τὸ ἔτος τίθεται ἡ γέννησις Ἀλεξάνδρου, τρίτου υἱοῦ τοῦ Κασσάνδρου καὶ τῆς Θεσσαλονίκης. Τῷ δ' ἐφεξῆς ἔτει πιθανῶς ἐγεννήθη Λυσάνδρα, θυγάτηρ Πτολεμαίου τοῦ Λάγου καὶ τῆς Εὐρυδίκης.

§. θ'. Ὀλυμπ. ριζ, τὸ α. Πτολεμαῖος καὶ Σέλευκος συγκροτοῦσι μάχην πρὸς Δημήτριον τὸν Ἀντιγόνου κατὰ τὴν παλαιὰν Γάζαν τῆς Συρίας, καὶ καταστρέφουσιν αὐτοῦ τὴν δύναμιν ὁλοτελῶς (Διόδ. ιθ, 715—718). Μετὰ ταῦτα, μαθὼν ὁ Πτολεμαῖος τὸν Ἀντίγονον ἐπερχόμενον δυνάμει πολλῇ, καταλείπει τὴν Συρίαν, κατασκάψας Ἄκκην, πόλιν Συροφοινίκης, καὶ Ἰόππην καὶ Σαμάρειαν καὶ Γάζαν· καὶ τῶν ἐν αὐταῖς χρημάτων πλῆθος, ὅσον ἦν δυνατὸν, ἀναλαβὼν ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς τὴν Αἴγυπτον (Διόδ. ιθ, 721) (α). Τότε παρηκολούθησαν τῷ Πτολεμαίῳ εἰς τὴν Αἴγυπτον καὶ πολλοὶ τῶν τῆς Συρίας κατοίκων, ἀγαπῶντες αὐτοῦ τὴν πρᾳότητα καὶ φιλανθρωπίαν. Ἐν δὲ τούτοις ἦν καὶ Ἐζεκίας, εἷς τῶν Ἰουδαίων Ἀρχιερέων (Ἑκαταῖος, παρ' Ἰωσήπ. κ. Ἀππίων. Α. §. κϐ.). Ὁ δὲ Σέλευκος εὐθὺς μετὰ τὴν ἧτταν τοῦ Δημητρίου κατέλαβε τὴν Βαϐυλῶνα, *Νικάτωρ* προσαγορευθείς. Καὶ τοῦτο τὸ ἔτος ἀριθμεῖται πρῶτον τῆς ἐποχῆς τῶν Σελευκιδῶν (Εὐσέϐ. Χρονικ.). Τῷ δ' αὐτῷ ἔτει, ἢ τῷ ἐφεξῆς, τίθεται καὶ ἡ γέννησις τῆς Πτολεμαΐδος, τρίτης θυγατρὸς Πτολεμαίου καὶ Εὐρυδίκης.

§. ί. Ὀλυμπ. ριζ, τὸ γ. Ὁ Πτολεμαῖος ἐπέγημε καὶ τὴν Βερενίκην ἐρασθεὶς, ἄγουσαν ἔτος ἤδη 29· (ἐκ τούτου, ἴσως, καὶ ὁ Κάσσανδρος, ἀδελφὸς τῆς Εὐρυδίκης, ἀπέϐη πρὸς αὐτὸν ὑπόψυχρος).

§. ιά. Ὀλυμπ. ριζ, τὸ δ. Τοῦτο τὸ ἔτος ὁ Πτολεμαῖος πλεύσας μετὰ δυνάμεως παρέλαβε τὴν Φασηλίδα, πόλιν τῆς Κιλικίας, καὶ Ξάνθον, Λυκίας πόλιν, καὶ τὴν Καῦνον (τῆς Καρίας)· ἔπειτα κατέ-

---

(α) Πρϐλ. Κάστορα, παρ' Ἰωσήπ. κ. Ἀπίων. Α. §. κϐ. Ὁ δὲ Χαμπολλιὼν (Annal. des Lagid. Tom. 1. p. 323 καὶ T. 2. 388) τίθησι ταῦτα τὰ περιστατικὰ τῷ γ, τῆς ρις, Ὀλυμπ. — Σημ. ἡμετ.

πλευσεν εἰς Κῶν (Διόδωρ. κ. 746). Ἐπηκολούθει δὲ καὶ Βερενίκη τῷ Πτολεμαίῳ κατὰ τὰς ἐκστρατείας· καὶ τοῦτο τὸ ἔτος (ἢ τὸ ἐφεξῆς) τίθεται ἡ γέννησις τοῦ Πτολεμαίου (τοῦ μετέπειτα Φιλαδέλφου), υἱοῦ τοῦ Σωτῆρος καὶ τῆς Βερενίκης, γεννηθέντος ἐν τῇ νήσῳ Κῷ· [βλ. ὄπισθ. σελ. 147].

§. ιϐ΄. Ὀλυμπ. ριη, τὸ α. Πτολεμαῖος ὁ Σωτὴρ ἔπλευσεν ἐκ τῆς Μύνδου μεγάλῳ στόλῳ εἰς τὴν Ἑλλάδα (ὡς τὰς Ἑλληνίδας πόλεις ἐκ τῆς Μακεδόνων δυναστείας ἐλευθερώσων). Καὶ τὴν Ἄνδρον ἠλευθέρωσεν ἐν τῷ παράπλῳ. Κομισθεὶς δὲ καὶ εἰς τὸν Ἰσθμὸν παρέλαϐε Σικυῶνα καὶ Κόρινθον. Ἐπειδὴ δὲ οἱ Πελοποννήσιοι, χρήματα καὶ σῖτον ὑποσχεθέντες, οὐδὲν τῶν ὁμολογηθέντων ἐξετέλουν, ἀγανακτήσας ὁ Πτολεμαῖος, πρὸς μὲν τὸν Κάσσανδρον εἰρήνην ἐποιήσατο· τὴν δὲ Κόρινθον καὶ Σικυῶνα διὰ φρουρᾶς ἀσφαλισάμενος, ἀνεχώρησεν εἰς Αἴγυπτον (Διόδωρ. κ. 751) (α).

§. ιγ΄. Ὀλυμπ. ριη, τὸ ϐ. Δημήτριος ὁ Πολιορκητὴς, δύναμιν παρὰ τοῦ πατρὸς Ἀντιγόνου μεγάλην λαϐὼν, ἔπλευσεν ἐκ τῆς Ἐφέσου εἰς τὴν Ἑλλάδα πάσας τὰς ἑλληνίδας πόλεις, κατὰ τὸ παράγγελμα τοῦ πατρὸς, ἐλευθερώσων, καὶ πρώτην τὴν Ἀθηναίων, φρουρουμένην ὑπὸ Κασσάνδρου. Καὶ ταύτην ἐλευθεροῖ, ἐκϐαλὼν Δημήτριον τὸν Φαληρέα, ὃν ὁ Κάσσανδρος εἶχε καταστήσας ἐπιμεμελητὴν τῆς πόλεως· ἐπεστάτησε δὲ ταύτης ὁ Φαληρεὺς δι᾽ ὅλης δεκαετίας. (Διόδ. 756). Τότε τὸν Πολιορκητὴν Δημήτριον οἱ Ἀθηναῖοι τιμαῖς ἐτίμησαν ἰσοθέοις. Αὐτὸς δὲ διατρίϐων ἐν Ἀθήναις νυμφεύεται Εὐρυδίκην, τὴν χήραν Ὀφέλλα, Κυρήνης ἡγεμονεύσαντος (Πλούταρχ. Δημητρ. βλ. καὶ ὄπισθ. σελ. 145). Μετὰ ταῦτα στρατεύει εἰς Κύπρον, καὶ νικήσας τὰς ἐκεῖ δυνάμεις Πτολεμαίου τοῦ Σωτῆρος, κατέσχε τὴν νῆσον. Ἐπὶ ταύτῃ τῇ νίκῃ ἐπαρθεὶς ὁ Ἀντίγονος ἀνέλαϐε διάδημα, καὶ ὠνομάσθη βασιλεύς· καὶ τὸν υἱὸν

(α) Κατὰ τὸν Champol. (Annal. T. ι. p. 318) ὁ Πτολεμ. ἔπλευσε μὲν τῷ δ, τῆς ριζ, ἐπανῆλθε δὲ εἰς Αἴγυπτον τῷ α, τῆς ριη.

Δημήτριον ὡσαύτως ἀνηγόρευσε βασιλέα. Πρὸς τούτων τὸ παράδειγμα παρευθὺς καὶ οἱ λοιποὶ δυνάσται, ἢ σατράπαι, Σέλευκος, Λυσίμαχος, Κάσσανδρος, ἀνηγορεύθησαν καὶ αὐτοὶ βασιλεῖς (Διόδ. κ, 756, 761. Πλούταρχ. Δημητρ.). Τοῦτο τὸ ἔτος καὶ Μάγας υἱὸς Βερενίκης, μεσιτείᾳ τῆς μητρὸς, κατέστη ὑπὸ Πτολεμαίου Κυρήνης ἡγεμών.

§. ιδ΄. Ὀλυμπ. ριη, τὸ γ. Ἀντίγονος καὶ Δημήτριος ὁ υἱὸς στρατεύουσι μετὰ δυνάμεως πολλῆς εἰς Αἴγυπτον κατὰ Πτολεμαίου, καὶ μάτην πειραθέντες τῆς εἰς Αἴγυπτον εἰσβολῆς ἐπανῆλθον ἄπρακτοι εἰς Συρίαν. Ὁ δὲ Πτολεμαῖος μετὰ τὴν ἀπαλλαγὴν τῶν πολεμείων περιχαρὴς γενόμενος, καὶ θύσας τοῖς Θεοῖς χαριστήρια, τοὺς φίλους εἱστία λαμπρῶς (Διόδωρ. κ. 772). Κατὰ δὲ τὸ προσεχὲς ἔτος ὁ Δημήτριος πολιορκεῖ τὴν Ῥόδον ματαίως [ἐβοήθει δὲ Ῥοδίοις ὁ Πτολεμαῖος. Τότε καὶ Σωτὴρ ὑπ᾽ αὐτῶν ἐπωνομάσθη τιμηθείς. βλ. ὄπισθ. σελ. 156]. Ἐπὶ τούτου τοῦ ἔτους (Ὀλυμπ. ριη, τὸ δ) δύναται τεθῆναι καὶ ἡ γέννησις τῆς ἑτέρας Ἀρσινόης, θυγατρὸς τοῦ Σωτῆρος καὶ τῆς Βερενίκης, ἣν καὶ ταύτην Ἀρσινόην ὠνόμασεν ὁ πατὴρ, ὡς καὶ τὴν ἐξ Εὐρυδίκης. Οὕτω καὶ υἱὸν Πτολεμαῖον ἐξ Εὐρυδίκης ὀνομάσας (τὸν Κεραυνὸν), ὠνόμασε καὶ ἄλλον Πτολεμαῖον ἐκ Βερενίκης (τὸν Φιλάδελφον).

§. ιέ. Ὀλυμπ. ριθ. τὸ β. Δημήτριος ὁ Πολιορκητὴς νυμφεύεται Δηϊδάμειαν τὴν Πύῤῥου ἀδελφὴν (Πλούταρχ. Δημητρ.)· τῷ δ᾽ αὐτῷ ἔτει κατέσχε καὶ πόλεις τινὰς τῆς Πελοποννήσου· παρέλαβε δὲ καὶ τὴν Σικυῶνα καὶ τὴν Κόρινθον (α). Καὶ ἀναγορεύεται ἡγεμὼν τῆς Ἑλλάδος, ὡς πρῴην ὁ Φίλιππος καὶ Ἀλέξανδρος (Πλούταρχ. Ἀλεξ. §. κε. — Διόδωρ. κ, 786). Τῷ δ᾽ ἐφεξῆς ἔτει συμμαχία τῶν ἄλλων βασιλέων συνίσταται κατὰ Ἀντιγόνου ἰσχυρὰ (Διόδ. κ. 787, 788)· καὶ ὁ Δημήτριος εἰρήνην πρὸς Κάσσανδρον πρόσκαιρον ποιεῖται, καὶ διαπεραιοῦται εἰς τὴν Ἀσίαν, τῷ πατρὶ βοηθήσων ἐναντίον Λυσιμάχου καὶ Σελεύκου καὶ Πτολεμαίου τοῦ Σωτῆρος, καὶ

(α) Κατὰ τὸν Champol. Ὀλυμπ. — ριθ. τὸ α.

αὐτοῦ Κασσάνδρου, συμμαχοῦντος ἐκείνοις (Διόδ. κ. 789—792) (α).

§. ιϛ'. Ὀλυμπ. ριθ, τὸ α. Συγκροτεῖται μάχη ἐν Ἰψῷ τῆς Φρυγίας (Ἀῤῥιαν. Ζ: — Πλούταρχ. Πύῤῥ: — Ἀππιαν. Συριακ:), καὶ νικῶσιν οἱ τέσσαρες βασιλεῖς, καὶ πίπτει μαχόμενος ὁ Ἀντίγονος, ἐτῶν 81 (Λουκιαν. Μακροβ.), ἢ 86 (Πορφύρ.) (β)· φεύγει δὲ ὁ Δημήτριος μετὰ τῆς μητρὸς Στρατονίκης καὶ τῶν θησαυρῶν εἰς Σαλαμῖνα τῆς Κύπρου (Διόδ. ἐκλογ. τοῦ κα βιβλ. §. α). Ἐπὶ ταύτης τῆς μάχης Ἀντίγονος ὁ Σελεύκου (ὅστις διῴκει τὸ ἱππικὸν), ἦγεν ἔτος περίπου 22, γεννηθεὶς ἐκ τῆς περσίδος Ἀπάμας, Ἀρταβάζου θυγατρὸς, ἣν Ἀλέξανδρος ὁ μέγας συνῴκισε μετὰ τοῦ Σελεύκου, ὅτε συνῆπτεν εἰς γάμον τοὺς ἰδίους ἑταίρους καὶ Στρατηγοὺς μετὰ γυναικῶν περσίδων. (Πλούταρχ. ἐν Δημητρ. §. κθ, λα, καὶ ἐν Εὐμέν. §. α. πρβλ. Ἀῤῥιαν. ζ. 4. Στράβ. 578). Ὁ δὲ Πύῤῥος (ἐκπεσὼν τῆς Ἠπείρου, καὶ πρὸς τὸν γαμβρὸν Δημήτριον τὸν Ἀντιγόνου καταφυγὼν) ἦγε τότε ἔτος περίπου 17 [ἴσ. 19], διατρίβων ἐν Ἑλλάδι, καὶ φυλάττων τὰς πόλεις, ὅσας αὐτῷ κατεπίστευσεν ὁ Δημήτριος, εἰς τὴν Ἀσίαν ἀναχωρῶν (Πλούταρχ. Πύρ. §. δ).

§. ιζ'. Περὶ τὰς ἀρχὰς τοῦ β. τῆς ριθ, Ὀλυμ. ὁ Λυσίμαχος ἔγημεν Ἀρσινόην, τὴν ἐξ Εὐρυδίκης θυγατέρα τοῦ Σωτῆρος, ἄγουσαν ἔτος 17 (γ). Τῷ δ' αὐτῷ ἔτει καὶ Σέλευκος, μιμούμενος Λυσίμαχον, ἔπεμψε πρὸς Δημήτριον τὸν Ἀντιγόνου, ζητῶν εἰς γυναῖκα

(α) Κατὰ τὸν Champol. Ὀλυμπ. ριθ. τὸ β. — (β) Ὁ Champol. τὴν ἐν Ἰψῷ μάχην τίθησι τῷ δ, τῆς ριθ. (Annal. des Lagid. T. 1. p. 370 καὶ Tom. 2. p. 389.)

(γ) Οὕτω καὶ Ὑσσέριος (Usser. Annal. V. T. ad. an. period. Julian. 4414. p. 462), καὶ Βαλλάντης (Vaillant Hist. Regum Syriae p. 18) ὁμολογοῦσιν ὅτι ἡ Ἀρσινόη αὕτη θυγάτηρ ἦν Πτολεμαίου καὶ Εὐρυδίκης (ὡς καὶ Μέμνων, παρὰ Φωτ. κώδηκ. 224, καὶ Ἰουστῖνος ιζ, 2. καὶ κϛ, 2). διὸ καὶ ὁμομήτριος καὶ ὁμοπάτριος αὐταδέλφη τοῦ Κεραυνοῦ. Βεβαιοῦται δὲ τοῦτο κἀκεῖθεν· ὅτι ταύτην ἔγημεν ὕστερον, οὐχὶ κατὰ τοὺς Ἑλλήνων νόμους, οἵτινες ἀπαγορεύουσι τὸν μετ' ἀδελφῆς ὁμομητρίου γάμον, συγχωροῦντες μόνον τὸν μεθ' ὁμοπατρίου (Cornel. Nep. praef. not. 3. ed. Paris 1675· καὶ Potters Archaeol. Graec. L. I. c. 26), ἀλλὰ κατὰ τὸ πάτριον τοῖς Αἰγυπτίοις (Μέμν. αὐτόθ.), οἵτινες συνοικίζουσιν εἰς γάμον καὶ τοὺς ἀμφοτέρωθεν ἀδελφοὺς (Δίων Κάσσ. ΜΒ. σελ. 201. ἔκδ. Hanov. 1606: Παυσαν. Ἀττικ.). (βλ. καὶ ὄπισθ. σελ. 178).

τὴν ἐκ τῆς Φίλας αὐτοῦ θυγατέρα Στρατονίκην, ἑκκαιδεκαέτη περίπου τὴν ἡλικίαν· καὶ ὁ δυστυχῶν Δημήτριος, ἀνέλπιστον εὐτυχίαν νομίζων τὴν μετὰ Σελεύκου κηδεστίαν, ἀναλαβὼν τὴν κόρην ἔπλευσεν εἰς Συρίαν, ὅπου ἀπήντησεν αὐτῷ ὁ Σέλευκος περὶ πόλιν Ῥωσὸν, κἀκεῖ ἐτελέσθησαν οἱ γάμοι. Ὁ δὲ Δημήτριος κατέσχε τὴν Κιλικίαν, καὶ Φίλαν τὴν γυναῖκα ἔπεμψε πρὸς τὸν ἀδελφὸν αὐτῆς Κάσσανδρον, ἀπολύσουσαν αὐτὸν ἀπὸ τῶν κατηγοριῶν τοῦ Πλειστάρχου (καὶ τούτου ἀδελφοῦ τοῦ Κασσάνδρου· εἶχε δὲ τὴν Κιλικίαν ὁ Πλείσταρχος, γέρας αὐτῷ δοθεῖσαν ὑπὸ τῶν βασιλέων μετὰ τὴν πρὸς Ἀντίγονον μάχην). Ἐν δὲ τούτῳ καὶ Δηϊδάμεια πρὸς τὸν Δημήτριον ἦλθεν ἐξ Ἀθηνῶν, ἥτις καὶ μετ᾽ ὀλίγον τελευτᾷ (Πλούταρχ. Δημήτρ. §. λϐ). Ἔπειτα δὲ καὶ Πτολεμαῖος ὁ Σωτὴρ διὰ τοῦ Σελεύκου πρὸς τὸν Δημήτριον διαλλαγεὶς ὑπέσχετο δώσειν αὐτῷ γυναῖκα τὴν Πτολεμαΐδα, νεωτάτην τῶν ἐξ Εὐρυδίκης αὐτοῦ θυγατέρων, ἑνδεκαετῆ τότε περίπου τὴν ἡλικίαν (Πλούταρχ. Δημητρ. §. λϐ, καὶ Πύῤῥ. §. δ).

§. ιή. Ὀλυμπ. ρκ, τὸ γ. Ἀποθνήσκει Κάσσανδρος (α), τρεῖς υἱοὺς ἐκ τῆς Θεσσαλονίκης καταλιπὼν (Φίλιππον ἐτῶν 18, καὶ Ἀντίπατρον ἐτῶν 17, καὶ Ἀλέξανδρον ἐτῶν 16. Ἰουστῖν. βιϐλ. ις. 1. — Παυσαν. Θ, 7). Καὶ Φίλιππος μὲν διαδεχθεὶς τὴν βασιλείαν ἀποθνήσκει μετ᾽ ὀλίγον. Οἱ δὲ λοιποὶ δύω ἀδελφοὶ διαστασιάζουσι πρὸς ἀλλήλους περὶ τῆς διαδοχῆς. Κατὰ τὸ αὐτὸ ἔτος καὶ Πύῤῥος ἐν Αἰγύπτῳ παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίϐων, νυμφεύεται Ἀντιγόνην, μίαν τῶν ἐκ τοῦ πρώτου ἀνδρὸς θυγατέρων τῆς Βερενίκης· καὶ χρήματα λαϐὼν καὶ δύναμιν παρὰ Πτολεμαίου κατάγεται εἰς τὴν βασιλείαν τῆς Ἠπείρου (Πλούταρχ. Πύρ. §. ε. Παυσαν. Α. 10).

§. ιθʹ. Ὀλυμπ. ρκ, τὸ δ. Ἀντίπατρος (ὁ Κασσάνδρου) νυμφεύ-

(α) Παυσαν. Θ. ζ. σελ. 575. ἔκδ. Bekker. « (Κάσσανδρος) τὸν ϐίον κατέστρεψεν. Ἐπελήφθη γὰρ ὑδέρῳ, καὶ ἀπ᾽ αὐτοῦ ζῶντι ἐγένοντο εὐλαί » κτλ. Ὅπου γραπτέον (οἶμαι), καὶ οἱ ἀπ᾽ αὐτοῦ. Ἀλλὰ καὶ ἐφεξῆς (αὐτόθ.) ἀντὶ τοῦ Κασσάνδρῳ μὲν » ἴσως γρ. « ΚΑΙ Κασσάνδρῳ μὲν κτλ. Σημ. ἡμετ.

ται Εὐρυδίκην θυγατέρα τοῦ Λυσιμάχου. Ἀλέξανδρος δὲ Λυσάνδραν, τὴν Πτολεμαίου τοῦ Σωτῆρος καὶ Εὐρυδίκης, ἣν ἔπεμψε πρὸς αὐτὸν ὁ Πτολεμαῖος ἐκ τῆς Αἰγύπτου ὑπὸ τὴν ἐπιμέλειαν Μενελάου τοῦ ἰδίου ἀδελφοῦ (α). Τῷ δ' αὐτῷ ἔτει καὶ Σέλευκος ἐκ τῆς Στρατονίκης Φίλαν ἐγέννησεν, ἣν ἔγημεν ὕστερον Ἀντίγονος ὁ Γονατᾶς (β). Κατὰ δὲ τὸ α, τῆς ρκα, Ὀλυμπ. ὁ Πύῤῥος ἀσφαλισθεὶς εἰς τὴν βασιλείαν, καὶ τῶν εὐεργετῶν αὐτοῦ μεμνημένος, Πτολεμαίου καὶ Βερενίκης, τό,τε παιδίον τὸ γεννηθὲν ἐκ τῆς Ἀντιγόνης Πτολεμαῖον ὠνόμασε, καὶ πόλιν οἰκίσας ἐν τῇ Χεῤῥονήσῳ τῆς Ἠπείρου Βερενικίδα προσηγόρευσε (Πλούταρχ. Πύρ. §. ϛ).

§. κ'. Ὀλυμπ. ρκα, τὸ β. Ὁ Ἀντίπατρος ἀποκτείνει τὴν μητέρα Θεσσαλονίκην. Ἀλέξανδρος δὲ Πύῤῥον προσκαλεῖται βοηθὸν καὶ Δημήτριον τὸν Πολιορκητήν. Φεύγει πρὸς Λυσίμαχον ὁ Ἀντίπατρος. Ἀποκτείνει δὲ τὸν Ἀλέξανδρον ὁ Δημήτριος, καὶ γίνεται κύριος τῆς Μακεδόνων βασιλείας (Ἰουστῖν. ιϛ. Πλούταρχ. Πύρ. κτλ. βλ. καὶ ὄπισθ. Κεφ. Δ. §. θ—ι (γ)). Τότε καὶ Λυσάνδρα, ἡ τοῦ Ἀλεξάνδρου χήρα, κατέφυγεν εἰς τὴν αὐλὴν τοῦ Λυσιμάχου παρὰ τὴν αὐταδέλφην αὐτῆς Ἀρσινόην. Ἐν δὲ τούτῳ καὶ Πτολεμαῖος ὁ Σωτὴρ τὴν Κύπρον ἀνακτησάμενος, καὶ τὴν μητέρα τοῦ Δημητρίου (τὴν Στρατονίκην) καὶ τὰ τέκνα λαβὼν ἐν Σαλαμῖνι τῆς Κύπρου, πέμπει πρὸς αὐτὸν ἐλευθέρους, δῶρα προσθεὶς καὶ τιμὰς (Πλούταρχ. Δημητρ. §. λη.) (δ).

(α) Vaillant. Hist. Ptolemaeor. p. 19. (Βλ. Πορφυρ. παρ' Εὐσεβ. Χρον. Α. σελ. 173. Mediol.). — (β) Vaillant. Hist. Reg. Syriae p. 19. — (γ) Πρόσθες καὶ Διοδωρ. Ἐκλογ. (Τ. β. σελ. 490. Wess). Ὅπου ὁ Ἐκλογεὺς μεταγράψας ὀρθῶς ἐκ τοῦ Διοδώρου «ὅτι Ἀλέξανδρος δολοφονεῖται ὑπὸ τοῦ Δημητρίου» — προστίθησι καὶ «Ὁμοίως καὶ Ἀντίπατρον τὸν μητραλοίαν — καὶ αὐτὸν ἐδολοφόνησεν» (ὁ Δημήτριος δηλαδὴ) κτλ. Οὕτω συνετάραξε τὴν ἱστορίαν, Δημήτριον εἰπὼν φονέα τοῦ Ἀντιπάτρου, ἀντὶ Λυσίμαχον (ὡς ἔγραψε πάντως ὁ Διόδωρος. βλ. ὄπισθ. σελ. 83.). Σημ. ἡμετ.

(δ) Ὁ Champol. (Τ. 2. p. 389) τὴν ἀπὸ τοῦ Σωτῆρος ἀνάκτησιν τῆς Κύπρου τίθησι μεταξὺ τοῦ β, καὶ δ, τῆς ρκ, Ὀλυμπ. Τότε καὶ τὴν ἀρχὴν τῆς ἐν Φάρῳ τοῦ πύργου οἰκοδομῆς· καὶ τὸν Δημήτριον ἀναλαβόντα τὴν Μακεδ. βασιλείαν τῷ δ, τῆς ρκ.

§. κά. Ὀλυμπ. ρκα, τὸ γ. Δημήτριος ὁ Πολιορκητὴς πέμπει τὸν υἱὸν Ἀντίγονον (τὸν ὕστερον ἐπικληθέντα Γονατᾶν) κατὰ τῶν Βοιωτῶν, ἔτος ἄγοντα τότε 21. (α). Αὐτὸς δὲ ἐξώρμησεν εἰς Θράκην, ὡς ἔρημον καταληψόμενος τὴν βασιλείαν τοῦ Λυσιμάχου, ζωγρηθέντος ὑπὸ Δρομιχαίτου, Γετῶν βασιλέως, πρὸς ὃν ἐπολέμει. Ἐπειδὴ δὲ μετ᾽ ὀλίγον ὁ Δρομιχαίτης ἀπέλυσε τὸν Λυσίμαχον, φιλανθρώπως ξενίσας καὶ φιλίαν συνθέμενος (Στράϐ. Ζ. 302, 305), τοῦτο καθ᾽ ὁδὸν ἀκούσας ὁ Πολιορκητὴς ἐπανῆλθε πάλιν κατὰ τάχος εἰς τὰ οἰκεῖα, καὶ τὴν Βοιωτίαν καθυπέταξε καὶ τὰς Θήϐας (Πλούταρχ. Δημητρ.). Τοῦτο τὸ ἔτος πιθανῶς καὶ Δημήτριος ὁ Φαληρεὺς ἀνεχώρησεν ἐκ Θηϐῶν εἰς τὴν Αἴγυπτον πρὸς Πτολεμαῖον τὸν Σωτῆρα (βλ. ὄπισθ. Κεφ. Δ. §. ια) (ϐ). Τῷ δ᾽ ἐφεξῆς ἔτει (Ὀλυμπ. ρκα, τὸ δ) Ἀγαθοκλῆς ὁ Λυσιμάχου νυμφεύεται Λυσάνδραν, τὴν Ἀλεξάνδρου χήραν (§. κ), καὶ θυγατέρα τοῦ Σωτῆρος καὶ τῆς Εὐρυδίκης (γ). Κατὰ τὸ αὐτὸ ἔτος τίθεται πιθα-

---

(α) Vaillant Hist. Ptolem. p. 19, 20: — (ϐ) Ὁ δὲ Champol. τίθησι τὴν εἰς Αἴγυπτον ἄφιξιν τοῦ Φαληρέως, τῷ ϐ, τῆς ριη, ὡς καὶ Διόδωρος, καὶ Εὐσέϐιος (ϐλ. ὄπισθεν σελ. 82.) — Σημ. ἡμετ.

(γ) Παυσαν. Α. θ. «Ὡς δὲ ἐπανῆλθεν» (ὁ Λυσίμαχος ἀφεθεὶς ὑπὸ Δρομιχαίτου), «Ἀγαθοκλεῖ Λυσάνδραν γυναῖκα ἠγάγετο, Πτολεμαίου τε τοῦ Λάγου καὶ Εὐρυδίκης οὖσαν». — Ὅτι δὲ ἡ Λυσάνδρα αὕτη ἦν ἡ χήρα τοῦ Κασσανδρίδου Ἀλεξάνδρου μαρτυρεῖ Πορφύριος. «Ἀλέξανδρος δὲ (ὁ Κασσάνδρου) γαμεῖ Λυσάνδραν τὴν τοῦ Πτολεμαίου» κτλ. (παρ᾽ Εὐσεϐ. Χρονικ. Α. σελ. 173 Mediol.) Ἀλλ᾽ ἐφεξῆς ὁ Παυσανίας (Α 1.) λέγει· «Λυσίμαχος ἡλικίᾳ τε ἤδη προήκων, καὶ ἐς τοὺς παῖδας αὐτός τε νομιζόμενος εὐδαίμων, καὶ Ἀγαθοκλεῖ π α ί δ ω ν ὄ ν τ ω ν ἐ κ Λ υ σ ά ν δ ρ α ς, Ἀρσινόην ἔγημεν ἀδελφὴν Λυσάνδρας»· — τίθησι λοιπὸν ὁ Παυσανίας τὸν Λυσιμάχου μετ᾽ Ἀρσινόης γάμον ὕστερον (τρία τουλάχιστον ἔτη, τουτ. τῷ γ. τῆς ρκϐ.) μετὰ τὴν συνοίκησιν Ἀγαθοκλέους καὶ Λυσάνδρας. Ἀλλὰ τοῦτο φαίνεται πολὺς μεταχρονισμός. Καὶ γὰρ α) ὁ Λυσίμαχος ἀπέθανε τὸ δ. τῆς ρκδ. (ἤγουν ἔτει σχεδὸν ὀ γ δ ό ῳ, ἀφ᾽ οὗ ἔγημε τὴν Ἀρσινόην, κατὰ τὸν Παυσαν.)· ἀλλ᾽ ἡ Ἀρσινόη τότε εἶχε τὸν πρεσϐύτατον τῶν ἐξ αὐτοῦ παίδων ἑκκαιδεκαετῆ (Justin. 24 3). — ϐ) Ὁ Μέμνων ἱστορεῖ σαφῶς ὅτι ὁ Λυσίμαχος ἔγημε τὴν Ἀρσινόην διαζυγεὶς τῆς πρώτης γυναικὸς Ἀμάστριδος, πρὶν ἔτι κτίσῃ αὕτη τὴν ἐπώνυμον πόλιν Ἄμαστριν, ἧς ἦρχε Κλέαρχος ὁ υἱὸς αὐτῆς, καὶ πολὺ πρὶν ἢ ζωγρηθῇ τοῖς Γέταις πολεμῶν ὁ Λυσίμαχος, ὁπότε καὶ αὐτὸς ὁ Κλέαρχος συστρατευόμενος ἑάλω (Μέμν. κεφ. ε. παρὰ Φωτ. ἀναγ. σκδ.) τὴν δὲ Λυσάνδραν ἠγάγετο τῷ Ἀγαθοκλεῖ ἤδη τῶν Γετῶν ἀπολυθεὶς ὁ ὁ Λυσίμαχος. Ἄλλας ἀποδείξεις τοῦ κατὰ Παυσανίαν τούτου μεταχρονισμοῦ παραλείπομεν. Τοῦτον δὲ παρεδέχθησαν

νῶς καὶ ἡ γέννησις τῆς Ἀρσινόης, θυγατρὸς Λυσιμάχου καὶ Ἀρσινόης, τῆς τοῦ Σωτῆρος ἐξ Εὐρυδίκης (§. ιζ). (Ταύτην τὴν Λυσιμάχου Ἀρσινόην ἐπέγημεν ὕστερον ὁ Φιλάδελφος. βλ. ἐφεξῆς §. λγ.).

§. κϐ'. Ὀλυμπ. ρκγ. τὸ α. Ἐλεάζαρος ὁ Σίμωνος τοῦ ἀρχιερέως ἀδελφὸς διαδέχεται τοῦτον εἰς τὴν ἀρχιερατείαν τῶν Ἰουδαίων, ἀρχιερατεύσας ἐπὶ ἔτη τριάκοντα δύω (Εὐσέϐ. Χρονικ. Καν.). Τούτῳ τῷ ἔτει καὶ Δημήτριος, στόλον καὶ δυνάμεις μεγάλας ἀθροίζων, ὡς ἀνακτησόμενος πᾶσαν τὴν πατρῴαν βασιλείαν, ἀποϐάλλει καὶ τὴν Μακεδονίαν, συστάντων ἐπ᾽ αὐτὸν τῶν βασιλέων, Σελεύκου καὶ Πτολεμαίου καὶ Λυσιμάχου καὶ Πύῤῥου, καὶ καταφεύγει εἰς Κασσάνδρειαν· ὅπου ἡ γυνὴ Φίλα, μὴ φέρουσα βλέπειν αὐτὸν πάλιν ἰδιωτεύοντα καὶ φυγάδα, πίνει φάρμακον, καὶ ἀποθνήσκει ἐτῶν 53 (Πλούταρχ. Δημητρ. καὶ Πύῤῥ.). Αὐτὸς δὲ διελθὼν δι᾽ Ἀθηνῶν καὶ Θηϐῶν, καὶ τὰς ὑποληφθείσας δυνάμεις συναγαγὼν, ἔπλευσεν εἰς Ἀσίαν. Ἐκεῖ περὶ τὴν Μίλητον δέχεται τοῦτον ἡ Εὐρυδίκη (ἡ Ἀντιπάτρου θυγάτηρ, Φίλας ἀδελφὴ, καὶ πρώτη Πτολεμαίου τοῦ Σωτῆρος γυνὴ, φυγοῦσα ἤδη ἐκ τῆς Αἰγύπτου), ἔχουσα μεθ᾽ ἑαυτῆς καὶ τὴν κόρην Πτολεμαΐδα, τὴν ἤδη πρὸ πολλοῦ τῷ Δημητρίῳ μεμνηστευμένην (§. ιζ)· καὶ νυμφεύεται ταύτην ὁ Δημήτριος ἄγουσαν ἔτος 23. Αὐτὴ δὲ ἡ Εὐρυδίκη ὑπῆρχε τότε 49, ἢ 50 ἐτῶν. (Ὁ δὲ σοφὸς Ὄδιος ἠπατήθη, συγχύσας ταύτην τὴν Εὐρυδίκην πρὸς τὴν χήραν τοῦ Ὀφέλλα. βλ. §. ιγ. καὶ σελ. 144: (α)). Τῷ δ᾽ ἐφεξῆς ἔτει (Ὀλυμπ. ρκγ, τὸ β) γεννᾶται τῷ Δημητρίῳ ἐκ τῆς Πτολεμαΐδος υἱὸς Δημήτριος, ὅστις ὕστερον « *ἦρξε Κυρήνης* » (Πλούταρχ. Δημητ. §. νγ) (ϐ). Αὐτὸς δὲ ὁ Πολιορ-

ἀταλαιπώρως καὶ οἱ πλεῖστοι τῶν νεωτέρων. (Βλ. Visconti Iconogr. Grec. vol. 3. p. 213. etc.) — Σημ. ἡμετ.

(α) Ὀφέλλας γράφεται παρὰ Διοδώρῳ (κ, 41, καὶ ιη, 631 Τ. ϐ. σελ. 274 Wessel.), καὶ παρὰ τῷ Ἀῤῥιανῷ (Φωτ. ἀναγ. qϐ. σελ. 217), καὶ Ἰουστίν. (XXII 7). Παρὰ δὲ τῷ Πλουτάρχῳ Ὀφέλτας (Δημητ. §. ιδ). Οὕτω καὶ παρὰ Παυσαν. (Β, 15: Θ. 5) ἐπ᾽ ἄλλων οὕτω καλουμένων. — Σημ. ἡμετ.

(ϐ) Ἀλλ᾽ ὁ Ἰουστῖνος ἀντιλέγει Πλουτάρχῳ, ἱστορῶν τὸν Δημήτριον τοῦτον πρὶν ἢ ἄρξῃ Κυρήνης δυστυχήσαντα κατ᾽ αὐτὴν καὶ φονευθέντα (Βλ. ἐφεξ. §. λε.). Σημ. ἡμετ.

κητὴς ἐν Ἀσίᾳ πρὸς Σέλευκον πολεμῶν ζωγρεῖται, καὶ ἐγκλείεται εἰς Χερσόννησον τῆς Συρίας, φυλακῆς ἐπισταθείσης ἰσχυρᾶς· καὶ αὐτοῦ μετὰ ἔτη τρία τὸν βίον τελευτᾷ (Πλούταρχ. Δημητρ. §. ν—νβ).

§. κγ'. Ὀλυμπ. ρκγ. τὸ δ. Πτολεμαῖος ὁ Λάγου, ὁ καὶ Σωτὴρ, μοναρχήσας τῆς Αἰγύπτου δι' ἐτῶν 38, (βλ. ὄπισθ. §. α. σημ.)· παραχωρεῖ τὴν βασιλείαν εἰς τὸν ἐκ τῆς Βερενίκης υἱὸν Πτολεμαῖον, τὸν ὕστερον Φιλάδελφον ἐπικληθέντα· ἦγε δὲ τότε ὁ νέος Πτολεμαῖος ἔτος 24. Ταύτης δὲ τῆς παραιτήσεως ἤδη ψηφισθείσης, ἀπελπισθεὶς τῆς διαδοχῆς ὁ ἐκ τῆς Εὐρυδίκης υἱὸς τοῦ Σωτῆρος, Πτολεμαῖος ὁ Κεραυνὸς, ἔφυγεν ἐκ τῆς Αἰγύπτου, σῴζων ἑαυτὸν πρὸς τὸν Σέλευκον εἰς Συρίαν (πρὸς τοῦτον δὲ κατέφυγε τὸ πρῶτον καὶ αὐτὴ ἡ Εὐρυδίκη, τρεῖς [ἴσ. δύω] περίπου πρότερον ἐνιαυτοὺς, προαισθομένη ἴσως τὴν προτίμησιν τοῦ ἐκ τῆς Βερενίκης Πτολεμαίου. βλ. §. κβ). Καὶ τὸν Κεραυνὸν ὁ Σέλευκος ὑπεδέξατο φιλανθρώπως (Ἀππιαν. Συριακ. σελ. 128), καὶ κατάξειν αὐτὸν εἰς τὴν πατρῴαν βασιλείαν ὑπέσχετο μετὰ τὸν θάνατον τοῦ πατρός· [ταύτην δὲ τὴν ὑπόσχεσιν ὁ Μέμνων ὕστερον ἱστορεῖ δοθεῖσαν τῷ Κεραυνῷ παρὰ τοῦ Σελεύκου, ὁπότε τὸ δεύτερον κατέφυγε πρὸς αὐτὸν μετὰ τὸν Ἀγαθοκλέους θάνατον. Μέμν. παρὰ Φωτ. κώδ. σκδ.]. Τοῦτο τὸ ἔτος, καὶ ἴσως ἀφ' οὗ παρέλαβε τὴν βασιλείαν, ὁ Φιλάδελφος ἔγημε δημοσίως (κατὰ τοὺς Αἰγυπτίων νόμους) Ἀρσινόην τὴν ὁμοπάτριον καὶ ὁμομήτριον αὐταδέλφην, ἄγουσαν ἔτος ἤδη περίπου εἰκοστόν (βλ. §. ιδ). Ὅσον ἂν γογγύσωσι κατὰ τῆς Ἀρσινόης ταύτης οἱ πολέμιοι τοῦ Ἀριστέου, οὐδεμίαν οὔτε μαρτυρίαν ἀρχαίαν, οὔτε σκιάν τινα πιθανότητος ἔχουσιν ἐπενεγκεῖν πρὸς ἀπόδειξιν, ὅτι ὁ Φιλάδελφος ἐνυμφεύθη τὴν μόνον ἐκ πατρὸς ἀδελφὴν Ἀρσινόην, τὴν ἐξ Εὐρυδίκης, τὴν χήραν τοῦ Λυσιμάχου· πλὴν ἂν ἐξέλῃς ἕνα μόνον μωρὸν, τὸν Σχολιαστὴν τοῦ Θεοκρίτου, σκότιον ἄνθρωπον, καὶ παντελῶς ἄγνωστον καὶ τ' ὄνομα καὶ τὸν χρόνον καθ' ὃν ἔζη (α).

(α) Ἀλλ' οὐδ' αὐτὸς ὁ τοῦ Θεοκρίτου Σχολιαστὴς διορίζει ῥητῶς ταύτην τὴν

Παραλείπομεν τὸ παντελῶς ἀπίθανον τοῦ πράγματος· πῶς ἂν ἔγημεν ὁ Πτολεμαῖος ἐρασθεὶς γυναῖκα, ἥτις ἔβαψε τὰς χεῖρας εἰς τὸ αἷμα τοῦ ἐπ' ἀδελφῇ (τῇ Λυσάνδρᾳ) γαμβροῦ αὐτῆς (Ἀγαθοκλέους τοῦ Λυσιμάχου); ἥτις συνώμοσε μετὰ τοῦ ἰδίου ἀδελφοῦ (τοῦ τὸν Ἀγαθοκλῆν ἀποκτείναντος Κεραυνοῦ), ἀμειλίκτου ἐχθροῦ τοῦ Φιλαδέλφου; ἥτις, τέλος, ὑπῆρχεν ὀκταετίαν ὅλην πρεσβυτέρα τοῦ Φιλαδέλφου; (α).

Ἀλλὰ παραλείποντες τὰ τοιαῦτα, λέγομεν· α) Ὅτι ἡ τῷ Λυσιμάχῳ συνοικήσασα Ἀρσινόη ὑπῆρχε μόνον ὁμοπάτριος ἀδελφὴ τοῦ Φιλαδέλφου· ἡ δ' αὐτοῦ τοῦ Φιλαδέλφου γυνὴ Ἀρσινόη ὑπῆρχεν *ἑκατέρωθεν* αὐτῷ ἀδελφὴ (Παυσαν. Α. ζ.) — β) Ὅτι ὁ Φιλάδελφος ἔσχε δύω γυναῖκας Ἀρσινόας, μίαν τὴν αὐταδέλφην, καὶ ἄλλην τὴν Λυσιμάχου θυγατέρα· Παυσανίας πάλιν βεβαιοῖ, καὶ προστίθησιν (ἐναντίον τοῦ Σχολιαστοῦ τοῦ Θεοκρίτου), ὅτι πρώτην ἔγημε τὴν ἀδελφὴν ὁ Φιλάδελφος· ἀτέκνου δὲ ταύτης ἀποθανούσης, ἐπέγημε δευτέραν τὴν θυγατέρα τοῦ Λυσιμάχου. Ἰδοὺ τὸ χωρίον τοῦ Παυσανίου· « Οἱ δὲ οἱ παῖδες ἐγένοντο ἐξ Ἀρσινόης οὐ τῆς ἀδελφῆς, Λυσιμάχου δὲ θυγατρός· τὴν δὲ οἱ συνοικήσασαν ἀδελφὴν κατέλαβεν ἔτι *πρότερον ἀποθανεῖν ἄπαιδα* » (Α. ζ). Οἱ δὲ κριτικοί, παρανοήσαντες ἴσως τὸ χωρίον, καὶ προσδιέφθειραν ἐξεπίτηδες· τὸ μὲν γὰρ *παῖδες* ἡρμήνευσαν διὰ τοῦ λατινικοῦ filij (υἱοί), ἐν ᾧ τὸ *παῖδες* κυρίως σημαίνει τέκνα (liberi, ἄῤῥενα καὶ θήλεα δηλονότι)· τὸ δὲ « *ἔτι πρότερον ἀποθανεῖν ἄπαιδα* » μετεποίησαν εἰς τὸ « *πρὶν ἢ τέκῃ ἐτελεύτησεν* »· ἐν ᾧ τὸ μὲν *ἔτι πρότερον* ἀνάγεται εἰς τὴν προηγουμένην ἔννοιαν, τὸ δὲ λοιπὸν

Ἀρσινόην ὡς οὖσαν τὴν αὐτὴν καὶ τὴν ἐξ Εὐρυδίκης, τὴν χήραν τοῦ Λυσιμάχου· λέγει δὲ μόνον ἁπλῶς (καίτοι κατὰ χρόνον ἠπατημένως), ὅτι τὴν ἀδελφὴν Ἀρσινόην ἔγημεν ὁ Φιλάδελφος μετὰ τὴν θυγατέρα τοῦ Λυσιμάχου (βλ. ὄπισθ. Κεφ. Ϛ. §. ιβ. ἄρθρ. ιδ)· ὥστε πολὺ τοῦ δέοντος αὐστηρότερον ἐπέπληξεν ὁ σοφὸς Ἔκδικος τὸν Σχολιαστήν. — Σημ. ἡμετ.

(α) Βλ. ὄπισθ. Κεφ. Ϛ. §. ια. σελ. 176. Πρόσθες καὶ ὅτι παρ' οὐδενὶ τῶν ἱστορικῶν μνημονεύεται ἡ τῆς Ἀρσινόης ταύτης εἰς Αἴγυπτον ἐκ τῆς ἐξορίας ἐπιστροφὴ (αὐτ. §. ιβ. ἄρθρ. ια). — Σημ. ἡμετ.

τῆς φράσεως σημαίνει ὅτι ἀπέθανεν *ἄτεκνος*, τουτέστι *μὴ καταλιποῦσα παῖδας*· καθότι τὸ ἄπαις σημαίνει κυρίως οὐχὶ τὴν μὴ τίκτουσαν παῖδας, ἥτις ὀνομάζεται *στερίφη* (Πολυδεύκ.), ἀλλ' ἁπλῶς καὶ ἀορίστως τὴν *ἄνευ παίδων*, τὴν *ἄτεκνον*· (Πολυδ.) (α). Καὶ πιστεύομεν ἄρα μετ' Ἀριστέου καὶ τοῦ ἀρχιερέως Ἐλεαζάρου, ὅτι ὁ Φιλάδελφος εἶχε τότε παῖδας ἐκ τῆς ἀδελφῆς Ἀρσινόης, οἵτινες ὅμως ἐτελεύτησαν ἔτι ζώσης τῆς μητρός. Ταύτην τὴν βασίλισσαν Ἀρσινόην, πενθοῦσαν τὸν υἱὸν (καὶ ἴσως τὸν ἔσχατον), παρεμύθει καὶ ὁ φιλόσοφος ἐκεῖνος διὰ μύθου εὐφυοῦς, ὡς ὁ Πλούταρχος ἱστορεῖ (Παραμυθ. πρὸς Ἀπολλών.) Ἄλλην δὲ παρὰ ταύτην οὐδεμίαν γνωρίζω *βασίλισσαν Ἀρσινόην* τοιαύτην, εἰς ἣν ἂν ἐφαρμόσοι τὸ διήγημα καταλλήλως καὶ ἀκριβῶς. (βλ. σελ. 194). — γ) Ὅτι ὁ Φιλάδελφος ἐνυμφεύθη τὴν ἰδίαν ἀδελφὴν, ἔτι ζῶντος τοῦ Λυσιμάχου· μαρτυρεῖ δὲ καὶ Σωτάδης κακολογῶν τὸν ἕτερον πρὸς τὸν ἕτερον (βλ. σελ. 168). Εἰ γοῦν ὁ Φιλάδελφος ἐνυμφεύθη τὴν ἀδελφὴν Ἀρσινόην, πρὶν ἢ Λυσίμαχος ἀποθάνῃ, φαίνεται καὶ ἐκ τούτου πρᾶγμα ἀναντίῤῥητον, ὅτι ὁ Σωτὴρ εἶχε δύω θυγατέρας Ἀρσινόας, τὴν μὲν ἐξ Εὐρυδίκης, ᾗ συνῴκει Λυσίμαχος, τὴν δὲ ἐκ Βερενίκης, ἣν ἔγημεν ὁ Φιλάδελφος, ἔτι νέος τὴν ἡλικίαν, ὡς ἐμβριθὴς ἱστορικὸς, ὁ Ἡρωδιανὸς μαρτυρεῖ· (Α. σελ. 3—4). — δ) Ἄλλος μάρτυς ἀναντίῤῥητον αὐθεντίαν καὶ ἀρχαιότητα περιβεβλημένος, ὁ ποιητὴς Θεόκριτος, ἐν Εἰδυλ. ιζ (ὅπερ ἐποίησεν

(α) Ἰδοὺ πῶς ἐξελατίνισαν τὸ χωρίον· Huic filij ex Arsinoe, non sane sorore, sed ea quae Lysimachi filia fuit, nati sunt. Nam soror, quam sibi matrimonio junxerat, antequam p a r e r e t, diem suum obiit (ὡς ἂν εἴπερ ἔγραψεν ὁ Παυσανίας « Οἱ δὲ οἱ υ ἱ ο ὶ ἐγένοντο ἐξ Ἀρσινόης, οὐ δ ή π ο υ τῆς ἀδελφῆς, ἀλλὰ τῆς Λυσιμάχου θυγατρός — Ἡ γὰρ οἱ συνοικήσασα ἀδελφὴ, πρὶν ἢ τ έ κ ῃ, ἐτελεύτησεν). Ἀλλ' ἰδοὺ (λέγει ὁ Ἔκδικος) ὁ γνήσιος νοῦς τοῦ χωρίου τοῦ Παυσανίου· Huic l i b e r i superstites existerunt ex Arsinoe, non sorore, sed Lysimachi filia. Nam ita contigit, quod soror ejus, quae illi prius matrimonio juncta fuit, decesserat, nullis post se liberis relictis. Τουτ. Οἱ δὲ οἱ περιληφθέντες παῖδες ἐγένοντο ἐξ Ἀρσινόης, οὐ τῆς ἀδελφῆς, Λυσιμάχου δὲ θυγατρός. Συνέβη γὰρ τ ὴ ν π ρ ό τ ε ρ ο ν α ὐ τ ῷ σ υ ν ο ι κ ή σ α σ α ν ἀδελφὴν ἀποθανεῖν, μηδένα παῖδα κ α τ α λ ι π ο ῦ σ α ν. Βλ. ὄπισθ. κεφ. ς. §. ιβ. ἀριθμ. ε.

εἰς ἐγκώμιον τοῦ Φιλαδέλφου, μετὰ τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ καὶ τῆς μητρὸς, ἔτι δὲ τότε ζώσης τῆς ἀδελφῆς καὶ γυναικὸς Ἀρσινόης), ἐν τούτῳ δὴ τῷ Εἰδυλλίῳ ὁ Θεόκριτος (στίχ. 38—42) ἐπαινῶν τὸν Σωτῆρα Πτολεμαῖον, καὶ τὴν τούτου πρὸς τὴν σύζυγον Βερενίκην στοργὴν, προστίθησιν ὅτι διὰ τοῦτο καὶ τοῖς (ἐξ αὐτῆς) *αὐτοῦ παισὶν ἐπιτρέπει οἶκον ἅπαντα* » (βλ. ὄπισθ. σελίδι 188). Ἐκ δὲ τούτου δείκνυται σαφῶς οὐ μόνον ὅτι ζῶντος τοῦ πατρὸς παρέλαβε τὴν βασιλείαν ὁ Φιλάδελφος, ἀλλ' ὅτι καὶ κοινωνόν πως τῆς βασιλείας ἔσχε τὴν ὁμόγνιον ἀδελφὴν καὶ σύζυγον Ἀρσινόην, καὶ πρὶν ἔτι τελευτήσῃ ὁ γέρων βασιλεύς. Ἀλλὰ καὶ τῶν γεννητόρων ἀποθανόντων, ἡ Ἀρσινόη συνάμα τῷ Φιλαδέλφῳ τελεῖ τὰς εἰς μνήμην αὐτῶν ὁσίας τιμάς. Ναούς τε γὰρ ἵδρυσε τοῖς γονεῦσιν ὁ Φιλάδελφος, καὶ θυσίας αὐτοῖς προσέφερεν, « *αὐτὸς, καὶ ἡ ἰφθίμη ἄλοχος, ἐκ θυμῶ στέργοισα κασίγνητόν τε πόσιν τε* » (αὐτ. στίχ. 127—130). Τίς ἂν μετὰ ταῦτα ἀμφιβάλλοι δικαίως, εἰ πρώτην ὁ Φιλάδελφος ἔσχε γυναῖκα τὴν ἀδελφὴν Ἀρσινόην, καὶ εἰ ταύτην ἐνυμφεύθη ζῶντος ἔτι τοῦ πατρός; Ὅτι δὲ καὶ συνέζησεν εὐδαιμόνως μετ' αὐτοῦ χρόνον ἱκανὸν ἡ Ἀρσινόη, δείκνυται πάλιν ἰδίως ἐκ τοῦ ιε, Εἰδυλλίου τοῦ Θεοκρίτου, ὅπερ εἰς τιμὴν αὐτῆς ἐκεῖνος ἐποίησεν· ἐποίησε δὲ καὶ τοῦτο πάντως μετά τινας ἐνιαυτοὺς, ἀποθανόντος ἤδη τοῦ Σωτῆρος. Αὐτὴν μὲν γὰρ τὴν Ἀρσινόην *Βεριικείαν θυγατέρα* ῥητῶς ὀνομάζει, « *Ἑλένᾳ εἰκυῖαν* » (κατὰ τὸ κάλλος). Πρὸς δὲ τὸν Φιλάδελφον λέγει· « *Πολλά τοι ὦ Πτολεμαῖε πεποίηται καλὰ ἔργα, ἐξ ὦ ἐν ἀθανάτοις ὁ τεκών* » (στίχ. 46). Ταῦτα δὲ τὰ ἔργα τὰ καλὰ *καὶ πολλὰ* κατώρθωσεν οὐχὶ πάντως διὰ μιᾶς. Ὥστε καὶ ἐκ τούτων φαίνεται πιθανώτατον, ὅτι συνέζησε καὶ χρόνους ἱκανοὺς μετὰ τῆς αὐταδέλφης Ἀρσινόης, εὐθὺς ἐν ἀρχῇ τῆς βασιλείας αὐτὴν νυμφευθείς. — ε) Τὴν πρὸς τοὺς τελευτήσαντας γονεῖς εὐσέβειαν τοῦ Πτολεμαίου καὶ τῆς ἀδελφῆς ἀποδεικνύουσι καί τινα τῶν περισωθέντων μεταλλοσήμων καὶ νομισμάτων. Δύω τούτων φέρουσιν ἔνθεν μὲν δύω κεφαλὰς συνημμένας, μετ' ἐπιγραφῆς ΘΕΩΝ (τοῦ

Α. Πτολεμαίου καὶ τῆς Βερενίκης)· ἑτέρωθεν δὲ δύω ἄλλας, μετ' ἐπιγραφῆς ΑΔΕΛΦΩΝ (τοῦ Φιλαδέλφου δηλαδὴ καὶ τῆς Ἀρσινόης). Ταῦτα δὲ φανερὸν ὅτι ἐκόπησαν ὑπὸ τῶν βασιλευόντων συζύγων *ἀδελφῶν* εἰς μνήμην τῆς *ἀποθεώσεως* τῶν τετελευτηκότων γονέων. Τοῦτ' αὐτὸ συμπεραίνεται καὶ ἐξ ἄλλων νομισμάτων ἐξητασμένων παρὰ τοῖς σοφοῖς ἀρχαιολόγοις (α). — ς). Πόσον χρόνον ἐπέζησεν ἡ Βερενίκη μετὰ τὸν θάνατον τοῦ Σωτῆρος, πόσον δὲ πάλιν ἡ Ἀρσινόη μετὰ τὸν θάνατον τῆς μητρὸς, ἀμφότερα ταῦτα φαίνονται σημεῖά τινα δυσεπίτευκτα διὰ τοῦ χρόνου τὴν ἀπόστασιν, καὶ μόλις εἰκασμοῖς τισιν ἐπιλυτά. Ὁ Βαλλάντης (β) νομίζει τὴν Βερενίκην ζῶσαν ἔτι κατὰ τὸν ια, ἐνιαυτὸν τῆς βασιλείας τοῦ Φιλαδέλφου, τιθεὶς τὸν θάνατον αὐτῆς τῷ γ, τῆς ρκς, Ὀλυμπ. [βλ. ὄπισθ. σελ. 166, 187]. Εἰ δὲ τοῦτο ἀληθεύει, ἡ Ἀρσινόη λοιπὸν ἐπέζησε πιθανῶς ἔτη τέσσαρα μετὰ τὴν μητέρα. Τοῦτο πιθανολογεῖται ἐκ τῶν ἐφεξῆς. Σῴζεται μεταλλόσημον παρὰ τῷ Ἀρδουΐνῳ (γ), φέρον ἔνθεν μὲν γυναικείαν κεφαλὴν μετὰ στεφάνης καὶ καλύπτρας, ἐξόπισθεν κατιούσης, ἑτέρωθεν δὲ, *δίκερας*, ἢ διπλοῦν *ῥυτὸν*, εἶδος ποτηρίου, ὡς κέρας Ἀμαλθείας διπλοῦν, μετὰ ταινιῶν (δ)· καὶ γύρωθεν μὲν τούτου « ΑΡΣΙΝΟΗΣ ΦΙΛΑΔΕΛΦΟΥ, ἑκατέρωθεν δὲ παρὰ πλευρὰν, δεξιόθεν μὲν, τὸ ΠΑ (σύνηθες πολλάκις ἐν τοῖς Ἀλεξανδρινοῖς νομίσμασι), ἀριστερόθεν δὲ, L ΑΓ (ε). Τὸ

(α) Βλ. Spanhem. de usu et praest. Numism. t. 1 p. 422, 423 (Londin 1707) — Seguin. Select. numism. antiq. p. 54—57 (Paris, 1684). — Beger Thesaur. Brandenburg. vol. 3. p. 30—32. — Vaillant Hist. Ptolemaeor. p. 40. [πρβλ. καὶ Havercamp. notas in tabulas duas numismatic. (N. 8 et 9) εἰς Ἰωσήπ. Ἰουδαϊκ. ἀρχ. τόμ. α. praef.] p. 18].

(β) Vaillant ubi supr. p. 30—38

(γ) Harduin. ad Plin. Libr. XXXVI c. 14. not. 19. p. 736. vol. 2. Paris 1723. [πρβλ. Demagistr. Δανιὴλ κατὰ τοὺς Ο, pag. 419. etc.].

(δ) « Ἐκαλεῖτο δὲ τὸ ῥυτὸν πρότερον κέρας. Δοκεῖ δὲ σκευοποιηθῆναι ὑπὸ πρώτου τοῦ Φιλαδέλφου Πτολεμαίου βασιλέως, φορήματα (ἴσ. φόρημα) γενέσθαι τῶν Ἀρσινόης εἰκόνων » κτλ. Ἀθήν. Βιβλ. ια. σελ· 498.

(ε) Τὸ L, ὑπῆρχε παρ' Ἕλλησιν (ὡς ἔμεινε καὶ παρὰ Λατίνοις) ἀρχαιοτάτη τοῦ Λ μορφή· μετεχειρίζοντο δὲ ταύτην ἐπὶ τῶν Πτολεμαϊκῶν νομισμάτων κατὰ παλαιογρα-

μεταλλόσημον ἐκόπη πάντως, εἰς τιμὴν τῆς Ἀρσινόης, ἀδελφῆς καὶ γυναικὸς τοῦ Φιλαδέλφου, ἤδη τεθνηκυίας· ἐκ δὲ τῶν γραμμάτων ΛΓ, οἱ μὲν περὶ τὸν Ἀρδουΐνον συμπεραίνουσιν ὅτι ἐχαράχθη τῷ 33, ἔτει τῆς βασιλείας τοῦ Φιλαδέλφου, ἐγὼ δὲ (λέγει ὁ Ἔκδικος) ὑπολαμβάνω πιθανώτερον, ὅτι τοῦ πρώτου γράμματος, τοῦ Λ, ἡ ἀκεραιότης ὑπὸ τοῦ χρόνου ἐκολοβώθη· τὸ δὲ τέλειον κατ' ἀρχὰς ἐχαράχθη ΝΓ, σημαῖνον τὸ 53 ἔτος τῶν Λαγιδῶν, ὅπερ συμπίπτει πρὸς τὸ 15 (ἴσ. γρ. 13) ἔτος τῆς βασιλείας τοῦ Φιλαδέλφου. Ὅτι δὲ ὁ Φιλάδελφος μέχρι τινὸς [δηλαδὴ μέχρι τοῦ 18, ἔτους τῆς αὐτοῦ βασιλείας] συνῆπτε πρὸς τοῖς ἔτεσι τῆς ἑαυτοῦ καὶ τὰ 40, τῆς βασιλείας τοῦ πατρὸς, ἀφ' οὗ ἤρξατο ἡ ἐποχὴ τῶν Λαγιδῶν, μαρτυρεῖ ἄλλο τοῦ Φιλαδέλφου μεταλλόσημον, φέρον ἔτος ΜΘ. (α). Ἀλλὰ καὶ περὶ τούτου (καθὼς καὶ περὶ τῆς ἀνωτέρω

φίαν, σημαίνοντες δι' αὐτοῦ τὸ Λ υ κ ά β α ς (ἐνιαυτὸς), ἵνα μὴ, γραφόμενον κατὰ τὴν συνήθη μορφὴν Λ, συγχύζηται πρὸς τὰ παρεπόμενα ἀριθμητικὰ στοιχεῖα (κἀκεῖνα χαρασσόμενα διὰ γραμμάτων). Βλ. Viscont. Iconogr. Gr. vol. 3. p. 197. Τὸ αὐτὸ L, πολλάκις (ἐνίοτε δὲ τὸ ἔ τ ο υ ς, ἢ ἔ τ ε ι) εὕρηται γεγραμμένον καὶ ἐν παπύροις τῆς Αἰγύπτου, καὶ ἐν ἐπιγραφαῖς τῆς Κυρήνης. Βλ. Letronne Fragm. inedits d'ancien. poët. Grecs etc. pag. 16. Paris 1838. — Σημ. ἡμετ.

(α) Σῴζονται καὶ ἄλλα μέχρι καὶ τοῦ 56 ἔτους (Champol. Ann. des Lag. T. 2. p. 32—40). Ἀλλ' ὅτι αἱ ἐπιγραφαὶ, τὰ μέγιστα πρὸς ἱστορίαν συμβάλλουσαι, σπανίως ὠφελοῦσιν εἰς βεβαίαν γνῶσιν τῶν χρόνων, ἢ ἐποχῶν (καὶ μάλιστα αἱ ἐπὶ τῶν μεταλλοσήμων τῶν Λαγιδῶν) σεσημείωται παρὰ τοῖς σοφοῖς (Champol. T. 1. p. 14. seq.)· ἡμεῖς δὲ προστιθέμεθα, ὅτι κατὰ τὸ ἀνωτέρω νόμισμα τῆς Ἀρσινόης (τὸ φέρον ἔτος ΛΓ)· ἐκδέδοται παρὰ τῷ Δεμαγίσρῳ (l. c. pag. 421) καὶ ἄλλο παρόμοιον, χωρὶς ὅμως τῶν ἀριθμητικῶν στοιχείων· μόνον ὑποκάτω τ ο ῦ ῥ υ τ ο ῦ φέρει μονόγραμμα Κ· ὅπερ οἱ μὲν ἐκλαβόντες, ὡς Κ, Κ υ π ρ ί ω ν ἀνέγνωσαν, ἢ Κ α ν ω β ι τ ῶ ν, οἱ δὲ ὡς Α, Ἀ ρ σ ι ν ο ϊ τ ῶ ν (Demagistr. l. c.). Καὶ τίς οἶδεν εἰ μὴ καὶ τοῦτο ὑπάρχει πάλιν αὐτὸ τὸ ΛΓ, συμπεπτωκὸς εἰς ἓν Λ. ἀλλὰ τὰ περὶ τούτων σκοπείτωσαν οἱ δεινοὶ περὶ τὰ τοιαῦτα. Ὅσον δὲ περὶ τῆς κολοβώσεως τοῦ γράμματος Λ, περιττῶς (νομίζομεν) ὁ σοφὸς Ἔκδικος ὑπωπτεύσατο· διότι τὸ νόμισμα ἠδύνατο ὁ Φιλάδελφος ἐκδοῦναι καὶ τῷ λγ, ἔτει τῆς αὐτοῦ βασιλείας εἰς μνήμην τῆς ἤδη πρὸ πολλοῦ τετελευτηκυίας Ἀρσινόης, διά τινα τότε τυχοῦσαν περίστασιν. Ὁ Βισκόντης ἀνέγνω καὶ ΛΕ (35) ἔτος εἰς ἄλλο παρόμοιον μεταλλόσημον. Σῴζονται δὲ καὶ ζώσης ἔτι τῆς Ἀρσινόης νομίσματα, κεχαραγμένα τῷ 2, καὶ 6, ἔτει τῆς Φιλαδέλφου βασιλείας (ἅπερ ὅμως ὁ Ἀρχαιολόγος, ὡς κάτοχος ἐκ τῆς ψευδοῦς ἐκείνης ἐννοίας, ὅτι κατὰ τὰς ἀρχὰς τῆς βασιλείας ὁ Φιλάδελφος εἶχε σύζυγον οὐχὶ τὴν αὐταδέλφην, ἀλλὰ τὴν Λυσιμάχειον Ἀρσινόην, ἀποδίδωσιν

γνώμης τοῦ Βαλλάντου) ἡμεῖς οὐδὲν ἐπάγομεν βέβαιον, ἀλλὰ τὸ πιθανὸν μόνον· πιθανώτατον δὲ φαίνεται ὅτι ἡ Ἀρσινόη οὐκ ἀπέθανε πρὸ τοῦ 15, ἔτους τῆς Φιλαδέλφου βασιλείας, καὶ τοῦτο συνάγεται ἐκ τοῦ ἐφεξῆς. — ζ) Ὁ Φιλάδελφος καθιέρωσεν εἰς μνήμην τῆς ἀποθανούσης ἀδελφῆς καὶ γυναικὸς ἀξιολογώτατα μνημεῖα (ἅπερ ὁ Πλίνιος munera amoris, τουτ' *ἔρωτος δῶρα* καλεῖ). Ταῦτα δὲ ἦσαν ὁ ναὸς, ὃν ἐπεβάλετο κτίζειν ἐν Ἀλεξανδρείᾳ, ἐκ μαγνήτου λίθου τὴν ὀροφὴν κεκαμαρωμένον, ὅπως ἀνέχῃ διὰ παντὸς ἐν ἀέρι μετέωρον ἄγαλμα (τῆς Ἀρσινόης) ἐκ σιδήρου πεποιημένον· ὅ,τε μεγαλοπρεπὴς ὀκτάπηχυς ὀβελίσκος, ὅστις διὰ δαπάνης μεγάλης ἐκ τῶν λατομείων τῆς Συήνης μετακομισθεὶς ἐστάθη πρὸ τῶν θυρῶν τοῦ Ἀρσινοείου· καὶ ὁ ἀνεκτίμητος ἐκεῖνος ἀνδριὰς, τετράπους τὸ μῆκος, ἐξ ὁλοκλήρου καὶ μονολίθου τοπαζίου τοῦ καλλίστου πεποιημένος (α). Ταῦτα δὲ πάντα τὰ φιλοτιμότατα

εἰς Πτολεμαῖον τὸν Εὐεργέτην, τιμήσαντα δὶ αὐτῶν τὴν μνήμην τῆς μητρυιᾶς. Visconti l. c. p. 215). Καὶ ταῦτα μὲν ἐχέτωσαν ὅπως ἂν ἔχωσι· τὴν δὲ τοῦ Φιλαδέλφου γενικὴν τῆς τοῦ νομίσματος ἐπιγραφῆς, πολλοί τινες ἀνέφερον εἰς αὐτὸν τὸν Φιλάδελφον, ὑπακούοντες τὸ γυναικὸς ('Αρσινόης, τῆς γυναικὸς τοῦ Φιλαδέλφου. βλ. Demagistr. l. c. p. 421). 'Αλλ' ἡμεῖς νομίζομεν τὸ Φιλαδέλφου ἀναφερόμενον εἰς αὐτὴν τὴν 'Αρσινόην ἐπιθετικῶς (ὡς γὰρ ὁ σύζυγος καὶ ἀδελφὸς δὶ αὐτὴν μάλιστα τὴν ἀδελφὴν φιλάδελφος ὠνομάσθη, παρομοίως καὶ αὐτὴ, καθὸ φιλοῦσα τὸν ἀδελφόν). Οὕτως ἐκοινολογοῦντο καὶ συνημμένως διὰ τοῦ ΑΔΕΛΦΩΝ. (Καὶ ἄλλως δὲ, ὁ παλαιὸς τύπος ὁ ἑλληνικὸς ἐπὶ τῶν τοιούτων γενικῶν ἐννοεῖ τὴν ἔλλειψιν οὐχὶ τοῦ γυνὴ, ἀλλὰ τοῦ θυγάτηρ· ἡ δ' 'Αρσινόη πάντως οὐκ εἶχε πατέρα τὸν Φιλάδελφον! Ὅτε δὲ ἐπωνομάζοντο αἱ γυναῖκες ἐκ τῶν συζύγων, προσετίθετο παρ' Ἕλλησι καὶ τὸ «γυνὴ» τοῦ δεῖνος. Σπανίως δὲ τοῦτο, καὶ ἐν τοῖς κατωτέρω χρόνοις παρελείπετο [ὡς, Ματθ. α, 6: 'Ιωάν. ιθ. 25]· παρὰ δὲ Λατίνοις συνηθέστερον ἐλλείπει τὸ uxor. (Virg. Aen. 3. 319: Plin ep. 20. etc. Ὅθεν καὶ παρὰ τοῖς ἄλλοις Εὐρωπαίοις, καὶ παρ' ἡμῖν ἤδη συνήθως). Προσκείσθω δὲ καὶ ἄλλο δεῖγμα τῆς ἀληθείας λαμπρότατον ἄλλη παρομοία ἐπιγραφὴ, ἡ ἐφεξῆς· «Βασίλισσα Ἰωτάπη Φιλάδελφος» (ἡ γυνὴ, καὶ ἀδελφὴ Ἀντιόχου τοῦ Δ, τοῦ Ἐπιφανοῦς. Viscont. Iconogr. Gr. vol. 3. p. 16. πρβλ. καὶ p. 206, 216)· προσμαρτυρεῖ δὲ καὶ Ποσείδιππος, ὀνομάζων αὐτὴν τὴν 'Αρσινόην Φιλάδελφον Κύπριδα παρ' 'Αθην. Ζ. Ϭλ. ὄπισθ. σελ. 165. — Σημ. ἡμετ.

(α) Plin. Hist. Nat. Lib. 34. Sect. 32. p. 667, καὶ Lib. 36. Sect. 14. p. 735, 736, καὶ Libr. 37. Sect. 32. p. 781.

ἔργα δεικνύουσι τὸν Πτολεμαῖον ἀκμάζοντα ἔτι καὶ σφριγῶντα περὶ τὰ καλὰ τῆς μεγαλουργίας, ἀλλ' οὐχὶ τετραμμένον ἤδη πρὸς βίου δυσμάς (α). Καὶ ταῦτα μὲν περὶ τῆς Φιλαδέλφου Ἀρσινόης. Ἐπάνειμεν δὲ καὶ εἰς τὰ ὑπόλοιπα τῆς χρονολογικῆς σειρᾶς, εἰς ἣν ὑπάγεται πᾶσα ἡ τοῦ ζητήματος ἱστορία.

§. κδ'. Ὀλυμπ. ρκδ'. τὸ α. Δημήτριος ὁ Πολιορκητὴς τελευτᾷ κατὰ τὴν Χερσόννησον τῆς Συρίας, ὅπου περιωρίσθη ὑπὸ Σελεύκου (§. κϐ). Καὶ εὐθὺς μετὰ ταῦτα [γράφε μᾶλλον τὸ *ἐφεξῆς ἔτος, δηλαδὴ τὸ β, τῆς ρκδ, Ὀλυμπ.* βλ. ὄπισθ. Κεφ. Ϛ. §. ς. σελίδι 145], καὶ Πτολεμαῖος ὁ Σωτὴρ ἐτελεύτησεν ἐν Αἰγύπτῳ βαθύγηρως, ἐτῶν 84 (Λουκιαν. Μακροϐ.), συμϐασιλεύσας μετὰ τοῦ υἱοῦ ἐπὶ διετίαν (ϐ)· καὶ κατέλιπε τὸν Φιλάδελφον ὁ Σωτὴρ κυριεύοντα πάσης Αἰγύπτου, Φοινίκης, Ἀραϐίας, Συρίας, Λιϐύης, Αἰθιοπίας, Παμφυλίας, Κιλικίας, Καρίας, καὶ νήσων δὲ Κυκλάδων (Θεόκριτ. Εἰδ. ιζ). Ἤδη δὲ περὶ τὸ τέλος τούτου τοῦ ἔτους (τοῦ α, τῆς ρκδ) Πτολεμαῖος ὁ Κεραυνὸς μετεχώρησεν ἐκ τοῦ Σελεύκου πρὸς τὸν Λυσίμαχον, ἐλπίζων ἴσως ὅτι τεύξεται δι' αὐτοῦ τῆς εἰς τὴν πατρῴαν βασιλείαν καθόδου, ἣν ματαίως ἐκαραδόκησε παρὰ τοῦ Σελεύκου.

§. κέ. Ὀλυμπ. ρκδ, τὸ β. Ἀρσινόη, ἡ Λυσιμάχου γυνὴ, συνώ-

(α) Ὅτι μὲν ἡ Βερενίκη πιθανῶς ἐτελεύτησεν, οὐ πολὺ μετὰ τὸν Σωτῆρα, προσεσημείωται (σελ. 166). Ὅτι δὲ ἡ Ἀρσινόη (καὶ χωρὶς τῆς Βερενίκης θεωρουμένη) παρέτεινε τὸν βίον μέχρι τοῦ 14, ἔτους τῆς ϐασιλείας τοῦ Φιλαδέλφου, πρὸς ταῖς ἀνωτέρω πιθανολογίαις πρόσθες ἀναγνῶστα καὶ ἄλλην (εἰ δοκεῖ), τὴν ἐφεξῆς· αὐτὴν δηλονότι τὴν ἡλικίαν τῶν ἐκ τῆς Λυσιμαχίδος Ἀρσινόης (ἣν ἐπέγημεν ὁ Φιλάδελφος ὕστερον) γενομένων αὐτῷ παίδων· τούτων γὰρ ὁ πρεσϐύτερος ὁ Εὐεργέτης διεδέξατο τὴν βασιλείαν, ἀποθανόντος τοῦ πατρὸς, ἄγων ἔτος 24· ὥστε ἡ τούτου γέννησις συμπίπτει κατὰ τὸ 16, ἔτος τοῦ δι' ὅλων 40 (μετὰ τῆς διετίας) βασιλεύσαντος Φιλαδέλφου, καὶ ἑπομένως περὶ τὸ 15, ἔτος ὁ μετὰ τῆς Λυσιμαχίδος Ἀρσινόης γάμος αὐτοῦ· τότε τοίνυν, ἢ κατὰ τὸ 14, τῆς αὐτοῦ βασιλείας καὶ ἡ αὐταδέλφη Ἀρσινόη φαίνεται τελευτήσασα. Βλ. ἐφεξῆς §. λγ. καὶ λζ. — Σημ. ἡμετ.

(ϐ) Περὶ τὸ β, ἔτος *τῆς διετίας ταύτης* (*Ὀλυμπ. ρκγ, τὸ δ*) *τίθεται ἡ ὑπὸ τῶν* Ο, *ἑρμηνεία* τῶν Γραφῶν, *καθὼς προείπομεν (κεφ. ς. §. α.).* Ὁ δὲ Ἔκδικος *ἐνταῦθα σιωπᾷ περὶ αὐτῆς, διότι (καθὼς ἐνόμισεν εὐλογώτερον) τίθησι τὴν ἑρμηνείαν τῷ α, τῆς ρκς,* Ὀλυμπ. (*βλ. ἐφεξῆς* §. *λ.*), *ζῶντα πάντως μέχρι τότε τὸν Φαληρέα Δημήτριον ὑποτιθείς. Ἀλλὰ τὰ περὶ τούτου ἐξετάζομεν πλατύτερον ἐν κεφ.* Θ. — *Σημ. ἡμετ.*

μοσε μετὰ τοῦ ἀδελφοῦ αὐτῆς, τοῦ Κεραυνοῦ, κατὰ Ἀγαθοκλέους, (υἱοῦ τοῦ Λυσιμάχου ἐκ τῆς προτέρας γυναικὸς, καὶ συζύγου τῆς Λυσάνδρας, αὐταδέλφης τῆς αὐτῆς Ἀρσινόης. §. ιζ. καὶ §. κα.). Ἐπεβούλευσε δὲ τῷ προγόνῳ Ἀγαθοκλεῖ ἡ Ἀρσινόη, εἴτε δι' ἔρωτα, ἀποτυγχάνουσα, εἴτε διότι ἐφοβήθη, μή ποτε τοὺς ἐκ Λυσιμάχου παῖδας αὐτῆς ἀποκτείνῃ βασιλεύσας αὐτὸς, ἀποθανόντος ἐκείνου (Παυσαν. Α. 10). Καὶ τοίνυν διαβάλλει τὸν ἄριστον Ἀγαθοκλῆν ἡ μητρυιὰ πρὸς τὸν Λυσίμαχον ὡς ἐπίβουλον, κᾀκεῖνος αὐτῇ πιστεύσας, πρῶτον μὲν ἐπειράθη λαθραίως φαρμάκῳ τὸν υἱὸν ἀνελεῖν· ἐξεμεθέντος δὲ τοῦ δηλητηρίου, φανερῶς αὐτὸν ἐκέλευσεν ἐν δεσμωτηρίῳ κατακοπῆναι· καὶ γίνεται τοῦ μιάσματος αὐτόχειρ ὁ Κεραυνὸς, ὑπηρετῶν Ἀρσινόῃ (Μέμν. παρὰ Φωτ.). Ἡμεῖς δὲ κατὰ πάροδον ἀσμένως ἂν ἠρωτήσαμεν τοὺς τὴν Ἀρσινόην ταύτην συνοικίζοντας ὕστερον μετὰ χρόνους τῷ Φιλαδέλφῳ. Πότερον ἆρα, μόνος ὁ Φιλάδελφος ἠγνόει παντελῶς τὸ διά τε χρόνων καὶ τόπων διαβεβοημένον μιαρὸν καὶ κακοῦργον ἦθος τῆς γυναικὸς (καὶ ταύτης συγγενοῦς); ἢ καὶ μαθὼν καὶ ἐπιστάμενος, ἐνυμφεύθη ὅμως ἄσμενος τοιαύτην ἐριννύν;

§. κϛ'. Τελευτήσαντος Ἀγαθοκλέους, ἡ Λυσάνδρα μετὰ τῶν τέκνων αὐτῆς καὶ τῶν ἀδελφῶν κατέφυγεν εἰς Βαβυλῶνα πρὸς τὸν Σέλευκον, ἱκετεύουσα τιμωρίας κατὰ τοῦ Λυσιμάχου τυχεῖν. Διέβη δὲ καὶ Λυσίμαχος εἰς Ἀσίαν· καὶ πρῶτος ἄρξας πολέμου νικᾶται, καὶ τελευτᾷ κατὰ τὴν μάχην (Παυσαν. Α. 10. Ἰουϛ. ιζ. 1, 2, ἴσως ἀρχομένου τοῦ δ, τῆς ρκδ. Ὀλυμπ.). Ὁ δὲ Σέλευκος ἀγαλλόμενος ἐπὶ τῇ νίκῃ, μετὰ ἑπτὰ περίπου μῆνας κατέβαινεν εἰς τὴν Εὐρώπην, ὡς καταστρέψων τὸν βίον ἐν τῇ πατρίδι Μακεδονίᾳ· καὶ καθ' ὁδὸν δολοφονεῖται ὑπὸ τοῦ Κεραυνοῦ. Ὅστις εὐθὺς διάδημα περιθέμενος ἀφικνεῖται εἰς τὸν στρατὸν, δεχομένων αὐτὸν ἐξ ἀνάγκης, καὶ ἀναγορεύεται βασιλεύς· καὶ τὸν Δημητρίου Ἀντίγονον τὸν Γονατᾶν, ἐπελθόντα δυνάμει πολλῇ, νικᾷ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ κατέσχε βεβαίως τὴν βασιλείαν τῆς Μακεδονίας· αὐτίκα δὲ καὶ τὴν αὐταδέλφην Ἀρσινόην δολίως

νυμφευθεὶς, ἀναιρεῖ τοὺς ἐκ Λυσιμάχου δύω παῖδας αὐτῆς (ὡς διαδόχους τῆς βασιλείας), καὶ ταύτην ἐξόριστον εἰς Σαμοθράκην ἀποπέμπει (Μέμν. παρὰ Φωτ. καὶ Ἰουστῖν.).

§. κζ΄. Περὶ τὰ μέσα τοῦ α, τῆς ρκε, Ὀλυμπ. Πύῤῥος ὁ βασιλεὺς Ἠπείρου προσκληθεὶς ὑπὸ Ταραντίνων στρατεύει εἰς Ἰταλίαν, ἀφ᾿ οὗ πρότερον ἐνυμφεύθη [ἢ ἐμνηστεύσατο, βλ. σελ. 142] τὴν θυγατέρα Πτολεμαίου τοῦ Κεραυνοῦ, ὑπερχόμενος ὡς γείτονα τὸν ἐπικίνδυνον τοῦτον ἐχθρόν. Ἐπιστάτην δὲ τῆς Ἠπείρου κατέλιπε τὸν υἱὸν Πτολεμαῖον ὁ Πύῤῥος ὑπὸ τὴν ὑπεράσπισιν τοῦ νέου πενθεροῦ.

§. κή. Ἀρχομένου δὲ τοῦ β, τῆς ρκε, Ὀλυμπ. εἰσβάλλουσιν εἰς Μακεδονίαν οἱ Γαλάται· καὶ Πτολεμαῖος ὁ Κεραυνὸς ἐν τῇ μάχῃ ζωγρηθεὶς ὑπ᾿ αὐτῶν κατασφάζεται (Ἰουστιν. κδ. 4, 5. — Μέμνων. — Παυσαν. Ι. ιθ). Περὶ δὲ τὸ τέλος τοῦ αὐτοῦ ἔτους στρατεύουσιν οἱ Γαλάται καὶ κατὰ τῆς Ἑλλάδος, καὶ πολλὰ κακὰ δράσαντες καὶ παθόντες ἐξωλοθρεύθησαν, τέλος, ἐν Δελφοῖς (Παυσαν. Ι. κγ. Ἰουστιν. κδ. 6—8. Πολύβ. Θ. κθ).

§. κθ΄. Τοῦ δὲ δ, τῆς ρκε, Ὀλυμπ. ἀρχομένου, Ἀντίγονος ὁ Γονατᾶς ἀνεκτήσατο τὴν βασιλείαν τῶν Μακεδόνων, βασιλεύσας πρότερον ἐν τῇ Ἑλλάδι ἔτη δέκα (ἀριθμούμενα, ἀφ᾿ οὗ Δημήτριος ὁ πατὴρ αὐτοῦ ᾐχμαλωτίσθη ὑπὸ Σελεύκου). Τῷ δ᾿ αὐτῷ ἔτει κατέστρεψεν ἄλλον πολὺν στρατὸν Γαλατῶν εἰσβαλόντα τὴν Μακεδονίαν. Τούτου δὲ διαφημισθέντος, οὐκέτι τῶν βαρβάρων γειτόνων οὐδένες ἐτόλμησαν αὐτῷ παρενοχλεῖν (Ἰουστιν. κε, 1, 2).

§. λ. Κατὰ δὲ τὸ α, τῆς ρκϛ, Ὀλυμπ. (ὅπερ ἦν τὸ 47 [ἴσ. γρ. 49], τῶν Λαγιδῶν, καὶ 9, τῆς βασιλείας τοῦ Φιλαδέλφου). Ἀντίγονος ὁ Γονατᾶς, κατέχων ἴσως πόλεις τινὰς τῆς Πελοποννήσου, ἐπεχείρησε καὶ τὴν Σπάρτην ἑλεῖν. Οἱ δὲ Λακεδαιμόνιοι προσκαλοῦνται τὸν Φιλάδελφον εἰς βοήθειαν· καὶ οὗτος πέμπει πρὸς αὐτοὺς στόλον ἰσχυρὸν, ὅστις συμπεσὼν πρὸς τὸν Ἀντιγόνου κατέστρεψεν αὐτὸν ὁλοτελῶς. Τοῦτο τὸ συμβεβηκὸς οἱ Ἕλληνες καὶ Ῥωμαῖοι ἱστορικοὶ παρεσιώπησαν· μόνος ὁ Ἰουστῖνος ἀκροθιγῶς ἐπεμνήσθη, τοσοῦτον εἰπών· ὅτι « ὁ Ἀντίγονος πολυειδεῖ πολέμῳ

ὑπό τε Πτολεμαίου τοῦ βασιλέως, καὶ τῶν Σπαρτιατῶν συνεθλίβη» (Ἰουστιν. κϛ. 2). Καὶ αὕτη φαίνεται ἡ ναυμαχία, περὶ ἧς μνημονεύει ὁ Ἀριστέας, ἱστορῶν τὸν Φιλάδελφον εἰπόντα πρὸς τοὺς τότε πρὸς αὐτὸν ἀφικομένους ΟΒ, τῶν θείων Γραφῶν ἑρμηνεῖς, ὅτι «*Συνέτυχεν* (ἡ ἄφιξις ὑμῶν) *καὶ κατὰ τὴν νίκην ἡμῖν προσπεπτωκέναι τῆς πρὸς Ἀντίγονον ναυμαχίας*» [βλ. ἐφεξ. Κεφ. ΙΓ. §. α, ιγ.]. Καὶ κατὰ τοῦτο λοιπὸν τὸ ἔτος φαίνεται πιθανὸν ὅτι μεθηρμηνεύθησαν αἱ Γραφαί. Καίτοι ὁ σοφὸς Ὑσσέριος (α) ἐνόμισεν, ὅτι ταύτης τῆς παρὰ τῷ Ἀριστέᾳ μνημονευομένης ναυμαχίας οὐδεμία παρ᾽ οὐδενὶ εὑρίσκεται μνήμη, «*διὰ τὴν ἔλλειψιν τῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον ἱστοριῶν*» [βλ. ὄπισθ. §. κδ. σημ. καὶ ἐφεξῆς Κεφ. ΙΓ. §. ε.].

§. λά. Τελευτῶντος τοῦ β, τῆς ρκϛ, Ὀλυμπ., ὁ Πύῤῥος [«*ἑξαετῆ χρόνον* ἀναλώσας». Πλούτ. Πύῤῥ. §. κϛ] ἐπανέρχεται ἐξ Ἰταλίας καὶ Σικελίας, καὶ εἰσβαλὼν εἰς Μακεδονίαν κυριεύει τῆς χώρας· ὁ δ᾽ Ἀντίγονος ἡττηθεὶς ἔφυγεν εἰς Θεσσαλονίκην. Ἐπανελθὼν δὲ πάλιν μετὰ μισθωτῶν Γαλατῶν, νικᾶται κατὰ κράτος ὑπὸ Πτολεμαίου υἱοῦ τοῦ Πύῤῥου, καὶ φεύγει μεθ᾽ ἑπτὰ μόνον ὀπαδῶν ὁ Ἀντίγονος, ὠνούμενος φυγῇ σωτηρίαν (Ἰουστῖν. κε, 3. Πλούταρχ. Πύῤῥ. §. κϛ). Τῷ δὲ γ, τῆς ρκϛ. Πτολεμαῖος ὁ Φιλάδελφος πέμπει πρέσβεις καὶ δῶρα μεγάλα Ῥωμαίοις, εἰς φιλίαν καλῶν. Οἱ δὲ Ῥωμαῖοι λίαν ἡσθέντες, ὅτι ὁ μέγας ἐκεῖνος βασιλεὺς ἠγάπησε συμμάχους αὐτοὺς ἔχειν, ἀντέπεμψαν ἄλλους πρέσβεις πρὸς αὐτόν, ἀποδεχόμενοι καὶ βεβαιοῦντες τὴν συμμαχίαν (β).

§. λβ΄. Τῷ δ, τῆς ρκϛ, Ὀλυμπ. Πύῤῥος στρατεύει πρὸς Λακεδαιμονίους, Κλεωνύμῳ βοηθήσων. Καὶ, τούτου ἀπόντος, ὁ Ἀντίγονος ἀνακτᾶται πόλεις τινὰς τῆς Μακεδονίας· διέβη δὲ καὶ αὐτὸς μετ᾽ ἄλλης στρατιᾶς εἰς Πελοπόννησον. Καὶ Πύῤῥος μὲν φονεύεται ἐν τῇ πόλει τοῦ Ἄργους, ἀφ᾽ οὗ πρότερον ἴδε τὸν υἱὸν Πτολεμαῖον

(α) Usser. Annal. Vet. T. ad ann. Per. Julian. 4437.

(β) Liv. Lib. XIV. — Eutrop. L. II. — Valer. Maxim. L. IV. c. 3.

γενναίως πεσόντα. Ὁ δ' Ἀντίγονος τιμήσας βασιλικῶς τὸν τοῦ Πύῤῥου νεκρὸν, καὶ κοσμήσας ἔκαυσεν. Ἕλενον δὲ, ἄλλον τοῦ Πύῤῥου παῖδα, φιλοφρονησάμενος γενναίως ἀπέστειλε μετὰ τῶν πατρῴων λειψάνων εἰς Ἤπειρον πρὸς Ἀλέξανδρον τὸν ἀδελφόν· καὶ τότε πάλιν ἀνεσῴσατο τὴν βασιλείαν τῆς Μακεδονίας ὁ Ἀντίγονος (Ἰουστιν. κε, 4, 5. — Πλούταρχ. Πύῤῥ. — Οὐαλ. Μάξιμ. ε, ι). Κατὰ τὸ αὐτὸ ἔτος καὶ Μάγας, ὡς ἤκουσε τὸν θάνατον τῆς μητρὸς Βερενίκης, ἀποστατεῖ, καὶ στρατεύει κατὰ τοῦ Φιλαδέλφου δυνάμει πολλῇ. Πλὴν ἀλλ' ἀνεπανῆλθε ταχέως, ἀγγελθέντος αὐτῷ καθ' ὁδὸν, ὅτι ἀπεστάτησαν ἀπ' αὐτοῦ Μαρμαρίδαι (φῦλον τῆς Λιβύας νομαδικόν). Τὸ δ' ἐφεξῆς ἔτος, Ὀλ. ρκζ, τὸ α, ὡρμημένον τὸν Φιλάδελφον κατὰ τοῦ Μάγα στρατεύειν ἐκώλυσεν ἡ τῶν Γαλατῶν ἐπανάστασις (οὓς εἶχε μισθώσας μετ' ἄλλων ξένων ἐπὶ τὴν στρατείαν)· τούτους τοὺς Γαλάτας, λαβὼν ὁ Πτολεμαῖος ἐπιβουλεύοντας αὐτῷ κατάσχεσιν τῆς Αἰγύπτου, ἀνήγαγεν εἰς νῆσον ἔρημον, ὅπου πάντες ἀπώλοντο ὑπ' ἀλλήλων καὶ τοῦ λιμοῦ (Παυσαν. Α. ζ. Καλίμαχ. ὕμνῳ εἰς Δῆλ. 173—186, καὶ Σχολ.).

§. λγ'. Τῷ δὲ γ, τῆς ρκζ, Ὀλυμπ. δυνάμεθα τάξαι τὸν θάνατον τῆς αὐταδέλφης καὶ γυναικὸς τοῦ Φιλαδέλφου Ἀρσινόης, ἥτις ἐτελεύτησεν *ἄτεκνος* (βλ. σελ. 193). Κατὰ δὲ τὸ προσεχὲς ἔτος δύναται τεθῆναι ὁ χρόνος, καθ' ὃν ὁ Φιλάδελφος τὴν δευτέραν ἔγημεν Ἀρσινόην, θυγατέρα Λυσιμάχου καὶ Ἀρσινόης τῆς τοῦ Σωτῆρος ἐξ Εὐρυδίκης, ἄγουσαν τότε περίπου ἔτη 24 (§. κ).

§. λδ'. Τῷ α, τῆς ρκη, Ὀλυμπ. τίθενται πιθανῶς, α) ὁ γάμος τοῦ Μάγα, βασιλέως Κυρήνης, καὶ τῆς *Ἀπάμης* (κατὰ δὲ τὸν Ἰουστῖνον, ἴσως ἐσφαλμένως, *Ἀρσινόης*), θυγατρὸς Ἀντιόχου τοῦ Σωτῆρος (Συρίας βασιλέως). β) Ἡ γέννησις Πτολεμαίου (τοῦ ὕστερον Εὐεργέτου), υἱοῦ τοῦ Φιλαδέλφου καὶ τῆς Β. Ἀρσινόης, τῆς Λυσιμάχου θυγατρός. Κατὰ δὲ τὸ ἐφεξῆς ἔτος (τὸ β, τῆς ρκη) ἡ γέννησις τῆς Βερενίκης, θυγατρὸς τοῦ Μάγα καὶ τῆς Ἀπάμης, καὶ τῆς ἄλλης Βερενίκης, θυγατρὸς τοῦ Φιλαδέλφου καὶ τῆς Β. Ἀρσινόης. Κατὰ δὲ τὰ δύω τὰ λοιπὰ (τὸ γ, καὶ τὸ δ, τῆς ρκη)

τίθεται ὁ τοῦ Ἀντιγόνου τοῦ Γονατᾶ πόλεμος πρός τε τοὺς Ἀσιανοὺς Γαλάτας (τοὺς ἐν τῇ Γαλλογραικίᾳ), καὶ πρὸς τὸν Ἠπείρου βασιλέα Ἀλέξανδρον τὸν τοῦ Πύῤῥου, καὶ πρὸς Λακεδαιμονίους καὶ Ἀθηναίους, οἷς συνεμάχει καὶ ὁ Φιλάδελφος (Ἰουστῖν. κϛ. 2. πρβλ. Παυσαν. Α. α, καὶ Γ, ϛ). Περὶ τοῦτον τὸν χρόνον καὶ Μάγας ἐπήγειρε τὸν πενθερὸν, Ἀντίοχον τὸν Σωτῆρα, πολέμιον κατὰ τοῦ πρῴην αὐτῷ συμμάχου Φιλαδέλφου. Ὁ δὲ Φιλάδελφος διὰ συχνῶν ἐπιδρομῶν κατέφθειρε τὰς Ἀντιόχου ἐπαρχίας.

§. λέ. Κατὰ δὲ τὸ γ, τῆς ρκθ, Ὀλυμπ. ἐτελεύτησεν Ἀντίοχος ὁ Σωτὴρ, καὶ βασιλεύει Συρίας ὁ υἱὸς αὐτοῦ Ἀντίοχος, ὁ μετὰ ταῦτα ἐπικληθεὶς *Θεός*· τῷ δὲ δ, τῆς ρλ, Ὀλυμπ. ἀποθνήσκει Μάγας (ἀποπνιγεὶς ὑπὸ τοῦ πολλοῦ πάχους), βασιλεύσας Κυρήνης ἔτη 50 (Ἀθήν. ΙΒ, 550). Πρὶν ἢ δὲ τελευτήσῃ, βουλόμενος διαλύσασθαι τὴν πρὸς τὸν Φιλάδελφον ἔριν, ὡμολόγησε τὴν θυγατέρα Βερενίκην εἰς μνηστὴν τοῦ Πτολεμαίου, τοῦ υἱοῦ τοῦ Φιλαδέλφου· ἡ δὲ τοῦ Μάγα σύζυγος Ἀπάμη μὴ συγκαταθεμένη, προσκαλεῖται (μετὰ τὴν Μάγα τελευτὴν) Δημήτριον, τὸν υἱὸν Δημητρίου τοῦ Πολιορκητοῦ καὶ τῆς Πτολεμαΐδος (§. κϐ), καὶ ἀδελφὸν Ἀντιγόνου τοῦ Γονατᾶ, βασιλέως Μακεδονίας, ὅπως νυμφευθεὶς τὴν κόρην ἀναγορευθῇ καὶ βασιλεὺς Κυρήνης. Ἐλθόντα δὲ τὸν ἀγέρωχον Δημήτριον ἀπεστράφη μὲν ἡ νεᾶνις, ἐμίσησε δὲ τὸ στρατιωτικὸν, καὶ, τέλος, φονεύεται, ἐπ' αὐτοφόρῳ ληφθεὶς ἐν τῇ κοίτῃ τῆς μελλούσης πενθερᾶς· αὐτὴ δὲ, τοῦ θανάτου ἀπολυθεῖσα, μετέβη πρὸς τὸν ἀδελφὸν Ἀντίγονον τὸν Θεὸν εἰς Συρίαν, μεσιτείᾳ τῆς θυγατρός· ἡ δὲ Βερενίκη μετεκομίσθη εἰς Ἀλεξάνδρειαν περὶ τὸ γ, τῆς ρλα, Ὀλυμπ. (ὡς ἄν τις ὑπολάϐοι πιθανώτατα).

§. λϛ'. Ὀλυμ. ρλγ, τὸ α. Ἀντίοχος ὁ Θεὸς, μετὰ μακρὸν πόλεμον νικηθεὶς, συνέθετο πρὸς τὸν Φιλάδελφον εἰρήνην [κατὰ τὸν Χαμπολλ. τῷ γ, τῆς ρκθ, Ὀλυμ. καὶ 261. π. χ.]. Καὶ παριδὼν τὴν πρώτην αὐτοῦ σύζυγον καὶ ὁμοπάτριον ἀδελφὴν Λαοδίκην (ἐξ ἧς εἶχε δύω υἱοὺς, Σέλευκον καὶ Ἀντίοχον) νυμφεύεται τὴν Φιλαδέλφου θυγατέρα Βερενίκην, ἤδη 19, ἔτος ἄγουσαν, ἥτις ἔφερε παρὰ τοῦ πατρὸς

πρὸς τὸν νυμφίον μεγάλην καὶ μυριόπλουτον φερνὴν, ἢ προῖκα (ὅθεν καὶ *φερνοφόρος* ἐπωνομάσθη. Ἱερώνυμ. εἰς Δαν. ια, 6)· συνώδευσε δὲ τῇ Βερενίκῃ συμπροπέμπων καὶ ὁ πατὴρ μετὰ πολλῆς μεγαλοπρεπείας μέχρι τοῦ Πηλουσίου. Περὶ δὲ τὸ δ, τῆς ρλγ, Ὀλυμ. (τῷ 244 π. χ.) ἐτελεύτησε τὸν βίον ὁ Φιλάδελφος βασιλεύσας ἐνδόξως ἔτη (μετὰ τῆς διετίας) τεσσαράκοντα [Ὁ δὲ Χαμπολλ. τίθησι τὸν Φιλαδέλφου θάνατον τῷ β, τῆς ρλγ, Ὀλ. καὶ 246. π. χ. Ἀλλ' ἡ μετὰ τῆς διετίας *τεσσαρακονταετὴς* αὐτοῦ βασιλεία, ἀρξαμένη ἀπὸ τοῦ 284, π. χ., καταλήγει πάντως εἰς τὸ 244].

§. λζ'. Πτολεμαῖος ὁ Εὐεργέτης διαδέχεται τὸν πατέρα, καὶ νυμφεύεται Βερενίκην, τὴν θυγατέρα τοῦ Μάγα βασιλέως Κυρήνης, καὶ πρώτην αὐτοῦ ἐξαδέλφην, ἔτος ἄγουσαν περίπου 22 (Ἰουστῖν. κζ 1. Οὐαλ. Μάξιμ. Θ. 10. 14, Ἀππιαν. Συριακ. σελ. 130). Ἀλλὰ μόλις ἑωρτάσθησαν οἱ γάμοι, καὶ ὁ νυμφίος, ὁ Εὐεργέτης, ἔδραμεν εἰς Συρίαν πρὸς βοήθειαν τῆς κινδυνευούσης ἀδελφῆς Βερενίκης. Ἡ γὰρ Λαοδίκη μετὰ τοῦ υἱοῦ αὐτῆς Σελεύκου κτείνασα φαρμάκῳ Ἀντίοχον τὸν Θεὸν, ἐπολιόρκει καὶ τὴν σύννυμφον Βερενίκην, καταφυγοῦσαν εἰς Δάφνην (ὀχυρὸν προάστειον τῆς Ἀντιοχείας), βουλομένη καὶ ταύτην ἀποκτεῖναι μετὰ τῶν ἐξ Ἀντιόχου παίδων αὐτῆς. Ταῦτα μαθὼν ὁ Εὐεργέτης ἤλαυνε κατὰ τάχος, σώσων τὴν ἀδελφήν· ἀλλ' εὗρεν αὐτὴν ἤδη ἀνῃρημένην. Ὅθεν ἐκδικούμενος τὸν φόνον τῆς ἀδελφῆς, φονεύει συλλαβὼν τὴν Λαοδίκην, καὶ καταφθείρει τὰς Συριακὰς ἐπαρχίας ἐπιδραμὼν, ἀπὸ Ταύρου ὄρους μέχρις Ἰνδοῦ ποταμοῦ (Ἰουστῖν. κζ. 1. Ἱερών. εἰς Δαν. ια, 7. Ἀππιαν. Συριακ. σελ. 150, ἢ ἐκδ. Schweigh. σελ. 635) (α).

§. λη. Ἡ μέχρι τῶν τελευταίων τούτων παράτασις τῆς ἱστορίας (λέγει ὁ Ἔκδικος) ὑπῆρχεν ἂν παντάπασι ξένη πρὸς τὸν ἡμέτερον σκοπὸν, εἰ μὴ καὶ δι' αὐτῆς ἤθελον ἀποδεῖξαι δύω τινά· α) ὅτι ὁ Εὐεργέτης ἐνυμφεύθη τὴν Βερενίκην ὀλίγῳ μετὰ τὴν ἀναγό-

(α) Πρβλ. καὶ Πολύαιν. Η. ν. ὅπου καὶ στρατήγημα τοῦ Εὐεργέτου ἱστορεῖ ὁ Πολύαινος. Ἀλλ' οὗτος ὅμως σφάλλεται λέγων π α τ έ ρ α τ ῆ ς Β ε ρ ε ν ί κ η ς τ ὸ ν ἀ δ ε λ φ ὸ ν Εὐεργέτην. — Σημ. ἡμετ.

ρευσιν αὐτοῦ, καὶ πρὶν ἢ στρατεύσῃ κατὰ Συρίας, ὡς ὁ Κάτουλλος (ἐν τῇ μεταφράσει τοῦ, *Βερενίκης πλόκαμος*, ποιήματος τοῦ Καλλιμάχου) σαφῶς μαρτυρεῖ, νεόνυμφον λέγων τὸν Εὐεργέτην στρατεύσαντα κατὰ τῆς Συρίας (βλ. τὰ ἔπη, κεφ. ϛ. §. η, σελ. 172). — 6) Ὁ Κάτουλλος (ἤτοι ὁ Καλλίμαχος αὐτόθ.) τὸν Εὐεργέτην ὀνομάζει τῆς γυναικὸς αὐτοῦ Βερενίκης *ἀδελφόν* (α). Ἀλλ' ἡ Βερενίκη ἀδελφὴ μὲν οὐκ ἦν, ἐξαδέλφη δὲ τοῦ Εὐεργέτου (ὡς θυγάτηρ τοῦ Μάγα, ὁμομητρίου ἀδελφοῦ τοῦ Φιλαδέλφου)· φαίνεται λοιπὸν, ὅτι τὰ ὀνόματα *ἀδελφὸς καὶ ἀδελφὴ* συμπεριεῖχον καὶ τῶν ἐξαδέλφων τὴν σημασίαν, καὶ τῶν πατραδέλφων πρὸς τούτοις, ἢ μητραδέλφων, καὶ τῶν ἀδελφιδῶν (6). Καὶ ἐπλανήθη-

---

(α) At tu non orbum luxti deserta cubile,
Sed f r a t r i s c a r i flebile dissidium.
Quum penitus moestas exedit cura medullas.

(De coma Berenices v. 21—23 ἐν Καλλιμάχου τόμ. β. σελ. 372. Ernest.) Ἰδοὺ καὶ τούτων τῶν ἐπῶν ἡ ὑπὸ Σαλβινίου μετάφρασις «Καί περ φῆς, οὐκ ἀνδρὸς ἐδάκρυον ὀρφανὰ λέκτρα, Ἀλλὰ πᾶσιν (γρ. κ ά σ ι ν) φίλον, τῆλε καθεζόμενον. Σὸν θυμὸν κατέδει φροντὶς δακέθυμος ἐς αἰ». Ἐν Καλλιμ. τ. 1. σελ. 614. Ernest. (βλ. ὄπισθ. σελ. 173).

(6) Συνήθη ταῦτα φαίνονται παρὰ τοῖς Ἀλεξανδρεῦσιν· ὅθεν καὶ τὰ τῆς ἐν Κανώβῳ Ἐπιγραφῆς, «Β ε ρ ε ν ί κ η ἡ ἀ δ ε λ φ ή. κτλ. 6λ. σελ. 181. Πρόσθες καὶ ἄλλην· «Β α σ ι λ. Π τ ο λ. κ α ὶ β α σ ι λ. Κ λ ε ο π ά τ ρ α ς, τ ῆ ς ἀ δ ε λ φ ῆ ς, κτλ.» (τουτ. ἀνεψιᾶς· θυγατρὸς τοῦ Φιλομήτορος, ἀδελφοῦ τοῦ β. Εὐεργέτου. βλ. Κ. Π. Αἰγυπτιακ. σελ. 20—22 καὶ Champol An. des Lag. τ. 2. p. 171). Παρὰ δὲ τοῖς ἄλλοις τοῖς ἀρχαίοις ἕλλησιν οὐδὲν τῆς πλατείας ταύτης τοῦ ἀδελφοῦ σημασίας ἀπαντᾶται παράδειγμα, ὡς διατείνεται ὁ σοφὸς Wesseling εἰς Διόδωρ. (Βιβλ. ιζ. 2 τομ. Β. σελ. 161). Ἐκ δὲ τῶν Λατίνων ὁ Κύρτιος εἶπε (fratrem) ἀ δ ε λ φ ὸ ν Ἀλεξάνδρου, τὸν π α τ ρ ά δ ε λ φ ο ν Ἀμύνταν (Curt. VI. 10 24. πρβλ. καὶ Schleusn. Lex. N. T. v. ἀδελφός). Καὶ φαίνεται μὲν ἐπίσημον μάλιστα τὸ καὶ ταῖς Ἐπιγραφαῖς συμφωνοῦν παράδειγμα τοῦτο τοῦ Καλλιμάχου πρὸς ἀπόδειξιν, ὅτι τότε κατ' αὐτὸν παρά τε τοῖς Ἀλεξανδρεῦσι (καὶ μάλιστα τοῖς βασιλεῦσι), καὶ παρὰ τοῖς Κυρηναίοις ἴσως ἕλλησιν, εἶχε τὴν ἐκτενεστέραν ταύτην σημασίαν τὸ ἀδελφός· οὕτω καὶ παρὰ τοῖς ἑλληνίζουσιν Ἀλεξανδρινοῖς Ἰουδαίοις· (ὅθεν καὶ οἱ Ο, μετεχειρίσθησαν τὴν λέξιν ὡσαύτως καὶ ἐπὶ ἀδελφιδοῦ, καὶ ἁπλῶς ἐπὶ συγγενοῦς· ἡ δὲ χρῆσις, συνήθης καὶ εἰς τὴν ἑβραΐδα γλῶσσαν· ἀπαντᾶται δὲ οὐχ' ἅπαξ καὶ ἐν τῇ Καινῇ Διαθήκῃ). Πλὴν εἰ μή τις ὑποπτεύσοι, μήπως ὁ μὲν Καλλίμαχος, μᾶλλον ἑλληνίζων, ἔγραψεν οὐκ ἀ δ ε λ φ ὸ ς, ἄλλο δέ τι πλατυκώτερον, οἷον σ ύ γ γ ο ν ο ς, ἢ ὁ μ α ί μ ω ν (ὁ ἀδελφὸς καὶ ὁ συγγενής), ὁ δὲ Κάτουλλος εἰδικώτερον ἡρμήνευσε frater. — Σημ. ἡμετ.

θησαν ἄρα οἱ περὶ τὸν Ὑγῖνον (καὶ τὸν Γάλλον τοῦ Κατούλλου ἐκδότην) συγχύσαντες ταύτην τὴν τοῦ Μάγα Βερενίκην τὴν νυμφευσαμένην τὸν Εὐεργέτην, πρὸς τὴν τούτου ἀδελφὴν, τὴν Φιλαδέλφου Βερενίκην, ἥτις συνῴκησε μετὰ Ἀντιόχου, καὶ ἐτελεύτησεν ἐν τῇ Δάφνῃ (α). — γ) Τελευταῖον αἴρεται τοιουτοτρόπως ἐκ τοῦ μέσου τὸ μέγα σκάνδαλον πολλῶν ἀρχαιολόγων, οἵτινες κατεδίκασαν νοθείας τὸ Ἀδουλαῖον μνημεῖον (βλ. σελ. 136) διὰ τοῦτο καὶ μόνον, διότι ὁ Εὐεργέτης ὀνομάζεται ἐν αὐτῷ υἱὸς ΘΕΩΝ ΑΔΕΛΦΩΝ (τοῦ Φιλαδέλφου δηλαδὴ καὶ τῆς Α, Ἀρσινόης), ἐνῷ αὕτη μὲν ἐτελεύτησεν ἄτεκνος, ὁ δὲ Εὐεργέτης ἐγεννήθη ἐκ τῆς Β, Ἀρσινόης, τῆς Λυσιμάχου. Ἀλλὰ κατὰ τὴν ἀνωτέρω τοῦ *ἀδελφὸς* σημασίαν, καὶ ἡ Β, ἄρα Ἀρσινόη ἐλέγετο *ἀδελφὴ* τοῦ Φιλαδέλφου, καθὸ ἀδελφιδὴ, ἢ ἀνεψιὰ, (θυγάτηρ δηλαδὴ τῆς ὁμοπατρίου καὶ ἀμφιμήτορος ἀδελφῆς Ἀρσινόης, ᾗ συνῴκησεν ὁ Λυσίμαχος). Ὅτι δὲ ταύτην τὴν Λυσιμαχίδα Ἀρσινόην ἐννοεῖ τὸ Ἀδουλαῖον ἐπίγραμμα φανερὸν ἐκ τῶν ἐφεξῆς, ἐν οἷς ὁ Εὐεργέτης γενεαλογεῖται « *ἀπόγονος τὰ μὲν ἀπὸ πατρὸς, Ἡρακλέους τοῦ Διὸς, τὰ δὲ ἀπὸ μητρὸς, Διονύσου τοῦ Διός*». Καὶ φαίνεται ἄρα καὶ ἐκ τῆς αὐθεντίας τούτου τοῦ ἐπιγράμματος ὅτι καὶ ἡ Β, Ἀρσινόη, ἡ Λυσιμάχειος, συνέζησε μετὰ τοῦ Φιλαδέλφου ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ μέχρι τελευτῆς (καθὼς ἡ Α, ἡ αὐτάδελφος αὐτοῦ, καὶ ὁμόγνιος Ἀρσινόη). Οἱ δὲ τοῦ Ἀριστέου πολέμιοι λίαν ἐπλανήθησαν πιστεύσαντες τῷ Θεοκρίτου Σχολιαστῇ (β).

(α) Βλ. Ὑγῖν. Ἀστρονομ. 2. 24 κτλ. [πρβλ. Viscont. Iconog. Gr. T. 3. p. 220].

(β) *Ψευδῶς πάντως ὁ Σχολιαστὴς, ἐναντίον καὶ αὐτοῦ τοῦ Θεοκρίτου (καθὼς προαπεδείχθη) διέταξε τὸν μετὰ τῆς αὐταδέλφης Ἀρσινόης γάμον τοῦ Φιλαδέλφου μεταγενέστερον τοῦ μετὰ τῆς Λυσιμαχίδος. Ὅτι ὅμως καὶ μετὰ ταύτης ὁ Φιλάδελφος ἔζησε διὰ τέλους ἀγαπητῶς, καθὼς μετὰ τῆς πρώτης, τοῦτο (νομίζομεν) οὔτε ἐκ τοῦ Ἀδουλαίου μνημείου ἀβιάστως συμπεραίνεται, καὶ αὐτὸς ὁ Σχολιαστὴς, ἱστορῶν οὕτως ἐμπεριστάτως τὴν ἐπιβουλὴν, καὶ τὴν εἰς Κοπτὸν ἐξορίαν τῆς Λυσιμαχίδος Ἀρσινόης, φαίνεται λέγων οὐχὶ μυθώδη πράγματα καὶ ἀπίθανα. Πάλιν, ὁ σχολιαστὴς προστίθησιν, « ὅτι τοὺς ἐκ τῆς προτέρας (τῆς Λυσιμαχίδος) Ἀρσινόης γεννηθέντας παῖδας ὁ Πτολεμαῖος εἰσεποιήσατο τῇ οἰκείᾳ ἀδελφῇ (Ἀρσινόῃ) »· οὐδὲ τοῦτο φαίνεται παντάπασιν ἀπόβλητον. Σφάλλεται μὲν γὰρ καὶ ὧδε ὁ Σχολιαστὴς νομίζων καὶ προτέραν τὴν Β. Ἀρσινόην· ἀλλὰ μήποτε περὶ τὴν εἰσποίησιν ὁπωσδήποτε ἀληθεύει; Ἴσως*

§. λθ΄. Ὅσον δὲ περὶ τῆς αὐτοκασιγνήτου καὶ πρώτης γενομένης τοῦ Φιλαδέλφου γυναικὸς Ἀρσινόης ἱκανῶς ἐν τοῖς προηγου-

---

γὰρ ὁ Φιλάδελφος, τὴν ἐξορισθεῖσαν ἐπίβουλον γυναῖκα μισῶν, διέταξεν ἵνα τὰ ἐξ αὐτῆς τέκνα (ἔτι παιδικὴν ἡλικίαν ἔχοντα) λογίζωνται τῆς Α, Ἀρσινόης, καί τοι θανούσης, εἰσποιῶν ἐκείνῃ κατὰ θέσιν τὰ κατὰ φύσιν ἔκγονα τῆς ἀποβληθείσης. Ἴσως δὲ καὶ αὐτὰ τὰ τέκνα, φεύγοντα τὸ μητρῷον ὄνειδος, τὴν Α, Ἀρσινόην ἐπεγράφοντο μητέρα (ὅθεν προῆλθεν ἡ φήμη τῆς εἰσποιήσεως). Καὶ κατὰ ταῦτα λοιπὸν ὁ Εὐεργέτης ἐν τῷ Ἀδουλαίῳ γράμματι λέγεται παῖς ΘΕΩΝ ΑΔΕΛΦΩΝ, ὡς φύσει μὲν υἱὸς τοῦ Φιλαδέλφου, θέσει δὲ καὶ τῆς αὐταδέλφης αὐτοῦ Ἀρσινόης. Εἰ δὲ καὶ τὴν ἑαυτοῦ γενεαλογίαν ὁ Εὐεργέτης ἀνάγει πατρόθεν μὲν εἰς Ἡρακλῆν, τὰ δ' ἐκ μητρὸς εἰς τὸν Διόνυσον, πρῶτον μὲν, οὐδὲν ἂν ὑπῆρχε παράδοξον, εἴγε πρὸς πλείονα μεγαλοπρεπείας ἐπίδειξιν ἀνεμιμνήσκετο, κατὰ τοῦτο γοῦν, καὶ τὸν γενάρχην τῆς κατὰ φύσιν αὐτοῦ μητρός· [Ο μὲν γὰρ Φιλάδελφος, καὶ ὁ πατὴρ αὐτοῦ ὁ Σωτὴρ, ἐγενεαλογοῦντο Ἡρακλέους ἀπόγονοι· καὶ καθόλου δὲ « τὸ πρῶτον τῶν Μακεδόνων βασιλέων γένος εἰς Ἡρακλέα ἀναφέρεται » (σελ. 165. βλ. καὶ Συγκελ. Χρονολογ. σελ. 497, καὶ Ἀντιπάτρου ἐπίγραμ. ἐν Ἐπιγραμ. Βιβλ. ς. σελ. 569. Brod.). Ὁ δὲ Λυσίμαχος, ὁ πατὴρ τῆς Β. Ἀρσινόης ἀνῆγε τὸ γένος εἰς Διόνυσον, ὡς θέλουσιν οἱ Ἀρχαιολόγοι, ἐξ αὐτῆς πάλιν ὁρμώμενοι τῆς Ἀδουλαΐτιδος ἐπιγραφῆς, καὶ τῶν ἔν τισι τῶν Λυσιμαχείων νομισμάτων ἐμφαινομένων ἐπὶ τῆς Λυσιμάχου κεφαλῆς κεράτων, ὁμοίων πρὸς τὰ τοῦ Βάκχου. βλ. Viscont. Iconogr. Grec. T. 2. p. 104 καὶ T. 3. p. 318]. Ἀλλ' ὅμως, ὅσον κρίνομεν ἡμεῖς, ἀληθέστερον νομίζομεν τὸ ἐφεξῆς. Ὅτι καὶ αὐτὴ ἡ Ἀρσινόη, ἡ μήτηρ τοῦ Σωτῆρος, καὶ τοῦ τε Φιλαδέλφου καὶ τῆς ἀδελφῆς Ἀρσινόης προμήτωρ, καὶ αὐτῆς δὲ τῆς Λυσιμαχίδος Ἀρσινόης προμάμμη (ὡς καὶ ταύτης ἐχούσης μητέρα τὴν ἐξ Εὐρυδίκης θυγατέρα τοῦ Σωτῆρος Ἀρσινόην), ἀνῆγε τὸ γένος εἰς Διόνυσον· ὅθεν καὶ ὁ δισέγγονος Εὐεργέτης, δισσὰς ἀρνύμενος τιμὰς, ἔλεγεν ἑαυτὸν πατρόθεν μὲν Ἡρακλέους, μητρόθεν δὲ Διονύσου ἔκγονον. Ὅτι δὲ τῆς μητρός τοῦ Σωτῆρος τὸ γένος ἀνήγετο πρῶτον εἰς Διόνυσον, εἶτα δὲ καὶ εἰς Ἡρακλέα, μαρτυρεῖ σαφῶς ὁ ἱστορικὸς Σάτυρος, οὕτω γενεαλογῶν· « Διονύσου καὶ Ἀλθέας τῆς Θεστίου γεγεννῆσθαι Δηϊάνειραν, τῆς δὲ καὶ Ἡρακλέους τοῦ Διὸς, οἶμαι, Ὕλλον· τοῦ δὲ Κλεόδημον, τοῦ δὲ . . . τοῦ δὲ . . . κτλ. τοῦ δὲ Ἀμύνταν, τοῦ δὲ Βόκρον, τοῦ δὲ Μελέαγρον, τοῦ δὲ Ἀρσινόην, τῆς δὲ καὶ Λάγου, Πτολεμαῖον τὸν Σωτῆρα, τοῦ δὲ καὶ Βερενίκης, Πτολεμαῖον τὸν Φιλάδελφον » κτλ. (Σάτυρ. παρὰ τῷ ἁγ. Θεοφίλ. Ἀντιοχ. ἐν τῷ πρὸς Αὐτόλυκ. βιβλ. β. §. 8. βλ. καὶ ἐφεξῆς κεφ. η. §. δ, σημ.). Πρόσθες τούτοις καὶ ὅτι ὁ Εὐεργέτης μετὰ τῆς γυναικὸς, τῆς Βερενίκης, ἐπὶ τοσοῦτον ἐτίμησαν τὴν Α, Ἀρσινόην, τὴν ἀδελφὴν καὶ σύζυγον τοῦ Φιλαδέλφου, ὥστε καὶ τὸν ἑαυτῆς πλόκαμον ἡ Βερενίκη καθιέρωσεν εἰς τὸν ναὸν τῆς Ζεφυρίτιδος Ἀρσινόης (τῆς Φιλαδέλφου), ὃν ἔκτισεν αὐτὸς ὁ Εὐεργέτης εἰς τιμὴν τῆς Φιλαδέλφου Κύπριδος (τῆς Α, Ἀρσινόης) διὰ τοῦ Καλλικράτους (Ἀθήν. Ζ. σελ. 318), ἐπὶ τοῦ Ζεφυρίου, τῆς Λιβύης ἀκρωτηρίου (ὅθεν καὶ Φιλοζέφυρος καὶ Ζεφυρῖτις ἐπωνομάσθη ἡ Ἀρσινόη)· ἐκ δὲ τοῦ ναοῦ μετέπειτα ἀφανισθέντα τὸν πλόκαμον κατηστέρισεν ὁ Κόνων (Βλ. Στράβ. Α,

μένοις τὴν ἀλήθειαν ἀπεδείξαμεν διὰ τοσούτων ἐπισήμων μαρτυριῶν. Αἱ δὲ δείξεις αἱ αὐταὶ βεβαιοῦσιν καὶ τὴν παρὰ τῷ Ἀριστέᾳ ἐπιστολὴν τοῦ Ἐλεαζάρου, ἥτις μνημονεύει τὴν Φιλαδέλφου βασίλισσαν καὶ ἀδελφὴν Ἀρσινόην, καὶ τὰ ζῶντα ἐξ αὐτῆς Φιλαδέλφεια παιδία. Οἱ δὲ κριτικοὶ ματαίως ἥρπασαν καὶ τοῦτο πρὸς ἀπόδειξιν τῆς δῆθεν ψευδοσύνης τοῦ Ἀριστέου! Ἀλλὰ πότερος ἄρα χρήζει κύρους καὶ ἀξιοπιστίας; ὁ Ἀριστέας, ὅστις οὐδὲν ἄλλο παρέδωκε τοῖς ἐπερχομένοις, εἰ μὴ πᾶν ὅ,τι διερευνώμενον εὑρίσκεται σύμφωνον καὶ ὁμόλογον πρὸς τὴν ἱστορίαν τῶν καθ᾽ οὓς ἐκεῖνος ἔγραφε χρόνων; ἢ αὐτοὶ οὗτοι οἱ νεώτεροι κριτικοί, οἵτινες οἴκοθεν ἀναστάντες συσσωρεύουσι τοσαῦτα πεπλασμένα ψεύδη, σφαδάζοντες κατὰ τοῦ ἱστορικοῦ καὶ καταβοῶντες, ὡς ἂν εἴπερ ἦν ἁπάντων τῶν πώποτε γενομένων ῥαδιουργῶν καὶ πλαστογράφων ὁ ἀτιμότατος;

§. μ΄. Καὶ τοσαῦτα μὲν ἐν κεφαλαίῳ, καὶ τοιαῦτα τὰ τοῦ Ἐκδίκου. Ἡμεῖς δὲ, τέλος, ἀπαλλάττοντες τὸν ὑπομονητικὸν ἀναγνώστην ἀπὸ τῆς σχοινοτενοῦς περὶ τῶν Ἀρσινοῶν πραγματείας, μεταβαίνομεν καὶ εἰς τὰς λοιπὰς κατ᾽ Ἀριστέου κατηγορίας τῶν κριτικῶν.

---

3 :— Καλλιμάχ. καὶ Ποσειδ. ἐπιγράμματα παρ᾽ Ἀθην. Ζ. 318 : Στέφ. Βυζαντ. λ. Ζεφύριον: Catul. de Com. Beren : καὶ Viscont. Iconogr. Grec. T. 3. p. 214 καὶ 221). Ὥστε καὶ ἐν τῷ Ἀδουλαίῳ μνημείῳ τὴν Α, Ἀρσινόην, τὴν ἀδελφὴν τοῦ Φιλαδέλφου, ἐννοεῖ πιθανώτατα, ὡς ἑαυτοῦ θετὴν μητέρα, ὁ Εὐεργέτης, ὀνομαζόμενος υἱὸς Θεῶν ἀδελφῶν. Ἐὰν δὲ παρατηρήσωμεν, ὅτι τῆς μὲν Λυσιμαχίδος Ἀρσινόης οὐδαμοῦ οὐδεμία γίνεται μνεία ὡς ἐκθεωθείσης μετὰ θάνατον, μόνην δὲ τὴν Α, τὴν Φιλάδελφον Ἀρσινόην βλέπομεν πανταχοῦ θείων παρὰ τοῦ ἀνδρὸς τυχοῦσαν τιμῶν, ὑποπτεύω μήπως οὐδεμία μείνῃ ἀμφιβολία, ὅτι καὶ τὸ τοῦ μνημείου Θεῶν ἀδελφῶν ἔχει τὴν αὐτὴν σημασίαν, ἣν ἔχει καὶ ἐπὶ τοῦ προειρημένου νομίσματος. βλ. σελ. 157, σημ.), ὅπερ εἰς τιμὴν τοῦ Φιλαδέλφου καὶ τῆς Α, Ἀρσινόης ἔκοψεν ὁ αὐτὸς Εὐεργέτης· ὡς ὁμολογοῦσι καὶ αὐτοὶ τῶν νομισματικῶν οἱ ἐπισημότατοι. Ἀλλὰ τούτων πάλιν ἔργον, οὐχ ἡμέτερον καὶ τῆς παρούσης πραγματείας, τὸ τὰ τοιαῦτα ἐξακριβοῦν. Ἓν μόνον προστιθέμεθα, ὅτι κἂν ταῦτα φανῶσιν οὕτως ἔχοντα, ὅτι ὅμως τὸ ἀδελφὸς καὶ ἀδελφὴ ἐσήμαινε καὶ τὸν ἀδελφιδοῦν καὶ τὴν ἀδελφιδῆν καὶ τοὺς ἐξαδέλφους (ὡς εἶπεν ἐν τοῖς ἀνωτέρω ὁ Ἔκδικος) ὑπάρχει πρᾶγμα βέβαιον (βλ. ὄπισθ. κεφ. ϛ. §. ιγ, σελ. 193). Σημ. ἡμετ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἄλλα τῶν κριτικῶν ἐπιχειρήματα πρὸς ἀπόδειξιν, ὅτι, κατὰ τὸν Ἀριστέα, ἡ ἑρμηνεία τῶν Γραφῶν ἐγένετο ὀψέ ποτε τῆς βασιλείας τοῦ Φιλαδέλφου.

§. ά. « Σπεύδομεν (λέγουσιν οἱ πρὸς τὸν Ὄδιον, σελ. 27) πρὸς ἐξύφανσιν τῆς ἧς ἀνεζώσμεθα πραγματείας, στεγανὴν αὐτὴν ἱστουργοῦντες, ὅσον οἷόν τε, καὶ πυκνήν· καὶ δὴ καὶ δι' ἄλλων ἐπιχειρημάτων ἐρχόμεθ' ἀποδείξοντες τὸν Ἀριστέα φρονοῦντα τὴν μετάφρασιν γεγεννημένην οὐκ ἐπὶ τῆς διετίας, καθ' ἣν ὁ Φιλάδελφος συνεβασίλευσε τῷ πατρὶ, ἀλλὰ πολλοὺς ἐνιαυτοὺς ὕστερον, ἀφ' οὗ καθ' ἑαυτὸν ἐβασίλευσεν. Ἐκ δὲ τῆς τοιαύτης ἀποδείξεως οὐ μόνον τὸ περὶ οὗ ὁ λόγος βεβαιωθήσεται, ἀλλὰ καὶ νέας ἄλλης ἐφόδου κατ' Ἀριστέου καταβληθήσεται ἀφορμή ». — Ὕφαιν', ὕφαινε, φίλ' Ὄδιε, κρέκων τὸν ἱστὸν, ἂν ὑφαίνῃς ἀγλαὰ καὶ στεγανὰ δῶρα τῆς *Ἐργάνης*· ἀλλ' ὑπονοοῦμεν, μήπως κάλλιον ἂν ἔπραττες, ἢ μηδόλως τὸ πηνίον τοῦτο διασθεὶς, ἢ κἂν, εἴπερ εὐθὺς ἀνέλυε τὸ ὕφασμα αὐτή σου πάλιν ἡ πολυμάθεια, κατὰ τὴν περίφρονα Πηνελόπην, ἥτις « ἠματίη μὲν ὕφαινε μέγαν ἱστὸν,

Νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο ».

Πλὴν ἀλλ' ὅμως ἴδωμεν καὶ τὴν ἐφεξῆς πολύμιτον ἐργασίαν τῆς καλλικελάδου ταύτης κερκίδος, ἐξετάζοντες πότερον ἄρα, τοσαύτας πλανηθεῖσα *παλιμβάμονας ὁδοὺς*, Παλλάδος ὕφανε πέπλον, ἢ ἀράχνης ἱστόν.

§. β'. Α) «Ὁ Ἀριστέας εἶπε «*τὴν Πτολεμαΐδα πόλιν ὑπὸ τοῦ βασιλέως*, τοῦ Φιλαδέλφου, *ἐκτισμένην* ». Ἀλλὰ ταύτην τὴν ἐν ἐσχατιαῖς τῆς Συρίας (ἢ τῆς Συροφοινίκης) κειμένην πόλιν (παρὰ μὲν τοῖς ἀρχαίοις καὶ τοῖς Ἄραψιν *Ἄκην*, παρὰ δ' Ἑβραίοις *Ἀκὼν*, καὶ συνήθως ἤδη *Ἄκρι καλουμένην*) (α), ταύτην τὴν πόλιν κατὰ

(α) Καὶ Διόδωρος αὐτὴν Ἄκην ὀνομάζει (ιθ, 93. πρβλ. καὶ ιε, 41. τόμ. β. σελ. 34, Wess.), καὶ Στράβων (ιϛ, 758), καὶ Πολύαινος (Γ, θ, 56), καὶ Πλίνιος (V. 19).

μέν τινας τῶν νεωτέρων ἀνέκτισεν ὁ Α, Πτολεμαῖος ὁ Λάγου, ἐξ οὗ καὶ παρωνομάσθη Πτολεμαΐς· κατ' ἄλλους δὲ πάλιν, ὁ ς, Πτολεμαῖος ὁ Φιλομήτωρ. Κἂν μὲν ὑφ' ἑνός τινος, ὁποτέρου, τῶν δύω τούτων βασιλέων ὑπῆρχε βεβαίως ἡ πόλις ἀνῳκοδομημένη, καὶ τότε σαφῶς ἂν ἐξηλέγχετο καὶ κατὰ τοῦτο ψευδόμενος ὁ Ἀριστέας, ὡς ὑπὸ *τοῦ Φιλαδέλφου* λέγων αὐτὴν *ἐκτισμένην*. Νῦν δὲ παρ' οὐδενὸς τῶν ἀρχαίων (ὅσον οἴδαμεν ἡμεῖς) οὐδεμίαν ἔχομεν μαρτυρίαν, ὅτι ἀνεκτίσθη ἡ Πτολεμαΐς, ἢ ὑπὸ τοῦ Α, ἢ ὑπὸ τοῦ ς, τούτων τῶν Πτολεμαίων. Ὅτι δὲ Πτολεμαΐς ἐκαλεῖτο οὐ μόνον ἐπὶ τοῦ *Φιλομήτορος*, ἀλλὰ καὶ πολὺ πρότερον ἐπὶ τοῦ δ, Πτολεμαίου τοῦ *Φιλοπάτορος* (ἐγγόνου τοῦ Φιλαδέλφου), φαίνεται ἔκ τε τῶν Μακκαβαίων (Α. κεφ. 1: καὶ Γ. κεφ. ζ), καὶ ἐκ τοῦ Πολυβίου (Ε. 61)· καὶ ταῦτα μὲν οὕτως. Ὁ δ' οὖν Ἀριστέας, ἐν ᾧ λέγει περὶ τῆς Ἱερουσαλὴμ, « ὅτι ἔχει λιμένας εὐκαίρους, χορηγοῦντας τά τε κατὰ τὴν Ἀσκάλωνα καὶ Ἰόππην καὶ Γάζαν, ὁμοίως δὲ *καὶ τὴν Πτολεμαΐδα, τὴν ὑπὸ τοῦ βασιλέως ἐκτισμένην* », ταῦτα λέγων ὁ Ἀριστέας, τίθησιν ἄρα καὶ τὴν Πτολεμαΐδα πρὸ χρόνων ἤδη πρότερον ὑπὸ τοῦ Φιλαδέλφου συνῳκισμένην· διὸ καὶ τὴν μετάφρασιν νομίζει γεγενημένην οὐχὶ κατὰ τὰς ἀρχὰς, ἀλλ' ὀψὲ τῆς βασιλείας τοῦ Φιλαδέλφου ».

Ἀπαντῶμεν.

α) Ὅσοι λέγουσι τοῦ Φιλομήτορος κτίσμα τὴν Πτολεμαΐδα, ὅτι ψεύδονται καὶ παριστοροῦσι, καὶ αὐτὸς Ὅδιος ὡμολόγησεν, εὑρὼν καὶ πρότερον ἐπὶ Φιλοπάτορος ἱσταμένην τὴν πόλιν ὀρθήν· (καί τοι

Ἑβραϊστὶ δὲ καὶ παρὰ τοῖς Ο, γράφεται οὐχὶ Ἀκὼν, ἀλλ' Ἀκχὼ (Κριτ. α, 31), παρ' Ἰωσήπῳ δὲ Ἀρκὴ, ἢ Ἄρκη (Ἀρχαιολ. Ε. α. §. κϐ. ἐκδ. Hav.). Ὅθεν καὶ ἐν τῇ συνηθείᾳ, Ἄκρη, ἢ, καὶ τὸ Ἄκρι (ἰταλ. Acri, Γαλλιστ. Jean d'Acre). πρβλ. Στέφ. Βυζ. λ. Ἄκη, καὶ Πτολεμαΐς· — καὶ Σουΐδ. λ. Ἄκη, ὅπου μνημονεύει καὶ Δημήτριον λέγοντα, « μὴ τὴν πόλιν Ἄκην καλεῖσθαι, ἀλλὰ τὴν ταύτης ἀκρόπολιν ». πρβλ. καὶ Μ. Ἐτυμολ. (ἴσως ὁ Δημήτριος οὗτος παρῆγε τὸ φοινικικὸν ἄκη παρὰ τὸ ἄκρη, ἢ ἄκρα, ὡς καὶ ἄλλοι παρὰ τὸ ἄκος. Στέφ. Βυζ. αὐτόθ. Βλ. καὶ Παυσαν. Η. 34, περὶ ἄλλης Ἄκης, ἐν Ἀρκαδίᾳ). Σημαίνει δὲ, λέγουσι, τὸ φοινικικὸν, ἢ ἑβραϊκὸν Ἀκχὼ συντετριμμένον τι, ῥῆγμα, ἢ θλάσμα (οἷον ἀποῤῥῶγα πέτραν). βλ. A. Berkel εἰς Στέφ. Βυζ. πρβλ. καὶ H. Relandi Palaestin. Lib. III. p. 536. — Σημ. ἡμετ.

ἄλλως δεινοπαθοῦντι ἐοικώς, ὅτι οὐκ ἀληθεύουσιν οἱ τοιοῦτοι πρὸς ἔλεγχον Ἀριστέου!). Ὤφειλε δὲ ὅμως ὁ κριτικὸς προσθεῖναι πρὸς τοῖς ἄλλοις, ὅτι καὶ Καλλίμαχος, ὁ Κυρηναῖος ποιητής, καὶ τοῦ Φιλαδέλφου καὶ Ἀριστέου σύγχρονος, ἠπίστατο κἀκεῖνος καὶ ὠνόμαζε τὴν πρώην Ἄκην, *Πτολεμαΐδα*. « Ἄκη, πόλις αὕτη ἐν Φοινίκῃ, ἣν Νικάνωρ *ὁ περὶ μετονομασιῶν* γεγραφώς, καὶ *Καλλίμαχος ἐν τοῖς ὑπομνήμασι*, τὴν νῦν Πτολεμαΐδα καλουμένην φασὶν εἶναι » (Ἁρποκρατ. πρβλ. καὶ Καλλιμάχ. τ. α. σελ. 474, ἐκδ. Ἐρν.). Ὥστε οὐ μόνον ἐπὶ τοῦ Φιλοπάτορος (ὡς Ὅδιος εἶπεν), ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ Φιλαδέλφου ὑπῆρχεν εἰς τὴν Ἄκην δεδομένον τ' ὄνομα Πτολεμαΐς. — β) Ἐκ τοῦ Διοδώρου μανθάνομεν (ὅπερ Ὅδιος ἑκών, ἴσως, ἀπεσιώπησεν), ὅτι κατὰ μὲν τὸ α, τῆς ριζ, Ὀλυμπ. Πτολεμαῖος ὁ Σωτὴρ, ἀκούσας ἐπερχόμενον τὸν Ἀντίγονον, ἔκρινεν ἐκλιπεῖν τὴν Συρίαν· « διὸ καὶ κατέσκαψε τὰς ἀξιολογωτάτας τῶν κεκρατημένων πόλεων, *Ἄκην μὲν τῆς Φοινίκης Συρίας*, Ἰόππην δὲ καὶ Σαμάρειαν καὶ Γάζαν τῆς Συρίας » (Διόδ. ιθ, σελ. 390). Κατὰ δὲ τὸ γ, τῆς ριθ, Ὀλυμπ. (ἤγουν μετὰ μίαν περίπου δεκαετίαν ὕστερον, καὶ πρὸ 16, ἐτῶν, πρὶν ἢ παραδῷ τῷ Φιλαδέλφῳ τὴν βασιλείαν) ὁ αὐτὸς Πτολεμαῖος πάλιν τὰς ἐν τῇ κοίλῃ Συρίᾳ πόλεις ὑποχειρίους ἐποιήσατο, (καὶ Σιδωνίους ἐξεπολιόρκησε), καὶ τὰς χειρωθείσας πόλεις φρουραῖς ἠσφαλίσατο ». (Διόδ. κ, σελ. 488: Παυσ. Α, ϛ, §. 5—8). Τίς λοιπὸν εὐλόγως ἀμφιβάλλει ὅτι καὶ τὰς κατασκαφείσας πόλεις, τὴν Γάζαν, καὶ Ἰόππην, καὶ αὐτὴν τὴν οὐ πολὺ μακρὰν τῆς Τύρου καὶ Σιδῶνος ἀπέχουσαν *Ἄκην* πάλιν ἀνώρθωσε, καὶ παρέδωκε τῷ υἱῷ μετὰ τῶν ἄλλων, καὶ πᾶσαν δὲ *Φοινίκην καὶ Συρίην, ἐμβασιλεύειν*; (Θεόκρ. ιζ, 86—87). Καὶ ὀρθῶς ἄρα καὶ λίαν εὐθυβόλως ἔκριναν οἱ Πτολεμαῖον τὸν Σωτῆρα λέγοντες ἀνορθωτὴν τῆς Ἄκης, ἥτις, ἴσως ἀπ' αὐτοῦ μετωνομάσθη καὶ Πτολεμαΐς (α)· (εἶχε δὲ ὁ Σωτὴρ καὶ

(α) Παρὰ τῷ Λαερτίῳ, (Β η. § 7) μνημονεύεται « Αἰθίωψ Πτολεμαεύς, Ἀριστίππου ἀκροατής ». Ἀλλ' ἐπὶ τοῦ Ἀριστίππου οὔτε Πτολεμαῖοι ὑπῆρχον, καὶ

θυγατέρα Πτολεμαΐδα· βλ. Κεφ. Ζ. §. θ καὶ κϐ). Ἀλλὰ μήπως παρὰ τοῦτο κροταλίσουσι τὰς χεῖρας οἱ περὶ τὸν Ὅδιον, ὡς οὕτως ἐξελεγχομένου ψεύστου τοῦ Ἀριστέου, κτίστην τῆς Πτολεμαΐδος λέγοντος ὀνομαστὶ *τὸν Φιλάδελφον;* κενὸν τὸ κροτάλισμα! Διότι γ) ὁ Ἀριστέας πρῶτον μὲν οὐδόλως ὠνόμασε ῥητῶς *τὸν Φιλάδελφον* (ὡς ἐπεξήγησαν οἱ περὶ τὸν Ὅδιον), εἶπε δὲ μόνον ἁπλῶς καὶ ἀνωνύμως τὴν Πτολεμαΐδα *ἐκτισμένην ὑπὸ τοῦ βασιλέως*· καὶ ἴσως ἐνόει τὸν ἔτι τότε ζῶντα καὶ τῷ Φιλαδέλφῳ συμβασιλεύοντα Πτολεμαῖον τὸν Σωτῆρα. Ἔπειτα, κἂν αὐτὸν ὑπελάμβανε τὸν Φιλάδελφον ὁ Ἀριστέας (ὡς φαίνεται καὶ τοῦτο πιθανόν· διότι καὶ ἀλλαχοῦ πολλάκις τοῦτον ἁπλῶς *βασιλέα* καλεῖ)· ἀλλ᾽ οὐδὲν παράδοξον, εἰ καὶ ὁ Φιλάδελφος ὠνομάσθη κτίστης τῆς πόλεως, προσοχυρώσας αὐτὴν ἐν ἀρχῇ τῆς βασιλείας εὐθὺς (ἢ μήπως πρὸς ἐπισκευὴν καὶ μεταῤῥύθμισιν τῆς πόλεως ὑπῆρχε χρεία μακρῶν ἐνιαυτῶν;), καὶ παντοίως ἐπισκευάσας καὶ κοσμήσας, ὡς « *πόλιν μεγάλην* », κατὰ τὸν Στράϐωνα (ις, 758). Κἂν δὲ δῶμεν ὅτι ὑπ᾽ αὐτοῦ τοῦ Φιλαδέλφου καὶ Πτολεμαῒς ἡ Ἄκη μετωνομάσθη, καὶ οὕτως ἀληθεύσει ὁ Ἀριστέας· ἠδύνατο γὰρ ἐν ἀρχῇ τῆς βασιλείας ἐπισκευάσας τὴν πόλιν, ἐπονομάσαι καὶ Πτολεμαΐδα συγχρόνως, εἴτε πρὸς τιμὴν τοῦ ζῶντος ἔτι τότε πατρὸς, εἴτε καὶ ἀφ᾽ ἑαυτοῦ (καθὼς καὶ ἄλλη Πτολεμαῒς ὕστερον ἀπ᾽ αὐτοῦ κατὰ τὴν Ἀραβίαν ἐπεκλήθη. Στράϐ. ις, σελ. 770). Ὅτι δὲ καὶ οἱ τειχοποιοῦντες καὶ μεγεθύνοντες, ἢ ἄλλως πως ἐπὶ τὸ κρεῖττον βελτιοῦντες ἀρχαίας πόλεις ἡγεμόνες ὠνομάζοντο καὶ *κτίσται* τούτων πολλάκις, καὶ αὐταὶ δὲ αἱ πόλεις ἐγίνοντο τούτων ἐπώνυμοι, μαρτυροῦσιν ἄλλα τε πολλὰ τῆς ἱστορίας καὶ οἱ Σικυώνιοι, οἵτινες πεισθέντες

ἡ τῆς Συρίας, ἢ Φοινίκης Πτολεμαῒς (ἣν φαίνεται νοῶν ὁ βιογράφος) ὠνομάζετο τότε Ἄκη (ὡς καὶ ἐπὶ τοῦ Ἰφικράτους, Πολύαιν. Γ. θ. 56)· ὅθεν ὁ Ἀκαῖος τότε Αἰθίωψ μετωνόμασται ἴσως παρὰ τοῖς ὕστερον ἀπὸ τῆς μετονομασθείσης αὐτοῦ πατρίδος. Καὶ ἄλλον δὲ φιλόσοφον Διογένην Πτολεμαέα, Ζήνωνος, ἢ Χρυσίππου μαθητὴν ἀνέφερεν ὁ Λαέρτιος (Ζ. α, 33), ὁπότε πάντως ὑπῆρχεν ἡ Πτολεμαῒς μετωνομασμένη. Περὶ ἄλλων Πτολεμαΐδων, μεταγενεστέρων τῆς Ἄκης, βλ. Στράϐ. ιδ, 667. ις, 770. ιζ, 813, 837.

ὑπὸ τοῦ Πολιορκητοῦ Δημητρίου εἰς τὴν ἀκρόπολιν μετοικῆσαι, καὶ περὶ τὰς οἰκοδομίας ὑπ' αὐτοῦ βοηθηθέντες, *Δημητριάδα* τε τὴν Σικυῶνα μετωνόμασαν εὐθὺς, καὶ τιμὰς τῷ Δημητρίῳ ἀπένειμαν, *ὡς κτίστῃ* (Διόδ. Κ, σελ. 480). Οὕτω πάλιν καὶ αὐτὸς ὁ Φιλάδελφος τὰ *Πάταρα*, πόλιν ἀρχαίαν, ἐπισκευάσας μετωνόμασεν ἀπὸ τῆς ἀδελφῆς καὶ γυναικὸς Ἀρσινόην (Στράβ. ιδ. σελ. 666). Καὶ ὀρθῶς ἄρα ὑπέμνησεν ὁ γηραιὸς Οὐόσσιος τὸν Ὅδιον, ὅτι «Καὶ ὁ πατὴρ ὁ Πτολεμαῖος, ἀφ' οὗ τὸ πρῶτον ἡ πόλις ἐπωνομάσθη, καὶ ὁ ταύτην αὐξήσας καὶ κοσμήσας υἱὸς, ὁ Φιλάδελφος, καὶ τούτων οἱ διάδοχοι βασιλεῖς, ἐφ' ὧν ἐπὶ μεῖζον ηὔξησεν ἡ Πτολεμαΐς, πάντες οὗτοι δικαίως ἂν αὐτῆς λέγοιντο *κτίσται* (διότι τὸ *κτίζειν* ἐκλαμβάνεται καὶ ἐπὶ τοῦ ἐπισκευάζειν καὶ παντοίως ἐπικοσμεῖν. Βλ. καὶ Ἰωσήπ. Ἀρχ. ιε, 8). Ἀλλ' ὁ κλεινὸς Ὅδιος παρήκουσε· καὶ τὸ τοῦ Ἀριστέου ἁπλοῦν καὶ εὐληπτότατον ῥημάτιον, τὸ «ὑπὸ τοῦ βασιλέως ἐκτισμένην», ἐκλαβὼν ὡς δῆθεν συνυπεμφαῖνον καὶ χρόνους εἰς τὴν κτίσιν δαπανηθέντας πολλοὺς, ἐκίνησε καὶ περὶ τῆς Πτολεμαΐδος αὐτὴν ἐκείνην αὐτόχρημα τὴν *Πτολεμαΐδα δίκην* (α).

§. γ'. Β) «Τοῦ Φιλαδέλφου (λέγει) τὴν ἀρετὴν ὁ Ἀριστέας βασιλικὴν σαφῶς καὶ *ἡρωϊκὴν* διαγράφει, καὶ τὴν πρὸς τοὺς πεπαιδευμένους εὔνοιαν καὶ φιλοφροσύνην, καὶ τὸ μετ' ἐπιμελείας τοὺς τοιούτους ἀνευρίσκειν, καὶ τὴν ἐν τοῖς βασιλικοῖς ἐπιτηδεύμασιν ἐμπειρίαν. Ταῦτα δὲ τὰ τοῦ Φιλαδέλφου περιλάλητα παρὰ πᾶσι τοῖς ἔθνεσι καὶ περιᾳδόμενα παρίστησιν ὁ Ἀριστέας καὶ πρὸ τῆς ἑρμηνείας τῶν Γραφῶν. Καὶ ὅμως ὁ Φιλάδελφος ὑπῆρχε *νέος κομιδῇ*, ὁπότε συνεβασίλευσε μετὰ τοῦ πατρός. Τελευταῖον· αὐτὸς ὁ Φιλάδελφος ἐν τῇ πρὸς τὸν Ἐλεάζαρον ἐπιστολῇ λέγει ῥητῶς, ὅτι χαριστήρια προσφέρομεν τῷ Θεῷ, «ὃς ἡμῖν τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δόξῃ κρατίστῃ παρ' ὅλην τὴν οἰκουμένην *διατετήρηκε*». (Σημείωσαι τὸ *διατετήρηκε*, πολυχρόνιον ἤδη τὴν βασιλείαν δηλοῦν)».

(α) «Πτολεμαῒς δίκη» ἐπὶ παροιμίας. «Πρεσβύτις ἦν ἡ Πτολεμαῒς ἀρχαία, ἄχρις οὗ ἀπέθανε δίκας λέγουσα, διὰ τὸ ἀεὶ ὑπερτίθεσθαι, καὶ μήποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι». Σουΐδ.

Ἀπαντῶμεν.

Περὶ μὲν τῆς Φιλαδέλφου νεότητος ἱκανὰ προείπομεν (Κεφ. Ϛ, σελ. 139, κτλ.). *Ἡρωϊκὴν* δὲ τὴν Φιλαδέλφου ἀρετὴν οὐδαμοῦ οὐδόλως ὠνόμασεν ὁ σεμνότατος Ἀριστέας· (καί τοι καὶ ὀνομάσας, οὐδὲν ἂν ἔλεγεν ἀλλότριον « αἰχμητοῦ βασιλέως, καὶ *δόρυ πάλλειν ἐπισταμένου* », καθὼς ὕμνησεν αὐτὸν ὁ Θεόκριτος. Εἰδυλ. ιζ. 103). Περὶ δὲ τῶν βασιλικῶν τοῦ Φιλαδέλφου ἀρετῶν, ὅ,τι καὶ ἂν εἴπωσιν Ὄδιοι, συμμαρτυρεῖ τῷ Ἀριστέᾳ πρῶτος αὐτὸς ὁ τοῦ Φιλαδέλφου πατὴρ, ὁ Λαγίδης Πτολεμαῖος, ὅστις « *φρεσὶν ἐγκατετίθετο βουλὰν, ἂν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι* » (Θεόκ. ιζ. 15). Ὁ δὴ τοιοῦτος συνετώτατος βασιλεὺς ἀξιώτατον τῆς βασιλείας εὗρε καί τοι νέον τὸν υἱόν· ὅθεν καὶ « *ἐπέτρεψεν οἶκον ἅπαντα* ». Μαρτυρεῖ δὲ καὶ ἰδίως ὁ Θεόκριτος, ὅστις (συγχρόνως, σχεδὸν μετὰ Ἀριστέου) καὶ τὸ φιλόμουσον καὶ φιλοτιμότατον ἦθος τοῦ Φιλαδέλφου διεζωγράφησεν (ἔτι νέου, καὶ συνοικοῦντος μετὰ τῆς ἀδελφῆς Ἀρσινόης) (α), καὶ τὴν ἐπ' αὐτοῦ βασιλεύοντος βαθεῖαν τῆς ἐπικρατείας εἰρήνην ἐξύμνησε (Εἰδ. ιζ. 97—101), προστιθεὶς (στχ. 117) καὶ « *τὸ κλέος τὸ ἐσθλὸν* », ὅπερ ἤρατο παρ' ἀνθρώποις ὁ βασιλεὺς, « *τὴν δόξαν* δηλαδὴ *τὴν κρατίστην* (ὡς εἶπε παρὰ τῷ Ἀριστέᾳ αὐτὸς ὁ Φιλάδελφος), « *ἣν ὁ θεὸς αὐτῷ διατετήρηκε παρ' ὅλην τὴν οἰκουμένην* ». Φανερὸν δὲ, ὅτι διῆλθε ταχέως διὰ τῶν ἐθνῶν ἡ φήμη τοῦ Φιλαδέλφου, βασιλεύοντος ἤδη δεύτερον ἔτος (ὁπότε μετεφράσθησαν αἱ Γραφαὶ), και μητρόπολιν τοῦ κράτους ἔχοντος Ἀλεξάνδρειαν, πόλιν εὐδαιμονεστάτην, εἰς ἣν κατέπλεον καὶ συνέρρεον ἄνθρωποι πανταχόθεν τῆς Οἰκουμένης. Ἐπὶ δὲ τοῦ *διατηρεῖν* ὅτι ἡ *διὰ* σημαίνει χρόνου παράτασιν ἀδιόριστον, καὶ οὐ μόνον ἐπὶ *πολυετίας* καὶ διετίας, ἀλλὰ καὶ ἐπὶ μιᾶς ὅλης ἡμέρας τίθε-

---

(α) « Πτολεμαῖος, ἐλευθέρῳ ὅστις ἄριστος,
Εὐγνώμων, φιλόμωσος, ἐρωτικὸς, εἰς ἄκρον ἁδὺς,
Εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον,
Πολλοῖς πολλὰ διδοὺς, αἰτεύμενος οὐκ ἀνανεύων,
Οἷα χρὴ βασιλῆα » κτλ. Θεόκριτ. Εἰδ. ιδ, 60—64 (πρβλ. ιζ. 115).

ται τὸ ῥῆμα πολλάκις, περιττὸν ἂν εἴη λέγειν, καὶ σφόδρα σχολαστικόν! Ὅταν δὲ ἐνθυμηθῶμεν, ὅτι καὶ διὰ πολλῶν πρότερον ἐνιαυτῶν εἰρηνεύουσαν τὴν βασιλείαν παρέλαβε παρὰ τοῦ ζῶντος ἔτι τότε πατρὸς ὁ Φιλάδελφος, τότε φανήσεται πολὺ παραδοξοτέρα ἡ περὶ τοῦ « *διατετήρηκε* » μικρολόγος σημείωσις τοῦ Ὀδίου.

§. δ'. Γ) « Ἀλλὰ (λέγει) καὶ Σωσίβιος, πείθων τὸν βασιλέα πρὸς λύτρωσιν τῶν αἰχμαλώτων Ἰουδαίων, ὀνομάζει τοῦτον παρὰ τῷ Ἀριστέᾳ, « *μεγίστως τετιμημένον καὶ δεδοξασμένον ὑπὲρ τοὺς προγόνους* » κτλ. Ταῦτα δὲ δεικνύουσι τὸν Φιλάδελφον εἰς ἄκρον εὐδαιμονίας ἤδη καὶ δοξης ἐληλακότα. Οὐδὲ γὰρ ὅλως πιστευτὸν, ὅτι ὁ Φιλάδελφος κατὰ τοὺς πρώτους τῆς βασιλείας ἐνιαυτοὺς ὑπερέβη τὸν πατέρα, τὸν Λαγίδην, ἄνδρα συνετώτατον ἅμα καὶ κραταιότατον γεγονότα καὶ πλουσιώτατον, καὶ τοσαῦτα κατωρθωκότα, ὅσα μετὰ τῆς ἱστορίας καὶ ὁ μακάριος Ἱερώνυμος διηγεῖται (Ὑπομνήμ. εἰς Δανιὴλ, κεφ. ια)· διὸ τοῦτον καὶ Λουκιανὸς (ἐν Μακροβίοις) « πάντων εἶπε, βασιλέων *εὐδαιμονέστατον* »· ὁ δὲ Ἰουστῖνος καὶ μέγαν αὐτὸν ἐπωνόμασε. Περὶ δὲ τοῦ Φιλαδέλφου εἶπον μὲν καὶ ἄλλοι τινὲς, ὡς ὁ Ἀριστέας, ὅτι τὸν πατέρα κατὰ τὴν δόξαν ὑπερηκόντισεν, ἀλλ' ὅμως, ἀφ' οὗ διῆλθε βασιλεύων χρόνον μακρὸν, καί τινας ἐνίκησε νίκας, καὶ ἄλλας ἔπραξε μεγαλουργίας, δι' ἃς καὶ διεφημίσθη. Καθὼς δὲ ὁ Ἀριστέας, οὕτω καὶ Φίλων ὁ Ἰουδαῖος (ἐν βίῳ Μωσ. Β.) ἐννοεῖ τὴν ἑρμηνείαν τῶν Γραφῶν γενομένην, ἀφ' οὗ ἐπάτησεν ὁ Φιλάδελφος τὸν ὕψιστον τῆς κατ' αὐτὸν μεγαλειότητος κολοφῶνα, « γενόμενος, καθάπερ ἐν ζώῳ τὸ ἡγεμονεῦον, κεφαλὴ τρόπον τινὰ τῶν βασιλέων » κτλ.

Ἀπαντῶμεν.

Ὁ Σωσίβιος εἶπε τὸν νέον Φιλάδελφον δεδοξασμένον *ὑπὲρ τοὺς προγόνους*, οὐχὶ *ὑπὲρ τὸν πατέρα* (καθὼς Ὄδιος παρηρμήνευσεν)· ὅτι δὲ τῶν *προγόνων* διαφέρουσιν οἱ *γονεῖς* (ὡς καὶ τῶν πατέρων οἱ *προπάτορες*), πρόδηλον· καὶ ὁ Πλάτων διακρίνει « *πατρὸς, ἢ μητρὸς τοὺς τούτων ἔτι προγόνους* ». Οὗτοι δὲ οἱ τῶν Φιλαδέλφου πατέρων πατέρες ἀνάγουσι τὸ γένος εἰς Κάρανον καὶ Κοῖνον

καὶ Τυρίμμαν καὶ Περδίκκαν, καὶ τοὺς λοιποὺς ἀφ' Ἡρακλέους καὶ Διονύσου γενεαλογουμένους ἀρχαίους βασιλεῖς τῆς Μακεδονίας, ὡς ἱστόρησε Σάτυρος ἀνωτέρω (Κεφ. Ζ. §. λη. σημ.) (α). Τούτους οὖν τοὺς προγόνους, ἐν γωνίᾳ που τῆς Ἑλλάδος ἀκλεῶς βεβασιλευκότας, ὑπερέβη κατὰ τὴν δόξαν ὅ,τε Πτολεμαῖος ὁ Σωτὴρ, κρατήσας πάσης Αἰγύπτου καὶ τοσούτων ἄλλων χωρῶν, καὶ γενόμενος βασιλέων εὐδαιμονέστατος, καὶ πολλῷ δὴ μᾶλλον ὁ τὴν εὐδαίμονα τοῦ πατρὸς βασιλείαν διαδεξάμενος Φιλάδελφος. Ταῦτα λέγει ὁ Σωσίβιος (β). Εἰ δὲ τοῦτον ἔλεγε καὶ αὐτοῦ τοῦ πατρὸς ἐνδοξότερον (καθὼς ἔπλασαν οἱ περὶ τὸν Ὅδιον), οὐδ' οὕτως ἂν ἡμάρτανε τῆς ἀληθείας (ὅσον κατὰ τὰ περιστατικὰ τῆς εὐδαιμονεστάτης τοῦ Φιλαδέλφου διαδοχῆς). Ὁ γὰρ πατὴρ, ὁ Πτολεμαῖος, οὔτε πατρὸς βασιλεύοντος ἐγεννήθη, οὔτε κράτος μυριάδων πόλεων καὶ κωμῶν ἐκληρονόμησε, περίβλεπτος ἐν πορφύρᾳ γεννηθεὶς καὶ τραφεὶς, οὔτε τὸ σκῆπτρον ἐγχειριζόμενος ἐνώπιον πολυαρίθμων λαῶν ὑπ' αὐτοῦ τοῦ βασιλεύοντος πατρὸς ὑπηρετήθη, σχῆμα δορυφόρου λαβόντος, καθὼς ὁ Φιλάδελφος. Καὶ, « *εἰ πατέρ' αἰνοῦσιν εὐδαί-*

(α) Βλ. τὰ τοῦ Σατύρου καὶ ἐν Ἱ σ τ ο ρ ι ῶ ν Σ υ ν α γ ω γ ῇ (ἐν Scaliger. Thesaur. Tempor. p. 368), καὶ Εὐσεβ. Χρονικ. Α. σελ. 170 ἐκδ. Mediol. καὶ Συγκέλλ. Χρονογρ. σελ. 498 τόμ. α. ἐκδ. Bon. Καίτοι παρὰ πᾶσι σχεδὸν τοῖς ἀρχαίοις ἡ γενεαλογία αὕτη φαίνεται ἐν μέρει τεταραγμένη. πρβλ. Διόδωρ. Ἐκλογ. Θ. σελ. 637. τόμ. β. καὶ σημ. Wessel. — καὶ Goar. Annotat. in Syngel. T. 2. p. 509. Bon.

(β) Ἰδοὺ ἡ φράσις ὅλη τοῦ Ἀριστέου· « Σωσίβιος δὲ καὶ τῶν παρόντων τινὲς, « Τοῦτο, εἶπον, κ α ὶ γ ὰ ρ ἄξιόν ἐστι τῆς σῆς μεγαλοψυχίας, ὅπως χαριστήριον ἀναθῇ (ἴσ. γρ. ἀ ν ά θ ῃ) τῷ μεγίστῳ Θεῷ τὴν τούτων ἀπόλυσιν· μεγίστως γὰρ τετιμημένος ὑπὸ τοῦ κρατοῦντος τὰ πάντα, καὶ δεδοξασμένος ὑ π ὲ ρ τ ο ὺ ς π ρ ο γ ό ν ο υ ς, εἰ καὶ μέγιστα ποιήσεις χαριστήρια, καθῆκόν ἐστί σοι » (ἐκδ. Hody pag. 3). Οὔτε φυσικώτερα, οὔτε ἐμβριθέστερα παρὰ ταῦτα ἠδύνατό τις εἰπεῖν πρὸς φιλότιμον καὶ θεοσεβῆ βασιλέα, εἰς μεγίστην εὐεργεσίαν παρακαλῶν, νεωστὶ βεβασιλευκότα μετὰ δόξης πολλῆς. Σημείωσαι δὲ ὅτι καὶ αὐτὰ τ ὰ χ α ρ ι σ τ ή ρ ι α, πρὸς ἅπερ οἱ περὶ τὸν Σωσίβιον προτρέπουσι τὸν βασιλέα τότε πρῶτον τῷ Θεῷ προσενεγκεῖν, καὶ ταῦτα δηλοῦσι τὴν οὐ πρὸ πολλοῦ καθίδρυσιν αὐτοῦ ἐπὶ τοῦ θρόνου. Καὶ δείκνυται λοιπὸν ἐκ τῆς μαρτυρίας πᾶν τοὐναντίον, ἢ προσεδόκησαν οἱπερὶ τὸν Ὅδιον.

μονες υἱοὶ, » πολὺ μᾶλλον καὶ οὗτοι πανευκλεῶς αἰνοῦνται καὶ μακαρίζονται, ὅταν τὴν ἔνδοξον τῶν πατέρων εὐδαιμονίαν ἀξίως διαδεχθῶσιν. Ἔπειτα καὶ ὡς ἐκ τοῦ κλέους τῆς πρακτικῆς ἀρετῆς, ἐκ ποίων ἄρα σωζομένων τῆς τοῦ Φιλαδέλφου βασιλείας χρονικῶν ἀπομνημονευμάτων ἐπληροφορήθησαν οἱ περὶ τὸν Ὅδιον, ὅτι ὁ τοσοῦτον ὑπὸ τοῦ πατρὸς δεδοξασμένος Φιλάδελφος διήγαγε τὴν διετίαν τῆς ἐπὶ ζῶντος τοῦ γεννήτορος βασιλείας ἄπρακτος καὶ ἀργὸς, ὡς ἄλλος Ἡρακλῆς θαλαμευόμενος παρ' Ὀμφάλῃ (τῇ Ἀρσινόῃ), καὶ μήτε τῶν *Φιλαδελφείων* κλεϊζομένων οἰκοδομῶν, μήτε τῶν ἄλλων αὐτοῦ μεγαλουργιῶν μηδεμίαν κατωρθωκώς; Περὶ τούτων αὐτοὶ πάλιν ἐπίστανται οἱ κριτικοί· ἡμεῖς δὲ παρ' αὐτοὺς πολὺ πιστότερον νομίζομεν αὐτὸν ἐκεῖνον, ὃν ἐμνημόνευσαν, τὸν μακάριον Ἱερώνυμον, ὅστις, μεθ' ὧν ἀνέγνω πάντως παλαιῶν ἱστορικῶν, συμφώνως ἀνεκήρυξεν εἰς τοσαύτην δύναμιν ἐλάσαντα τὸν Φιλάδελφον, ὥστε *καὶ τὸν πατέρα Πτολεμαῖον ὑπερτερῆσαι* (α). Ἀλλὰ καὶ ἐκ τοῦ Φίλωνος οὐδὲν πρὸς ἔπος συνεπέρανεν ὁ κριτικός. Ὁ Φίλων ἐπαινῶν τὸν Πτολεμαῖον, ὡς καθ' ὅλην αὐτοῦ τὴν βασιλείαν « *δοκιμώτατον τῶν βασιλέων γενόμενον* », οὐδεμίαν τῶν αὐτοῦ μεγαλουργιῶν χρονικῶς, κατὰ τὸ πρότερον καὶ ὕστερον, διακρίνει· λέγει δὲ μόνον ἁπλῶς, ὅτι « Ἀρεταῖς τῶν ἐν ἡγεμονίᾳ πάντων, οὐχὶ τῶν καθ' αὐτὸν μόνον, ἀλλὰ καὶ τῶν πάλαι πώποτε γεγενημένων ἄριστος (ἦν)· οὗ καὶ μέχρι νῦν τοσαύταις ὕστερον γενεαῖς ᾄδεται τὸ κλέος, πολλὰ δείγματα καὶ μνημεῖα τῆς μεγαλοφροσύνης κατὰ πόλεις καὶ χώρας ἀπολιπόντος ». Παραβάλλει δὲ τοῦτον καὶ πρὸς τοὺς ἄλλους Πτολεμαίους, ὡς ἔξοχον, λέγων· « Συνόλως μὲν οὖν ἡ τῶν Πτολεμαίων οἰκία διαφερόντως παρὰ τὰς ἄλλας βασιλείας ἤκμασεν, ἐν δὲ τοῖς Πτολεμαίοις ὁ Φιλάδελφος. Ὅσα γὰρ εἷς ἔδρασεν οὗτος ἐπαινετὰ, μόλις ἐκεῖνοι πάντες ἀθρόοι διεπράξαντο, γενόμενος, καθάπερ ἐν ζώῳ τὸ ἡγεμονεῦον, κεφαλὴ τρόπον τινὰ τῶν βασιλέων » (Τ. β. σελ. 139). Οὕτω δὲ τὸν

(α) « Tantae que potentiae fuisse narratur, ut Ptolemaeum patrem vinceret ». S. Hieron. Comm. in Daniel c. XI. 5.

Φιλάδελφον βασιλικώτατον, καὶ, ὡς εἰπεῖν, Πτολεμαϊκώτατον διαγράψας (ἵνα καὶ ἐξ αὐτοῦ τοῦ περικλεεστάτου φροντιστοῦ μᾶλλον ἐνδοξότερον ἀναφανῇ τὸ ἔργον τῆς ἑρμηνείας), εὐθὺς ἐπιφέρει· « Ὁ δὴ τοιοῦτος, ζῆλον καὶ πόθον λαβὼν τῆς νομοθεσίας » κτλ. Πῶς λοιπὸν ὁ Φίλων ἐν τούτοις, ἢ κατὰ λέξιν, ἢ κατ' ἔννοιαν φαίνεται φρονῶν τὴν ἑρμηνείαν τῶν Γραφῶν γενομένην (ὡς εἶπεν Ὅδιος) « ἐπὶ τῆς ἀκμῆς καὶ τοῦ κολοφῶνος τῆς δόξης τοῦ Φιλαδέλφου ; »

§. έ. Δ) « Ἀλλὰ (προστίθησι) καὶ ἐξ αὐτῶν τῶν ΟΒ, πρεσβυτέρων, (ὁπότε, κατὰ τὸν Ἀριστέα, διελέγοντο πρὸς τὸν βασιλέα) ὁ μὲν ξδ, εἶπεν, ὅτι « Κατακολουθῶν τοῖς νόμοις (ὦ βασιλεῦ) *ἀέναον μνήμην προσεκτήσω* » (α). Καὶ πάλιν ὁ οϐ· « Δικαίως δὲ τὰ πάντα κυβερνῶν ἀέναον τὴν περὶ σεαυτὸν δόξαν *κατεσκεύασας*». Ἐκ δὲ τούτων τίς οὐ συνορᾷ, ὅτι, κατὰ τὸν Ἀριστέα, πολλοὺς ἤδη χρόνους βασιλεύων ὁ Φιλάδελφος, καὶ μακρὰν δικαιοσύνης πεῖραν παρασχόμενος τοῖς ὑπηκόοις, ἀποβεβήκει περιώνυμος, ὅτε συνῆλθον πρὸς αὐτὸν οἱ τῶν Γραφῶν ἑρμηνεῖς; Πάλιν, ὁ ι, τούτων ἐρωτηθεὶς « Τί πέρας ἀνδρείας ἐστίν; εἶπεν· εἰ τὸ βουλευθὲν ὀρθῶς ἐν ταῖς τῶν κινδύνων πράξεσιν ἐπιτελεῖτο κατὰ πρόθεσιν », καὶ προσέθηκε· « τελειοῦται δὲ ὑπὸ τοῦ Θεοῦ πάντα σοι, καλῶς βουλομένῳ [ἴσ. γρ. βουλευομένῳ] ». Ἐκ δὲ τούτων συμπεραίνεται ὅτι καὶ πολέμους τινὰς ὁ Φιλάδελφος εἶχεν ἤδη πάλαι πολεμήσας εὐτυχῶς. Ἀλλὰ καὶ αὐτὸς ὁ Ἀρχιερεὺς Ἐλεάζαρος παρὰ τῷ Ἀριστέᾳ πρὸς τοὺς Φιλαδέλφου πρέσβεις ἔλεγεν « εἰδέναι, ὅτι φιλάγαθος ὢν ὁ βασιλεὺς, πάντων μέγιστον

(α) Τὸ κείμενον ἔχει « ἀένναον μνήμην καταβέβλησαι » κτλ. (ἀπὸ μεταφορᾶς τῆς πρώτης δηλονότι τῶν θεμελίων καταβολῆς). Ὁ δὲ Λατῖνος τὸ καταβέβλησαι μεθηρμήνευσεν **adeptus es** (προσεκτήσω), ἢ κατὰ λέξιν, προσήψω, προσήρμοσας σεαυτῷ (ἐκ τοῦ adipiscor παρὰ τὸ apto = ἅπτω, προσάπτω). Τοῦτο καὶ Ὅδιος μετέγραψεν ἄσμενος· Οὕτω γὰρ ὁ Φιλάδελφος φανήσεται οὐχ ὅπερ ἐνόησεν ὁ Ἀριστέας, ὅτι τότε τὰ θεμέλια τῆς ἀενάου μνήμης κατεβέβλητο (ὡς νεωστὶ βασιλεύσας), ἀλλ' ἤδη πρὸ πολλοῦ τὴν μνήμην ἐξημμένος καὶ περιβεβλημένος, ὡς βούλεται Ὅδιος! — Σημ. ἡμετ.

ἡγεῖται τὸ μεταπέμπεσθαι, καθ᾽ ὃν ἂν τόπον ὠνομάσθη τις ἄνθρωπος διαφέρων ἀγωγῇ καὶ φρονήσει παρ᾽ ἑτέρους· μετείληφα γὰρ *καλῶς αὐτὸν λέγειν* » (καὶ τούτους μάλιστα τοὺς ἀρχιερέως λόγους σημειῶ) « *ὅτι περὶ ἑαυτὸν ἔχων ἄνδρας δικαίους καὶ σώφρονας, τὴν μεγίστην ἂν φυλακὴν τῆς βασιλείας ἕξειν* » κτλ· [ὥστε καὶ ἐκ τούτων ὁ Φιλάδελφος φαίνεται τότε πρόπαλαι βασιλεύων!!]. Τελευταῖον (λέγει) καὶ ὁ ξη, πρεσβύτερος ἔλεγε πρὸς Φιλάδελφον ὅτι « Ἐν ταῖς ἀναγνώσεσι καὶ ἐν ταῖς τῶν πρεσβειῶν ἀπογραφαῖς διατρίβων, οὐκ ἐφικτὸν ἄλλοις δόξαν κέκτησαι, θεοῦ σοι τὰ βουλήματα συντελοῦντος ». Ταῦτα δὲ παριστῶσι τὸν Φιλάδελφον πρὸς γῆρας ἤδη κεκλιμένον· καὶ τοιοῦτον αὐτὸν ὑπελάμβανε, τοῦτο τὸ χωρίον ἐκλατινίζων, καὶ ὁ τοῦ Ἀριστέου λατῖνος μεταφραστὴς, Ματθίας ὁ Γαρβίτιος, ὡς ἔδειξεν εὐθύς. Μεταβὰς γὰρ εἰς τὰ τοῦ ξθ, πρεσβυτέρου ἐκεῖνα « *Σὺ δὲ πᾶσαν ἠσκηκὼς καταστολὴν διὰ τῶν ἐνεργειῶν, φιλοσοφεῖς διὰ καλοκἀγαθίαν* » κτλ., ἰδοὺ πῶς αὐτὰ μετέφρασεν ὁ Γαρβίτιος· « Σὺ δὲ *γήρᾳ τε καὶ χρήσει βίου καὶ πράξεων ἐγγεγυμνασμένος*, φιλοσοφεῖς ἐν τῇ σπουδῇ καὶ τοῖς ἔργοις τῆς τελείας ἀρετῆς » κτλ. (α). Καὶ τὸ *γήρᾳ* μὲν οὐ κεῖται ἐν τῷ κειμένῳ τοῦ Ἀριστέου, ἀλλ᾽ ὅμως ἐν τοῖς ἄλλοις λόγοις ἐμφαίνεται σαφῶς ἡλικία ἐκ πόνων εἰς σχολὴν ἀποκλίνασα. Καὶ φαίνεται ἄρα κατὰ τὸν καιρὸν τῆς τῶν Γραφῶν ἑρμηνείας ὁ Φιλάδελφος, ἀνέσει τε καὶ σχολῇ καὶ σπουδάσμασιν ὅλον ἑαυτὸν δεδωκώς. Ἀπέβη δὲ τοιοῦτος, ὅτε τὴν ἡλικίαν ἤδη προβεβηκὼς ὑπὸ νόσων κατετρύχετο πολλῶν, ὡς Αἰλιανὸς (Ποικ. ἱστ. Δ, ιϛ) ἱστόρησε λέγων· « Μουσικώτατον δὲ λέγουσι καὶ Πτολεμαῖον γενέσθαι τὸν δεύτερον, καὶ αὐτὸν νοσήσαντα ».

Ἀπαντῶμεν.

Καὶ χωρὶς τῆς ἡμετέρας ἀπαντήσεως βλέπεις, φίλε ἀναγνῶστα,

(α) « Tu vero, cum senio usuque vitae et actionum sis exercitatus, philosopharis in studio et actionibus virtutis perfectae » etc. M. Garbit. παρ᾽ Ὀδίῳ σελ. 29 καὶ λατιν. ἑρμην. Ἀριστέου, ἐκδ. Hody. p. 32.

ταῦτα τὰ Ὀδιακὰ, πόσον βεβιασμένα πρόκεινται καὶ παράμορφα πεπλαστουργημένα· Ἐκεῖνα τὰ, «τοῖς νόμοις κατακολουθῶν, καὶ δικαίως τὰ πάντα κυβερνῶν *καταβέβλησαι σαυτοῦ ἀέναον μνήμην*», εἰρημένα παρὰ τῶν γερόντων πρὸς τὸν Φιλάδελφον οὐ μᾶλλον ἐγκωμιαστικῶς, ἢ συμβουλευτικῶς ἐν ἐπαίνου προσχήματι, ταῦτα λέγομεν παριστῶσι τοῦτον τὸν βασιλέα (καθὼς Ὅδιος ἐμάντευσε) γηραλέαν ἤδη καὶ χρονιωτάτην δικαιοσύνην ἐξησκημένον! (ὡς δῆθεν ἀδύνατον ὂν, μή τοι γε διετοῦς βασιλείας πεῖρα, ἀλλὰ καὶ δι' ὀλίγων μηνῶν βασιλικὴ καὶ δραστήριος περὶ τὴν τοῦ κράτους εὐνομίαν φροντὶς καὶ ἐπιστασία περιώνυμον εὐθὺς ἀναδεῖξαι τὸν βασιλέα, καὶ τῆς παρὰ τοῖς εἰσέπειτα *ἀεννάου μνήμης* θεμέλια καταβεβλημένον). Τὸ δὲ πάλιν «*ἐν τοῖς κινδύνοις ὀρθῶς τε βουλεύεσθαι καὶ τὰ βεβουλευμένα ἐπιτελεῖν*», καὶ τοῦτο τάχα παραδηλοῖ τὸν Φιλάδελφον πάλαι ποτε γεγευμένον πολέμων, καὶ αὐτόχρημα *παλαίστρατον*! Ἔπειτα δὲ καὶ αὐτὸς (ἵνα τ' ἄλλα παραλίπωμεν) ὁ πολλάκις περὶ τὴν λατινικὴν τοῦ Ἀριστέου ἑρμηνείαν ἠτυχηκὼς πτωχελληνιστὴς Γαρβίτιος, εἰσάγεται καὶ οὗτος μάρτυς ἀξιόπιστος, καὶ φρονῶν καὶ βεβαιῶν, ὅτι τὸ «*πᾶσαν ἠσκηκὼς καταστολὴν* (δηλονότι συστολὴν, κοσμιότητα) *διὰ τῶν ἐνεργειῶν*, κτλ. σημαίνει τὸ «*γήρᾳ τε καὶ χρήσει βίου καὶ πράξεων ἐγγεγυμνασμένος*», καὶ τὰ λοιπὰ τῆς Γαρβιτείου φλυαρίας παραγεμίσματα (διότι, κατ' αὐτὸν, κόσμιος νέος, καταστολὴν ἐν πράξεσιν ἠσκημένος, οὐκ ἂν γένοιτο πώποτε! γέρων δὲ μόνον· καὶ οὗτος ἤδη περὶ τὴν χρῆσιν τοῦ βίου κατεσκληκὼς, καὶ, ὡς πολύθυρον τριβώνιον, κατατετριμμένος!). Τελευταῖον, καὶ αὐτὸς ὁ Αἰλιανὸς ὡμολόγησεν (Ὀδίου χάριν), ὅτι δῆθεν ὁ Φιλάδελφος ἤδη πολιὸς καὶ γηράσκων, καὶ νόσοις πολλαῖς συντετελεσμένος, ἐγένετο *μουσικώτατος*, ὡς ὅλος ἄνετος τότε περὶ βίβλους σχολάσας καὶ σπουδὰς, *καὶ κρεμάσας ὑπὲρ καπνοῦ τὸ πηδάλιον τῆς βασιλείας!* Ἀλλὰ τοῦ μὲν Αἰλιανοῦ τὴν ῥῆσιν ἐξετάζομεν ἐφεξῆς (κεφ. θ, §. ς, καὶ ιζ). Οἱ δὲ περὶ τὸν Ὅδιον σοφοὶ μάτην παρεβίασαν τὰ πάντα πρὸς τὴν ἑαυτῶν δοξασίαν, συνάγοντες ἐξ οὐκ

ὄντων ἐπιχειρήματα, καὶ (τοῦτ' αὐτὸ τὸ τῆς παροιμίας) « *ἀμέλγοντες ἀπὸ τράγου γάλα* », ἢ « *τρυγῶντες ἐκ βάτου σταφυλὰς, καὶ ἐξ ἀκανθῶν σῦκα* ».

Ἀλλ' εἴπερ ἤθελον οἱ ἄνδρες, εἶχον ἂν καὶ ἐξ αὐτῶν τῶν Φιλαδέλφου πρὸς τοὺς πρεσβυτέρους ἐρωτήσεων, καὶ τῶν παρὰ τούτων ἀποκρίσεων, πολλὰς καὶ τρανὰς ἀποδείξεις, ὅτι τότε νέος οὗτος ὑπῆρχε, καὶ νεωστὶ βασιλεύσας. Αὐτίκα τὸν Α, πρεσβύτερον εὐθὺς ἠρώτησε· « *Πῶς ἂν τὴν βασιλείαν μέχρι τέλους ἄπταιστον ἔχων διατελοῖ* »; Ὁ δὲ εἶπε — « *μιμούμενος τὸ τοῦ Θεοῦ ἐπιεικὲς* » κτλ. Καὶ τὸν Β, « *Πῶς ἂν ἕκαστα πράττοι* »; κτλ. Καὶ τὸν Γ, « *Πῶς ἂν ὁμόνους ἑαυτῷ ἔχοι τοὺς φίλους* »; Καὶ τὸν Δ, « *Πῶς ἂν ἐν τοῖς χρηματισμοῖς καὶ διακρίσεσιν εὐφημίας τυγχάνοι καὶ ὑπὸ τῶν ἀποτυγχανόντων* »; Καὶ τὸν Ε, « *Πῶς ἂν ἐν ταῖς πολεμικαῖς χρείαις ἀήττητος εἴη* »; Καὶ τὸν Ϛ, « *Πῶς ἂν φοβερὸς εἴη τοῖς ἐχθροῖς* »; κτλ. Τί ἄλλο ταῦτα δηλοῦσιν, εἰ μὴ φύσει βασιλεύτατον καὶ ἅμα πρωτόπειρον βασιλέα, μαθητιῶντα φρονίμως περί τε τῆς εὐσταθείας καὶ ἀσφαλείας τῆς ἧς οὐ πρὸ πολλοῦ παρέλαβεν ἀρχῆς, καὶ περὶ τῆς εὐτυχοῦς τῶν βασιλικῶν πραγμάτων διαχειρίσεως, καὶ ὅπως μὲν τὴν παρὰ τῶν φίλων εὔνοιαν διατηροίη, μηδ' ὑπ' αὐτῶν τῶν περὶ τὰς αἰτήσεις καὶ δίκας ἀποτυγχανόντων ἀποστεργόμενος, ὅπως δὲ πάλιν φοβερὸς εἴη τοῖς ἐχθροῖς, καὶ, ἄν ποτε πόλεμος ἐπέλθῃ, ἀνίκητος διαμένοι; Ποῦ λοιπὸν οἱ ῥυσσοὶ καὶ γηραιοὶ χαρακτῆρες τῆς Φιλαδέλφου βασιλείας, οὓς ἐκ τῶν ἀνωτέρω λόγων τῶν πρεσβυτέρων συνεῖδον οἱ περὶ τὸν Ὅδιον; Εἰ δὲ καὶ ταῦτα τὰ παρὰ τῷ Ἀριστέᾳ παρεῖδον, ἀλλ' ὤφειλον κἂν οἱ ἄνδρες, ἵνα, μυρίοις Γαρβιτίοις χαίρειν εἰπόντες, ἐγκύψωσιν ἐπιμελέστερον εἰς τὸν παλαιὸν Ἰώσηπον· ὅστις τὰς εἰρημένας παρὰ τοῦ Φιλαδέλφου πρὸς τοὺς πρώτους μάλιστα πρεσβυτέρους ἐρωτήσεις, καὶ τὰς τούτων ἀποκρίσεις διασταθμήσας, καὶ πρὸς τὰς τῶν ἄλλων συνάψας καὶ συγκεφαλαιώσας, εἰσήγαγεν εἰσάπαξ τὸν βασιλέα ὁμολογοῦντα, « *ὠφελῆσθαι παρ'*

αὐτῶν (τῶν πρεσβυτέρων), *μεμαθηκότα πῶς δεῖ βασιλεύειν* » (α). Ὥστε καὶ ὁ Ἰώσηπος ἐθεώρει παρὰ τῷ Ἀριστέᾳ τὸν Φιλάδελφον νέον ἔτι περὶ τὴν βασιλείαν, ὡς ἀρτιμαθῆ. Ἀλλὰ τί τὰ πολλά; Αὐτὸς, Ὄδιε, ὁ Φιλάδελφος ἐν αὐταῖς ταῖς πρὸς τοὺς πρεσβυτέρους συνδιαλέξεσιν (ἐξ ὧν καὶ σὺ τὴν Ἀριστέου γνώμην πειρᾶσαι μαντεύειν), ἐκεῖνος αὐτότατος ὑπεσήμανε τὸν χρόνον, καθ᾽ ὃν διελέγετο πρὸς αὐτούς. Μεταξὺ γὰρ τῶν ἄλλων ἠρώτησε τὸν λγ, πρεσβύτερον λέγων, « *Πῶς ἂν γονεῦσι τὰς ἀξίας ἀποδῴη χάριτας* »; ὁ δὲ εἶπε, « μηδὲν αὐτοὺς λυπῆσαι » (ἴσ. γρ. *λυπήσας*) κτλ. Ἔζων λοιπὸν οἱ τοῦ Φιλαδέλφου γονεῖς (πρὸς οὓς αὐτὸς ἐμερίμνα τὰς ἀξίας χάριτας ἀποδοῦναι) κατὰ τὸν χρόνον τῆς τῶν Γραφῶν ἑρμηνείας· ὁ δὲ χρόνος οὗτος ὑπῆρξε πάντως ἡ *διετία*, καθ᾽ ἣν ἐβασίλευσε μετὰ τοῦ πατρός. Προσμαρτυροῦσι δὲ καὶ αὐτοὶ οἱ ΟΒ, γέροντες, *μηδέποτε λυπῆσαι* (ζῶντας δήπου τότε) *τοὺς γονεῖς* αὐτὸν παραινοῦντες· καὶ ταύτην λοιπὸν εἶχε τὴν γνώμην ὁ τὰ κατ᾽ αὐτοὺς ἀκριβῶς ἱστορήσας Ἀριστέας.

§. ϛ΄. Ε) Ἐφεξῆς ὁ Ὄδιος καὶ ἀλλαχόθεν ἐπιχειρεῖ λέγων· « Σωσίβιος ὁ Ταραντῖνος (οὗ μέμνηται Ἀριστέας, ὡς μάλιστα τετιμημένου παρὰ τῷ Φιλαδέλφῳ) φαίνεται ὁ αὐτὸς καὶ ὁ Σωσίβιος ἐκεῖνος, ὁ κατὰ τὴν Ἀλεξάνδρειαν ἐπὶ τοῦ Α, Εὐεργέτου (υἱοῦ τοῦ Φιλαδέλφου) ἀκμάσας, ἐπὶ δὲ τοῦ Φιλοπάτορος (ἐγγόνου τοῦ Φιλαδέλφου, παιδὸς ἔτι βασιλεύσαντος) *τῶν ὅλων πραγμάτων τῆς βασιλείας προστὰς*, ὡς ἱστόρησεν ὁ Πολύβιος (ε, 63), ἐκ δὲ τούτου καὶ Πλούταρχος (Κλεομέν. §. λγ, λδ), καὶ Σουΐδας, « *σκεῦος ἀγχίνουν καὶ πολυχρόνιον* » αὐτὸν ὀνομάζων (λ. Σωσίβιος). Ὁ δὴ τοιοῦτος Σωσίβιος, ὅσον συνάγεται ἐκ τῆς ἡλικίας, οὐκ

(α) Ἰώσηπ. Ἀρχ. ΙΒ. 6, §. 12. Ταῦτα τὰ τοῦ Ἰωσήπου καὶ ὁ κλεινὸς Σπαγχέμιος ἀξίως τῆς αὐτοῦ πολυμαθείας ἐσημειώσατο (Spanhem. Observat. in Καλλιμάχ. ὕμν. εἰς Δία, στίχ. 87. τόμ. β. σελ. 67). Εἰσὶ δὲ καὶ ταῦτα ἐκ τοῦ Ἀριστέου μεταγεγραμμένα· « Ἐπὶ πᾶσι δὲ εἶπεν (ὁ βασιλεὺς) τὰ μέγιστά μοι γέγονεν ἀγαθὰ, παραγενηθέντων ὑμῶν· πολλὰ γὰρ ὠφέλημαι, καταβεβλημένων ὑμῶν διδαχὴν ἐμοὶ πρὸς τὸ βασιλεύειν » (Ἀριστ. σελ. XXXIII. ed. Hody).

ἂν ἠδύνατο συναριθμεῖσθαι *μετὰ τῶν Φιλαδέλφου συμβούλων*, εἰ μὴ προβεβηκότος ἤδη τούτου καὶ γηράσκοντος· μεταξὺ γὰρ Φιλαδέλφου καὶ τοῦ Φιλοπάτορος Πτολεμαίου διέδραμον ἔτη 24, ἐν οἷς ἐβασίλευσεν ὁ Εὐεργέτης ».

Ἀπαντῶμεν.

α) Ὁ μὲν Ἀριστέας λέγει Ταραντῖνον τὸν *ἀρχισωματοφύλακα* τοῦ Φιλαδέλφου, Σωσίβιον· τὸν δὲ τοῦ Φιλοπάτορος ἐπίτροπον Σωσίβιον οὔτε Πολύβιος, οὔτε Πλούταρχος, οὔτε Σουΐδας ἐπωνόμασαν *Ταραντῖνον*· ἁπλῶς δὲ μόνον ἐκ τῆς κυριωνυμίας *Σωσίβιον* αὐτὸν ἀποκαλοῦσιν· ἄλλος οὖν ὑπῆρξεν ὁ παρὰ τῷ Ἀριστέᾳ, καὶ ἄλλος ὁ παρὰ τῷ Πολυβίῳ Σωσίβιος· ὅσον γοῦν εἰκάζεται ἐκ τοῦ τῆς πατρίδος ἐπωνυμίου. Καὶ ἴσως οὗτος ὁ τοῦ Πολυβίου ὑπῆρχεν Ἀλεξανδρεὺς (πολλάκις γὰρ αὐτὸν ὁ ἱστορικὸς ὀνομάσας, οὐδαμοῦ τοῦτον ἐμνημόνευσεν ὡς ξένον, προσθεὶς καὶ τὸ τῆς πατρίδος ἐπώνυμον. Εἶχε δὲ καὶ *Πτολεμαῖον* υἱὸν ὁ Σωσίβιος οὗτος, ὡς λέγομεν ἐφεξῆς, ὄνομα τότε σύνηθες μάλιστα παρὰ τοῖς Ἀλεξανδρεῦσιν). Ἔπειτα δὲ καὶ ἄλλως, ὁ τοῦ Πολυβίου Σωσίβιος φαίνεταί πως ἐξ ἀρχῆς οὐχὶ στρατιωτικὸς, ἠσκημένος ἐν ὅπλοις καὶ τόλμῃ πολεμικῇ (καθὸ σωματοφύλαξ), ἀλλὰ μᾶλλον πολιτικῶν πραγμάτων χειριστὴς, καὶ περὶ τὴν αὐλικὴν ἀγχίνοιαν καὶ κακοπραγμοσύνην γεγυμνασμένος. Ὥστε καὶ ἐκ τοῦ ἐπαγγέλματος, καὶ μάλιστ' ἀπὸ τοῦ ἤθους διακρίνεται τῶν δύω τούτων Σωσιβίων ἡ διαφορά. Ὁ μὲν γὰρ παρὰ τῷ Ἀριστέᾳ, θεοφιλής τις φαίνεται καὶ φιλάνθρωπος (καὶ εἷς ἴσως *τῶν φοβουμένων τὸν θεὸν*, περὶ ὧν προείπομεν κεφ. β. §. ια), προτρέπων τὸν Φιλάδελφον *χαριστήριον ἀναθεῖναι τῷ θεῷ*, τὴν λύτρωσιν τῶν αἰχμαλώτων. αὐτὸν δὲ τὸν τοῦ Φιλοπάτορος ἐπίτροπον Σωσίβιον εἴδομεν ὁποῖον ὁ Πολύβιος ἱστορεῖ, *σκεῦος ἀγχίνουν* (πανοῦργον) *καὶ κακοποιόν* (α). Κἂν δὲ καὶ τοῦτον Ταραντῖνον ἔλεγον (ἐξ ὑποθέσεως)

(α) Οὗτος ὁ Σωσίβιος (κατὰ τὸν Πολύβιον) ἤρτυσε καὶ τὸν φόνον τοῦ Λυσιμάχου, ἀδελφοῦ τοῦ Εὐεργέτου, καὶ υἱοῦ τοῦ Φιλαδέλφου καὶ τῆς Β. Ἀρσινόης, περὶ οὗ

οἱ ἱστορικοί, τί παρὰ τοῦτο; μὴ γὰρ ἕνα Σωσίβιον ἐγέννησεν ὁ Τάρας δι᾽ ὅλων ἑξήκοντα καὶ τριῶν ἐτῶν; (ἀπὸ τῆς ἀρχῆς δηλαδὴ τῆς Φιλαδέλφου βασιλείας μέχρι τοῦ Φιλοπάτορος). — ϐ) Ἀλλ᾽ ἔστω, δῶμεν Ὀδίῳ πρὸς ὥραν, ὅτι ὁ τοῦ Ἀριστέου Σωσίβιος ὁ Ταραντῖνος ὑπῆρξε καὶ παρὰ τῷ Φιλαδέλφῳ ἀρχισωματοφύλαξ ἅμα καὶ αὐλικός, καί, τέλος, ὁ αὐτὸς ἐπίτροπος τῆς βασιλείας ἐπὶ τοῦ Φιλοπάτορος· ἄνθρωπος « *ἐν αὐλικῇ ἀγχινοίᾳ καὶ κακοπραγμοσύνῃ καταβιώσας, ὡς καὶ ἄλλοι κατὰ συνεχῆ διαδοχὴν βασιλεῖς ἐκ βασιλέων μεταχειριζόμενοι* » (Πολύϐ. ιε, §. 32). Πῶς οὖν ὁ τοιοῦτος οὐκ ἠδύνατο ἀκμάζειν ἔτι κατὰ τὰς ἀρχάς, βίᾳ δὲ καὶ μόλις εἰσάγεται πρὸς τὰ τέλη τῆς βασιλείας τοῦ Φιλαδέλφου; Ἂν κατὰ τὸ β, ἔτος τῆς τούτου βασιλείας ὁ Σωσίβιος ὑποτεθῇ νέος ἀνδρώδης, ἐτῶν περίπου *ἑπτὰ καὶ εἴκοσιν*, ἔπειτα λοιπὸν μετὰ ἔτη 62 (38, μὲν τὰ λοιπὰ τοῦ Φιλαδέλφου, 24, δὲ τὰ τοῦ Εὐεργέτου) εὑρεθήσεται περίπου ἐννενηκοντούτης, ἐπιτροπεύων τοῦ Φιλοπάτορος. Τί δὲ ἄλλο παρὰ τοῦτο τοῦ Σωσιβίου τὸ γῆρας ἐννοῶν ὁ Πολύβιος ὠνόμασεν αὐτὸς *σκεῦος πολυχρόνιον*; (α), Πρόσθες καὶ ὅτι ὁ αὐτος Σωσίβιος εἶχε καὶ υἱοὺς ἡλικιωμένους, τὸν μὲν Σωσί-

---

προείπομεν (κεφ. ϛ. §. ε). Εἰ δὲ ζῶντος ἔτι τοῦ Φιλαδέλφου, ἢ ἐπὶ τοῦ Εὐεργέτου βασιλεύοντος ἐφονεύθη ὁ Λυσίμαχος οὗτος, ἄδηλον. Ἰδοὺ οἱ λόγοι τοῦ Πολυβίου. « Σωσίβιος ὁ ψευδεπίτροπος Πτολεμαίου, ἐδόκει γεγονέναι σκεῦος ἀγχίνουν καὶ πολυχρόνιον, ἔτι δὲ καὶ κακοποιὸν ἐν τῇ βασιλείᾳ· καὶ πρώτῳ μὲν ἀρτύσαι φόνον Λυσιμάχῳ, ὃς ἦν υἱὸς Ἀρσινόης τῆς Λυσιμάχου, καὶ Πτολεμαίου· δευτέρῳ δὲ Μάγᾳ, τῷ Πτολεμαίου (τοῦ Εὐεργέτου) καὶ Βερενίκης τῆς Μάγα· τρίτῃ δὲ Βερενίκῃ, τῇ Πτολεμαίου μητρὶ τοῦ Φιλοπάτορος· τετάρτῳ, Κλεομένει τῷ Σπαρτιάτῃ· πέμπτῃ, θυγατρὶ Βερενίκης Ἀρσινόῃ (Πολύϐ. ἐκλογ. τοῦ ιε Βιϐλ. Τόμ. 3. σελ. 52). Εἰς τοῦτον (ὡς νομίζουσί τινες) τὸν Σωσίβιον ἐποίησεν ὁ Καλλίμαχος καὶ τὸ μνημονευόμενον ἐλεγειακὸν ἐπινίκιον (Ἀθήν. δ. 144. βλ. καὶ Fabric. Bibl. Gr. vol. 3. p. 819 Harl.).

(α) Οὕτω καὶ Ἱέρων ὁ Συρακούσιος (Πολυϐ. Ἐκλογ. τοῦ ζ. βιϐλ. τομ. 3. σελ. 12), « ἔτη μὲν ἐβίωσε πλείω [ἢ] ἐννενήκοντα, διεφύλαξε δὲ τὰς αἰσθήσεις ἁπάσας, διετήρησε δὲ πάντα καὶ τὰ μέρη τοῦ σώματος ἀϐλαϐῆ » κτλ. Μασανάσσην δὲ ὁ Πολύβιος ἱστόρησεν ἐννενήκοντα μὲν ἐτῶν ἀποθανεῖν, τετράετες καταλιπόντα παιδάριον, ἐξ αὐτοῦ γεγεννημένον, ὀλίγῳ δὲ ἔμπροσθεν τῆς τελευτῆς μάχῃ νικήσαντα Καρχηδονίους » κτλ. (παρὰ Πλου-

διόν, αὐτοῦ τοῦ φιλομήτορος (ἔτι παιδοβασιλέως) σωματοφύλακα, (ὅστις ἔπειτα καὶ τὴν σφραγῖδα τὴν βασιλικὴν ἐνεπιστεύθη), ἕτερον δὲ, Πτολεμαῖον, ἄνθρωπον τετυφωμένον διὰ τὴν προγενομένην εὐδαιμονίαν τοῦ πατρός (Πολύβ. ιε §. 30, καὶ Ἐκλογ. Τ. Γ. σελίδ. 67). — γ) Τελευταῖον· καὶ οἱ περὶ τὸν Ἔκδικον διακρίνουσι τὸν παρὰ τῷ Πολυβίῳ ψευδεπίτροπον Σωσίβιον, ὡς ἕτερον τοῦ παρὰ τῷ Ἀριστέᾳ. Καὶ τοῦτον δὲ τὸν Ἀριστέου θέλουσιν (οὔτι πάνυ πιθανῶς) τὸν αὐτὸν καὶ τὸν παρ' Ἀθηναίῳ (ια, 493) καλούμενον « *θαυμάσιον λυτικόν* », ἕνα τῶν τοῦ Μουσείου τῆς Ἀλεξανδρείας γραμματικῶν, οἰκεῖον τῷ Φιλαδέλφῳ (α). Ταῦτα καὶ περὶ Σωσιβίου.

§. ζ΄. Ἐντεῦθεν ἀπάραντες οἱ περὶ τὸν Ὅδιον ἐτράπησαν ἐπ' ἄλλο σπουδαιότερον ἐπιχείρημα, δεικνύοντες καὶ ὡς ἐκ τοῦ χρόνου, καθ' ὃν ὁ Φιλάδελφος κατεσκεύασε τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην, ὅτι ἄρα οὐχὶ περὶ τὰς ἀρχὰς, ἀλλὰ πολλοὺς ἤδη χρόνους βασιλεύοντος τοῦ Φιλαδέλφου, μεθηρμηνεύθησαν αἱ θεῖαι Γραφαί. Θεωροῦμεν δὲ καὶ τούτους αὐτῶν τοὺς λόγους ἐν ἰδίῳ κεφαλαίῳ, τῷ ἐφεξῆς.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Περὶ τοῦ χρόνου τῆς ὑπὸ τοῦ Φιλαδέλφου κατασκευῆς τῆς βιβλιοθήκης· ἐν ᾧ καὶ γνῶμαι διάφοροι περὶ τοῦ καιροῦ τῆς ἑρμηνείας τῶν Γραφῶν.

§. α΄. « Ὅτι (λέγουσιν) ὁ Φιλάδελφος κατεσκεύασε, μᾶλλον δὲ (προκατηργμένην) κοσμῆσαι ἐπεχείρησε τὴν Ἀλεξανδρινὴν βιβλιοθήκην (δι' ἣν καὶ αἱ Γραφαὶ μετεφράσθησαν) πολλοὺς ὕστε-

---

τάρχ. εἰ πρεσβυτ. πολιτ. σελ. 163. τόμ. 9. R.). Ἄλλα περιφήμων ἀνδρῶν μακροβίων παραδείγματα ἀπηρίθμησεν ὁ Λουκιανὸς, ἐν οἷς καὶ τὸν Πολύβιον αὐτὸν, « ἐτῶν δύο καὶ ὀγδοήκοντα ἀποθανόντα »· καὶ τότε, « διότι ἀγρόθεν ἀνελθὼν ἀφ' ἵππου κατέπεσε, καὶ ἐκ τούτου νοσήσας ἐτελεύτησε » (Λουκιαν. Μακροβ.).

(α) Βλ. Vindication of the history of the Sept. etc. p. 168. καὶ Demagist. Diss. IV. p. 492. Ἀλλ' ὁ λυτικὸς οὗτος Σωσίβιος οὐ Ταραντῖνος ἦν, ἀλλὰ Λάκων. (Ἀθήν. γ, 78: Σουΐδ. λ. Σωσίβ. — Περὶ Σωσιβίων βλ. καὶ Φαβρίκιον Bibl. Graec.

ρον ἐνιαυτοὺς ἀφ᾽ ὅτου ἐβασίλευσε, δείκνυται εὐκόλως ἐκ δύω μάλιστα θεωρημάτων, τῶν ἐφεξῆς.

§. β΄. Α) Ἐκ τοῦ χρονικοῦ παρὰ τοῖς συγγραφεῦσι διορισμοῦ τῆς ἑρμηνείας τῶν Γραφῶν. Ὑπάρχουσιν ἄνδρες ἐκ τῶν νεωτέρων σοφῶν, οἵτινες ἀνάγοντες εἰς τὰς ἀρχὰς τῆς Φιλαδέλφου βασιλείας τὴν κατασκευὴν τῆς βιβλιοθήκης ἅμα καὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν, οἱ μὲν εἶπον, ὅτι ἡρμηνεύθησαν 300 χρόνους, π. Χ. οἱ δὲ, καὶ πολὺ πλείονας (α). Ἀλλὰ πάντες οὗτοι περὶ τὴν χρονολογίαν ἐπλανήθησαν· ὁ γὰρ Φιλάδελφος ἐβασίλευσε περὶ τὸ 285, ἢ (κατὰ τὸν Εὐσέβιον) τὸ 283 [γρ. 284] π. Χ.

§. γ΄. « Μεταξὺ δὲ τῶν ἀρχαίων εἷς καὶ μόνος, ὁ Εὐσέβιος, καὶ ὁ τούτῳ κατακολουθήσας συγγραφεὺς τοῦ Ἀλεξανδρινοῦ χρονικοῦ, καὶ Μαριανὸς ὁ Σκότος ὡσαύτως, ἀναφέρουσι τὴν ἑρμηνείαν εἰς τὴν ἀρχὴν τῆς βασιλείας τοῦ Φιλαδέλφου, κατὰ πόστον δὲ κυρίως ἔτος, φαίνεται ἀβέβαιον. Πᾶσαι αἱ πρὸ τῆς Σκαλιγηρείας ἐκδόσεως τοῦ χρονικοῦ, ὅσας εἶδον ἐγὼ (λέγει Ὅδιος), τάττουσι τὴν ἑρμηνείαν εἰς τὸ *τρίτον ἔτος* μετὰ τὴν Πτολεμαίου τοῦ Λαγίδου τελευτήν. Ὁ δὲ Σαβελλικὸς, εἰς τὸ *τέταρτον* ἔτος ὁρίζει τὴν ἑρμηνείαν, ἐξ Εὐσεβίου· καὶ ὁ Σεράριος, εἰς τὸ *τέταρτον*, ἢ τὸ *πέμπτον* (β). Αὐτὴ δὲ ἡ ὑπὸ τοῦ Σκαλιγήρου ἔκδοσις τοῦ χρονικοῦ, τὸ *δεύτερον* τίθησιν ἔτος· τὴν αὐτὴν ἀνάγνωσιν ἐτήρησε καὶ τὸ

---

vol. 3. p. 819. Harl. ὅστις καὶ αὐτὸς φαίνεται διακρίνων τὸν παρὰ τῷ Ἀριστέᾳ Ταραντινὸν Σωσίβιον ἀπὸ τοῦ παρὰ τῷ Πολυβίῳ ψευδεπιτρόπου, καί τοι παραπέμπων τὸν ἀναγνώστην εἰς τὸ προκείμενον χωρίον τοῦ Ὀδίου.

(α) Ὁ Magalianus (praef. Comm. in Josuam §. 4) τίθησι σχεδὸν 300. Ὁ Willetus (Synops. Papismi), 300 (τελείους). Ὁ Feuardentius (Not. in Irinaeum III. 25), καὶ ὁ Chamierus (Panstrat. XII. 1), 300 πλέον, ἢ ἔλασσον. Ὁ Salmeron (Proleg. 5), καὶ ὁ Galesinius (de LXX. int.) πλέον ἢ 300. Ὁ Possevinus (Biblioth. Select. II. 8) 301. Ὁ Sixt. Senens. (Biblioth. Sancta.) 350! Ὡσαύτως καὶ Barrius ὁ τοῦ Τερτυλλιανοῦ ἐκδότης (Not. in Tertul. Apolog. c. 18), καί τοι οὗτος συγχρονίζων καὶ τὴν ρκδ, Ὀλυμπ. (ἀφ᾽ ἧς ὅμως μέχρι Χριστοῦ ἀριθμοῦνται ἔτη μόνον 283)· ἄλλος δέ τις, ἔτι θηριωδέστερον πλανηθεὶς, ἔταξε τὴν ἑρμηνείαν τῷ 361. π. Χ. (Hody pag. 30).

(β) Sabellic. Ennead. 4. 8. — Serarij Proleg. c. 17. Quest. 9.

Ἀλεξανδρινὸν χρονικὸν, καὶ ὁ Σκότος (ὡς προείρηται). Κατὰ δὲ τὴν τοῦ Ποντάκου μαρτυρίαν, ὑπάρχουσιν ἀπόγραφα τοῦ κατ᾿ Εὐσέβιον χρονικοῦ, διορίζοντα τὴν ἑρμηνείαν εἰς τὸ ά. ἔτος (μετὰ τὸν Λαγίδου θάνατον, ἤτοι τὸ ά. ἔτος τῆς μοναρχίας τοῦ Φιλαδέλφου). Καὶ ταύτην ἐγὼ τὴν ἀνάγνωσιν νομίζω ἀληθεστέραν (Ὅδιος φησίν). Αὐτὸς δὲ ὁ Εὐσέβιος ἀνέφερεν, ὡς φαίνεται, τὴν ἑρμηνείαν εἰς τὴν ἀρχὴν τῆς Φιλαδέλφου βασιλείας, οὐχὶ δι᾿ ἄλλην αἰτίαν, εἰ μὴ διότι οὐδ᾿ αὐτὸς ἐγίνωσκεν ἐπ᾿ ἀκριβὲς, πόστον ἄρα ἔτος βασιλεύοντος τοῦ Φιλαδέλφου μετεφράσθησαν αἱ Γραφαί ».

§. δ΄. « Ἀλλ᾿ ὅτι μὲν ὁ Φιλάδελφος, ἀρχόμενος τῆς βασιλείας, οὐδόλως ἐπεμελήθη περὶ κατασκευῆς τῆς βιβλιοθήκης, ἀποδείκνυται πιθανώτατον καὶ ἐξ αὐτῆς αὐτοῦ τῆς τότε νεότητος, δι᾿ ἣν εἰς ἄλλας οἱασδήποτε πράξεις ἠσχολεῖτο μᾶλλον, ἢ περὶ βιβλίων συναγωγὴν (ὅθεν οὐδ᾿ ἡ ἑρμηνεία γέγονε τότε)· ἔχομεν δὲ περὶ τούτου καὶ μαρτυρίας τῶν ἀρχαίων. Αὐτίκα ὁ Ἐπιφάνιος (π. Μέτρ. κεφ. ιϐ) τίθησι τὴν ἑρμηνείαν εἰς τὸ 17, ἔτος μετὰ τὴν Λαγίδου τελευτὴν, καὶ τὸ 19, ἀφ᾿ οὗ τὸ πρῶτον παρὰ τοῦ πατρὸς παρέλαβε τὴν βασιλείαν ὁ Φιλάδελφος· ἢ (τοὐλάχιστον) εἰς τὸ 7, μετὰ τὴν Λαγίδου τελευτὴν, καὶ τὸ 9, τῆς βασιλείας τοῦ Φιλαδέλφου. Λέγομεν δὲ τοῦτο, διότι φαίνεταί τις ἀμφιβολία περὶ τοῦ γνησίου κατ᾿ Ἐπιφάνιον ὑπολογισμοῦ. Ἐν γὰρ ταῖς λατινικαῖς ἐκδόσεσι τοῦ Ἐπιφανίου διορίζεται ἀκριβῶς ὁ 17, ἐνιαυτὸς μετὰ τὴν Λαγίδου τελευτὴν, καὶ ταύτῃ παρηκολούθησαν οἱ πλεῖστοι τῶν πεπαιδευμένων (α). Ἄλλοι δὲ πάλιν ἀντὶ 17, ἀναγινώσκουσι μόνον 7, κατὰ τὸ

(α) Lipsius (de Biblioth. c. 2), Bundingus (Chronic. I. p. 77), Codomannus (Annal. an. 3873), Temporarius (Cronic. Demonstr. I), Beroaldus (Chron. S. Scr.), Functius (Chronic.), Bellarminus (de Script. Eccles.), Dosma (de Script. S. auctorit. II, 5), Kimedoncius (De Scripto Dei verbo, V, 2). Calvisius (Chronic. an. 3681), Episcopius (Instit. 4, Sect. I. c. 21). Τούτοις προσθετέος καὶ Wowerius (De interpr. Bibl. c. 1), καὶ Matthias (Theat. Hist.), οἵτινες τάττουσι τὴν ἑρμηνείαν εἰς τὸ 16, τῆς Φιλαδέλφου βασιλείας, καὶ ὁ Chytraeus (Ser. Tempor. Mundi), ὅστις τίθησιν αὐτὴν εἰς τὸ 15.

ἑλληνικὸν κείμενον τοῦ Ἐπιφανίου (α). Ὁ δὲ Βομφρέριος ἀμφιβάλλει, πότερον 7, ἢ 17, ἔγραψεν Ἐπιφάνιος (β). Καὶ τῷ ὄντι, ἄν τις αὐτὸ τὸ κείμενον ἀκριβῶς ἐξετάσῃ, ὁ 7, ἀριθμὸς οὐδόλως συμφωνεῖ πρός τε τὰ καθέκαστα τῶν Πτολεμαίων ἔτη, καὶ τὸ ὁλικὸν κεφάλαιον αὐτῶν, κατὰ τὴν Ἐπιφανίου χρονογραφίαν ».

§. έ. « Ἀλλ' ὁ,τιδήποτ' ἂν τεθῇ φρονῶν ὁ Ἐπιφάνιος, ὁ 17 ἀριθμὸς ὑπάρχει πρὸς τὴν ἀλήθειαν πλησιέστερος. Εἰ δ' ἔξεστι καὶ συγγραφεῖς Ἄραβας εἰς μαρτυρίαν εἰσενεγκεῖν, ἔχομεν δύω· τὸν Ἄρμιον, ἐπὶ χρονολογίᾳ γνωστὸν, ὅστις τίθησι τὴν ἑρμηνείαν εἰς τὸ 19 ἔτος τῆς βασιλείας τοῦ Φιλαδέλφου, καὶ τὸν Βατρικίδην Εὐτύχιον (Said ibni Batric), τιθέντα τὸ 20. Καὶ ταῦτα μὲν ὡς ἐκ τοῦ πρώτου θεωρήματος ».

§. ς'. Β) « Ἐὰν δὲ (λέγουσι) καὶ τοὺς δοκιμωτάτους συγγραφεῖς ἐρευνήσωμεν περὶ τοῦ χρόνου, καθ' ὃν ὁ Φιλάδελφος κατεσκεύασε τὴν βιβλιοθήκην, βεβαιωθήσεται δι' ἀποδείξεων καὶ τεκμηρίων οὐ φαύλων καὶ ἀσθενῶν, ὅτι μόλις ἠσχολήθη περὶ τοῦτο τὸ ἔργον, ἀφ' οὗ διῆλθεν ἤδη τὸ πλεῖστον τῆς κατ' αὐτὸν βασιλείας. Καὶ τοῦτο πρῶτον συνάγεται πιθανώτατον ἐκ τοῦ Γεωγράφου Στράβωνος, ὅστις μαρτυρεῖ περὶ τοῦ Φιλαδέλφου, ὅτι *πρὸς τὰς περισπουδάστους ἐκείνας μεγαλουργίας*, ἐξ ὧν ἀπέβη περικλεέστατος, τότε προσέσχε τὸν νοῦν, ὁπότε διὰ τὴν ἀσθένειαν τοῦ σώματος ἐζήτει πάντοτε καινῆς τινος τέρψεως ἀφορμήν. Λέγει δὲ ταῦτα ἐπὶ λέξεως ὁ Στράβων (βιβλ. ιζ). « Οὗτοι γὰρ *(οἱ βασιλεῖς τῆς Αἰγύπτου)* ἐφρόντισαν τῶν τοιούτων *(πελωρίων ἔργων)*· διαφερόντως δὲ ὁ Φιλάδελφος ἐπικληθεὶς, φιλοσοφῶν, καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος διαγωγὰς ἀεί τινας καὶ τέρψεις ζητῶν καινοτέρας ». Ὅτι δὲ ὁ Φιλάδελφος οὐκ ἀπ' ἀρχῆς καὶ ἀπὸ παιδικῆς ἡλικίας ὑπῆρχεν ἀῤῥωστι-

(α) Οὕτως ἀνέγνωσαν J. Scaliger. (In Euseb. num. MDCCXXIV), Labbeus Chron. part. 2). Salianus (Annal. an. 3775). Bibliander (Tempor. Supput.). Serarius (Proleg. c. 17. Q. 9). Usserius (Annal. an. 3727). Walton (Proleg. Bibl. Polygl. 9. c. 5).

(β) Bonfrerius Prolegom. Bibl. c. 16. Sect. I.

κὸς, ἀλλ᾿ ἐκ τρυφεροῦ καὶ φιληδόνου βίου τὴν τοῦ σώματος ἀσθένειαν ἐπεσπάσατο, συνάγεται ἐκ τῶν τοῦ Φυλάρχου, ἱστοροῦντος παρ᾿ Ἀθηναίῳ (ιϐ, 536) « *διαφθαρῆναι τοῦτον ὑπὸ τῆς ἀκαίρου τρυφῆς* »· ἐνόσει δὲ νόσον *ποδάγραν* (αὐτόθ.). Πρὸς τὴν ἡμετέραν γνώμην (λέγει Ὅδιος) συμφωνεῖ καὶ Λουδοβῖκος ὁ Βίϐης, κριτικώτατος ἀνὴρ, λέγων· « ὅτι ὁ Φιλάδελφος, ἤδη τὴν ἡλικίαν προβεβηκὼς, ἐπειδὴ κατατρυχόμενος ὑπὸ νόσου ἀπείργετο πολέμων καὶ φροντίδων πολιτικῶν, ἐδόθη ὅλος εἰς σπουδὰς, πανταχόθεν ἄνδρας μεγαλοφυεῖς προσκαλούμενος, καὶ τὴν βιβλιοθήκην κατεσκευάζων » (α). Μαρτυρεῖ δὲ λαμπρῶς καὶ ὁ Αἰλιανὸς τότε σπουδάσαι περὶ τὰ γράμματα τὸν Φιλάδελφον, καὶ γενέσθαι πεπαιδευμένον, ὅτε, πρὸς γῆρας ἤδη τοῖς χρόνοις ἀποκλίνων, εἶχεν ὑγείαν εἰς νόσους ἐπισφαλῆ. Πολλῶν γὰρ καὶ ἄλλων παραδείγματα μνημονεύσας ὁ Ῥωμαῖος ἱστορικὸς, πρότερον μὲν ἀμούσων καὶ ἀπαιδεύτων ἐπὶ μακρὸν, ἔπειτα δὲ, διὰ τὴν ἐξ ἀῤῥωστίας σχολὴν, εἰς γραμματικὰς ἐπιδοθέντων σπουδὰς, καὶ θαυμαστῶς εὐδοκιμησάντων, ἐπιφέρει καὶ τὰ ἐφεξῆς « Μουσικώτατον δὲ λέγουσι καὶ Πτολεμαῖον γενέσθαι τὸν δεύτερον, καὶ αὐτὸν νοσήσαντα » (Ποικ. ἱστ. Δ. κεφ. 15). Τίς οὖν ἀμφιβάλλει ποσῶς, ὅτι τότε καὶ τὴν βιβλιοθήκην κατεσκεύασεν ὁ Φιλάδελφος, ὅτε περὶ τὰς μούσας ὁλοθύμως ἐσπούδασε; »

§. ζ΄. « Πρόσθες (λέγουσι) καὶ τοῦ Γαληνοῦ μαρτυρίαν, ἐξ ἧς συνάγομεν, ὅτι ὁ Φιλάδελφος, μόλις ἐγχειρήσας τῇ κατασκευῇ τῆς βιβλιοθήκης, ἐτελεύτησε, καταλιπὼν τοῦ ἔργου τὴν ἐκτέλεσιν τῷ υἱῷ Πτολεμαίῳ, τῷ Εὐεργέτῃ. Οὗτος δὲ τοσοῦτον ἐφιλοτιμήσατο, πανταχόθεν βίβλους συνάγων, ὥστε ὁ Γαληνὸς ἐπωνόμασε τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην οὐχὶ *τοῦ Φιλαδέλφου*, τοῦ δ᾿ *Εὐεργέτου* (εἰ δ᾿ ἀπ᾿ ἀρχῆς τῆς βασιλείας, οὕτως εὐδαίμονος καὶ μακρᾶς γενομένης, ἐπεβάλλετο προθύμως ὁ Φιλάδελφος εἰς κατα-

(α) Lud. Vives Not. in S. August. de Civit. Dei L. 18. c. 42. Τὴν γνώμην τοῦ Βίβου πιθανωτάτην ἀνεκήρυξε καὶ ὁ Torniellus (Chronic. an. 3798). Hody.

σκευὴν τῆς βιβλιοθήκης, τοσούτους ἂν συνεφόρησε τόμους, ὥστε εἰς οὐδένα ἄλλον ἐπεγράφετ' ἂν ἡ βιβλιοθήκη, εἰ μὴ πάντως εἰς αὐτόν). Τὸ τοῦ Γαληνοῦ χωρίον κεῖται ἐν τῷ β, τῶν αὐτοῦ Ὑπομνημάτων εἰς τὸ γ, τῶν Ἱπποκράτους Ἐπιδημιῶν. Ὅπου διαλεγόμενος περί τινων χαρακτήρων διεσκευασμένων ἔν τινι τῆς ῥηθείσης συγγραφῆς ἀπογράφῳ, λέγει, ὅτι τὸ ἀπόγραφον εὑρέθη ἐν *τῇ βιβλιοθήκῃ Πτολεμαίου τοῦ Εὐεργέτου* (τουτ. τῇ Ἀλεξανδρινῇ). Ἰδοὺ τοῦ Γαληνοῦ αἱ λέξεις αὐταί· « Εὑρεθῆναί τε βιβλίον τι τοῦ Πτολεμαίου, τοῦ Εὐεργέτου κληθέντος, ἔχον αὐτοὺς (τοὺς χαρακτῆρας) διεσκευασμένους ὑπό τινος ἰατροῦ Παμφίλου »— (καὶ μετά τινα μεσολαβοῦντα) « Καὶ φιλότιμον (λέγει) περὶ βιβλία τόν τε (ἴσ. τὸν) βασιλέα τῆς Αἰγύπτου οὕτω γενέσθαι φασὶν, ὡς καὶ τῶν καταπλεόντων ἁπάντων τὰ βιβλία κελεῦσαι πρὸς αὐτὸν κομίζεσθαι ». Καὶ πάλιν παρακατιὼν ὑποσυνάπτει· « Ὅτι δ' οὕτως ἐσπούδαζε περὶ τὴν τῶν παλαιῶν βιβλίων κτῆσιν Πτολεμαῖος ἐκεῖνος, οὐ μικρὸν εἶναι μαρτύριόν φασιν, ὃ πρὸς Ἀθηναίους ἔπραξε· δοὺς γὰρ αὐτοῖς ἐνέχυρα πεντεκαίδεκα τάλαντα ἀργυρίου, καὶ λαβὼν τὰ Σοφοκλέους καὶ Εὐριπίδου καὶ Αἰσχύλου βιβλία χάριν τοῦ γράψαι μόνον ἐξ αὐτῶν, εἶτ' εὐθέως ἀποδοῦναι σῶα » —κτλ. (α). Λέγει δὲ ὁ Γαληνὸς ὅτι ταῦτα μετέγραψεν ἐκ τῶν τοῦ ἀρχαίου Ζεύξιδος εἰς τὸ α, τοῦ Ἱπποκράτους βιβλίον Ὑπομνημάτων. Σημειωτέον δὲ ὅμως ἐν τούτοις, ὅτι τὰς βίβλους ταύτας οὐχὶ τὸν Εὐεργέτην, ἀλλὰ τὸν Φιλάδελφον λαβόντα ἱστόρησεν ὁ Ἀθήναιος λέγων· « Παρ' οὗ (τοῦ Νηλέως) πάντα — πριάμενος ὁ ἡμεδαπὸς βασιλεὺς Πτολεμαῖος, Φιλάδελφος δ' ἐπίκλην, *μετὰ τῶν Ἀθήνηθεν*, καὶ τῶν ἀπὸ Ῥόδου εἰς τὴν καλὴν Ἀλεξάνδρειαν μετήγαγε » (Ἀθήν. Α. 2—3). Ταῦτα δὲ τὰ *Ἀθήνηθεν* ἦσαν (καθὼς φαίνεται) τὰ αὐτὰ καὶ ἅπερ εἶπεν ἀνωτέρω ὁ Γαληνός (β). Ἄλλως γὰρ, ἀπίθανον

(α) Γαλην. β. ὑπομνήμ. εἰς τὸ Γ, Ἱπποκρ. Ἐπιδημ. σελ. 239, 240. τόμ. θ. Lutet. Paris.

(β) Ἰδοὺ (ἀναγνῶστα) τὸ παρ' Ἀθηναίῳ χωρίον ὁλόκληρον· « Ἦν δὲ καὶ βιβλίων κτῆσις παρ' αὐτῷ (τῷ Λαρηνσίῳ) ἀρχαίων Ἑλληνικῶν τοσαύτη, ὡς ὑπερβάλλειν

ἂν εἴη, εἴ τις νομίζοι τὸν Φιλάδελφον, ὡς οὐδὲ τοὺς ἐνδοξοτάτους τρεῖς τῶν Ἀθηνῶν τραγῳδοποιοὺς ἐπεθύμησεν ἔχειν παρ' ἑαυτῷ· καὶ ταῦτα δυνάμενος ῥᾷστα τὰς βίβλους λαβεῖν, αἰτήσας παρ' Ἀθηναίων, οἵτινες οὕτως αὐτὸν ἐτίμων, ὥστε καὶ ἀνδριάντας εἰς αὐτὸν ἀναστῆσαι, καὶ μίαν τῶν φυλῶν ἀπ' αὐτοῦ παρονομάσαι *Πτολεμαΐδα* (Παυσ. Α, ε καὶ η). Τούτων οὕτω τεθέντων, δυοῖν θάτερον ἕψεται, ἢ ὅτι ὁ Γαληνὸς ἐσφάλη, τὸν Εὐεργέτην ἀντὶ τοῦ Φιλαδέλφου τιθεὶς (ὅπερ ἀπαράδεκτον), ἢ ὅτι τὰ ῥηθέντα βιβλία ἐζητήθησαν μὲν παρ' Ἀθηναίων ὑπὸ τοῦ Φιλαδέλφου, μεταγραφέντα δὲ πάλιν ἀπεστάλησαν (ὡς ἱστόρησεν ὁ Γαληνὸς) ὑπὸ τοῦ Εὐεργέτου, τελευτήσαντος ἐν τῷ μεταξὺ τοῦ πατρός. Καὶ συνάγεται λοιπὸν ἐντεῦθεν, *ὅτι ὁ Φιλάδελφος ἐσπούδαζε περὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης ὀλίγῳ πρὸ τῆς τελευτῆς* ».

§. η'. « Ἀλλ' ἴσως (λέγουσιν) ἐναντίον πρὸς ταῦτα δόξει τὸ

πάντας τοὺς ἐπὶ συναγωγῇ τεθαυμασμένους, Πολυκράτην τε τὸν Σάμιον, καὶ Πεισίστρατον τὸν Ἀθηναίων τυραννήσαντα, Εὐκλείδην τε τὸν καὶ αὐτὸν Ἀθηναῖον, καὶ Νικοκράτην τὸν Κύπριον, ἔτι δὲ τοὺς Περγάμου βασιλέας, Εὐριπίδην τε τὸν ποιητήν, Ἀριστοτέλη τε τὸν φιλόσοφον, καὶ τὸν τὰ τούτων (ὁ Κασωβ. γρ. τούτου) διατηρήσαντα βιβλία Νηλέα, παρ' οὗ πάντα, φησί, πριάμενος ὁ ἡμεδαπὸς βασιλεύς » — (πρόσθες καὶ τὰ λοιπὰ ὡς ἀνωτέρω). Ἐν τούτοις σημείωσαι· α) Ὅτι ὁ Φιλάδελφος ἐπρίατο παρὰ τοῦ Νηλέως τὰ βιβλία τοῦ Εὐριπίδου καὶ τοῦ Ἀριστοτέλους, αὐτῶν τούτων δηλαδὴ συγγράμματα (βλ. ἐφεξ. σελ. 250), καὶ ἄλλων συγγραφέων, ὅσα τούτων ἑκάτερος εἶχε συνηθροισμένα ἐν τῇ κατ' αὐτὸν συναγωγῇ (βιβλιοθήκῃ)· ἄλλα δὲ πάλιν βιβλία μετέφερεν ὁ βασιλεὺς Ἀθήνηθεν, ὡς καὶ ἀπὸ Ῥόδου, κτλ. Ὥστε ταῦτα τὰ παρὰ τοῦ Νηλέως ὠνηθέντα (κατὰ τὸν Ἀθήναιον) ἦσαν ἕτερα τῶν παρὰ τῷ Γαληνῷ χειρογράφων ποιημάτων τῶν τριῶν τραγῳδοποιῶν· β) Ὁ Ἀθήναιος λέγει ῥητῶς, ὅτι « ἐπρίατο πάντα παρὰ τοῦ Νηλέως ὁ βασιλεύς ». Ὁ δὲ Γαληνὸς, ὅτι παρὰ τῶν Ἀθηναίων, καὶ μόνον πρὸς ἀπογραφὴν ὁ Πτολεμαῖος ἔλαβε μόνα τὰ τῶν τριῶν τραγῳδοποιῶν, καὶ ἐπὶ ἐνεχύρῳ 15, ταλάντων, ἵνα πάλιν ἀποστείλῃ τοὺς κώδηκας· (ὅτι δὲ καὶ ὁ Πτολεμαῖος οὗτος ὁ παρὰ τῷ Γαληνῷ οὐκ ἔστιν ὁ αὐτὸς καὶ ὁ Φιλάδελφος, ἀλλὰ μᾶλλον ὁ Εὐεργέτης, θεωροῦμεν πλατύτερον ἐν τῇ ἀπαντήσει). Ὅταν ταῦτα παραβάλῃς, βλέπεις καθαρῶς, πόσον συγκρούει τὰς ῥήσεις τῶν συγγραφέων ὁ κλεινὸς Ὅδιος, παρακόπτων καὶ συνάπτων καὶ διαιρῶν, ἵνα κατασκευάσῃ τὸ πόρισμα, ὅπερ ἀναγνώσεις ἐφεξῆς ἐν τῷ τέλει τοῦ παρόντος παραγράφου. Τοσαῦτα περὶ τούτου παρὰ πόδας· τὰ λοιπὰ εἰς τὴν ἀπάντησιν. — Σημ. ἡμετ.

πορίζόμενον ἐκ τοῦ παρ' Ἀθηναίῳ διηγήματος « Ὅτι ὁ Φιλάδελφος ἐπρίατο τὰς Ἀριστοτέλους βίβλους παρὰ Νηλέως ». Καθότι ὁ Νηλεὺς, ἀκροατὴς Ἀριστοτέλους γενόμενος, οὐκ ἠδύνατο ζῆν μέχρι καὶ τῶν ἐσχάτων τῆς βασιλείας τοῦ Φιλαδέλφου. Ἀπὸ γὰρ τῆς Ἀριστοτέλους μέχρι τῆς Φιλαδέλφου τελευτῆς παρῆλθον ἔτη σχεδὸν ὀγδοήκοντα (α). Ἀλλ' ὁ Ἀθήναιος (λέγουσι) σφάλλεται προφανῶς κατὰ τοῦτο (ὅτι δηλαδὴ παρὰ τοῦ Νηλέως ὁ Φιλάδελφος ἐπρίατο τὰ βιβλία). Καὶ μάρτυς ἀξιόχρεως ὁ Στράβων, λέγων· « Νηλεὺς ὁ Σκήψιος, ἀνὴρ Ἀριστοτέλους ἠκροαμένος καὶ Θεοφράστου, διαδεδεγμένος δὲ τὴν βιβλιοθήκην τοῦ Θεοφράστου, ἐν ᾗ ἦν καὶ ἡ τοῦ Ἀριστοτέλους (ὁ γὰρ Ἀριστοτέλης τὴν ἑαυτοῦ Θεοφράστῳ παρέδωκεν) — εἰς Σκῆψιν κομίσας (τὴν βιβλιοθήκην), τοῖς μετ' αὐτὸν παρέδωκεν ἰδιώταις ἀνθρώποις, οἳ κατάκλειστα εἶχον τὰ βιβλία. — Ἐπειδὴ δὲ ᾔσθοντο τὴν σπουδὴν τῶν Ἀτταλικῶν βασιλέων, ὑφ' οἷς ἦν ἡ πόλις, ζητούντων βιβλία εἰς τὴν κατασκευὴν τῆς ἐν Περγάμῳ βιβλιοθήκης, κατὰ γῆς ἔκρυψαν ἐν διώρυγί τινι· ὑπὸ δὲ νοτίας καὶ σητῶν κακωθέντα, ὀψέποτε ἀπέδοντο οἱ ἀπὸ τοῦ γένους Ἀπελλίκωντι τῷ Τηΐῳ πολλῶν ἀργυρίων *τά τε Ἀριστοτέλους καὶ τοῦ Θεοφράστου βιβλία*. — Σύλλας δὲ ἦρε τὴν Ἀπελλίκωντος βιβλιοθήκην, ὁ τὰς Ἀθήνας ἑλών· δεῦρο δὲ (εἰς Ῥώμην) κομισθεῖσαν διεχειρίσατο Τυραννίων », κτλ. (Στραβ. ιγ, 608—609). Ταῦτα καὶ Πλούταρχος μαρτυρεῖ λέγων· « Οἱ δὲ πρεσβύτεροι Περιπατητικοὶ φαίνονται — τῶν Ἀριστοτέλους καὶ Θεοφράστου γραμμάτων οὔτε πολλοῖς οὔτ' ἀκριβῶς ἐντετυχηκότες, διὰ τὸν τοῦ Νηλέως τοῦ Σκηψίου κλῆρον, ᾧ τὰ βιβλία κατέλιπε Θεόφραστος, εἰς ἀφιλοτίμους καὶ ἰδιώτας ἀνθρώπους », κτλ. (βίῳ Σύλλα §. κϛ). Ὅτι δὲ καὶ ἰδίως εἰς τοῦ Φιλαδέλφου τὰς χεῖρας οὐκ ἦλθεν ἡ τοῦ Ἀριστοτέλους βιβλιοθήκη, καταφαίνεται ἐκ τῶν Ἀμμωνίου εἰς τὰς Ἀριστοτέλους Κατηγορίας σχολίων, γράψαντος (ἐν τῷ προοιμ.) ταῦτα· « Πτο-

(α) Ἆρα, φίλε Ὄδιε, ὁ Φιλάδελφος ἐπρίατο παρὰ τοῦ Νηλέως τὰ βιβλία πρὸ 40, σχεδὸν ἐτῶν, ἤγουν κατ' ἀρχὰς τῆς αὐτοῦ βασιλείας· καὶ τότε λοιπὸν κατεσκεύαζε τὴν βιβλιοθήκην. Βλ. καὶ τὴν ἐφεξῆς σημείωσιν εἰς §. θ. σελ. 250. — Σημ. ἡμετ.

λεμαῖον τὸν Φιλάδελφον πάνυ ἐσπουδακέναι φασὶ περὶ τὰ Ἀριστοτελικὰ συγράμματα, ὡς καὶ περὶ τὰ λοιπὰ, καὶ χρήματα διδόναι τοῖς προσφέρουσιν αὐτῷ βίβλους τοῦ φιλοσόφου. Ὅθεν τινὲς χρηματίσασθαι βουλόμενοι, ἐπιγράφοντες συγγράμματα τῷ τοῦ φιλοσόφου ὀνόματι προσῆγον. Ἀμέλει, φασὶν ἐν τῇ μεγάλῃ (τῆς Ἀλεξανδρείας) βιβλιοθήκῃ εὑρῆσθαι *Ἀναλυτικῶν* μὲν 40 βίβλους, *Κατηγοριῶν* δὲ δύω. Ἐκρίθη δὲ ὑπὸ τῶν ἐξηγητῶν, *Κατηγοριῶν* μὲν ἓν εἶναι γνήσιον τοῦ Ἀριστοτέλους, *Ἀναλυτικῶν* δὲ 4, » κτλ. (α). Εἰ δὲ καὶ τὴν Ἀριστοτέλους βιβλιοθήκην μετὰ τῶν αὐτοῦ συγγραμμάτων ἀπεθησαύριζεν ὁ Φιλάδελφος ἐν τῇ βιβλιοθήκῃ (παρὰ τοῦ Νηλέως ἀγοράσας, κατὰ τὸν Ἀθήναιον), ποίαν ἔπειτα χρείαν εἶχε συνάγειν πάντα τὰ ἐπ' ὀνόματι τοῦ Ἀριστοτέλους φερόμενα; »

§. θ'. « Ἀλλὰ τί βλάψει (λέγουσιν), ἐὰν πλάσωμεν (καί τοι ἄλλως ἀσυγχώρητον ὂν), ὅτι ὁ Νηλεὺς (αὐτὸς) ἐπώλησε τῷ Φιλαδέλφῳ τὰ βιβλία τοῦ Ἀριστοτέλους; Πλὴν ἀλλὰ καὶ τοῦτο οὐκ ἂν ἐγένετο πρότερον, εἰ μὴ μετὰ τὸ ἥμισυ τῆς βασιλείας τοῦ Φιλαδέλφου, εἴπερ ἀληθεύει τὸ κοινῶς παραδεδομένον, ὅτι ὁ Θεόφραστος ἔζησεν ἔτη 107 (ὡς ὁ Ἱερώνυμος διώρισε· καὶ αὐτὸς δὲ ὁ Θεόφραστος ἐν τῷ προοιμίῳ τῶν Χαρακτήρων λέγει τότε ἑαυτὸν ὄντα ἐτῶν 99) (β). Εἰ δὲ καὶ παρέτεινε τὸν βίον ἐπὶ τοσοῦτον, ἐτε-

---

(α) Πρβλ. καὶ Φιλόπονον εἰς Α, τῶν Ἀναλυτικ. σελ. 4· οὕτω καὶ Σιμπλίκιος· « Ἐγράφη δὲ πολλὰ βιβλία κατ' ἐκεῖνον μάλιστα τὸν χρόνον, ὅτε πολλοὶ τῶν βασιλέων (τῆς Αἰγύπτου καὶ Περγάμου) περὶ τὰς βιβλιοθήκας σπουδάζοντες, πολλοῦ χρυσίου τὰ ἐπεξενωμένα τῶν βιβλίων ὠνοῦντο » (προλόγ. εἰς τὰς Κατηγορ. τοῦ Ἀριστοτέλ.). Ὁ δὲ σοφὸς Βίβης (εἰ δεῖ καὶ τοῦτο ἐν παρόδῳ ἐπιμνησθῆναι), λεπτότερόν τι καὶ ὧδε ἐπινοήσας, τὰς Ἀριστοτέλους Κατηγορίας ἔκρινε σύγγραμμά τινος τῶν Πυθαγορικῶν, ἢ τῶν Πλατωνικῶν (Lud. Vives de caus. corrupt. artium L. 3. p. 99)· ἀλλὰ καὶ κατὰ τοῦτο ἐξηλέγχθη ὀνειρώττων (Βλ. Voss. de natur. Logic.). — Σημ. ἡμετ.

(β) Ὁ Λαέρτιος λέγει, ὅτι ἔζησεν ἔτη 85· ὅπερ ὁ Κασωβὼν διορθοῖ εἰς 107. (κατά τε τὸν Ἱερώνυμον [epist. ad Nepot.], καὶ ἵνα μᾶλλον συμφωνῇ πρὸς τὰ 99, τοῦ προοιμίου τῶν χαρακτήρων). Ἄλλοι τἀνάπαλιν ἐκ τοῦ Λαερτίου διορθοῦσι καὶ τὰ τοῦ προοιμίου εἰς 79 (οἱ δέ τινες νεανικώτερον, καὶ ὅλον τῶν χαρακτήρων τὸ προοίμιον ὡς νόθον ἐξέλαβον. Βλ Menagij observation. εἰς Λαέρτ. τόμ. Β.

λεύτησεν ἄρα ὁ Θεόφραστος περὶ μεσάζουσαν τὴν Φιλαδέλφου βασιλείαν, ὡς πολὺ νεώτερος τοῦ διδασκάλου Ἀριστοτέλους. Ἀπὸ γὰρ τοῦ Ἀριστοτέλους μέχρι μέσης τῆς Φιλαδέλφου βασιλείας ἀριθμοῦνται ἔτη 138· τοσαῦτα παρῆλθον ἀπὸ τοῦ α, τῆς 99, Ὀλυμπ. (ὁπότε τίθησι τὴν Ἀριστοτέλους γέννησιν ὁ Ἀπολλόδωρος παρὰ Λαερτίῳ, Ε, α §. 7) μέχρι τοῦ β, τῆς 128, Ὀλυμπιάδος, ὅπερ ἦν τὸ εἰκοστὸν ἔτος τῆς βασιλείας τοῦ Φιλαδέλφου, καὶ 18, μετὰ τὴν Λαγίδου τελευτήν (α) ».

σελ. 211. καὶ Fabric. Biblioth. Graec. vol. 3. p. 412 Harl.). Ἀλλὰ τὰ περὶ Θεοφράστου, πλατύτερον ἐκτεθειμένα, βλ. ἐν ἐκδ. Θεοφράστ. Χαρακτήρ. μετὰ Γαλλικ. ἑρμην. par Coray. Discours prelim. §. XVI. — Σημ. ἡμετ.

(α) Διαπίπτεις, Ὅδιε σοφώτατε, περὶ τὸν ὑπολογισμὸν, συμπεπλεγμένα χρονολογήσας, καὶ συμποδισθεὶς εἰς τὴν συγκεφαλαίωσιν καὶ τὸν συμψηφισμὸν τῶν ἐτῶν. Ἀλλ' (ἵνα παρὰ πόδας ἀπαντήσωμεν) ἰδού σοι βραχύτερος καὶ σαφέστερος ὁ λογισμὸς, καὶ (τὸ τῆς παροιμίας) « ἐν ψήφοις, ἢ κυάμοις, ἐπ' ἀβακίου καθαροῦ ». Ὁ Ἀριστοτέλης ἐγεννήθη τῇ 99 Ὀλυμπιάδι, τὸ α, καὶ ἀπέθανε περὶ τὰ μέσα τῆς 115, « ζήσας ἔτη 63 », κατὰ τὸν Ἀπολλόδωρον (Λαέρτ. Ε, α. §. 7). Ὁ δὲ Θεόφραστος ἐτελεύτα κατὰ τὴν 123, Ὀλυμπιάδα· ὁ γὰρ τούτου μαθητὴς καὶ ἄμεσος διάδοχος Στράτων διεδέξατο τελευτήσαντος τοῦ Θεοφράστου τὴν σχολὴν ἐπὶ τῆς αὐτῆς 123, Ὀλυμπιάδος, ὡς αὐτὸς πάλιν ὁ Ἀπολλόδωρος ἐδήλωσεν ἐν τοῖς χρονικοῖς (Λαέρτ. Ε. γ. 1—3. — Τινὲς δὲ τῶν νεωτέρων διορίζουσι καὶ τῷ α, τῆς 123, Ὀλυμπ. ἤτοι 3, ἔτει πρὸ τῆς Φιλαδέλφου βασιλείας γενομένην τὴν Θεοφράστου τελευτήν. Βλ. Simson Chronic. catholic. pag. 1025—1102). Κατὰ τὴν αὐτὴν λοιπὸν Ὀλυμπιάδα καὶ ὁ Νηλεὺς παρέλαβε τὴν Θεοφράστου βιβλιοθήκην (ἐν ᾗ ἦν καὶ ἡ τοῦ Ἀριστοτέλους), ὡς ὁ Θεόφραστος διέταξεν ἐν ταῖς διαθήκαις (Λαέρτ. Ε. β. 14). Τῆς δ' αὐτῆς 123, Ὀλυμπιάδος τὸ δ, καὶ ὁ Φιλάδελφος παρέλαβε παρὰ τοῦ πατρὸς τὴν βασιλείαν. Καὶ τότε λοιπὸν ὁ Φιλάδελφος ἐπρίατο παρὰ τοῦ Νηλέως (κατὰ τὸν Ἀθήναιον) τὰ τοῦ Ἀριστοτέλους καὶ τὰ τοῦ Εὐριπίδου βιβλία (δηλονότι κατὰ τὴν διετίαν, ἣν ἐβασίλευσε ζῶντος τοῦ πατρὸς, καὶ καθ' ἣν ἡρμηνεύθησαν αἱ Γραφαί). Ἀλλὰ (λέγεις) ποῦ θήσομεν τὰ τοῦ Στράβωνος, ὅτι « ὁ Νηλεὺς παρέδωκε τὴν Θεοφράστου βιβλιοθήκην τοῖς μετ' αὐτὸν ἰδιώταις; κτλ. Εὔκολος ἡ θεραπεία τῆς ἐναντιοφανείας· Α) Δυοῖν θάτερον. Ἢ ἐξ αὐτῆς, τῆς ἐν τῇ Θεοφράστου βιβλιοθήκης τοῦ Ἀριστοτέλους ἐπώλησε μέρος ὁ Νηλεὺς τῷ Φιλαδέλφῳ (τοῦτο δὲ καὶ σὺ παρεδέξω ἀνωτέρω, κἂν ἀνέβαλες τὴν πώλησιν κατὰ λάθος, εἰς τὰ μέσα τῆς βασιλείας). Αὐτὰ δὲ τούτου (βλ. ὄπισθ. σελ. 217) τοῦ Ἀριστοτέλους τὰ συγγράμματα, καὶ τὰ τοῦ Θεοφράστου, διετήρησεν ὡς κειμήλια, καὶ παρέδωκε τοῖς μετ' αὐτὸν (ὄπισθ. σελ. 348. πρβλ. καὶ Schweigh. Animadv. εἰς Ἀθήν. Τ. α. σελ. 36). Ἐφιλοτιμήθη δ' ἂν πάντως ὁ Ἀριστοτελικὸς Νηλεὺς ἐκ τῆς Ἀριστοτέλους βιβλιοθήκης ἀποδοῦναι τῷ Φιλαδέλφῳ, μεμνημένος εὐγνωμόνως

§. ι. « Ἀλλὰ ταῦτα (λέγουσιν) ἀφέντες, ἴδωμεν, εἰ καὶ ἄλλοθέν ποθεν εὐκρινέστερον βεβαιοῦται, ὅτι ὁ Φιλάδελφος ἐπεχείρησε τῇ

τοῦ διδασκάλου. Καὶ γὰρ, « πρῶτος ἦν Ἀριστοτέλης βιβλία συναγαγὼν, καὶ διδάξας τοὺς ἐν Αἰγύπτῳ βασιλέας » (καὶ πρῶτον, τὸν Α, Πτολεμαῖον) « βιβλιοθήκης σύνταξιν » (Στράβ. ιγ. 608). Ἢ αὐτὸς ὁ Νηλεὺς, ὡς Ἀριστοτέλους ἀκροατὴς, εἶχεν Ἀριστοτέλους βιβλία, καὶ ἐκτὸς τῆς Θεοφράστου βιβλιοθήκης, διαφυλάττων, καθὼς καὶ τοῦ Εὐριπίδου (κατὰ τὸν Ἀθήναιον)· καὶ ταῦτα πάντα λοιπὸν ἐπρίατο παρὰ τοῦ Νηλέως ὁ Φιλάδελφος. Ὅτι δὲ καὶ ζῶντος Ἀριστοτέλους ἦσαν ἐκδεδομένα τούτου συγγράμματα, μαρτυρεῖ πάλιν αὐτὸς ὁ Ἀριστοτέλης, τοὺς ἀκροαματικοὺς τῶν λόγων ὀνομάζων ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ· δηλονότι τὰ μετὰ τὰ φυσικά. (Πλούταρχ. Βίῳ Ἀλεξάνδρ. § ζ), ὁμολογοῦσι δὲ καὶ Στράβων (αὐτόθ.), καὶ Πλούταρχος (Σύλλ. §. κς) γνωστὰ καὶ τοῖς μετὰ Θεόφραστον ὄντα τὰ τοῦ Ἀριστοτέλους, κἂν μὴ πάντα, μηδὲ πολλὰ, πιθανώτατον δὲ πάντως τὰ λεγόμενα ἐξωτερικὰ (ὡς κοινότερα καὶ μᾶλλον δημώδη, populariter scripta. Cic. de Finib. V. 5), καὶ διαφέροντα τῶν ἀκροαματικῶν (βλ. Πλουτάρχ. Ἀλεξ. §. ζ. Γαλην. περὶ φυσικ. δυναμ. Fabric. Bibl. Gr. Libr. III. c. 5. p. 374. Harl.). — Β) Μετὰ ταῦτα τὴν Θεοφράστου βιβλιοθήκην (καὶ ὅσα ἔμειναν ἐν αὐτῇ τοῦ Ἀριστοτέλους) παρέδωκεν ὁ Σκήψιος Νηλεὺς τοῖς οἰκείοις· καὶ ταύτης οὗτοι τὰ βιβλία ἐπώλησαν ὕστερον « τῷ Τηΐῳ Ἀπελλίκωντι, πολίτῃ δὲ γεναμένῳ Ἀθηναίων, ὅστις συνηγόραζε κἀκεῖνος τὰ περιπατητικὰ (τουτ. βιβλία), καὶ τὴν Ἀριστοτέλους βιβλιοθήκην, καὶ ἄλλας συχνάς » (Ἀθήν. Ε, 215).—Γ) Ὁ δὲ Φιλάδελφος οὐχὶ (καθὼς συνάπτεις ἐκ τοῦ Γαληνοῦ), ἀλλ' ὁ Β, Εὐεργέτης (ὡς φανήσεται ἐκ τῶν ἐφεξῆς §. ιη) ἐζήτει καὶ ἠγόραζε καὶ ἄλλα τῶν Ἀριστοτέλους, εἴτε μέχρι τότε ἀνεκδότων καὶ καινοφανῶν, εἴτε καὶ ὡς πληρεστέρων καὶ ἀκριβεστέρων φημιζομένων συγγραμμάτων· καὶ τότε οἱ φιλοκερδεῖς ἐπώλουν καὶ ψευδεπίγραφα, καθὼς ἐσημείωσεν ὁ Ἀμμώνιος. Ἀδίκως τοίνυν, Ὄδιε, ψευδίζεις τὸν Ἀθήναιον, καὶ μηδὲ σεαυτῷ συμφερόντως· ἂν γὰρ ὑποτεθῶσιν ἐσφαλμένα τὰ τοῦ Δειπνοσοφιστοῦ, οἴχεταί σοι λοιπὸν, ἰδίαις σου χερσὶν ἐκ θεμελίων ἀνατραπὲν, τὸ προηγηθὲν ἐπιχείρημα, δι' οὗ συμπλέκων τὰ τοῦ Γαληνοῦ πρὸς τὰ τοῦ Ἀθηναίου (βέβαια ταῦτα τιθεὶς καὶ ἀληθηνὰ), συνεπέραινες τὴν περὶ βίου δυσμὰς τοῦ Φιλαδέλφου σπουδὴν εἰς κατασκευὴν τῆς βιβλιοθήκης (§. ζ). Τοῦτο δὲ ἄρα καὶ αὐτὸς συναισθανθεὶς, καὶ πάλιν ὑποκρύπτων, συγκατέβης εἰς τὴν ὀψέ ποτε παρ' αὐτοῦ τοῦ Νηλέως πρὸς τὸν Φιλάδελφον πρᾶσιν τῶν Ἀριστοτελικῶν. Ἀλλ' ἔστω, Ὄδιε, καὶ ταῦτα συγχωροῦμεν (καί τοι τῷ ὄντι παρὰ τῆς χρονολογίας ἀσυγχώρητον ὄν)· καὶ πιπρασκέτω τὰ τοῦ Ἀριστοτέλους ὁ Νηλεὺς πρὸς τὸν Φιλάδελφον, ἤδη μεσοποροῦντα τὴν βασιλείαν. Ἀλλὰ τίς σοι εἶπε, καὶ ὅτι ταῦτα τὰ βιβλία ὑπῆρξαν καταρχαί τινες, ἢ πρώτιστα προοίμια καὶ θεμέλια τῆς βιβλιοθήκης, ἅπερ ὁ Φιλάδελφος πριάμενος παρὰ τοῦ Νηλέως, οἷον αἰσίαν καὶ εὐοιώνιστον εὐαρχίαν τῆς τῶν βιβλίων ἀγορᾶς, ἐστοιχείωσεν ἐπ' αὐτῶν τὴν μεγάλην τῆς πολυϋμνήτου βιβλιοθήκης κατασκευήν; Ἀλλ' αὕτη προϋπῆρχεν ἤδη τεθεμελιωμένη καὶ πρὸ τῆς ἀρχῆς τῆς Φιλαδέλφου βασιλείας, ἔτι ἐπὶ τοῦ Λαγίδου Πτολεμαίου (ὡς ἐροῦμεν ἀλλαχοῦ, καὶ σὺ δὲ συνομολογήσεις). Ἀλλὰ καὶ νῦν, ὦ βέλτιστε, συμφωνό-

κατασκευῇ τῆς βιβλιοθήκης, ἤδη τὴν ἡλικίαν προβεβηκώς. Καὶ ταύτην πάντως τὴν γνώμην κρατύνει πολλὴν ἰσχὺν προστιθεὶς ὁ Θεόκριτος, ὅστις ἐν τῷ εἰς *Πτολεμαῖον ἐγκωμίῳ* (Εἰδυλ. ιζ) ἐγκωμιάσας τὸν Φιλάδελφον ἀπό τε ῥώμης, καὶ πλούτου, καὶ μεγέθους τῆς βασιλείας, καὶ πλήθους ϛρατῶν, καὶ τῆς περὶ τοὺς ποιητὰς μεγαλοδωρίας, καὶ τῶν ἄλλων τῶν τοιούτων, ἔπειτα περὶ παιδείας τοῦ Φιλαδέλφου, καὶ τῆς περικλεεστάτης, καὶ πρὸ παντὸς ἄλλου ἐγκωμίου προτιμητέας ἐκείνης, ἣν συνήγαγε, βιβλιοθήκης, οὐδὲ λεξείδιον προσέθηκεν ὁ Θεόκριτος. Καὶ δικαίως· διότι τὸ Εἰδύλλιον ἐποιήθη πολὺ μετὰ τὴν ἀρχὴν τῆς Φιλαδέλφου βασιλείας, καθὼς ἀποδείκνυται καὶ ἐξ ἄλλων, καὶ ὅτι μέμνηται τῶν τούτου γάμων, τῶν μετὰ τῆς ἀδελφῆς Ἀρσινόης » (!).

§. ιά. « Ἐνταῦθα προσεπιμετροῦμεν καὶ τὸν Βιτρούβιον, ὅστις ἐνόμισε τὴν Ἀλεξανδρινὴν βιβλιοθήκην κατασκευασθεῖσαν μετὰ τὴν ἐν Περγάμῳ συστᾶσαν ὑπὸ τῶν Ἀτταλικῶν βασιλέων (α). Ἡ δὲ τῆς Περγάμου βιβλιοθήκη κατεσκευάσθη πάντως οὐ πρὸ τῶν τοῦ Εὐμένους τοῦ Α, χρόνων, ὡς ἐκ τοῦ Στράβωνος συνάγεται καὶ τοῦ Πλινίου (β), συμφώνως ἑκατέρων τὸν Εὐμένη λεγόντων ἱδρυτὴν τῆς βιβλιοθήκης. Εὐμένης δὲ ὁ Α, μὲν τὸ ὄνομα, τῆς δὲ Περγάμου δεύτερος βασιλεὺς, ἀνηγορεύθη περὶ τὸ 26 ἔτος τῆς Φιλαδέλφου βασιλείας (Ὀλυμπ. ρκθ, τὸ δ), ἐπιζήσας μετὰ τοῦτον ἑπτὰ περίπου ἐνιαυτούς. Ταῦτα οὕτως ἐκδεκτέον, εἴγε πιστευτέος ὁ Βιτρούβιος. Ἐγὼ δὲ (λέγει Ὅδιος), ἵνα τὸ παριστάμενον ἐλευθέρως ἐξαγορεύσω,

---

τερος ἂν ἀπέβαινες πρὸς σεαυτὸν, εἴπερ, ἀναστὰς ἀπὸ τῶν μέσων τῆς Φιλαδέλφου βασιλείας προὐχώρεις εὐτολμοτέρῳ ποδὶ μέχρι καὶ πρὸς αὐτὰς αὐτῆς τὰς ἀρχὰς, καθὼς ἤδη μετεπήδησας εἰς τὸ μέσον ἀπὸ τῶν ἐσχάτων τῆς βασιλείας. Ἦ οὐ σὺ αὐτὸς, μικρὸν ἀνωτέρω (§. ζ), εἰσῆγες τὸν Φιλάδελφον σπουδάζοντα περὶ τὴν σύνταξιν τῆς βιβλιοθήκης « ὀ λ ί γ ῳ π ρ ὸ τ ῆ ς τ ε λ ε υ τ ῆ ς » ; Σημειωτέον δὲ ὅτι καὶ αὐτὸς ὁ περὶ πολλὰ συμμαχῶν Ὀδίῳ Βοβέριος ὁμολογεῖ τὸν Φιλάδελφον παρὰ τοῦ Νηλέως ἀγοράσαντα τὴν βιβλιοθήκην, ἀποδεχόμενος τὴν Ἀθηναίου μαρτυρίαν, ὡς ἀνύποπτον ἱστόρημα (βλ. Wower. de Polymath. c. XVI. p. 173). Ὡσαύτως καὶ ἄλλος ἐν πολλοῖς Ὀδίου ἐπαινέτης, ὁ Μενάγιος (Menag. observat. in Laert. vol. 2. p. 215). — Σημ. ἡμετ.

(α) Vitruv. Praef. Lib. 7.

(β) Στραβ. ιγ, 604. — Plin. H. N. Lib. 13. 11. [πρόσθες καὶ Libr. 35. c. 2].

νομίζω τὸν Βιτρούβιον ἐν τούτῳ τῷ χωρίῳ πολλάκις ἁμαρτήσαντα περὶ τὴν χρονολογίαν. Οὔτε γὰρ Ζωΐλος, οὔτ' Ἀριστοφάνης ὁ γραμματικὸς ἐγένοντο (καθὼς αὐτόθι λέγει) σύγχρονοι Πτολεμαίου τοῦ καθιδρυτοῦ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης (ἀλλ' ἀρχαιότερος μὲν ὁ α, ὑστερώτερος δὲ ὁ β). Καὶ τὴν ἐν Περγάμῳ βιβλιοθήκην κατεσκεύασεν οὐχὶ πάντως Εὐμένης ὁ Α, ὁ τῷ Φιλαδέλφῳ συγχρονίσας, ἀλλ' ὁ πολλοὺς ἐνιαυτοὺς μετὰ τὸν τούτου θάνατον βασιλεύσας Εὐμένης ὁ Β, ὡς ὁ Στράβων λαμπρῶς μαρτυρεῖ ».

§. ιϐ'. « Ἀλλὰ τοῦ μὲν Βιτρουβίου τὴν ἀξιοπιστίαν παραλείπομεν εἰς τὴν κρίσιν τοῦ ἀναγνώστου· ἡμεῖς δὲ (λέγουσι) πρὸς τούτοις προσεπιβάλλομεν καί τινων ἄλλων λαμπρὰς καὶ καθαρὰς μαρτυρίας, δι' ὧν καταπιστοῦται, ὅτι ὁ Φιλάδελφος προσέσχε τὸν νοῦν εἰς κατασκευὴν τῆς βιβλιοθήκης ὀλίγους ἐνιαυτοὺς πρὸ τῆς τελευτῆς. Αὐτίκα Γεώργιος ὁ Σύγκελλος τοῦτο κατέστησε παμμαρτύρητον (testatissimum), ἀνάγων τὴν σύστασιν τῆς βιβλιοθήκης εἰς τὴν ρλϐ. Ὀλυμπιάδα, ἧς τὸ α, ἔτος συμπίπτει τῷ ἕκτῳ πρὸ τῆς Φιλαδέλφου τελευτῆς. « Πτολεμαῖος (λέγει) ὁ Φιλάδελφος ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην καθίστησιν, ρλϐ, Ὀλυμπιάδι, ἧς πληρουμένης, τελευτᾷ· δέκα μυριάδες βιβλίων ἦσαν, ὥς τινές φασι ». Τὰ δ' αὐτὰ ἀναγινώσκονται καὶ ἐν τῷ Α, τῶν Εὐσεβίου χρονικῶν (ὅπου λείπει ὅμως τὸ *τελευτᾷ*· τὸ δὲ πληρουμένης ἀποδίδοται εἰς τὴν βιβλιοθήκην)· ἐτελεύτησε δὲ ὁ Φιλάδελφος ἔτει β, μετὰ τὴν προῤῥηθεῖσαν Ὀλυμπιάδα. Ἀλλ' ὁ τοῦ Συγκέλλου ἐκδότης Γοάρος παρεσημείωσεν εἰς τὸ περισέλιδον, *Ὀλυμπ. ρλα* (ἀντὶ ρλϐ), καὶ οὕτως ἔγραψεν ἐν τῇ λατινικῇ μεταφράσει. Καὶ κατὰ ταύτην οὖν τὴν ἀνάγνωσιν, δεκάτῳ πρὸ τῆς τελευτῆς ἐνιαυτῷ περὶ τὴν βιβλιοθήκην ἐσπουδακότα τὸν Φιλάδελφον λαμπρῶς ὁ Σύγκελλος μαρτυρεῖ (καί τοι καὶ τοῦτον τὸν ἀρθμὸν ὁ Γοάρος προσέγραψεν οὐκ ἀπό τινος κώδηκος λαβών, ἀλλ' ἐξ ἁπλῆς, ὡς νομίζομεν, εἰκασίας· ἡ γὰρ ἀρχιερατεία τοῦ περὶ τὴν μετάφρασιν, κατὰ τὸν Ἀριστέα, συντελέσαντος Ἐλεα-

ζάρου οὐ διήρκεσε μέχρι τῆς ρλϐ Ὀλυμπ. (α)]· ἀλλ᾽ ὅμως ὁ Σκαλίγηρος (εἰς Εὐσέϐ. Ν. 1734) παραδίδωσιν, ὅτι καὶ Ἰούλιος ὁ Ἀφρικανὸς, ἐνδοξότατος χρονολόγος, τὴν τῆς Φιλαδελφείου βιϐλιοθήκης κατασκευὴν εἰς τὴν ρλϐ, Ὀλυμπιάδα καὶ αὐτὸς ἀναφέρει· προστίθησι δὲ καὶ τὴν οἰκείαν ψῆφον καὶ αὐτὸς ὁ Σκαλίγηρος· συνομολογοῦσι καὶ ἄλλοι τῶν νεωτέρων σοφῶν (ϐ). Ἠρύσατο δὲ τὴν Ἀφρικανοῦ γνώμην, ἢ παράδοσιν, ὁ Σκαλίγηρος ἐκ τοῦ προμνημονευθέντος χωρίου τοῦ Συγκέλλου, ὅστις καὶ ὧδε (καθὼς καὶ ἀλλαχοῦ, ὡς ἐπὶ τὸ πλεῖστον) φαίνεται τῷ Ἀφρικανῷ παρακολουθῶν. Πρὸς ταύτην πλησιάζει τὴν γνώμην καί τις Εὐτρόπιος, ἀναφέρων τὴν κατασκευὴν τῆς βιϐλιοθήκης εἰς *τὸν λ, σχεδὸν* ἐνιαυτὸν, ἀφ᾽ οὗ συνεϐασίλευσε μετὰ τοῦ πατρός (γ). Τελευταῖον, καὶ αὐτὸς Ἰώσηπος ὁ Φλάϐιος ὑπὲρ ἡμῶν ἵστασθαι δοκεῖ, τιθεὶς τὴν ἑρμηνείαν τῶν Γραφῶν *εἰς τὸ ἔσχατον ἔτος τῆς Φιλαδέλφου βασιλείας, δηλονότι τὸ* 40 (συνυπολογιζομένης καὶ τῆς διετίας, καθ᾽ ἣν συνεϐασίλευσε μετὰ τοῦ πατρός)· ἀναφέρει δὲ τὴν ἑρμηνείαν εἰς ἐκεῖνο τὸ ἔτος, οὐχὶ δ᾽ ἄλλην αἰτίαν, ὡς φαίνεται, εἰ μὴ διότι ὑπελάμϐανε τὸν Φιλάδελφον κατὰ τὰ ἔσχατα τῆς βασιλείας φροντίσαντα περὶ τῆς βιϐλιοθήκης. Ἰδοὺ τί λέγει ὁ Ἰώσηπος. « Ἔπειτα τὴν βασιλείαν τῆς Αἰγύπτου παραλαϐὼν ὁ Φιλάδελφος, καὶ κατασχὼν αὐτὴν ἐπὶ ἔτη ἑνὸς δέοντα τεσσαράκοντα, τὸν νόμον ἡρμήνευσε » (Ἀρχ. ιϐ. ϐ). Καὶ ὅτι μὲν οὐδεὶς ἕτερος τῶν συγγραφέων εἶπε τὴν Φιλαδέλφου βασιλείαν ἐτῶν 39 (πάντες δὲ ἢ 38, μετὰ τὸν θάνατον τοῦ πατρὸς, ἢ 40, ἀπ᾽ ἀρχῆς, μετὰ τῆς διετίας), *τοῦτο σιωπῶμεν· παρατρέχομεν* δὲ καὶ ὅτι ὁ Ἰώσηπος *οὐδόλως εἴωθεν ἀριθμεῖν καὶ πόσους ἐνιαυτοὺς* ἐϐασί-

(α) Αὕτη ἡ περὶ τοῦ Γοάρου εἰκασία τοῦ Ὀδίου φαίνεται ἀπίθανος. Ὁ Γοάρος οὐδὲν ἕτερον ἐσημείωσεν εἰς τὸ περισέλιδον, εἰμὴ ὅ,τι εὕρηκεν ἔν τισιν ἀντιγράφοις τῆς τοῦ Συγκέλλου Χρονογραφίας (βλ. τὴν ἐν Εὐσεϐ. Χρονικ. Α. σελ. 223, ἐκδ. Mediol. σημ. τοῦ ἐκδότου). — Σημ. ἡμετ.

(ϐ) Βλέπε τούτων τὰ ὀνόματα παρ᾽ Ὀδίῳ, σελ. 35. σημ.

(γ) Apud Sabellicum, Ennead. IV. 8.

λευσε τῶν ἄλλων Πτολεμαίων ἕκαστος· ἡ δὲ τοῦ Φιλαδέλφου βασιλεία πάντως οὐ διήρκεσεν ἐπὶ πλεῖστον ὅσον χρόνον, ἵνα ταύτης τὰ ἔτη κατ᾽ ἐξαίρεσιν μνημονεύωνται *πρὸ τῶν ἄλλων ἁπασῶν*. Αὐτὸς αὐτοῦ ὁ πατὴρ ἐπὶ τοσοῦτον κᾀκεῖνος, μᾶλλον δὲ καὶ μακρότερον, διῴκησε τὴν βασιλείαν (α). Ἀλλὰ ταῦτα παραλείπομεν· τοῦ δ᾽ οὖν Ἰωσηπείου χωρίου τὸ γνήσιον νόημα φαίνεται τὸ ἑξῆς. Ὅτι ὁ Φιλάδελφος ἔπειτα, ἀφ᾽ οὗ παρέλαβε τὴν βασιλείαν καὶ διῴκησεν αὐτὴν ἐπὶ ἔτη 39, ἐφρόντισεν ἐξελληνισθῆναι τὸν νόμον (β). Καὶ περὶ τούτων μὲν τῶν τοῦ Ἰωσήπου ἁπλῶς ὑπομιμνήσκομεν τοὺς λογίους ἀναγνώστας, οὐ βεβαιοῦντες εὐθέως τὸ παριστάμενον ».

§. ιγ΄. « Κᾀκεῖνο δὲ (λέγουσι) προσθετέον· Ἐν τῇ πρὸς Ἐλεάζαρον ἐπιστολῇ τοῦ Φιλαδέλφου γέγραπται καὶ ταῦτα. « Καὶ ἡμεῖς δὲ παραλαβόντες τὴν βασιλείαν, φιλανθρωπότερον ἀπαντῶμεν τοῖς πᾶσι, πολὺ δὲ μᾶλλον τοῖς σοῖς πολίταις, ὧν ὑπὲρ δέκα μυριάδας αἰχμαλώτων ἠλευθερώκαμεν ». κτλ. Ἐκ τούτων ἐνόμισαν οἱ περὶ τὸν Σαλιανὸν (γ), ὅτι μεθηρμηνεύθησαν αἱ γραφαὶ κατ᾽ ἀρχὰς τῆς βασιλείας τοῦ Φιλαδέλφου (ὡς τότε λυτρωθέντων τῶν αἰχμαλώτων). Ἀλλὰ ταῦτα τὰ ῥήματα οὐκ ἐμφαίνουσι τὸν βασιλέα λύσαντα τοὺς αἰχμαλώτους Ἰουδαίους εὐθὺς, ὡς παρέλαβε τὴν ἀρχὴν, ἁπλῶς δὲ μόνον δηλοῦσιν, ὅτι πάντοτε συνήθως πρός τε τοὺς Ἰουδαίους καὶ τοὺς ἄλλους ἅπαντας ἐχρῆτο πλείστῃ φιλαν-

---

(α) Διὰ τοῦτο καὶ ταύτης, Ὄδιε, τὰ ἔτη (σὺ δ᾽ ἐπελάθου) κατέγραψεν ὁ Ἰώσηπος· « Βασιλεύσαντος δὲ Ἀλεξάνδρου ἔτη δώδεκα, καὶ μετ᾽ αὐτὸν Πτολεμαίου τοῦ Σωτῆρος ἔτη τεσσαράκοντα, ἔπειτα » κτλ. (Ἀρχ. ΙΒ. β. §. 1). Τῆς δὲ Φιλαδέλφου βασιλείας τὰ ἔτη καὶ φιλοτιμότερον ἐσημείωσεν ὁ Ἰουδαῖος ἱστορικὸς, διὰ τὴν ἐπ᾽ αὐτοῦ γενομένην τῶν Γραφῶν ἑρμηνείαν, ἣν δι᾽ ὅλου τοῦ κεφαλαίου ἐξιστορεῖ. Μόνων τῶν μετὰ Φιλάδελφον βασιλευσάντων Πτολεμαίων (ὅσους ἐν τῇ σειρᾷ τῆς ἱστορίας ἀναφέρει) τὰ ἔτη οὐκ ἐμνημόνευσε. Τοῦτο δὲ παρετήρησε καὶ Champol. An. des Lagid. T. 1, p. 387. — Σημ. ἡμετ.

(β) « Philadelphus postea, regno Aegypti assumto, et annis 39 administrato, Legem in Graecam linquam tranferri curavit. » Hody, pag. 35.

(γ) Salian. Annal. an. 3775. καὶ Ricciol. Chron. t. 1.

θρωπίᾳ· μαρτυρεῖ δὲ καὶ Ἰώσηπος οὕτως ἀναγνούς· «Τὴν δ' ἀρχὴν ἐγὼ παραλαβὼν πᾶσι μὲν φιλανθρώπως ἐχρησάμην, μάλιστα δὲ τοῖς σοῖς πολίταις» κτλ.

§. ιδ΄. «Ἐξ ἁπάντων τοίνυν τῶν μέχρι τοῦδε ῥηθέντων ἐναργέστατα καταφαίνεται, ταύτην εἶναι τὴν γνώμην τοῦ Ἀριστέου. Ὅτι ἡ ἑρμηνεία τῶν Γραφῶν ἐγένετο πολλοὺς ὕστερον ἐνιαυτοὺς, ἀφ' οὗ ἐβασίλευσεν ὁ Φιλάδελφος· καὶ ὅμως αὐτὸς πάλιν ὁ Ἀριστέας ἱστόρησε καὶ Δημήτριον τὸν Φαληρέα κατ' ἐκεῖνον τὸν χρόνον ἐπιστατοῦντα τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης. Ἀλλὰ τῶν δύω τούτων τὸ ἕτερον πάντως ἐστὶ ψευδές· ὁ γὰρ Φαληρεὺς ἐτελεύτησε τὸν βίον εὐθὺς ἀρχομένης τῆς βασιλείας τοῦ Φιλαδέλφου. Καὶ ἐντεῦθεν ἄρα τρανῶς ἀποδείκνυται, ὅτι ὁ τῆς ἱστορίας συγγραφεὺς (ὁ λεγόμενος Ἀριστέας) οὔτε κατὰ τὴν πραγματείαν τῆς ἑρμηνείας παρῆν, οὔτε διέπρεψεν ὅλως εἰς τοῦ Φιλαδέλφου τὴν αὐλήν· ἡ δὲ ἱστορία πέπλασται ψευδῶς ὑπό τινος ἀπατεῶνος γόητος· «*ὅπερ ἔδει δεῖξαι*».

Ἀπαντῶμεν.

§. ιέ. Α) (§. α—ε). Τὸ ἔτος τῆς Φιλαδέλφου βασιλείας, καθ' ὃ γέγονεν ἡ ἑρμηνεία τῶν Γραφῶν, ὁ μὲν Ἀριστέας οὐ διώρισε ῥητῶς. Τὴν δὲ περὶ τούτου πιθανωτάτην γνώμην τῶν νεωτέρων προεγράψαμεν ἐν τοῖς προλαβοῦσι (κεφ. ς. §. α), δείξομεν δὲ τρανώτερον ἐφεξῆς (§. κγ). Ὅσον δὲ πορίζεται ἐκ τῆς τῶν Πτολεμαϊκῶν ἐτῶν ἀναγραφῆς, ὑπάρχει σαφὴς ἡ μεταξὺ τῆς Εὐσεβίου, καὶ τῆς Ἐπιφανίου χρονολογίας διαφορά. Ἀλλ' ὅτι μὲν ὁ ἱερὸς Ἐπιφάνιος (π. Μέτρ. τ. β. σελ. 168) ἀντέγραψε τῶν Πτολεμαϊκῶν βασιλέων τοὺς ἐνιαυτοὺς ἐκ τοῦ Εὐσεβίου, καί τινας αὐτῶν ψηφισμοὺς ἐξέδωκεν ἐσφαλμένως, οὐκ αὐτὸς ἴσως ὁ πατὴρ, ἀλλὰ μᾶλλον ἡ τῶν τυπογράφων, καὶ αὐτῶν δὲ τῶν ἀντιγραφέων ἀβλεψία (καθὼς ἐσφάλη καὶ ἐν ἄλλοις τοῦ πατρὸς χωρίοις, καὶ μάλιστα περὶ τοὺς ἀριθμούς), ἀπέδειξε λαμπρῶς ὁ σοφὸς Πεταύϊος. Ὁ δ' αὐτὸς συνάμα μετὰ Σκαλιγήρων καὶ Βαλτώνων καὶ Ὑσσερίων, καὶ τοσούτων ἄλλων ἐνδόξων ἀνδρῶν, κατέκρινε

δικαίως τὴν ἐν τῇ λατινικῇ μεταφράσει γραφὴν τοῦ 17 ἔτους (ἀντὶ τοῦ ἐν τῷ κειμένῳ μόνον *ἑβδόμου*), καὶ ταύτην τρανῶς ἀπεκήρυξεν ὡς ἁμάρτημα τοῦ παλαιοῦ Ῥωμαίου μεταφραστοῦ (α). Τὸ κείμενον τοῦ Ἐπιφανίου (καθὼς φέρεται καὶ εἰς ἡμᾶς) λέγει· « Ἀπὸ δὲ *τοῦ ἑβδόμου* ἔτους Πτολεμαίου τοῦ Φιλαδέλφου, ἐφ᾽ οὗ, *τῷ αὐτῷ ἔτει*, οἱ ΟΒ, ἡρμήνευσαν, μέχρι Κλεοπάτρας, 249 ». Ἐπειδὴ δὲ οὗτος ὁ ἀριθμὸς ἐλλείπει κατὰ μίαν δεκάδα πρὸς συμπλήρωσιν τοῦ παρ᾽ Ἐπιφανίῳ κεφαλαίου τῶν 306, ἐτῶν (ὅσα κατὰ τὴν Αἴγυπτον ἀπὸ τοῦ Α, Πτολεμαίου μέχρι τῆς ἐσχάτης Κλεοπάτρας ἐβασίλευσαν οἱ Λαγίδαι), ταύτην τὴν δεκάδα ἡ τοῦ Λατίνου μεταφραστοῦ ἀκρισία προσθετέαν ἔκρινεν εἰς αὐτὸ τὸ ἔτος τῆς ἑρμηνείας· ὅθεν ἀντὶ 7 ἔγραψε 17 ! Ἀλλ᾽ ἀντὶ προσθέσεως ὤφειλε μᾶλλον δι᾽ ἀφαιρέσεως θεραπεῦσαι τὴν διαφωνίαν, γράφων τὰ ἔτη τῆς Κλεοπάτρας 22, ἀντὶ τῶν 32 (ὡς ἔχει ἐσφαλμένως τὸ κείμενον τοῦ Ἐπιφανίου), καὶ συνάγων κεφάλαιον οὐχὶ 306 (ὡς ἔσφαλται πάλιν ἐν τῷ κειμένῳ), ἀλλὰ 296, ὡς ἔχει καὶ ὁ Εὐσέβιος ἐν τῷ Β, τῶν χρονικῶν. Συνεῖδον ταῦτα καὶ σεσημειώκασιν ἄλλοι τε τῶν νεωτέρων καὶ ὁ Πεταύϊος, ἐν τοῖς εἰς τὸν Ἐπιφάνιον ἐπιστασίαις (σελ. 381). Ἴσως δὲ καὶ (ὡς ἡμεῖς ὑπονοοῦμεν) οὐδὲ *ἑβδόμου* ἀλλὰ μᾶλλον *δευτέρου* ἔτους ἔγραψεν ὁ ἱερὸς Ἐπιφάνιος, παρακολουθῶν κἀν τούτῳ τὸν Εὐσέβιον, καὶ ψηφίζων οὕτως· « Ἀπὸ δὲ τοῦ *δευτέρου* ἔτους . . . . μέχρι Κλεοπάτρας, ἔτη 255 ». Ἂν γὰρ ἀφέλῃς ἀπὸ τοῦ 296, κεφαλαίου τὰ 40, ἔτη τῆς τοῦ Σωτῆρος βασιλείας, καὶ τὸ ἓν τῶν 38, τῆς βασιλείας τοῦ Φιλαδέλφου (ὡς καὶ Ἐπιφάνιος κατὰ τὸν Εὐσέβιον ἀναγράφει), μένουσι μέχρι τοῦ τελευταίου τῆς ἐσχάτης τῶν Λαγιδῶν Κλεοπάτρας ἔτη 255· Μαρτυρεῖ δέ πως τῇ τοιαύτῃ γραφῇ καὶ ἡ σιωπὴ τῶν ἀρχαίων, ὧν οὐδεὶς φαίνεται παρακολουθήσας τὸν καθ᾽ ἡμᾶς

(α) Βλ. Petav. Animadvers. in S. Epiphan. T. 2. p. 381—382. Colon. 1682. πρβλ. Scalig. Isagog. in prolog : — Serar. Proleg. 4. 17. 9 : — Walt. Prol. IX. 5. — Usser. Annal. An. 3727. — Vindication of the history of the Septuagint etc. p. 173. κτλ.

φερόμενον παρ᾽ Ἐπιφανίῳ διορισμὸν τοῦ χρόνου τῆς ἑρμηνείας τῶν Γραφῶν· οὐδὲ γὰρ ἀνέγνω τοῦτον ἐν τοῖς τότε σῳζομένοις ἀσφαλεστέροις ἀπογράφοις τοῦ πατρός. Ὅτι δὲ εἰσέῤῥευσαν πολλὰ περὶ τοὺς ἀριθμοὺς σφάλματα εἰς τὴν χρονολογίαν τῶν Λαγιδῶν οὐ μόνον παρ᾽ Ἐπιφανίῳ, ἀλλὰ καὶ παρὰ τῷ ἱερῷ Κλήμεντι (Στρωμ. α), καὶ παρὰ τῷ ῥωμαίῳ Τερτυλλιανῷ (κατὰ Ἰουδ. κεφ. 8), καὶ παρὰ τῷ Κεδρηνῷ, καὶ τῷ Μαλαλᾷ, κτλ., πρόδηλον τοῖς ἐντυγχάνουσι. Καὶ κατ᾽ αὐτὸ δὲ τὸ Α, τῶν Εὐσεβίου χρονικῶν (σελ. 123, ἐκδ. Μεδιολ.) τὰ ἔτη τινῶν Λαγιδῶν ἀριθμοῦνται μετά τινων ἐν μέρει προσθαφαιρέσεων, ἀσυμφώνων πρὸς τὴν ἐν τῷ Β, τῶν χρονικῶν ἀκριβεστάτην ἀναγραφήν. Ἐκ δὲ ταύτης, καὶ ἀπὸ τοῦ Κλήμεντος, καὶ ἄλλων, συνάγων καὶ ὁ καθ᾽ ἡμᾶς περικλεὴς Χαμπολλιὼν διώρισε τὴν ἐν Αἰγύπτῳ ἐπικράτειαν τῆς οἰκίας τῶν Λαγιδῶν ἐπὶ ἔτη 294, (τόμ. α. σελ. 190—198). Καὶ τὰ μὲν κατὰ τὴν Ἐπιφανίου χρονολογίαν τοιαῦτα.

Τὴν δὲ κατ᾽ Εὐσέβιον, ἀκριβέστερον περισωθεῖσαν, ἥ τε ἀρχαιότης τῶν ταύτῃ χρησαμένων περιφανῶς μαρτυρεῖ, συνομολογοῦσι δὲ καὶ τῶν νεωτέρων ἄνδρες ἐπισημότατοι (α) Καὶ ποίας μὲν καὶ πόσας προσκαληγηρείους ἐκδόσεις ἐξήτασεν Ὅδιος, ὅπως δὲ πάλιν ἔγραψαν Σαβελλικοὶ καὶ Πόντακοι καὶ Σεράριοι (βλ. σελ. 242), ἀδιαφοροῦμεν. Οἱ τοῦ Εὐσεβίου κώδηκες, ὅσους ἐμνημόνευσεν ὁ κριτικὸς ὡς διαφέροντας περὶ τὴν γραφὴν, πάντως καὶ βεβαίως οὐκ ἦσαν ἀρχαιότεροι τῶν οἷς παρηκολούθησεν ὅ, τε μακάριος Ἱερώνυμος ἐν τῇ ἑρμηνείᾳ τοῦ Β, τῶν χρονικῶν· καὶ αὐτὸ τὸ Ἀλεξανδρινὸν χρονικόν, καὶ αὐτὸς ὁ ὕστερον (τῷ 1059 μ. Χ.) ἀκμάσας Μαριανὸς ὁ Σκότος. Πάντες οὗτοι οἱ ἀρχαῖοι, καὶ ὅσοι δὲ τὴν ἑρμηνείαν ἀναφέρουσιν ἁπλῶς εἰς τὰς ἀρχὰς τῆς Φιλαδέλφου βασιλείας (ὡς ὁ Σύγκελλος, καὶ ἄλλοι), ἅπαντες ἀνέγνωσαν παρ᾽

(α) Βλ. J. Voss. Canon. Chronol. in Diss. de LXX. p. 222. — Petav. Animad. in S. Epiph. T. 2. p. 283 etc. Ὁ δὲ Βάλτων (Prol. IX. 5.) πρὸς τὸ παρ᾽ Ἐπιφανίῳ 7, ἔτος ἀπέκλινε μᾶλλον· καὶ ὁ Ἔκδικος πρὸς τὸ 9, ἔτος τῆς Φιλαδέλφου βασιλείας (βλ. ὄπισθ. σελ. 217), ἀμφότεροι (καθὼς νομίζομεν) ἐσφαλμένως·

Εὐσεβίῳ εἰς τὸ β, ἔτος βασιλεύσαντος τοῦ Φιλαδέλφου τεταγμένην τὴν ἑρμηνείαν. Ὡσαύτως καὶ Σκαλίγηρος ἐξέδωκεν. Ὁ δὲ σοφὸς Ὅδιος, ἄπορον, πῶς τὴν ὑπὸ τοῦ φίλου ταξιάρχου καὶ πρωτοςάτορος ἔκδοσιν τοῦ χρονικοῦ παριδών, ἔκρινε μᾶλλον ἀξιοπίςους ἄλλας τε παντοίας πλάνας, καὶ τοὺς λήρους τοὺς Ἀραβικούς! Ἀλλὰ περὶ τούτων ἀλλαχοῦ· ἓν δὲ μόνον ἤδη προστιθέμεθα, θαυμάζοντες τοῦ κριτικοῦ τὸ παράτολμον. Εἴπερ ὁ Εὐσέβιος ἠγνόει πόστον ἔτος τῆς Φιλαδέλφου βασιλείας ἡρμηνεύθησαν αἱ Γραφαί, διὰ τί διώρισε τὴν τούτων ἑρμηνείαν εὐθὺς καὶ ἀκριβῶς ἐπὶ τῆς ἀρχῆς; διὰ τί μὴ μᾶλλον περὶ τὰ μέσα τῆς βασιλείας, ἢ καὶ τὰ ἔσχατα, παραῤῥίψας ὁπουδήποτε τὸ συμβεβηκὸς ἀλλαχοῦ τῶν Φιλαδελφείων ἐνιαυτῶν; διὰ τί καὶ ὅλως οὐχ ὡμολόγησε τὴν ἄγνοιαν εἰλικρινῶς; Πῶς; ὁ πατὴρ τῆς ἐκκλησιαστικῆς χρονολογίας Εὐσέβιος ἠγνόει τὸ ἔτος, οὐδ᾽ εἶχε τοῦτο μαθεῖν οὐδαμόθεν ἄλλοθεν κατ᾽ ἐκείνους τοὺς καιρούς, κατενόησαν δὲ τοῦτο καὶ κατέμαθον οἱ περὶ τὸν Ὅδιον; (α). Ἀλλὰ πρὸς μὲν τὰς τοιαύτας θρασυςομίας εὔςομα κείσθω. Ἐκεῖνο δὲ μάλιστα σημειωτέον (ὅ διέφυγε τοὺς περὶ τὸν Ὅδιον). Ὅτι ὁ Εὐσέβιος, ἀναγράψας τὴν Φιλαδέλφου βασιλείαν ἐτῶν 38, εἰς τούτων τὸ β, ἔταξε τὴν ἑρμηνείαν τῶν Γραφῶν. Τοῦτο δὲ φαίνεταί πως ἐναντίον πρὸς τοὺς τάττοντας αὐτὴν ἐπὶ τῆς διετίας τῆς μετὰ τοῦ πατρὸς συμβασιλείας τοῦ Φιλαδέλφου (βλ. ὄπισθ. σελ. 125). Ἀλλ᾽ ἡ ἐναντιοφάνεια θεραπεύεται, ὅταν ἐνθυ-

---

(α) Οὐχ Ὅδιος πρῶτος (ῥητέον γὰρ καὶ τοῦτο, ἵνα μὴ ἀδικῶμεν τὸν ἄνδρα), ἀλλ' αὐτὸς ὁ Σκαλίγηρος ἐξεῦρε καὶ ταύτην τὴν κατ' Εὐσεβίου ἐπαρίστερον καὶ πυῤῥωνικὴν ἐπίνοιαν (ἣν καὶ Ὅδιος ἀνεμάσησε, μὴ μνημονεύσας τὸν διδάσκαλον). Ἐν γὰρ ταῖς εἰς τὸ Χρονικὸν ἐπιστασίαις ἐσημείωσεν ὁ Σκαλίγηρος, ὅτι « ἐξ εἰκασίας ὁ Εὐσέβιος ἀνέφερε τὴν ἑρμηνείαν εἰς τῆς Φιλαδελφείου βασιλείας τὰς ἀρχάς. — Εἴθισται δὲ (λέγει) τοῦτο παρ' Εὐσεβίῳ τε καὶ Ἱερωνύμῳ » (ὡς ἂν εἰ ὁ Ἱερώνυμος ἐχρονολόγει ἀφ' ἑαυτοῦ, μηδ' ἀντέγραφε καὶ μετέφραζε τὰ τοῦ Εὐσεβίου!)· « ἡντιναδήποτε (λέγει) πρᾶξιν, ἧς ὁ χρόνος οὐ διώρισται παρὰ τοῖς συγγραφεῦσιν ἀκριβῶς, ταύτην ἀναγράφουσιν εἰς τὰς ἀρχὰς τῆς βασιλείας ἐκείνου, πρὸς ὃν ἡ πρᾶξις ἀπονέμεται! κτλ. (Animadv. ad Chronic. p. 135). Ἀλλὰ τοὺς τοιούτους ἐθισμοὺς τοῦ Εὐσεβίου, μόνος αὐτὸς ἐπίσταται πάλιν ὁ δεινὸς ἀπεικαστὴς Σκαλίγηρος, μίαν καὶ μόνην ἐν τούτοις φέρων ἀναντίῤῥητον δεῖξιν, τὴν « αὐτὸς ἔφα »!

μηθῶμεν, ὅτι ὁ Εὐσέβιος ὁρίσας τὴν τοῦ Σωτῆρος βασιλείαν εἰς ἔτη 40, κατὰ τὸν Πορφύριον, συμπεριέλαβεν ἐν αὐτῇ καὶ τὴν διετίαν, ὡς καὶ ὁ Πορφύριος ὥρισε ῥητῶς (βλ. ὄπισθ. σελ. 138). Ἐπειδὴ δὲ τῆς ἑρμηνείας τελεσιουργὸν ἔκρινε τὸν Φιλάδελφον ὁ Εὐσέβιος, τῆς δὲ διετίας τὸν χρόνον οὐ διεῖλεν εἰς στήλην ἰδίαν (ὡς ἀσύνηθες ὂν εἰς τὴν παρ᾽ αὐτῷ μέθοδον τῆς τῶν χρονικῶν πινάκων ἀναγραφῆς), ἔταξε τὴν ἑρμηνείαν εὐθὺς εἰς τὴν πρώτην διετίαν τῆς ἰδίας βασιλείας τοῦ Φιλαδέλφου, παριδὼν τὸν μικρὸν μεταχρονισμόν (α).

Ἀλλὰ, τέλος, μετὰ τοσαύτας δείξεις τῆς ἀληθείας, ἔστω, καὶ δῶμεν τοῖς περὶ τὸν Ὄδιον (πρὸς ὥραν καὶ δωρεὰν), ὅτι κατὰ τὸ ζ, ἔτος βασιλεύοντος τοῦ Φιλαδέλφου μετεφράσθησαν αἱ Γραφαί· ἀλλ᾽ οὐδ᾽ ἐκ τῆς ἀσυστάτου ταύτης ὑποθέσεως κερδανοῦσιν οἱ ἄνδρες οὐδὲ τρίχα πρὸς τὸν σκοπόν. Αὐτοὶ σπουδάζουσιν ἀποδεῖξαι ψεύστην τὸν Ἀριστέα, ὡς ἐκ τοῦ Δημητρίου τοῦ Φαληρέως, ὃν ὁ μὲν ἱστορικὸς εἰσάγει περὶ τὴν ἑρμηνείαν ἐπιστατοῦντα, αὐτοὶ δὲ τοῦτον ἀποκτείνουσιν εὐθὺς τὸ α, ἔτος τῆς Φιλαδέλφου βασιλείας, φυλακίζοντες εἰς τὴν ἐξορίαν κατὰ τὸν Ἕρμιππον (ὡς λέγουσιν). Ἀλλ᾽ ὁ Ἕρμιππος οὗτος (ὡς ἴδομεν) οὐδὲν ἔχει κοινὸν πρὸς τὸν Ἀριστέα· ἀλλ᾽ οὐδὲ διώρισεν, οὔτε πότε ἐξωρίσθη, οὔτε πότ᾽ ἀπέθανεν, οὐδὲ ὅλως εἰ ἀπέθανεν ἐξόριστος καὶ μισούμενος ὑπὸ τοῦ βασιλέως ὁ Φαληρεύς· ἀλλ᾽ οὐδ᾽ ἄλλος τις τῶν ἀρχαίων ἱστόρησε τὸν χρόνον τῆς τοῦ Φαληρέως τελευτῆς. Ὥστε, κἂν ἡ ἑρμηνεία κατὰ τὸ ζ, ἔτος τῆς Φιλαδέλφου βασιλείας τεθῇ, πάλιν ὁ Φαληρεὺς ἠδύνατο συμπαρεῖναι καὶ συνεργεῖν, διαλλαγεὶς πρὸς τὸν Φιλάδελφον, καὶ μέχρι τοῦ ζ, ἔτους τῆς αὐτοῦ βασιλείας, ἢ καὶ ἐπέκεινα ἐπιζήσας. Ἂν γὰρ ὑποτεθῇ 45, ἔτος ἄγων, ἢ καὶ 48 (τὸ πλεῖστον) ὅτε ἦλθεν εἰς Ἀλεξάνδρειαν, διέτριψε δὲ παρὰ ζῶντι τῷ Λαγίδῃ καὶ ἔτη 14, κατὰ τὴν ἑπταετίαν ἄρα τῆς Φιλαδέλ-

---

(α) Βλ. Σκαλιγ. ἔκδ. Εὐσεβ. Χρον. σελ. 140: πρβλ. 177, καὶ 181: καὶ ἔκδ. Μεδιολ. σελ. 347. 350.

φου βασιλείας ἦγεν ἔτος 66, ἢ 69, ὑγιαίνων (κἂν Ὅδιος μὴ θέλῃ), καὶ μάλα δυνάμενος καὶ τότε περὶ τὴν βιβλιοθήκην ἐπιστατεῖν. Ἀλλὰ ταῦτα μὲν ὑπερεκπερισσοῦ. Ἡμεῖς δὲ οὐδ' ἐνταῦθα παραλείψομεν ἀμνημόνευτον τὸν εὐκλεέστατον Χαμπολλιῶνα, ὅστις ἐν τῷ φιλοπόνως ὑπ' αὐτοῦ συνταχθέντι, καὶ δημοσίᾳ στεφανωθέντι συγγράμματι, *τοῖς Χρονικοῖς τῶν Λαγιδῶν* (τόμ. β. σελ. 20—22), ὥρμησε μὲν εἰς τὸ ζ, ἔτος τῆς Φιλαδέλφου βασιλείας ἀναγράψαι τὴν ἑρμηνείαν τῶν Γραφῶν, ἀνέφερε δὲ καί τινος Σαμαρείτου χρονικὸν, ἐν ᾧ τίθεται δῆθεν ἐκ τοῦ Σαμαρειτικοῦ γενομένη ἡ ἑρμηνεία τῷ 10, ἔτει τοῦ Φιλαδέλφου, ἀλλ' ὅμως ἑτέρωθεν πάλιν, μνημονεύσας εὐφήμως τὸν Ἀριστέα καὶ τὸν Ἰώσηπον, ἱστοροῦντας τὴν ἑρμηνείαν γενομένην ἐπιστασίᾳ Δημητρίου τοῦ Φαληρέως, ἀπέκλινε μᾶλλον καὶ αὐτὸς πρὸς τοὺς τιθέντας αὐτὴν ἐπὶ τῆς μετὰ τοῦ πατρὸς συμβασιλείας τοῦ Φιλαδέλφου, τῷ 283—282. π. Χ.

§. ις. Β) Ἐρχόμεθα καὶ πρὸς τὰς ῥήσεις τῶν συγγραφέων, ὅσας ἐμνημόνευσαν οἱ περὶ τὸν Ὅδιον εἰς ἀπόδειξιν, ὅτι ὀψέποτε τῆς βασιλείας κατεσκεύασεν ὁ Φιλάδελφος τὴν βιβλιοθήκην. Ἀλλὰ καὶ τούτων τῶν μαρτυριῶν οὐδεμίαν (πρᾶγμα παράδοξον!), οὐδεμίαν μετεχειρίσθησαν οἱ ἄνδρες ἀραρότως καὶ προσφυῶς πρὸς τὸν σκοπόν. Ἄλλο λέγουσιν αἱ ῥήσεις, ἄλλο δὲ ταύτας λέγειν ἀναγκάζουσιν αὐτοὶ, παρασπῶντες, περικόπτοντες, παρεξηγοῦντες, παρόμοια ποιοῦντες κατὰ τοὺς ὀργίλους γραμματοδιδασκάλους ἐκείνους, ὅσοι βασανίζουσι τὰ παιδία, ἀνατείνοντες αὐτῶν τὰ ὦτα, καὶ ῥαπίζοντες, ἕως ἂν ἐκφέρωσι τραυλίζοντα καὶ κλαίοντα τὴν ἣν αὐτοὶ διδάσκουσι δυσπρόφορον φωνήν. Αὐτίκα πρῶτος ὁ Στράβων, ὃν εἰσάγουσιν εἰς ἀπόδειξιν (§. ς), οὐδὲν αὐτοῖς οἷον λέγουσι μαρτυρεῖ. Ἰδοὺ τοῦ Γεωγράφου αἱ λέξεις αὐταί. « Τοῦτο δὲ » (ὅτι « πληροῦται ὁ Νεῖλος ὑπὸ ὄμβρων θερινῶν· παυσαμένων δὲ τῶν ὄμβρων, παύεται καὶ ἡ πλημμυρίς ») « ὑπῆρξε μάλιστα δῆλον τοῖς πλέουσι τὸν Ἀράβιον κόλπον μέχρι τῆς Κινναμωμοφόρου, καὶ τοῖς ἐκπεμπομένοις ἐπὶ τὴν τῶν ἐλεφάντων θήραν, καὶ εἴ τινες ἄλλαι χρεῖαι παρώξυναν ἐκεῖσε ἄνδρας προχειρίζεσθαι τοὺς

τῆς Αἰγύπτου βασιλέας τοὺς Πτολεμαϊκούς. *Οὗτοι γὰρ ἐφρόντισαν τῶν τοιούτων· διαφερόντως δ' ὁ Φιλάδελφος ἐπικληθεὶς, φιλιστορῶν, καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος διαγωγὰς ἀεί τινας καὶ τέρψεις ζητῶν καινοτέρας*. Οἱ πάλαι δὲ βασιλεῖς οὐ πάνυ ἐφρόντισαν τῶν τοιούτων· καίπερ οἰκεῖοι σοφίας γεγονότες καὶ αὐτοὶ, καὶ οἱ ἱερεῖς, μεθ' ὧν ἦν αὐτοῖς ὁ πλείων βίος » κτλ. (Στράβ. ιζ, 789). Ἐν τούτοις βλέπεις ἀναγνῶστα τὸν Γεωγράφον, ὅτι διαλέγεται σαφῶς περὶ τῶν αἰτιῶν τῆς τοῦ Νείλου πλημμύρας, προστιθεὶς καὶ ὅτι περὶ τὴν ἔρευναν *τῶν τοιούτων* φυσικῶν φαινομένων ἐφρόντισε διαφερόντως τῶν ἄλλων Πτολεμαίων ὁ Φιλάδελφος, ὅστις καὶ εἰς θήραν ἐλεφάντων καὶ ἄλλων ἀλκιμωτάτων θηρίων ἄνδρας ἐξέπεμπεν (α). Ἐφρόντιζε δὲ περὶ *τὰ τοιαῦτα* φύσει τε φιλιστορῶν (ἱστορεῖν δηλονότι καὶ μανθάνειν τὰς αἰτίας ἐπιθυμῶν), καὶ διὰ τὸ φιλάσθενον τοῦ σώματος ἀεί τινας καινοτέρας τέρψεις ἐπιζητῶν (τὰς ἐκ τῆς ἡδίστης δηλαδὴ καὶ τερψινόου παρατηρήσεως τῶν τοιούτων). Ποῦ λοιπὸν, ὢ πρὸς τῆς ἀληθειας! ποῦ *τὰ ἔργα τὰ μεγάλα καὶ πελώρια τοῦ* νοσεροῦ

(α) « Ὁ γὰρ δεύτερος Πτολεμαῖος περί τε τὴν ἐλεφάντων θήραν φιλοτιμηθεὶς, καὶ τοῖς τὰς παραδόξους θήρας τῶν ἀλκιμωτάτων ζώων ποιουμένοις μεγάλας ἀπονέμων δωρεὰς, πολλὰ δὲ πάνυ χρήματα δαπανήσας εἰς ταύτην τὴν ἐπιθυμίαν, ἐλέφαντάς τε συχνοὺς πολεμιστὰς περιεποιήσατο, καὶ τῶν ἄλλων ζώων ἀθεωρήτους καὶ παραδόξους φύσεις ἐποίησεν εἰς γνῶσιν ἐλθεῖν τοῖς Ἕλλησι » κτλ. Διόδ. γ. §. 36. σελ. 202. Wessel. ὅπου ὁ σοφὸς ἐκδότης παραβάλλει καὶ τὸ ἀνωτέρω τοῦ Στράβωνος χωρίον (τὸ « οὗτοι γάρ..., διαφερόντως δὲ ὁ Φιλάδελφος, κτλ.) ἐπεξηγῶν οὑτωσί « Insigne ejus (Philadelphi) in vestigandis naturae miraculis studium fuit: imbecillo enim corpore cum esset, semper novae alicujus oblectationis materiam querebat ». Ὅτι δὲ πρῶτος ὁ Φιλάδελφος οὐ μόνον ἐλεφάντων συνεστήσατο θήραν, ἀλλὰ καὶ ἄλλων ὁμοιοτρόπων, μαρτυρεῖ καὶ Ἀγαθαρχίδης (περὶ τῆς Ἐρυθρᾶς θαλάσσης, Ἐκλογ. λόγ. Α. πρβλ. καὶ Αἰλιαν. Ζ. ἱστορ. γ. 34). Ὅθεν ἀπ' αὐτοῦ καὶ Πτολεμαῒς, πόλις ἐν Ἀραβίᾳ, πρὸς τῇ θήρᾳ τῶν ἐλεφάντων κτισθεῖσα, καὶ ἄλλη πάλιν ἐπὶ τούτῳ Φιλωτέρα, « ἀπὸ τῆς ἀδελφῆς (αὐτοῦ) τοῦ δευτέρου Πτολεμαίου προσαγορευθεῖσα » (Στράβ. ις σελ. 769—770). πρβλ. καὶ Demag. l. c. p. 383, καὶ F. S. Schmidt. Opuscula quib. res Aegypt. explan. p. 216 (Carolsruhae 1765)· ὅστις καὶ διὰ ταῦτα τὰ φροντίσματα τὸν Φιλάδελφον ἐπαινεῖ, ὡς βασιλέα πολιτικώτατον, ἀφορῶντα πρὸς μέγιστον ὄφελος τοῦ κοινοῦ, καὶ κλέος τῆς βασιλείας.

Φιλαδέλφου (ἐν οἷς συνυπονοεῖται καὶ ἡ κατασκευὴ τῆς βιβλιοθήκης), ἅπερ ἔμαθον οἱ περὶ τὸν Ὅδιον ἐκ τούτου δὴ τοῦ χωρίου τοῦ Στράβωνος; (βλ. ὄπισθ. σελ. 244). Καὶ πῶς αὐτὸν εἰσάγουσι δημοσίως ἐπὶ ψεύδεσι μαρτυροῦντα; τοῦτο πάλιν αὐτοὶ γνωρίζουσιν. Ἕκαστος δέ τις τῶν εὐγνωμόνων ἀθυμεῖ (νομίζω), καὶ σκυθρωπάζει διενθυμούμενος, πόσους ἀναγνώστας ἐξηπάτησεν ἡ τοιαύτη χρῆσις τῶν παρ᾽ Ὀδίῳ μαρτυριῶν, πιστεύσαντας ἀταλαιπώρως ὡς ἀληθινὰ καὶ βέβαια τὰ δῆθεν ὡς ἐκ τοῦ Στράβωνος, ἢ καὶ ἄλλων συγγραφέων ἐνδόξων προβαλλόμενα. — Πάλιν, λέγει μὲν ὁ Φύλαρχος περὶ τῆς *ἀκαίρου* (δηλαδὴ τῆς *ἀμέτρου*) τρυφῆς τοῦ Φιλαδέλφου· προςτίθησι δὲ καὶ ὅτι *ἐνόσησεν ὑπὸ ποδάγρας ἐπὶ πλείους ἡμέρας*· ἀλλ᾽ οὔτε καὶ ὑπὸ γήρως αὐτὸν συγχρόνως τρυχόμενον ἱστορεῖ, οὔτε ὅτι τότε πρῶτον τοιαῦτα πάσχων ἐδόθη περὶ τὴν σπουδὴν καὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης, ὡς Ὅδιος εἰκοτολογεῖ, συνεπαγόμενος καὶ μάρτυρα βαρὺν (τὸν παρ᾽ αὐτῷ κριτικώτατον Βίβην! σελ. 245). Ἀλλὰ τί λέγει ὁ Φύλαρχος παρ᾽ Ἀθηναίῳ (ΙΒ. 536); ἄκουσον ἀναγνῶστα· « Πτολεμαῖον, φησὶ, τὸν Β, Αἰγύπτου βασιλεύσαντα, πάντων σεμνότατον γενόμενον τῶν δυναστῶν, καὶ παιδείας, εἴ τινα καὶ ἄλλον, καὶ αὐτὸν ἐπιμεληθέντα, *οὕτως ἐξαπατηθῆναι ΤΗΝ ΔΙΑΝΟΙΑΝ καὶ διφθαρῆναι* ὑπὸ τῆς *ἀκαίρου τρυφῆς*, *ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι*, καὶ λέγειν, *ὅτι μόνος εὕροι τὴν ἀθανασίαν*. Κατατεινόμενος οὖν ὑπὸ ποδάγρας ἐπὶ πλείους ἡμέρας, *ὥς ποτ᾽ οὖν ἐρράϊσε*, καὶ κατεῖδε διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους — εἶπεν, ὦ τάλας ἐγὼ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι ». Ταῦτα λέγει ὁ Φύλαρχος. Ὁ δὲ κριτικὸς, ἀποκόψας ἐκ τῆς ῥήσεως τὸ πρῶτον κῶλον, τὸ *ἐξαπατηθῆναι τὴν διάνοιαν* (ὅπερ ὅμως ἀλλαχοῦ καὶ αὐτὸς προσέθηκε, δι᾽ ἄλλην αἰτίαν πάλιν τῆς ῥήσεως μνημονεύσας· βλ. ἐφεξῆς Κεφ. κα. §. γ.), ἔγραψε μόνον τὸ *διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς* (τοῦτο δὲ φανερὸν, ὅτι σημαίνει ψυχικὴν διαφθορὰν, προσγενομένην ἐκ τῆς ἀμέτρου, καὶ διὰ τὴν βασιλικὴν ἐξουσίαν ἀπολύτου τρυφῆς καὶ ἀπο-

λαύσεως τῶν ἐπιθυμιῶν, ὑφ' ἧς ὁ Φιλάδελφος *ἠπατήθη καὶ διεφθάρη τὴν διάνοιαν*, φαντασθεὶς ἐπὶ τοσοῦτον, ὥστε καὶ εἰς οἴησιν ἀθανασίας ἐμπεσεῖν. Πρὸς δὲ τὸ σωματικὸν *νόσημα τῆς ποδάγρας*, ὅπερ ὁ ἱστορικὸς προσέθηκεν ὡς ἀφορμὴν τῆς ἀνανήψεως καὶ συμφρονήσεως τοῦ Φιλαδέλφου, οὐδὲν ἔχει κοινὸν τὸ διαφθαρῆναι ὑπὸ τῆς *ἀκαίρου τρυφῆς*). Ὁ δ' οὖν κριτικὸς, ἀποσπάσας τὸ κῶλον ἀπὸ τῆς συμφράσεως καὶ τῆς γνησίας σημασίας, μεθήρμοσεν ἐπὶ τὴν σωματικὴν ἀσθένειαν καὶ νοσοτροφίαν τοῦ τάχα δι' αὐτὴν βιβλιοθηκιῶντος Φιλαδέλφου! Καλὰ ταῦτα; καὶ πρέποντα εἰς ἀληθείας ἐραστήν; (α). Ὅτι δὲ καὶ τὸν Φύλαρχον αὐτὸν, οὗτινος ἤδη χρᾶται τῇ μαρτυρίᾳ, ψεύστην πάλιν τὸν αὐτὸν, καὶ διὰ τὴν αὐτὴν μαρτυρίαν, ἐξήλεγξεν ὡς ἐκ τοῦ Πλουτάρχου, ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ (Κεφ. κγ. §. γ).

§. ιζ'. Ποῖα δὲ καὶ τὰ τοῦ Αἰλιανοῦ; *Πολλῶν παραδείγματα (multorum exempla)*, πρότερον μὲν ἀμούσων, ἔπειτα δὲ διὰ νόσον ἐκπαιδευθέντων, ἱστοροῦντα τάχα τὸν Αἰλιανὸν εἰσήγαγεν ὁ Ὅδιος! Ἀλλ' ἕνα καὶ μόνον τοιοῦτον ὁ Αἰλιανὸς ἱστορεῖ, τὸν Ἱέρωνα, τύραννον τῆς Σικελίας, « τὰ πρῶτα μὲν ἰδιώτην, καὶ ἀνθρώπων ἀμουσότατον, καὶ τὴν ἀγροικίαν ἀλλὰ μηδὲ κατ' ὀλίγον διαφέροντα τοῦ Γέλωνος· ἐπεὶ δὲ αὐτῷ συνηνέχθη νοσῆσαι, μουσικώτατος ἀνθρώπων

(α) Ὁ περικλεέστατος Βεντλήιος ἐπήνεσε τὸν Ὅδιον διὰ τὴν κατ' Ἀριστέου συγγραφὴν, « ὡς πάντων μάλιστα σοφώτατα καὶ πληρέστατα κατεξελέγξαντα τὸ ψεῦδος τῆς ὑποβολιμαίας ἱστορίας τοῦ Ἀριστέου· διὸ (λέγει) καὶ μεγάλας ποτὲ χάριτας ὀφλήσει πρὸς αὐτὸν ἡ ἐκκλησιαστικὴ ἱστορία ». Ἀλλ' ἆρά γε παρετήρησεν ὁ σοφὸς ἀνὴρ καὶ τὰ τοιαῦτα Ὀδιακὰ παίγνια; καὶ ταῦτα ἐνέκρινεν, ὡς ὀρθὰ καὶ ἀστραβῆ καὶ τῆς ἐκκλησιαστικῆς ἱστορίας φωτιστικά; ἢ παρεῖδε τά γε τοιαῦτα, χαριζόμενος καὶ στεφανῶν τὸν φίλον καὶ συμπολίτην, διότι καὶ οὗτος μετὰ ζήλου κατεξανέστη κατὰ τῆς ἱερᾶς ἀρχαιότητος, ὡς καὶ αὐτὸς ὁ ἐνδοξότατος φιλολόγος; Καθότι καὶ αὐτὸς ἐπίσης τολμηρῶς (εἰ καὶ μετὰ πλείονος πολυμαθείας) ἐπεχείρησεν ἐξ εἰκότων καὶ σημείων νοθίσαι τοὺς παρὰ τοῖς ἀρχαίοις πατράσιν (Ἰουστίνῳ καὶ Κλήμεντι καὶ Ἀθηναγόρᾳ) φερομένους στίχους τοῦ Σοφοκλέους, προστιθεὶς, ὅτι καὶ αὐτὸ τὸ παρ' Ἰωσήπῳ καὶ ἄλλοις μνημονευόμενον βιβλίον Ἑκαταίου τοῦ Ἀβδηρίτου ψευδεπίγραφόν ἐστι πλάσμα Ἰουδαίου τινος Ἑλληνιστοῦ! (Bentleij Epist. ad Millium. in addendis). Ἀλλὰ περὶ τούτου λέγομεν ἐν τοῖς ἐφεξῆς.

ἐγένετο, τὴν σχολὴν τὴν ἐκ τῆς ἀῤῥωστίας εἰς ἀκούσματα πεπαιδευμένα καταθέμενος» κτλ. Εἰς δὲ τὸν ἐφεξῆς παράγραφον ἀμέσως μετὰ τὸν Ἱέρωνα προστίθησιν ὁ Αἰλιανὸς καὶ τὰ περὶ τοῦ Φιλαδέλφου· «Μουσικώτατον δὲ λέγουσι καὶ Πτολεμαῖον γενέσθαι τὸν δεύτερον, καὶ αὐτὸν νοσήσαντα» (Ποικ. ἱστ. Δ. 15). Τοσαῦτα περὶ τούτου μόνον εἶπε κατὰ λέξιν ὁ ἱστορικὸς, καὶ οὔτ' *ἀνθρώπων ἀμουσότατον* (κατὰ τὸν Ἱέρωνα), καὶ παντάπασιν ἰδιώτην καὶ ἀγροῖκον πρὸ τῆς νόσου διέγραψε τὸν Φιλάδελφον, οὔτε διαρκῶς νοσερὸν καὶ φιλάῤῥωστον διάγοντα βίον *ὑπὸ τῆς ἀκαίρου τρυφῆς!* (καὶ ἔπασχε μὲν ὑπὸ ποδάγρας, κατὰ τὸν Φύλαρχον, ἣν ἴσως καὶ ὁ Στράβων εἶπεν *ἀσθένειαν τοῦ σώματος*, ὡς νόσον οἰκουρὸν καὶ ἐμφιλοχωροῦσαν, ἀλλ' ὅμως καὶ *ἐῤῥάϊζε* πάλιν καὶ ἀνελάμβανε, κατὰ τὸ σύνηθες τῶν ποδαγρικῶν). Ὅθεν τοῦτον ὁ Αἰλιανὸς ἁπλῶς καὶ ἀορίστως εἶπε *νοσήσαντα* (νοῶν ἴσως τὸ τοῦ Φυλάρχου, «*ἐνόσησεν ἐπὶ πολλὰς ἡμέρας*». βλ. ἀνωτ. §. ις). Ἐκ δὲ τούτου (λέγει) καὶ *μουσικώτατος* ἀπέβη (μουσικὸς δηλαδὴ καὶ πρότερον ὤν), καθότι προσεπηύξανε τὰς γνώσεις, φιλοσοφῶν, καὶ *καινοτέρας* (ὡς εἶπεν ὁ Στράβων) εὐφροσύνας καὶ θυμηδίας (ἀπό τινων νεοφανῶν θεωρημάτων) φιλοτίμως ἐπιζητῶν, ὁ καὶ ἄλλως πολυγράμματος καὶ μεμουσωμένος Φιλάδελφος. Ταῦτα λέγει καὶ νοεῖ (νομίζομεν) ὁ Ῥωμαῖος Ἱστορικός. Προστίθησι δὲ ἐκ τοῦ Πλάτωνος καὶ τὸν Θεάγην, οὐκ ἀγροῖκον (κατὰ τὸν Ἱέρωνα), ἀλλὰ πολιτικὸν ἄνδρα, ὅστις ἐφιλοσόφησε διὰ νοσοτροφίαν· «εἴργουσα γὰρ αὐτὸν ἐκείνη τῶν πολιτικῶν, συνήλασεν εἰς τὸν τῆς σοφίας ἔρωτα» (ὡς εἴθε, λέγει, ἐνόσησε καὶ Ἀλκιβιάδης, καὶ Κριτίας καὶ ἄλλοι, ἵνα μὴ, ἀποδράντες Σωκράτους, ὑβρισταὶ γένωνται καὶ φονικοί»). Ὁ δὲ σοφὸς Ὅδιος συνεπέρανεν ἴσως καὶ ἀπὸ τούτων πλῆθος ἀπαιδεύτων, καὶ ἀγραμμάτων, διὰ νόσον ἐκπαιδευθέντων! ἐν δὲ τούτοις φέρων ἔστησε καὶ τὸν Φιλάδελφον, ἀγροικίας θρέμμα πρὸ τῆς νόσου παχὺ παριστῶν ἡμῖν τὸν μουσοτραφῆ βασιλέα, ἴσως καὶ αὐτοῦ τοῦ ἀγραμμάτου Γέλωνος ἀμουσότερον!

Ἀλλ' ἡμεῖς τὴν περὶ τοῦ Φιλαδέλφου τοσοῦτον ἄδικον κρίσιν

πρὸς αὐτὸν πάλιν τὸν Ὅδιον ἐκκαλοῦμεν. Ἠπίστατο γὰρ πάντως ὁ πολύϊδρις ἀνὴρ, καὶ ὡμολόγησεν ἀλλαχοῦ (βλ. ἐφεξ. κεφ. ια, §. ζ) πολυγράμματον (literatum) γενόμενον καὶ σπουδαῖον τὸν Φιλαδέλφου πατέρα. Πολὺ δὲ πρὸ τοῦ Ὀδίου καὶ ἄλλος ἐμαρτύρησεν, ὅτι « Ὁ τοῦ Λάγου Πτολεμαῖος, καίτοι πολεμιστὴς γενόμενος ἑτοιμότατος, ἀλλ' ὅμως ἀπὸ τῶν εἰρηνικῶν τεχνῶν μᾶλλον, ἢ ἀπὸ τῆς στρατείας, μεγαλειότερος ἀπέβη καὶ εὐκλεέστερος » (α). Ὅθεν καὶ τὸν λόγον ἐξήσκει, συγγράφων ἄλλα τε καὶ *ἱστορίαν Ἀλεξάνδρου* (Πλούτ. Ἀλεξ. §. μς, ἐξ ἧς συνέταξε τὴν ἑαυτοῦ καὶ Ἀῤῥιανὸς, ὡς ὁμολογεῖ ἐν τῷ Προοιμίῳ)· καὶ *τεῦχος δὲ τῶν αὐτοῦ Ἐπιστολῶν* ἐξεδόθη (Λουκιαν. π. τ. ἐν προσαγ. πταίσμ.). Ἀλλὰ καὶ τοὺς ἐπισημοτάτους ἐπὶ σοφίᾳ ἐτίμα, καὶ μετεκαλεῖτο, καὶ συνῆν μετὰ τούτων, ὡς φιλόλογος καὶ φιλομαθὴς, καὶ πολλοὺς εἶχε τῶν φιλοσόφων κατακοσμοῦντας τὴν περιφανῆ καὶ φιλόμουσον αὐλήν (β). Διὸ καὶ τοὺς παῖδας, καὶ μάλιστα τὸν φίλτατον Φιλάδελφον, ἐξεπαίδευσε· παρέδωκε δ' ἡμῖν ἡ ἱστορία καὶ αὐτὰ τὰ ὀνόματα τῶν διδασκάλων τοῦ Φιλαδέλφου· « Ζηνόδοτος ἐφέσιος ἐποποιὸς καὶ γραμματικὸς, μαθητὴς τοῦ Φιλητᾶ *ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου*· ὃς καὶ πρῶτος Ὁμήρου διορθωτὴς ἐγένετο καὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προὔστη, καὶ *τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσε* » (Σουΐδ. λ. Ζηνόδοτ.). Καὶ Στράτων ὁ Λαμψακηνὸς φιλόσοφος (μαθητὴς καὶ μετὰ ταῦτα διάδοχος τοῦ Θεοφράστου), ἀνὴρ ἐλλογιμώτατος καὶ φυσικὸς ἐπικληθεὶς καὶ διαπρέψας ἐν παντὶ λόγων εἴδει, — *καθηγήσατο Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ ἔλαβε παρ' αὐτοῦ τάλαντα ὀγδοήκοντα* (Λαέρτ. Ε, γ.

(α) Ptolemaeus Lagus — qui promptissimus licet bellator esset, pacis tamen artibus quam militiae major fuit et clarior ». Curt. Hist. M. Alex. L. IX. c. 18.

(β) Οἷον Ἀρίστιππον τὸν Κυρηναῖον, Στράτωνα τὸν Λαμψακηνὸν, Μενέδημον τὸν Ἐρετριέα, Διόδωρον τὸν Κρόνον, Θεόδωρον, κτλ. Καὶ Στίλπωνα δὲ τὸν Μεγαρέα προσεκαλέσατο, καὶ Θεόφραστον (βλ. Λαέρτ. Β. η. §. 16 : ια. §. 1 : ιβ. §. 1: ιη. §. 16 : Ε, β. §. 5 κτλ.). πρβλ. καὶ Heynij Opuscul. academ. vol. 1. p. 89. Gotting. 1785.

§. 1—4 : καὶ §. 8. καὶ Σουΐδ.). Καὶ αὐτὸς ὁ Φιλητᾶς ὁ Κῷος (διὸ καὶ συμπολίτης τοῦ ἐν Κῷ γεννηθέντος Φιλαδέλφου) ἔνδοξος ἀνὴρ γραμματικὸς, καὶ « *ἅμα ποιητὴς καὶ κριτικὸς* » (Στράβ. ιδ, 652) « *ἐγένετο καὶ αὐτὸς διδάσκαλος Πτολεμαίου καὶ Φιλαδέλφου* » (α). Ὅτι δὲ οὗτοι παῖδα τὸν Φιλάδελφον ἔτι καὶ μειράκιον ἐξεπαίδευσαν, φανερόν· διότι καὶ κατὰ τὴν αὐλὴν ἔτι βασιλεύοντος τοῦ πατρὸς αὐτοῦ διέτριβον οἵ τε ἄλλοι, καὶ Στράτων αὐτός· ὅςις ὕστερον διαδεχθεὶς τὴν Ἀθήνησι τοῦ Θεοφράστου σχολὴν κατὰ τὴν ρκγ, Ὀλυμπιάδα, οὐκέτι εἰς τὴν Ἀλεξάνδρειαν ἐπανῆλθεν, ἀλλὰ κατεβίωσεν ἐν Ἀθήναις, μέχρι τελευτῆς *ἀφηγησάμενος τῆς σχολῆς ἔτη ὀκτωκαίδεκα* (Λαέρτ. αὐτ. §. 3. §. 7. πρβλ. ὄπισθ. σελ. 187). Ταῦτα περὶ τῆς ἐκ παίδων μουσοτροφίας τοῦ Φιλαδέλφου. Καὶ τοιαύτην παιδομάθειαν ἀναγκαίως ἔχειν ὤφειλεν « *ὁ πάντων σεμνότατος γενόμενος τῶν δυναστῶν, καὶ παιδείας, εἴ τις καὶ ἄλλος, ἐπιμεληθεὶς* » (ὡς εἶπεν ὁ Φύλαρχος ἀνωτέρω, §. ις, κατ' αὐτὴν ἐκείνην τὴν φράσιν, ἐξ ἧς ὁ κριτικὸς ἀπεψαλίδισε τὸ *διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς*).

Σὺ δὲ, φίλε ἀναγνῶστα, τί ποτε μετ' ὀλίγον ἐρεῖς, ὅταν ἀκούσῃς καὶ αὐτὸν τὸν Ὅδιον ὁμολογοῦντα τοὺς ἀνωτέρω διδασκάλους τοῦ Φιλαδέλφου καὶ πρώτιστα τὸν Ζηνόδοτον; (βλ. ἐφεξ. κεφ. ια, §. ζ). Καὶ ὅμως ἐνταῦθα, συμφωνήσας μήτε μετὰ τοῦ Στράβωνος καὶ Αἰλιανοῦ καὶ τοῦ Λαερτίου, μήτε μετὰ τοῦ Φυλάρχου καὶ τοῦ Δειπνοσοφιστοῦ, ἀλλὰ μᾶλλον μετὰ τοῦ Βίβου, παρέστησεν ἡμῖν τὸν Φιλάδελφον ἀσχοληθέντα τὸ πρῶτον εἰς τὴν παιδείαν, οὐ μόνον ἔξωρον ἤδη καὶ παρηβήσαντα, ἀλλὰ καὶ παντελῶς παρηκμακότα καὶ γηραιὸν (ἑπομένως δὲ καὶ τὰς ὄψεις ἀμβλὺν ἤδη, καὶ ὀδονταλγοῦντα, ἢ νωδὸν, καὶ τὸ φθέγμα πρὸς ἀσάφειαν συγκεχυμένον, καὶ κωφεύοντα, καὶ ὅσα ἄλλα τοῦ γήρως πάθη φωλεύουσιν εἰς ἄνθρωπον μάλιστα ἐκ νέου *διεφθαρμένον ὑπὸ τρυφῆς*, καὶ *ποδαγριῶντα*)· τοιοῦτος δὲ ὢν ἄρα ἐκάθητο κρατῶν μετὰ χεῖρας γραμματικὴν, ἢ ἄλλο τι στοιχειῶδες βιβλίον, καὶ μελετῶν κεκυφὼς « *τὴν πεντά-*

(α) Σουΐδ. πρβλ. J. Gronov. Thes. antiquit. Graec. vol. VIII. p. 2761.

στιχον κατάραν» ἐν γωνίᾳ που τινὸς σπουδαστηρίου, ὅπου συνήλασεν αὐτὸν ἡ νοσοτροφία. Οὕτω δὲ διακείμενος καὶ θανατῶν, τότε μόλις καὶ πρῶτον συνέλαβεν ἔρωτα καὶ φιλοτιμίαν πρὸς κατασκευὴν τῆς βιβλιοθήκης! (α).

§. ιη. Μεταβαίνομεν εἰς τὸν Γαληνόν (§. ζ. θ). Καὶ ὅτι μὲν καὶ τούτου τὴν μαρτυρίαν συνέκρουσε πρὸς τὰ τοῦ Ἀθηναίου καὶ Ἀμμωνίου, σεσημείωται παρὰ πόδας (§. ζ, η, θ). Ἤδη δὲ μόνον ἐξετάζομεν ἰδίως αὐτὰ τὰ τοῦ Γαληνοῦ. « *Εὑρεθῆναί τε βιβλίον Πτολεμαίου τοῦ Εὐεργέτου κληθέντος* » εἶπεν ὁ Γαληνός, διότι τὸ βιβλίον εἶχεν ἐπιγεγραμμένον τοῦ Εὐεργέτου τὄνομα, καθὸ τούτου μελέτημα φίλον, καὶ μάλιστα ἐν χρήσει γεγονός, καί τινας, ἴσως, ἰδίας αὐτοῦ σημειώσεις ἔχον προσγεγραμμένας (ἐπέγραφον δὲ τὰ ἑαυτῶν ὀνόματα πολλάκις καὶ αὐτοὶ οἱ τὰ δοκοῦντα παρασημειοῦντες, καὶ διορθοῦντες ἐν τοῖς βιβλίοις (β))· εἴτε καί, τὸ πιθα-

---

(α) Ὅτι ταῦτα, οὐχ' ὑπερβολαὶ λόγων, ἀλλὰ σύμφωνα καὶ παρεπόμενα ταῖς Ὁδίου ῥήσεσιν, ὁμαλογήσει καὶ αὐτὸς Ὅδιος. Αὐτὸς εἶπεν ἐν τοῖς ἔμπρονθεν ὅτι περὶ τὴν βιβλιοθήκην ὁ Φιλάδελφος ἠσχολήθη ὀλίγῳ πρὸ τῆς τελευτῆς (§. ζ, καὶ ιβ), καὶ (ὡς δῆθεν ἐκ τοῦ Ἰωσήπου) περὶ τὸ ἔσχατον ἔτος τῆς αὐτοῦ βασιλείας. Εἰ τοίνυν ἐβασίλευσεν ἄγων ἔτος 24, (ἢ, κατὰ τὸν Ὅδιον, 22), ἐβασίλευσε δὲ δι' ὅλων ἐτῶν 40, ἄρα ἐσπούδαζε περὶ τὰ γράμματα καὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης πλέον ἤδη, ἡ ἑξηκοντούτης, καὶ οὗτος οὐκ εὐγηρως, ἀλλ' ἐκτετιναγμένος ὑπὸ τῆς συνοίκου ἀῤῥωστίας! Ἀλλὰ τοσοῦτον ὀψιμαθὴς οὐδ' αὐτὴ φαίνεται ἡ ἱεραπολῖτις Εὐρυδίκη, « ἥτις, Ἰλλυρὶς οὖσα καὶ τρισβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας, καυχωμένη ὅτι, γράμματα, μνημεῖα λόγων, καὶ μήτηρ γεγαυῖα παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν » (Πλούταρχ. π. παίδ. ἀγωγ. σελ. 48. Reisk.).

(β) Οὕτως ἐν αὐτῇ τῇ τῆς Ἀλεξανδρείας βιβλιοθήκῃ, εὕρηται τὸ γ, τῶν Ἱπποκράτους Ἐπιδημιῶν ἐπιγεγραμμένον « τῶν ἐκ πλοίων (ὠνηθέντων βιβλίων δηλαδὴ) κατὰ διορθωτὴν Μνήμονα Σιδήτην· ἔνιοι δ' οὐ κατὰ διορθωτὴν γεγράφθαι φασίν, ἀλλ' ἁπλῶς τοὔνομα τοῦ Μνήμονος » (Γαλην. Β. ὑπομνήμ. εἰς τὸ γ, τῶν Ἱπποκρ. Ἐπιδημ. τόμ. θ. σελ. 239). Καὶ αὐτὸ δὲ τό, περὶ οὗ ὁ λόγος, ἀπόγραφον τοῦ Ἱπποκράτους ἔφερεν, ἴσως, καὶ τὸ ὄνομα τοῦ ἰατροῦ Παμφίλου τοῦ διεσκευακότος τοὺς χαρακτῆρας (πρβλ. καὶ J. Wower. de Polymathia c. 16. p. 169. Lips. 1665). Ἀλλὰ καὶ τὰ τῶν κτητόρων ὀνόματα ἐπεγράφοντο πολλάκις ἐν τοῖς βιβλίοις (αὐτ. αὐτόθ.). Αὐτίκα πάλιν ὁ Γαληνός (αὐτόθ.). « Καὶ πάντων τῶν καταπλευσάντων (εἰς Ἀλεξάνδρειαν) ἅμα βιβλίοις ἐπέγραφον οἱ τοῦ βασιλέως ὑπηρέται τὸ ὄνομα ».

νώτατον, διότι καὶ τοῦτο ὑπῆρχεν ἐκ τῶν βιβλίων ἐκείνων, ὅσα Πτολεμαῖος ὁ Εὐεργέτης ἠγόρασεν ὕστερον, ἐπαυξάνων τὰς βιβλιοθήκας (ὡς ἐροῦμεν παρευθύς). Ὁ δὲ Ὅδιος ἐκ τούτου δὴ τοῦ παρὰ τῷ Γαληνῷ μνημονευομένου *τινὸς βιβλίου τοῦ Εὐεργέτου* εἰδοποίησεν ὁλόκληρον τὴν ἐν Ἀλεξανδρείᾳ *βιβλιοθήκην*, ἐπιγράψας εἰς αὐτὴν καὶ αὐτὸ τὸ ὄνομα τοῦ Εὐεργέτου· ὡς ἂν εἴπερ ἔγραφεν ὁ Γαληνὸς, « βιβλίον *τῆς Πτολεμαίου τοῦ Εὐεργέτου κληθείσης βιβλιοθήκης!* Ἀλλὰ *Φιλαδελφείους* μὲν *κατασκευὰς* ἐμάθομεν παρὰ Φίλωνος (βίῳ Μωσ. β.), ἀπὸ τῆς Φιλαδέλφου μεγαλουργίας ὠνομασμένας πάσας ἐν γένει τὰς μεγάλας καὶ ὑπερόγκους, ἐν αἷς ἂν ἀριθμοῖτο δικαίως καὶ ἡ βιβλιοθήκη (βλ. κεφ. ια. §. ζ)· καί τοι μηδαμοῦ μηδ' ἀπ' αὐτοῦ τοῦ Φιλαδέλφου εὕρηται ἰδίως παρονομασθεῖσα *Φιλαδέλφειος*. *Εὐεργέτειον* δὲ, ἢ *Εὐεργετινὴν βιβλιοθήκην* (τὴν Ἀλεξανδρινὴν) οὔτε Γαληνὸς, οὔτε Φίλων, οὔτ' ἄλλος εἶπε τῶν ἀρχαίων οὐδεὶς, οὐδ' ἔσχεν ἡ Ἀλεξάνδρεια πώποτε τὴν ἑαυτῆς βιβλιοθήκην (μᾶλλον δὲ *τὰς βιβλιοθήκας*), ἀπό τινος ἐπωνυμίου τῶν Πτολεμαϊκῶν ἐπικληθείσας. Πάλιν, ἐπισυνάπτων καὶ τὰς ἄλλας τοῦ Γαληνοῦ ῥήσεις, (σελ. 247) ἐκλαμβάνει τὸν ἐν αὐταῖς μνημονευόμενον *Πτολεμαῖον* ἀντὶ τοῦ Α, Εὐεργέτου (τοῦ υἱοῦ τοῦ Φιλαδέλφου), προστιθεὶς καὶ ὅτι, « ἄν τις εἴπῃ τὸν Γαληνὸν κατὰ λάθος ὀνομάσαντα τὸν Εὐεργέτην ἀντὶ τοῦ Φιλαδέλφου, λέγει πρᾶγμα *ἀπαράδεκτον* ». Ἀλλὰ πρῶτον μὲν ἐν τοῖς χωρίοις τούτοις ὁ Γαληνὸς οὔτε Φιλάδελφον ἐπωνόμασεν, οὔτ' Εὐεργέτην, ἀλλ' ἁπλῶς εἶπε «*Πτολεμαῖον τὸν βασιλέα Αἰγύπτου* », καὶ «*Πτολεμαῖος ἐκεῖνος* ». Εἰ δὲ κἀν τούτοις δηλοῦται (καθὼς φαίνεται πιθανώτατον) ὁ αὐτὸς Πτολεμαῖος, ὃν εἶπε καὶ ἀνωτέρω ῥητῶς *Εὐεργέτην*, οὔτε ἀπαράδεκτον ἢ ἀπίστευτον, ἀλλὰ καὶ λίαν ἀνθρώπινον καὶ ῥᾷστον ἂν ἐπάθαινε συμβεβηκὸς ὁ Γαληνὸς, εἴπερ ἐπλανᾶτο περὶ τὰς τῶν ὁμωνύμων βασιλέων ἐπωνυμίας, ἐκλαβὼν τὸν Εὐεργέτην ἀντὶ τοῦ Φιλαδέλφου. Πολλοὶ καὶ ἄλλοι παρὰ τὸν Γαληνὸν, τὴν μὲν ἰατρικὴν σοφίαν ἀμαθέστεροι, τὴν δ' ἱστορικὴν φιλολογίαν μᾶλλον ἴσως ἐντριβεῖς, ἐσφάλησαν ἐνίοτε περὶ τὰς τοιαύτας ἐπω-

νυμίας (α). Ἀλλὰ τὸ πρᾶγμα φαίνεται παντάπασιν ἄλλως ἔχον, καὶ οὐθ᾽ ὁ Γαληνὸς ἠπατήθη περὶ τὴν ἐπωνυμίαν τοῦ Πτολεμαίου, οὔτε Ὅδιος ἐνόησε τὸν Εὐεργέτην τοῦ Γαληνοῦ. Οὗτος γὰρ « *Πτολεμαίου βιβλίον*, λέγων, *τοῦ Εὐεργέτου* », ἐνόει πιθανώτατα τὸν μὲν Α, οὐχὶ (τὸν υἱὸν τοῦ Φιλαδέλφου), τὸν δὲ Β, Εὐεργέτην, τὸν καὶ Φύσκωνα (τρισέγγονον τοῦ Α, Εὐεργέτου, καὶ Ζ, τῶν Πτολεμαίων ἀριθμούμενον). Τοῦτον ἐννοεῖ καὶ ἐν τοῖς λοιποῖς δυσὶ χωρίοις. Οὗτος γὰρ ὁ *Εὐεργέτης*, καί τοι τἄλλα καὶ ὢν καὶ καλούμενος *Κακεργέτης* (Ἀθήν. δ, 184 : ιβ. 549), εἶχεν ὅμως μεγάλην φιλοτιμίαν περὶ τὴν αὔξησιν τῶν βιβλιοθηκῶν, ἁμιλλώμενος πρὸς τοὺς Ἀτταλικοὺς βασιλεῖς, καὶ μάλιστα τὸν τότε σύγχρονον Εὐμένη, τὸν δεύτερον· (ὅθεν καὶ *φιλολόγος* ἐπωνομάζετο. Ἐπιφ. π. Μέτρ. §. ιϐ)· καὶ ὑπομνήματα δὲ συνέγραψε ποικίλης πολυμαθείας, Ἀριστάρχου γενόμενος μαθητὴς (Ἀθήν. β, 61, 71. ι, 438 κτλ). « Διὰ τὴν τοιαύτην (λέγει Οὐάῤῥων) περὶ τὰς βιβλιοθήκας ἅμιλλαν τῶν βασιλέων, Πτολεμαίου (τοῦ Ζ) καὶ Εὐμένους (τοῦ Β), κατείργοντος (ἐν Ἀλεξανδρείᾳ) τοὺς χάρτας τοῦ Πτολεμαίου, ἐφευρέθησαν

(α) Οὕτως ὁ ἱστορικὸς Μέμνων εἶπε Πτολεμαίου τοῦ Φιλαδέλφου, ἀντὶ τοῦ Λάγου (βλ. ὄπισθ. σελ. 178). Παρὰ δὲ τῷ Παυσανίᾳ ἀναγινώσκεται Πτολεμαῖος ὁ Λάγου, ἀντὶ ὁ Φιλάδελφος (Α, α, §. 1. ὅπου διορθοῦσι, Πτολεμαῖος, ὁ Πτολεμαίου τοῦ Λάγου). Τὸν δὲ πάλιν Φιλάδελφον ἀντὶ τοῦ Εὐεργέτου εἶπεν ὁ Πολύαινος (Βιϐ. Η, κεφ· ν.). Καὶ τὸν Πολιορκητὴν Δημήτριον ἀντὶ τοῦ Φαληρέως ὁ Αἰλιανὸς (Ποικ. ἱστ. Θ, θ. βλ. καὶ ἔμπρ. κεφ. ια. §. ϐ. σημ.). Περὶ δὲ τοῦ σοφωτάτου Κλήμεντος τοῦ Ἀλεξανδρέως λέγομεν ἐν τοῖς ἐφεξῆς (Κεφ. ΙΒ, §. ε). Παραλείπομεν καὶ τὸν ἱερὸν Ἐπιφάνιον, ὀνομάσαντα τὸν Φιλοπάτορα ἀντὶ τοῦ Φιλομήτορος (περὶ μέτρ. §. ιϐ). Οὐδὲ τὸν Βιτρούϐιον, συγχύσαντα τὸν Α, πρὸς τὸν Β, Εὐμένη (§. ια), οὐδ᾽ ἄλλους τινὰς, οὐδὲ γοῦν τὸν Ἀθήναιον μνημονεύομεν, ὃν αὐτὸς ἡμῖν ὁ κριτικὸς ὀλίγῳ πρότερον (§. η), ἀδίκως εἰσῆγε σφαλέντα περὶ τὴν ἐπωνυμίαν τοῦ Φιλαδέλφου· (ὁ δὲ Στράϐων ἄλλο τι πέπονθε, μακρόχειρα τὸν Δαρεῖον εἰπὼν, ἀντὶ τοῦ Ἀρταξέρξου. ΙΕ, 735). Ἀλλὰ τὸν ἐν τοῖς νεωτέροις περιφημότατον Δοδούελλον οὐ παρασιωπήσομεν· ὅστις διὰ παρομοίαν μνήμης ἁμαρτίαν εἰπὼν τὸν Ἐρατοσθένην σύγχρονον τοῦ Φιλαδέλφου (ἀντὶ τοῦ Εὐεργέτου), ἐκάλεσε τούτου μάρτυρα καὶ αὐτὸν τὸν Ὅδιον (Dodwell Append. Dissert. in. S. Irinaeum, p. 507). Ἀλλ᾽ Ὅδιος ὕστερον ἠρνήσατο τὴν μαρτυρίαν, καὶ διώρθωσε κοσμίως τὸν Δοδούελλον (Hody l. c. Libr. I. pag. 47).

ἐν Περγάμῳ αἱ μεμβράναι » (α). Ὅθεν, καθὼς ὁ Β, Εὐμένης « κατασκευάσας τὴν πόλιν, καὶ τὸ Νικηφόριον ἄλσος καταφυτεύσας, *καὶ ἀναθήματα καὶ βιβλιοθήκας* προσεφιλοκάλησε » (Στοάβ. ΙΓ. σελ. 624 καὶ 609)· ὡσαύτως ἑτέρωθεν καὶ ὁ Ζ, Πτολεμαῖος ἀνθαμιλλώμενος, τοσαύτην κατέβαλλεν εἰς κτῆσιν βιβλίων φιλοτιμίαν, « ὡς καὶ τῶν καταπλεόντων ἁπάντων τὰ βιβλία κελεῦσαι πρὸς αὐτὸν κομίζεσθαι, καὶ ταῦτα εἰς καινοὺς χάρτας γράφοντα, διδόναι μὲν τὰ γραφέντα τοῖς δεσπόταις, — εἰς δὲ τὰς βιβλιοθήκας ἀποτίθεσθαι τὰ κομισθέντα· καὶ εἶναι τὰς ἐπιγραφὰς αὐτοῖς « *τῶν ἐκ πλοίων* » (Γαλην. ἔνθ. ἀνωτ.). Οὕτω δὲ σπουδάζων περὶ τὴν τῶν παλαιῶν βιβλίων κτῆσιν οὗτος ὁ Πτολεμαῖος, μετεκόμισεν ἐκ τῶν Ἀθηνῶν καὶ τὰ προμνημονευθέντα (§. ζ) βιβλία τοῦ Σοφοκλέους καὶ Εὐριπίδου καὶ Αἰσχύλου χάριν τοῦ ἀπογράψαι· — « καὶ κατασκευάσας πολυτελῶς ἐν χάρταις καλλίστοις, ἃ μὲν ἔλαβε παρ' Ἀθηναίων κατέσχεν, ἃ δ' αὐτὸς κατεσκεύασεν, ἔπεμψεν αὐτοῖς, παρακαλῶν ἔχειν καὶ τὰ 15 τάλαντα » (ἅπερ εἶχε δοὺς αὐτοῖς εἰς ἐνέχυρον· αὐτόθ.) (β). Τὴν δὲ τοιαύτην περὶ τὰ βιβλία σπουδὴν

(α) Varro apud Plin. XIII, 11. πρβλ. Demagist. l. c. p. 559.

(β) Ἐκ τούτων ὁρμηθεὶς ὁ βαθὺς Βανδάλης, ἐπεχείρησε κατὰ τοῦ Ἀριστέου καὶ τὰ ἐφεξῆς· « Πόσον (λέγει) μεγαλοπρεπὴς ὑπῆρξε, καὶ ἐλευθέριος ἐκεῖνος ὁ Πτολεμαῖος » (νομίζει δὲ τὸν Φιλάδελφον), « ἀρκεῖ πρὸς ἀπόδειξιν εἷς κα μόνος μάρτυς, ὁ ἡμέτερος » (διότι ὁ Βανδάλης ὑπῆρχε καὶ ἰατρός)· « Γαληνὸς ὁ Περγαμηνός ». (καὶ γράψας τὰ ἀνωτέρω, τὰ περὶ τῶν τραγῳδοποιῶν καὶ τῶν 15, ταλάντων, ἐπιφέρει). « Ἐκ ταύτης ἐξεῤῥύησαν τῆς πηγῆς τὰ παρὰ τοῖς προστάταις τῆς νομιζομένης τῶν Ο, μεταφράσεως, ὡς ἐπιχείρημα, προβαλλόμενα δῶρα, ἅτινα (κατὰ τὸν Ἀριστέου μῦθον) ἀπέστειλε δῆθεν ὁ Πτολεμαῖος τοῖς Ἰουδαίοις : Ἀλλὰ ποία σύγκρισις τῶν ὧν ἐκ φήμης ἤκουσεν ὁ Φιλάδελφος ἐν Παλαιστίνῃ κειμένων βιβλίων, περὶ κοσμογονίας, καί τινος Θεοῦ παρὰ τοῖς Αἰγυπτίοις ἀγνώστου (καὶ μάλιστα μισουμένου) πραγματευομένων, ἅτινα μηδ' αὐτὸς εἶχεν ἰδὼν ὁ Φαληρεὺς, ποία σύγκρισις λέγω τούτων τῶν βιβλίων πρὸς τὰ τοῦ Σοφοκλέους καὶ Αἰσχύλου καὶ Εὐριπίδου, παρ' ἀνδρὶ (τῷ Φιλαδέλφῳ) τοσαύτην κλίσιν ἔχοντι πρὸς τοὺς ποιητάς; Ποία σύγκρισις τῶν 15, ταλάντων ὧν διὰ τούτους ἐχαρίσατο τοῖς Ἀθηναίοις, πρὸς τὰ πλέον ἢ 1000, ὅσα, κατὰ τὸν μῦθον, ἐδαπάνησεν εἰς τῶν Ἑβραΐδων βίβλων τὴν ἑρμηνείαν ; » (καὶ συνεχίζει ὁ Βανδάλης τορῶς ἐξυμνῶν τὴν ἀξίαν, καὶ τὸ κάλλος, καὶ δὴ καὶ τὸν ἀριθμὸν τῶν δραμάτων τῶν τριῶν τραγῳδοποιῶν ! κεφ. Θ. σελ. 69—74). — Ἀλλ' ὁ μὲν ἐθνικὸς (ἀπαντῶμεν) καὶ μυθολάτρις

καὶ ἅμιλλαν τῶν ἐν Περγάμῳ πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ βασιλεῖς μαρτυρεῖ, τέλος, ὁ Γαληνὸς καὶ ἀλλαχοῦ λέγων· « Πρὶν γὰρ τοὺς ἐν Ἀλεξανδρείᾳ τε καὶ Περγάμῳ γενέσθαι βασιλεῖς, ἐπὶ κτήσει παλαιῶν βιβλίων φιλοτιμηθέντας, οὐδέπω ψευδῶς ἐπεγέγραπτο σύγγραμμα· λαμβάνειν δὲ ἀρξαμένων μισθὸν, τῶν κομιζόντων αὐτοῖς παλαιοῦ τινος ἀνδρὸς, οὕτως ἤδη πολλὰ ψευδῶς ἐπιγράφοντες ἐκόμιζον » (α). Εὐκόλως δὲ ἐλάνθανον οἱ κακουργοῦντες περὶ τὰς ἐπιγραφὰς διά τε τὴν μὴ πλήρη μήθ' ὁλόκληρον ἔκδοσιν τῶν ἑνός τινος καὶ τοῦ αὐτοῦ συγγραμμάτων (ἄλλων ἄλλοτε παρ' ἄλλοις ἀποκειμένων), καὶ μάλιστα διὰ τὴν ὁμωνυμίαν εἴτε τῶν *συγγραφέων*, εἴτε καὶ τῶν *συγγραμμάτων* αὐτῶν, ὡς εἶπεν ὁ Ἀμμώνιος (προοιμ. εἰς τὰς Κατηγορ.). Ὅθεν καὶ μᾶλλον εἰς τὸν Β, Εὐεργέτην ἀνήκουσιν ἴσως καὶ ὅσα ὁ αὐτὸς Ἀμμώνιος ἀνωτέρω (§. η) ἀνέφερεν εἰς τὸν *Φιλάδελφον*, ἀπατηθεὶς καὶ αὐτὸς ὑπὸ τῆς ὁμωνυμίας τῶν Πτολεμαίων. Φαίνεται δὲ ὅτι οἱ περὶ τὸν Β, Εὐεργέτην ἐφιλοτιμοῦντο μάλιστα καὶ πρώτιστα περὶ τὴν κτῆσιν τῶν αὐτογράφων, ἢ καὶ τῶν τελειοτέρων καὶ πληρεστέρων, καὶ μάλιστα τῶν ἀρχαιοτάτων, καὶ (κατὰ τὸν Γαληνὸν) *τῶν παλαιῶν* βιβλίων τῶν συγγραφέων· καὶ τοῦτο μάλιστα παρέχει νοεῖν αὐτοῦ τοῦ Εὐεργέτου ἡ φροντὶς, ὅστις λαμβάνων τὰ βιβλία, καὶ ἀπογράφων, ἀπεδίδου μὲν τοῖς δεσπόταις τὰ ἀπόγραφα, ἐκράτει δὲ παρ'

Φιλάδελφος ἐτίμησε, καθὼς φαίνεται, τὰς θείας Γραφὰς, πολὺ πλέον παρὰ σὲ, Βανδάλη! καὶ τὸ πρᾶγμα γέγονεν ἤδη. Σὺ δὲ τέτλαθι καὶ ὑπόμεινον! Εἰ δὲ δυσανασχετεῖς, ὦ σοφώτατε ἀνδρῶν, ἀνάγνως πάλιν τὸν σὸν Γαληνὸν (ἀκριβέστερον αὐτοῦ τὴν γλῶσσαν μαθὼν), ἴσως εὑρήσεις παρ' αὐτῷ φάρμακον τοῦ πάθους ἀκεσώδυνον.

(α) Γαλην. Α. Ὑπόμν. εἰς Ἱπποκρ. π. φύσ. ἀνθρώπου ῥήσ. μβ. (σελ. 126. τόμ. 3. Lutet.). Ταῦτα τοῦ Γαληνοῦ οὐδ' ἐμνημόνευσεν ὅλως Ὅδιος· εἰ δὲ τούτοις προσεῖχεν, ἔβλεπεν ἂν, ὅτι ὁ παρὰ τῷ Γαληνῷ ῥητῶς ἀνωτέρω ὀνομασθεὶς Πτολεμαῖος ὁ Εὐεργέτης, οὐχ' ὁ Α, ὑπῆρχεν (ὡς εἶπεν Ὅδιος, καὶ μετ' ὀλίγον πάλιν ἐρεῖ), ἀλλ' ὁ Β, Εὐεργέτης. Εἰ γὰρ ὁ τὴν ἐν Περγάμῳ βιβλιοθήκην πρῶτος κατασκευάσας Εὐμένης ὑπῆρχεν ὁ Β, (ὡς καὶ αὐτὸς Ὅδιος ὡμολόγησεν ἀνωτέρω §. ια), ἀλλ' οὗτος ἐβασίλευεν ἐπὶ τοῦ Β, Εὐεργέτου, καὶ πρὸς τοῦτον λοιπὸν ἡμιλλᾶτο περὶ τὴν κτῆσιν τῶν βιβλίων.

ἑαυτῷ τὰ πρωτότυπα, οἷον ἐποίησε καὶ τοὺς Ἀθηναίους. Ἢ γελοῖον ἂν εἴη τὸ νομίζειν, ὅτι μέχρι τότε οὐχ ὑπῆρχον ἐν τῇ βιβλιοθήκῃ τὰ ποιήματα τῶν ἐπισημοτάτων τραγῳδῶν, οὐδ' ἐν τῷ Μουσείῳ τούτοις ἐχρῆτο ἡ ἐπὶ τοῦ Φιλαδέλφου διασημοτάτη πληϊὰς τῶν ποιητῶν, οὐδ' αὐτὸς ὁ Φιλάδελφος αὐτῶν ἐπεθύμησεν (ὅπερ ὡμολόγησε καὶ Ὅδιος §. ζ). Ὅτι δὲ καὶ τὰ Εὐριπίδου βιβλία εἶχε παρὰ τοῦ Νηλέως λαβὼν ὁ Φιλάδελφος εἴδομεν ἐκ τοῦ Δειπνοσοφιστοῦ (§. θ). Καὶ φαίνονται ἄρα παντελῶς ἀσύστατοι κἀκεῖνοι τοῦ Ὁδίου οἱ συλλογισμοί. — Ὅτι, « εἴπερ ἐξ ἀρχῆς τῆς βασιλείας ἠσχολεῖτο περὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης ὁ Φιλάδελφος, πλείστους ἂν συνεφόρησε τόμους, ὥστε καὶ τὴν βιβλιοθήκην ἔπρεπεν ἀπ' αὐτοῦ παρονομασθῆναι » (§. ζ). Καί, ὅτι « ὁ παρὰ τῷ Γαληνῷ Πτολεμαῖος ὁ Εὐεργέτης, ὁ Α, ἐστὶν, οὐχ ὁ Β, Εὐεργέτης· τοσαῦτα γὰρ βιβλία συναγαγόντων αὐτοῦ τε τοῦ Φιλαδέλφου καὶ τῶν ἄλλων τῶν ἐφεξῆς βασιλέων, οὐκ ἂν ἔμενον ἐπὶ τοῦ Β. Εὐεργέτου συνακτέοι τοσοῦτοι τόμοι πολυπληθεῖς, δι' οὓς καὶ ἡ βιβλιοθήκη ἀπ' αὐτοῦ παρωνομάσθη ». (Ὅδιος, σελ. 33). Ἀλλὰ περὶ μὲν τῆς ἀνυπάρκτου ταύτης παρονομασίας εἴπομεν (σελ. 269). Εἴδομεν δ' ἀνωτέρω, καὶ ὅτι τὸν Β, οὐχὶ τὸν Α, Εὐεργέτην λέγει ὁ Γαληνός. Ὁ δὲ Φιλάδελφος πολλὰς πάντως μυριάδας βιβλίων συνήγαγε, φιλοτιμησάμενος ἀπ' ἀρχῆς· καὶ δι' ὅλης δὲ τῆς βασιλείας ἐπλούτιζε τὴν βιβλιοθήκην (ἧς τινος τὰ θεμέλια κατέβαλε πρῶτος ὁ πατὴρ, ὁ Λαγίδης, ὡς ὁμολογήσει καὶ ὁ Ὅδιος ἐφεξῆς (κεφ. ια, §. ζ)· ἀλλ' οὐδὲ τοῖς ἄλλοις τοῖς ἐφεξῆς διαδόχοις ὁ Φιλάδελφος ἀπέκλεισε τὰς θύρας τῆς ἀχανεστάτης βιβλιοθήκης εἰς ἀποθησαύρισιν καὶ ἄλλων βιβλίων, εἴτε νεωτέρων συγγραφέων (ἢ μήπως μετὰ τὸν Φιλάδελφον ἔπαθε στείρωσιν συγγραφῶν ἡ Ἑλλάς;), εἴτε καὶ παλαιῶν τινων ἀγνώστων εἰσέτι καὶ λανθανόντων, εἴτε γοῦν καὶ τῶν αὐτῶν οἷς εἶχεν ἡ βιβλιοθήκη, κατ' ἄλλους κώδηκας, ἢ πληρεστέρους, ἢ ἐπισημοτέρους καὶ ἀρχαιοτέρους, ἀθροιζομένων (ὡς εἴπομεν ἐπὶ τοῦ Β, Εὐεργέτου) (α). Ὅθεν ἡ μεγάλη ἐκείνη βιβλιοθήκη ἀνέβη, τέλος,

(α) Βλ. Demagistr. l. c. p. 560. — Van Dale l. c. cap. 9. p. 69.

εἰς τοσοῦτον ὑπερφυῆ βιβλίων ἀριθμὸν, ἐπαυξηθεῖσα καὶ καθεξῆς ὑπὸ τῶν διαδόχων τοῦ Φιλαδέλφου, ὡς καὶ τοῦτο πάλιν ὅδιος ἐσημείωσε (σελ. 32).

§. ιθ. Ὡς εὖ παρέστη καὶ ὁ ποιητὴς Θεόκριτος (§. ι), αὐτόπτης μάρτυς καὶ ἀοιδὸς τῶν ἀρετῶν τοῦ Φιλαδέλφου. Ἀλλὰ πῶς καὶ οὗτος εἰσάγεται μηδὲν περὶ τῆς τούτου παιδείας μαρτυρῶν; Μὴ γὰρ αὐτὸς ὁ Θεόκριτος οὐκ ὠνόμασε τὸν Φιλάδελφον « *φιλόμωσον* »; (Εἰδυλ. ιδ. 61)· ἢ μήπως τὸ *φιλόμουσος* οὐ σημαίνει καὶ τὸν μουσόληπτον καὶ πεπαιδευμένον, « *ὅν τινα Μοῦσαι φιλεῦνται*; Οἱ δὲ πάλιν ἕτεροι τοσοῦτοι « *Μουσάων ὑποφῆται, ἀείδοντες Πτολεμαῖον, ἀντ᾽ εὐεργεσίας* » (Εἰδ. ιζ. 115), μήπως ὕμνουν ἀγροῖκον ἄνθρωπον καὶ ἀγράμματον, καὶ οὐχὶ τὸν « *ἄριστον βασιλέων* », καὶ « *προφερέστατον ἀνδρῶν* »; (αὐτ. στίχ. 4—12). Ἀλλὰ τὸ περὶ τούτου μηκύνειν τὸν λόγον ὀχληρόν. Ὁ δὲ κλεινὸς Ὅδιος ἤθελεν ἴσως, ἵνα καὶ τὴν *βιβλιοθήκην* ὁ Θεόκριτος ῥητῶς καὶ ἐξ ὀνόματος μνημονεύσῃ! Καὶ ἠδύνατο μὲν πάντως, εἴπερ ἤθελεν ὁ ποιητὴς, χρήσασθαι τῇ λέξει (καί τοι καὶ πεζοτέρᾳ, καί τινα καὶ ἄλλην ἰδίως σημασίαν ἐχούσῃ παρὰ τοῖς ἀρχαιοτέροις (α))· ὑπῆρχε δὲ καὶ κατὰ τὴν Ἀλεξανδρέων διάλεκτον ἡ λέξις ἐπὶ τοῦ Θεοκρί-

---

(α) « Ἓν δὲ τῶν κοινῶν » (δημοσίων μερῶν) « καὶ αἱ βιβλιοθῆκαι, ὡς Εὔπολις φησὶν, οὗ τὰ βιβλία ὤνια » (Πολυδ. βιβλ. Θ. κεφ. ε. πρβλ. καὶ Ζ. λγ), δηλονότι θῆκαι φέρουσαι βιβλία εἰς πώλησιν δημοσίως ἐκτεθειμένα, ὡς εἰς τὰ δημόσια βιβλιοπωλεῖα. Κατὰ δὲ τὴν συνήθη σημασίαν (ἐπὶ τῆς συλλογῆς τῶν κατὰ τόπους μονίμως τεθησαυρισμένων βιβλίων) κεῖται μάλιστα παρὰ τοῖς ὕστερον συγγραφεῦσι καθὼς ἴδομεν (Στράβωνι, Πλουτάρχῳ, Γαληνῷ, Ἀθηναίῳ κτλ. πρβλ. καὶ Φρύνιχ. καὶ Θ. Μάγιστρ.). Κεῖται δὲ ὅμως καὶ πολὺ ἀρχαιότερον παρὰ τοῖς Θεοκρίτῳ συγχρόνοις Ο, (Ἔσδρ. Ϛ. 1. καὶ Ἐσθὴρ Β. 23, ἐπὶ τῶν δημοσίων ἀρχείων, ἢ χαρτοφυλακείων, τῶν καὶ γραμματοφυλακείων. πρβλ. καὶ Β. Μακ. Β. 13), καὶ παρ᾽ αὐτῷ τῷ Ἀριστέᾳ (Ἐπιστ. Πτολεμ. πρὸς Ἐλεάζ.)· παρὰ δὲ τῷ ἱερῷ Κλήμεντι λέγεται καὶ διῃρημένως « αἱ θῆκαι τῶν βιβλίων » (Στρωμ. η. σελ. 560 ἐκδ. Heins. Lugd. Batav. 1616). Ὁ δὲ Λουκιανὸς « τὰς ἀποθήκας, εἶπε, τῶν βιβλίων » (πρὸς ἀπαίδ. καὶ πολ. βιβλ. ὠνούμ. §. 5). Ὡς ἐκ ταύτης τῆς σημασίας ἐπεγράφησαν βιβλιοθῆκαι καὶ συγγράμματα παντοδαπῆς ἱστορίας, ἢ μυθολογίας, ἢ φιλολογικῆς καὶ κριτικῆς θεωρίας περιεκτικὰ, οἷον ἡ Διοδώρου βιβλιοθήκη, Ἀπολλοδώρου, Φωτίου, κτλ. παρὰ δὲ τοῖς νεωτέροις καὶ ἡ συλλογὴ Συγγραφέων ὁμοειδῶν, οἷον βιβλιοθήκη τῶν Πατέρων. κτλ. Βλ. καὶ ἔμπρ. κεφ. ια. §. ζ. σημ.

του γνωστὴ, ταττομένη καὶ ἐπὶ τῆς καθ' ἡμᾶς συνήθους ἐκδοχῆς. Ἠδύνατο δὲ μάλιστα καὶ δι' ἄλλων φράσεων ποικίλων ὁ ποιητὴς ἐπαινέσαι τὴν περὶ τὰ βιβλία φιλοτιμίαν τοῦ Φιλαδέλφου· (πῶς δ' οὐχί;)· ἀλλ' οὐδ' οὕτως ὑγιαίνει τὸ Ὀδιακὸν ἐπιχείρημα. Ὁ Θεόκριτος ἐνεκωμίασεν οὐχὶ κατ' ἀπαρίθμησιν, ἀλλ' ἐν γένει καὶ περιληπτικῶς ἅπερ εἶπε καὶ ἀλλαχοῦ (Εἰδ. ιε, 46) *πολλὰ καὶ καλὰ τοῦ Φιλαδέλφου ἔργα*. Οὐδὲ τὸ *Μουσεῖον*, οὐδὲ τὸν *Φάρον*, οὐδ' ὅσας ἔκτισε *πόλεις*, οὐδὲ τὰς ἄλλας, ἃς Φίλων εἶπε *Φιλαδελφείους κατασκευὰς* εὑρίσκομεν ἐν τῷ ἐγκωμίῳ· ἀλλὰ μὴ παρὰ τοῦτο μηδ' ἐκεῖναι παντάπασιν ἐγένοντο; ἢ μήπως καὶ κατ' αὐτὰς ὁ Φιλάδελφος ἠσχολήθη νοσῶν ἤδη, καὶ ποδαγριῶν, καὶ γεγηρακὼς (ὡς εἶπεν ὁ κριτικὸς περὶ τῆς βιβλιοθήκης); Ἀλλ' ὁ μὲν Θεόκριτος ἐγκωμιάζων τὸν Φιλάδελφον μετὰ τῆς Ἀρσινόης περὶ τὰς ἀρχὰς τῆς αὐτοῦ βασιλείας, ὁπότε καὶ αὐτὸ τὸ ἐγκώμιον ἐποίησε (βλ. ὄπισθ. σελ 186), ἀποδείκνυσιν αὐτὸν ἔκτοτε *φιλόμουσον*· διὸ (κατὰ συνέπειαν) καὶ περὶ τὸ *κάλλιστον καταγώγιον τῶν Μουσῶν* (τὴν βιβλιοθήκην), καὶ εἰς αὐτὸ δὲ τὸ *Μουσεῖον* εὐκλεέστατα πεφιλοτιμημένον. Ὁ δὲ σοφὸς Ὄδιος ἔλαθε καλέσας καὶ τὸν Θεόκριτον μάρτυρα καθ' ἑαυτοῦ βαρὺν καὶ ἀπαραίτητον.

§. κ΄. Ὅσον δὲ περὶ τοῦ Βιτρουβίου (§. ια.), ἐπαινοῦμεν τὴν εἰλικρίνειαν τοῦ κριτικοῦ, μεθ' ἧς ὡμολόγησε σφαλέντα περὶ τὴν χρονολογίαν πολλάκις τὸν Ῥωμαῖον τῆς ἀρχαιότητος ἀρχιτέκτονα· καὶ ἄλλοι δὲ καὶ ταῦτα καὶ ἄλλα τούτου σφάλματα ἐξεφώρασαν (α). Ὁ δὲ Ὄδιος ἐξελέγχων ἐν τῷ μνημονευθέντι χωρίῳ τὰς τοῦ Βιτρουβίου πλάνας, συνεξελέγχει σιωπηλῶς καὶ τὸν *μέγαν Σκαλίγηρον*, καὶ τὸν *μικρὸν Βανδάλην*, οἵτινες καὶ αὐτοὶ τὴν (ὅσον κατὰ τοῦτο) *ἄδικον στάθμην* τοῦ Βιτρουβίου μετεχειρίσθησαν, τὸν Α, Εὐμένη νομίσαντες ἱδρυτὴν τῆς ἐν Περγάμῳ βιβλιοθήκης (β). Κατὰ δὴ ταῦτα

(α) Βλ. Jo. Meursium de Athen. Attic. II. 9. πρβλ. καὶ Lipsij Syntagm. de Bibliothec. cap. 4. in ej. Oper. vol. 2. p. 894 Lugd. 1613. καὶ Heynij Opuscul. Academ. vol. 1. p. 97, 127, 130.

(β) Scalig. Animadvers. ad Euseb. πρβ. καὶ Van Dale cap. IV. p. 28—35.

ἐπαινετέος ὁ Ὅδιος, μνημονεύσας τὰ τοῦ Βιτρουβίου· ἄλλως γὰρ, ὡς πρὸς τὸν προκείμενον αὐτῷ σκοπὸν, φαίνεται παντάπασι περιττῶς, οἷον *Ἀβυδηνὸν ἐπιφόρημα*, καὶ *πρόσωπον κωφὸν* εἰσαγαγὼν καὶ τὸν Βιτρούβιον· ἢ τί τῆς προκειμένης γνώμης ὁ Ὅδιος ἐξελεύκανε δι' ἧς καὶ αὐτὸς ἐξήλεγξε πλάνης τοῦ Ῥωμαίου τεκτονικοῦ;

§. κά. Καντηντήσαμεν, τέλος, καὶ εἰς τὰς κατ' ἐξοχὴν *λαμπρὰς καὶ καθαρὰς μαρτυρίας* (§. ιϐ), καὶ πρώτην τὴν τοῦ Συγκέλλου, μᾶλλον δὲ τοῦ παλαιοῦ Ἀφρικανοῦ (ἐξ οὗ ταύτην, ὡς ὁμολογοῦσιν, ἀντέγραψε καὶ Σύγκελλος). Ἐκ ταύτης οὖν καὶ Ὅδιος, καὶ πρότερος ὁ Σκαλίγηρος, (ἐκ δὲ τούτου πάλιν καὶ ὁ Βανδάλης), ἐνόμισαν ὅτι ἀπέδειξαν τὸν Φιλάδελφον περὶ τὸ 32, ἢ 33, τῆς αὐτοῦ βασιλείας ἀσχοληθέντα περὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης! Τί δὲ ἄρα καὶ λέγουσιν οἱ περὶ τὸν Ἀφρικανὸν καὶ Σύγκελλον; «Ὅτι Πτολεμαῖος ὁ Φιλάδελφος, κτλ. (βλ.σελ.253). Ἤγουν (περιφραστικώτερον) ὅτι ὁ Φιλάδελφος *καθίστησι*, τουτέστι *κατέστησε* (κατ' ἀντιχρονισμὸν ἱστορικὸν, ὡς καὶ ἐφεξῆς τὸ *τελευτᾷ* ἀντὶ τοῦ, *ἐτελεύτησε*), καὶ *κατήρτισε* τὴν (ἣν αὐξάνειν ἐξ ἀρχῆς ἐπεχείρησε, καὶ δι' ὅλου τοῦ βίου καθίστη) *βιβλιοθήκην* (α), *συμπληρώσας* αὐτὴν τῇ ρλϐ, Ὀλυμπιάδι· Ταύτης δὲ τῆς τῶν βιβλίων συλλογῆς *πληρωθείσης* (κατὰ τὸν ἔσχατον εὑρεθέντα τῶν βιβλίων ἀριθμὸν), ὁ μὲν Φιλάδελφος *τελευτᾷ*, — πίπτει δὲ κωφὸν καὶ τὸ Σκαλιγήρειον ἐπιχείρημα! (ϐ). Θέλεις ἀναγνῶστα περὶ τούτου σα-

---

ὅστις ἀγωνιζόμενος ἀποδεῖξαι τὴν Περγαμηνὴν βιβλιοθήκην οὐχὶ μεταγενεστέραν, ἀλλὰ μάλιστα καὶ προτέραν τῆς Ἀλεξανδρινῆς, καὶ μεταπίπτων ἐκ παραλογισμῶν εἰς παραλογισμοὺς, τελευταῖον συμπεραίνει ὅτι «ματαίως τὸν Βιτρούβιον ἐξήλεγξαν πεπλανημένον ὅ, τε Αἴψιος καὶ Ὅδιος»! κτλ. Τὴν ἀπάτην τοῦ Βιτρουβίου ἐξελέγχει καὶ Gronov. Thesaur. Antiquit. Graec. vol. 8. p. 2746.

(α) « Si tamen tale quid (λέγει Οὐόσσιος) scripserit Africanus,ita hoc accipiendum est, quod ut toto vitae spatio, ita quoque illo quem signarit anno locupletandae operam dederit Bibliothecae ». J. Voss. App. ad P. Melam p. 65.

(ϐ) Οὔτε παράλογον, ἀλλὰ καὶ μάλιστα πιθανώτατον (ὡς ἐκ τῆς φράσεως) φαίνεται ὅτι ὁ Σύγκελλος ἔγραψε· «Πτολεμαῖος . . . . τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην

φεστέραν ἀπόδειξιν; ἄκουσον ὁλόκληρον τὸ παρὰ τῷ Συγκέλλῳ τοῦ Ἀφρικανοῦ χωρίον· οὗτινος τὰ μὲν ἡγούμενα παρέλιπον (ὡς ἀσύμφωνα πρὸς τὸν σκοπὸν), μόνα δὲ τὰ κράσπεδα περικόψαντες, ὡς χρυσοῦ νομίσματος γύρον, ἢ ὡς χρυσοπήνητον ὑφάσματος ᾤαν, ἐπέδειξαν ἡμῖν οἱ περὶ τὸν Ὅδιον. Λέγει τοίνυν ὁ Ἀφρικανός· «Πτολεμαῖος οὗτος ὁ Φιλάδελφος, πᾶσαν πανταχόθεν, ὡς εἰπεῖν, συμφορήσας βίβλον τῆς Οἰκουμένης, σπουδῇ τοῦ Φαληρέως Δημητρίου, τρίτου νομοθέτου Ἀθηναίων» (ἀκούεις πότε, καὶ διὰ τίνος ἤρξατο *τὰς βίβλους συμφορεῖν*;), «ἀνδρὸς παρ' Ἕλλησι σπουδαίου· ἐν οἷς (ἴσ. γρ. *ΑΙΣ*, δηλαδὴ *βίβλοις*) καὶ τὴν Ἑβραίων Γραφὴν, ὡς *προτέτακται*, τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην καθίστησιν, ρλϐ, Ὀλυμπιάδι· ἧς πληρουμένης, τελευτᾷ· δέκα (ἴσ. γρ. *εἴκοσι*· βλ. ὄπισθ. σελ. 51) μυριάδες βιβλίων ἦσαν, ὥς τινές φασι» (α). Ταῦτα γράφουσι καὶ Ἀφρικανὸς, καὶ Σύγκελλος (Χρονογρ. τ. α. σελ. 518. ἐκδ. Bon.). Οἱ δ' αὐτοὶ προεῖπον μικρὸν ἔμπροσθεν (σελ. 516—518) καὶ τὰ ἐφεξῆς· «Πτολεμαῖος ὁ Φιλάδελφος, ἀνὴρ τὰ πάντα σοφὸς καὶ φιλοπονώτατος· ὃς πάντων Ἑλλήνων τε καὶ Χαλδαίων, Αἰγυπτίων τε καὶ Ῥωμαίων τὰς βίβλους συλλεξάμενος, καὶ μεταφράσας τὰς ἀλλογλώσσους εἰς τὴν Ἑλλάδα φωνὴν, μυριάδας βιβλίων ι, (τουτ. *δέκα*· ἀλλὰ καὶ ὧδε γρ. κ, *εἴκοσι*), ἀπέθετο κατὰ τὴν Ἀλεξάνδρειαν, ἐν ταῖς ὑπ' αὐτοῦ συστάσαις βιβλιοθήκαις». Καὶ ταύτην τοῦ Φιλαδέλφου τὴν πρᾶξιν τάττουσι πρώτην εὐθὺς μετὰ τὴν ἀρχὴν τῆς αὐτοῦ βασιλείας· ἐφεξῆς δὲ καὶ τῆς Φάρου τὴν κατασκευὴν ἱστοροῦσι, καὶ τὴν ὑπὸ τῶν Ο, τῶν Γραφῶν ἑρμηνείαν, πάντα ταῦτα τιθέντες (ὡς ὁ Εὐσέβιος) εἰς τὰς ἀρχὰς τῆς

καθίστησιν· ἧς πληρουμένης, Ὀλυμπιάδι ρλγ, τελευτᾷ. κτλ. Τῆς Ὀλυμπιάδος, δηλονότι δηλούσης τὴν ἐποχὴν οὐχὶ τῆς συμπληρώσεως τῆς βιβλιοθήκης, ἀλλὰ τὴν τῆς τελευτῆς τοῦ Φιλαδέλφου. Οἱ δὲ μεταγραφεῖς συνετάραξαν τὴν φράσιν, συγχύσαντες καὶ τὸ ἔσχατον τῆς Ὀλυμπ. ἀριθμητικὸν στοιχεῖον, καὶ γράψαντες οἱ μὲν ρλϐ, οἱ δὲ (κατὰ τὸν Γοάρον) ρλα. Ἀλλὰ περὶ τούτου οὐδόλως φιλονεικοῦμεν· κείσθω καὶ ὡς ἔχει (ἂν οὕτω δόξῃ) τὸ χωρίον· διότι καὶ οὕτως ἐξελέγχει τὴν πλάνην τῶν Σκαλιγηρικῶν!

τοῦ Φιλαδέλφου βασιλείας (κἂν μὴ καὶ ῥητῶς τὸν χρόνον ὁρίζουσι· βλ. ὄπισθ. σελ. 258). Ὥστε οἱ Σκαλιγήρειοι, καὶ μάλιστα οἱ περὶ τὸν Ὅδιον, ἀποδεχόμενοι καὶ τιμῶντες τὴν Ἀφρικανοῦ καὶ Συγκέλλου μαρτυρίαν, ὡς ἔνδοξον καὶ λαμπρὰν, ὀφείλουσιν ἐξ ἀνάγκης καὶ πάντα τὰ ἐν αὐτῇ προθύμως ὁμολογῆσαι, τήν τε τοῦ Φιλαδέλφου *σοφίαν*, καὶ τὰ *κατὰ τὸν Φαληρέα Δημήτριον*, καὶ τὴν ἐπ᾽ αὐτοῦ (δηλονότι κατ᾽ αὐτὰς τῆς βασιλείας τὰς ἀρχὰς) ὑπὸ τοῦ Φιλαδέλφου σπουδαζομένην σύστασιν τῆς βιβλιοθήκης. Καὶ ταῦτα μὲν τοιαῦτα.

Ὁποία δὲ καὶ τὰ τοῦ Ἰωσήπου; Λέγει οὗτος ὅτι « Ἔπειτα τὴν βασιλείαν τῆς Αἰγύπτου παραλαβὼν ὁ Φιλάδελφος, καὶ κατασχὼν αὐτὴν ἐπὶ ἔτη *ἑνὸς δέοντα* 40, τόν τε νόμον ἡρμήνευσε » κτλ. ὡς ἂν εἰ ἔλεγε κατ᾽ ἄλλην σύνθεσιν ἀναλυτικῶς· « Ἔπειτα ὁ Φιλάδελφος, *ὃς παρέλαβε τὴν βασιλείαν*, *καὶ κατέσχεν αὐτὴν ἐπὶ ἔτη* 39, *τόν* τε νόμον ἡρμήνευσε ». — ἢ, καὶ (κατ᾽ ἀνάλυσιν τῆς δευτέρας μόνον μετοχῆς) « ἔπειτα ὁ Φιλάδελφος, παραλαβὼν τὴν βασιλείαν, *ὃς καὶ κατέσχεν αὐτὴν* (ἢ, *ἣν καὶ κατέσχεν*) ἐπὶ ἔτη —, τόν τε νόμον, κτλ. (α)· ταῦτα λέγει ὁ ἱστορικός. Καὶ φαίνεται μὲν ἡ Ἰωσήπειος αὕτη φράσις περὶ τὴν σύνθεσιν ἰδιότροπος, καὶ τῇ τάξει τῶν κομμάτων πρωθυστερίζουσα, ἀπαντᾶται δὲ ὅμως σπανίως καὶ παρ᾽ ἄλλοις ἱστορικοῖς (β). Ἔπειτα καὶ τῷ μικρὸν προσ-

---

(α) Οὕτω καὶ ὁ παλαιὸς Λατῖνος μεταφραστὴς ἡρμήνευσε τὴν β, μετοχὴν (ἐγκλείσας μάλιστα καὶ διὰ παρενθέσεως) « Tum demum Aegypti regnum adeptus Philadelphus (quod quidem tenuit annos undequadraginta) et legem Judaicam curavit transferendam », etc.

(β) Τοιαύτη τις φαίνεται καὶ ἡ ἐφεξῆς τοῦ Θουκυδίδου· « Ἀπανίστανται ἐκ τῆς Μακεδονίας, καὶ ἀφικόμενοι εἰς Βέῤῥοιαν, κἀκεῖθεν ἐπιστρέψαντες, καὶ πειράσαντες πρῶτον τοῦ χωρίου, καὶ οὐχ ἑλόντες, ἐπορεύοντο κατὰ γῆν πρὸς τὴν Ποτίδαιαν » (ἀντὶ « καὶ πειράσαντες . . . καὶ οὐχ ἑλόντες, κἀκεῖθεν ἐπιστρέψαντες, ἐπορεύοντο » κτλ. Θουκυδ. Α, 61. σελ. 85. τόμ. α. Bipont.) Πρόσθες καὶ ἄλλην τοῦ Δεξίππου φράσιν, τὴν αὐτὴν σχεδὸν καὶ συγγενεστάτην τῆς Ἰωσήπου. « Πτολεμαῖος ὁ Λάγου, πρῶτος τῆς Αἰγύπτου μετ᾽ Ἀλέξανδρον βασιλεύσας ἔτη μ, ἐλθὼν εἰς Παλαίγαζαν συνάπτει μάχην

χόντι τὸν νοῦν γίνεται καταφανὲς τὸ νόημα τοῦ συγγραφέως, διὰ τὴν προκύπτουσαν ἐξαίσιον ἀτοπίαν, ἂν ἡ σύνθεσις τοῦ λόγου μὴ ἐκληφθῇ καθὼς προείπομεν· ἡ γὰρ ὑστερόχρονος ἐκδοχὴ τῶν μετοχῶν ποιεῖ τὸν Ἰώσηπον λέγοντα, ὅτι « ὁ Φιλάδελφος, ἀφ' οὗ παρέλαβε τὴν βασιλείαν, καὶ ἀφ' οὗ κατέσχεν αὐτὴν ἐπὶ ἔτη 39, τότε τὸν νόμον ἡρμήνευσεν »· ἤγουν ἀφ' οὗ, τέλος, ἐπαύσατο καὶ κατέχων τὴν βασιλείαν καὶ ζῶν! (διότι τὸ *τέρμα τῆς κατοχῆς τῆς βασιλείας* ὑπῆρξε πάντως τὸ αὐτὸ καὶ *τέρμα τῆς Φιλαδέλφου ζωῆς*, ὁποστονδήποτε τοῦτο τὸ ἔτος ὑποτεθῇ, εἴτε 39, εἴτε 38, εἴτε καὶ 40). Καὶ εἰς ταύτην τὴν παράλογον ἀτοπίαν ἐμπέπτωκεν Ὅδιος, ἑρμηνεύσας, ὡς ἡρμήνευσε τὸ χωρίον (§. ιϐ). Καὶ ὤφειλε μὲν ὁ σοφὸς ἀνὴρ, εἰ μή τι ἄλλο, ἀλλ' ὅμως αὐτῷ κἂν ἀκολουθῆσαι τῷ παλαιῷ ῥωμαίῳ μεταφραστῇ, ἀποδόντι τὸν *γνήσιον τοῦ Ἰωσήπου νοῦν*· ἀλλ' αὐτὸς μηδὲν ἄλλο βλέπων, εἰ μὴ πανταχοῦ τρανὰς ἀναιρέσεις καὶ ἀνατροπὰς τῆς Ἀριστέου συγγραφῆς, εἰσήγαγε κατ' αὐτῆς μαρτυροῦντα καὶ αὐτὸν αὐτῆς τὸν πιστὸν ἀντιγραφέα καὶ συνοψιστὴν Ἰώσηπον (α). Ἔπειτα, λέγει μὲν ὁ κριτικὸς ὅτι γράφει δοξασίαν ἀϐέϐαιον, προτιθεὶς εἰς τοὺς ἀναγνώστας, ἀλλ' ὅμως ἐν ταυτῷ κἄτι καὶ τεχνεύεται περὶ τὴν ἐξήγησιν. Ὁ μὲν γὰρ Ἰώσηπος ἱστορεῖ ῥητῶς τὸν Λαγίδην Πτολεμαῖον βασιλεύσαντα ἔτη *τεσσαράκοντα* (ἀνάγων δηλονότι εἰς αὐτὸν καὶ τὴν *διετίαν*,

---

Δημητρίῳ, κτλ. Δέξιππ. παρ' Εὐσεϐ. Χρον. ἐκδ. Scaliger. p. 58, καὶ Mediol. p. 184 (*ἡ δὲ μάχη γέγονεν Ὀλυμπ. ρις, τὸ γ, τῷ 11, ἔτει τῆς βασιλείας τοῦ Λαγίδου*). Ὕπαγε νῦν Ὅδιε καὶ λογίζου καὶ τὸν Λαγίδην ἀπὸ τῆς φράσεως, ὅτι τὴν πρὸς Δημήτριον μάχην συνῆψεν, ἀφ' οὗ ἐβασίλευσεν ἔτη 40.

(α) « Ὦ, πόσον (λέγει Οὐόσσιος), πόσον ἂν γελοῖος ὑπῆρχεν ὁ Ἰώσηπος, εἴπερ ἔγραφεν, ὅτι τὸ τελευταῖον ἔτος τῆς βασιλείας κατεσκεύασε τὴν βιϐλιοθήκην ὁ Φιλάδελφος, καὶ ταύτην ἐπιστατοῦντος Δημητρίου τοῦ Φαληρέως »! (Append. p. 65). Ὁ δὲ Ὅδιος τί πρὸς ταῦτα; — « Πῶς ἂν ἦν γελοῖος ὁ Ἰώσηπος, ἐγὼ μὲν οὐχ ὁρῶ. Πότε δὲ ἀπέθανεν ὁ Φαληρεὺς, ἡμεῖς μὲν οἴδαμεν, ἠγνόει δὲ Ἰώσηπος· ἠγνόει καὶ Ἀριστέας· ἠγνόουν καὶ οἱ παλαιοὶ Πατέρες· καὶ θαυμαστὸν οὐδέν· πάντα γὰρ ἐπίστευον εὐχερῶς, μηδὲν ἀνακρίνοντες » κτλ. (βλ. Hody p. 35. not.). Ἠγνόουν δὲ οὗτοι πάντες δηλονότι, ἐπειδὴ οὐκ ἀνέγνωσαν, ἢ οὐ κατενόησαν τὸν Ἕρμιππον, ὡς ὁ Σκαλίγηρος καὶ Ὅδιος! — Βαϐαί! τίς ἂν προσεδόκησεν ἀπὸ σοφοῦ καὶ σεμνοῦ καλάμου τοιαύτας Ἀστυδάμαντι πρεπούσας φωνάς;

ἣν συνεβασίλευσε μετὰ τοῦ υἱοῦ)· αὐτὸν δὲ πάλιν τὸν Φιλάδελφον (ὅστις ἐβασίλευσε καθ' ἑαυτὸν ἔτη 38, ὡς κοινῶς παρ' ἅπασι τοῖς δοκιμωτάτοις ὁμολογεῖται) λέγει *κατασχόντα τὴν βασιλείαν ἔτη* 39 (α). Ὁ δὲ Ὅδιος δραξάμενος τοῦ 39 ἀριθμοῦ, τὴν μὲν τοῦ Λαγίδου βασιλείαν, τεσσαρακονταετῆ σαφῶς παρ' Ἰωσήπῳ ἀριθμουμένην, ἀπεσιώπησε· προστιθεὶς δὲ τὴν διετίαν πρὸς τῇ τοῦ Φιλαδέλφου, συνήγαγεν ἐπὶ λέξεως, ὅτι « ὁ Ἰώσηπος τίθησι τὴν ἑρμηνείαν » (ἑπομένως δὲ καὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης) « *εἰς τὸν ἔσχατον, δηλονότι* τὸν 40 *ἐνιαυτὸν τῆς Φιλαδέλφου βασιλείας* » κτλ. (καί τοι τοῦ Ἰωσήπου μὴ τὸ 40, ἀλλὰ τὸ 39, τρανῶς ἀριθμοῦντος ἔσχατον τῆς βασιλείας ἔτος· « *ἑνὸς δέοντα* 40 »!). Οὕτως ὁ κλεινὸς ἀνὴρ, ἀφ' οὗ παρέστησε τὸν Φιλάδελφον ἀσχοληθέντα περὶ τὴν κατασκευὴν τῆς βιβλιοθήκης νῦν μὲν ἀορίστως « *μετὰ τὰ μέσα τῆς βασιλείας* », νῦν δὲ μᾶλλον ἐκπεφασμένως « *ἤδη προβεβηκότα καὶ γηράσκοντα καὶ φιλάῤῥωστον* », καὶ πάλιν ἔτι διωρισμένως, κατὰ τὸ 30 τῆς βασιλείας ἔτος, ἢ 32, ἢ 33, ἢ 34 (ἕκτον δηλονότι πρὶν ἀποθάνῃ), καὶ (ἔτι γενναιότερον) « *ὀλίγῳ πρὸ τῆς τελευτῆς* », τελευταῖον εἰσάγει τοῦτον ἐξ Ἰωσήπου σπουδάζοντα περὶ τὴν βιβλιοθήκην, « *καὶ ἀφ' οὗ κατέσχεν* (ὅσα δὴ καὶ κατέσχεν ἔτη) *τὴν βασιλείαν* » (ἤγουν ἤδη τεθνηκότα, ἢ καὶ κατὰ τὴν ἐσχάτην ἡμέραν τοῦ βίου, τὰ λοίσθια πνέοντα! ἢ πῶς ἄν τις ἀτοπώτερον ἐκφράσοι τὴν ἀτοπωτάτην ἑρμηνείαν τῶν λόγων τοῦ Ἰωσήπου;). Ταῦτα καὶ περὶ τῶν ἐσχάτων καὶ ἐν εἴδει κορωνίδος ἐπιτεθειμένων λαμπρῶν μαρτυριῶν!

§. κϐ'. Περὶ δὲ τοῦ « Καὶ ἡμεῖς παραλαβόντες τὴν βασιλείαν » κτλ. ὅπερ Ὅδιος προστίθησι (§. ιγ), τί ποτε ἄρα καὶ τοῦτο σημαίνει, λέγομεν εὐθύς (§. κγ. ἄρθρ. Α). Ἐνταῦθα δὲ καταπαύομεν τὰς

(α) Τοῦτον τὸν παρ' Ἰωσήπῳ μόνῳ φερόμενον 39, ἀριθμὸν τῶν ἐτῶν τῆς Φιλαδέλφου βασιλείας καὶ ὁ σοφὸς Χαμπολλιὼν ὡς παράδοξον ἐμνημόνευσε, καί πως πειρᾶται δικαιοῦν (Annal. des Lag. T. I. p. 387,). Ἀλλὰ μήπως ὁ μὲν Ἰώσηπος ἔγραψε διὰ στοιχείου, « Β, δέοντα » (δυοῖν δέοντα)· ὁ δ' ἀντιγραφεὺς ἐκλαβὼν τὸ β, ὡς α, ἔγραψεν ὁλόγραφον « ἑνὸς δέοντα; » κτλ.

πρὸς ἕκαστον τῶν Ὀδιακῶν ἐπιχειρημάτων ἀκριβῶς καὶ κατὰ μέρος ἀντιστοιχούσας ἀπαντήσεις, ἐξ ὧν (ὡς νομίζομεν) ἐξελέγχεται ψευδὲς καὶ τὸ ἐπενεχθὲν συμπέρασμα (§. ιδ). Καὶ τοίνυν συμπεραίνομεν τἀνάπαλιν. Ὅτι οὐδαμοῦ οὐδόλως φαίνεται ὁ Ἀριστέας φρονῶν τὴν ἑρμηνείαν γενομένην μετὰ πολλοὺς ἀπὸ τῆς ἀρχῆς τῆς Φιλαδέλφου βασιλείας ἐνιαυτούς. Καὶ ἑπομένως ἀληθεύουσιν ἑκάτερα τὰ παρακολουθοῦντα τῇ ἱστορίᾳ, ὅτι τε κατ᾽ ἀρχὰς τῆς βασιλείας γέγονεν ἡ ἑρμηνεία, καὶ ὅτι διὰ Δημητρίου τοῦ Φαληρέως. Ὁ δὲ σοφὸς Ὅδιος, οἰηθεὶς ὅτι πάμπαν ἀσφαλῶς καὶ βεβαίως καὶ γεωμετρικῶς ἐπραγματεύσατο τὴν ὑπόθεσιν, ἐπήγαγεν ἐπὶ τέλους καὶ τὴν γεωμετρικὴν κατακλεῖδα, γράμμασι γράψας ἑλληνικοῖς· « *ὅπερ ἔδει δεῖξαι* »!

§. κγ. Μόλις, τέλος, ἀναγνῶστα, κἀγὼ καὶ σὺ ἀσθμαίνοντες καὶ κεκμηκότες διήλθομεν τὸν μακρὸν, καὶ δὴ καὶ πολυέλικτον, καὶ σηραγγώδη τῶν Ὀδιακῶν ἀντιῤῥήσεων πορθμὸν, διὰ σκαφιδίου μικροῦ καὶ εὐπεριτρέπτου « *τὴν ὅλην ἀναμετρήσαντες χάρυβδιν* ». Ἤδη δὲ τὸν κίνδυνον ἄσμενοι διαφυγόντες, ἀναλάβωμεν ἐν περιλήψει καὶ συντόμως τὰς ἀποδείξεις, ὅτι ἡ μετάφρασις ἐγένετο περὶ τὰς ἀρχὰς τῆς Φιλαδέλφου βασιλείας, ὁπότε συνεβασίλευε μετὰ τοῦ πατρός.

Α) Αὐτὸς ὁ Φιλάδελφος, ἐρωτῶν τοὺς πρεσβυτέρους τά τε ἄλλα, καὶ « *Πῶς ἂν τοῖς γονεῦσι τὰς ἀξίας ἀποδῴη χάριτας* »; καὶ οὗτοι πάλιν πρὸς τοῖς ἄλλοις ἀπαντῶντες « *εἰ μηδέποτε αὐτοὺς λυπήσει* », μαρτυροῦσι τρανῶς ἔτι τότε ζῶντας τοὺς γονεῖς τοῦ Φιλαδέλφου (βλ. Κεφ. η. §. ε). Τοῦτ᾽ αὐτὸ καταφαίνεται καὶ ἐκ τῆς Φιλαδέλφου πρὸς Ἐλεάζαρον ἐπιστολῆς, ὅπου γράφει· « Καὶ ἡμεῖς δὲ παραλαβόντες τὴν βασιλείαν, φιλανθρωπότερον ἀπαντῶμεν τοῖς πᾶσι » κτλ. ὡς ὀρθῶς οἱ περὶ τὸν Σαλιανὸν παρετήρησαν (βλ. §. ιγ). Ὁ δὲ σοφὸς Ὅδιος ἀπατηθεὶς, παρηρμήνευσε καὶ τοῦτο τὸ χωρίον (βλ. §. ιγ)· ὡς ἂν εἰ ἔλεγεν ἡ ἐπιστολή· « Καὶ ἡμεῖς δὲ ἐξ ὅτου παρελάβομεν τὴν ἀρχὴν, *ἀείποτε εἰώθαμεν* φιλανθρωπότερον χρῆσθαι τοῖς Ἰουδαίοις » κτλ. Ὅτι δὲ πάντῃ διάφορός ἐστιν ὁ τῆς

ρήσεως νοῦς, αὐτὸ τὸ πρᾶγμα δείξει. Ἀναλάβωμεν τὰ τῆς ἐπιστολῆς ἄνωθεν ἐξ ἀρχῆς. « Ἐπειδὴ συμβαίνει (ἴσ. γρ. *συνέβη*, ἢ *συμβέβηκε*) πλείονας τῶν Ἰουδαίων εἰς τὴν ἡμετέραν χώραν κατοικεῖσθαι (ἴσ. γρ. *κατῳκίσθαι*), γενηθέντας ἀναστάτους ἐκ τῶν Ἱεροσολύμων ὑπὸ Περσῶν, καθ᾽ ὃν ἐπεκράτουν χρόνον· ἔτι δὲ καὶ συνεληλυθέναι τῷ πατρὶ ἡμῶν εἰς τὴν Αἴγυπτον αἰχμαλώτους, ἀφ᾽ ὧν πλείονας εἰς τὸ στρατιωτικὸν σύνταγμα κατεχώρισεν ἐπὶ μείζοσι μισθοφορίαις· ὁμοίως δὲ καὶ, τοὺς προόντας κρίνας πιστοὺς, φρούρια κτίσας ἀπέδωκεν αὐτοῖς, — καὶ ἡμεῖς *δὲ* (ἴσ. γρ. δὴ) *παραλαβόντες τὴν βασιλείαν, φιλανθρωπότερον ἀπαντῶμεν τοῖς πᾶσι· πολὺ δὲ μᾶλλον τοῖς σοῖς πολίταις, ὧν ὑπὲρ δέκα μυριάδας αἰχμαλώτων ἠλευθερώκαμεν* » κτλ. Ἐκ τῆς ὅλης ταύτης συμφράσεως βλέπομεν ὅτι ὁ Φιλάδελφος, αἰτιολογήσας τὴν τῶν Ἰουδαίων εἰς Αἴγυπτον κατοίκισιν, ἐπιδείξας δὲ καὶ τὴν πρὸς τούτους παρὰ τοῦ πατρὸς εὐμένειαν καὶ τιμὴν, ἐπιφέρει πρὸς ἀπόδοσιν τοῦ λόγου παρευθὺς τὸ, « *καὶ ἡμεῖς δὴ* (= οὖν, ἤ, ἤδη, ἄρτι) *παραλαβόντες τὴν βασιλείαν, φιλανθρωπότερον ἀπαντῶμεν τοῖς πᾶσι* » κτλ. Τοῦτο δὲ τί ἄλλο δηλοῖ, εἰ μὴ ὅτι τότε νεωστὶ παρέλαβε τὴν βασιλείαν, καὶ παραλαβὼν, ἠλευθέρωσε τοὺς αἰχμαλώτους; ἢ πρὸς τί προσέθηκε καὶ τὸ *παραλαβόντες τὴν βασιλείαν*, εἴπερ ἐβασίλευεν ἤδη πάλαι πρὸ χρόνων πολλῶν; ὁ δὲ καὶ τὴν φιλανθρωπίαν ἐκφράζει, μεθ᾽ ἧς *ἀπαντᾷ*, δηλαδὴ προσφέρεται καὶ ἐμφανίζεται *πρὸς πάντας τοὺς ὑπηκόους* (ὡς εἰώθασι μάλιστα οἱ νεωστὶ βασιλεύοντες ἀνακηρύττειν πρὸς τοὺς λαοὺς), συγχρόνως δὲ *καὶ μάλιστα πρὸς τοὺς* Ἰουδαίους, καθὸ τούτοις *φιλανθρωπότερον* (ἢ ὁ πατὴρ) ἀπαντήσας· ἐπεξηγῶν δὲ ταύτην τὴν διαφέρουσαν πρὸς τοὺς Ἰουδαίους φιλανθρωπίαν ἐπιφέρει· « ὧν ὑπὲρ τὰς δέκα μυριάδας ἠλευθερώκαμεν ». Ταῦτα πρὸς τὸν ἀρχιερέα ὁ Φιλάδελφος ἀναγγέλλων, φαίνεται κατ᾽ ἀρχὰς τῆς βασιλείας ἐλευθερώσας τοὺς αἰχμαλώτους. Τοῦτο δὲ καὶ Ματθίας ὁ Παλμέριος (ἀρχαῖος Ἀριστέου μεταφραστὴς) συνιδὼν, ἡρμήνευσε τὴν φράσιν οὕτως· « *Καὶ ἡμεῖς, ἀφ᾽ οὗ τὸ πηδάλιον τῆς βασι-*

λείας παρελάβομεν, φιλανθρωπίᾳ χρώμενοι πρὸς ἅπαντας, μάλιστα δὲ πρὸς τοὺς σοὺς πολίτας, *τούτων ὑπὲρ τὰς δέκα μυριάδας ἠλευθερώκαμεν* » (α). Τὰ δ' αὐτὰ λέγει καὶ ἡ παρ' Ἰωσήπῳ τοῦ Φιλαδέλφου ἐπιστολή· οὐδ' ὠφελήθη Ὅδιος οὐδ' ὁπωσοῦν ἐξ ἧς προβάλλει περὶ τὴν φράσιν διαφορᾶς (§. ιγ). Διότι καὶ Ἰώσηπος ἀπαραλλάκτως, ὡς ἔχουσι καὶ τὴν σήμερον τὰ τοῦ Ἀριστέου (καὶ οὐκ ἄλλως πως, ὡς ὑπαινίττεται Ὅδιος) *ἀναγνοὺς*, καὶ συνοψίσας τὴν ἱστορίαν ἐξέφερεν, ὥς τ' ἄλλα, καὶ τὴν ἐπιστολὴν συντομώτερον, λέγων· « Πολλῶν ἐν τῇ ἐμῇ βασιλείᾳ κωτῳκισμένων Ἰουδαίων, οὓς αἰχμαλωτισθέντας ὑπὸ Περσῶν, ὅτ' ἐκράτουν, ὁ ἐμὸς πατὴρ ἐτίμησε, — τὴν ἀρχὴν ἐγὼ παραλαβὼν, πᾶσι μὲν φιλανθρώπως ἐχρησάμην, μάλιστα δὲ τοῖς σοῖς πολίταις, ὧν ὑπὲρ δέκα μὲν μυριάδας αἰχμαλώτων ἀπέλυσα » κτλ. (Ἰώσ. Ἀρχ. ιϐ. Β. §. 4). Ὥστε καὶ ἐν τούτοις τοῖς παρῳχημένοις χρόνοις οὐδὲν ἄλλο λέγει ὁ Φιλάδελφος, εἰ μὴ ὅτι, « ὡς παρέλαβε τὴν ἀρχὴν, *πᾶσι* μὲν ἐχρήσατο *φιλανθρώπως* (ἀμέσως δηλαδὴ καὶ παρευθὺς ἀρχόμενος τῆς βασιλείας· ἢ μήπως ὕστερον, ἀφ' οὗ πολλοὺς ἐβασίλευσε χρόνους, τότε ἐχρήσατο τῇ φιλανθρωπίᾳ;), πολὺ δὲ μᾶλλον καὶ ἐξαι-

---

(α) « Nos **ubi** regni gubernacula cepimus, benignitate erga omnes, tum maxime erga cives tuos affecti, eorum supra 100000. libertate donavimus » etc. (Hist. Arist. παρ' αὐτῷ Hody pag. 36). Ὁ δὲ ἕτερος Ματθίας ὁ Γαρβίτιος (ᾧ καὶ Ὅδιος παρηκολούθησε) κολοβῶς καὶ ταῦτα μεθηρμήνευσεν οὑτωσί· « Nos **vero** consecuti regni administrationem, cum alijs omnibus exhibemus nos humaniores, tum vero praecipue civibus tuis etc (βλ. Ἀριστέα ἐν τοῖς Ἰωσήπου. τόμ. β. σελ. 106, ἐκδ. Hav.)· τουτ. « Ἡμεῖς δὲ διαδεξάμενοι τὴν διοίκησιν τῆς βασιλείας, τοῖς τε ἄλλοις ἅπασι φιλανθρωπότερον προσφερόμεθα, μάλιστα δὲ τοῖς σοῖς πολίταις, κτλ. Τὸ δὲ χεῖρον, ὅτι ὁ καλὸς Γαρβίτιος (ἐκδ. αὐτ. Hav.) λατινίζων ἐν τούτοις ἐβαρβάρισεν· ἡ γὰρ ἐπιστολὴ, ἀρχομένη ἀπὸ τοῦ **ἐπειδὴ**, ἔχει τὴν ἀπόδοσιν εἰς τὸ, « **Καὶ ἡμεῖς δὲ** (ὅπου φανερῶς ἐλέγχεται ἡ ψευδὴς τοῦ **δὲ** γραφὴ διορθωτέα εἰς τὸ **δή**). Ὡσαύτως καὶ Γαρβίτιος ἑρμηνεύσας ἐξ ἀρχῆς Quoniam evenit, et quia . . . ἔπειτα ἀκολουθῶν καὶ τὸ ἐσφαλμένον ἑλληνικὸν **δὲ**, ἐπιφέρει· **nos vero**, δέον χωρὶς τοῦ vero τὴν ἀπόδοσιν ἐξενεγκεῖν, ὡς ὀρθῶς ἔγραψεν ἀνωτέρω καὶ ὁ Παλμέριος « Nos **ubi** etc. Πλὴν ἀλλ' ὅμως ἐν τῇ παρ' Ὁδίῳ (p. VI) ἐκδόσει τῆς Γαρβιτείας ἑρμηνείας τοῦ Ἀριστέου ἀντὶ τοῦ vero, κεῖται ὀρθότερον τὸ **etiam**.

ρέτως ἐφιλανθρωπεύσατο πρὸς τοὺς Ἰουδαίους, ἀπολύσας τοὺς αἰχμαλώτους. Ἐπειδὴ δὲ ὁ Φιλάδελφος παρέλαβε τὴν ἀρχὴν παρὰ τοῦ πατρὸς, διετίαν ὅλην ἐπιζήσαντος· ἅμα δὲ παραλαβὼν ἀπελύτρωσε τοὺς αἰχμαλώτους τῶν Ἰουδαίων· ἐλύτρωσε δὲ τούτους ἀφ' οὗ πρῶτον ἐδογμάτισε μετακαλέσασθαι παρὰ τοῦ ἀρχιερέως τοὺς τῶν Γραφῶν ἑρμηνεῖς· ἄρα κατ' ἐκείνην ἔτι τὴν διετίαν ἐπικρατοῦσαν καὶ πρὸς Ἐλεάζαρον ἔγραψε τὴν ἐπιστολὴν, καὶ τὴν ἑρμηνείαν κατώρθωσε τῶν Γραφῶν.

Β) Ὅθεν καὶ ἡ τοῦ ἀρχιερέως πρὸς τὸν Φιλάδελφον ἐπιστολὴ, μνημονεύουσα τῆς βασιλίσσης καὶ ἀδελφῆς αὐτοῦ Ἀρσινόης (ἣν πρώτην ἔγημεν ὁ Φιλάδελφος, ἔτι ζῶντος αὐτῷ τοῦ πατρὸς, βλ. ὄπισθ. σελ. 177. κτλ), καὶ αὕτη λοιπὸν ἡ ἐπιστολὴ κατ' ἐκείνην τὴν διετίαν ἐγράφη, καὶ προσηνέχθη τῷ Φιλαδέλφῳ παρὰ τῶν ΟΒ, ἑρμηνευτῶν.

Γ) Διὰ τὴν ἐπὶ τῆς διετίας ταύτης γενομένην τῶν Γραφῶν ἑρμηνείαν, καὶ ἐξ αὐτῶν τῶν θείων Πατέρων οἱ ἀρχαιότατοι, οἱ μὲν ἀπονέμουσι τὴν πρᾶξιν εἰς ἀμφοτέρους τοὺς Πτολεμαίους (τὸν Λαγίδην καὶ τὸν Φιλάδελφον), οἱ δὲ πάλιν πρὸς τὸν Λαγίδην (ὡς κοινοποιήσαντα τῷ υἱῷ τῷ Φιλαδέλφῳ τὴν βασιλείαν), οἱ δὲ καὶ ἐπαμφοτερίζουσιν, οἱ δὲ πλεῖστοι, τέλος, εἰς τὸν Φιλάδελφον (ὡς διέποντα τὴν ἀρχὴν, καὶ περὶ τὴν ἑρμηνείαν ἐνεργότατον γενόμενον) (α). Αὐτίκα πρῶτος ὁ ἱερὸς Ἀνατόλιος ὁ Λαοδικείας

(α) Ταῦτα σεσημείωκεν ὁ σοφὸς Πεταύϊος (D. Petav. animad. in S. Epiphan. T. 2. p. 380). Πρόσθες καὶ πέμπτον εἶδος, καθ' ὃ τινὲς τῶν θείων πατέρων ἐκφέρουσι τὸν Πτολεμαῖον (ἐφ' οὗ γέγονεν ἡ ἑρμηνεία) χωρίς τινος ἐπωνυμίας γνωριστικῆς. Οὕτως ὁ μακάριος Ἰουστῖνος λέγει «Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς» (προτρεπτ. πρὸς τοὺς Ἕλλην. §. ιγ. καὶ Ἀπολογ. Α. §. λα. καὶ Διαλ. πρὸς Τρύφ. §. α. βλ. καὶ ἐφεξ. Βιβλ. Β. κεφ. Δ. §. δ, καὶ ιγ), καὶ Κύριλλος Ἀλεξανδρείας (κατὰ Ἰουλιαν. Α. τόμ. δ. σελ. 12 Paris), καὶ Ὀλυμπιόδωρος (προοίμ. εἰς Ἰὼβ), καὶ Hilar. Pictav. (Prol. ad libr. Psalm. καὶ Tract. in Psalm. 4), καὶ εἴ τις ἕτερος. Οἱ δὲ τοιοῦτοι ἄδηλον πότερον τῶν Πτολεμαίων ἐνόουν, τὸν Φιλάδελφον, ἢ μᾶλλον τὸν Λαγίδην (ὅστις καὶ παρ' Ἕλλησι πολλάκις ἁπλῶς Πτολεμαῖος ὀνομάζεται). Ἀλλ' ὁπότερον ἐνόουν, ἀληθεύουσι, διὰ τὴν διετίαν. Ὅσοι δὲ τῶν νεωτέρων ὑπέλαβον

λέγει « τοὺς Ἑβδομήκοντα τὰς ἱερὰς τῶν ἑβραίων ἑρμηνεύσαντας Γραφὰς Πτολεμαίῳ τῷ Φιλαδέλφῳ καὶ τῷ τούτῳ πατρί » (παρ' Εὐσεβ. Ἐκκλ. ἱς. Ζ, 32. βλ. καὶ ἐφεξῆς κεφ. ιϐ, §. ϛ).

Δ) Ὁ δὲ θεῖος Εἰρηναῖος, ὁ μάρτυς Χριστοῦ καὶ Λουγδούνων ἐπίσκοπος (κατὰ Αἱρέσ. γ. 25. βλ. καὶ Εὐσεβ. Ἐκ. ἱς. Ε, 8)· « Πτολεμαῖος (φησὶν) ὁ Λάγου, φιλοτιμούμενος τὴν ὑπ' αὐτοῦ κατασκευασθεῖσαν βιβλιοθήκην ἐν Ἀλεξανδρείᾳ κοσμῆσαι τοῖς πάντων ἀνθρώπων συγγράμμασιν, ὅσα γε σπουδαῖα ὑπῆρχεν, ᾐτήσατο παρὰ τῶν Ἱεροσολυμιτῶν εἰς τὴν ἑλληνικὴν διάλεκτον σχεῖν αὐτῶν μεταβεβλημένας τὰς Γραφάς ».

Ε) Ὁ δὲ Κλήμης ὁ Ἀλεξανδρεύς (Στρωμ. Α. σελ. 250. Heins.). « Ἑρμηνευθῆναι δὲ (λέγει) τὰς Γραφὰς, τάς τε τοῦ νόμου καὶ τὰς προφητικὰς, ἐκ τῆς τῶν Ἑβραίων διαλέκτου εἰς τὴν Ἑλλάδα γλῶτταν φασὶν ἐπὶ Πτολεμαίου τοῦ Λάγου, ἢ, ὥς τινες, ἐπὶ τοῦ Φιλαδέλφου ».

Ϛ) Ὁ δὲ θεῖος Χρυσόστομος λέγει μὲν ἐπὶ Φιλαδέλφου γενομένην τὴν ἑρμηνείαν, τοὺς δ' οὖν χρόνους ἀριθμῶν, οὐχ ὁμοίως πανταχοῦ διορίζει. Νῦν μὲν λέγει « *πρὸ ἑκατὸν, ἢ καὶ πλειόνων ἐτῶν* τῆς τοῦ Χριστοῦ παρουσίας » (Ὁμιλ. εἰς Ματθ. ε, 32), ἀλλαχοῦ δὲ πάλιν ἀορίστως, « *οὐ πρὸ πολλῶν ἐτῶν* τῆς τοῦ Χριστοῦ παρουσίας » (εἰς Γένεσ. ὁμιλ. δ)· ἀλλ' ὁ αὐτὸς εἶπε καὶ *πρὸ τριακοσίων ἐτῶν* τῆς τοῦ Χριστοῦ παρουσίας, ἐπὶ Πτολεμαίου τοῦ βασιλέως Αἰγυπτίων » (τόμ. ϛ. σελ. 183, Ἑνετ.). Ὁ δὲ 300, οὗτος ἐνιαυτὸς συμπίπτει τῷ 23 ἔτει τῆς Λαγίδου βασιλείας (καὶ περιττεύουσι 17, περίπου ἔτη πλείονα τῆς ἐποχῆς, καθ' ἣν τάσσεται ἡ ἑρμηνεία· βλ. ὄπισθ. §. ιε, καὶ σελ. 126)· ἀλλ' ὁ Πατὴρ ἀπολυπραγμονήτως ἔλαβε τὸν ἔγγιςα ὁλόκληρον ἀριθμὸν (τὸν 300). Ὥστε καὶ τὸ πρῶτον, τὸ « *πρὸ ἑκατὸν* » (ἢ καὶ « *πλειόνων* » κτλ·) φαίνεται

ἐπὶ τοῦ Α, Πτολεμαίου μὲν ἀρξαμένην τὴν ἑρμηνείαν, συντελεσθεῖσαν δὲ ἐπὶ Φιλαδέλφου (βλ. ὄπισθ. σελ. 127), οὐ διὰ τὴν διετίαν ἔκριναν τοῦτο τὸ παράλογον, ἀλλὰ διότι ἠπατήθησαν ἐκ τῆς ψευδῶς πλασθείσης ἐξορίας τοῦ Φαληρέως. Ὁ δὲ Μύκκης προσέθηκε καὶ διὰ τὸ δυσχερὲς καὶ ἐν ὀλίγῳ χρόνῳ δυσκατόρθωτον τῆς ἑρμηνείας!! Mücke. De orig. vers. Sept. interpr. p. 64.

οὐ μᾶλλον μνημονικὸν ἁμάρτημα τοῦ Χρυσοῤῥήμονος, ἢ τῶν ἀντιγραφέων· ἴσως γὰρ ἐγράφετο κἀκεῖ διὰ τοῦ στοιχείου τ, (τριακοσίων)· ὁ δ᾽ ἀντιγραφεὺς ἔτρεψε τὸ τ, εἰς ρ (ἑκατόν). Τὸ δὲ τρίτον, τὸ, « *οὐ πρὸ πολλῶν ἐτῶν* » εἶπεν ὁ πατὴρ σχετικῶς, ὡς πρὸς τὴν ἀρχαιότητα τῶν « *πεπαλαιωμένων* » πρωτοτύπων ἑβραϊκῶν Γραφῶν, ἃς εἶπε πρὸ ὀλίγου (αὐτόθ.) « *ἐξ ἀρχῆς ἑβραϊστὶ γεγραμμένας* » (α). Ἐν δὲ τῇ εἰς τὸν Μ. Ἀθανάσιον ἐπιγραφομένῃ *Συνόψει τῆς θείας Γραφῆς* καταγράφεται ἡ ἑρμηνεία « πρὸ 230: ἐνιαυτῶν π. Χ. (Μ. Ἀθανάσ. τ. β. σελ. 135. ἐκδ. Κομμ.). Ἀλλ᾽ οὐδ᾽ οὗτος ὁ ἀριθμὸς φαίνεται ἀσφαλής· ἄλλος κώδηξ παρ᾽ Ὀδίῳ (σελ. 95) ἔχει *πρὸ τοῦ τα,* (301) *ἐνιαυτοῦ* ».

Ζ) Ὁ Κύρου δὲ ποιμὴν καὶ γραφικώτατος διδάσκαλος Θεοδώρητος (Προοιμ. εἰς τοὺς Ψαλμ.) λέγει· « Ἐμοὶ δοκεῖ τολμηρὸν εἶναι τὰς ἀνέκαθεν ἐμφερομένας ἐπὶ Πτολεμαίου, τοῦ τῆς Αἰγύπτου μετ᾽ Ἀλέξανδρον βασιλεύσαντος, ἀνατρέπειν (τῶν ψαλμῶν) ἐπιγραφὰς, ἃς οἱ Ο, πάντες πρεσβύτεροι μετέθηκαν εἰς τὴν Ἑλλάδα φωνὴν, ὡς καὶ τὴν ἄλλην ἅπασαν θείαν Γραφήν » κτλ. Πτολεμαῖον δὲ λέγων τὸν μετ᾽ Ἀλέξανδρον βασιλεύσαντα, φανερὸν ὅτι τὸν ἄμεσον Ἀλεξάνδρου διάδοχον, τὸν τοῦ Λάγου νοεῖ.

(α) Τοῦτο τὸ Χρυσοστόμειον, τὸ « *οὐ πρὸ πολλῶν ἐτῶν* » παραβάλλοι τις ἂν καὶ πρὸς τὸ « νεωστὶ » τοῦ Πλάτωνος, ὅστις εἶπε· « Θεμιστοκλέα, καὶ Κίμωνα, καὶ Περικλέα τουτονὶ, *τὸν νεωστὶ τετελευτηκότα* » (Γοργ. σελ. 122). Ἔψεξε τὸν Πλάτωνα διὰ τοῦτο, *ὡς ἁμαρτόντα παρὰ τοὺς χρόνους*, ὁ τοῦ Ἀθηναίου Δειπνοσοφιστὴς (Ε, 217)· « *πρὸ πολλοῦ γὰρ πάνυ χρόνου* (πρὸ τοῦ Πλάτωνος) *ἀπέθανε Περικλῆς* » — Ἀλλ᾽ ἡ συνήθης παρ᾽ Ἕλλησι χρῆσις διδάσκει, καὶ ὁ πολὺς Κασωβὼν μαρτυρεῖ, ὅτι οἱ τοιοῦτοι χρονικοὶ διορισμοὶ (*νεωστὶ, πρὸ μικροῦ, οὐ πρὸ πολλοῦ*, κτλ.) πολλάκις ἐμφαίνουσιν, ὡς τὰ πρός τι, μεῖζον ἢ ἔλασσον διάστημα χρόνου σχετικῶς, ὡς πρὸς ἄλλο τι προηγούμενον· οὕτω Περικλῆς λέγεται *νεωστὶ* ἀποθανὼν ἀναφορικῶς, ὡς πρὸς τοὺς προηγουμένους, τὸν Κίμωνα, καὶ Θεμιστοκλέα. — Ἐμφαίνει δέ πως τὸ *νεωστὶ* καὶ τὴν μέχρι Πλάτωνος, καὶ ἐφεξῆς *νεαρὰν* εἰσέτι θάλλουσαν δόξαν καὶ μνήμην τοῦ Περικλέους· (Casaub. παρὰ Schweighaeus. Animadv. in Athen. T. 3. p. 235). Καὶ τὸ τοῦ Χρυσοῤῥήμονος ἄρα « *οὐ πρὸ πολλοῦ* τοῦ χρόνου » παρομοίως ἂν ἐμφαίνοι καὶ τὸ ἐπ᾽ αὐτοῦ καὶ εἰς τὸν ἅπαντα αἰῶνα νεαρὸν καὶ ἀγήραντον κλέος τῆς *τῇ Καινῇ Διαθήκῃ* συνεζευγμένης ἑλληνικῆς ἑρμηνείας τῶν θείων Γραφῶν.

Η) Ὁ δὲ Νικήτας ὁ Ἡρακλείας (προοιμ. Σειρ. τῶν Πατ. εἰς τοὺς Ψαλμ.) ἱστορεῖ τοὺς Ο, μεταφράσαντας τὴν Γραφὴν, « ὅτε μετ᾽ Ἀλέξανδρον τὸν Μακεδόνα Πτολεμαῖος ὁ Φιλάδελφος κατ᾽ Αἴγυπτον ἐβασίλευσε, *πρὸ τριακοσιοστοῦ καὶ τριακοστοῦ ἐνιαυτοῦ* τῆς τοῦ Σωτῆρος ἐπιδημίας ». Ἀλλὰ τὸ μὲν ἔτος φαίνεται προφανῶς ἐσφαλμένον (τότε γὰρ οὐδ᾽ αὐτὸς ὁ Λαγίδης εἶχέ πω βασιλεύσας, ὡς ἔτι ζῶντος Ἀλεξάνδρου). Ἄλλος δέ τις τοῦτο τὸ 330, μετέβαλεν ἔτι τραγικώτερον εἰς 430 : (βλ. κάτωθι τὴν σημείωσιν). Ἀλλ᾽ ἴσως ὁ Νικήτας ἔγραψεν ἢ μόνον *τριακοσιοστοῦ* (κατὰ τὸν Χρυσόστομον), ἢ 200, καὶ 30 (κατὰ τὸν Ἀθανάσιον, εἴπερ οὕτω καὶ αὐτὸς ἀνέγνω ἐν τῇ Συνόψει). Καὶ Πτολεμαῖον δὲ λέγων τὸν ἀμέσως *μετ᾽ Ἀλέξανδρον* βασιλεύσαντα, τὸν Λαγίδην εἶχε κατὰ νοῦν (ὡς καὶ ὁ Θεοδώρητος)· ἔπειτα, εἴτε δι᾽ αὐτοῦ μνημονικὸν παράπτωμα, εἴτε καὶ διὰ πλάνην τῶν βιβλιογράφων, ἐτέθη καὶ ὧδε τὸ *Φιλάδελφος* ἀντὶ τοῦ Λαγίδου· οὐδ᾽ οὕτω κακῶς, ὡς πρὸς τὴν ἐποχὴν τῆς ἑρμηνείας (α).

Θ) Οὕτω καὶ Ἰωάννης ὁ Μαλαλᾶς· « Ἐπὶ τῆς βασιλείας τοῦ αὐτοῦ Πτολεμαίου, τοῦ υἱοῦ τοῦ Λάγου, ἡρμηνεύθησαν αἱ βίβλοι

(α) Οὕτω καὶ Κοσμᾶς ὁ Αἰγύπτιος (προλογ. εἰς Ψαλμ. παρὰ Δεμαγίστ. σελ. 646)· « Πρὸ χρόνων γὰρ τριάκοντα σὺν τοῖς τετρακοσίοις. — Ὁ μετὰ τὸν Ἀλέξανδρον Αἰγύπτου βασιλεύσας, Φιλάδελφος » (ἀντὶ Λαγίδης) « καλούμενος τὴν κλῆσιν, Πτολεμαῖος ». κτλ. — Καί τις ἄλλος ἀνώνυμος (παρ᾽ Ὁδίῳ σελ. 92) ἐν προοιμίῳ Σχολίων εἰς τοὺς ψαλμοὺς (ἅπερ ἐξεδόθησαν λατινιστὶ ὑπὸ τὸ ὄνομα τοῦ Μ. Βασιλείου), λέγει τοὺς ψαλμοὺς καὶ πᾶσαν τὴν γραφὴν ἑρμηνευθεῖναι τὸ πρῶτον « ἐπὶ τοῦ διαδεξαμένου τὸν Ἀλέξανδρον Πτολεμαίου τοῦ Φιλαδέλφου » (ἀντὶ τοῦ Λαγίδου) « υἱοῦ τοῦ Φιλίππου ». Τοῦτο δὲ τὸ υἱοῦ τοῦ Φιλίππου, φαίνεται μετατεθειμένον ἐκ τοῦ οἰκείου αὐτοῦ τόπου· καὶ ὁ μὲν συγγραφεὺς ἴσως ἔγραψε « διαδεξαμένου τὸν Ἀλέξανδρον υἱὸΝ τοῦ Φιλίππου »· ὁ δ᾽ ἀβλεπτῶν ἀντιγραφεὺς διασπάσας τὰς λέξεις ἐξεκύλισε μετὰ τὸ, Φιλαδέλφου· πλὴν εἰ μή που ὁ συγγραφεὺς ἐξεφράσθη, κατ᾽ ἐκεῖνο τὸ παρὰ Παυσανίᾳ (Α. ϛ. βλ. ὄπισθ. σελ. 164), ὅτι « Πτολεμαῖον Μακεδόνες Φιλίππου παῖδα τοῦ καὶ Ἀμύντου, λόγῳ δὲ Λάγου νομίζουσι » κτλ. (οὕτως ὑπέλαβεν Ὅδιος l. c. p. 92)· ὅπερ ὅμως οὐ πάνυ τι φαίνεται πιθανὸν, οὔτε ἐξ αὐτοῦ τοῦ συγγραφέως, οὔτε καὶ ἐκ τῶν ἄλλων ἱστορικῶν, οἵτινες πανταχοῦ οὐχὶ τοῦ Φιλίππου (κατὰ τὴν φήμην), ἀλλὰ τοῦ Λάγου συνήθως υἱὸν ὀνομάζουσι τὸν Α, Πτολεμαῖον.

τῶν Ἰουδαίων ἑλληνιστὶ παρὰ τῶν οβ, διδασκάλων δι' ἡμερῶν οβ » (α).

I) Καὶ ἐκ τῶν Λατίνων δὲ ὁ Φιλάστριος ἱστόρησεν ὅτι ἡ θεία Γραφὴ μετεφράσθη ἐπὶ Πτολεμαίου, τοῦ μετὰ τὸν Μ. Ἀλέξανδρον βασιλεύσαντος Αἰγυπτίων » (ϐ). Ὁ δὲ ἱερὸς Αὐγουστῖνος, καίτοι τὴν ἑρμηνείαν εἰς τὸν Φιλάδελφον (ὡς καὶ Ἱερώνυμος) ῥητῶς ἀναγράφων (γ), λέγει δέ που ὅμως ὅτι ἡρμηνεύθησαν αἱ Γραφαὶ μετὰ ἔτος ἑξηκοστὸν ἀπὸ τῆς Πλάτωνος τελευτῆς (δ). Τοῦτο δὲ τὸ ἔτος

(α) Ἰ. Μαλαλ. Χρονογραφ. η. σελ. 196. Bon. Ὁ δ' αὐτὸς Μαλαλᾶς μικρὸν ἀνωτέρω λέγει τὸν τοῦ Λάγου Πτολεμαῖον καὶ Ἀστρονόμον, συγχέων δηλονότι (καθὼς εἰώθασι καὶ οἱ Ἄραβες) τὸν Λαγίδην Πτολεμαῖον (τὸν Αἰγύπτου βασιλέα, κἂν θέλῃς, καὶ ἱστορικόν), πρὸς τὸν ἐπὶ Μάρκου Αὐρηλίου ἀκμάσαντα Κλαύδιον Πτολεμαῖον, τὸν φιλόσοφον καὶ Ἀστρονόμον (οὗ τινος σῴζεται καὶ καθ' ἡμᾶς ἡ Μεγάλη Σύνταξις, καὶ Γεωγραφία, κτλ.)· ἦν γὰρ καὶ οὗτος Αἰγύπτιος, Πηλουσιώτης. Ὡς ὁ Μαλαλᾶς, παρομοίως ἠπατήθη καὶ ὁ Ῥωμαῖος Ἰσίδωρος (Orig. III. 25), καὶ ἄλλοι τοιοῦτοι. Βλ. καὶ Hody (l. c. p. 93), καὶ τὰς αὐτοῦ τούτου σημειώσεις εἰς αὐτὸν, ὃν ἐξέδωκε, τὸν Μαλαλᾶν (σελ. 668. ἐκδ. Bon.). Ἐν τούτοις δὲ τοῖς ἄλλως πολυμαθέσι σημειώμασιν (εἰ δεῖ καὶ τοῦτο ὁδοῦ πάρεργον εἰπεῖν) διέφυγον τὸν ἄνδρα τὸν σοφὸν καί τινα κοῦφα παραπτώματα, καὶ μάλιστα ὅσα παρ' ἄλλων ἀντέγραψεν ἀκριβῶς· οἷον (ἐκ τοῦ Γαλαίου) « ἀστυφυλάκτος » (γρ. ἀστυφέλικτος)· καὶ, « βωμῶν ἡμετερείων » (γρ. βωμοῦ ἡμετέροιο) (Append. ad annot. p. 665). κτλ. Καὶ τὸ ἐπίθετον δὲ τὸ μέγας (προστιθέμενον συνήθως ἐπὶ τῶν Αὐτοκρατόρων μάλιστα, ὡς, Θεοδόσιος, Λέων, Ἰουστινιανὸς ὁ μέγας, κτλ.) κρίνει μᾶλλον ἐκλατινιστέον οὐχὶ magnus, ἀλλὰ senior (πρεσβύτερος), ὡς ἔδοξε (λέγει) καὶ τῷ κλεινοτάτῳ Δοδουέλλῳ (Dodwell). Ἀλλὰ καὶ τοῦτο (καθολικῶς δηλονότι ἐκλαμβανόμενον) ἔδοξε κακῶς. Ὑπάρχουσι περιστάσεις, ἐν αἷς τὸ μέγας, ἀντιδιαστελλόμενον πρὸς τὸ μικρὸς, ἑρμηνευτέον, ἐκεῖνο μὲν senior, τοῦτο δὲ junior, τουτέστι πρεσβύτερος, καὶ νεώτερος (ὡς τὰ, Θεοδόσιος ὁ μέγας, καὶ Θεοδόσιος ὁ μικρὸς, κτλ. κατὰ τὰ, Κάτων, Σκιπίων, Διονύσιος ὁ πρεσβύτερος, καὶ ὁ νεώτερος, κτλ.). Ἀλλ' ἐνίοτε παρ' Ἕλλησι τὸ μέγας προστίθεται καὶ χάριν ἐξαιρέτου τιμῆς, σημαῖνον αὐτὸ τὸ λατινικὸν magnus (κατὰ τὸ, Πομπήϊος ὁ μάγνος. βλ. Πλούταρχ. Πομπ. §. ιγ. κτλ.). Οὕτω καὶ Μέγας ὁ Ἀλέξανδρος ὠνομάσθη (ἀλλ' οὐχὶ καὶ ἄλλος τις μικρὸς), καὶ Ἀντίοχος ὁ μέγας (Πολυβ. δ. 2), καὶ εἴ τις ἕτερος, καὶ Κωνσταντῖνος ὁ Μέγας.

(ϐ) Philastr. Brixiens. de Haer. Haer. 90.

(γ) S. Aug. de Civ. Dei XVIII. c. 42.

(δ) « Ab anno mortis eius (Platonis) usque ad id tempus, quo Ptolemaeus Rex Aegypti Scripturas propheticas gentis Hebraeorum de Judaea poposcit, et per septuaginta viros Hebraeos, qui etiam graecam linquam noverant,

(Ὀλυμπ. 108, τὸ α, ἤτοι π. χ. 348) συμπίπτει πρὸς τὸ 35, ἔτος τῆς ἀπὸ τοῦ 323: π. χ. ἀρξαμένης τοῦ Λαγίδου βασιλείας (ἤτοι πρὸς τὸ 288, π. χ. τέσσαρα περίπου ἔτη πλείονα τῆς ἀκριβείας ἀριθμήσαντος τοῦ πατρός· βλ. ὄπισθ. σελ. 126). Εἰ δὲ καὶ ὁ Αὐγουστῖνος ἐτίθει τὸν θάνατον τοῦ Πλάτωνος τῷ δ, τῆς 108. Ὀλυμπ., κατὰ τὸν Εὐσέβιον (βλ. ἐφεξῆς κεφ. Ι. §. δ), ἡ ἑξηκονταετία λοιπὸν συμπίπτει πρὸς αὐτὸ σχεδὸν τὸ α, ἔτος τῆς βασιλείας τοῦ Φιλαδέλφου (τῷ 284. π. χ.). Ὁ δὲ σοφὸς Ὅδιος (σελ. 93), ἀναγνοὺς ἐσπευσμένως καὶ σφαλερῶς παρὰ τῷ ἱερῷ Αὐγουστίνῳ 40, *ἔτη* (annos *ferme* 40), ἀντὶ 60 (ὡς ἔχει τὸ κείμενον), ψευδῶς εἰσάγει τὸν Αὐγουστῖνον τιθέντα δῆθεν τὴν ἑρμηνείαν τῷ 17, ἔτει τῆς Λαγίδου βασιλείας. Καὶ ταῦτα μὲν οὕτως. Ἐκ δὲ τούτων τῶν μαρτυριῶν (ὧν τὰς πλείστας καὶ αὐτὸς ὁ Ὅδιος ἐμνημόνευσε, βιβλ. β. κεφ. β) λαμπρῶς ἀποδείκνυται, ὅτι καὶ αὐτὴ ἡ φαινομένη τῶν ἱστορικῶν διαφωνία (τῶν μὲν εἰς τὸν Λαγίδην, τῶν δὲ πάλιν εἰς τὸν Φιλάδελφον ἀναγραφόντων τὴν ἑρμηνείαν) μαρτυρεῖ τὰς θείας Γραφὰς ἑρμηνευθείσας ἐντὸς τῆς διετίας, καθ' ἣν ἐβασίλευσεν ὁ Φιλάδελφος, ἔτι ζῶντος τοῦ πατρός· ὅθεν καὶ οἱ ἱςορικοὶ οἱ μὲν πρὸς τοῦτον ἀπέκλινον, οἱ δὲ πάλιν συνήθως πρὸς τὸν Φιλάδελφον (καθὸ τὴν βασιλείαν ἤδη διέποντα, καὶ μάλιστα σπουδάσαντα περὶ τὴν ἑρμηνείαν). Οὕτως Ἀριστέας, καὶ Ἀριςόβουλος, καὶ Φίλων, καὶ Ἰώσηπος, καὶ οἱ πλεῖστοι τῶν Πατέρων.

ΙΑ) Ὅτι δὲ καὶ ὁ Εὐσέβιος, τὴν διετίαν ἐννοῶν, ἔταξε τὴν ἑρμηνείαν εἰς τὸ β, ἔτος τῆς βασιλείας τοῦ Φιλαδέλφου ἐν τῷ β, τῶν χρονικῶν (κατὰ τὴν Σκαλιγήρου ἔκδοσιν), συνεπιμαρτυροῦντος λαμπρῶς τὴν τοῦ Κώδηκος ὀρθότητα καὶ τοῦ Ἱερωνύμου, καὶ τοῦ Ἀλεξανδρινοῦ χρονικοῦ, καὶ τοῦ Μαριανοῦ, κτλ., εἴπομεν ἐν τοῖς προλαβοῦσιν (§. ιε. σελ. 259)· παράβαλε καὶ τοὺς Εὐσεβίῳ καί τοι σιωπηλῶς παρηκολουθηκότας, τὸν Σύγκελλον, καὶ

---

interpretandas habendas que curavit, anni ferme reperiuntur sexaginta. S. August. de Civitat. Dei L. VIII. c. XI. vol. 2. p. 379. Parisiis, 1835.

τὸν Κεδρηνὸν, καὶ Νικηφόρον τὸν Πατριάρχην (χρονολογ.), καὶ τὸν Ζωναρᾶν (Χρον. Δ. ιη. ἐκδ. Δουκαγ.), καὶ τὴν Αὐγούσταν Εὐδοκίαν (ἐν Ἰωνιᾷ).

ΙΒ) Εἰ δέ τις καὶ παρὰ τῶν ἔξω σοφῶν φαίνεται μαρτυρία πιθανολογοῦσα τὸν χρόνον τῆς μεταφράσεως, τοιαύτη τις ἂν εἴη ἡ τοῦ Αἰλιανοῦ, λέγοντος· ὅτι « Δημήτριος ὁ Φαληρεὺς, — ἐν Αἰγύπτῳ συνὼν τῷ Πτολεμαίῳ, νομοθεσίας ἦρξε » (Ποικ. ἱς. γ. 17). Μεταξὺ δὲ τῶν ἄλλων νομοθετημάτων (ἐν οἷς ὁ Φαληρεὺς ἠσχολεῖτο) ἦσαν πάντως καὶ τὰ Ἰουδαίων νόμιμα, ἅτινα μετεφράσθησαν διὰ τοῦ Φαληρέως, συνόντος ἔτι ζῶντι (κατὰ τὴν διετίαν) Πτολεμαίῳ τῷ Σωτῆρι (διότι τοῦτον πάντως τὸν Πτολεμαῖον ὁ Αἰλιανὸς ἐννοεῖ). Ὁ δὲ Σωτὴρ μετὰ τῶν ἄλλων ἔργων τῆς βασιλείας καὶ τοῦτο παρέδωκε τῷ υἱῷ (βλ. ὄπισθ. κεφ. ϛ. σελ. 130).

ΙΓ) Πρὸς τοῦτο φέρει καὶ τὸ παρὰ τῷ Πλουτάρχῳ περὶ τοῦ Φαληρέως ἱστορούμενον· ὅτι « Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ » (δηλονότι τῷ *Σωτῆρι*) « παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται » (Πλούταρχ. Ἀποφθ.). Μεταξὺ δὲ τούτων τῶν περὶ βασιλείας βιβλίων, ὅσα διὰ τοῦ Δημητρίου συνῆγε μὲν ὁ Σωτὴρ, συνῆγε δὲ μάλιστα ὁ Φιλάδελφος (ὡς φανήσεται ἐφεξῆς), ἦσαν πάντως καὶ αἱ *Βασιλεῖαι*, καὶ τὰ *Παραλειπόμενα* (ὡς ἱστορικὰ καὶ χρονικὰ τῶν ἐν Ἰουδαίοις *βασιλευσάντων*· περὶ τούτων δὲ καὶ αὐτὸς ὁ Δημήτριος συνέταξεν ἱστορίαν, ὡς ἐροῦμεν ἀλλαχοῦ).

ΙΔ) Καὶ Φίλων δὲ φαίνεται νομίζων τὸν Φιλάδελφον σπουδάσαντα περὶ τὴν ἑρμηνείαν τῆς Γραφῆς, ἔτι ζῶντος αὐτῷ τοῦ πατρός· ἢ οὐ τοῦτο δηλοῦσιν αἱ τούτου λέξεις, αἱ ἐφεξῆς; « Τὸ δ᾽ ἔργον (τῆς ἑρμηνείας), ἐπεὶ καὶ μέγα ἦν καὶ κοινωφελὲς, οὐκ ἰδιώταις, οὐδ᾽ ἄρχουσιν, ὧν οὐ πολὺς ἀριθμὸς, *ἀλλὰ βασιλεῦσι*, καὶ βασιλέων ἀνετέθη τῷ δοκιμωτάτῳ » (α). *Βασιλεῦσι* δὲ λέγων

(α) Φίλ. Βίῳ Μωσ. Β. σελ. 138. τόμ. β. Mang. Ὁ Φίλων (αὐτόθ.) συνεχίζων τὴν

(πληθυντικῶς) ἀμφοτέρους ἐννοεῖ τοὺς βασιλεῖς, τὸν Λαγίδην καὶ τὸν Φιλάδελφον, ὃν καὶ δοκιμώτατον ἐξαιρέτως ὠνόμασεν, ὡς κράτιστον τοῦ ἔργου κατορθωτήν. Ἢ διὰ τί προσέθηκε καὶ τὸ *βασιλεῦσιν*; ἠδύνατο γὰρ κατασκευάσαι τὸν λόγον καὶ χωρὶς τούτου· ἢ καὶ πολὺ μᾶλλον ὤφειλεν εἰπεῖν ἑνικῶς, « *ἀλλὰ βασιλεῖ*, καὶ βασιλέων ἀνετέθη τῷ δοκιμωτάτῳ » (α).

ἱστορίαν λέγει· « Πτολεμαῖος ὁ Φιλάδελφος ἐπικληθεὶς, τρίτος μὲν ἦν τῶν ἀπ' Ἀλεξάνδρου τὴν Αἴγυπτον παραλαβόντων » κτλ. Ἐκ δὲ τούτου τοῦ, « τρίτος μὲν ἦν ΤΩΝ ἀπ' Ἀλεξάνδρου », συνῆξεν ὁ σοφὸς Ὅδιος, ὅτι ὁ Φίλων, καίτοι τὸν Φιλάδελφον ῥητῶς ὀνομάσας, φαίνεται πάλιν νομίζων τὴν ἑρμηνείαν γενομένην ἐπὶ τοῦ τρίτου τῶν Πτολεμαίων (τοῦ Εὐεργέτου) κτλ. (Hody Lib. II. c. 2. p. 95). Ἀλλ' ἔσφαλε τὸν κριτικὸν ἡ διεφθαρμένη γραφή· καὶ μικρὸν εἰ προσεῖχεν, εὐκόλως ἂν ἐνόησεν, ὅτι ὁ Φίλων (ἀφ' οὗ ῥητῶς καὶ ἐκπεφρασμένως ἐπὶ τῆς αὐτῆς περιόδου διεκήρυξεν ὅτι « Πτολεμαῖος οὗτος ἦν ὁ Φιλάδελφος »), οὔτε διὰ μνήμης λοιπὸν ἁμαρτίαν ἐξεφράσθη τοιουτοτρόπως, οὔτε κατ' ἀκυρολεξίαν, οὔτε δῆθεν ὡς ἀριθμῶν μεταξὺ τῶν βασιλέων τῆς Αἰγύπτου καὶ Φίλιππον τὸν Ἀριδαῖον (ἀδελφὸν Ἀλεξάνδρου καὶ διάδοχον ἐπὶ τῆς ὅλης βασιλείας), ὡς ὑπέλαβεν ὁ κριτικός. Ἀλλ' ἡ γνησία τοῦ Φίλωνος γραφὴ ὑπάρχει αὕτη· « Τρίτος μὲν ἦν ἀπ' Ἀλεξάνδρου ΤΟΥ τὴν Αἴγυπτον παραλαβόνΤΟΣ » (καὶ οὕτως ἐξέδωκεν ὁ Mangey). Οὐ γὰρ τῶν ἀπ' Ἀλεξάνδρου (διαδόχων), ἀλλ' ἀπ' αὐτοῦ τοῦ Ἀλεξάνδρου (τοῦ πρώτου παραλαβόντος καὶ κατασχόντος τὴν Αἴγυπτον) τρίτος ἦν ὁ Φιλάδελφος. Καὶ τάττουσι μὲν οἱ συγγραφεῖς ἐνίοτε καὶ τὸν Ἀριδαῖον, ὡς διάδοχον τῆς ὅλης Ἀλεξάνδρου βασιλείας (βλ. Πορφύρ. παρ' Εὐσεβ. Χρονικ. Α. σελ. 114. ἐκδ. Mediol.)· ἀλλ' ὅταν ἰδίως τοὺς Αἰγύπτου βασιλεῖς καταγράφωσι, μετὰ τὸν Ἀλέξανδρον τάττουσιν ἐφεξῆς τὸν Λάγου Πτολεμαῖον, εἶτα τὸν Φιλάδελφον (Εὐσέβ. αὐτόθ. σελ. 123. — Ἰώσηπ. Ἀρχ. ΙΒ. β, ι. κτλ.)· τοῦτο καὶ Φίλων ἐποίησε, κατὰ βάθος συμπεριλαβὼν καὶ τὸν κτίστην τῆς Ἀλεξανδρείας καὶ πρῶτον κατασχόντα τὴν Αἴγυπτον Ἀλέξανδρον, μεθ' ὃν δεύτερος μὲν ἔρχεται ὁ Λαγίδης (ὁ α, τῶν Πτολεμαίων), τρίτος δὲ ὁ Φιλάδελφος (ὁ τῶν Πτολεμαίων δεύτερος). Ἐνίοτε δὲ καὶ μνημονεύσαντες ἁπλῶς τὸν Ἀλέξανδρον οἱ συγγραφεῖς, οὐ συμπεριλαμβάνουσιν αὐτὸν εἰς τὸν ἀριθμὸν τῶν τῆς Αἰγύπτου βασιλέων (διὰ τὸ καθολικώτερον τῆς βασιλείας), ἀλλ' εὐθὺς ἄρχονται ἀπὸ τοῦ Α, τῶν Πτολεμαίων. Αὐτίκα Ἀππιανὸς (ἀκριβείας οὐχ ἧττον Φίλωνος φροντιστὴς) λέγει τὸν Φιλάδελφον « Δεύτερον Αἰγύπτου βασιλέα μετ' Ἀλέξανδρον (Ἀππ. Ῥωμ. ἱστορ. προοιμ. §. ι. σελ. 13. τόμ. α. ἐκδ. Sehw.). Οὕτω καὶ Εὐσέβιος (Χρονικ. β. σελ. 347), καὶ Σύγκελλος (Χρον. σελ. 506, Bon.) καὶ Ἐπιφάνιος (περὶ Μέτρ.) κτλ.

(α) Οὕτω καὶ ἐκ τῶν Ῥαββίνων Ἰώσηπος ὁ Γοριονίδης, καὶ τῶν τούτου ἱστοριῶν ἡ Σύνοψις, καί τις Ἀραβικὴ ἐκ τοῦ Ἑβραϊκοῦ μετάφρασις τῆς β. τῶν Μακκαβαίων, εἰς τὸν πρῶτον Πτολεμαῖον (τὸν Λάγου) τὴν ἑρμηνείαν ἀποδιδοῦσιν, ὡς Ὅδιος ἀποδείκνυσι (Libr. II. p. 91). Ἔστι δὲ καί τις ἀτοπώτατος μῦθος Ῥαββινικὸς,

ΙΕ) Ἔρχεται τελευταῖος μάρτυς ἀξιόπιστος, ἐνδοξότατος ἀνὴρ, ἅπαντα ταῦτα βεβαιῶν καὶ κυρῶν· τίς οὗτος; αὐτὸς ὁ σοφὸς Ὅδιος. Ἐννέα ὅλας διπλᾶς σελίδας μεγάλου μεγέθους ἐπλήρωσε συντάξας τὸ κατ᾿ αὐτὸν ἕκτον τοῦ Α. βιβλίου κεφάλαιον, ἐκ πολλῶν ὠχυρωμένον μαρτυριῶν καὶ παντοδαπῶν ἐπιχειρημάτων (ἅπερ ἅπαντα καὶ ἡμεῖς ἀπὸ τοῦ ς, μέχρι μέσου τοῦ παρόντος κεφαλαίου ἐξεθέμεθα, μετὰ πάσης ἀκριβείας πληρέστατα συνοψίσαντες), καὶ ἀπέδειξεν (ὅσον τὸ ἐπ᾿ αὐτῷ) ψευδῆ τῶν Οὐοσσίων καὶ ἄλλων νεωτέρων τὴν γνώμην, ἀπισχυρισθεὶς, ὅτι ἡ τῶν Γραφῶν ἑρμηνεία οὐκ ἐγένετο κατὰ τὴν διετίαν τῆς ἐπὶ ζῶντος τοῦ πατρὸς βασιλείας τοῦ Φιλαδέλφου, ἀλλὰ μετέπειτα πολὺ μετὰ τὴν Λαγίδου τελευτήν· τοῦτο δὲ φρονοῦντα καὶ αὐτὸν τὸν Ἀριστέα παρέστησε καὶ μὴ θέλοντα. Ἀλλὰ (τίς ἂν ἤλπιζεν;) αὐτὸς οὗτος πάλιν ὁ σοφώτατος Ὅδιος, μεταβὰς εἰς τὸ β, κεφάλαιον τοῦ Β, βιβλίου τῆς Συγγραφῆς (ἐν ᾧ καταστρωννύει νέαν ἱστορίαν τῆς ἑρμηνείας τῶν Γραφῶν, πρὸς τὸ πιθανώτατον δῆθεν ἐξυφασμένην, ἣν ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ· βιβλ. Β. κεφ. α), ἄσμενος ἐξαίφνης ἀπεδέξατο τὴν διετίαν ἐκείνην, ἣν καὶ πρότερον εἶχεν ὁμολογήσας ἐν τοῖς προηγηθεῖσι (βλ. ὄπισθ. σελ. 127), ὡς ἐποχὴν καθ᾿ ὅλας τὰς περιστάσεις πιθανωτάτην, καὶ λίαν εὐάρμοστον καὶ προσφυεστάτην εἰς τὴν μετάφρασιν τῶν Γραφῶν (α). Οὕτω δὲ ταχέως ἀλλοιω-

---

λέγων περὶ τῶν Ο, ὅτι ἐν Λευϊτ. ια, 16, ἀντὶ λ α γ ο ῦ, *ἔγραψαν* δ α σ ύ π ο δ α, *διὰ τοῦτο καὶ μόνον, ἵνα μὴ προσκρούσωσι πρὸς τὴν γυναῖκα τοῦ βασιλέως, ἥτις ἐκαλεῖτο* Λ α γ ό ς ! *ἀλλὰ καὶ ἐκ τῆς τοιαύτης μωρολογίας ἀποδείκνυται σαφῶς ἡ φήμη, ὅτι οἱ Ο, μετέφραζον ἐπὶ τοῦ Λάγου ζῶντος ἔτι, κατὰ τὰς ἀρχὰς τῆς βασιλείας τοῦ Φιλαδέλφου.*

(α) Ἰδοὺ αἱ λέξεις τοῦ Ὁδίου αὐταὶ « Mihi maxime placet intervallum illud temporis, quo una cum patre suo Ptolemaeo Lagi regnavit Philadelphus, in imperij consortium assumptus; quod biennium circiter fuit et incidit in annos Olympiadis 123, tertium et quartum, hoc est, etc. (Hody l. c. L. II. c. 11. §. 2. p. 91). Ἐν δὲ τῷ τέλει τοῦ κεφαλαίου (§. 12. pag. 97), οἷον ἀσφαλιζόμενος καὶ προσέχων, μήποτε οὕτω φανῇ σύμφωνος ὁ Ἀριστέας μετὰ τοῦ Ἑρμίππου, προστίθησι καὶ τὰ ἐφεξῆς, « Nos, quamvis fatemur verissimile ob alias rationes videri, elucubratam fuisse versionem quo tempore una cum Patre

θέντα τὸν κλεινὸν Ἀρχιδιάκονον, κατὰ τὸ εἰκὸς ἐπαινοῦμεν, ὡς μεταβαλόντα παντάπασιν (ὡς πρὸς τοῦτο τὸ κεφάλαιον) γνώμην καὶ λόγου μορφὴν, οὐχὶ κατὰ τὸν κακόσχολον ἐκεῖνον Πρωτέα, ἀλλὰ μάλιστα κατὰ τὸν φρόνιμον Ὀδυσσέα, ὅστις, ῥάβδῳ χρυσῇ τῆς Ἀθηνᾶς ἐφαψαμένης,

« Ἀλλοῖος φάνη νέον, ἠὲ πάροιθεν (Ὀδυσ. Π. 181) ».

§. κδ'. Ταύτης δὲ τῆς ἐποχῆς οὕτω πανηγυρικῶς ἀνακηρυχθείσης, ποῦ λοιπὸν ἔμειναν ἄλλοι τε τοσοῦτοι συγγραφεῖς, καὶ ὧν τοὺς λόγους ἔναυλον ἐνηχοῦντας ἔτι φέρομεν ἐν ταῖς ἀκοαῖς, Αἰλιανοί τε, καὶ Ἀθήναιοι, καὶ Γαληνοὶ, καὶ Στράβωνες, καὶ Θεόκριτοι, μετ' αὐτῶν Ἰωσήπων, καὶ Ἀφρικανῶν, καὶ Συγκέλλων, καὶ τῶν Ἐπιφανίων; Ἢ οὐ διώριζον οὗτοι παρ' αὐτῷ πρὸ μικροῦ τὴν κατασκευὴν τῆς Βιβλιοθήκης (ἑπομένως δὲ, κατ' αὐτὸν, καὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν) γενομένην δῆθεν ἀκριβῶς μετὰ τὰ μέσα, καὶ κατ' αὐτὰς σχεδὸν τὰς δυσμὰς τῆς βασιλείας τοῦ Φιλαδέλφου; Ποῦ δὲ καὶ αὐτὸς ὁ Φιλάδελφος, σπουδάζων περὶ τὰ γράμματα, καὶ τὴν βιβλιοθήκην κατασκευάζων φιλάσθενος ἤδη, καὶ γήρᾳ βαρὺς, καὶ ποδαγρικὸς, καὶ αὐτόχρημα τυμβογέρων;

---

regnaverit Philadelphus, et fieri potuisse, ut Demetrius Phalereus tunc temporis negotio versionis interesset, negamus tamen concordiam hoc modo posse instaurari inter Aristeam et Hermippum; si quidem ab Aristea, ut abunde demonstravimus (!) collocatur versio longe post mortem Ptolemaei Lagi, ad partem posteriorem, vel saltem circiter mediam regni Philadelphi ». — Ἀλλ' οὕτω περιέπεσεν εἰς ἄλλην ἀντίφασιν ὁ Κριτικός. Διότι, ἂν ὁ Ἀριστέας τίθησι τὴν ἑρμηνείαν περὶ τὰ ὕστερα, ἢ τὰ μέσα τῆς Φιλαδέλφου βασιλείας, τοῦτο δὲ καὶ αὐτὸς ὁ Ὅδιος ἀπέδειξεν ἰσχυρῶς καὶ φιλοτίμως, ὡς ἀληθινὸν, ἀπό τε τῶν χρονογράφων καὶ τοσούτων ἄλλων ἐνδόξων συγγραφέων, ὅσους ἐμνημόνευσε, πραγματευόμενος περὶ τῆς κατασκευῆς τῆς βιβλιοθήκης (βλ. ὄπισθ. §. ι — ιδ), πῶς λοιπὸν ἤδη εὐηρεστήθη τὰ μέγιστα, ὡς εἰς πιθανωτάτην τῆς ἑρμηνείας ἐποχὴν, τὴν διετίαν τῆς ἐπὶ ζῶντος τοῦ πατρὸς βασιλείας τοῦ Φιλαδέλφου; πότερον ἄρα τοὺς μετ' Ἀριστέου συμφωνοῦντας τοσούτους συγγραφεῖς κατεδίκασεν ὡς ψεύστας; ἢ αὐτὸς ἐξαίφνης ἤδη μεταβληθεὶς ἐψεύσθη τὴν κρίσιν, γνωρίσας μὲν τὰ κρείττονα, προτιμήσας δὲ τὰ χείρονα; κᾀκεῖνο βαρὺ, καὶ τοῦτο δεινόν. Τὰς δ' οὖν παραδόξους τοῦ Ὁδίου ταύτας ἀντιφάσεις ὑπεθαύμασε σημειώσας ἐν παρόδῳ καὶ ὁ Ἔκδικος (Vindication of the history of the Septuagint etc. 70, 71).

« Ὁ δ' Οἰδίπους ποῦ; καὶ τὰ κλεῖν' αἰνίγματα; »
Οἴχονται πάντα, καὶ ἠφανίσθησαν ἐκεῖνα τῆς φαντασίας τὰ παίγνια, κοῦφα καὶ ἀνεμώλια διασκεδασθέντα. Τῶν δὲ τοσούτων καὶ τηλικούτων συγγραφέων αἱ μαρτυρίαι, ψευδῶς παρεξηγηθεῖσαι, πρὸς οὐδὲν λοιπὸν καλὸν ἐχρησίμευσαν, εἰ μὴ μόνον ὡς κοσμήματα χρυσᾶ, καὶ πορφυρᾶ παράσημα, ψευδεῖς ἐννοίας καὶ πλαστὰς, ὡς ἄν τινας πλαγγόνας, ἢ πιθήκους, περιπέττοντα καὶ περικοσμοῦντα. Ἐπειδὴ δὲ, τέλος, ἀνεφάνη ἡ ἀλήθεια, καὶ ὑπ' αὐτῶν ἀνακαλυφθεῖσα τῶν κοροπλάθων, πάντα ἤδη ἔχουσι κατὰ χώραν. Καὶ οἵ τε ἄλλοι συγγραφεῖς ἀνέλαβον τὰς ἑαυτῶν ῥήσεις κατὰ τὸν γνήσιον αὐτῶν νοῦν, καὶ αὐτὸς ὁ Ἀριστέας (ὅσον πρὸς τὸ παρὸν) ἡσυχάζει, τῶν Ἑρμιππείων καὶ τῶν ἄλλων κροτοθορύβων ἀπαλλαγείς. Διότι, δυοῖν θάτερον, ἢ ὁ Ἀριστέας μετὰ τοσούτων ἐπὶ μαρτυρίᾳ συνεισαχθέντων συγγραφέων ἀληθεύει, βραδέως καὶ ὀψέποτε τῆς Φιλαδέλφου βασιλείας γενομένην τὴν τῶν Γραφῶν ἑρμηνείαν ἱστορῶν (ὡς διϊσχυρίσθησαν οἱ περὶ τὸν Ὅδιον), ἢ ψεύδεται μὲν αὐτός τε Ἀριστέας καὶ πᾶς ὁ μετ' αὐτοῦ βαρὺς τῶν συγγραφέων ὅμιλος, ἀληθεύει δὲ μόνη ἡ γνώμη τῶν ἀναγραφόντων τὴν ἑρμηνείαν εἰς τὰς ἀρχὰς τῆς βασιλείας τοῦ Φιλαδέλφου (ὅπερ ἤδη καὶ αὐτοὶ οἱ περὶ τὸν Ὅδιον ὡμολόγησαν). Ἐπειδὴ δὲ μήτε οἱ ἄλλοι συγγραφεῖς ἐψεύσθησαν (εἰσήχθησαν δὲ ἄλλως παρερμηνευθέντες τὴν ἔννοιαν, ὡς προαπεδείχθη), καὶ αὐτὸς ὁ Ἀριστέας οὐδὲν ἱστόρησεν ἐναντίον, ἀλλὰ καὶ πάντα σύμφωνα πρὸς τὴν γνώμην τῶν τιθέντων τὴν ἑρμηνείαν εἰς τὰ προοίμια τῆς βασιλείας τοῦ Φιλαδέλφου, ἄρα οἱ ταύτην ἤδη τὴν γνώμην ἀποδεξάμενοι κριτικοὶ συναποδέχονται καὶ τὴν Ἀριστέου διήγησιν, ὡς γνησίαν καὶ ἀληθινήν! Καὶ ἐφάνη ἄρα περὶ τοῦτο τὸ κεφάλαιον ὁ δριμὺς καὶ ὀξυγράφος τοῦ Ὁδίου κάλαμος παρόμοιος ἐκείνου τοῦ Τηλεφείου δόρατος, διπλῆν ἔχων καὶ αὐτὸς καὶ τεραστίαν δύναμιν· διότι καὶ οὗτος, καθὼς ἐκεῖνο, « *τρώσας ἰάσατο* »!

§. κέ. Καὶ συμπεραίνομεν λοιπὸν ἐκ τῶν προεκτεθέντων ἁπάντων συμπέρασμα σαφὲς καὶ ἀναντίῤῥητον, καὶ αὐτοῦ τοῦ περικλεοῦς Ὁδίου μετὰ τῶν ἄλλων Σκαλιγηρείων συμφάσκοντος ἤδη καὶ συνομολο-

γοῦντος· ὅτι ὁ Ἀριστέας συνέγραψε τὴν ἱστορίαν τῆς τῶν Ο, μεταφράσεως, ὡς μάρτυς αὐτόπτης παρὼν, καὶ ὑπηρετῶν τῷ βασιλεῖ Φιλαδέλφῳ, καθ' ὃν χρόνον καὶ Δημήτριος ὁ Φαληρεὺς ἤκμαζεν ἐν τῇ αὐλῇ τῆς Ἀλεξανδρείας, ἐπιστατῶν ταῖς βιβλιοθήκαις· « *Ἀρισταῖος γράφει ταῦτα* (λέγει πάλιν ὁ Εὐσέβιος), *ἀνὴρ λόγιος μὲν* [*καὶ*] *ἄλλως, οὐ μὴν ἀλλὰ καὶ παρατυχὼν τοῖς πραχθεῖσι κατὰ τὸν Β. Πτολεμαῖον τὸν ἐπικληθέντα Φιλάδελφον, καθ' ὃν τὰ τῆς* [*θεόθεν οἰκονομηθείσης*] *ἑρμηνείας τῶν ἰουδαϊκῶν Γραφῶν, διὰ σπουδῆς τοῦ βασιλέως γενόμενα, τῶν κατὰ τὴν Ἀλεξάνδρειαν βιβλιοθηκῶν ἠξιώθη* » (α). Ὥστε ἡ ἱστορία τοῦ Ἀριστέου ὑπάρχει κυρία καὶ γνησία καὶ ἀληθινή. ΟΠΕΡ ΕΔΕΙ ΔΕΙΞΑΙ.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Ἀμφιβολίαι ποικίλαι τῶν Κριτικῶν. — Καὶ Λύσεις.

Α) Ἀμφιβολία. Περὶ τοῦ παρὰ τῷ Ἀριστέᾳ μνημονευομένου ἀρχιερέως τῶν Ἱεροσολύμων Ἐλεαζάρου, καὶ τοῦ κατ' Ἀλεξάνδρειαν τότε παρατυχόντος Μενεδήμου τοῦ φιλοσόφου.

§. ά. Καθὼς μετὰ ῥαγδαίαν λάβρων ὑετῶν, ἢ χαλάζης, καταφορὰν, ἐπιπίπτει πολλάκις καὶ βαθεῖά τις ὁμίχλη,

« Ποιμέσιν οὔ τι φίλη, κλέπτῃ δέ τε νυκτὸς ἀμείνων ».

οὕτω μετὰ τὴν λώφησιν τῶν ἐκκενωθέντων πυκνῶν ἐπιχειρημάτων, ὅσα ῥάγδην ἔβρεξε κατὰ τῆς Ἀριστέου συγγραφῆς, ἀπὸ βελοπληθοῦς τοξεύουσα φαρέτρας, ἡ πολυμήχανος καὶ βαρεῖα τῶν πολεμίων ὀργὴ, ἄλλην ἔπειτα μετεχειρίσθη μέθοδον καταδρομῆς. Κατέχεεν εἰς πολλὰ μέρη τῆς ἱστορίας παχυλὴν ἀμφιβολίας ὁμίχλην, ἢ μᾶλλον Κιμμέρειόν τι σκότος, ὅπως ἐν αὐτῷ κατακρύψῃ, ὅσον δυνηθῇ βαθύτερον, τὴν ἀλήθειαν καὶ πίστιν τῶν ἱστορουμένων. Ἀλλ' εἰσέλθωμεν ἀναγνῶστα, καὶ τοῦτον τὸν γνόφον, ἐκτρίψαντες φῶς ἔκ τινων πυρείων (ἄν που εὕρωμεν), καὶ δᾳδίον ἅψαντες, ἢ λυχνά-

(α) Εὐσέβ. Εὐαγγ. Προπαρασκ. βιβλ. Η. κεφ. α. σελ. 206. Lutet. 1544.

ριον, ὁδηγόν. Καὶ ἐπειδὴ διέβημεν τὰ ἐρυμνὰ καὶ ἀδαμάντινα τείχη τῶν βεβαίων τάχα παρ' αὐτοῖς καὶ τρανῶν, καὶ ἑδραίων, καὶ τοῦτ' αὐτὸ *γεωμετρικῶν* προβεβλημένων ἀποδείξεων, ἐξετάσωμεν θαῤῥούντως καὶ ὅσα μηδ' αὐτοὶ τολμῶντες ἀπ' εὐθείας ὡς ἐπιχειρήματα προβαλεῖν, ὠνόμασαν *ἀμφιβολίας καὶ ὑπονοίας!*

§. β'. Α) Λέγουσιν (α) « *ἀμφιβάλλεται* περὶ τοῦ Ἐλεάζάρου, εἴπερ οὗτος ἦν ἀρχιερεὺς τῶν Ἰουδαίων, ὁπότε κατεσκεύαζεν ἐν Ἀλεξανδρείᾳ τὴν βιβλιοθήκην ὁ Φιλάδελφος. Ὁ Ἀριστέας καὶ οἱ τούτου ὀπαδοὶ, Ἰώσηπος (Ἀρχ. ΙΒ, β, 2), Εὐσέβιος, (Εὐαγ. Προπαρ. Η, 2), Αὐγουστῖνος (β), Κύριλλος ὁ Ἱεροσολύμων, (Κατηχ. ε), Ἰσίδωρος ὁ Ἱσπάλων (γ), Θεόδωρος ὁ Ἀντιοχείας (Ὑπομν. εἰς Σοφον. α), ὁ Πατριάρχης Νικηφόρος (Χρονογρ.), Ἄδων ὁ Βιέννης (δ), Γεώργιος ὁ Σύγκελλος (Χρονογρ.), Ἰω. ὁ Ζωναρᾶς (ε), καὶ ἄλλοι παρέδωκαν τὴν ἑρμηνείαν τῶν Γραφῶν γενομένην *ἐπὶ ἀρχιερέως τῶν Ἰουδαίων Ἐλεαζάρου*. Ἀλλὰ τοῦτο *οὐκ ἠδύνατο γενέσθαι*· διότι, καθὼς ἀνωτέρω ἐξ αὐτοῦ τοῦ Συγκέλλου, ἢ τοῦ Ἀφρικανοῦ, προαπεδείξαμεν, ὁ Φιλάδελφος ἤρξατο κατασκευάζειν τὴν βιβλιοθήκην οὐ πρότερον τῆς ρλβ, Ὀλυμπιάδος. Κατὰ δὲ τὸν Εὐσέβιον, ὁ τελευταῖος τῆς Ἐλεαζάρου ἀρχιερατείας ἐνιαυτὸς πίπτει εἰς τὸ β, τῆς ρλα, Ὀλυμπιάδος » [ἤγουν ὁ Ἐλεάζαρος ἀπέθανε μίαν τοὐλάχιστον διετίαν πρὸ τῆς ἑρμηνείας τῶν Γραφῶν].

Ἀπαντῶμεν.

Περὶ μὲν τῆς ὑπὸ τοῦ Φιλαδέλφου κατασκευῆς τῆς Βιβλιοθήκης ὅ,τι λέγουσιν ὁ Σύγκελλος καὶ ὁ Ἀφρικανὸς, καὶ ὅπως ἡ ῥῆσις παρηρμηνεύθη, δέδεικται τρανῶς ἐν τοῖς προηγηθεῖσι (κεφ. θ. §. κα). Ἡ δὲ συλλογιστικὴ τοῦ Ὁδίου συμπλοκὴ φαίνεται παράδοξος. Ἡ

(α) Hody L. I. cap. VII. — (β) De Civ. Dei XVIII, 42, 43. — (γ) Isid. Hispal. Chronic. — (δ) Ado Vienn. Chronic. — (ε) Χρονικ. τόμ. α. [πρόσθες ἀναγνῶστα, καὶ Κύριλλ. Ἀλεξ. κατὰ Ἰουλιαν. Α (ἐκδ. Παρισ. 1638 τόμ. 4. σελ. 12), καὶ τὸν Ἱερώνυμον (S. Hieron. Comm. in Daniel c. XI. §. 24 p. 1070. τόμ. β. Paris 1609), καὶ τὸ Χρονικὸν Πασχάλιον (περὶ οὗ ἐφεξῆς), καὶ Κοσμ. Ἰνδικοπλεύστ. Τοπογραφ. βιβλ. ιβ. (in Collect. Patr. Montfauc. vol. 2. p. 344. Paris, 1706) κτλ. τῶν δὲ νεωτέρων τὸ πλῆθος παραλείπομεν. — Σημ. ἡμετ.].

βιβλιοθήκη συνεπληρώθη κατὰ τὴν ρλγ. Ὀλ. (βλ. ὄπισθ. σελ. 276). Ὁ δὲ Ἐλεάζαρος ἐτελεύτησε τῷ β, τῆς ρλα. Ἐγένετο δ' ἀρχιερεὺς τῷ α, τῆς ρκγ, (286. π. Χ.). Ἡ δὲ ἑρμηνεία γέγονε καθ' ἣν καὶ Ὄδιος ἀπεδέξατο διετίαν τοῦ Φιλαδέλφου (τῷ 284—282, π. Χ.), ἄρα — τί; — ἡ ἑρμηνεία οὐκ ἐγένετο ἐπὶ τῆς ἀρχιερατείας Ἐλεαζάρου; Τί δὲ περὶ τούτου λέγουσι μετὰ τῶν ἄλλων (τῶν ἀνωτέρω μνημονευθέντων) καὶ οἱ περὶ τὸν Σύγκελλον καὶ τὸν Ἀφρικανόν; « Ἰουδαίων ἀρχιεράτευσεν θ, Ἐλεάζαρ (Σίμωνος ἀδελφὸς, ἀντ' Ὀνίου παιδὸς Σίμωνος, νηπίου καταλειφθέντος), ἐφ' οὗ καὶ αἱ Γραφαὶ ἑρμηνεύονται «, (ἀρχιεράτευσεν) « ἔτη λϐ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσι » (ὁπότε δηλαδὴ παρέλαβε τὸ πρῶτον ὁ Ἐλεάζαρος τὴν ἀρχιερατείαν) (α). Ταῦτα δὲ φρονοῦντες καὶ γράφοντες οἱ περὶ τὸν Σύγκελλον, ἄρα καὶ τὸν Φιλάδελφον ἐφρόνουν ἀπ' ἀρχῆς τῆς βασιλείας (ὁπότε καὶ Ἐλεάζαρος ἦν ἀρχιερατεύων) *καθιστῶντα* καὶ κατασκευάζοντα τὴν βιβλιοθήκην. Οἱ δὲ Ὀδιακοὶ μάτην συγκρούουσι τοὺς περὶ τὸν Σύγκελλον, νῦν μὲν ὡς ἀληθεύοντας αὐτοὺς εἰσάγοντες *περὶ τῆς ὑστεροχρόνου δῆθεν κατασκευῆς τῆς βιβλιοθήκης*, νῦν δὲ πάλιν *ἀδύνατα* τοὺς αὐτοὺς εὑρίσκοντες ἱστοροῦντας *περὶ τῆς ἐπ' Ἐλεαζάρου μεταφράσεως τῶν Γραφῶν!*

(α) Γ. Συγκέλ. Χρονογρ. σελ. 512 τόμ. α. Bon. 1829. Ἐκ τούτου τοῦ Συγκελλικοῦ χωρίου διορθούσθωσαν καὶ τὰ τοῦ Ἀλεξανδρινοῦ Πασχαλίου ἐκεῖνα· « Πτολεμαῖος ὁ Φιλάδελφος — ἀ ν α θ έ μ α τ ά τε βασιλικὰ ἐν Ἱεροσολύμοις Ὀ ν ί ᾳ Σ ί μ ω ν ι ἀ ρ χ ι ε ρ ε ῖ, ἀ δ ε λ φ ῷ Ἐλεαζάρου διαπεμψάμενος » κτλ. (Χρονικ. Πασχάλ. σελ. 326. ἐκδ. Bonnae 1832 : *καὶ παρ' Ὁδίῳ σελ. 93 : σημ.*)· *γραπτέον γὰρ (οἶμαι)* « Ἀ ν α θ ή μ α τ ά τε . . . . ΤΩ ΑΝΤ Ὀνίου ΣίμωνΟΣ ΑΡΧΙΕΡΑΤΕΥΟΝΤΙ ἀδελφῷ ΣΙΜΩΝΟΣ ΕΛΕΑΖΑΡΩ », κτλ. οὔτε γὰρ Ὀνίας ἦν ἀρχιερεὺς ἐπὶ τοῦ Φιλαδέλφου, οὔτε τοῦ Ὀνίου, τοῦ δὲ Σίμωνος ἀδελφὸς ἦν ὁ Ἐλεάζαρος, ὡς Ἰώσηπος λαμπρῶς μαρτυρεῖ. « Τελευτήσαντος Ὀνίου τοῦ ἀρχιερέως, ὁ παῖς αὐτοῦ Σίμων γίνεται διάδοχος, ὁ καὶ δίκαιος ἐπικληθείς. Ἀποθανόντος δ ὲ τ ο ύ τ ο υ, κ α ὶ ν ή π ι ο ν υ ἱ ὸ ν κ α τ α λ ι π ό ν τ ο ς τ ὸ ν Ὀ ν ί α ν, ὁ ἀ δ ε λ φ ὸ ς Ἐ λ ε ά ζ α ρ ο ς τ ὴ ν ἀ ρ χ ι ε ρ ω σ ύ ν η ν π α ρ έ λ α β ε ν » (Ἀρχ. ΙΒ. κεφ. β. §. 4. καὶ κεφ. δ. § 1. Hav.). Πρόσθες καὶ αὐτὸ τὸ Πασχάλιον ἀλλαχοῦ λέγον· « Ἐλεάζαρος· καθ' ὃν οἱ Ο, τὰς θείας γραφὰς ἡρμήνευσαν » (σελ. 357. Bon.). Σημειωτέον δὲ ὅτι ἐν τῷ Πασχαλίῳ καὶ ἡ τάξις τῶν ἀρχιερέων ἐνίοτε συγκέχυται, διὰ τὴν ἀπροσεξίαν τῶν ἀντιγραφέων (βλ. καὶ ἑφεξ. βιϐ. β. κεφ. θ. §. κα).

Θαυμαστοὶ δὲ τῆς τόλμης οἱ ἄνδρες, ὅτι καὶ τοὺς ἄλλους (οὓς ἠρίθμησαν) τοσούτους συγγραφεῖς, ὡς *ἀδύνατα* καὶ τούτους ἱστοροῦντας, συνάμα τοῖς περὶ τὸν Σύγκελλον λαβόντες ἀθρόους ἀπεσκυβάλισαν, μηδ᾽ αὐτοῦ γοῦν Ἰωσήπου φεισθέντες· ὅστις Ἰουδαῖος ὤν, καὶ ἱερεὺς τοῦ ναοῦ τῶν Ἱεροσολύμων, ἐγίνωσκε πάντως ἀκριβῶς καὶ τὰς τῶν ἀρχιερέων διαδοχάς· (τούτου δὲ τὴν αὐθεντίαν ἐπηκολούθησαν καὶ τῶν νεωτέρων ἄνδρες ἐπισημότατοι, καὶ μάλιστα περὶ τὰς διαδοχὰς τῶν μετὰ τὸν Μ. Ἀλέξανδρον ἰουδαϊκῶν ἀρχιερέων) (α). Ἀλλ᾽ ἡ τοσούτων καὶ τηλικούτων ἀνδρῶν ὁμόφωνος μαρτυρία, προτιμητέα πάντως τῆς Ὀδιακῆς ὑπονοίας (καὶ ταύτης ἀλόγου, καὶ ψιλῆς, καὶ μηδὲν ἐχούσης πραγματικὸν ῥίζωμα)· καὶ ὁ Ἀριστέας ἀληθεύει βεβαίως καὶ περὶ τὸν Ἐλεάζαρον (ἐφ᾽ οὗ γέγονεν ἡ ἑρμηνεία), μηδαμοῦ μηδεμιᾶς φαινομένης *ἀμφιβολίας*, μηδ᾽ ὅση σκιὰ τριχός!

§. γ. Β) « Ὁ Ἀριστέας (λέγουσι) παραχρονίζει καὶ κατὰ τὸ ἐφεξῆς. Ἐν ᾧ τὴν ἑρμηνείαν τῶν Γραφῶν ἱστορεῖ γενομένην περὶ τὴν τελευτήν, ἢ πολλὰ γοῦν ἔτη μετὰ τὴν ἀρχὴν τῆς Φιλαδέλφου βασιλείας, ἔπειτα γράφει καὶ Μενέδημον, τὸν Ἐρετριέα φιλόσοφον, διατρίβοντα κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐν τῇ αὐλῇ τοῦ Φιλαδέλφου. Ἀλλ᾽ οὗτος ὁ Μενέδημος φαίνεται ἤδη προτετελευτηκὼς περὶ τὸ 7, ἔτος μοναρχοῦντος τοῦ Φιλαδέλφου (β). Καὶ ὁ μὲν Εὐσέβιος ἐχρονολόγησε τὸν Μενέδημον ἀνθοῦντα συνάμα μετὰ Σπευσίππου, κατὰ τὸ α, τῆς 116, Ὀλυμ. (ὅπερ ἦν 32, ἔτος πρὸ τῆς Πτολεμαίου

(α) Βλ. Sigonij de Republic. Hebracor. L. v. c. 2. p. 306. Medioburg. 1678. — Seldeni de Success. in Pontif. Hebraeor. c. VI. etc.

(β) *Σημείωσαι παρὰ πόδας, ἀναγνῶστα, τὸ σαθρὸν καὶ μάταιον τοῦ ἐπιχειρήματος. Ὁ Ἀριστέας (ὡς ἀπεδείχθη προηγουμένως), φαίνεται σαφῶς ἱστορῶν τὴν ἑρμηνείαν γενομένην οὐχὶ π ε ρ ὶ τ ὴ ν τ ε λ ε υ τ ή ν, ἀλλὰ κατ᾽ αὐτὰς τὰς ἀρχὰς τῆς Φιλαδέλφου βασιλείας (ζῶντος ἔτι τοῦ πατρός)· τότε δὲ ὁ Μενέδημος ἔζη (καθὼς καὶ αὐτὸς Ὅδιος ἀνωτέρω ὁμολογεῖ). Ὥστε πίπτει παρευθὺς τὸ ἐπιχείρημα, κτισθὲν εἰς ὑπόθεσιν ψευδῆ. Πλὴν ἀλλ᾽ ἀκολουθήσωμεν τοῦ πολυμαθοῦς Ὁδίου τὴν ἔφοδον, χάριν πιριεργείας, καὶ μάλιστα διότι ἐξελέγχει δι᾽ αὐτῆς καὶ τὸν φίλον Σκαλίγηρον, ἔτι βαρύτερον σφαλέντα περὶ τὴν Μενεδήμου χρονοθεσίαν. — Σημ. ἡμετ.*

τοῦ Λάγου τελευτῆς [τουτέστι 30, πρὶν ἢ βασιλεύσῃ ὁ Φιλάδελφος]. Ὁ δὲ σοφὸς Σκαλίγηρος (μηδόλως ἴσως ἐνθυμηθεὶς, ὅτι τοῦ Μενεδήμου καὶ Ἀριστέας ἐμνημόνευσεν), εἰς ἀνωτέρους ἔτι χρόνους ἀνάγει τὸν φιλόσοφον, προβάλλων πρὸς ἀπόδειξιν ὅτι Πλάτωνος ὑπῆρξε μαθητής· ὅθεν αὐτὸν ἐνόμιζεν ὡς μὴ φθάσαντα μηδὲ τὸν παρ' Εὐσεβίῳ σεσημειωμένον ἐνιαυτόν. Ἀλλ' ἐγώ (φησιν Ὄδιος) λέγω καὶ ὁμολογῶ, ὅτι οὐ μόνον εἰς τὸ ἔτος τὸ προειρημένον, ἀλλὰ καὶ μακρὸν ἐπέκεινα παρέτεινε τὸν βίον ὁ Μενέδημος· καὶ ἰδοὺ ἡ δεῖξις.

§. δ'. « Ὁ Μενέδημος ἐμαθήτευσε παρὰ Πλάτωνι, ἤδη τὴν ἡλικίαν ἀκμάζων, ὡς ἱστορεῖ Λαέρτιος (β, ιη, 2)· « Πεμφθεὶς γὰρ φρουρὸς . . . ὑπὸ τῶν Ἐρετριέων εἰς Μέγαρα, ἀνῆλθεν εἰς τὴν Ἀκαδημίαν πρὸς Πλάτωνα, καὶ θηραθεὶς κατέλιπε τὴν στρατείαν ». Ταυτὰ λέγει καὶ Ἡσύχιος ὁ Μιλήσιος· διδάσκει δὲ καὶ Πλούταρχος (πρὸς Κολώτ.), ὅτι καὶ Πλάτων αὐτὸς « ἐκ τῶν ἑταίρων ἐξαπέστειλεν Ἀρκάσι μὲν Ἀριστώνυμον διακοσμήσοντα τὴν πολιτείαν, Ἠλείοις δὲ Φορμίωνα, *Μενέδημον δὲ Πυῤῥαίοις* ». Ὅθεν καὶ Κύριλλος ὁ Ἀλεξανδρείας Πυῤῥαῖον ἐπωνόμασε τὸν Πλατωνικὸν Μενέδημον (κατὰ Ἰουλιαν. ϛ). Πόσα δὲ ἔτη παρὰ Πλάτωνι διέτριψε μαθητεύων, ἄδηλον· ὅσον ὅμως συμπεραίνεται ἐκ τῆς στρατευτικῆς αὐτοῦ ἡλικίας, οὐκ ἦν νεώτερος τῶν 24, ἐτῶν ἐπὶ τῆς Πλάτωνος τελευτῆς· ἐτελεύτησε δὲ Πλάτων Ὀλυμ. 108, τὸ α, [βιοὺς ἔτη 80], ὡς ὁ Ἕρμιππος μαρτυρεῖ (Λαέρτ. γ. §. 2. πρβλ. καὶ Ι. §. 9), συμφωνοῦντος καὶ Πλουτάρχου (βίοις Ῥητόρ.), καὶ τοῦ Ἀθηναίου (ε, 217), καὶ Διονυσίου τοῦ Ἁλικαρνασσέως (ἐπιϛ. πρὸς Ἀμμών.)· καὶ τοῦτ' ἐστὶ τὸ ἀληθές· (κατὰ δὲ τὸν Εὐσέβιον, τὸ δ, τῆς αὐτῆς Ὀλυμπιάδος) (α). Τότε τοίνυν 24, ἐτῶν ὑποτεθεὶς ὁ Μενέδημος, ἔζησε λοιπὸν μέχρι τοῦ α, τῆς 123, Ὀλυμπιάδος· τουτέστιν ἄλλα

(α) Οὐχὶ μόνος ὁ Εὐσέβιος, Ὄδιε, ἀλλὰ καὶ « Νεάνθης (ὁ Κυζικηνὸς) φησὶν αὐτὸν τεττάρων καὶ ὀγδοήκοντα τελευτῆσαι ἐτῶν » (Λαέρτ. γ. §. 2). Ὁ δὲ Ἀθήναιος, δύω καὶ 80. Λουκιανὸς δὲ, 81 (Μακροβ.). Τόσα καὶ Κικέρων λέγει (de senect.), καὶ Αὐγουστῖν. (de Civ-Dei VIII, 9), βλ. καὶ ὄπισθ. σελ. 288. πρβλ. Menag. εἰς Λαέρτ. τ. 2. σελ. 135. — Σημ. ἡμετ.

60 ἔτη· κατὰ γὰρ τὸν Ἡρακλείδην, ἐτελεύτησεν ἐτῶν 84 (α)· καὶ κατὰ ταῦτα ἄρα ἡ τοῦ Μενεδήμου τελευτὴ συνέβη, ἐν ᾗ δύω ἔτη πρὶν ἢ παραλάβῃ τὴν βασιλείαν ὁ Φιλάδελφος (Ὀλυμπ. 123, τὸ γ, ἢ τὸ δ). Ἀλλ' ὅσον ἂν φαίνηται πιθανὴ αὕτη ἡ ἀπόδειξις, ὁμολογητέον ὅμως, ὅτι ὁ καθ' Ἡρακλείδην ἀριθμὸς τῶν ἐτῶν τοῦ Μενεδήμου διορίζεται οὐκ ὀρθῶς. Ἐμβριθέστατοι συγγραφεῖς μαρτυροῦσιν, ὅτι ὁ Μενέδημος ἔζησε μέχρις οὗ Ἀντίγονος ὁ Γονατᾶς (ὁ Δημητρίου τοῦ Πολιορκητοῦ), Μακεδόνων βασιλεὺς, κατεπολέμησε τοὺς Γαλάτας· τοῦτο δὲ συνέβη βασιλεύοντος ἤδη τοῦ Φιλαδέλφου ποσούς τινας ἐνιαυτούς· τοσούτους ὅμως μόνον, ὅσον ἐξ αὐτῶν συνάγεσθαι τὸν Μενεδήμου θάνατον συμβάντα περὶ τὸ 9, ἔτος ἀπὸ τῆς ἀρχῆς τῆς Φιλαδέλφου βασιλείας, καὶ 7, ἀπὸ τῆς τοῦ πατρὸς τελευτῆς. Αὐτίκα ὁ Λαέρτιος (αὐτόθι)· « Ἠγάπα δὲ αὐτὸν καὶ Ἀντίγονος· — καὶ ἡνίκα τοὺς βαρβάρους (Γαλάτας) ἐνίκα περὶ Λυσιμαχίαν, γράφει ψήφισμα αὐτῷ Μενέδημος ἁπλοῦν τε καὶ ἀκόλακον, οὗ ἡ ἀρχή· *Οἱ στρατηγοὶ καὶ οἱ πρόβουλοι εἶπον·* Ἐπειδή » κτλ. Αὕτη δὲ τῶν Γαλατῶν ἡ ἧττα πότε συνέβη, συνάγεται ἐκ τοῦ Ἰουστίνου· ὅστις, ἱστορήσας τὴν ἐν Δελφοῖς ἀπώλειαν τῶν περὶ τὸν Βρέννον Γαλατῶν, ἔπειτα παρευθὺς ἐπιφέρει, ὅτι « τῷ Ἀντιγόνῳ εἰς Μακεδονίαν ἐπανελθόντι νέος ἐξαίφνης πολέμιος ἐξανέτειλε. Γαλάται γὰρ, οὓς ὁ Βρέννος, στρατεύων κατὰ τῆς Ἑλλάδος, κατέλιπε τὰ ὅρια τῆς οἰκείας χώρας φρουρεῖν, ἵνα μὴ μόνοι φαίνωνται φυγοπόλεμοι, καθώπλισαν πεζοὺς μὲν 15000, ἱππεῖς δὲ 3000· καὶ τῶν Γετῶν καὶ Τριβαλλῶν φυγαδεύσαντες τὰς δυνάμεις,

(α) Ἐτελεύτα δὲ, κατὰ τὸν Ἡρακλείδην, « τέταρτον καὶ ἑβδομηκοστὸν ἔτος βιοὺς » λέγει ὁ Λαέρτιος ἔν τε τῇ Meibomij ἐκδόσει, Amstelodam. 1692, ὅπου μόνον Ἐῤῥῖκος ὁ Στέφανος σημειοῖ (γράφεται ὀγδοηκοστὸν), καὶ ἐν τῇ ἐκδ. Lips. 1759. (74, ἔχει καὶ ἡ ἐν ἀμφοτέραις ταῖς ἐκδόσεσι λατινικὴ μετάφρασις). Ἀλλ' ὁ Μενάγιος γράφει, 84 (βλ. Menag. Observ. τ. 2. 133). Ἀλλὰ καὶ οὕτω τὸ ἔτος φαίνεται ἐσφαλμένον ὑπὸ τῶν ἀντιγραφέων. Ὁ Λαέρτιος ἔγραψεν ἴσως τέταρτον καὶ ἐννενηκοστὸν (ὡς καὶ αὐτὸς Ὅδιος μετ' ὀλίγον ἐρεῖ· συμφωνεῖ δὲ καὶ Μενάγιος (αὐτόθ.), ἢ μᾶλλον, τέταρτον καὶ ἑκατοστόν (βλ. ἔμπροσθ. §. ζ). — Σημ. ἡμετ.

ἐπιστρατεύουσι μετέωροι παρὰ τῇ Μακεδονίᾳ φανέντες, καὶ πρέσβεις πέμπουσι πρὸς τὸν βασιλέα», κτλ. (Ἰουστῖν. κε, 1). Καὶ Βρέννος μὲν εἰσέβαλεν εἰς τοὺς Δελφοὺς Ὀλυμπ. 125 τὸ β, (Παυσαν. Ι. 23). Ὀλίγῳ δ᾽ ὕστερον καὶ οἱ παρ᾽ Ἰουστίνῳ Γαλάται, στρατεύσαντες εἰς Μακεδονίαν, ἐνικήθησαν ὑπ᾽ Ἀντιγόνου, περὶ τὰ τέλη ἴσως τοῦ αὐτοῦ ἔτους, ἢ ἀρχομένου τοῦ ἐφεξῆς. Τοῦτον δὲ τὸν ψηφισμὸν βεβαιοῖ καὶ ὁ Παυσανίας λέγων, ὅτι μετὰ τὴν Βρέννου τελευτὴν, Δημοκλέους Ἀθήνῃσιν ἄρχοντος, καὶ *ἄλλην στρατείαν εἰσέβαλον οἱ Γαλάται εἰς τὴν Ἑλλάδα*, καὶ τῷ ἔτει τῷ αὐτῷ διέβησαν καὶ εἰς τὴν Ἀσίαν (α). Ὁ δὲ Μενέδημος ἐτελεύτησεν εὐθὺς μετὰ τὴν κατὰ τῶν Γαλατῶν νίκην τοῦ Ἀντιγόνου, ὡς Ἡρακλείδης πάλιν καὶ Ἕρμιππος καὶ Ἀντίγονος ὁ Καρύστιος μαρτυροῦσι παρὰ Λαερτίῳ (αὐτόθ.), συμμαρτυροῦντος καὶ Ἡσυχίου τοῦ Μιλησίου. Καὶ φαίνεται λοιπὸν ὁ Μενέδημος ἀποθανὼν Ὀλυμπ. 125, τὸ γ, ὃ συμπίπτει πρὸς τὸ 7, μὲν ἀπὸ τῆς Λαγίδου τελευτῆς, 9, δὲ ἀπὸ τῆς ἀρχῆς τῆς βασιλείας τοῦ Φιλαδέλφου. Ὁ δ᾽ αὐτὸς ἐνιαυτὸς ὑπῆρχε καὶ 70 ἀπὸ τῆς Πλάτωνος τελευτῆς (Ὀλυμπ. 108, τὸ α). Δοθέντος τοίνυν ὅτι ὁ Μενέδημος ἦγε τότε ἔτος 24, συμποσοῦνται λοιπὸν ὅλα τὰ ἔτη τῆς τούτου ζωῆς 94 : οὐχὶ δὲ 84 (ἢ 74), καθὼς ἔγραψεν ἐξ Ἡρακλείδου ὁ Λαέρτιος. Ὥστε, εἰ δόξει τοῖς υἱοῖς τῶν κριτικῶν, γραπτέον νομίζω καὶ παρὰ τῷ Λαερτίῳ « τέταρτον *καὶ ἐννενηκοστόν* ».

§. έ. « Τούτων οὕτως ἐχόντων, φαίνεται λοιπὸν ὁ Μενέδημος ὅτι

(α) « Τῷ δ᾽ ἔτει τῷ ἐφεξῆς, Δημοκλέους Ἀθήνῃσιν ἄρχοντος, οἱ δὲ αὖθις ἐς τὴν Ἀσίαν διαβαίνουσιν, οἱ Κελτοί » (Παυσαν. Ι, 23). Ταῦτα καὶ μόνα λέγει, ἀναγνῶστα, ὁ Παυσανίας. Ἄλλην δὲ στρατείαν τῶν Κελτῶν εἰσβαλόντων εἰς τὴν Ἑλλάδα (alia se expeditione in Graecos immisisse) πῶς ἀνέγνωσεν Ὅδιος παρὰ Παυσανίᾳ, μόνος οἶδεν αὐτός. Ὅσον ὅμως συμπεραίνεται ἐκ τῆς στρογγυλωτέρας τῶν στοιχείων γραφῆς, προσέθηκε τὴν φράσιν αὐτὸς, ἴσως, ἐξηγῶν τὸ ΑΥΘΙΣ τοῦ Παυσανίου (!). Ἀλλὰ τοῦτο (νομίζομεν) τὸ αὖθις ὁ Παυσανίας ἀττικίζων ἀναφέρει εἰς τὸ πρόσωπον αὐτῶν τῶν Κελτῶν (ὡς καὶ πάλιν τούτους ὀνομάζων)· ὁ δ᾽ αὐτὸς (ἢ, ἵνα καὶ ἡμεῖς παυσανιάσωμεν), ὁ δ᾽ αὖθις, ὁ Παυσανίας, καὶ πρότερον ἐπεμνήσθη τῆς εἰς τὴν Ἀσίαν διαβάσεως τῶν Κελτῶν (Ζ. κεφ. ϛ.). Βλ. καὶ ἐφεξῆς §. ζ. — Σημ. ἡμετ.

μετὰ τὸ 6, ἔτος ἀπὸ τῆς Λαγίδου τελευτῆς οὐκέτι κατῆλθεν εἰς Αἴγυπτον, ἀλλὰ διῆγεν ἐν τῇ πατρίδι μέχρις ἀπέθανεν ἐν Μακεδονίᾳ. Ἐὰν δ᾽ ἐπιμελέστερον ἐρευνήσωμεν, οὐδ᾽ ἦλθεν ὅλως εἰς τὴν Αἴγυπτον ὁ Μενέδημος, ἀφ᾽ οὗ παρέλαβεν ὁ Φιλάδελφος τὴν βασιλείαν. Καὶ « ἐπρέσβευσε μὲν ὁ φιλόσοφος πρὸς *τὸν Πτολεμαῖον* καὶ πρὸς Λυσίμαχον, τιμώμενος πανταχοῦ, οὐ μὴν ἀλλὰ καὶ πρὸς Δημήτριον, — πρὸς ὃν καὶ διεβλήθη ὡς τὴν πόλιν (τὴν Ἐρέτριαν) ἐγχειρίζων Πτολεμαίῳ » (Λαέρτ. β. ιη, 16), ἀλλ᾽ ὁ *Πτολεμαῖος* οὗτος ἦν ὁ τοῦ Λάγου (διότι ὁ Φιλάδελφος οὔπω τὴν βασιλείαν εἶχε παραλαβών, ἐν ὅσῳ ἐβασίλευεν ὁ Δημήτριος). Ἀλλὰ καὶ ἐκ τῆς τοῦ λόγου σειρᾶς φαίνεται πρῶτον πρὸς *Πτολεμαῖον* πρεσβεύσας, ἔπειτα πρὸς *Λυσίμαχον*, καὶ ὕστατα πρὸς Δημήτριον· ὥστε φανερὸν, ὅτι τὴν πρὸς Πτολεμαῖον πρεσβείαν ἐστάλη, καὶ ἐπανῆλθεν εἰς τὴν πατρίδα πολὺ πρότερον, πρὶν ἢ Φιλάδελφος βασιλεύσῃ. Καθότι καὶ αὐτὸς ὁ Δημήτριος πρὸ τῆς Φιλαδέλφου βασιλείας ὑπὸ Λυσιμάχου ἐκβληθεὶς τῆς Μακεδονίας, ἔφυγεν εἰς Ἀσίαν, ὅπου, τέλος, ὑπὸ Σελεύκου ζωγρηθεὶς ἐφυλακίσθη, καὶ ἀπέθανεν ἐν τῇ χερσονήσῳ. Οὐδ᾽ ἂν εἴποι τις πιθανολογῶν, ὅτι καὶ πρὸς τὸν Φιλάδελφον ἦλθεν ὕστερον ὁ Μενέδημος. Εἰ γάρ τι τοιοῦτο συνέβαινεν ἀξιόλογον περὶ τὴν ζωὴν αὐτοῦ συμβεβηκὸς, οὐκ ἂν τοῦτο παρεσιώπησαν οἱ παρὰ τῷ Λαερτίῳ ἐν βίῳ Μενεδήμου μνημονευθέντες συγγραφεῖς, Εὔφαντος, Ἕρμιππος, Ἡρακλείδης, αὐτὸς Ἀντίγονος ὁ Καρύστιος, ὅστις ἀκμάσας περὶ τοὺς ἐσχάτους χρόνους τοῦ Φιλαδέλφου, συνέγραψε καὶ *βίον τοῦ Μενεδήμου* (Ἀθήν. Ι. 419). Τὴν δὲ τοσαύτην τῶν ἱστορικῶν σιωπὴν ἰσχυροποιεῖ καὶ ἡ κρίσις τοῦ ὀρθοῦ λόγου. Πῶς ἂν εἴη πιθανὸν, ἢ τίς ἂν πιστεύσειεν ὅλως, ὅτι ἄνθρωπος ἐννενηκοντούτης ἤδη ὁ Μενέδημος, εἰς οὕτως ὑπέργηρων ἡλικίαν ἐληλακὼς, ἐπεχείρησεν οὕτω μακρὰν καὶ χαλεπὴν ποντοπορείαν, « *Αἴγυπτόν δ᾽ ἰέναι δολιχὴν ὁδὸν ἀργαλέην τε* »; (Ὀδυσ. δ. 483). Καὶ φαίνεται ἄρα ἅλις ἐναργῶς, ὅτι ὁ καλὸς ἡμῖν Ἀριστέας συνέχεε τὸν Λαγίδην πρὸς τὸν *Φιλάδελφον* Πτολεμαῖον μετὰ τῆς αὐτῆς χασμῴδους ἀκηδίας, μεθ᾽ ἧς καὶ τὸν Φαληρέα Δημήτριον,

κἀκεῖνον παρὰ τῷ *Λαγίδῃ διατρίψαντα Πτολεμαίῳ*, μετέφερεν εἰς τοὺς χρόνους τοῦ Φιλαδέλφου ». — Τοιαῦτα ὁ Ὅδιος (α). Τὰ δ' αὐτὰ καὶ Βανδάλης ἀναπεμπάζει μετ' εὐμουσίας μὲν βραχυτέρας, λαμπροτέρας δὲ ὅμως θρασύτητος· καί, τέλος, ἀποφαίνεται· « τίς ἂν καὶ κατὰ νοῦν τολμήσαι λαβεῖν, ὅτι ὁ Μενέδημος παρῆν ἐπὶ ταύτης δὴ τῆς λεγομένης ἑρμηνείας τῶν Ο ; » (σελ. 130). Ἀλλ' ἡμεῖς, καὶ Βανδάλου ἀπαγορεύοντος, διενθυμούμεθα πάλιν ὅσα παρέδωκαν ἡμῖν οἱ ἀρχαῖοι· καὶ δὴ καὶ παραβάλλοντες αὐτὰ πρὸς τὰς τῆς καινῆς σοφίας εὑρέσεις,

Ἀπαντῶμεν.

§. ϛ'. Ἐπαινοῦμεν τὴν Ὁδίου κριτικὴν φιλοπονίαν, μεθ' ἧς ἐξηκρίβωσεν, ὡς ἔγγιστα τῆς ἀληθείας, τοὺς Μενεδήμου χρόνους, διορθῶν ἐν τούτοις πλανηθέντα καὶ αὐτὸν τὸν καθηγεμόνα Σκαλίγηρον· ἀλλ' οὐδόλως ἐπαινοῦμεν καὶ τὴν ἐμπαθῆ περιφιλαυτίαν, δι' ἣν ἀποθέμενος τὴν στάθμην τῆς κριτικῆς, ἀνέλαβεν ἐξαίφνης τὴν σοφιστικὴν τορύνην, συγκυκῶν τὰ πράγματα, καὶ τυρεύων ἐφευρέσεις κατ' Ἀριστέου. Καὶ ὅτι μὲν τὸ περὶ τοῦ Μενεδήμου ἐπιχείρημα τοῦ κριτικοῦ πίπτει παρευθὺς ἐκ προοιμίων, ὡς ἐπερειδόμενον εἰς βάσιν ὀνειρώδη καὶ ψευδῆ, προείπομεν ἐν ἀρχῇ τοῦ παραγράφου (§. γ. σημ.). « Ὁ Ὀξωνιεὺς νεανίας (ἀπήντησεν Οὐόσσιος) θέλει τὸν Μενέδημον ἑπταετίαν μόνον ἐπιζήσαντα μετὰ τὴν ἀρχὴν τῆς καθ' ἑαυτὴν βασιλείας τοῦ Φιλαδέλφου. Ἀλλ' εἰ καὶ μηδὲ μίαν γοῦν ἡμέραν ἐπέζη, τίς οὐ συνορᾷ, ὅτι πάντα παρὰ τῷ Ἀριστέᾳ καὶ Ἰωσήπῳ ἔχουσιν ὀρθῶς; ἡ γὰρ ἑρμηνεία συνετελέσθη ζῶντος ἔτι τοῦ Λαγίδου, καί τοι παραδόντος ἤδη τῷ υἱῷ τὴν βασιλείαν ». — Καὶ μενέτω λοιπὸν ὁ Μενέδημος, Ὁδίου χάριν, ἔγκλειστος εἰς τὴν ἐπίνοσον (οἵα καὶ νῦν φαίνεται καθ' ἡμᾶς) Ἐρέτριαν οἰκουρῶν, ἀπὸ τοῦ 6, τῆς τοῦ Φιλαδέλφου βασιλείας ἔτους, μέχρι καὶ τῆς τελευτῆς· καὶ τελευτάτω συγχρόνως μετὰ τῶν ὑπ' Ἀντιγόνου κατὰ τὴν

(α) Ταῦτα καὶ Wowerius (Syntagm. c. 3. p. 40), οὗτινος, ὡς ἐπὶ τὸ πλεῖστον, τὰς χείρονας γνώμας ὁ κλεινὸς Ὅδιος ἀπανθίζειν φιλεῖ. — Σημ. ἡμετ.

Μακεδονίαν σφαγέντων Γαλατῶν! (§. δ, ε). Ἀλλ' ἐντεῦθεν ὁ κριτικὸς μετέβη καὶ πολὺ περαιτέρω. Ἐπειράθη καὶ ἐξ εἰκασμῶν τινων ἀποδεῖξαι, ὅτι μηδ' ἦλθεν ὅλως εἰς Αἴγυπτον ὁ Μενέδημος, ἀφ' οὗ καθ' ἑαυτὸν ἐβασίλευσεν ὁ Φιλάδελφος. Καὶ ταύτας ἤδη τὰς εἰκασίας θεωροῦμεν εὐθὺς, ἀποδεικνύοντες τῶν Ὀδιακῶν σκεμμάτων τὰ ὀλισθήματα.

§. ζ'. Α) Ἐσφάλη ὁ κριτικός· διότι τὴν παρὰ τῷ Λαερτίῳ νίκην τοῦ Ἀντιγόνου, δευτέραν κατὰ τῶν Γαλατῶν γενομένην, συνέχεε ταυτίσας πρὸς τὴν παρ' Ἰουστίνῳ πρώτην ἱστορουμένην. Ὁ Ἰουστῖνος ἀληθῶς ἱστορεῖ τοὺς Γαλάτας στρατεύσαντας εἰς τὴν Μακεδονίαν, καὶ καταστραφέντας ὑπ' Ἀντιγόνου οὐ πολὺ ὕστερον μετὰ τὴν εἰς Δελφοὺς εἰσβολὴν καὶ ἀπώλειαν τῶν περὶ τὸν Βρέννον (Ὀλυμ. 125, τὸ γ). Ὁ δὲ Λαέρτιος ἄλλην μνημονεύει δευτέραν κατὰ Γαλατῶν νικηφόρον Ἀντιγόνου μάχην, ἣν καὶ αὐτὸς πάλιν ὁ Ἰουστῖνος ἱστόρησεν ἐφεξῆς (κϛ, 2), συμβᾶσαν ἔτει δεκάτῳ περίπου μετὰ τὴν προτέραν (Ὀλυμπ. 127, τὸ δ. ἢ κατ' ἄλλους τὸ γ, τῆς 128. βλ. ὄπισθ. κεφ. Ζ, §. λδ). Εἰς τὴν πρώτην μάχην ὁ Ἀντίγονος ἐνίκησε τοὺς διὰ Γετῶν καὶ Τριβαλλῶν εἰσβαλόντας εἰς τὴν Μακεδονίαν Γαλάτας, ὡρμημένους ἀπὸ τῶν ὁρίων τῆς (περὶ τὴν Παννονίαν) ἰδίας αὐτῶν χώρας· καὶ ἡ μάχη καὶ ἡ νίκη συνετελέσθη κατ' αὐτὴν τὴν Μακεδονίαν· ἡ δὲ δευτέρα γέγονε κατὰ τῶν Ἀσιανῶν Γαλατῶν, ὡρμημένων κατ' Ἀντιγόνου ἔκ τε τῆς ἐν Ἀσίᾳ Γαλατίας, ἢ Γαλλογραικίας (ὡς εἶπεν Ἰουστῖνος), καὶ τῆς Θρᾳκικῆς Χερσονήσου, ἣν ἔτι κατεῖχον μετὰ τῆς Λυσιμαχίας οἱ Βρέννου ἀποστάται Γαλάται, καθὼς ὁ Λίβιος μαρτυρεῖ (α). Τούτους τοὺς Γαλάτας ἐπιδραμὼν ὁ Ἀντίγονος νικᾷ *περὶ τὴν Λυσιμαχίαν*, ὡς ὀνομαστὶ διώρισεν ὁ Λαέρτιος. (Τὴν δὲ Λυσιμαχίαν ᾤκισε Λυσίμαχος ἐπὶ τῷ ἰσθμῷ τῆς Θρᾳκίας χερσονήσου, ἀνελὼν τὴν Καρδιανῶν

(α) « Ibi seditio orta, et ad 20 millia hominum cum Lonnorio et Lutario Regulis secessione facta a Brenno, in Thraciam iter averterunt . . . et Lysimachia fraude capta, Chersonesoque omni armis possessa, ad Hellespontum descenderunt ». (Liv. XXXVIII. πρβλ. Demagistr. Diss. IV. p. 488).

πόλιν) (α). Ἐκ ταύτης οὖν τῆς ὑπερορίου στρατείας ἐπιστρέφοντα τὸν Ἀντίγονον *εἰς τὴν ἰδίαν* (χώραν), ἐτίμησε διὰ τοῦ ψηφίσματος ὁ Μενέδημος, ὡς αὐτὸς οὗτος διακηρύττει λέγων· « Ἐπειδὴ βασιλεὺς Ἀντίγονος μάχῃ νικήσας τοὺς βαρβάρους, *παραγίνεται εἰς τὴν ἰδίαν* » κτλ. (Λαέρτ. αὐτ. §. 17). Ταύτην τὴν ἐν Λυσιμαχίᾳ νίκην τοῦ Ἀντιγόνου παριδὼν ὁ κριτικὸς, οὕτω σαφῶς διακεκριμένην, εἰσήγαγεν ἀντ᾽ αὐτῆς τὴν πρώτην, τὴν ἐν Μακεδοδονίᾳ (καὶ τοῦτο ἴσως, κατασπεύδων τὸν, ὃν τίθησιν εὐθὺς μετὰ τὴν πρώτην ταύτην νίκην, θάνατον τοῦ Μενεδήμου· μήπως οὗτος, μακρότερον ἐπιζήσας, ἐπανέλθῃ πάλιν εἰς Ἀλεξάνδρειαν!). Ὅθεν κατεβίασε πρὸς ἀπόδειξιν τῆς γνώμης αὐτοῦ καὶ τὴν Παυσανίου ῥῆσιν, ὡς ἀνωτέρω (§. δ) προσεσημείωται (β)· ἐπειδὴ δὲ μέχρι τῆς ἐν Λυσιμαχίᾳ ταύτης νίκης ἔζη ὁ Μενέδημος, κἂν ὑποτεθῇ μετ᾽ οὐ πολὺ τελευτήσας (Ὀλυμπ. 128, τὸ α), ἐξελέγχεται πολὺ πλέον ἐσφαλμένος ὁ καθ᾽ Ἡρακλείδην τῶν ἐτῶν αὐτοῦ διορισμὸς, καθὼς ἤδη φέρεται παρὰ Λαερτίῳ· καὶ λοιπὸν ἀντὶ 4 καὶ *ἐννενηκοστοῦ* (ὡς εἰκάζει Ὅδιος διορθωτέον τὸ 80ον) γραπτέον, ἴσως μᾶλλον, 4, καὶ *ἑκατοστοῦ* (βλ. §. δ. σημ.), εἰ μή τις ἐπὶ πλέον αὐξάνοι τὸν ἀριθμόν (γ).

(α) Παυσ. Α. 9. πρβλ. Στράβ. 332, καὶ Διόδωρ. κ. 425. Wess. καὶ Ἀππιαν. Συριακ. Α. (τόμ. α, σελ. 534: Schweigh.), ὅστις καὶ Λυσιμάχειαν (προπαροξύνων) τὴν πόλιν καλεῖ, ὡς καὶ Στέφανος ὁ Βυζάντιος, λέγων εἶναι « τὴν αὐτὴν καὶ τὴν πρότερον Καρδίαν ». Βλ. Σχόλ. εἰς Στέφ. Βυζ. λ. Λυσιμάχεια σελ. 523. ἐκδ. Berkel.

(β) Βλ. καὶ Demagist. l. c. καὶ Vindication of the history etc. p. 167.

(γ) Ὁ Μενέδημος φαίνεται παρατείνας τὸν βίον καὶ μέχρι τῆς 130, Ὀλυμπ. (ὅπερ διέφυγε τὸν Ὅδιον). « Μόνῳ δὲ Περσαίῳ (λέγει ὁ Λαέρτ. Β, ιη, 17) διαπρύσιον εἶχε πόλεμον (ὁ Μενέδημος)· ἐδόκει γὰρ, Ἀντιγόνου βουλομένου τὴν δημοκρατίαν ἀποκαταστῆσαι τοῖς Ἐρετριεῦσι χάριν Μενεδήμου, κωλῦσαι » κτλ. Ὁ δὲ Περσαῖος τοῦ Ζήνωνος ἦν μαθητὴς, « Καὶ ἤκμαζε κατὰ τὴν 130, Ὀλυμπ, ἤδη γέροντος ὄντος τοῦ Ζήνωνος » (αὐτ. Ζ. α. § 8). Ὅθεν (ὡς ὁ Ἔκδικος παρετήρησε, Vindication etc. p. 167, 168) ὁ Μενέδημος ἔζη καὶ μέχρι τοῦ 28 ἔτους τῆς Φιλαδέλφου βασιλείας (ὅπερ συμπίπτει τῇ 130, Ὀλυμπ). Ἀλλ᾽ ὁ Περσαῖος καὶ πρὸ τῆς 130, Ὀλυμπ. ὑπῆρχεν οὐκ ἄσημος, ὡς συμπεραίνεται πάλιν ἐκ τοῦ Λαερτίου, λέγοντος, ὅτι « Τοῦ

§. ή. Β) Ὁ ὅδιος ἐσφάλη περὶ τὴν χρονολογίαν τῆς τοῦ Μενεδήμου πρὸς Πτολεμαῖον πρεσβείας. Ὀρθῶς εἶπεν, ὅτι ὁ παρὰ τῷ Λαερτίῳ Πτολεμαῖος πρὸς ὃν ὁ Μενέδημος ἐπρέσβευσεν, ὑπῆρχε πάντως ὁ Λαγίδης· κείσθω τοῦτο· καὶ συμφωνοῦμεν· (οἱ δὲ τὸν Πτολεμαῖον τοῦτον ἐκλαβόντες ἐπὶ τοῦ Κεραυνοῦ, πλανῶνται περὶ τὴν ἱστορίαν). Ἀλλ' εἰς ποίαν ἄρα πιθανότητα ἐπερειδόμενος ὁ κριτικὸς χρονο-

---

Περσαίου καὶ Φιλωνίδου» (οὓς ἀμφοτέρους ἀπέστειλεν ὁ Ζήνων πρὸς Ἀντίγονον), »μνημονεύει καὶ Ἐπίκουρος, ὡς συνόντων Ἀντιγόνῳ» (αὐτ. Ζ. α, 8). Ὁ δ' Ἐπίκουρος ἐτελεύτησεν Ὀλυμπ. 127, τὸ β (αὐτ. Ι. §. 9). Πρόσθες καὶ ὅτι τὸν αὐτὸν Περσαῖον ἄλλοι ἱστόρησαν καὶ ὡς «οἰκέτην, ἕνα τῶν εἰς βιβλιογραφίαν πεμπομένων τῷ Ζήνωνι παρ' Ἀντιγόνου, οὗ καὶ τροφεὺς ἦν τοῦ παιδὸς Ἀλκυονέως» (Λαέρτ. Ζ. α. §. 31· ὅθεν καὶ τοῦ Ζήνωνος οἰκέτην ἄλλοι τοῦτον εἶπον· καὶ Βίων ὁ Βορυσθενίτης ἀναγινώσκων ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐπιγραφὴν «Περσέα Ζήνωνος Κιτιέα, ἔτρεψεν εἰς τὸ Οἰκιτιέα, τουτ. οἰκέτην. Ἀθήν. δ. 162 : Gell. II. 18 : Ὠριγέν. κ. Κέλσ. Γ. σελ. 483). Καὶ φαίνεται ἄρα δυοῖν θάτερον ἐξ ἀνάγκης, ἢ ὅτι ὁ Περσαῖος (καὶ πρὶν αὐτὸν ὁ Ζήνων συστήσῃ πρὸς Ἀντίγονον) διέτριβε κατὰ καιροὺς ἐρχόμενος ἀπὸ τῆς Ζήνωνος σχολῆς εἰς τὴν αὐλὴν τοῦ Ἀντιγόνου (ὡς ἔκπαλαι γνωστὸς καὶ οἰκεῖος), καὶ τότε πρὸς τὸν Μενέδημον ἀντεπολιτεύετο· ἢ (τὸ πιθανώτατον) ὅτι τὸν Περσαῖον μετὰ τοῦ Φιλωνίδου συνέστησεν ὁ Ζήνων διὰ τῆς παρὰ τῷ Λαερτίῳ ἐπιστολῆς πολὺ πρότερον πρὸ τῆς 130, Ὀλυμπ. (ἐπειδὴ ὁ Ἐπίκουρος ἐμαρτύρησε τούτους Ἀντιγόνῳ συνόντας ἤδη κατὰ τὴν 127, Ὀλυμπ.). Καὶ ἀρκείτω λοιπὸν ὁ βίος τοῦ Μενεδήμου μέχρις ἀρχομένης τῆς 128, Ὀλυμπ. παρατεινόμενος, ὡς ἐκ τῶν πιθανωτάτων συνάγεται γνωρισμάτων. Καί τοι περὶ τὰς ἐν ταῖς βιογραφίαις μάλιστα χρονολογίας τῶν ἀρχαίων (ὡς φέρονται παρ' ἡμῖν τὴν σήμερον) ἀπαντῶνται πολλάκις διαφοραί τινες ἐπίσημοι καὶ παρ' αὐτῷ τῷ Λαερτίῳ. Αὐτίκα καὶ περὶ τοῦ Ζήνωνος αὐτοῦ· «Ὀκτὼ (λέγει) πρὸς τοῖς 90, βιοὺς ἔτεσι, κατέστρεψε» (οὕτω καὶ Λουκιανὸς περὶ Μακροβ.) «Περσαῖος δὲ φησὶν ἐν ταῖς ἠθικαῖς σχολαῖς, δύο καὶ 70, ἐτῶν τελευτῆσαι αὐτόν» (Ζ, α, §. 25). Ἀλλ' αὐτὸς ὁ Ζήνων ἐν τῇ πρὸς Ἀντίγονον ἐπιστολῇ γράφει περὶ ἑαυτοῦ «ἐτῶν γάρ εἰμὶ ὀγδοήκοντα» (αὐτ. §. 8). Ἐντεῦθεν ὁ μὲν Κασωβὼν (αὐστηρότερον ἐπικρίνας) ψευδῆ τὴν πρὸς Ἀντίγονον τοῦ Ζήνωνος ἐπιστολὴν καὶ νόθον ὑπέλαβε (Casaub. εἰς Λαέρτ. Ζ. σελ. 382. τόμ. α. Meib.). Ὁ δ' Ἀλδοβρανδῖνος ἠπιώτερον (καὶ ἀληθέστερον) κρίνων, ὑπέλαβε μᾶλλον τὸν Περσαῖον πλανηθέντα (Aldobrand. ibid.), Ἀλλὰ (τό γ' ἐμοὶ δοκοῦν) πιθανώτερον ἄν τις ἀποδοίη τὴν πλάνην μὴ εἰς τὸν ὁμόχρονον καὶ μαθητὴν τοῦ Ζήνωνος Περσαῖον, ἀλλὰ μᾶλλον εἰς αὐτὸ τῆς τούτου συγγραφῆς τὸ ἀπόγραφον, ἐν ᾧ ἀνέγνω ὁ Λαέρτιος ἡμαρτημένον ὑπὸ τοῦ μεταγραφέως τὸν ἀριθμὸν τῶν ἐτῶν. Βλ. καὶ Fabric. Bibl. Graec. vol. 3. p. 579. Harl.

λογεῖ καὶ τὰς Μενεδήμου πρὸς τοὺς τρεῖς βασιλεῖς πρεσβείας κατὰ τὴν παρὰ τῷ Λαερτίῳ τάξιν τῶν ὀνομάτων, πρώτην μὲν καὶ παλαιοτάτην τάχα τὴν πρὸς τὸν Λαγίδην τιθείς, δευτέραν δὲ τὴν πρὸς Λυσίμαχον, καὶ τρίτην ὕστερον τὴν πρὸς τὸν Δημήτριον; Μὴ γὰρ εἶπέ τι ῥητῶς περὶ τῆς τοιαύτης τάξεως τῶν πρεσβειῶν ὁ ἱστορικός; ἢ μήπως ἠδυνάτει μνημονεῦσαι ταύτας καὶ πρωθυστέρως, ὡς ἔταξε πολλὰ καὶ ἄλλα καὶ αὐτὸς καὶ ἄλλοι τοσοῦτοι συγγραφεῖς; Τοῦτο φαίνεται πιθανώτατον· καὶ πρώτην ὁ Μενέδημος πρεσβείαν ἐστάλη πρὸς τὸν Δημήτριον, ὡς συνάγεται ἐκ τῆς ὅλης συμφράσεως τοῦ Λαερτίου. Ἀναλάβωμεν τὴν περιοχὴν τοῦ ις. παραγράφου, ἐξ ἀρχῆς. « Τὰ μὲν οὖν πρῶτα κατεφρονεῖτο, κύων καὶ λῆρος ὑπὸ τῶν Ἐρετριέων ἀκούων· ὕστερον δ' ἐθαυμάσθη, ὥστε καὶ τὴν πόλιν ἐγχειρίσασθαι. *Ἐπρέσβευσε δὲ καὶ πρὸς Πτολεμαῖον καὶ Λυσίμαχον, τιμώμενος πανταχοῦ. Οὐ μὴν ἀλλὰ καὶ πρὸς Δημήτριον*· καὶ τῆς πόλεως 200, τάλαντα τελούσης πρὸς ἔτος αὐτῷ, τὰ 50 ἀφεῖλε. Πρὸς ὃν διαβληθείς, ὡς τὴν πόλιν ἐγχειρίζων Πτολεμαίῳ, ἀπολογεῖται δι' ἐπιστολῆς, ἧς ἡ ἀρχή » κτλ. Τούτων οὕτω κειμένων, ἐξετάσωμεν, πότε πιθανῶς τὴν πρὸς Πτολεμαῖον καὶ Λυσίμαχον ἐστάλη πρεσβείαν; ἆρά γε εὐθὺς ἀφ' οὗ ἦλθεν εἰς τὴν Ἑλλάδα ὁ τοῦ Ἀντιγόνου Δημήτριος, καὶ πρὶν ἢ καταστήσῃ τὴν Ἐρέτριαν φόρου ὑποτελῆ; οὐχὶ πάντως· τότε γὰρ εἰς τὴν πόλιν βουλευτὴς παραμένων, ἔσῳζεν αὐτὴν ἀπὸ τῶν προδοτῶν, ὡς μαρτυρεῖ λαμπρῶς ὁ Ἡρακλείδης (παρὰ Λαερτ. αὐτ. §. ιζ) λέγων· « Πρόβουλον αὐτὸν γενόμενον τῶν Ἐρετριέων, *πολλάκις ἐλευθερῶσαι τὴν πόλιν ἀπὸ τῶν ἐπαγομένων τὸν Δημήτριον* ». Ὁ δὲ Δημήτριος ὑπεζύγωσε τὴν Ἐρέτριαν εἰς φόρον βαρὺν οὐχὶ πρὸ τῆς 121, Ὀλυμπιάδος, ὅσον ἐξάγεται πιθανῶς ἐκ τῆς ἱστορίας. Μετὰ τὸν Κασσάνδρου θάνατον (Ὀλυμπ. 120, τὸ γ) ὁ Δημήτριος ὅλην κατασχὼν τὴν Μακεδονίαν (Ὀλυμπ. 121 τὸ β), ὑπέταξε καὶ τὴν Θετταλίαν, καὶ Πελοποννήσου τὰ πλεῖστα, καὶ Μέγαρα, καὶ Ἀθήνας, καὶ Βοιωτίαν (Πλούτ. Δήμητρ. §. λθ). Τότε φαίνεται καὶ τὴν Ἐρέτριαν εἰς φόρον ὑπαγαγών, καὶ καταθλίβων τὸν Ὠρωπόν. Καὶ τότε λοιπὸν ὁ Μενέδημος ἐπρέσ-

βευσε πρὸς Δημήτριον, τὸν φόρον τῆς πατρίδος ἐλαττῶν· καὶ πάλιν « πρὸς αὐτὸν ἐπρέσβευσεν ἐμβριθέστατα καὶ ὑπὲρ τοῦ Ὠρωποῦ » (Λαέρτ. αὐτ. §. ιϛ). Τῷ δὲ α, τῆς 123 : Ὀλυμπ. Σέλευκος καὶ Πτολεμαῖος καὶ Λυσίμαχος συμμαχοῦσι κατὰ τοῦ Δημητρίου· καὶ περιέστη πόλεμος πολὺς τὸν Δημήτριον. « Ἅμα γὰρ τὴν μὲν Ἑλλάδα πλεύσας στόλῳ μεγάλῳ Πτολεμαῖος ἀφίστη, Μακεδονίαν δὲ Λυσίμαχος ἐκ Θρᾴκης » (Πλούτ. Δημητ. §. μδ). Καὶ τότε λοιπὸν ὁ Μενέδημος διεβλήθη πρὸς τὸν ἐγκρατῆ τῆς Ἐρετρίας Δημήτριον, « ὡς τὴν πόλιν ἐγχειρίζων Πτολεμαίῳ ». Τῷ δ' αὐτῷ ἔτει ἐξεβλήθη, τέλος, τῆς Μακεδονίας ὁ Δημήτριος, καὶ ἔφυγεν εἰς Ἀσίαν ἀνεπιστρεπτί. Γίνεται δὲ τῆς Μακεδονίας κύριος ὁ Λυσίμαχος πρῶτον μετὰ Πύῤῥου, ὀλίγῳ δ' ὕστερον καὶ μόνος αὐτὸς (Ὀλυμπ. 123, τὸ β). Ὁ δὲ τοῦ Δημητρίου υἱὸς Ἀντίγονος ὁ Γονατᾶς ἔμεινεν ὀλίγων πόλεων τῆς Ἑλλάδος ἡγεμονεύων. Καὶ τότε πιθανώτατα ὁ Μενέδημος ἐπρέσβευσε πρὸς τοὺς νικητὰς Λυσίμαχον καὶ Πτολεμαῖον, ὑπὲρ ἀσφαλείας τῆς πατρίδος· (ἥτις ὕστερον ἑάλω, τέλος, ὑπὸ τοῦ Ἀντιγόνου, ὡς συμπεραίνεται ἐκ τοῦ μετὰ ταῦτα σκώψαντος τὸν Μενέδημον « *περὶ τῆς ἁλώσεως τῆς Ἐρετρίας* ». Λαέρτ. αὐτόθ. §. γ). Εἰ δὲ καὶ ἦλθεν ὁ Μενέδημος εἰς τὴν Ἀλεξάνδρειαν πρὸς τὸν Πτολεμαῖον περὶ τὰ τέλη τοῦ γ, ἔτους τῆς 123, Ὀλυμπ. παρῆν λοιπὸν καὶ τῷ δ, τῆς αὐτῆς Ὀλυμπιάδος, ὁπότε παρέδωκεν ὁ Πτολεμαῖος τὴν βασιλείαν τῷ υἱῷ, τῷ Φιλαδέλφῳ· παρέμεινε δὲ καὶ μετὰ ταῦτα χρόνον ἴσως ἱκανὸν, διατρίβων παρὰ τοῖς φιλομούσοις βασιλεῦσι μετὰ Λυκόφρονος, καὶ τῶν ἄλλων αὐτοῦ φίλων. Ταῦτα νομίζομεν πιθανώτερα παρὰ τὴν ἀρέσκουσαν Ὀδίῳ χρονολογικὴν διάταξιν τῶν Μενεδήμου πρεσβειῶν. Ἀλλὰ κἂν ὑποτεθῇ, τέλος, ὁ Μενέδημος πρεσβεύσας πρὸς Πτολεμαῖον πρὸ τοῦ δ, τῆς 123, Ὀλυμπ. οὗτος μὲν ἠδύνατο καὶ αὖθις ἐλθεῖν εἰς τὴν Ἀλεξάνδρειαν κατὰ τὰς ἀρχὰς τῆς Φιλαδέλφου βασιλείας (ὡς λέγομεν ἐφεξῆς)· αὐτοῦ δὲ τοῦ Ὀδίου ἡ περὶ τῶν πρεσβειῶν χρονολογία οὐδαμῇ οὐδαμῶς ἀποδείκνυται ἐκ τοῦ Λαερτίου (καθὼς ὑπέλαβεν), ἐξελέγχεται δὲ μᾶλλον ὑπηνέμιος εἰκασία.

§. θ΄. γ) Καὶ εἰς ἄλλας τοιαύτας εἰκασίας ἐξώλισθεν ὁ κριτικός. Ἀπίθανον εὑρίσκει καὶ δεύτερον ἐπὶ Φιλαδέλφου βασιλεύοντος εἰς Αἴγυπτον ἀπόπλουν τοῦ Μενεδήμου· διότι περὶ τούτου ἐσιώπησαν μετὰ τοῦ Λαερτίου καὶ οἱ παρ᾽ αὐτῷ μνημονευόμενοι βιογράφοι τοῦ Μενεδήμου! Καὶ ποῦ ποτε ἆρα τούτους εὑρὼν ἐμελέτησεν Ὅδιος; ἢ καὶ παρὰ τίνος ἄλλου κατέμαθεν ἀκριβῶς, ὡς οὐδὲν οὐδόλως ἔγραψε περὶ τούτου οὔτ᾽ αὐτὸς Ἀντίγονος ὁ Καρύστιος, οὔτε τῶν ἄλλων οὐδεὶς, ὧν μόνα τὰ ὀνόματα, καὶ συνοπτικὸν ἀπάνθισμα τῆς Μενεδήμου βιογραφίας (ὡς καὶ τοῦ Φαληρέως, καὶ πολλῶν ἄλλων) διέσωσεν ὁ Λαέρτιος καὶ εἰς ἡμᾶς; Ἆρά γε μήπως ἐβάδιζεν ἀσφαλέστερον ὁ σοφὸς ἀνὴρ, εἴπερ ἐπείθετο μᾶλλον τοῖς περὶ τὸν Ἰώσηπον, οἵτινες καὶ τὸν Καρύστιον Ἀντίγονον, καὶ τὸν Ἕρμιππον, καὶ τοὺς ἄλλους τότε σῳζομένους ἀνεγίνωσκον συγγραφεῖς, καὶ πάλιν μετὰ Ἀριστέου καὶ αὐτοὶ τὸν Μενέδημον ἱστόρησαν ἐν Ἀλεξανδρείᾳ παρόντα κατὰ τὰς ἀρχὰς τῆς βασιλείας τοῦ Φιλαδέλφου; Ἢ καλὴν ἂν πρὸς τὰ κρείττω προκοπὴν ἐλάμβανε τῆς παλαιᾶς ἱστορίας ἡ γνῶσις, εἴπερ οἱ νεώτεροι παρακολουθοῦντες, ὡς κανόνα, ἕνα τινὰ καὶ δύω τῶν καθ᾽ ἡμᾶς ἀποσωθέντων τῆς ἱστορίας συνοψιστῶν, ἀπέῤῥιπτον ἔπειτ᾽ ἀφειδῶς, ὡς ἂν ψεῦδος, πᾶν ἐν γένει, εἴ τι φέρεται παρ᾽ ἄλλῳ τινὶ παλαιῷ κᾀκείνῳ, τῆς ἱστορίας συνοψιστῇ, διὰ μόνον ἕνα λόγον, ὅτι τοῦτο παρέδραμον οἱ ἄλλοι. Ἀπὸ τοιαύτης ὁρμώμενοι ἀρχῆς οἱ περὶ τὸν Λαμπῖνον, καὶ ἄλλοι, τὸν δριμὺν ἐπαγγελλόμενοι κριτικὸν, ἐξήλεγχον (οἱ δὲ καὶ διώρθουν πρὸς τὸ δοκοῦν) τὸν Διόδωρον, διότι ἱστόρησε τὴν εἰς Κύπρον στρατηγίαν τοῦ Φωκίωνος, ἣν ὁ Πλούταρχος ἀπεσιώπησεν ἐν τῷ Φωκίωνος βίῳ (α). Ὁ δὲ κλεινὸς Ὅδιος καὶ πρὸς αὐτὸν τὸν λόγον τὸν ὀρθὸν ἐναντίον εὑρίσκει τὸν ἐπὶ τοῦ Φιλαδέλφου βασιλεύοντος εἰς Αἴγυπτον τοῦ Μενεδήμου πλοῦν, ὡς ἤδη τριγέροντος καὶ ἀσθενεστάτου πρὸς οὕτω χαλεπὴν καὶ μακρὰν ὁδοιπορίαν. Ἀλλ᾽ αὐτὸς μᾶλλον ὁ κριτικὸς φαίνεται καὶ πρὸς

(α) Βλ. Wesseling. not. εἰς Διόδ. Σικελ. ιϛ. τόμ. β. σελ. 114.

τὸν λόγον τὸν ὀρθὸν ἀντιλέγων, καὶ πρὸς πίστεις ἱστορικάς. Εἰ γὰρ ὁ Μενέλαος, ἐν Φάρῳ τῇ νήσῳ διατρίβων, εὕρισκε πρᾶγμα βαρὺ τὸ, « *Αἴγυπτόν δ᾽ ἰέναι δολιχὴν ὁδὸν ἀργαλέην τε* » (Ὀδ. δ, 354—483), ἀλλ᾽ οὐ καὶ Μενέδημος ἔκρινε τοιαύτην τὴν ἐκ τῆς Ἑλλάδος εἰς Αἴγυπτον ναυστολίαν, ἀπερχόμενος πρὸς φίλον ἄνδρα καὶ φιλόμουσον, τὸν Πτολεμαῖον, καὶ τοὺς περὶ τοῦτον ἄλλους αὐτοῦ φίλους (περὶ ὧν ἐφεξῆς), καὶ μάλιστα κατὰ τοὺς χρόνους ἐκείνους, ὁπότε καὶ συχνὴ τῶν Ἀλεξανδρέων πρὸς τοὺς Ἕλληνας ὑπῆρχεν ἐπιμιξία, καὶ νῆες ἰδιωτικαί, καὶ στόλοι ὅλοι τοῦ Λαγίδου καὶ Φιλαδέλφου κατέπλεον ἄλλοτε πρὸς ἄλλους εἰς τὴν Ἑλλάδα βοηθοί· ὥστε ὁ Μενέδημος (ἄνθρωπος καὶ ἄλλως νησιώτης, καὶ ναυτικὸς) ἠδύνατο καὶ λίαν εὐκόλως, καὶ κοιμώμενος, ἂν θέλῃς, ἐπὶ τῆς γεροντικῆς αὐτοῦ στρωμνῆς, διαβῆναι εἰς τὴν Αἴγυπτον

« Νηυσὶν ἐπὶ γλαφυρῇσιν, ἀγαλλομέναις Διὸς οὔρῳ ».

Ἔπειτα καὶ ἄλλως, οὐδὲ χαλεπὴ τῷ γέροντι καὶ δύσφορος ἐφαίνετο ἡ διαπόντιος αὕτη πορεία, καθὸ ἔκπαλαι συνήθης αὐτῷ καὶ γνωστή. Καὶ ἄλλοτε διεμέτρησεν ὁ Μενέδημος τὸ Αἰγύπτιον πέλαγος, νέος ἔτι (πρὶν ἅψηται πολιτικῶν πραγμάτων καὶ πρεσβειῶν), ὁπότε μετὰ τοῦ φίλου Ἀσκληπιάδου συνέπλευσαν καὶ συνεκινδύνευσαν εἰς τὴν Κύπρον παρὰ τῷ Νικοκρέοντι, διὰ τὸ τοῦ Μενεδήμου παῤῥησιαστικόν (α). Καὶ τίς οἶδεν, εἰ μὴ καὶ κατ᾽ ἐκεῖνον τὸν πλοῦν συναπῆλθε μετὰ τοῦ φίλου μέχρι καὶ τῆς γείτονος Ἀλεξανδρείας ὁ Μενέδημος, οὐχὶ πρεσβεύων, ἀλλὰ τὰ κατὰ τὴν Αἴγυπτον ἱστορῶν καὶ φιλοσοφῶν, πρὸς τὸ παράδειγμα τοῦ διδασκάλου Πλάτωνος καὶ τοῦ Σόλωνος; Πρόσθες τελευταῖον, ὅτι ὁ Μενέδημος οὗτος, « καὶ κατὰ τὴν ἕξιν τὴν σωματικὴν, ἤδη καὶ

(α) Λαέρτ. αὐτ. §. 4. Σὺ δὲ σημείωσαι ἀναγνῶστα, πῶς τὴν ἐν Κύπρῳ πρὸς τὸν τύραννον Νικοκρέοντα συνέντευξιν τοῦ Μενεδήμου, πρὸ 30, σχεδὸν ἐτῶν γενομένην, ἀτάκτως ἔγραψεν ὁ Λαέρτιος, ἐξαίφνης ἡμῖν αὐτὸν ἀπὸ τοῦ Πειραιῶς καὶ τῶν Ἀντιγόνου τοῦ Γονατᾶ χρόνων, εἰς τὴν Κύπρον ἐπὶ τοῦ πολὺ προγενεστέρου Νικοκρέοντος παραστήσας. Ἔπειτα ὁ Ὅδιος χρονολογεῖ ἀσφαλῶς τὰς πρεσβείας, ὡς ἐκ τῆς παρὰ τῷ Λαερτίῳ τάξεως τῶν ὀνομάτων!

πρεσβύτης ὑπάρχων, οὐδὲν ἧττον ἀθλητοῦ ςεῤῥός τε (ἦν), καὶ ἐπικεκαυμένος τὸ εἶδος, πίων τε καὶ τετριμμένος » (δηλονότι, *τὸ δέρμα στιλπνὸς*, ὁποῖα τὰ τῶν *τριβομένων* ἐν ταῖς παλαίστραις) (α). Ὁ δὲ Ὄδιος, πᾶν τοὐναντίον, τριπέμπελον ἡμῖν καὶ σαπρόγηρον (decrepita aetate), « ὡς σαπρὸν οἰκίας σάρον », ἢ ῥάκος αὐτόχρημα κατατετριμμένον εἰσήγαγε τὸν ἐννενηκοντούτη Μενέδημον, ἀπείργων αὐτὸν ἐξ ἀνάγκης ἀπὸ τῆς εἰς Αἴγυπτον θαλασσοπλοΐας! Ἀλλ᾽ ὁ μὲν Φωκίων, Ὄδιε, *καί τοι ἤδη ὑπὲρ τὰ* 80 *ἔτη γεγονὼς*, ἐστρατήγει » (Πλούτ. εἰ πρεσβ. πολιτευτ. §. ιε). Καὶ Ἀντίγονος ἐμάχετο, καὶ οὗτος ὑπὲρ 80 ἔτη γεγονώς (Ἀππιαν. Συριακ. §. ν)ε. καὶ Σόλων δὲ σφόδρα γέρων ἤδη « *καὶ εἰς Αἴγυπτον ἀπέπλευσε καὶ εἰς Κύπρον* (ὅπου καὶ ἐτελεύτησε, κατὰ τὸν Λαέρτιον, Α, β, §. 4—15)· ἄλλα παραδείγματα παραλείπομεν· διὰ τί μὴ παρομοίως καὶ τὸν Μενέδημον, ῥωμαλέον ἀνδρογέροντα, συγχωρεῖς καὶ δεύτερον, καὶ τρίτον (ἂν οὕτω τύχῃ) εἰς Ἀλεξάνδρειαν ἀποπλεῦσαι, καὶ πρεσβεῦσαι δὲ, ἴσως, καὶ πάλιν πρὸς αὐτὸν τὸν Λαγίδην, καὶ τὸν νεωστὶ συμβασιλεύσαντα υἱὸν, ὑπὲρ τῆς πατρίδος; Τελευταῖον. Ἐκ ποίων τεκμηρίων ἐγνώρισας τὴν ἣν εἶπας (σελ. 302), καὶ πάλιν ἐρεῖς ἐφεξῆς (κεφ. ια, §. η) *χάσμην* καὶ *ἀκηδίαν* τοῦ Ἀριστέου, μεθ᾽ ἧς ὁ κατὰ σὲ δόλιος πλαστογράφος οὗτος συνέχεε δῆθεν τοὺς Πτολεμαίους; « Ἆρά γε (λέγει σοι δριμύτερον ὁ Δεμάγιστρος, σελ. 491) οὐ μετενόησας, Ὄδιε, τοιαύτην ἀναζωσάμενος συγγραφὴν, δι᾽ ἧς ἐπεχείρησας καταστρέψαι

(α) Λαέρτ. Β. ιη, §. 9. καὶ Menag. τ. 2. p. 130. Ὅτι δὲ καὶ μέχρι τέλους εὔρωστος διήγαγε, μαρτυρεῖ καὶ ὁ τρόπος τῆς αὐτοῦ τελευτῆς. « Καὶ γὰρ ὑπ᾽ ἀθυμίας ἀσιτήσας (δι᾽ ὅλων) ἑπτὰ ἡμερῶν, (μόλις) μετήλλαξε τὸν βίον, ὡς ἱστόρησεν Ἡρακλείδης » (αὐτ. §. ιη). Καὶ νέου δὲ τοῦ Μενεδήμου τὴν εὐεξίαν ἐθαύμασαν οἱ Ἀρεοπαγῖται. « Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους, μεταπεμψάμενοι ἠρώτησαν, πῶς ὅλας τὰς ἡμέρας τοῖς φιλοσόφοις συσχολάζοντες, κεκτημένοι δὲ μηδὲν, εὐεκτοῦσιν οὕτω τοῖς σώμασι; καὶ οἳ ἐκέλευσαν μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. — Καὶ τούτου εἰπόντος, ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μυλῶνα, καὶ ἀλοῦντες, δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι, θαυμάσαντες οἱ Ἀρεοπαγῖται, 200, δραχμαῖς ἐτίμησαν αὐτούς » (Ἀθήν. δ, 168).

πᾶσαν τὴν ἀρχαιότητα, καὶ ταῦτα πάσχων τοσαύτην πενίαν οὐ μόνον λόγων ὑγιῶν, ἀλλὰ καὶ πλασμάτων πιθανῶν»;

§. ί. Ἀλλὰ συμπεραίνομεν καὶ τὰ περὶ Μενεδήμου, προστιθέντες ἐξ αὐτῆς τῆς πολιᾶς ἀρχαιότητος τὰς ἀποδείξεις τῆς ἀληθείας· καὶ πρῶτον τοὺς μάρτυρας.

α) Αὐτὸς ὁ Ἕρμιππος, ἢ ὁ Εὔφαντος, Μενεδήμου σύγχρονος (Λαέρτ. Β, 10, §. 6), ἢ ὁ περὶ τὰ τέλη τῆς Φιλαδέλφου βασιλείας ἀκμάτας Ἀντίγονος ὁ Καρύστιος, ἢ ὅστις ἄλλος ἐστὶ τῶν ἀρχαίων, ἐξ οὗ μετέγραψε τὸ χωρίον ἐν τῷ Μενεδήμου βίῳ ὁ Λαέρτιος, μαρτυρεῖ, ὅτι «*Καὶ πρὸς Πτολεμαῖον ἐπρέσβευσεν, ὁ Μενέδημος*». Πότε δὲ καὶ ἐπρέσβευσεν, ἐπιθανολογήσαμεν ἀνωτέρω (§. η). Κἂν πάλιν ἀντιβαίνωσιν οἱ περὶ τὸν Ὅδιον, ἐκεῖνος μὲν (ὡς εἴπομεν) ἠδύνατο καὶ δεύτερον καὶ τρίτον πρεσβεῦσαι. Τὴν δ' οὖν παρὰ τοῖς ἀρχαίοις ἱστορικοῖς πρὸς Πτολεμαῖον πρεσβείαν τοῦ Μενεδήμου, ὡς περὶ τὰς ἀρχὰς τοῦ Φιλαδέλφου βασιλείας γενομένην ἐξέλαβον καὶ ἄλλοι, πολὺ παρὰ πολλοὺς Ὀδίους καὶ Σκαλιγήρους καλλιώτερον (ὅσῳ καὶ τοῖς χρόνοις πλησιέστερον) μεμελετηκότες, καὶ κατανοήσαντες σῳζομένους ἐκείνους τοὺς ἱστορικούς.

β) Ὁ μὴ μόνον τῆς Ἰουδαϊκῆς, ἀλλὰ καὶ τῆς ἑλληνικῆς ἱςορίας ἐγκρατέστατος, καὶ τῶν μάλιστα κατὰ τοὺς Πτολεμαίων χρόνους συγγραφέων εἰδημονέστατος Ἰώσηπος (Ἀρχ. ΙΒ, β. §. 12) ὁμολογεῖ τὸν Μενέδημον παρόντα μετὰ τῶν Ο, πρεσβυτέρων εἰς τοῦ Φιλαδέλφου τὴν αὐλὴν, καθὼς ἱστόρησεν Ἀριστέας. (Εἰ δὲ καὶ τοῦτο τὸ ἱστόρημα τοῦ Ἀριστέου εὕρισκεν ὁ Ἰώσηπος ἐναντίον πρὸς τὰς μαρτυρίας τῶν ἄλλων ἀρχαίων ἱστορικῶν, οὐκ ἂν τοῦτο καὶ αὐτὸς ὡς ἀναντίῤῥητον ἐμνημόνευεν).

γ) Ὁ παλαιὸς Ἀφρικανὸς (ἐξ οὗ θέλουσι καὶ αὐτοὶ οἱ περὶ τὸν Σκαλίγηρον ὅτι τὰ πλεῖστα τῆς χρονολογίας ἠνθολόγησεν ὁ Σύγκελλος) μετ' αὐτοῦ Συγκέλλου (Χρονογρ. σελ. 517, Bon.) συναποδέχεται παρὰ τῷ Φιλαδέλφῳ μετὰ Δημητρίου τοῦ Φαληρέως καὶ ἑτέρων σοφῶν «*ἀνθοῦντα καὶ Μενέδημον τὸν φιλόσοφον*. (Καὶ σημείωσαι, ὅτι τὴν φράσιν ταύτην περιέχει ἐκεῖνο τὸ τοῦ Συγκέλ-

λου χωρίον, ὅθεν ἐξήνεγκαν οἱ περὶ τὸν Ὅδιον τὰς περὶ τῆς βιβλιοθήκης *λαμπρὰς καὶ καθαρὰς* ἀποδείξεις, ὡς ὡμολόγησαν ἐν τοῖς προηγουμένοις (κεφ. θ. §. ιϐ).

δ) Ὡσαύτως μνημονεύει τοῦ Μενεδήμου καὶ ὁ γηραιὸς Τερτυλλιανὸς (Ἀπολογ. κεφ. 18).

ε) Πρόσθες καὶ τὸν Κεδρηνὸν, ἱστοροῦντα « *παρόντα τὸν Μενέδημον* » μετὰ Δημητρίου τοῦ Φαληρέως, κατὰ τὸν χρόνον τῆς ἑρμηνείας (Συνόψ. ἱστορ. τ. α, σελ. 165, ἐκδ. Παρισ. 1645).

ς) Εἰ δὲ καὶ ὁ Δεμάγιστρος συνείκασεν ὀρθῶς, ἔχομεν μάρτυρα καὶ ἄλλον πολλῷ πλέον ἀρχαιότερον, καὶ σύγχρονον Μενεδήμου καὶ Φιλαδέλφου, καὶ τοῦτον Αἰγύπτιον, τὸν Μανέθωνα, ὅστις ἀνωνύμως ἐν τοῖς Ἀποτελεσματικοῖς ὑπογράφει τοὺς ἠθικοὺς καὶ σωματικοὺς χαρακτῆρας τοῦ Μενεδήμου, καθὼς αὐτὸν ἐγνώρισεν ἐν τοῖς βασιλείοις τοῦ Φιλαδέλφου (α).

ζ) Εἰ δὲ πρὸς τοὺς Μανεθωνείους τούτους χαρακτηρισμοὺς ἐπιμειδιάσουσιν οἱ Ὀδιακοὶ, ἀλλ᾽ ὅμως αἰδεσθήσονται (νομίζομεν) τὴν ταυτότητα τῶν χαρακτήρων τοῦ τε παρὰ τῷ Ἀριστέα, καὶ τοῦ παρὰ Λαερτίῳ βιογραφομένου Μενεδήμου, θεωρουμένην ἀπό τινων φρονημάτων τοῦ φιλοσόφου καὶ λόγων καὶ περιστατικῶν. Καὶ πρῶτον ὁ Λαέρτιος (αὐτ.) οὐ μόνον τῆς Μεγαρικῆς Σχολῆς ἀκροατὴν ἱστόρησε τὸν Ἐρετριέα Μενέδημον (ἀφ᾽ οὗ καὶ οἱ ἄλλοι συσχολασταὶ Ἐρετριακοὶ ἐπεκλήθησαν· πρϐλ. Στράϐ. Θ: Ἀθήν. Β. 55), ἀλλὰ καὶ « *πλατωνικὸν τοῖς δόγμασιν* αὐτὸν εἶπε » (ϐ). Τῶν δὲ

(α) Ἰδοὺ οἱ στίχοι αὐτοί (Μανέθων. ἀποτελεσμ. ε).

« Τραυλὸν ἐν γλώσσῃ, χαριέστατον, ἠθάδ᾽ ἐόντα,
Ταῖς ἀκοαῖσι βαρὺν, καὶ τοῖς ποσὶν, ἠδὲ καὶ ἄρθροις,
Ἀστρολόγον πινυτὸν, καὶ ῥήτορα, καὶ φιλόμουσον,
Ῥυθμοῖς καὶ μέτρων ποιήμασιν εὔστοχον ἄνδρα » κτλ.

καὶ τούτους τοὺς χαρακτῆρας ὁ σοφὸς Δεμάγιστρος (σελ. 488) ἐφαρμόζει εἰς τὸν Μενέδημον, ἐπεξηγῶν, καὶ (ὅσον δύναται) δικαιολογῶν ἀπὸ τῶν παρὰ Λαερτίῳ ἱστορουμένων ἰδιοτήτων καὶ περιστατικῶν τοῦ Μενεδήμου. Οὕτως εὗρε καὶ τὸν Φαληρέα ζωγραφούμενον παρὰ τῷ Μανέθωνι (καθὼς λέγομεν ἐφεξῆς)· ἀλλὰ περὶ τούτων κρινέτω τὸ δοκοῦν ὁ ἀναγνώστης.

(ϐ) Λαερτ. Β, ιη, §. 3, καὶ 12 (πρϐ. καὶ Fabr. Bibl. Gr. vol. 3. p. 179. Harl.).

Πλάτωνος καλλίστων δογμάτων ὑπῆρχε καὶ τὸ τῆς θείας προνοίας, καὶ « *ὅτι οἱ θεοὶ ἐφορῶσι τὰ ἀνθρώπινα* » (Λαέρτ. γ. §. 62)· καὶ ὅτι « *ἀρετὴ θείᾳ μοίρᾳ παραγίνεται* (τοῖς) *κτωμένοις* »· καὶ ὅτι *θεοείκελος ὁ ἄνθρωπος καὶ εἰκὼν θεοῦ* (α). Ἄκουε καὶ τὸν παρὰ τῷ Ἀριστέᾳ « *τῆς προνοίας ὑπέρμαχον* » (ὡς ὁ γηραιὸς Τερτυλλιανὸς αὐτὸν ἐπονομάζει) Μενέδημον· « *Προνοίᾳ γὰρ τῶν ὅλων διοικουμένων*, καὶ (ἡμῶν) ὑπειληφότων ὀρθῶς τοῦτο, ὅτι *θεόκτιστον ζῶον ὁ ἄνθρωπος*, ἀκολουθεῖ, *πᾶσαν δυναστείαν καὶ λόγου καλλονὴν ἀπὸ θεοῦ κατάρχεσθαι* » (ἴσ. γρ. *κατέρχεσθαι*) (α). Πάλιν, « *σεμνὸν ἱκανῶς* » διέγραψε τὸν Μενέδημον ὁ Λαέρτιος (αὐτ.)· ἔτι δὲ καὶ *δεισιδαιμονέστερον ἠρέμα*. « Σὺν γοῦν Ἀσκληπιάδῃ κατ' ἄγνοιαν ἐν πανδοχείῳ ποτὲ κρεάτων ῥιπτουμένων φαγών, ἐπειδὴ μάθοι, ἐναυτία τε καὶ ὠχρία » κτλ. (§. 8). Τοιοῦτος δὲ ὢν ὁ φιλόσοφος, ἄσμενος λοιπὸν καὶ συνδιελέγετο καὶ συνειστιᾶτο μετὰ τῶν Ο, οἵτινες ἐπῄνουν μὲν καὶ ἤσκουν « σεμνότητα *καὶ καταστολὴν* » (βλ. ὄπισθ. σελ. 235), « *ἀκαθάρτου δὲ οὐχ ἥπτοντο* » (κατὰ τὸν νόμον)· διὸ καὶ προλαβὼν ἐφρόντισεν ὁ βασιλεὺς ὅπως παρασκευασθῶσιν αὐτοῖς πάντα (τὰ βρωτὰ καὶ τὰ ποτὰ) « *κατὰ τὸν ἐθισμὸν αὐτοῖς* » (Ἀριστέας). Πρεσβεῦσαι πρὸς Πτολεμαῖον ἱστόρησαν τὸν Μενέδημον οἱ περὶ τὸν Λαέρτιον. Πρέσβεις τότε (ἐπὶ τῶν Ο) τυχόντας, *παρὰ βασιλέων καὶ πόλεων*

Μετὰ Πλάτωνος καὶ Σπευσίππου συναριθμεῖ τὸν Μενέδημον καὶ Ἐπικράτης (παρ' Ἀθην. β, 59). Ὁ δὲ Βανδάλης (pag. 127) *ἄκρατον ἡμῖν κυνικὸν* (philosophum cynicum) *ἔκρινε τὸν Μενέδημον, ἀγαπήσας πάντως τὴν εὐστομίαν τῶν χυδαίων Ἐρετριέων ἐκείνων, παρ' ὧν κατεφρονεῖτο ὁ φιλόσοφος « κύων καὶ λῆρος ἀκούων* (Λαέρτ.)! Ἢ *μήπως ὁ κριτικὸς συνέχεε τὸν Ἐρετριέα Μενέδημον πρὸς ἄλλον ὁμώνυμον νεώτερον, κυνικὸν*, Κολώτου τοῦ Λαμψακηνοῦ *μαθητήν*; (Λαέρτ. ς. κεφ. θ.).

(α) « Οὐδὲ τὸν ἄριστον τῶν φιλοσόφων (τὸν Πλάτωνα) ἠμύναντο, εἰκόνα Θεοῦ τὸν ἄνθρωπον εἰπόντα εἶναι » (Λουκιαν. ὑπὲρ τῶν Εἰκόν. §. 28. βλ. καὶ Πλάτ. Πολιτ. ς. σελ. 476). Οἱ δέ τινες (οὐκ ὀρθῶς) τὸ « *τὸν ἄριστον τῶν φιλοσόφων* » ἐξέλαβον ἐπὶ τοῦ Διογένους, ὅστις « τοὺς ἀγαθοὺς ἄνδρας, Θεῶν ἔλεγεν εἰκόνας εἶναι » (Λαέρτ. ϛ, β. §. 6). Βλ. Σχολ. εἰς Λουκιαν. αὐτόθ. σελ. 506. τόμ. β. Reitz.

(β) Παρὰ τῷ Ἀριστέᾳ σελ. XXIII. ἐκδ. Hody.

ἀπεσταλμένους ἀναγινώσκομεν καὶ παρὰ τῷ Ἀριστέᾳ. Εἷς δὲ τούτων πάντως ὑπῆρχε καὶ Μενέδημος, ὃν μάλιστα διὰ τὴν σοφίαν τιμῶν ὁ Φιλάδελφος, εἰσήγαγε καὶ σύνδειπνον τοῖς Ο, καθὼς καὶ ἄλλους τῶν παρ' αὐτῷ φιλοσόφων (« *οὐκ ὀλίγοι γὰρ παρῆσαν* », ὡς Ἀριστέας φησί). Τελευταῖον ὁ Λαέρτιος (αὐτ. §. 10) μεταξὺ τῶν Μενεδήμου φίλων ἀριθμεῖ οὐ μόνον τὸν Ἀσκληπιάδην, καὶ ἄλλους, καὶ τὸν Ἄρατον (α), ἀλλὰ καὶ Λυκόφρονα, τὸν τραγῳδίας ποιητήν. Ὁ δὲ Λυκόφρων οὗτος εἷς ἦν τῶν ἐπὶ τοῦ Φιλαδέλφου γενομένων ἀρίστων ἑπτὰ τραγικῶν, οὓς *Πλειάδα* ἐκάλεσαν (καθὸ λαμπροὺς ἐν τῇ τραγικῇ, ὥσπερ ἄστρα τὰ ἐν τῇ πλειάδι) (β). Ἤνθει δὲ ἡ Πλειὰς αὕτη *ἐν τοῖς χρόνοις Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ*

(α) Τὸν Σολέα δηλονότι, ἢ ἀπὸ Ταρσοῦ τῆς Κιλικίας Ἄρατον, οὗτινος σῴζονται καὶ παρ' ἡμῖν μόνα τὰ Φαινόμενα καὶ αἱ Διοσημεῖαι (βλ. Ἀθήν. ια, 489, κτλ.), ὅστις καὶ μαθητὴς ἐπίσημος ἐγένετο Μενεδήμου (Σουΐδ. λ. Ἄρατος). « Συνήκμασε δὲ Ἄρατος Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ, καὶ Καλλιμάχῳ, καὶ Μενάνδρῳ, καὶ Φιλητᾷ » (βίῳ Ἀράτ. πρβλ. καὶ Καλλίμαχ. τόμ. α. σελ. 590 ἐκδ. Ern.), καὶ κατεβίωσε παρὰ τῷ βασιλεῖ Ἀντιγόνῳ (αὐτόθ. βλ. καὶ Fabric. Bibl. Gr. vol. 4. p. 88. Harl.). Εἰ δὲ καὶ παρὰ τῷ Φιλαδέλφῳ διέτριψεν, ἄδηλον μὲν ἐκ τῆς κατ' αὐτὸν συντόμου βιογραφίας· πιθανώτατον δὲ ὅμως ὡς ἐκ τῆς ἐν Κῷ (φίλῃ τῷ Λαγίδῃ νήσῳ, καὶ γενεθλίῳ τοῦ Φιλαδέλφου) χρονίας αὐτοῦ διατριβῆς, ὅπου τοῦτον φίλον ἔσχε καὶ Θεόκριτος· διὸ καὶ τοῦτον μνημονεύει (Εἰδ. ς, 2· καὶ ζ, 102), ὡς καὶ τὸν ἑαυτοῦ διδάσκαλον Φιλητᾶν, καὶ τὸν Σικελίδαν Ἀσκληπιάδην, καὶ ἄλλους (Εἰδ. ζ. βλ. Wustemann Theocr. Reliq. p. 107—109). Τοῦτον δ' οὖν τὸν Ἄρατον κακῶς συνέχεόν τινες (βλ Demagist. σελ. 492) μετὰ τοῦ Σικυωνίου Ἀράτου τοῦ στρατηγοῦ, ὅστις καὶ αὐτὸς ἐπρέσβευσε παρὰ τῷ Φιλαδέλφῳ, καὶ ἔλαβε παρ' αὐτοῦ δωρεὰν 150, τάλαντα πρὸς βοήθειαν τῆς πατρίδος. Καὶ ἰδίως δὲ τῷ Ἀράτῳ σύνταξιν λαμπρὰν ὁ Πτολεμαῖος, « ἓξ τάλαντα κατ' ἐνιαυτὸν ἀπέστελλε » (Πλούταρχ. Ἀράτ. §. ιγ. καὶ μα). Καὶ τούτου μὲν τοῦ Ἀράτου μνημονεύονται μόνον ὑπομνήματα (Πλούταρχ. Κλεομ. §. ις. καὶ Ἀράτ. §. λη). Εἰς δὲ τὸν ποιητὴν Ἄρατον καὶ ἐπίγραμμα ποιῆσαι τὸν Φιλάδελφον Πτολεμαῖον ἐνόμισεν ὁ Βισκόντης (Iconogr. Grec. tom. I. p. 93), τὸ ἐκδεδομένον ἐν Ἀναλέκτ. τόμ. Β. σελ. 66, (καὶ ἐν Ἀνθολογ. Ἐπιγραμ. βιβλ. α. σελ. 96. Brod.). Ἀλλὰ μήπως ἠπατήθη ὁ περικλεὴς ἀρχαιολόγος; διότι τὸ ἐπίγραμμα ἐπιγράφεται μὲν Πτολεμαίου, καὶ πορείας ἄστρων θεωρεῖ (οἷα καὶ τὰ φαινόμενα τοῦ Ἀράτου), ἀλλ' οὔτε εἰς τὸν Ἄρατον ἀναφέρεται, οὔτε ὑπὸ τίνος Πτολεμαίου ἐποιήθη δηλοῖ ἡ ἐπιγραφή.

(β) Βλ. Σχολ. Ἡφαιστ. καὶ Τζέτζ. προλόγ. εἰς Λυκόφρον. Ἀλεξάνδ. Oxon. 1697. πρβλ. καὶ Fabric. Bibl. Gr. vol. 2. p. 317. Harl.

Ἀρσινόης (α), *περὶ τὴν ρκδ. Ὀλυμπιάδα* (β) (ἤγουν κατ' αὐτὰς τῆς Φιλαδελφείου βασιλείας τὰς ἀρχάς). Ὁ δὲ Λυκόφρων εὐδοκίμει καὶ ἀπὸ τῶν ἀναγραμματισμῶν, μεταγραμματίζων (ἐν τῇ αὐλῇ τοῦ Φιλαδέλφου δηλαδὴ) τὸ μὲν *Πτολεμαῖος*, εἰς τὸ « *ἀπὸ μέλιτος* », τὸ δὲ Ἀρσινόη, εἰς τὸ « *Ἥρας ἴον* » (γ). Καὶ εἰς αὐτὸν δὲ τὸν φίλτατον Μενέδημον ὁ συννησιώτης Λυκόφρων (καθὸ καὶ αὐτὸς Εὐβοεὺς, ἐκ τῆς Χαλκίδος) ἔγραψεν ἀστεῖον δρᾶμα σατυρικὸν, ἐγκώμιον τοῦ φιλοσόφου (δ). Πρὸς τούτους τοίνυν, Ὅδιε, καὶ ἄλλους οὐκ ὀλίγους παρὰ τοῖς ἱστορικοῖς μνημονευομένους περὶ τὸν Φιλάδελφον σοφοὺς παράβαλε τοὺς παρὰ τῷ Ἀριστέᾳ *οὐκ ὀλίγους φιλοσόφους*, πρὸς οὓς ἐπήνεσεν ὁ βασιλεὺς τοὺς Ο, ἄνδρας, « *ὡς διαφέροντας ἀρετῇ καὶ συνέσει* ». Κἂν μὴ σκαρδαμύττῃς τοὺς ὀφθαλμοὺς ἑκουσίως, ὄψει πάντως ἐν τούτοις συμπαρόντα καὶ τὸν Μενέδημον *κατὰ τὴν ρκδ, Ὀλυμπιάδα ἐν τῇ αὐλῇ τοῦ Φιλα-*

(α) Τζέτζ. αὐτ. ὅπου ἀντὶ Ἀρσινόης γράφεται ἐσφαλμένως Βερενίκης· καὶ ἐφεξῆς, Λαγωοῦ, ἀντὶ Λάγου (βλ. ὄπισθ. σελ. 192).

(β) Σουΐδ. λ. Ὅμηρος Ἀνδρομάχης (γρ. Ἀνδρομάχου), ὅστις εἷς ἦν καὶ αὐτὸς τῆς Πλειάδος, ἀκμάζων Ὀλυμπ. ρκδ. »

(γ) Τζέτζ. αὐτ. Ὁ δὲ σοφὸς Ἐδ. Δικκινσῶν (Ed. Dickins. in Delph. Phoenic.) καὶ ἑβραϊκὰ μαθόντα λέγει τὸν Λυκόφρονα ἐν Ἀλεξανδρείᾳ, παρ' ὧν ἐμιμήθη καὶ τὸν ἀναγραμματισμόν· (πρβλ. καὶ Fabr. Bibl. Gr. T. 3. p. 751 Harl.). Ἀλλ' ὅτι μὲν ἔμαθε καὶ ἑβραϊκὰ ὁ Λυκόφρων, πρᾶγμα πιθανώτατον· ὅτι δὲ καὶ τὸν ἀναγραμματισμὸν παρ' Ἑβραίων ἔμαθε, τοῦτο λίαν ἀμφίβολον ἐδόξασεν ὁ Δικκινσῶν· ἢ μήπως ἑβραΐζων καὶ ὁ Πλάτων ἀνεγραμμάτιζεν, ἐν οἷς ἀστείως ἠτυμολόγει τὸ Ἥρα παρὰ τὸ ἀήρ; (Κρατύλ. σελ. 272).

(δ) Τούτου στίχους διέσωσε καὶ εἰς ἡμᾶς ὅ,τε Λαέρτιος καὶ ὁ Ἀθήναιος· ἐκφράζουσι δὲ πάντες σχεδὸν τὸ περὶ τὰ δεῖπνα ἀπέριττον καὶ λιτὸν τοῦ φιλοσόφου (« ἦν γὰρ καὶ φιλυπόδοχος, καὶ, διὰ τὸ νοσῶδες τῆς Ἐρετρίας, πλείω συνάγων δεῖπνα »)·

« Ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
Αὐτοῖς κυκλεῖται πρὸς μέτρον, τράγημα δὲ
Ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος » (Λαέρτ. αὐτ.).
« Καὶ δημόκοινος ἐπεχόρευσε δαψιλὴς
Θέρμος, πενήτων καὶ τρικλίνου συμπότης » (Ἀθήν. Β. καὶ Ι).

« Θέρμος γὰρ ἦν τράγημα, ἢ κύαμος » (Λαέρτ. αὐτ.)·
Καὶ ταῦτα μὲν κείσθωσαν ὁδοῦ πάρεργον, ἱλαρύνοντα μεταξὺ καὶ διαῤῥιπίζοντα τὸ πνιγηρὸν τῶν ἀντιλογιῶν!

δέλφου καὶ τῆς Ἀρσινόης, καὶ συμμεταγραμματίζοντα (τί δ᾿ οὐχί;) χαριέντως μετὰ Λυκόφρονος, συμμετέχοντα δὲ τάχα καὶ *τῶν συντάξεων* (Ἀθήν. ια, 493), καὶ τῶν ἄλλων δωρεῶν, δι᾿ ὧν ἐγέραιρεν ὁ Φιλάδελφος τοὺς παρ᾿ αὐτῷ *Μουσάων ὑποφήτας* (Θεόκρ. Εἰδυλ. ιζ). Οὕτως ἐτίμησε καὶ τοὺς Ο, « *ἑκάστῳ τρία τάλαντα ἀργυρίου* » κελεύσας δοθῆναι τὸ πρῶτον, καὶ πάλιν, ὁπότ᾿ ἀνεχώρουν, « *ἑκάστῳ στολὰς τρεῖς τῶν κρατίστων, καὶ χρυσίου τάλαντα δύο, καὶ κυλίκιον ταλάντου* », κτλ. (Ἀριστέας). Ἀλλὰ καὶ αὐτὸς ὁ ζῶν εἰσέτι τότε Πτολεμαῖος ὁ Σωτὴρ ἐτίμα πάντως καὶ τὸν Μενέδημον οὐχ ἧττον, ἢ τὸν ἐκ Μεγάρων διδάσκαλον αὐτοῦ Στίλπωνα, « ὃν ἀπεδέχετο μεγάλως, ὁπότε τῶν Μεγάρων ἐγκρατὴς ἐγένετο (Ὀλυμπ. ριη, τὸ α), ἀργύριον αὐτῷ διδοὺς, καὶ παρακαλῶν εἰς Αἴγυπτον συμπλεῖν ». Εἰ δ᾿ ἐκεῖνος « μέτριον μέν τι προσήκατο τ᾿ ἀργυρίου, *τὴν δ᾿ ὁδὸν ἠρνήσατο* » φιλοχωρῶν (α), ἀλλ᾿ ὅμως ὁ μαθητὴς αὐτοῦ Μενέδημος, ὡς *ἀποδημητικὸς*, ἀπέπλευσε μετὰ ταῦτα (μὴ διστάσῃς Ὅδιε) πρὸς τὸν ἤδη ζῶντα σὺν υἱῷ καὶ διαδόχῳ φιλομούσῳ φιλόμουσον πατέρα καὶ βασιλέα, πρεσβεύων μάλιστα ὑπὲρ τῆς πατρίδος.

§. ζ΄. Ἂν δὲ, τέλος, θεωρήσωμεν καὶ ποῖον ἐπέχει τόπον ὁ Μενέδημος ἐν τῇ ἱστορίᾳ τοῦ Ἀριστέου, φανήσεται καὶ ἀπὸ τούτου καθαρῶς ἡ ἄδολος καὶ ἄπλαστος διάνοια τοῦ ἱστορικοῦ, διηγουμένου τὰ πράγματα, καθὼς συνέβησαν. Οὔτε πρόσωπον τῆς πράξεως ἐνεργὸν εἰσάγεται ὁ φιλόσοφος οὗτος, οὔτ᾿ ἄλλο τι παρίσταται συνεργῶν ἢ συμβουλεύων, γνώμην δὲ λέγει μόνον ἐπεισοδιώδη καὶ ἁπλῆν, συμπαρατυχὼν καὶ αὐτὸς μετ᾿ ἄλλων σοφῶν

(α) Λαέρτ. Β, ιϐ, §. 4. Ἀλλ᾿ ὁ αὐτὸς Λαέρτιος (Β, ια, §. 1) *εἰσάγει καὶ τὸν Στίλπωνα διατρίβοντα παρὰ Πτολεμαίῳ, ἐν οἷς ἱστορεῖ περὶ Διοδώρου τοῦ Κρόνου, ὅτι* « Οὗτος παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίβων, *λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη* πρὸς Στίλπωνος· *καὶ παρὰ χρῆμα μὴ δυνάμενος διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως* — Κρόνος *ἤκουσεν ἐν σκώμματος μέρει* » *κτλ.* Πότερον ἆρα κατὰ τὴν Ἑλλάδα παρηκολούθει καὶ Διόδωρος τῷ Σωτῆρι, ὁπότε τῶν Μεγάρων κρατήσας ἀπεδέξατο τὸν Στίλπωνα; ἢ ὁ Στίλπων ὕστερον μεταβαλὼν γνώμην ἀπῆλθε καὶ εἰς Αἴγυπτον παρὰ τὸν Σωτῆρα;

ἐν τῇ τοῦ βασιλέως πρὸς τοὺς Ο, συντυχίᾳ. Καὶ ἠδύνατο λοιπὸν ὁ Ἀριστέας τὴν γνώμην ταύτην παντάπασι παρασιωπῆσαι, ὡς μηδὲν συντελοῦσαν περὶ τὴν ἱστορίαν, εἰ μὴ βεβαίως ἠπίστατο παρόντα τότε καὶ γνωμολογήσαντα τὸν Ἐρετριέα σοφόν. Εἰ δὲ καὶ ὁ (κατὰ τὸν Ὅδιον) δόλιος συῤῥάπτης τῆς ἱστορίας ταύτης ἤθελε τὴν συντυχίαν ἐκείνην ἐπιλαμπρύναι καὶ διά τινος ὀνόματος ἐπισήμου Ἕλληνος σοφοῦ, μήπως οὐκ εἶχεν ὀνομάσαι παμπόλλους ἄλλους ἀναντιῤῥήτως διατρίψαντας παρὰ τῷ Σωτῆρι καὶ τῷ Φιλαδέλφῳ, καὶ ξένους καὶ Ἀλεξανδρεῖς, καὶ οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον, τοῦ Μενεδήμου ἐπιφανεῖς; Εἴπομεν τὴν Πλειάδα τῶν ποιητῶν· προστίθει καὶ Ζηνόδοτον τὸν Ἐφέσιον, καὶ Στράτωνα τὸν Λαμψακηνὸν, καὶ τὸν Κῷον Φιλητᾶν, καὶ Θεόκριτον αὐτὸν (τὸν δ' αἰσχρὸν Σωτάδην, καὶ τὸν σιλλογράφον Τίμωνα τὸν Φλιάσιον παραλείπομεν) (α). Πρόσθες καὶ τὸν ὁμώνυμον Ξενοκράτους τοῦ φιλοσόφου καὶ συγγενῆ καὶ συμπολίτην Ξενοκράτην (β), Καλλίμαχον τὸν Κυρηναῖον, Σωσιγένην, Ἀπόλλωνα, Δίωνα, (Ἀθήν. ια, 493), τοσούτους ἄλλους Μουσῶν ὑποφήτας, χρονίσαντας διὰ μακροῦ, τοὺς δὲ καὶ καταβιώσαντας ἀπ' ἀρχῆς τῆς βασιλείας παρὰ τῷ Φιλαδέλφῳ, γνωστοὺς καὶ παρὰ τοῖς ἱστορικοῖς καὶ παρ' αὐτοῖς Ἀλεξανδρεῦσι. (Τούτους δὲ καὶ Ἀριστέας ἀνέφερεν ἀθρόως καὶ ἀνωνύμως, *οὐκ ὀλίγους φιλοσόφους* εἰπών)· διὰ τί ἆρά γε ὁ γόης οὗτος ψευδιστοριογράφος οὐδένα ἄλλον τῶν τοσούτων ἐμνημόνευσε σοφῶν, ἀλλ' ἐῤῥιψοκινδύνευσε χωρὶς ἀνάγκης ὅλον τὸ πλάσμα τῆς ἱστορίας, προτιμήσας τὸν πρόπαλαι παροδικῶς πρεσβεύσαντα Μενέδημον, μετάχρονον αὐτὸν οὕτως ἀτόπως εἰσαγαγὼν, ὡς πολὺ (κατὰ τὸν Ὅδιον) προχρονίσαντα; Πότερον ἆρα τοσοῦτον ἀναίσθητος ἦν καὶ παχύδερμος ὁ πανοῦργος οὗτος πλαστογράφος, ἢ τοσοῦτον ἀμαθὴς μὲν τῆς ἱστορίας αὐτὸς, ἀβέλτεροι δὲ

(α) « Ἐγνώσθη δὲ (ὁ Τίμων) καὶ Ἀντιγόνῳ τῷ βασιλεῖ, καὶ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, ὡς αὐτὸς ἐν τοῖς ἰαμβείοις αὐτοῦ μαρτυρεῖ » Λαέρτ. Θ. ιβ. §. 1.

(β) « Τούτου τοῦ Ξενοκράτους φέρεται λόγος Ἀρσινοητικὸς, γεγραμμένος περὶ Ἀρσινόης ἀποθανούσης » (τῆς τοῦ Φιλαδέλφου δηλονότι, παρ' ᾧ διέτριψε). Λαέρτ. Δ. β. §. 13.

τινες καὶ αὐτοὶ οἱ τότε παρευθὺς καὶ ὕστερον ἀναγνόντες τὴν αὐτοῦ συγγραφὴν, καὶ μνημονεύσαντες συμφώνως μετ' αὐτοῦ καὶ τὸν Μενέδημον; Μὴ δῆτα, ὦ σοφοὶ Ὀδιακοὶ, μὴ κατασκεδάζετε τοσαύτης ὕβρεως ἑωλοκρασίαν κατ' ἐκείνων τῶν ἀρχαίων ἀνδρῶν. Πονηρὰ τελεῖτε τούτοις διδασκάλια, οὕτως ἀμούσους ἐξελέγχοντες καὶ πλημμελεῖς εἰς τὰ προφανέστατα τῆς ἀρχαίας ἱστορίας, περὶ ἧς πολλὰ καὶ καλὰ παρ' αὐτῶν καὶ ὑμεῖς ἐδιδάχθητε. Ἀλλ' εὐφημεῖτε, μιμηθέντες κἂν ἐξ αὐτῶν τινας τῶν ὑμετέρων, τούς γε μετριωτέρους (οἷον τοὺς περὶ τὸν Βοβέριον. Συντάγμ. 7. σελ. 61), οἵτινες, καίτοι περί τινα τῶν Ο, δυσπιστοῦντες, ἀλλὰ τὸν Μενέδημον ἀπεδέξαντο.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Β) Ἀμφιβολία. Εἰ Δημήτριος ὁ Φαληρεὺς ἐγένετο βιβλιοφύλαξ τῆς Πτολεμαίου τοῦ βασιλέως βιβλιοθήκης. — Ἔτι δὲ καὶ περὶ τῆς βιβλιοθήκης αὐτῆς, καὶ περὶ τοῦ Μουσείου παροδικὴ διάληψις.

§. ά. Ἰωάννης ὁ Βοβέριος ἀπίθανον εὕρηκε παρὰ τῷ Ἀριστέᾳ καὶ τοῦτο· ὅτι *τὸν Φαληρέα Δημήτριον εἰσάγει βιβλιοφύλακα τῆς Πτολεμαίου βιβλιοθήκης*. Ὁ δὲ Τερτυλλιανὸς (Ἀπολογ.) καὶ *γραμματικῶν δοκιμώτατον* εἶπε τὸν Δημήτριον. Ἀλλὰ ταῦτα (λέγει) πῶς ἂν ἁρμόσειεν ἀνδρὶ διὰ πολλῶν καὶ μεγίστων διελθόντι τιμῶν, καὶ εἰς ἄκρον δυνάμεως καὶ δόξης ἐληλακότι; Φαίνεται λοιπὸν ὁ Ἀριστέας (ἰουδαῖος ἑλληνιστὴς), ὅτι δι' ἀνιστορησίαν συνέχεε τοὺς Πτολεμαίους, καὶ τὸν παρὰ τῷ Σωτῆρι διατρίψαντα Δημήτριον τὸν Φαληρέα πρὸς ἄλλον ὁμώνυμον Δημήτριον (ἄλλου Πτολεμαίου σύγχρονον γραμματικόν) (α). Ἐπειδὴ δὲ τῶν βιβλιο-

---

(α) Οὕτω καὶ Δοδούελλος (H. Dodwell) ὁ πολυμαθὴς πολέμιος καὶ τῶν Ο, καὶ τοῦ Ἀριστέου, κατάγων τὴν ἑρμηνείαν τῶν Γραφῶν εἰς τοὺς χρόνους Πτολεμαίου τοῦ Φιλοπάτορος (!), ἐπειράθη παραστῆσαι καὶ τούτῳ σύγχρονον Δημήτριον, Φαληρέα τάχα κἀκεῖνον γραμματικὸν, ἐξάγων δῆθεν αὐτὸν ἔκ τε τοῦ ἱεροῦ Κλήμεντος καὶ τοῦ Ἰωσήπου (βλ. Fabric. Bibl. Gr. vol. 3. p. 660 Harl.). Οὕτως οἱ σοφοὶ οὗτοι σπεύδοντες ἐξελέγξαι τὸν Ἀριστέα συγχύζοντα τοὺς Πτολεμαίους καὶ Δημητρίους,

θηκῶν ἐπεστάτουν συνήθως γραμματικοί, διὰ τοῦτο καὶ ὁ Τερτυλλιανὸς ἀναγνοὺς παρ' ἄλλοις τὸν Φαληρέα βιβλιοθήκης ἐπιμελητὴν, προσεῖπεν αὐτὸν καὶ γραμματικόν (α).

§. 6. Τοῦτο δὴ τὸ εὕρημα τοῦ Βοβερίου καὶ Ὅδιος παραλαβὼν ἐπεκτείνει, καὶ ταννύει πανταχόθεν, πλημμυρῶν καὶ ῥέων σφοδρὸς μετὰ πλατυσμοῦ καὶ τῆς συνήθους πολυμαθείας. « Δι' ὅλης (λέγει) δεκαετίας ὑπῆρξεν ὁ Δημήτριος Ἀθηνῶν, λαμπροτάτης πόλεως, εἴτ' ἐπιμελητὴς, κατὰ τὸν Διόδωρον, εἴτε *δημαγωγὸς*, κατὰ τὸν Σουΐδαν, εἴτε, κατὰ Φαῖδρον, *τύραννος* (β), ἡγεμὼν δηλονότι, καὶ μονονουχὶ βασιλεύς. Χίλια διακόσια τάλαντα πρόσοδον εἶχεν ἐτήσιον, ὡς μαρτυρεῖ Δοῦρις (γ). Ἐπὶ τῆς αὐτῆς εὐθείας σειρᾶς μετὰ Φιλίππου τοῦ βασιλέως καὶ Ἀλεξάνδρου τοῦ μεγάλου κατέταξεν αὐτὸν Ἀντωνῖνος ὁ αὐτοκράτωρ (δ). *Ἄνδρα παρ' Ἕλλησι*

συγχύζουσι καὶ μεταπλάττουσι τούτους αὐτοί· καὶ γίνεται τὸ τῆς παροιμίας· « τοὔνομά μου παρὰ σοί ». Ἀλλὰ τὰ περὶ τῶν παραδόξων τούτων ἐξελέγχονται πολλαχῶς καὶ ἐν τοῖς ἐφεξῆς. — Σημ. ἡμετ.

(α) I. Wower. Syntagm. c. 3. pag. 38.

(β) Φαῖδρ. Μῦθ. Ε, α. [πρόσθες καὶ Παυσαν. Α, 25 « τύραννον Ἀθηναίοις ἔπραξε γενέσθαι Δημήτριον — ὁ Κάσσανδρος ». — Σημ. ἡμετ.].

(γ) Παρ' Ἀθην. ιβ. 542. [Αὐτὰ ταῦτα τὰ τοῦ Δούριδος, ἴσως, καὶ Αἰλιανὸς ἀπανθίζει (ποικ. ις. Θ. θ). Ἀλλὰ διὰ μνήμης ἁμαρτίαν ἀντὶ τοῦ Φαληρέως Δημητρίου ἐξέλαβε τὸν Πολιορκητήν. Σημ. ἡμετ.].

(δ) « Ὕπαγε νῦν, καὶ Ἀλέξανδρον, καὶ Φίλιππον, καὶ Δημήτριον τὸν Φαληρέα μοι λέγε » Μάρκ. Ἀντων. τ. εἰς ἑαυτ. βιβλ. θ. §. 29. [Συνῆψεν, Ὅδιε, τοῖς βασιλεῦσιν ὁ Ἀντωνῖνος καὶ τὸν Φαληρέα Δημήτριον, οὐχ ὡς ὁμότιμον ἐκείνοις καὶ ἰσοδύναμον, ἀλλ' ὡς ἐνδόξως καὶ αὐτὸν ἐν τῇ δημοκρατίᾳ πολιτευσάμενον. Ἀλλαχοῦ δὲ πάλιν ὅμως ὁ αὐτὸς Ἀντωνῖνος συνῆψε τὸν αὐτὸν ἐπὶ τῆς αὐτῆς σειρᾶς καὶ μετὰ τῶν σοφῶν καὶ πεπαιδευμένων. « Οἱ δὲ δριμεῖς ἐκεῖνοι προγνωστικοὶ, ἢ τετυφωμένοι, ποῦ; οἷον, δριμεῖς μὲν, Χιέραξ (γρ. Χάραξ, ἢ Ἱέραξ), καὶ Δημήτριος ὁ Πλατωνικὸς, καὶ Εὐδαίμων, καὶ εἴ τις τοιοῦτος ». (βιβλ. Η. §. 25. σελ. 74. πρβλ. καὶ σελ. 305 ἐκδ. Gataker. ὅπου ὁ σοφὸς ἐκδότης Ἱέρακα μὲν ἐκλαμβάνει τὸν παρὰ Στοβαίῳ σοφὸν (βιβλ. περὶ Δικαιοσυν.), ἢ Χάρακα τὸν Περγαμηνὸν φιλόσοφον (Σουΐδ.) Δημήτριον δὲ Πλατωνικὸν αὐτὸν μάλιστα τὸν Φαληρέα (ὡς Θεοφράστου μαθητὴν), Εὐδαίμονα, δὲ, τέλος, Ἀστρολόγον τινὰ διάσημον (Vitruv.). Καὶ λοιπὸν κατ' αὐτὴν τὴν Ἀντωνίνου κρίσιν, οὔτε Φιλίππου καὶ τοῦ Μ. Ἀλεξάνδρου ἰσότιμος ἀπέβη καὶ ἰσοκρατὴς ὁ Φαληρεὺς, διότι παρεβλήθη πρὸς αὐτοὺς,

σπουδαῖον, καὶ *τρίτον νομοθέτην Ἀθηναίων* ἐπωνόμασεν αὐτὸν ὁ Σύγκελλος (α). Ἄνδρα καὶ *ἀπὸ τῆς Ἀθηναίων πολιτείας*, ἣν ἄριστα διῴκησε, καὶ *ἀπὸ τῆς σοφίας ἔνδοξον καὶ λαμπρὸν* » ἀπεκάλεσεν αὐτὸν ὁ Κικέρων (ϐ). Ἀλλὰ καὶ κατὰ τὸν Αἰλιανὸν, « ἐπιφανέστατα ἐπολιτεύσατο » (Ποικιλ. ἱστορ.). Κατὰ δὲ τὸν Στράϐωνα, ἔνιοι (καὶ τῶν Ἀθηναίων) ἔλεγον, ὅτι « *βέλτιστα* τότε ἐπολιτεύσαντο κατὰ τὸν δεκαετῆ χρόνον, ὃν, ἄρχων Μακεδόνων ὁ Κάσσανδρος, ἐπέστησε τῶν πολιτῶν Δημήτριον τὸν Φαληρέα » (Στράϐ. θ, 398). Καὶ Παυσανίας (Α, κε) τοῦτον ἱστόρησε « τὰ πρὸς δόξαν εἰληφότα ἐπὶ σοφίᾳ ». Ὁ δὲ Πλούταρχος καὶ αὐτοὺς, εἶπε, τοὺς ἐχθροὺς « τὴν δόξαν αἰδεσθῆναι καὶ τὴν ἀρετὴν τοῦ ἀνδρὸς » (Δημητρ. §. θ). Τελευταῖον, κατὰ τὸν Λαέρτιον (Ε, ε. §. 2), οὕτω λαμπρὸς ἀπέϐη τῆς πόλεως ἐξηγούμενος ὁ Δημήτριος, « ὥστε καὶ εἰκόνων ἠξιώθη χαλκῶν 60, πρὸς ταῖς 300, ὧν αἱ πλείους ἐφ᾽ ἵππων ἦσαν καὶ ἁρμάτων καὶ συνωρίδων, συντελεσθεῖσαι ἐν οὐδὲ 300, ἡμέραις ». Τοῦ δὲ τοσούτου καὶ τηλικούτου ἀνδρὸς οὐ μόνον Ἕρμιππος καὶ Λαέρτιος τὸν βίον συνέγραψαν,

---

ὡς ἐκ τῆς πολιτικῆς, ἣν ἔσχε καὶ αὐτὸς, ἐξουσίας· οὔτε πάλιν ἠτιμάσθη καὶ ἐξέπεσε τῆς εὐκλείας τῆς πολιτικῆς, διότι ἐ π ὶ τ ῆ ς α ὐ τ ῆ ς κ α τ᾽ ε ὐ θ ε ῖ α ν σ ε ι ρ ᾶ ς παρασυνεϐλήθη καὶ πρὸς τοὺς σοφοὺς καὶ τοὺς ἀστρολόγους, ὡς ἐκ τῆς παιδείας αὐτοῦ καὶ φιλολογίας. Ὥστε καὶ αὐτὸς ὁ καλούμενος εἰς μαρτυρίαν Ἀντωνῖνος (οὐ μᾶλλον ἀπὸ τῆς αὐτοκρατορίας, ἢ ἀπὸ φιλοσοφίας καὶ οὗτος ἐπιφανὴς) ἐγέλασεν ἂν πάντως καὶ ἠπόρησεν, εἴποθεν ἤκουε τοὺς περὶ τὸν Ὄδιον σοφοὺς ἀναξίαν τοῦ τῶν Ἀθηνῶν ἄρχοντος εὑρίσκοντας τὴν εἰς κατασκευὴν βιϐλιοθήκης, ἰ α τ ρ ε ί ο υ ψ υ χ ῶ ν, εὐκλεεστάτην ἐπιστασίαν. [Σημ. ἡμετ.].

(α) Σύγκελ. χρονογραφ. [Ἰδοὺ τὸ χωρίον ὁλόκληρον « Πτολεμαῖος—πᾶσαν πανταχόθεν συμφορήσας βίϐλον τῆς Οἰκουμένης, σ π ο υ δ ῇ τοῦ Φαληρέως Δ η μ η τ ρ ί ο υ, τ ρ ί τ ο υ ν ο μ ο θ έ τ ο υ Ἀ θ η ν α ί ω ν, ἀ ν δ ρ ὸ ς π α ρ᾽ Ἕ λ λ η σ ι σ π ο υ δ α ί ο υ, —τὴν ἐν Ἀλεξανδρείᾳ βιϐλιοθήκην κατέστησε » κτλ. (βλ. Κεφ. θ. §. κα). Σὺ δὲ, Ὄδιε, τοὺς ἐπαίνους τοῦ Φαληρέως ἐκ τοῦ Συγκέλλου ἐκλέγων, ἔπειτα τὴν μετ᾽ αὐτῶν συνειρομένην ἐπιστασίαν εἰς κατασκευὴν βιϐλιοθήκης σιωπᾷς; Ἐν ᾧ δὲ ταύτην πάλιν ὡς ἀναξίαν τοῦ Φαληρέως ψευδίζεις, φέρεις ἔπειτα μάρτυρα τὸν Σύγκελλον, ὅστις διὰ ταύτην μάλιστα προσέθηκε καὶ τοὺς ἐπαίνους τοῦ Δημητρίου; Σημ. ἡμετ.].

(ϐ) Cicer. Orat. pro Rabirio, καὶ Libr. I. de Legib. (ϐλ. ὄπισθ. σελ. 112).

ἀλλὰ καὶ *σύγγραμμα* περὶ αὐτοῦ ὁλόκληρον Ἀσκληπιάδης ἐξέδωκεν ὁ τοῦ Ἀρείου (Ἀθήν. ιγ, 567) ».

§. γ. « Εἰ δὲ καὶ ὁ Τερτυλλιανὸς *γραμματικῶν δοκιμώτατον* προσεῖπε τὸν Φαληρέα (ὡς εἴπερ ἂν ἐγένετο μόνον *τῆς γραμματικῆς καθηγητής*!), τοῦτο προῆλθεν ἐκ τῆς συνηθείας τῶν παλαιῶν Ἑλλήνων τε καὶ Ῥωμαίων, οἵτινες τὴν ἐπιστασίαν τῶν βιβλιοθηκῶν ἐνεχείριζον ἀνθρώποις γραμματικοῖς· πλὴν εἰ μήπως ὁ Τερτυλλιανὸς ἠπατήθη ἐκ τῆς ὁμωνυμίας ἄλλων Δημητρίων ἐπισήμων γραμματικῶν, οἷος ἦν ὁ Ἀδραμμυτηνός, καὶ ὁ Κυρηναῖος, καὶ ὁ Ἐρυθραῖος, καὶ ἄλλος Σκήψιος, « πλούσιος καὶ εὐγενὴς ἄνθρωπος, καὶ φιλόλογος ἄκρως » (α). Ἀλλ' ἐπὶ τοῦ Δημητρίου τοῦ Φαληρέως ὅτι ἡ τοῦ γραμματικοῦ ἐπωνυμία παντάπασίν ἐστιν ἀναξία καὶ ἀπρεπής, ἅλις ἀπέδειξαν τὰ περὶ τούτου προειρημένα. Πρόσθες καὶ τὸ τοῦ Ἱερωνύμου κῦρος, εἰπόντος· « Δημήτριον τὸν Φαληρέα, τὸν αὐτὸν παρ' Ἕλλησι καὶ ῥήτορα καὶ φιλόσοφον » (β). Καὶ Κικέρων δὲ τοῦτον ἄνδρα *πολιτικὸν* ὀνομάζων (ὡς προείπομεν), ἐκόσμησεν ἀλλαχοῦ καὶ διὰ τῆς ἐπωνυμίας τοῦ ῥήτορος (γ)· διὰ δὲ τῆς τοῦ *γραμματικοῦ* προσηγορίας οὐδέποτε τὸν Φαληρέα ἠτίμασεν ὁ Κικέρων. Δηλοῦσι δὲ καὶ αὐτὰ τοῦ Φαληρέως τὰ συγγράμματα, *φιλοσοφικὰ* τὰ πλεῖστα ὄντα καὶ *πολιτικὰ καὶ*

(α) Λαέρτ. ἔνθ. ἀνωτ. — Στράβ. ιγ, 609. καὶ ἀλλαχοῦ πολλαχοῦ.

(β) S. Hieron. Com. in Daniel c. 11. [Ἄκουε τὴν Ἱερωνύμου ῥῆσιν ὁλόκληρον, ἀναγνῶστα, « Cujus (Ptolemaei Philadelphi) Bibliothecae praefuit Demetrius Phaler. idem apud Graecos orator et philosophus (S. Hieron. Com. in Dan. XI. §. 5. p. 1080. Paris, 1609). Ταῦτα λέγει τὸ κῦρος τοῦ Ἱερωνύμου! Ὁ δὲ σοφὸς Ὅδιος ἔπαιξε καὶ ὧδε τὴν αὐτὴν ἀστείαν παιδιάν, ὡς καὶ ἀνωτέρω ἐν τῷ τοῦ Συγκέλλου χωρίῳ· ἀπανθίσας ἐκ τῆς φράσεως τὰς λαμπρὰς ἐπωνυμίας τοῦ Φαληρέως, ἀπεσιώπησε τὴν δι' ἣν ἐμνημονεύθησαν ἐπιστασίαν τῆς βιβλιοθήκης. Σημ. ἡμετ].

(γ) « Demetr. Phaler. disputator subtilis, orator parum vehemens, sed dulcis tamen » etc. Cicer. de offic. Libr. 1. [τουτ. διαλεκτικὸς λεπτολόγος, ῥήτωρ ὀλίγον σφοδρὸς, ἀλλ' ὅμως ἡδὺς » κτλ. (πρβλ. καὶ in Brut. §. 37, καὶ in Orator. §. 92). [Ἀλλὰ μήπως, Ὅδιε, ταῦτα τὰ τοῦ Κικέρωνος δοκοῦσιν ἐντιμότερα πολὺ παρὰ τὸ « γραμματικῶν δοκιμώτατος; » Σημ. ἡμετ.].

ἱστορικὰ (οὐχὶ δὲ καὶ *γραμματικὰ*), ὧν τὸν κατάλογον ἐκτίθησιν ὁ Λαέρτιος (α), προστιθεὶς καὶ ὅτι « πλήθει βιβλίων παρελήλακε σχεδὸν ἅπαντας τοὺς κατ᾽ αὐτὸν *περιπατητικοὺς* » (οὐχὶ *γραμματικούς*). Καὶ γνωρίζω μὲν (φησὶν Ὅδιος) ὅτι ὁ Δημήτριος ἐνίοτε σχολάζων ἀπὸ τῶν φιλοσόφων καὶ πολιτικῶν σπουδασμάτων, ἔπαιζε καὶ περί τινας ὑποθέσεις, οὐχὶ πάντῃ ἀλλοτρίας τῆς γραμματικῆς, συγγράψας, κατὰ τὸν Λαέρτιον, *περὶ Ἰλιάδος βιβλία* β, καὶ *περὶ Ὀδυσσείας*, δ, καὶ ἕνα (λόγον) *Ὁμηρικόν*· (ἠγάπα δὲ τὸν Ὅμηρον μάλιστα, « καὶ τοὺς Ὁμηριστὰς ὀνομασθέντας πρῶτος εἰς τὰ θέατρα παρήγαγεν ». Ἀθην. ιδ. 620). Ἀλλ᾽ εἴπερ ἄρα διὰ ταῦτα τὸν Φαληρέα γραμματικὸν ἐκάλεσεν ὁ Τερτυλλιανὸς, ἠδύνατο παρομοίως ἐπονομάσαι καὶ τὸν Καίσαρα τὸν Δικτάτωρα, διότι κἀκεῖνος ἐξέδωκε βιβλίον περὶ φωνῶν *Ἀναλογίας* (β).

(α) « Ὧν (βιβλίων τοῦ Δημητρίου) τὰ μὲν εἰσὶν ἱστορικὰ, τὰ δὲ, πολιτικὰ, τὰ δὲ, περὶ ποιητῶν, τὰ δὲ, ῥητορικά· δημηγοριῶν τε καὶ πρεσβειῶν, ἀλλὰ μὴν καὶ λόγων Αἰσωπείων συναγωγαί· καὶ ἄλλα πλείω » (Λαέρτ. Ε. ε. §. 9). [Ὥστε βλέπεις ἐν τούτοις, ἀναγνῶστα, τὸν Φαληρέα συγγράψαντα καὶ γραμματικά. Εἴγε « τῆς γραμματικῆς τὸ μὲν ἐστὶν ἱστορικὸν, τὸ δὲ τεχνικὸν, τὸ δὲ ἰδιαίτερον, δι᾽ οὗ τὰ κατὰ τοὺς ποιητὰς καὶ συγγραφεῖς μεθοδεύεται » (Σέξτ. πρὸς μαθηματικ.). Ὁμολογήσει δὲ καὶ αὐτὸς Ὅδιος εὐθὺς τὸν Δημήτριον καὶ περὶ τὰ γραμματικὰ ἀσχοληθέντα. Ὅθεν ἄριστα καὶ Μενάγιος ἐν ταῖς εἰς Λαέρτιον ἐπιστασίαις, σημειῶν τὸ τοῦ Λαερτίου « τὰ δὲ (συνέγραψεν ὁ Δημήτριος) περὶ ποιητῶν », ἐπιφέρει τὴν ἀνωτέρω τοῦ Τερτυλλιανοῦ μαρτυρίαν « Grammaticorun probattissimus ». (βλ. Menag. observ. in Laert. E. 5. segm. 80 p. 222). Ἀλλὰ περὶ γραμματικῶν λέγομεν ἐφεξῆς §. ιε κτλ. — Σημ. ἡμετ.

(β) Βλ. Sueton. Vit. Caesar. c. 56. καὶ Charisij Instit. Gram. l. 1. [Ἀλλὰ μή πως καὶ πᾶς τις ἄλλος, καὶ σὺ αὐτὸς, Ὅδιε, οὐκ ὀνομάζεις τὸν Καίσαρα καὶ γραμματικὸν, κατά γε ταύτην τὴν γραμματικὴν συγγραφὴν, καὶ ἱστορικὸν δὲ πάλιν τὸν αὐτὸν (ὡς ἐξ ὧν συνέγραψεν ὑπομνημάτων); Ἄλλος δέ τις πάλιν καῖσαρ (κακῇ μοίρᾳ) κἀκεῖνος καὶ αὐτοκράτωρ, ὁ Ἰουλιανὸς (περὶ Καισ. σελ. 485, 506) ἠρίθμησε τὸν Αὔγουστον καὶ μεταξὺ τῶν Στωϊκῶν (βλ. Fabric. Bibl. Graec. vol. 3. pag. 544. Harl.). Ὡσαύτως λέγε τοῦτον (ἂν θέλῃς) καὶ σύ· καὶ Μάρκον δὲ τὸν Ἀντωνῖνον ὁμοίως ἐρεῖς, αὐτοκράτορα μὲν, ᾗ αὐτοκράτορα, φιλόσοφον δὲ πάλιν καὶ συγγραφέα, καθὸ τοιοῦτον· καὶ Πτολεμαῖον τὸν Β, Εὐεργέτην (οὗ καὶ σὺ μνημονεύεις) καὶ βασιλέα τὸν αὐτὸν, καὶ φιλολόγον (ὡς καὶ συνήθως ἐπωνομάζετο). Ὁμοίως καὶ Πτολεμαῖον τὸν Σωτῆρα, πρῶτον τῆς Αἰγύπτου βασιλέα τὸν

ὡσαύτως καὶ τοὺς μεγίστους τῶν φιλοσόφων, οἵτινες καὶ διὰ τοιούτων γραμματικῶν (ὡς καὶ δι᾽ ἐρωτικῶν) τινων συγγραφῶν (α) ἠγάπων διαναπαύειν τὴν διάνοιαν, κεκμηκυῖαν ἀπὸ τῶν ὑψηλοτέρων θεωριῶν. Τοιαῦτα, κατὰ τὸν Λαέρτιον, συνέγραψαν οἱ Σωκρατικοί, Κρίτων ὁ Ἀθηναῖος, διάλογον γράψας *περὶ γραμμάτων*, καὶ Σίμων Ἀθηναῖος καὶ οὗτος, καὶ Σιμμίας ὁ Θηβαῖος (ἀμφότεροι περὶ ποιήσεως). Ἐκ δὲ τῶν περιπατητικῶν, Ἡρακλείδης Ἡρακλεώτης (β),

---

αὐτὸν, καὶ ἱστορικὸν (μνημονεύσεις δὲ καὶ σὺ μετ᾽ ὀλίγον τὴν περὶ τῆς Ἀλεξάνδρου ἀναβάσεως αὐτοῦ συγγραφήν). Πρόσθες καὶ αὐτὸν τὸν μέγαν Ἀλέξανδρον, ὅστις « ἦν μὲν καὶ φύσει φιλολόγος καὶ φιλομαθὴς καὶ φιλαναγνώστης » (Πλούταρ. Ἀλεξ. §. η), « διῆγε δὲ κυνηγῶν, ἢ συντάττων, ἢ δικάζων τι τῶν πολεμικῶν, ἢ ἀναγινώσκων (Πλούταρχ. αὐτ. §. κγ)· καὶ συνέταττε λοιπὸν καί τινα τῆς στρατείας ὑπομνήματα, καὶ τὰ τῶν ἄλλων πρὸς τὸ ἀκριβέστερον διωρθοῦτο (Στράβ. β. 69). Καὶ διήγημα δὲ τούτου ἐφέρετο περὶ τοῦ βίου τῶν Ἰνδῶν (Παλλάδ. περὶ Βραχμ. σελ. 2. πρβλ. καὶ Fabric. Bibl. Gr. vol. 3. p. 28 Harl.). Ὥστε καὶ Ἀλέξανδρος ἐγένετο, καὶ λέγοιτ᾽ ἂν δικαίως καὶ μέγας μονάρχης καὶ συγγραφεὺς ἱστορικὸς, ἢ ἐθνογράφος γραμματικὸς, ὡς καὶ Καλλίμαχος ὁ Κυρηναῖος, ἄλλων παραδείγματα παραλείπομεν· τὰ αὐτὰ ἐφαρμόζονται καὶ εἰς τὸν ἐκ Φαλήρου ἄρχοντα τῶν Ἀθηνῶν. Ἢ μήπως μόνος οὗτος ὁ Φαληρεὺς, ὡς μὲν ἐκ τῆς πολιτείας καὶ τῶν πολιτικῶν αὐτοῦ συγγραμμάτων δύναται πάντως καλεῖσθαι πολιτικὸς, καὶ ῥήτωρ δὲ καὶ φιλόσοφος, ἀπὸ τῶν ὁμοίων ἕξεων καὶ συγγραφῶν, γραμματικὸς δὲ μόνον οὐκ ἂν ποτ᾽ οὐδόλως ὀνομασθείη, καί τοι γραμματικὰς καὶ Ὁμηρικὰς (οἵας καὶ οἱ γραμματικοὶ τῆς Ἀλεξανδρείας) πραγματευσάμενος ὑποθέσεις, ὡς « εὐπαίδευτος καὶ πολύπειρος γενόμενος παρ᾽ ὁντιναοῦν; » (Λαέρτ. αὐτ.). Παράδοξος ἡ τοσαύτη περὶ τοῦ Φαληρέως γραμματικοφοβία! ὡς ἂν εἴπερ ἡ γραμματικὸς ἐπωνυμία τοσοῦτον ἦν ἐπονείδιστος καὶ παντοίας στερήσεως καὶ κακίας ἐκφραστικὴ, ὥστε, κατηγορουμένη καὶ αὕτη κατὰ τοῦ Φαληρέως, εὐθὺς ἂν αὐτὸν ἀπεγύμνου πάσης εὐκλείας καὶ φιλοσόφου καὶ πολιτικῆς καὶ ῥητορικῆς! Σημ. ἡμετ.].

(α) Ἀλλ᾽ *εἴπερ οἱ φιλοσοφοῦντες ἐγκράτειαν καὶ σωφροσύνην, ἐματαίαζον συγγράφοντες καὶ παίγνια ἐρωτικὰ, ψεκτὰ καὶ παρ᾽ αὐτοῖς τοῖς ἀρχαίοις (βλ. Ἀθην. δ, 162 : ε, 220. πρβ. Λαέρτ. Ζ. 34), ἆρά γε παρομοίως ἔπαιζον καὶ ὅσοι συνέγραφον περὶ ὀνομάτων ὀρθότητος, καὶ περὶ λόγου, καὶ ποιητικῆς ἀκροάσεως, κτλ. δι᾽ ὧν κατεσκεύαζον καὶ διέπλαττον τὸν λόγον, τὸ τῶν ἐννοιῶν θειότατον ὄργανον; Παράδοξον ταύτην παιγνιογραφίαν τῶν φιλοσόφων, εἶπεν Ὅδιος. — Σημ. ἡμετ.*

(β) Ἔγραψε πολλὰ γραμματικά. Περὶ Ὁμήρου καὶ Ἡσιόδου ἡλικίας. Περὶ Ἀρχιλόχου καὶ Ὁμήρου· καὶ τῶν παρ᾽ Εὐριπίδῃ καὶ Σοφοκλεῖ. Λύσεις Ὁμηρικάς. Περὶ τῶν τριῶν τραγῳδοποιῶν. Περὶ ποιητικῆς καὶ τῶν ποιητῶν. Λαέρτ.

καὶ ὁ Θεόφραστος (α)· ὅθεν τοῦτον ὁ Λαέρτιος οὐ μόνον φιλόσοφον, ἀλλὰ καὶ *φιλόλογον* ὀνομάζει. Καὶ ἐξ αὐτῶν δὲ τῶν Κυνικῶν Μένιππος (β), καὶ Ἀντισθένης αὐτὸς, ὁ τῆς αἱρέσεως πατήρ (γ). Ἐκ δὲ τῶν Στωϊκῶν, Κλεάνθης (δ), καὶ Χρύσιππος (ε). Τούτοις προσθετέον καὶ Δημόκριτον (ζ), καὶ αὐτὸν τὸν Πλάτωνα, ὅστις « πρῶτος ἐθεώρησε τὴν δύναμιν τῆς γραμματικῆς » (Λαέρτ. γ, §. 19)· καὶ τὸν Ἀριστοτέλην, « ἀφ᾽ οὗ φασὶ τὴν κριτικήν τε καὶ γραμματικὴν ἀρχὴν λαβεῖν (η). Ἐκ τούτων οὖν τῶν παραδειγμάτων ἀποδείκνυται τρανῶς, ὅτι μηδὲ τὸν ἡμέτερον Δημήτριον τὸν Φαληρέα τακτέον εἰς τὸν κατάλογον τῶν γραμματικῶν, μηδ᾽ ἐλάττονος τιμῆς ἀξιωτέον, διότι συνέγραψε καί τινα περὶ Ὁμήρου, καὶ ἄλλα τοιαῦτα ».

§. δ΄. « Ἀλλ᾽ ἐν τούτοις (λέγει Ὅδιος) οὐδόλως ἐγὼ συμφωνῶ μετὰ Βοβερίου, νομίσαντος τὸ ἐπάγγελμα τοῦ βιβλιοφύλακος ἀνάξιον φιλοσόφων ἀνδρῶν. Ἀθηνόδωρος, Στωϊκὸς φιλόσοφος, προέστη τῆς ἐν Περγάμῳ βιβλιοθήκης (θ). Εὐφορίων δὲ, φιλόσοφος καὶ ποιητὴς, ὑπῆρξε καὶ αὐτὸς βιβλιοφύλαξ Ἀντιόχου τοῦ Μεγάλου, Συρίας βασιλέως (Σουΐδ). Ὁ δὲ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης προστὰς Ἐρατοσθένης ἤνθει καὶ ὡς γραμματικὸς καὶ ὡς φιλόσοφος. Ὡσαύτως καὶ Διονύσιος ὁ Ἀλεξανδρεὺς, ἀκροατὴς γενόμενος καὶ διάδοχος (ἐν Ἀλεξανδρείᾳ) Χαιρήμονος τοῦ φιλοσόφου (Σουΐδ.). Καὶ παράδοξον οὐδὲν, εἰ καὶ φιλόσοφοι ἄνδρες, μὴ μόνον περὶ τὴν θεωρίαν τῶν ὄντων, ἀλλὰ καὶ περὶ τὴν μελέτην τῶν ἀρχαίων σπουδάζοντες συγγραμμάτων, ἐγίνοντο καὶ βιβλιοθηκῶν ἐπιστάται καὶ φροντισταί. Κατὰ ταῦτα τοίνυν οὐκ ἂν ἀρνηθείην, ὅτι καὶ Δημήτριος ὁ Φαληρεὺς, ἄνθρωπος *πολυμαθέστατος* (κατὰ τὸν Κι-

(α) Περὶ ἱστορίας, περὶ μέτρων καὶ ποιητικῆς, περὶ σολοικισμῶν. αὐτ.

(β) Ἐπιστολὴν πρὸς Γραμματικούς. αὐτ. — (γ) Περὶ Ὀδυσσείας. αὐτ.

(δ) Περὶ τοῦ ποιητοῦ. — (ε) Περὶ τῶν σολοικιζόντων λόγων, καὶ ἄλλα. αὐτ.

(ζ) Περὶ Ὁμήρου, ἢ ὀρθοεπείης, καὶ γλωσσέων. Περὶ εὐφώνων καὶ δυσφώνων γραμμάτων. Περὶ ῥημάτων. Ὀνοματικὸν κτλ. αὐτ.

(η) Δίων Χρυσόστομ. λόγ. νγ. τόμ. β. σελ. 274. Reisk. — (θ) Λαέρτ. Ζήνων. Ζ. 34. §. κθ. [πρβλ. Στράβ. ιδ, 674, καὶ Πλούταρχ. Κάτων. §. ι].

κέρωνα), καὶ (κατὰ Λαέρτιον) *πολύπειρος καὶ εὐπαίδευτος*, ἠδύνατο γενέσθαι καὶ βιβλιοθήκης προστάτης. Ἀλλ' ὅμως ἑτέρωθεν πάλιν οὐκ εὐμοιρῶ τοσαύτης εὐπιστίας, ὥστε καρτερῆσαι καὶ πιστεῦσαι, ὅτι τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ, νομοθέτης ἐπιφανέστατος, καὶ μέγιστος Ἀθήνῃσι γενόμενος ἄρχων, κατῃσχύνθη ἐν Αἰγύπτῳ τοιουτοτρόπως, καταταχθεὶς εἰς ἐπάγγελμα πιστευόμενον συνήθως εἰς ἀνθρώπους οἱουσδήτινας τοὺς τυχόντας, καὶ τῆς μοίρας τῆς ἐσχάτης, ἂν μόνον ὦσιν ὁπωσοῦν πεπαιδευμένοι. Οὐδὲ γὰρ ὅλως φαίνεται πιθανὸν, ἢ ὅτι Πτολεμαῖος ὁ βασιλεὺς οὕτως ἀναξίως προσηνέχθη καὶ ἀεικῶς πρὸς τὸν ἱκέτην ἡγεμόνα, ἢ ὅτι πάλιν οὗτος κατεδέξατο προσφερομένην τοιαύτην ἀκλεῆ καὶ ἑαυτοῦ ἀναξίαν ἐπαγγελίαν ».

§. ε'. « Ἀπήντησεν Οὐόσσιος λέγων· « ὅτι τὸ τοῦ Φαληρέως ἧττον φαίνεται θαυμαστὸν παρὰ τὸ τοῦ τυράννου Διονυσίου, ὅςτις ἐκπεσὼν τῆς βασιλείας ἐδίδασκε τοὺς παῖδας γράμματα ». Ἀλλὰ ταῦτα (φησὶν Ὅδιος) μάταια, καὶ μηδὲν πρὸς ἔπος. Ὁ μὲν γὰρ Διονύσιος ὑπὸ πάντων ἐμισεῖτο· καὶ γυμνωθεὶς τῆς τυραννίας, ἠναγκάζετο πορίζεσθαι τὰ πρὸς τὸ ζῆν ἐκ τῆς γραμματοδιδασκαλίας. Ὁ δὲ Δημήτριος ἐκπεσὼν τῆς ἀρχῆς, ἐτιμᾶτο μεγάλως παρὰ πᾶσι, καὶ ἐν Αἰγύπτῳ διῆγεν ἐν ἀφθονίᾳ, « *πρῶτος γενόμενος τῶν Πτολεμαίου* (τοῦ Λαγίδου) *φίλων* », ὡς ὁ Πλούταρχος μαρτυρεῖ (περὶ φυγῆς)· καὶ ἀφ' οὗ « *Ἀθήνησιν ἐπιφανέστατα ἐπολιτεύσατο, ἔστ' ἂν αὐτὸν ὁ συνήθης Ἀθηναίοις φθόνος ἐξέωσεν, ἔπειτα, καὶ ἐν Αἰγύπτῳ συνὼν τῷ Πτολεμαίῳ, νομοθεσίας ἦρξε* (Αἰλιαν. Π. ἱς. γ. 17). Τὴν δὲ κατ' Αἴγυπτον εὐημερίαν καὶ τὸν πλοῦτον τοῦ Φαληρέως ἐμαρτύρησε πάλιν ὁ Πλούταρχος λέγων, ὅτι « *οὐ μόνον αὐτὸς ἐν ἀφθόνοις διῆγεν, ἀλλὰ καὶ τοῖς Ἀθηναίοις δωρεὰς ἔπεμπε* » (Πλούταρ. αὐτ.). Ὅτι δὲ τοῦτον ὁ Πτολεμαῖος περὶ πλείστου ἐποιεῖτο, δῆλον κἀκεῖθεν· σύμβουλον γὰρ εἶχεν αὐτὸν ἐπὶ τῶν ἀποῤῥήτων, καὶ αὐτὰ τὰ περὶ διαδόχου τῆς βασιλείας ἀπόκρυφα διακοινούμενος, ὡς Ἕρμιππος ἱστόρησε καὶ Ἡρακλείδης (ὄπισθ. κεφ. Β. §. α, β). Ὥστε

φαίνεται παντάπασιν ἀπίθανον ὅτι, μέχρις ἔζη Πτολεμαῖος ὁ Λαγίδης, ὑπέστη ὁ Φαληρεὺς τοιαύτην ἀναρσίαν ἐπαγγελίαν. Εἰ δέ τις λέγοι μετ᾽ Ἀριστέου, ὅτι τὴν φροντίδα τῆς βιβλιοθήκης ὕστερον ἐπέθηκε τῷ Δημητρίῳ ὁ Φιλάδελφος (ἀποθανόντος τοῦ πατρὸς), ἀλλὰ δυοῖν θάτερον (ἀπαντῶμεν), ἢ καὶ ὁ Φιλάδελφος, ὡς ὁ πατὴρ, ἐπίσης ἐτίμα τὸν Δημήτριον· ὅθεν οὐδ᾽ αὐτὸς ἂν κατεφρόνησε τὸν ἄνδρα προπηλακίσας διὰ τοιαύτης ἐπιστασίας· ἢ τῷ Φιλαδέλφῳ προσκρούσας ὁ Δημήτριος, τῶν μὲν προτέρων ἐγυμνώθη τιμῶν, ηὐχαριστήθη δὲ κατηναγκασμένως εἰς τὴν ἐπιμέλειαν τῆς βιβλιοθήκης· ἀλλὰ καὶ τοῦτο (κἂν πρὸς ὥραν πλάσωμεν τὸν Ἕρμιππον ψευδόμενον περὶ τῆς ἀμέσου ἐξορίας καὶ τελευτῆς τοῦ Φαληρέως) φαίνεται παντελῶς ἀπίθανον· διότι κατ᾽ οὐδένα λόγον ὁ Δημήτριος ἠνέσχετ᾽ ἂν διατρίβειν πλησίον βασιλέως ὠργισμένου καὶ ἐχθαίροντος, οὐδ᾽ ὑπέμενε μετὰ τοσαύτην δόξαν οὕτως ἀτιμαζόμενος· πρὸς ἄλλους δ᾽ ἂν μᾶλλον ἀπήρχετο βασιλεῖς, ὧν ἕκαστος μέγιστον ἐνόμιζε κέρδος, τοσοῦτον ἄνδρα καὶ οὕτω σοφὸν σύμβουλον ἔχειν παρ᾽ ἑαυτῷ. Οὐδ᾽ ἂν πιστεύσειεν οὐδεὶς, ὅτι τοσοῦτον ὁ Δημήτριος ἐταπεινώθη, χαυνωθεὶς τὴν ψυχὴν, καὶ τοῦ φρονήματος ἐκπεσὼν, ὥστε ὁποιονδήποτ᾽ ἐπάγγελμα βίου στέρξαι παρὰ τῷ Φιλαδέλφῳ. Τὸ δὲ βασιλικὸν καὶ ὑψηλόνουν τοῦ Φαληρέως φρόνημα καταφαίνεται καὶ ἐκ τῆς περὶ τὸ δαπανᾶν πολυτελείας, ἣν ἱστόρησαν περὶ αὐτοῦ *Ἀντίγονός τε ὁ Καρύστιος* » [γράφε μᾶλλον, *Καρύστιος ὁ Περγαμηνὸς*] « καὶ Δοῦρις παρ᾽ Ἀθηναίῳ (βιβλ. ιβ. 542) λέγων, ὅτι (ὅτε ἦρχεν Ἀθηναίων) « θοίνας καθ᾽ ἑκάστην λαμπρὰς ἐπετέλει· καὶ ταῖς μὲν δαπάναις ταῖς εἰς τὰ δεῖπνα τοὺς Μακεδόνας ὑπερέβαλε, τῇ δὲ καθαρότητι Κυπρίους καὶ Φοίνικας ». Ἐδήλωσε δὲ καὶ αὐτὸς τὴν αὐτοῦ μεγαλοφροσύνην, ὁπότε τῆς πατρίδος ἐκπεσὼν, ἐπειδὴ ἔμαθεν ὅτι τὰς εἰκόνας αὐτοῦ πάσας οἱ Ἀθηναῖοι κατέστρεψαν, εἶπεν· « ἀλλ᾽ οὐ καὶ τὴν ἀρετὴν, δι᾽ ἣν ἐκείνας ἀνέστησαν » (Λαέρτ. Ε. ε. 10).

§. ϛ. « Καὶ μὴ νομίσῃ τις (συνείρουσιν οἱ περὶ τὸν Ὅδιον), ὅτι ἡ

τῆς βιβλιοθήκης ἐπιστασία ὑπῆρχε παρὰ Πτολεμαίοις καὶ τοῖς ἄλλοις τοῖς ἀρχαίοις ἐντιμότερον ἐπάγγελμα παρὰ τὴν σήμερον. Τὰ ἐπαγόμενα παραδείγματα παλαιῶν τινων ἐπὶ βιβλιοθήκαις προστάντων ἀποδεικνύουσι τὸ ἔργον, πόσον ἦν ἀνάξιον τοῦ ἄρχοντος τῶν Ἀθηνῶν. Τῆς γὰρ ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης προέστη Ζηνόδοτος ὁ Ἐφέσιος· τοῦτον ὁ Σουΐδας λέγει γραμματικὸν, καὶ ὅτι ἐπαίδευσε τοὺς παῖδας τοῦ βασιλέως Πτολεμαίου (τοῦ Λάγου). Ἄλλος, Ἐρατοσθένης· τῆς αὐτῆς ἕξεως ὢν καὶ αὐτὸς, καὶ μαθητῶν διδάσκαλος γραμματικῶν, ἄλλων τε πολλῶν, καὶ Ἀριστοφάνους τοῦ Βυζαντίου. Περὶ δὲ τοῦ διαδεξαμένου τὸν Ἐρατοσθένην Ἀπολλωνίου τοσοῦτον μόνον γνωρίζομεν ἐκ τοῦ Σουΐδα καὶ δύω τινῶν ἀνωνύμων αὐτοῦ βιογράφων, ὅτι τὸ γένος ἦν Ἀλεξανδρεὺς, καὶ Καλλιμάχου τοῦ γραμματικοῦ μαθητής· ὅστις τὸ πρῶτον κακῶς ἀκούων ἐν τῇ πατρίδι, μετέβη εἰς Ῥόδον, κἀκεῖ ἐδίδασκε τὴν ῥητορικὴν (ὅθεν καὶ Ῥόδιος ἐπεκλήθη)· ἐπανελθὼν δ' ἐκεῖθεν εἰς Ἀλεξάνδρειαν, ἐνεπιστεύθη τὴν τῆς βιβλιοθήκης ἐπιστασίαν. Μετὰ τὸν Ἀπολλώνιον Ἀριστώνυμος ἐπεστάτει ὁ κωμικός (α). Καὶ Ἀριστοφάνης δὲ ὁ προστὰς τῆς βιβλιοθήκης (οὐχὶ, κατὰ τὸν Βιτρούβιον, ἐπὶ Φιλαδέλφου, ἀλλ' εἰς τῶν μετὰ ταῦτα Πτολεμαίων τοὺς χρόνους), καὶ οὗτος ἦν γραμματικός· καὶ πάλιν ἄλλος γραμματικὸς, ὁ Ἀρίσταρχος (β).

(α) « Ἀριστώνυμος—βασιλεύοντος Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ τοῦ μετ' αὐτὸν, τοῦ Φιλοπάτορος, προέστη τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξδ. » κτλ. (Σουΐδ.). Ἀλλ' ἐν τούτοις ἢ τὸ Φιλοπάτορος τρεπτέον εἰς τὸ Εὐεργέτου (τοῦ υἱοῦ καὶ διαδόχου τοῦ Φιλαδέλφου), καὶ τότε ὁ Ἀριστώνυμος ἤκμαζε πρὸ τοῦ Ἀπολλωνίου, καὶ πρὸ τοῦ Ἐρατοσθένους, συγχρονίσαντος Εὐεργέτῃ (ὅθεν ὁ Γρονόβιος πρὸ τοῦ Ἐρατοσθένους ἔταξε τὸν Ἀριστώνυμον· ἀφεὶς ὅμως ὅπως ἔχει τὸ ἄτοπον Φιλοπάτορος. Gronov. Thes. antiq. Gr. vol. 8. p. 2762), ἢ μᾶλλον τὸ Φιλαδέλφου τρεπτέον εἰς τὸ Εὐεργέτου (πατρὸς τοῦ Φιλοπάτορος), ἵνα τοῖς χρόνοις ὁμολογῇ (βλ. καὶ ἐφεξῆς §. θ. σημ.). — Σημ. ἡμετ.

(β) Σουΐδ. λ. Ἀρίσταρχος· μνημονεύει δὲ τούτου καὶ Τζέτζης (Χιλ. ΙΒ, 405)

« Γραμματικὸς Ἀρίσταρχος ὑπάρχων Πτολεμαίου,
Ἔπεισε πρῶτος γράμματα χάρταις εἰς Ῥώμην πέμψαι.
Ὁ τοῦ Ἀττάλου [δ'] ἔπειτα γραμματικὸς ἐφεῦρεν,
Ἐκ τούτου τάχα ὁρμηθεὶς, τὰς χάρτας τὰς μεμβράνας ».

Τοῦτο τοῦ Τζέτζου τὸ γραμματικὸς ἁρπάσας ὁ σοφὸς Ὅδιος, ἡρμήνευσεν ἀνή-

Ἂν δ' ἐκ τῆς Ἀλεξανδρείας εἰς Ῥώμην μεταβῶμεν, κἀκεῖ παρευθὺς ἡμῖν ἀπαντήσει προεστὼς τῆς ἐν Παλατίῳ τοῦ Καίσαρος Αὐγούστου βιβλιοθήκης Ἰούλιος Ὑγῖνος, « *γραμματικὸς* ἅλις πένης, καὶ Αὐγούστου ἀπελεύθερος », κατὰ Συετώνιον (περὶ ἐνδόξ. γραμματ.)· ὅστις προστίθησι καὶ Γάϊον Μέλισσον, καὶ τοῦτον γραμματικὸν, καὶ ἀπὸ δούλων χειράφετον (ἢ ἀπελεύθερον), ἐπιστατήσαντα τῶν ἐν τῇ στοᾷ τῆς Ὀκταβίας βιβλιοθηκῶν. Εἷς μόνος μεταξὺ τῶν τοιούτων φαίνεται φθάσας εἰς ἀξίωμα μέγιστον, Διονύσιος Ἀλεξανδρεὺς, « ὅστις ἀπὸ Νέρωνος συνῆν καὶ τοῖς μέχρι Τραϊανοῦ, καὶ τῶν βιβλιοθηκῶν προὔστη, καὶ τῶν (ἴσ. γρ. καὶ *ἐπὶ* τῶν) ἐπιστολῶν καὶ πρεσβειῶν ἐγένετο καὶ ἀποκριμάτων » (Σουΐδ.)· φαίνεται δὲ καὶ οὗτος ἀναβὰς εἰς ταύτας τὰς ὑπουργίας, ἀφ' οὗ πρῶτον προέστη τῶν βιβλιοθηκῶν· πλὴν ἀλλ' ὅπως ἂν ἔχῃ τὸ περὶ τούτου, γραμματικός τε ἦν καὶ αὐτὸς, καὶ γραμματικὸν αὐτὸν ὠνόμασεν ὁ Σουΐδας, καὶ γραμματικοῦ διδάσκαλος ὑπῆρξε, τοῦ Παρθενίου ».

§. ζ. « Ἐκ τίνος δὲ (λέγουσιν) αἰτίας ὁρμηθεὶς ὁ Ἀριστέας κατέστησε τὸν Φαληρέα Δημήτριον ἐπιμελητὴν τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης, εὐκόλως συμπερανοῦμεν, ἂν πρῶτον ἐξετάσωμεν τίς τῶν Πτολεμαίων πρῶτος κατεσκεύασε βιβλιοθήκην. Ἅπαντες οἱ τοῦ Ἀριστέου ὀπαδοὶ, καὶ παλαιοὶ καὶ νεώτεροι (βλ. §. ι) συμφωνοῦσιν, ὅτι πρῶτος ὁ Φιλάδελφος κατέβαλε τὰ θεμέλια τῆς Ἀλεξαν-

---

χουστον ἑρμηνείαν, λέγων ὅτι « Τοσοῦτον ἦν τοῖς γραμματικοῖς ἰδιάζον τὸ ταῖς βιβλιοθήκαις ἐπιστατεῖν, ὥστε τὸ γραμματικὸς ἀπέβη καταχρηστικώτερον καὶ συνώνυμον τοῦ βιβλιοφύλαξ. Τοιοῦτος (λέγει) γραμματικὸς (τουτ. βιβλιοφύλαξ, ὡς ἐγὼ, λέγει, ἑρμηνεύω) Παλαιολόγου τοῦ αὐτοκράτορος ἦν καὶ Ἰωάννης ἐκεῖνος, πρὸς ὃν φέρεται ἐπιστολὴ τοῦ Θεοφυλάκτου « Ἰωάννῃ γραμματικῷ » (Hody. p. 43). Ἀλλ' ἠπατήθη καὶ ὧδε Ὅδιος· τὸ γραμματικὸς καὶ παρὰ τῷ Τζέτζῃ καὶ τῷ Θεοφυλάκτῳ ἐξελήφθη καταχρηστικῶς (ὡς καὶ παρὰ τοῖς νεωτέροις, καὶ νῦν κοινῶς ἐν τῇ συνηθείᾳ) ἀντὶ τοῦ γραμματεὺς, ὁ ἐπὶ τῶν ἐπιστολῶν· τοιοῦτος γραμματικὸς (οἷος φανήσεται μετὰ μικρὸν ἀνωτέρω καὶ Διονύσιος ὁ Ἀλεξανδρεὺς) ἐγένετο, κατὰ τὸν Τζέτζην, καὶ Ἀρίσταρχος, γραμματεύων παρὰ τῷ Φιλομήτορι Πτολεμαίῳ, τῷ πέμψαντι πρῶτον (ὡς ὁ Τζέτζης ἐνόμιζεν) ἐπιστολὴν πρὸς Ῥωμαίους γεγραμμένην ἐν χάρταις (τουτ. ἐκ παπύρου), ἀνθ' ὧν πάλιν ὁ τοῦ Ἀττάλου γραμματεὺς ἐφεῦρε χάρτας ἄλλους κατασκευάσας ἐκ μεμβράνης (βλ. ὄπισθ. κεφ. θ. §. ιη). Σημ. ἡμετ.

δρινῆς βιβλιοθήκης (α). Ἀλλὰ τοῦτο ψευδές· καὶ διδάσκει Σουΐδας σαφῶς, ὅτι καὶ ἐπὶ τοῦ πρώτου (τοῦ Λαγίδου) Πτολεμαίου ὑπῆρχεν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκη, λέγων· « Ζηνόδοτος ὁ Ἐφέσιος — ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου — *τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προὔστη*, καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσε ». Κᾀκεῖθεν δὲ τὸ πρᾶγμα δείκνυται πιθανόν, ὅτι καὶ αὐτὸς ὁ τοῦ Λάγου Πτολεμαῖος ἐγένετο πολυγράμματος ἀνήρ, καὶ σπουδαῖος περὶ τὰς φιλολογικὰς τέχνας, ὡς δείκνυσιν οὐ μόνον τὸ μνημονευόμενον τεῦχος τῶν αὐτοῦ ἐπιστολῶν, ἀλλὰ καὶ ἡ περὶ τῆς Ἀλεξάνδρου ἀναβάσεως ἱστορία, ἐξ ἧς μάλιστα καὶ Ἀῤῥιανὸς τὴν ἑαυτοῦ συνέταξεν ἱστορίαν, σῳζομένην καὶ καθ' ἡμᾶς (βλ. ὄπισθ. σελ. 206). Καὶ τοὺς σοφοὺς δὲ καὶ πεπαιδευμένους μεγάλως ὁ Λαγίδης ἐτίμα, καὶ τούτων πολλοὺς ἐθεράπευεν ἐν τοῖς βασιλείοις, οἷον Θεόδωρον, καὶ Στίλπωνα τὸν Μεγαρέα, καὶ Διόδωρον τὸν Κρόνον, καὶ Στράτωνα τὸν περιπατητικόν, ὡς ἐκ τοῦ Λαερτίου συνάγεται, καὶ αὐτὸν δὲ προσεκαλέσατο τὸν Θεόφραστον (βλ. σελ. 206). Ὅθεν πιθανὸν δοκεῖ καὶ πιστόν, ὅτι πρῶτος ὁ τοῦ Λάγου Πτολεμαῖος κατέστησε τὸ περι-

(α) Ἄπαγε, Ὄδιε, (*καὶ συγχώρησον, εἰ διακόπτομεν πυκνῶς τῶν λόγων σου τὴν σειρὰν, ἀντιλέγοντες παρὰ πόδας*)· *οὔτε παλαιοὶ οὔτε νεώτεροι τῷ Ἀριστέᾳ παρακολουθοῦντες, ἀλλ' οὐδ' αὐτὸς οὗτος ὁ Ἀριστέας ἐδίδαξέ τι τοιοῦτο*. Πῶς, *ὦ βέλτιστε, ὅστις γράφει ῥητῶς καὶ κατὰ λέξιν, ὅτι* «Κ α τ α σ τ α θ ε ὶ ς ἐ π ὶ τ ῆ ς τ ο ῦ β α σ ι λ έ ω ς β ι β λ ι ο θ ή κ η ς Δημήτριος ὁ Φαληρεύς, *ἐχρηματίσθη*», *κτλ.*; Ὑπῆρχε *λοιπὸν βασιλικὴ βιβλιοθήκη, ἐφ' ἧς οὗτος κατεστάθη φροντιστής, ἐπισυνάγων αὐτὸς μάλιστα πανταχόθεν βιβλία πολλὰ καὶ διάφορα· μαρτυρεῖ δὲ καὶ αὐτὸς* ὁ Φαληρεὺς *ἐν τῇ* πρὸς Πτολεμαῖον *ἐπιστολῇ λέγων*· « Προστάξαντός σου, βασιλεῦ, π ε ρ ὶ τ ῶ ν ἀ π ο λ ε ι π ό ν τ ω ν ε ἰ ς τ ὴ ν σ υ μ π λ ή ρ ω σ ι ν τ ῆ ς β ι β λ ι ο θ ή κ η ς, ὅ π ω ς ἐ π ι σ υ ν α χ θ ῇ, κ α ὶ τ ὰ δ ι α π ε π τ ω κ ό τ α τ ύ χ ῃ τ ῆ ς π ρ ο σ η κ ο ύ σ η ς ἐ π ι σ κ ε υ ῆ ς » *κτλ.* Ταῦτα *γράφει καὶ* Ἰώσηπος *καὶ πάντες οἱ μεταγενέστεροι*. Καὶ *ὅταν λέγωσιν ὅτι βιβλιοθήκην κατέστησεν ὁ Φιλάδελφος, τὴν εἰς μέγεθος καὶ πλῆθος αὔξησιν, καὶ πρὸς τὸ πληρέστερον κατασκευὴν αὐτῆς ἐννοοῦσιν*. Ὅθεν *ἐπῄνεσε καὶ* Ἀθήναιος *τὸν Φιλάδελφον* « π ε ρ ὶ β ι β λ ί ω ν π λ ή θ ο υ ς κ α ὶ β ι β λ ι ο θ η κ ῶ ν κ α τ α σ κ ε υ ῆ ς (*βλ. ἐφεξῆς* §. ι. *καὶ* §. ιε). Σὺ *δὲ, σοφώτατε, καὶ ἀναγνοὺς, καὶ τύποις ἐκδοὺς τὰ τοῦ Ἀριστέου, ἔπειτα καὶ τοῦτον καὶ τοὺς ὀπαδοὺς ἐπλαστούργησας νομίζοντας τὸν Φιλάδελφον πρῶτον ἱδρυτὴν τῆς βιβλιοθήκης*! Πλὴν *ἀλλ' ἐφεξῆς σὺ πάλιν ἐπανορθώσῃ σαυτόν* (*βλ.* §. ι. *καὶ* §. ιη). — *Σημ. ἡμετ.*

κλεέστατον ἐκεῖνο τῆς Ἀλεξανδρείας Μουσεῖον, ὅπερ ἦν Σύλλογος ἐνδόξων σοφῶν ἀνδρῶν (α). Εἰς τὸ Μουσεῖον ἀνῆκε καὶ ἡ μεγάλη

(α) « Τῶν δὲ βασιλείων (τῆς Ἀλεξανδρείας) μέρος ἐστὶ καὶ τὸ Μουσεῖον, ἔχον περίπατον, καὶ ἐξέδραν, καὶ οἶκον μέγαν, ἐν ᾧ τὸ συσσίτιον τῶν μετεχόντων τοῦ μουσείου φιλολόγων ἀνδρῶν. Ἔστι δὲ τῇ συνόδῳ ταύτῃ χρήματα κοινὰ, καὶ ἱερεὺς ὁ ἐπὶ τοῦ Μουσείου τεταγμένος » (Στράβ. ιζ. 793). Σημαίνει δὲ τὸ Μουσεῖον αὐτό τε τὸ οἰκοδόμημα (οἷον Μουσῶν ἱερόν· ὅθεν καὶ ἱερεὺς ἐπ᾽ αὐτοῦ τεταγμένος), καὶ τὸν σύλλογον τῶν ἐγκαταλελεγμένων, καὶ τῆς ἐν αὐτῷ σιτήσεως μετεχόντων σοφῶν (πρὸς τὸ παράδειγμα τῶν τρεφομένων ἐν τῷ πρυτανείῳ τῶν Ἀθηνῶν). Ὅθεν καὶ « ἡ ἐν Μουσῶν σίτησις » (Ἀθήν. ιε, 677. πρβλ. καὶ Εὐστάθ. εἰς Ὀδυσ. ι. στίχ. 84)· καὶ Φιλόστρατος (βίοις Σοφιστ. σελ. 524) εἶπε τὸ Μουσεῖον « τράπεζαν Αἰγυπτίαν, ξυγκαλοῦσαν τοὺς ἐν πάσῃ τῇ γῇ ἐλλογίμους »· διὸ καὶ « τῶν ἐξόχων ἀνδρῶν καταγώγιον » Ἀμμιανὸς αὐτὸ προσεῖπεν ὁ Μαρκελλῖνος. Ὁ δὲ Τίμων ὁ σιλλογράφος « τάλαρον Μουσῶν » ὠνόμασε τὸ Μουσεῖον (σκωπτικώτερον), ἐν ᾧ « πολλοὶ βόσκονται—ἀπείριτα δηριόωντες »· οἷον « ἐν πανάγρῳ (τουτ. κλωβίῳ, τοῦτο γὰρ τὸ τάλαρον) σιτούμενοι, καθάπερ αἱ πολυτιμότατοι ὄρνιθες ». (Ἀθήν. α, 22. Schw.). Λέγεται καὶ « Μουσεῖον συνάγειν » (συγκαλεῖν, καὶ κατατάσσειν, καθιστᾷν ἐν τῷ Μουσείῳ σύλλογον σοφῶν), καὶ « ἡ ἐν Μουσείῳ συναγωγὴ (συνέλευσις, καὶ ἡ τῶν συγκαλουμένων ἐγκατάστασις). Καὶ « Κύκλος Μουσείου » ὁ σύλλογος οὗτος ἐκαλεῖτο (οἷον κυκλικὸς χορὸς καὶ στέφανος, ὡς ἐν κύκλῳ καθημένων τῶν σοφῶν ἐν τοῖς συνόδοις, ἴσως δὲ καὶ ἐκ τοῦ κυκλοτεροῦς χωρίου, ἐν ᾧ συνεδρίαζον, ὡς τὸ « ἱερῷ ἐνὶ κύκλῳ ». Ἰλ. σ.—βλ. Φιλόστρ. ἐν Βίοις σελ. 514, καὶ 532· καὶ σημ. Olearij. ἐκδ. Lips. 1709). Φέρονται δὲ καὶ ἄλλα τοιαῦτα Μουσεῖα, οἷον τὸ Κλαύδιον (Ἀθήν. ϛ. 240), ὅπερ Κλαύδιος ὁ αὐτοκράτωρ προσέθηκε, συνάψας πρὸς τῷ προτέρῳ κατὰ τὴν Ἀλεξάνδρειαν (Sueton. Claud. 42 καὶ not. Casaubon), καὶ τὸ ἐν Ἀντιοχείᾳ ὑπὸ Μάρκου τοῦ Ἀντωνίνου κτισθὲν (Μαλαλ. βιβλ. ια, σελ. 282 Bon.). καὶ τὸ τοῦ Φοίνικος, ἡ τῆς Ἐπικτήτης (βλ. Museum Veronens. XIV. καὶ Demag. p. 555), καὶ τὸ Φιλαδέλφιον, ὅπερ ὕστερον ἐν Βυζαντίῳ κατέστησε Μουσήλιος (Ἀνθολογ. Ἐπιγραμ. Δ. 28. καὶ Bandur. Antiqu. Constantin. p. 856). Τὸ δ᾽ Ἀθήνῃσι Μουσεῖον, διάφορον· (« τόπος, ἐν ᾧ Μουσαῖον ᾄδειν καὶ ταφῆναι λέγουσι ». Παυσαν. Α. κε.). Ἄλλα δὲ Μουσεῖα, ἦσαν ναοὶ Μουσῶν (ὡς τὸ ἐν Τροιζῆνι, καὶ τὸ ἐν Ἑλικῶνι, κτλ.) Τὸ δὲ τῆς Ἀλεξανδρείας Μουσεῖον μέχρι πόσου μετὰ τοῦ Β, αἰῶνα διήρκεσεν, ἄδηλον ἐκ τῆς ἱστορίας. Ὁ Σουΐδας (λ. Θέων) μνημονεύει Θέωνα τὸν ἐκ τοῦ Μουσείου, φιλόσοφον Αἰγύπτιον ἐπὶ τοῦ Α, Θεοδοσίου (τῷ 380 μ. Χ.)· ἀλλ᾽ εἴπερ ἔμεινεν ἕως τότε, λίαν ἀμαυρὸν ὑπῆρχε πάντως καὶ πτωχόν· διότι ὁ βάρβαρος Καρακάλλας (τῷ 215 μ. Χ.) « τὰ συσσίτια ἃ ἐν Ἀλεξανδρείᾳ εἶχον » (οἱ Ἀριστοτελικοὶ καὶ οἱ ἄλλοι σοφοὶ) « καὶ τὰς λοιπὰς ὠφελείας, ὅσας ἐκαρποῦντο, ἀφείλετο ». (Δίων Κάσ. Βιβλ. οζ. §. 7. τόμ. β. σελ. 1293 καὶ Σημειώσ. Reimar.). Καθὼς πάλιν ἄλλος Καρακάλλου μιαρώτερος, Λέων ὁ Ἴσαυρος, ὁ εἰκονομάχος, κατέκαυσε τὸ Μουσεῖον τῆς Κωνσταντινουπόλεως, καὶ τοὺς ἐν αὐτῷ τρεφομένους σοφοὺς θεολόγους μετὰ τοῦ

τῆς Ἀλεξανδρείας βιβλιοθήκη, ἢ αἱ *βιβλιοθῆκαι* τοῦ Μουσείου (α). Καὶ ἔστι μὲν ἀληθὲς, ὅτι ὁ Φιλάδελφος ἀξίως ἐκλεΐσθη διὰ τὰς περὶ

οἰκουμενικοῦ προσαγορευομένου διδασκάλου, καὶ τῆς θαυμαστῆς βιβλιοθήκης, ὡς τιμῶντας τὰς ἁγίας εἰκόνας. Ζωναρ. γ. σελ. 85. βλ. καὶ Κ. Μανασσῆ Σύνοψ. Χρονικ. στίχ. 257—4303. [Ὁ δὲ σοφὸς Εὔμανος (Heumann) μῦθον ἀποτόμως ἔκρινε τὴν ἱστορίαν, ἴσως διότι οἱ ἱστοροῦντες ἐτίμων καὶ αὐτοὶ τὰς ἱερὰς εἰκόνας· αὐτὸς δὲ ὁ κριτικὸς, ὡς ὁμόφρων Ἰσαύρου, θέλει τοῦτον ἀθῷον! Οὕτω πολλάκις γίνεται τὸ πάθος κριτὴς τῆς ἱστορίας! βλ. Fabric. Bibl. Graec. vol. 3. p. 510. Harl. καὶ ταῦτα λόγου πάρεργον]. Τοῦ δ' οὖν Μουσείου τῆς Ἀλεξανδρείας μέμνηται καὶ Λουκιανὸς (Συμπόσ. ἢ Λαπίθ.), καὶ Ἀπολλώνιος ὁ Τυανεὺς (ἐπιστολ. λδ), καὶ Δίωνι ὁ Χρυσόστομος (λόγ. λδ), καὶ Ἀρτεμίδωρος ὁ Ἐφέσιος, καὶ Μαρκιανὸς ὁ Ἡρακλεώτης (ἐν Ἐπιτομ. τοῦ ια. Βιβλ. τοῦ γεωγραφ. τοῦ αὐτοῦ Ἀρτεμιδώρου. βλ. Συλλογ. τῶν κατ' ἐπιτομ. Γεωγράφ. τομ. α. σελ. 444. Βιέν. 1807. καὶ Σουΐδ. λ. Θέων)· καὶ Καλλίμαχος ὁ ποιητὴς συνέγραψε Μουσεῖον (περιγραφὴν τοῦ Μουσείου τῆς Ἀλεξανδρείας. Σουΐδ. λ. Καλλίμαχος). Καὶ Ἀριστόνικος, περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ Μουσείου (Φώτ. ἀναγ. ρξα). «Τῶν ἐν τῷ Μουσείῳ σιτουμένων ἀτελῶν φιλοσόφων» μνημονεύει καὶ ἀρχαία τις ἐπιγραφὴ (ἣν ἐν Ῥώμῃ ἐξέδωκεν ἐν τοῖς Ἀθλητικοῖς Octav. Falconer. βλ. Gronov. Thes. antiq. Graec. Tom. 8. p. 2762). Ἐκ δὲ τῶν νεωτέρων βλ. Lipsij de bibliothec. Synt. c. XI. — Prideaux hiss. T. 2. Lib. 1. p. 1. — Gronon. Thes. antiq. Graec. vol. VIII. p. 2742—2777. — Lud. Kuster Diss. de Mus. Alexandr. — Memoir. de l'Acad. des Inscr. Tom. XIII. — Alexand. Genischer Diss. de Mus. Alexand. etc. 1752. — Cave. Hist. Liter. Scr. Eccles. P. II. p. 20. — Demagist. l. c. p. 553. — Heynij Opucul. Academ. vol. 1. p. 117. — Valcken. de Aristob. Jud. p. 45. κτλ. — Σημ. ἡμετ.

(α) Ἀνώνυμ. ἐν βίῳ Ἀπολλ. τοῦ Ῥοδίου. — Ὁ Στράβων (ἀνωτέρω) διαγράφων καὶ τὸ Μουσεῖον ὡς μέρος τῶν βασιλείων τῆς Ἀλεξανδρείας, οὐδὲν προσέθηκε περὶ τῆς βιβλιοθήκης. Ἀλλ' ὡσαύτως μνημονεύων καὶ τὸ ἐν Ἀλεξανδρείᾳ Καισάριον (ιζ, 74), τὸ καὶ ἄλλως Σεβάστιον (« ἐπιβατηρίου Καίσαρος νεὼν, περιβεβλημένον τέμενος εὐρύτατον, στοαῖς καὶ βιβλιοθήκαις — ἠσκημένον ». Φίλων περὶ ἀρετ. σελ. 567. τόμ. β. Mang.), ἀπεσιώπησε διὰ βραχυλογίαν ὁ Στράβων καὶ ταύτην τὴν ἐν τῷ Καισαρίῳ κατασκευασθεῖσαν βιβλιοθήκην. Φαίνεται δὲ ὅμως, ὅτι ἡ ἀρχαία τῆς Ἀλεξανδρείας βιβλιοθήκη ἐκεῖ που ἦν παρὰ τὸ Μουσεῖον, καὶ ἴσως ἐντὸς τῆς περιοχῆς τῶν τέταρτον ἢ τρίτον τοῦ παντὸς τῆς πόλεως περιβόλου ἐπεχόντων βασιλείων (Στράβ. αὐτ.). Ὅλον δὲ τοῦτο τὸ κλίμα, ἢ τμῆμα τῆς πόλεως, Βρούχιον ὁ Ἀμμιανὸς (κβ. 14) καὶ ὁ ἱερὸς Ἐπιφάνιος ὀνομάζει. « Πτολεμαῖος — βιβλιοθήκας καταστήσας ἐπὶ τῆς πόλεως Ἀλεξανδρείας ἐν τῷ Βρουχίῳ καλουμένῳ· κλίμα δὲ ἐπὶ τῆς αὐτῆς πόλεως » (π. Μέτρ.), ὅπου ὁ σοφὸς Μοντεφαλκώνιος ἀντὶ Βρουχίῳ ἀνέγνω Ἀρχείῳ (Montfaucon Hexapl. I. p. 86). καί τινες τοῦτο μᾶλλον προτιμῶσι, νομίζοντες καὶ ὅτι τὸ ἀρχεῖον, δασύτερον

τὸ Μουσεῖον καὶ τὴν Βιβλιοθήκην εὐεργεσίας· ὡς ἱστόρησε καὶ Καλλίξενος παρ' Ἀθηναίῳ (ε, 202), τὴν Φιλαδέλφου μεγαλοπρέπειαν ἀποθαυμάζων· « *περὶ δὲ βιβλίων πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς, καὶ τῆς εἰς τὸ Μουσεῖον συναγωγῆς*, τί δεῖ καὶ λέγειν»; κτλ. Ἐκ δὲ τούτων οὐ συνάγεται, ὅτι πρῶτος ὁ Φιλάδελφος κατε-

ἐκφερόμενον βαρχεῖον, ἐγέννησε τὸ Βρούχειον (Demagistr. l. c. p. 564). Παρὰ δὲ τῷ Εὐσεβίῳ (Ἐκκλ. ἱστορ. ζ.), καὶ ἐν βίῳ Ἀπολλωνίου τοῦ Δυσκόλου ἀναγινώσκεται Πυρουχείῳ (ὡς ἐκ τοῦ Πυρουχεῖον, οἷον πυροταμεῖον), ὅθεν εἶπον πρoύχειον καὶ βρούχιον (Salmas. ad Spartian. in Adrian.). Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ περὶ τούτου, αὕτη ἡ ἐν τῷ Βρουχίῳ βιβλιοθήκη ὑπῆρχεν ἡ πρώτη τῆς Ἀλεξανδρείας βιβλιοθήκη, δευτέρα δὲ ἡ ἐν Σεραπίῳ (Ἐπιφάν. αὐτ.). Τὴν ἐν Βρουχίῳ βιβλιοθήκην καὶ Ἀφθόνιος ἐμνημόνευσεν (ἐν Προγυμνάσμ.), ἐκφράζων τὴν ἀκρόπολιν τῆς Ἀλεξανδρείας (ἥτις ἦν ἴσως αὐτὸ τοῦ Βρούχιον). « Παρῳκοδόμηνται δὲ σηκοὶ τῶν στοῶν ἔνδοθεν, οἱ μὲν ταμεῖα γεγενημένοι ταῖς βίβλοις, τοῖς φιλοπονοῦσιν ἀνεῳγμένοι φιλοσοφεῖν, καὶ [τὴν] πόλιν ἅπασαν εἰς ἐξουσίαν τῆς σοφίας ἐπαίροντες » κτλ. Διὰ τοὺς σηκοὺς μάλιστα, τουτέστι τὰ μικρότερα οἰκοδομήματα, εἰς ἃ ὑπάρχει διῃρημένη μεγάλη τις βιβλιοθήκη, λέγεται καὶ βιβλιοθῆκαι πληθυντ. Ὅθεν καὶ κατασκευὴ βιβλιοθηκῶν» οὐ μόνον ἡ κτίσις τῶν οἰκοδομημάτων, ἀλλὰ καὶ ἡ τῶν ἐν αὐτοῖς βιβλίων ἡ διάθεσις, καὶ κατὰ τὸν προσήκοντα τρόπον διάταξις, ἢ σύνταξις, καὶ ἡ ὅλη τοῦ κατασκευάσματος διακόσμησις, ἣν ὁ Κικέρων εἶπε librorum dissignationem (Epist. L. IV. ad Attic. ep. 6). Λέγεται δὲ καὶ πολλάκις ἀδιαφόρως καὶ τὸ ἑνικὸν καὶ τὸ πληθυντικὸν (βιβλιοθῆκαι). Βλ. Στράβ. ιγ, 608, 624, 646. Ἀλλὰ τὸ περὶ τούτων μακρότερα λέγειν, οὐ τοῦ παρόντος σκοποῦ. Βλ. Demagistr. l. c. Gronov. Thes. antiq. Gr. vol. 8. p. 2772. — Beckij Specim. histor. Bibliothec. Alexandr. Lips. 1779. — Heynij Opuscul. Acad. vol. 1. p. 126—129 καὶ 6. p. 418. — Bonamy Dissert. sur la Bibltoth. d'Alexandr. dans les Memoir. de l'Academ. des Inscript. Tom. VII. — Ritschl Die Alexandrinischen Bibliotheken etc. pag. 8—35. — Matter, Essai histor. sur l'Ecole d'Alexandr. Tom. 1. Paris 1840. κτλ. Ἐκ δὲ τῶν ἡμετέρων, Στέφανος Καραθεοδωρῆς, ὁ Ἰατρὸς, καὶ παντοίας Μούσης ἐργάτης, συνέγραψε παρεκβολὴν εἰς τὴν Ἀλεξανδρινὴν βιβλιοθήκην, καὶ ἄλλην ὁμοίαν περὶ τῆς δυναστείας τῶν Πτολεμαίων. Ἔχει δὲ καὶ ἄλλα ποικίλης καὶ χρησίμου πολυμαθείας συντάγματα, ἐν οἷς καὶ τὸ ἐπιγραφόμενον « Γεῦμα κριτικόν τε καὶ ἱστορικὸν τοῦ Θείου Γράμματος » (οὗ καὶ αὐτὸς μνημονεύει, ὡς καὶ τῆς παρεκβολῆς, ἐν τῇ ἐκδοθείσῃ « Κριτικῇ ἐπιστασίᾳ εἴς ἱερόν τι λόγιον » σελ. 7, καὶ 9, ἐκδ. Κωνσταντινουπ. 1840). Ἀποδείκνυσι δ' ἐν τούτῳ τρανῶς τῆς κατὰ τοὺς Ο, ἑρμηνείας τὴν ἀλήθειαν, καὶ τοῦ Ἑβραϊκοῦ κειμένου τὴν ἐν πολλοῖς διαφθοράν. Ἀλλ' ἄγε δὴ, φιλόφρων ἑστιάτωρ, γεῦσαι τοὺς ὁμογενεῖς καὶ τοῦ ψυχοτρόφου τούτου Γεύματος, καὶ τῆς ἄλλης παγκαρπίας, τάχιον τύποις ἐκδούς. — Σημ. ἡμετ.

τεσκεύασε τὸ Μουσεῖον (ὡς ὑπέλαβεν ὁ Δαλεκάμπιος) (α), ἀλλὰ μόνον, ὅτι τὴν βιβλιοθήκην ἐπὶ μέγιστον ηὔξησε, καὶ τὸ Μουσεῖον *ἐξαιρέτως κατεκόσμησε*, συνάγων πανταχόθεν τοὺς ἀρίστους ἐπὶ σοφίᾳ. Μαρτυρεῖ δὲ καὶ Πλούταρχος εἰς *τὸν πρῶτον* Πτολεμαῖον τὴν συναγωγὴν τοῦ Μουσείου ἀποδιδούς· « Εἰ δὲ (λέγει) καὶ Πτολεμαῖος *ὁ πρῶτος*, συναγαγὼν τὸ Μουσεῖον, τούτοις συνέτυχε τοῖς καλοῖς καὶ βασιλικοῖς παραγγέλμασι » κτλ. (β). Ἀλλ' (ἵνα τὸ Μουσεῖον παραλίπωμεν) ὅτι Πτολεμαῖος ὁ Λαγίδης εἶχε πολλῶν βιβλίων συναγωγὴν, πανταχόθεν ταῦτα συνάγων εἰς ἣν ἐκόσμησεν Ἀλεξάνδρειαν, οὐδεμία μένει ἀμφιβολία. Ὑπῆρχον εἰς τὴν Αἴγυπτον ἀνέκαθεν καὶ σοφῶν ἀνδρῶν συγγράμματα καὶ βιβλιοθῆκαι, ὁποία ἱστορεῖται ἡ τοῦ παλαιοῦ βασιλέως Ὀσυμανδύου, *ἰατρεῖον ψυχῆς* ἐπιγεγραμμένη (Διόδωρ. α. 45). Ναυκράτης δέ τις παρ' Εὐσταθίῳ (προοίμ. εἰς Ὀδύσ.) καὶ γυναῖκά τινα λέγει τοὔνομα Φαντασίαν, Νικάρχου θυγατέρα, σοφίας ὑποφῆτιν, ἐν Μέμφει τῆς Αἰγύπτου γεννηθεῖσαν, ἥτις ποιήσασα τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, ἀπεθησαύρισεν ἀμφότερα τὰ τεύχη εἰς τὸ κατὰ τὴν Μέμφιν ἄδυτον τοῦ Ἡφαίστου. Ὁ

(α) Dalecamp. not. in Athen, l. c. [Καὶ ἄλλοι δὲ, ὡς ὁ Γρονόβιος, καὶ Δεμάγιστρος (l. c.) κτλ. εἰς τὸν Φιλάδελφον πρῶτον ἀπέδωκαν, τὴν τοῦ Μουσείου, οὐχὶ κτίσιν ἁπλῶς καὶ οἰκοδομὴν (structuram, ὡς ψευδῶς ἡρμήνευσεν ὁ Δαλεκάμπιος), ἀλλὰ σ υ ν α γ ω γ ὴ ν (τὴν ἐν τῷ Μουσείῳ δηλονότι σύναξιν καὶ συνάθροισιν παντοίων σοφῶν), συμπεραίνοντες ἐκ τῶν ἀνωτέρω τοῦ Καλλιξένου λόγων. Ἀλλὰ τούτους ὁ Ὅδιος ὀρθῶς ἡρμήνευσεν ἀνωτέρω. Καὶ τὸ Μουσεῖον ὑπῆρχε τὸ πρῶτον ὑπὸ Λαγίδου συνηγμένον (κατὰ τοῦ Πλουτάρχου τὴν μαρτυρίαν). — Σημ. ἡμετ.

(β) Συγχώρησον Ὅδιε, στίζεις κακῶς, καὶ κάκιον ἑρμηνεύεις. Ὁ Πλούταρχος (ἐν τῷ « ὅ τ ι ο ὐ δ ὲ ζ ῆ ν . . . κ α τ' Ἐ π ί κ ο υ ρ ο ν) γράφει. « Πτολεμαῖος, ὁ πρῶτος συναγαγὼν τὸ Μουσεῖον » (qui primus Museum instituit· οὕτω δὲ καὶ σὺ παρακατιὼν ἡρμήνευσας τὸ χωρίον)· ὡς δὲ νῦν ἐξέλαβες, σόλοικον ἐξέλαβες, καὶ πρὸς Ἕλληνα λόγον ἀκατάλληλον (ὅταν γὰρ τὸ ὁ π ρ ῶ τ ο ς εἰς τὸ Π τ ο λ ε μ α ῖ ο ς ἀποδοθῇ, μένει ἄναρθρος ἡ τὸ ἄρθρον ἐξ ἀνάγκης ἀπαιτοῦσα μετοχὴ σ υ ν α γ α γ ὼ ν). Πλὴν ἀλλὰ καὶ χωρὶς τῆς τοιαύτης διαστροφῆς τοῦ πρῶτος, τὸν πρῶτον πάλιν Πτολεμαῖον ὁ Πλούταρχος πιθανώτατα ἐννοεῖ, ὡς ὀνομάζεται πολλάκις παρὰ τοῖς ἀρχαίοις ὁ Λαγίδης ἀπὸ τοῦ κυρίου ὀνόματος χωρὶς ἄλλου τινὸς ἐπωνυμίου (βλ. ὄπισθ. κεφ. ς, σελ. 180). πρβλ. καὶ I. Perizon. in Aelian. V. H. III. c. 17. p. 238. — Σημ. ἡμετ.

δὲ Ὅμηρος ὕστερον εἰς Αἴγυπτον ἐλθὼν, καὶ παρά τινος τῶν ἱερογραμματέων ἀπόγραφα τῶν ποιημάτων λαβὼν, ἐξέδωκεν, εἰς τὸ ἴδιον ὄνομα ἐπιγράψας. Ἀλλ' ὅτι μὲν ἡ τοῦ Ναυκράτους φαντασία ψεύδεται καὶ παραληρεῖ, φανερόν (α)· φαίνεται δ' οὖν ὅμως καὶ ἐκ τούτου, ὅτι εἶχον ἔκπαλαι οἱ Αἰγύπτιοι βιβλιοθήκας ἐν τοῖς ναοῖς (ὡς εἰώθεισαν ὕστερον καὶ Ἕλληνες καὶ οἱ Ῥωμαῖοι) (β). Ἐκ δὲ τῶν Αἰγυπτίων τούτων βιβλιοθηκῶν καὶ Πτολεμαῖος ὁ Λάγου πιθανώτατα πολλὰ βιβλία συνήγαγεν εἰς τὴν Ἀλεξάνδρειαν· πρόσθες καὶ ὅτι μεταξὺ τῶν ἐπὶ κατασκευῇ βιβλιοθηκῶν φημιζομένων ἀρχαίων ἀνδρῶν, οὓς ἠρίθμησεν ὁ Ἀθήναιος (βιβλ. α. 3. βλ. καὶ ὄπισθ. κεφ. Θ, §. ζ), προστίθησι καὶ τὸν Κύπρου βασιλεύοντα Νικοκράτην. Τὴν δὲ Κύπρον ὑπέταξεν ὁ Λαγίδης (ὡς ἄλλοι τε καὶ Διόδωρος ἱστοροῦσι), καὶ τοῦ Νικοκράτους λοιπὸν ἡ βιβλιοθήκη περιῆλθεν ἀναμφιβόλως εἰς χεῖρας τοῦ νικητοῦ. Εἶπε δὲ καὶ Στράβων (ιγ, 608), ὅτι Ἀριστοτέλης ἦν « ὁ πρῶτος ὧν ἴσμεν συναγαγὼν βιβλία, καὶ διδάξας τοὺς ἐν Αἰγύπτῳ βασιλέας βιβλιοθήκης σύνταξιν ». Ὅθεν πάλιν ὁ Λαγίδης φαίνεται πρῶτος τῶν Πτολεμαίων κατασκευῇ βιβλιοθηκῶν ἐπιχειρήσας (τούτου δὲ περὶ τὰς ἀρχὰς τῆς βασιλείας ἐτελεύτησεν ὁ Ἀριςοτέλης). Πλὴν εἰ μὴ ὁ Στράβων ἐννοεῖ, ὅτι διὰ τοῦ ἰδίου παραδείγματος ἐδίδαξεν ὁ Ἀριςοτέλης· καὶ τοῦτο φαίνεται πιθανώτερον » (γ).

(α) Ὅθεν καὶ Τωβίας ὁ Δάμμις, καί τοι τὸν Ὅμηρον Αἰγύπτιον ἐκ γένους βασιλικοῦ καὶ αὐτὸς μετ' ἄλλων ὁμοίως ἔκπαλαι παραδοξολογούντων ὑπολαβὼν, ἀπήλλαξεν ὅμως ὁ σοφὸς ἀνὴρ ἀπὸ τῆς τοιαύτης λογοκλοπίας τὸν μέγαν ποιητὴν, γνήσια τούτου τὰ ποιήματα καθομολογῶν (C. Tob. Damm, Lexic. Nov. Graec. etymol. et real. λ. Ὅμηρος). — Σημ. ἡμετ.

(β) Βλ. Lipsij Syntagm. de Bibliothec. cap. 1.

(γ) Ὀρθῶς! οὕτω κρίνει καὶ Βοβέριος λέγων· « Ἀριστοτέλης τὰ βιβλία Σπευσίππου τριῶν ταλάντων ὠνήσατο » (Λαέρτ. Δ. α, 12)· καὶ συνέγραψε δὲ καὶ περὶ βιβλιοθηκῶν (ὡς καὶ Οὐάῤῥων παρὰ Ῥωμαίοις), καθὼς (λέγει) παρέδωκεν ὁ Λαέρτιος. Ἢ τοίνυν διὰ ταύτης ὁ Ἀριστοτέλης τῆς συγγραφῆς, ἢ διὰ τοῦ ἰδίου παραδείγματος ἐδίδαξε τοὺς ἐν Αἰγύπτῳ βασιλεῖς βιβλιοθήκης σύνταξιν » (Wower. de Polymath. c. 16. p. 172). Ὁ δὲ Στράβων πρῶτον λέγει τὸν Ἀριστοτέλην βιβλία συναγαγεῖν, ὡς πλεῖστα καὶ τὰ κάλλιστα συναγαγόντα, καὶ μάλιστα ἐξακριβώσαντα σύνταξιν βιβλιοθήκης (διότι καὶ ἄλλοι πολλοὶ πρὸ αὐτοῦ,

§. ή. « Οὕτω τοίνυν (συνεχίζει λέγων Ὅδιος) ἀποδείξαντες πρῶτον τὸν Λαγίδην κατασκευάσαντα τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην, ἐὰν ὑποσυνάψωμεν καί τινα ῥῆσιν τοῦ Πλουτάρχου, φανήσεται πόθεν ὁ Ἀριστέας ἀπατηθεὶς, ἐξέλαβε τὸν Φαληρέα Δημήτριον ἐπιμελητὴν τῆς βιβλιοθήκης. Λέγει τοίνυν ὁ Πλούταρχος (βασιλ. ἀποφθέγμ.) ὅτι « Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν » κτλ. (βλ. ὄπισθ. κεφ. θ. §. κγ. ἄρθρ. ιγ). Τούτων οὕτω τεθέντων, ὁ Ἀριστέας (ὡς εἰκάζομεν) ἔχων ἐκ παραδόσεως, ὅτι ὁ Φαληρεὺς διέτριβε παρὰ τῷ Πτολεμαίῳ ἐκείνῳ, ὅστις πρῶτος κατεσκεύασε βιβλιοθήκην, ἠπατήθη πρῶτον περὶ τὸν Πτολεμαῖον, ὑπολαβὼν ὅτι διῆγε τὸν βίον ὁ Φαληρεὺς παρὰ τῷ Φιλαδέλφῳ Πτολεμαίῳ, τοῦτον γὰρ ἤκουσε μάλιστα κλεϊζόμενον ἀπὸ τῆς τῶν βιβλίων συναγωγῆς. Ὅτι δὲ πάλιν καὶ ἐπιστάτης τῆς Φιλαδέλφου βιβλιοθήκης ὑπῆρξεν ὁ Φαληρεὺς ἐπίστευσεν ὁ Ἀριστέας, διότι περιέπεσεν εἴς τινα τῶν συγγραφέων ἱστοροῦντα ὅ,τι εἶπε καὶ Πλούταρχος ἀνωτέρω, ὅτι δηλ. ὁ Δημήτριος συνήργει τῷ Πτολεμαίῳ εἰς βιβλίων συναγωγήν (α). Καὶ φαίνεται μὲν πιθανὸν ὅτι

οἷον Πολυκράτης, καὶ Πεισίστρατος, συνήγαγον βιβλία). Οὕτω καὶ Πλάτων λέγεται πρῶτος γράψας διαλόγους, ἐν ᾧ πολὺ πρὸ αὐτοῦ « Ζήνων ὁ Ἐλεάτης πρῶτος ἔγραψε διαλόγους (Λαέρτ.), — ἢ Ἀλεξαμενὸς ὁ Τήϊος (Ἀθήν. ια, 505) « Ὁ δὲ Πλάτων ἀκριβώσας τὸ εἶδος, καὶ τὰ πρωτεῖα δικαίως, ὥσπερ τοῦ κάλλους, οὕτω καὶ τῆς εὑρέσεως φέρεται » (Λαέρτ. γ. 32). — Σημ. ἡμετ.

(α) Ταύτης τῆς ἐφόδου τῶν Ὁδιακῶν συλλογισμῶν βλέπεις, ἀναγνῶστα, σαφῶς, ὅτι βάσις καὶ θεμέλιον ὑπόκειται ἡ τῶν Πτολεμαίων ὁμωνυμία! Καὶ ἔπαθε λοιπὸν καὶ ὁ δύστηνος Ἀριστέας τὴν αὐτὴν ἐκείνην ἀπάτην, ἣν πρῴην ἠπατήθη καὶ ὁ χρονόληρος Ἡρωδιανὸς, ὅστις ἐξέλαβε τἀνάπαλιν ἀντὶ τοῦ Φιλαδέλφου τὸν Λαγίδην Πτολεμαῖον! (βλ. κεφ. ς. §. ιβ. ἄρθρ. ζ). Ἀλλ' ἴσως ἐρωτήσεις ἀπορῶν· Καὶ πῶς ὁ πλαστογράφος οὗτος Ἀριστέας, ὁ Ἀλεξανδρινὸς, οὐκ ἐξηκρίβωσε τίς τῶν Πτολεμαίων πρῶτος καθίδρυσε τὴν Ἀ λ ε ξ α ν δ ρ ι ν ὴ ν βιβλιοθήκην, παρ' ᾧ διέτριβε καὶ ὁ Φαληρεύς; Καὶ πόθεν Ὅδιος συνεῖδεν, ὅτι ὁ παρ' αὐτῷ ἀνώνυμος ἐκεῖνος συγγραφεὺς, εἰς ὃν ἐνέπεσεν ὁ Ἀριστέας, οὐ διώριζε καὶ δι' ἐπωνύμου τοῦτον τὸν Πτολεμαῖον; κτλ. κτλ. Ταῦτα καὶ τὰ τοιαῦτα μήτ' ἀπόρει, φίλε, μήτ' ἐρώτα. Ὅ δ ι ο ς ἔ φ α! Καὶ ὧδε μὲν ε ἰ κ ά ζ ε ι, ἐν δὲ τοῖς προηγηθεῖσι (σελ. 302) καὶ ἐ ν α ρ γ ῶ ς κατεῖδε τὴν ἐκ τῆς ὁμωνυμίας τῶν Πτολεμαίων χ ά σ μ η ν τοῦ Ἀρι-

ὁ Λαγίδης παρέδωκε τῷ Δημητρίῳ τὴν φροντίδα τῆς τῶν βιβλίων ἀγορᾶς καὶ συλλογῆς εἰς κατασκευὴν τῆς βιβλιοθήκης· εἰ δὲ τοῦτο μόνον ἔγραφεν ὁ Ἀριστέας, οὐδὲν ἀντελέγομεν· ἠδύνατο γὰρ πάντως ὁ Λαγίδης πεῖσαι τὸν Δημήτριον, ἵνα, καθὸ πολυμαθὴς καὶ βιβλιακώτατος ἀνὴρ, ἀναλάβῃ τὴν τοιαύτην φροντίδα, τούς τε βιβλιοφύλακας διὰ παραινέσεων διοικῶν, καὶ εἰς τὰς ἔξω πόλεις πέμπων τοὺς ἀγοράσοντας βιβλία, καὶ πρὸς τοὺς ἐν αὐταῖς πεπαιδευμένους ἐπιστέλλων περὶ βιβλίων συναγωγῆς. Ἀλλ' ἤδη ὁ ἡμέτερος Ἀριστέας οὐ μόνον ταύτην τὴν φροντίδα περιέθηκε τὸν Δημήτριον, ἀλλ' ἀπένειμεν εἰς αὐτὸν φανερῶς καὶ τὸ ἐπάγγελμα τῶν κοινῶν φυλάκων τῶν βιβλιοθηκῶν, λέγων· « *Καταταχθεὶς* » (α) « ἐπὶ τῆς τοῦ βασιλέως βιβλιοθήκης Δημήτριος ὁ Φαληρεὺς » κτλ. Ἐν δὲ τῇ πεπλασμένῃ παρὰ τοῦ Δημητρίου τάχα πρὸς τὸν βασιλέα ἐπιστολῇ, εἰσάγει τὸν Δημήτριον οὐ μόνον ἀγοράζοντα βιβλία, ὅπως ἀποτεθῶσιν εἰς τὴν βιβλιοθήκην, ἀλλὰ *καὶ περὶ τῶν ἤδη τεθησαυρισμένων φροντίζοντα, μή τις αὐτοῖς βλάβη συμβῇ* (β), καὶ τὰ βεβλαμένα δὲ καὶ τετριμμένα ἐπισκευάζοντα, καθὼς εἰώθασιν οἱ τυχόντες φύλακες τῶν βιβλιοθηκῶν. « *Προστάξαντός* σου (λέγει) *βασιλεῦ, περὶ τῶν ἀπολιπόντων* (ἴσ. γρ. ἀπολειπόντων) *εἰς τὴν συμπλήρωσιν τῆς βιβλιοθήκης βιβλίων ὅπως ἐπισυναχθῇ*, καὶ *τὰ διαπεπτωκότα τύχῃ τῆς προσηκούσης ἐπισκευῆς, πεποιημένος οὐ παρέργως τὴν ἐν τούτοις ἐπιμέλειαν, προσαναφέρω σοι τάδε* » κτλ.

στέου. Ἢ οὐκ ἔξεστι σοφοῖς ἀνδράσι περὶ πάντων ὁμοίως ἀποφαίνεσθαι, δοξάζειν, ὑπονοεῖν, αὐτοκάβδαλα θεσπιῳδεῖν; — Σημ. ἡμετ.

(α) Γράφε, Ὅδιε, κατασταθείς· ὡς καὶ σὺ αὐτὸς ἐξέδωκας ἐν τῷ Ἀριστέᾳ σελ. 2. (Οὕτω καὶ ὁ σὸς Βανδάλης ἐξέδωκε σελ. 233, καὶ πάντες οἱ λοιποὶ ἐκδόται τοῦ Ἀριστέου). Σὺ δὲ σπουδάζων πανταχόθεν ἀποδεῖξαι τὸν Φαληρέα τεταγμένον ἐν μοίρᾳ τῶν τυχόντων βιβλιοφυλάκων, ἔλαθες γράψας καὶ καταταχθεὶς τὸ κατασταθείς! — Σημ. ἡμετ.

(β) Ταῦτα οὐ κεῖται παρὰ τῷ Ἀριστέᾳ (βλ. τὴν ῥῆσιν ἀνωτέρω εὐθύς). Οἴκοθεν δὲ προσέθηκεν αὐτὰ Ὅδιος, ἵνα πανταχόθεν ἡμῖν ζωγραφήσῃ τὸν Φαληρέα πανομοιότατον τοῖς ἐκ τοῦ κοινοῦ πάτου φύλαξι καὶ ὑπηρέταις τῶν βιβλιοθηκῶν! — Σημ. ἡμετ.

§. θ'. «Κἀκεῖνο δὲ (προστίθησιν Ὅδιος) ἄξιον προσοχῆς. Ὅτι τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης προϊστάμενον ἐπὶ τοῦ Λαγίδου Πτολεμαίου (καθ' ὃν χρόνον ἦσαν ἔτι παῖδες οἱ τούτου υἱοὶ, ὅτε καὶ Δημήτριος διέτριβεν ἐν τοῖς βασιλείοις) ὁ Σουΐδας εἶπεν (§. ζ'.) οὐχὶ τὸν Δημήτριον αὐτὸν, ἀλλὰ *Ζηνόδοτον τὸν Ἐφέσιον γραμματικόν*. Τοῦτο δὲ προφανῶς ἀντιμάχεται πρὸς τοὺς θέλοντας τὸν Δημήτριον προστάντα τῆς βιβλιοθήκης καθ' ὃν χρόνον συνεβασίλευεν ὁ Φιλάδελφος μετὰ τοῦ πατρός. Ὁ δὲ Ζηνόδοτος οὐ μόνον τότε, ἀλλὰ καὶ πολὺ ὕστερον προΐστατο τῆς βιβλιοθήκης, ὡς παρατείνας τὸν βίον μέχρι καὶ τῆς ἀρχῆς τῆς βασιλείας τοῦ Εὐεργέτου, ἢ κἂν μέχρι τέλους τῆς Φιλαδέλφου. Καὶ τοῦτο δείκνυται ἐκ τῶν ἐφεξῆς. α) Ὅτι καὶ Ἀριστοφάνους Βυζαντίου τοῦ γραμματικοῦ, παιδὸς ἔτι, διδάσκαλος ὁ Ζηνόδοτος ἐγένετο, κατὰ τὸν Σουΐδαν (λ. Ἀριστοφάνης)· ἤκμασε δὲ ὁ Ἀριστοφάνης Ὀλυμπ. ρμε. (αὐτ.). β) Ὅτι, πάλιν κατὰ τὸν Σουΐδαν (λεξ. Πτολεμαῖος) «Πτολεμαῖος, γραμματικός· ὁ *ἐπιθέτης* κληθεὶς, διότι εἵπετο τῷ Ἀριστάρχῳ· διήκουσε δὲ σταθερῶς Ἑλλανίκου τοῦ γραμματικοῦ, ἢ τοῦ *Ἀγαθοκλέους*, ἢ *Ζηνοδότου τοῦ Ἐφεσίου*». Ὁ δ' Ἀρίσταρχος οὗτος, ὁ Πτολεμαίῳ τῷ Ζηνοδότου μαθητῇ σύγχρονος, ἤκμαζε Ὀλυμπ. ρνς. καὶ τοῦ ῥηθέντος Ἀριστοφάνους ἐγένετο μαθητής (α). Πρὸς τοῖς εἰρημένοις

(α) «Πτολεμαῖος γραμματικός· ὁ ἐπιθέτης κληθεὶς, διότι εἵπετο τῷ Ἀριστάρχῳ· διηκηκόει δὲ Ἑλλανίκου τοῦ γραμματικοῦ, ὁ δ ὲ τοῦ Ἀγαθοκλέους, ὁ δ ὲ, Ζηνοδότου τοῦ Ἐφεσίου». Ταῦτα λέγει ὁ Σουΐδας· ὁ δὲ Λατῖνος μεταφραστὴς ἀντὶ τῶν, ὁ δ ὲ (τοῦ Ἀγαθοκ.), ὁ δ ὲ (Ζηνοδότου) μεθηρμήνευσε v e l, v e l (ἢ, ἢ), ὡς ἀνωτέρω γέγραπται (βλ. Σουΐδ. σελ. 646. Colon 1619). Ταύτην τὴν λατινικὴν ἑρμηνείαν ἀντέγραψε κατὰ λέξιν καὶ Ὅδιος, μηδεμίαν ὀφθαλμοῦ βολὴν ἐπιβαλὼν εἰς τὸ πλαγίως παρακείμενον ἑλληνικόν. Καὶ οὕτως ἀπέδειξεν ἡμῖν τὸν ἐπιθέτην Πτολεμαῖον καὶ τοῦ Ἀριστάρχου καὶ τοῦ Ζηνοδότου τοῦ Ἐφεσίου μαθητήν! καὶ ἑπομένως τὸν Ζηνόδοτον, Ἀριστάρχῳ σύγχρονον, ἀκμάσαντα ἀπὸ τῶν μέσων τῆς τοῦ Λάγου βασιλείας (οὗ τοὺς παῖδας ἐπαίδευσε) μέχρις οὐ μόνον (ὡς λέγει) τοῦ Εὐεργέτου, ἀλλ' εἰ καὶ μὴ τοῦ Φιλομήτορος (ἐφ' οὗ ἤκμαζεν ὁ Ἀρίσταρχος, Ὀλυμ. ρνς), ἐξάπαντος ὅμως μέχρι τοῦ Ἐπιφανοῦς (Ὀλυμπ. ρμε· ἐφ' οὗ νεώτατος ἦν Ἀρίσταρχος), ἐγγόνου τοῦ Εὐεργέτου, καὶ τρισεγγόνου τοῦ Λαγίδου, ἢ δισεγγόνου τοῦ Φιλαδέλφου (ὃν ἐπαίδευσεν ὁ Ζηνόδοτος). Καὶ λοιπὸν ἐπὶ τοῦ Ζηνοδότου τούτου «ἐ φ θ ί α τ ο» οὐχὶ δ ύ ω (καθὼς ἐπὶ τοῦ παλαιοῦ τριγέροντος Νέστορος), ἀλλὰ τ έ σ σ α ρ ε ς γ ε ν ε α ὶ μ ε ρ ό π ω ν ἀν-

περὶ τοῦ Ζηνοδότου (ὅτι παρέτεινε τὸν βίον μέχρις Εὐεργέτου) συμφωνεῖ καὶ τὸ παραδεδομένον περὶ Ἐρατοσθένους τοῦ Κυρηναίου, ὅτι μετάπεμπτος εἰς Ἀλεξάνδρειαν γενόμενος ὑπὸ τοῦ Εὐεργέτου, καὶ τῆς βιβλιοθήκης προστὰς ὁ Ἐρατοσθένης, ἐπωνομάσθη τὸ *Βῆτα*· καθὸ δηλονότι *δεύτερος* ἐπιστάτης τῆς βιβλιοθήκης καὶ τοῦ Μουσείου, καὶ διάδοχος τοῦ *πρώτου* προστάντος Ζηνοδότου τοῦ Ἐφεσίου. Καὶ οἶδα μὲν ὅτι Σουΐδας καὶ Ἡσύχιος ὁ Μιλήσιος ἔγραψαν, ὅτι « διὰ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας, τοῖς ἄκροις ἐγγίσασι (ἴσ. γρ. *ἐγγίσας*), διὰ τοῦτο τὰ βήματα (γρ. τὰ *βῆτα*) ἐπεκλήθη. Οἱ δὲ καὶ *δεύτερον*, ἢ νέον *Πλάτωνα* τὸν Ἐρατοσθένην ἐκάλεσαν». Σουΐδ.)· (οἷον τοῦ μὲν Πλάτωνος *Ἄλφα*, ἢ πρώτου λογιζομένου, τοῦ δ᾽ Ἐρατοσθένους, *Βῆτα*, τουτέστι δευτέρου). Τούτοις ἀρέσκεται καὶ Γεράρδος Οὐόσσιος ὁ σοφώτατος, ὅστις καὶ ἄλλο τι παρόμοιον παρέβαλεν ἐκ τοῦ ῥωμαίου Μαρτιαλίου (α). Ἀλλ᾽ ἐμὲ (φησιν Ὅδιος) οὐδόλως ταῦτα παραπείθουσιν, ὥστε μὴ νομίζειν πιθανώτερον, ὅτι τὸ ἐπώνυμον ἔσχεν ὁ Ἐρατοσθένης ἀπὸ τῆς τάξεως, ἣν ἐπέσχεν ἐπὶ τῶν τοῦ Μουσείου βιβλιοθηκῶν, *δεύτερος* αὐτῶν προστάς. Ἔλαβε δὲ

θρώπων» (βασιλέων καὶ γραμματικῶν)· αὐτὸς δὲ « μ ε τ ὰ π ε μ π τ ά τ ο ι σ ι ν ἄ ν α σ σ ε!

(α) G. Voss. Hist. Gr. I. 17. Ἰδοὺ καὶ τὸ Μαρτιάλιον ἐπίγραμμα.

« Quod A l p h a dixi, Codre, paenulatorum
Te nuper, aliqua cum jocarer in charta;
Si forte bilem movit hic tibi versus,
Dicas licebit B e t a me togatorum » (Mart. Epigr. 27 Lib. V).

τουτέστιν, « Ἄρτι γράφων ἔπαιζον ἐν χάρτῃ, Κόδρε,
Καί σε προσεῖπον Ἄ λ φ α φαινολοφόρων.
Ἐὰν ταράξῃ τὴν χολήν σου ὁ στίχος,
Κάλει με καὶ σὺ Β ῆ τ α τηβεννοφόρων ».

[Ὑπῆρχε δὲ ἡ τήβεννος, toga, Ῥωμαίων ἐξαιρέτως ἔνδυμα, καὶ μάλιστα τῶν ἀστυκῶν, καὶ τῶν τοῖς ἄρχουσι παρακολουθούντων, καὶ προσιόντων θεραπείας χάριν (Mart. L. 10. epigr. 47)· ὁ δὲ φαινόλης, ἢ φαιλόνης, χειμῶνος καὶ ὁδοιπορίας ἐπίβλημα, παχὺ καὶ στεγανόν. Καὶ περὶ τούτων μὲν βλ. Salmas. καὶ Casaubon. not. ad Spartian· καὶ Lipsij Elect. L. I. c. 13, 25 in ejus. Oper. vol. 1. p. 601, 620. Ὅσοι δὲ τὸν Ἐρατοσθένην ὑπέλαβον καὶ ἐπὶ ψόγῳ δῆθεν (ὡς β ά τ α λ ο ν) ἐπονομασθέντα Β ῆ τ α, ψεύδονται προφανέστατα· ἀλλὰ περὶ Ἐρατοσθένους καὶ ἐφεξῆς § ιζ. — Σημ. ἡμετέρ.].

τὴν ἐπωνυμίαν *παρὰ τῶν ἀκολούθως γενομένων* προστατῶν τῆς βιβλιοθήκης, ἢ *προέδρων* τοῦ Μουσείου· καὶ ταύτην μου τὴν εἰκασίαν κρατύνουσιν ἐκεῖνα τὰ Μαρκιανοῦ τοῦ Ἡρακλεώτου (περίπλ. σελ. 444). « *Ἐρατοσθένης, ὃν βῆτα ἐκάλεσαν οἱ τοῦ Μουσείου προστάντες* ». (ὅθεν συνάγεται ῥᾳδίως, ὅτι ἐπωνομάσθη οὕτω, διότι εἶχέ τινα πρὸς τὸ Μουσεῖον ἀναφοράν) (α). Καὶ μάχεται μὲν πρὸς ταῦτα τὸ παρά τισι περὶ Καλλιμάχου τοῦ ποιητοῦ λεγόμενον, ὅτι ἄρα καὶ οὗτος τῆς βιβλιοθήκης προέστη (πρὸ τοῦ Ἐρατοσθένους). Ἀλλὰ τοῦτο παρ' οὐδενὶ τῶν προσφόρων εὑρίσκομεν συγγραφέων. Ὁ δὲ Στράβων (ὃν μαρτύρονται) οὐδὲν εἶπεν ἕτερον, εἰ μὴ « Κυρηναῖος δὲ ἐστὶ καὶ ὁ Καλλίμαχος καὶ ὁ Ἐρατοσθένης, ἀμφότεροι τετιμη-

---

(α) Ἀλλὰ (ἀπαντῶμεν), α) Τὸ Μουσεῖον διέφερε πολὺ τῆς Βιβλιοθήκης· ὅθεν β) Οὐδ' οἱ αὐταὶ προΐσταντο τῆς Βιβλιοθήκης καὶ τοῦ Μουσείου (καθὼς ἐνόμισε καὶ ὁ Prideaux Hist. Jud. An. A. C. 284)· καὶ μαρτυρεῖ Στράβων « Ἱερέα, λέγων, ἐπὶ τοῦ Μουσείου τεταγμένον »· γ) Ὁ Μαρκιανὸς οὐκ εἶπεν ὅτι τὸν Ἐρατοσθένην ὠνόμασαν Βῆτα οἱ ἀκολούθως γενόμενοι (Sequentes) κτλ. Τοῦτο προσέθηκεν Ὅδιος· ἀλλ' ὤφειλε προσθεῖναι καὶ τίνες ἦσαν οὗτοι οἱ Ἐπακόλουθοι· καὶ τίνα πρῶτον οὗτοι ὠνόμασαν Ἄλφα· δ) Τοῦ Μαρκιανοῦ τὸ προστάντες οὐ σημαίνει τοὺς προέδρους (praesides), ἀλλὰ τοὺς ἐξόχους καὶ ἀρίστους τῶν ἄλλων, καὶ οἷον χοράρχας τινὰς γενομένους καὶ προεστῶτας τοῦ κύκλου τῶν ἑταίρων τοῦ Μουσείου (ὡς τὸ ταυτόφωνον καὶ ταυτοσήμαντον λατινικὸν Praestantes). ε) Τελευταῖον, καὶ αὐτὸς ὁ πολλὰ τῶν Ὁδίου ἐπαινῶν Φαβρίκιος (Bibl. Graec. vol. 4. p. 118 Harl.), ταύτην ὅμως οὐκ ἐπήνεσε τὴν γνώμην (καί τοι καὶ ταύτην οὐχ Ὅδιος πρῶτος ἐξήνεγκεν, ἀλλ' ὁ Marsham. Chron. Can. p. 3)· « Ἄδηλον (λέγει) εἰ μὴ καὶ ἄλλος τὶς ὑπῆρξε τῆς Βιβλιοθήκης προστάτης, ἢ πρὸ τοῦ Ζηνοδότου, ἢ τούτου μεταξὺ καὶ τοῦ Ἐρατοσθένους [ὡς ὑπῆρξε πιθανώτατα ὁ Καλλίμαχος]. Οὐδαμοῦ δ' ἀνέγνωμεν οὔτε τὸν Ζηνόδοτον ἐπικληθέντα Ἄλφα, οὔτε τὸν (Ἐρατοσθένους διάδοχον) Ἀπολλώνιον, Γάμμα, οὔτε τὸν (Ἀπολλωνίου διάδοχον) Ἀριστώνυμον, Δέλτα κτλ. ». — Ὁ δὲ Τατιανὸς (λόγ. πρὸς τοὺς Ἕλλην.) τοὺς σοφοὺς τῆς Ἀλεξανδρείας ἀπαριθμῶν, μεταξὺ Ζηνοδότου καὶ τοῦ Ἐρατοσθένους οὐ μόνον τὸν Καλλίμαχον ἔταξεν, ἀλλὰ καὶ τὸν Ἀριστώνυμον. Κἀκεῖνο δὲ σημειωτέον· ὅτι, οὐ μόνον ἀριθμητικῶς καὶ τακτικῶς, ἀλλὰ καὶ δι' ἄλλας αἰτίας ἐπωνομάσθησάν τινες τῶν ἀρχαίων ἀπό τινων γραμμάτων τοῦ Ἀλφαβήτου· οἷον ὁ Ἀντήνωρ ἐκαλεῖτο Δέλτα, ὡς ἀγαθός· οἱ γὰρ Κρῆτες Δέλτον λέγουσι τὸ ἀγαθόν. Ἀπολλώνιος δὲ ὁ ἀστρονόμος (ἐπὶ τοῦ Φιλοπάτορος) Ἐψιλὸν· διότι τὸ σχῆμα τοῦ Є ὁμοιάζει τῷ τῆς σελήνης, περὶ ἣν ἐκεῖνος μάλιστα ἐσπούδαζε. Σάτυρος δὲ, Ἀριστάρχου γνώριμος, Ζῆτα, ὡς ζητητικός, κτλ. βλ. Ἡφαιστ. παρὰ Φωτ. Ἀναγν. ρη. πρβ. καὶ Σωζόμ. Γ. 13 : Παλλάδ. Λαυσαϊκ. σελ. 90. κτλ. — Σημ. ἡμετ.

μένοι παρὰ τοῖς Αἰγυπτίων βασιλεῦσι » (ιζ, 838). Εἷς τῆς εταιρείας τοῦ Μουσείου μόνον φαίνεται γεγονὼς ὁ Καλλίμαχος, ἐπειδὴ συνέταξε καὶ ποίημα « *Μουσεῖον* » ἐπιγεγραμμένον, « *καὶ πίνακας τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων, καὶ ὧν συνέγραψαν, ἐν βιβλίοις κ, καὶ ρ.* » (Σουΐδ.). Τοῦτο δὲ τὸ σύγγραμμα « *πίνακα παντοδαπῶν συγγραμμάτων* » ὀνομάζει ὁ Ἀθήναιος (δ, 244, ιδ, 613) (α).

§. θ. « Εἰ δὲ καὶ τοῦ Ἰουδαίου (προστίθησιν Ὅδιος) Ἰωσήπου τοῦ Γοριονίδου ἐπιμνησθῆναι ἄξιον, τὴν περὶ τὴν συλλογὴν τῶν βιβλίων ἐπιστασίαν, ἣν ὁ Ἀριστέας ἀποδίδωσιν εἰς τὸν Φαληρέα Δημήτριον,

---

(α) « Τοὺς πίνακας τῶν ἐν πάσῃ παιδείᾳ » κτλ. ὀρθότερον ὁ Βοβέριος ἔκρινε μέρος τοῦ πίνακος τῶν παντοδαπῶν συγγραμμάτων, εἰς ὃν καὶ ἄλλα τινὰ τῶν Καλλιμάχου ἀνέφερεν ὁ Ῥυγκένιος (βλ. Wower. de Polymath. XVI. p. 170 καὶ Ruhnken. in Callimach. vol. 1. p. 470. Ern. πρβλ. καὶ Fabr. Bibl. Graec. vol. 3. p. 822 Harl.). Καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ Καλλίμαχος ἐκ τούτων αὐτοῦ τῶν συγγραφῶν (τοῦ Μουσείου καὶ τῶν Πινάκων) ἀποδείκνυται μὴ μόνον (ὡς εἶπεν Ὅδιος) ἑταῖρος τοῦ Μουσείου, ἀλλὰ καὶ τῆς βιβλιοθήκης προστάς· ἢ τίς ἄλλος παρὰ τὸν ἐπιστάτην τῆς βιβλιοθήκης (καὶ τοῦτον Καλλίμαχον!) ἀκριβέστερον ἠδύνατο καὶ τελειότερον γνωρίζειν τὰ συγγράμματα καὶ ὀνόματα τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων; Εἰ δ' ὁ Στράβων οὐ μαρτυρεῖ προστάντα τῆς βιβλιοθήκης τὸν Καλλίμαχον, ἀλλ' οὐδὲ περὶ τοῦ Ἐρατοσθένους τοῦτο μαρτυρεῖ. Λέγει δὲ κοινῶς περὶ ἀμφοτέρων, ὅτι ἦσαν τετιμημένοι παρὰ τοῖς Αἰγυπτίων βασιλεῦσιν». Ἐπειδὴ δὲ ὁ Ἐρατοσθένης ἐπὶ τοῦ γ, Πτολεμαίου ἐτιμήθη, προστὰς τῆς βιβλιοθήκης, τὴν αὐτὴν εἰκότως ἔλαβε τιμὴν καὶ ὁ Καλλίμαχος, συσταθεὶς τῷ βασιλεῖ (Φιλαδέλφῳ), κατὰ τὸν Σουΐδαν. (λ. Καλλίμαχος). Ἐκ δὲ τῶν νεωτέρων ὁ μὲν Ἰόνσιος (Script. Hist. Philosoph. L. 1. c. 18), καὶ ὅσοι τούτῳ κατηκολούθησαν (Demagistr. Diss. IV. etc) οὐκ ἔταξαν καὶ τὸν Καλλίμαχον εἰς τὴν σειρὰν τῶν προστατῶν τῆς βιβλιοθήκης, διότι, λέγουσιν, οὐκ εἶπε τοῦτο Σουΐδας. Ἀλλ' οὗτος οὐδὲ τὸν Ἐρατοσθένην βιογραφῶν εἶπε καὶ τῆς βιβλιοθήκης προστάντα. παροδικῶς δὲ μόνον, ἐν λέξει Ἀπολλώνιος, ἱστόρησε τοῦτον « Ἐρατοσθένους διάδοχον ἐν τῇ προστασίᾳ τῆς βιβλιοθήκης ». Ἄλλοι ὅμως ἄνδρες σοφοὶ καταλέγουσι καὶ τὸν Καλλίμαχον δεύτερον μετὰ Ζηνόδοτον ἐπὶ τῆς βιβλιοθήκης, οὐ μόνον Genebrand. (in Chron.), καὶ Frischlin (praef. ad Callimachi Hymn.), οὓς Ὅδιος ἐμνημόνευσεν, ἀλλὰ καὶ Raph. Volaterranus (L. XIV. Comment. urbanor.), καὶ ὁ Morhofius (Polyhist. L. 1. p. 43), καὶ ὁ κλεινὸς Spanhemius (Observ. in Callimach. Hymn. in Jov. v. 31. et in Apollin. v. 29, p. 41, 94) κτλ. πρβλ. καὶ Fabric. Bibl. Graec. vol. 3. p. 814. Harl.

ταύτην ὁ Γοριωνίδης ἀπένειμεν εἰς αὐτὸν Ἀριστέα καὶ τὸν Ἀνδρέαν, μηδεμίαν τοῦ Φαληρέως μνήμην πεποιημένος » (α).

§. ί. « Καὶ τοῦτο δὲ (λέγουσι) σημειωτέον. Ὅτι μὲν ὁ Φιλάδελφος ὅλον ἑαυτόν *ποτε* ἐπέδωκεν εἰς κατασκευὴν τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης, καὶ ταύτην ἐξαιρέτως ἐκόσμησε, μαρτυροῦσιν οὐ μόνον Ἀριστέας καὶ Φίλων καὶ Ἰώσηπος, καὶ ἐκκλησιαστικοὶ συγγραφεῖς, ἀλλὰ καὶ Βιτρούβιος καὶ Ἀμμώνιος καὶ Ἀθήναιος πολλαχοῦ, καὶ τούτων τὰς μαρτυρίας ἐμνημονεύσαμεν ἐν τοῖς ἔμπροσθεν. Ὅτι δὲ καὶ οὐχὶ πρῶτος ὁ Φιλάδελφος ἐγένετο τῆς βιβλιοθήκης ἱδρυτὴς (καθὼς λέγουσι συνήθως οἱ τοῦ Ἀριστέου ὀπαδοὶ), καὶ τοῦτο καταφαίνεται λαμπρῶς ἐκ τῶν ἀνωτέρω προειρημένων. πρόσθες καὶ ὅτι οὐδ᾽ αὐτὸς Ἀριστέας οὐδαμοῦ τοιοῦτό τι περὶ Φιλαδέλφου σαφῶς καὶ ἐπὶ λέξεως βεβαιοῖ· ἀλλὰ καὶ ὅταν λέγῃ « *κατασταθέντα ἐπὶ τῆς βιβλιοθήκης τοῦ βασιλέως* », φαίνεται μάλιστα καὶ αὐτὸς ὑποδηλῶν, ὅτι προϋπῆρχεν ἤδη πρότερον βιβλιοθήκη τις βασιλική. Τοῦτο δὲ σημαίνεται τρανώτερον καὶ ἐξ αὐτῆς τῆς τοῦ Δημητρίου πρὸς τὸν βασιλέα ἐπιστολῆς, ὅταν λέγῃ· « *περὶ τῶν ἀπολειπόντων* » (ὡς καὶ ἄλλων δηλονότι ἤδη συνηγμένων) « *εἰς συμπλήρωσιν τῆς βιβλιοθήκης βιβλίων* »· καὶ « *περὶ τῶν*

(α) Jos. Gorionid. Histor. Jud. III. 2. [Σύγγραμμα ἑβραϊκὸν, καὶ εἰς Εὐρωπαϊκάς τινας γλώσσας ἡρμηνευμένον, καὶ ψευδεπίγραφον, ὡς ἂν πόνημα δῆθεν Ἰωσήπου Φλαβίου, τοῦ γνωστοῦ ἱστορικοῦ. Ἔστι δὲ σύνοψις τῆς τοῦ ἀληθοῦς Ἰωσήπου συγγραφῆς μετὰ παρενθήκης μύθων καὶ ψευσμάτων πολλῶν, μόλις κατὰ τὸν ς, αἰῶνα συντεθειμένον ὑπό τινος ἑβραίου πλαστογράφου γόητος, καλοῦντος ἑαυτὸν Ἰώσηπον Ματταθίου παῖδα τοῦ Γορίωνος (Ben Gorion). βλ. Fabr. Bibl. Gr. vol. 5. p. 56. ἐκδ. Harl. Τοῦτον καὶ αὐτὸς Ὅδιος ἀλλαχοῦ μὲν ὡς ψεύστην ἀποῤῥίπτει, ὅταν μὴ πρὸς τὰς αὐτοῦ γνώμας συμφωνῇ· ἐνίοτε δὲ πάλιν (ὡς ἀνωτέρω), ὅταν ἀντιλέγῃ μάλιστα πρὸς τὸν Ἀριστέα, φέρει τοῦτον μάρτυρα (θρυπτόμενος ὅμως καὶ μόλις δῆθεν ἐπιμνήσεως τὸν ἄνθρωπον ἀξιῶν !). Ἀλλὰ πρὸς ταῦτα παρὰ πόδας ἀπαντῶντες ὑπομιμνήσκομεν τὸν Ὅδιον ὅ,τι ἔκρινε περί τινος ἄλλου μνημονεύοντος μάρτυρας ψευδεῖς ὁ ἡμέτερος Στράβων, λέγων· « Οὐδὲ τοῦτο εὖ (ποιεῖ) ὅτι ἀνδρῶν οὐκ ἀξίων μνήμης ἐπὶ πλέον μέμνηται, τὰ μὲν ἐλέγχων, τὰ δὲ πιστεύων, καὶ μάρτυσι χρώμενος αὐτοῖς. — Καὶ γὰρ, εἴ τι λέγουσιν ἀληθὲς, οὐ μάρτυσί γε ἐκείνοις χρηστέον περὶ αὐτοῦ, ἀλλ᾽ ἐπὶ τῶν ἀξιολόγων ἀνδρῶν μόνων τῷ τοιούτῳ τρόπῳ χρηστέον ». Στράβ. Α. 47. — [Σημ. ἡμετ.].

διαπεπτωκότων ὅπως τύχωσι τῆς προσηκούσης ἐπισκευῆς κτλ. ». Ἀλλ' οἱ τοῦ Ἀριστέου ἀκόλουθοι ἄλλως περὶ τούτου ἐφρόνησαν. Αὐτίκα Κωνσταντῖνος ὁ Μανασσῆς ψάλλει περὶ τοῦ Φιλαδέλφου (Χρονικ. Ε. 950)·

—— —— —— « Ὃς πρῶτος βασιλέων
Τὴν Ἀλεξάνδρου τέθεικε βίβλων πολλῶν μητέρα ».

καὶ Τερτυλλιανός. « Ὁ πολυμαθέστατος τῶν Πτολεμαίων (ᾧ Φιλάδελφος τὸ ἐπώνυμον) καὶ πάσης φιλολογίας ἐμπειρότατος, περὶ τὴν εἰς τὰς βιβλιοθήκας σπουδὴν τὸν Πεισίστρατον (οἶμαι) ζηλώσας, μεταξὺ τῶν ἄλλων συγγραμμάτων, οἷς ἡ ἀρχαιότης, ἢ καὶ περιέργειά τις εἰς φήμην συνηγόρει, κατ' εἰσήγησιν Δημητρίου τοῦ Φαληρέως, *δοκιμωτάτου τῶν τότε γραμματικῶν* (ᾧ καὶ τὴν ἐπιστασίαν ἐπεπιστεύκει), ᾐτήσατο καὶ παρ' Ἰουδαίων βιβλία » κτλ. (α). Τούτοις ἠκολούθησε καὶ Ἱερώνυμος λέγων· « Πάμφιλος ὁ μάρτυς περὶ τὴν σπουδὴν τῆς ἱερᾶς βιβλιοθήκης ἠθέλησεν ἐξισωθῆναι Δημητρίῳ τῷ Φαληρεῖ καὶ τῷ Πεισιστράτῳ » (β). Καὶ ὁ ἱερὸς Αὐγουστῖνος τὸν Λαγίδην Πτολεμαῖον (ἁπλῶς) μνημονεύσας, ἔπειτα ὑποσυνάπτει περὶ τοῦ Φιλαδέλφου, ὅτι « ἐπεθύμησεν ἔχειν καὶ τὰς βίβλους τῆς ἁγ. Γραφῆς ἐν τῇ βιβλιοθήκῃ, ἣν διασημοτάτην κατεσκεύασε » κτλ. (γ). Ὡσαύτως καὶ Ἰουστῖνος, ὁ μάρτυς καὶ φιλόσοφος, τότε λέγει τὸν Φιλάδελφον φροντίσαι περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν, « ὅτε βιβλιοθήκην κατεσκεύασε, καὶ τὰ πάντων ἀνθρώπων συγγράμματα συναγαγεῖν ἐπειράθη » (Ἀπολογ. β)· καὶ ἀλλαχοῦ·

(α) Tertull. Apolog. c. 18. — (β) S. Hieron. Epist. 141 ad Marcel. πρβλ. καὶ Ruffin. Invectiv. ad Hieron. L. II·

(γ) S. August. de civ. Dei 18, 42. ὅπου τὸ τελευταῖον κῶλον ἔχει κατὰ λέξιν οὕτω « in Bibliotheca, quam nobilissimam fecerat » etc. τοῦτο δὲ Ὅδιος ἐξηγεῖ λέγων « τουτέστι, κατὰ τὴν ἐμὴν γνώμην bibliotheca nobilissima, quam fecerat » (Hody p. 48) » ἐν τῇ διασημοτάτῃ βιβλιοθήκῃ, ἣν κατεσκεύασεν ! Οὕτως ὁ κριτικὸς κάλαμος διορθοῖ, μηδὲν δέον, καὶ τὸν Αὐγουστῖνον, ἵνα καὶ οὗτος τρανῶς καὶ λίαν σαφῶς λέγῃ τὸν Φιλάδελφον ἱδρυτὴν τῆς βιβλιοθήκης : ἐπειδὴ πάντες οἱ τοῦ Ἀριστέου (ὡς λέγει) ὀπαδοὶ διεφώνησαν πρὸς αὐτὸν (ὅσον περὶ τοῦ πρώτου θεμελιωτοῦ τῆς βιβλιοθήκης). Ἀλλὰ περὶ τούτου βλ. ἐφεξῆς §. ιη.

« Βιβλιοθήκην ἐν τῇ Ἀλεξανδρείᾳ (κατασκευάσας ὁ Πτολεμαῖος), καὶ πανταχόθεν συναγαγὼν βιβλία, καὶ πληρώσας αὐτὴν » κτλ. Ὁμοίως καὶ Ἐπιφάνιος· « Βιβλιοθήκην (ὁ Φιλάδελφος) κατεσκεύασεν ἐπὶ τῆς αὐτῆς Ἀλεξάνδρου πόλεως, ἐν τῷ Βρουχίῳ καλουμένῳ κλίματι » κτλ. (π. Μέτρ.). Καὶ Εὐσέβιος (κατὰ τὴν λατινικὴν ὑπὸ τοῦ Ἱερωνύμου μετάφρασιν τοῦ χρονικοῦ) « Τὰ τεύχη (λέγει) τῶν Γραφῶν εἶχεν ὁ Φιλάδελφος ἐν τῇ τῆς Ἀλεξανδρείας βιβλιοθήκῃ, ἣν ἐκ παντὸς φιλολογίας εἴδους κατεσκεύασε » κτλ. Καὶ ἐν τῷ Ἀλεξανδρινῷ χρονικῷ· « Ἀπέθετο (λέγει) τὰς Γραφὰς (ὁ Φιλάδελφος) ἐν ταῖς κατὰ τὴν Ἀλεξάνδρειαν *κατασκευασθείσαις αὐτῷ βιβλιοθήκαις* » (σελ. 326 Bon.). « Ἐν ταῖς ὑπ' αὐτοῦ *συστάσαις βιβλιοθήκαις* », ἐπαναλαμβάνει καὶ ὁ Σύγκελλος (σελ. 516)· ὅστις εἶπε καὶ ἀλλαχοῦ (σελ. 518), ὅτι τὴν *ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην ὁ Φιλάδελφος καθίστησι.* Τὸν Σύγκελλον ἐπηκολούθησε καὶ ὁ Κεδρηνός. Μόνον Ἰσίδωρος ὁ Ἰσπάλων ἐνόμισεν ὅτι ὁ Μ. Ἀλέξανδρος, ἢ οἱ τούτου διάδοχοι προσέσχον τὸν νοῦν εἰς κατασκευὴν βιβλιοθηκῶν ἐκ βιβλίων παντοδαπῶν, καὶ μάλιστα Πτολεμαῖος, ὁ Φιλάδελφος τὸ ἐπώνυμον » (α). Ὁ δὲ νεώτερος Βήμσιος ὁ Σκότος (ἐκ Βρετανίας) ἔγκλημα κατήνεγκε κατὰ Ἀριστέου, ὅτι πρῶτον ἐπιστάτην τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης εἶπε τὸν Δημήτριον. «*ἐν ᾧ* (λέγει) *μαρτυρεῖ ὁ Βιτρούβιος, ὅτι ἡ βιβλιοθήκη* τὸ πρῶτον ἐπιστεύθη εἰς τὸν γραμματικὸν Ἀριστοφάνην » (β). Ἀλλ' ὁ Βήμσιος τοιαῦτα ἐγκαλῶν, εἰ καὶ μὴ ἀδίκως, ἀλλ' ὅμως ἀκαταλλήλως καὶ ἄπο τοῦ προσήκοντος τρόπου διώκει τὸν Ἀριστέα· διότι ὁ Βιτρούβιος τοσοῦτον ἀπολείπει τοῦ βεβαιοῦν τὸν Ἀριστοφάνην πρῶτον ἐπιμελητὴν τῆς βιβλιοθήκης, ὥστε καὶ ῥητῶς ἐμνημόνευσεν ἄλλους αὐτῆς προστάντας πρὸ τοῦ Ἀριστοφάνους. Οὗτος δὲ καὶ ἄλλως οὐκ ἠδύνατο προστῆναι ἐπὶ τοῦ Φιλαδέλφου, νεώτερος αὐτοῦ γενόμενος».

Ἀπαντῶμεν.

§. ιά. Οὐδὲν παράδοξον, εἰ Βήμσιοι καὶ Βανδάλαι διώκουσιν οὐ

(α) Isid. Ispaliens. Orig. VI. 3. — (β) I. Weemsius Exerc. Theol. L. 1.

μόνον οὕτως ἀτόπως καὶ ἀναρμόστως, ἀλλὰ καὶ παντάπασιν ἀδίκως καὶ παραλόγως τὸν Ἀριστέα. «Ἔξεστι τοῖς τοιούτοις καὶ παραφθέγγεσθαι καὶ παρανοεῖν». Ἀλλ᾽ ὅταν Σκαλίγηροι καὶ Βοδέριοι καὶ Ὅδιοι σοφώτατοι περιπίπτωσιν εἰς τοιαύτας ἀτοπίας, τοῦτο δεινὸν, καὶ πέρα δεινοῦ! Καὶ πρῶτον· ὁ σοφὸς Βοδέριος (ἵνα πρῶτον πρὸς αὐτὸν ἀπαντήσωμεν ἐν ὀλίγοις τὸ πᾶν) ὀπαδὸς γενόμενος τῆς περὶ τοῦ Ἀριστέου γνώμης τοῦ φίλου καὶ συγχρόνου κριτικοῦ Σκαλιγήρου (α), (καί τοι περὶ τὰ πλεῖστα αἰδήμων, καὶ σωφρονικὸς, καὶ πολὺ τοῦ φίλου πλέον πρὸς καινοτομίας ἐγκρατέστερος), ἐπίστευσε καὶ τὴν Σκαλιγήρειον ἑρμηνείαν τῆς περὶ τοῦ Φαληρέως Ἑρμιππείου περικοπῆς (ϐ). Ὅθεν εὕρισκεν ἀπίθανον ἣν ἱστόρησεν Ἀριστέας ἐπὶ τῆς Φιλαδέλφου βιβλιοθήκης ἐπιστασίαν τοῦ Φαληρέως, διότι τοῦτον ὁ Σκαλίγηρος, ἐξάγων παρ᾽ Ἑρμίππου δόγμα βασιλικὸν, ἐξώριζε μακρὰν τῆς Ἀλεξανδρείας, καὶ παρεδίδου τῷ θανατηφόρῳ δήγματι τῆς ἀσπίδος, εὐθὺς ἐν ἀρχῇ τῆς βασιλείας τοῦ Φιλαδέλφου! Ἐκ δὲ ταύτης τῆς ψευδοῦς ὑπολήψεως ὁ Βοδέριος ἀνέπλαττε καὶ σύγχυσιν Δημητρίων καὶ Πτολεμαίων παρὰ τῷ Ἀριστέᾳ. Οὕτω πάντοτε καὶ πανταχοῦ « *Μήτηρ ψευδοσύνη ψεύδεα τέκνα τεκνοῖ* »! Ἔπειτα καὶ ἄλλως ἀνοίκειον ἔβλεπεν εἰς τὸν περιφανέστατον Φαληρέα τὴν ἐπὶ τῆς βιβλιοθήκης ἐπιστασίαν, διότι μήτε ταύτης ἐξηκρίβου τὸ εἶδος, καὶ τὸ ἔργον ἔκρινεν ἴσως ἀπὸ τῆς καταστάσεως τῶν αὐτῷ συγχρόνων φυλάκων μικρῶν τινων βιβλιοθηκῶν, συμφύρων τὰ ἤθη τοῦ καιροῦ καὶ τοῦ τόπου καθ᾽ ὃν ἔζη, πρὸς τὰ τῶν παλαιῶν, καὶ τούτων Ἑλλήνων. (Οὕτως ἄλλοι πάλιν τῶν νεωτέρων κριτικῶν καὶ αὐτὰς τὰς Ὁμηρικὰς ἐκφράσεις καὶ παραβολὰς ἀγροίκους εὕρηκαν πολλάκις καὶ σκαιὰς, ἢ ὠμὰς καὶ ἀπανθρώπους, ὡς πρὸς τῶν κατ᾽ αὐτοὺς ἐθίμων τὴν εὔχαριν ἀστυκότητα!). Ἀλλὰ καὶ περὶ τούτου καὶ περὶ τῆς γραμματικῆς ἐπωνυμίας, ἐξ ἧς ὁ Τερτυλλιανὸς προσηγόρευσε τὸν Δημήτριον, ἀπαν-

(α) « J. à Woweren Juvenis mihi propter mores et eruditionem carissimus ». J. Scaliger. de Emend. Tempor. L. V. p. 453.

(ϐ) Wower. Syntagm. p. 36 sq.

τῶμεν εἰδικώτερον ἐφεξῆς, ἀνακρίνοντες τὰς σφοδροτέρας περὶ τῶν αὐτῶν ἐπαναλήψεις τοῦ Ὀδίου.

§. ιϐ. Οὗτος τοίνυν ὁ σοφὸς ἀνὴρ ἠπατήθη πολλαχῶς.

Α) Διότι τὴν ἐν Ἀλεξανδρείᾳ κατάστασιν τοῦ πρόσφυγος Φαληρέως ἔκρινε παραϐάλλων πρὸς τὴν Ἀθήνησι προτέραν εὐδαιμονίαν αὐτοῦ καὶ δόξαν (βλ. ὄπισθ. §. ϐ), μηδόλως διαστέλλων μήτε τόπου, μήτε χρόνου, μήτε τύχης μεταϐολήν. Ὑπέμνησε τὸν Ὄδιον Οὐόσσιος εὐφυέστατα τὸ « *Διονύσιος ἐν Κορίνθῳ* » (§. ε), γραμματοδιδάσκαλος ἀποϐὰς, ὁ πρώην μέγας μονάρχης, « *παισὶ Κορινθίων βῆτα καὶ ἄλφα λέγων* » (ἐν ἐπιγράμ.). Ἀλλ᾽ ὁ Ὄδιος οὐκ ἀπεδέξατο παρομοίως καὶ ἐπὶ τοῦ Φαληρέως περιστραφέντα τὸν ἄστατον τοῦ βίου τροχόν· οὐδ᾽ ἠνέσχετο παντάπασιν ἵνα καὶ οὗτος, ἐκπεσὼν τῆς πατρίδος καὶ τῆς ἀρχῆς, ἀποϐῇ ἐπὶ τῆς ξένης, εἰ καὶ μὴ *γραμματιστὴς*, ὡς ὁ Διονύσιος ἐν Κορίνθῳ (ὃν καὶ Φίλων ἐμνημόνευσεν, ὡς παράδειγμα τῆς τῶν ἀνθρωπίνων πραγμάτων ἀγχιστρόφου μεταϐολῆς) (α), ἀλλὰ κἂν *γραμματικὸς*, τουτέστι βιϐλιοφύλαξ (ὡς ἐξήγησεν Ὄδιος τὸ παρὰ τῷ Τζέτζῃ *γραμματικός!* ἀνωτέρω §. ϛ. σημ.). Ἀποδείκνυσι δὲ τὸ τοῦ πράγματος ἀδύνατον ἐκ δύω μάλιστα ἰσχυρῶν ἐπιχειρημάτων· πρῶτον, ἐξ ἧς ἀπήλαυεν ὁ Φαληρεὺς εὐνοίας τοῦ Σωτῆρος, *ἐν ἀφθόνοις διάγων, καὶ τῶν φίλων πρῶτος καὶ σύμβουλος τῷ βασιλεῖ διατελῶν.* Ἐκ δὲ τούτων ἐξήλεγξε καὶ τὸ παράδειγμα τοῦ τυράννου τῆς Σικελίας, ὡς ἀτόπως δῆθεν καὶ μὴ πρὸς ἔπος ὑπὸ τοῦ Οὐοσσίου παραϐληθέν· Ἀλλ᾽ ἐκεῖνος μὲν ὁ γηραιὸς ἐπιτροχάδην ἀπαντῶν πρὸς τὴν οὕτως ὑπὸ τοῦ κριτικοῦ τετραγῳδημένην, ὡς ἀπίστευτον καὶ γελοίαν, ἀπ᾽ ἄρχοντος τῶν Ἀθηνῶν εἰς ἐπιστάτην βιϐλιοθήκης

(α) « Ἀρχαὶ βασιλέων καθῃρέθησαν. — Ἐγγυᾶταί μου τὸν λόγον Διονύσιος ὁ ἐν Κορίνθῳ, ὃς Σικελίας μὲν τύραννος ἦν, ἐκπεσὼν δὲ τῆς ἡγεμονείας, εἰς Κόρινθον καταφεύγει, καὶ γραμματιστὴς ὁ τοσοῦτος ἡγεμὼν γίνεται » (Φίλ. ἐν βίῳ πολιτ. ἢ περὶ Ἰωσὴφ §. 23). πρϐλ. Διόδωρ. ιϛ. 137: Αἰλιαν. Π. ἱστ. ϛ. 12. — καὶ Δημήτριος (εἴτ᾽ αὐτὸς οὗτος ὁ Φαληρεὺς, εἴτε καὶ μᾶλλον ὁ Ἀλεξανδρινὸς, εἰς ὃν τινες ἀποδίδουσι τὸ π ε ρ ὶ Ἑ ρ μ η ν ε ί α ς, §. 252). « Πτωχεύει ἐν Κορίνθῳ Διονύσιος, διδάσκων γράμματα » κτλ.

τοῦ Δημητρίου μεταβολὴν, ἀπέδειξεν αὐτὴν καὶ λίαν πιστευτὴν καὶ δυνατὴν, μνημονεύσας ἐκ τῆς ἱστορίας ἄλλην παρομοίου καὶ πολὺ μείζονος ἡγεμόνος, τοῦ Διονυσίου, πολὺ χείρονα, διὸ καὶ τῆς τοῦ Φαληρέως παραδοξοτέραν μεταβολήν. Οὗτος μὲν γὰρ ἐκπεσὼν τῶν Ἀθηνῶν, κατέστη τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης ἐπιμελητὴς, ἐν ἀφθόνοις διάγων καὶ τιμώμενος παρὰ τοῖς Πτολεμαίοις. Ὁ δὲ Διονύσιος ἀπὸ τοσούτου μονάρχου, δι᾽ ὅλων 24, ἐτῶν κρατήσας τῆς Σικελίας, ἐπτώχευεν ἐν Κορίνθῳ, διάγων ἄτιμος καὶ πειναλέος γραμματιστής. Ταῦτα συντόμως ἅμα καὶ μουσικῶς ἐξέφρασεν Οὐόσσιος ἐν ὀλίγοις εἰπὼν, « ἧττον εἶναι θαυμαστὸν τὸ τοῦ Φαληρέως, ἢ τὸ τοῦ Σικελίας τυράννου Διονυσίου ». Ὁ δὲ κλεινὸς Ὅδιος καὶ ταῦτα διέστρεψεν. Ἀλλὰ τίς εἶπε πρὸς τὸν ἄνδρα τὸν σοφὸν, ὅτι κατεστάθη καὶ ὁ Δημήτριος ἐπὶ τῆς βιβλιοθήκης, ὅπως ἀπὸ τούτου πορίζηται τὰ πρὸς τὸ ζῆν, ὡς ἂν ταλαίπωρός τις γραμματοκύφων, λιμοκτονῶν ἐν τοῖς τοῦ Σωτῆρος ἀνακτόροις, ὡς ὁ Διονύσιος ἐν Κορίνθῳ; Μὴ γὰρ ἐπέλειπον δι᾽ αὐτὸν αἱ τοῦ Μουσείου συντάξεις; καὶ αἱ πρὸς πάντας τοὺς ἐπισήμους σοφοὺς βασιλικαὶ μεγαλοδωρίαι; ἢ μήπως πάλιν ὁ τῶν βασιλοπαίδων τοῦ Σωτῆρος διδάσκαλος καὶ τῆς βιβλιοθήκης φροντιστὴς Ζηνόδοτος ἀπήλαυεν ὀλίγης ἀφθονίας καὶ φιλίας καὶ τιμῆς παρὰ τῷ φιλομούσῳ βασιλεῖ; Παρομοίως καὶ ὁ Φαληρεὺς ἠδύνατο καὶ *πρῶτος εἶναι τῶν εὐδαιμόνων τοῦ Πτολεμαίου φίλων*, καὶ τῆς βιβλιοθήκης ἐπιστατεῖν.

Ἔπειτα, καὶ ἄλλο ἐπιχείρημα παρενέπλεξεν Ὅδιος ἀπὸ τῆς μεγαλοφροσύνης τοῦ Φαληρέως, δι᾽ ἣν οὐκ ἄν ποτε (λέγει) κατεδέξατο τοιαύτην ἐπαγγελίαν εὐτελῆ, καὶ ὡς πρὸς αὐτὸν, ἀτιμαστικήν (§. ε.)· καὶ τοιαύτην ἀποδείκνυσι τὴν τῆς βιβλιοθήκης ἐπιστασίαν, διότι παρεδίδοτο συνήθως ἀνθρώποις γραμματικοῖς! ἀλλὰ περὶ τούτου τοῦ γραμματικισμοῦ λέγομεν εὐθὺς παρακατιόντες. Ὁ δὲ κριτικὸς πανηγυρίζων τὴν βασιλικὴν τοῦ Φαληρέως μεγαλοφροσύνην, ἐμνημόνευσεν ὡς λαμπρὰν αὐτῆς ἀπόδειξιν καὶ τὴν περὶ τὰς δαπάνας πολυτέλειαν. Ἀλλὰ ταύτην πρῶτον μὲν,

μεταξὺ πολλῶν καὶ ἄλλων διαβολῶν ἱστόρησαν ὅ,τε Σάμιος Δοῦρις, πολλὰ καὶ ἄλλα τῶν Ἀθηναίων καταψευσάμενος (Πλούτ. Περικλ. §. κη), καὶ Καρύστιος ὁ Περγαμηνὸς, ἐκτραγῳδήσαντες τὰ πλεῖστα ἐξεπίτηδες ἐπὶ ψόγῳ τοῦ Δημητρίου. Τὰ δ' αὐτὰ καὶ αὐτὸς ὁ εὔγλωττος Βανδάλης παρετραύλισεν, ἀποδεικνύων καὶ οὗτος ἐξ αὐτῶν τὴν κακοήθειαν καὶ μοχθηρίαν τοῦ Φαληρέως! (α). Ἔπειτα καὶ ἄλλως, εἴπερ ὁ Δημήτριος (ὡς λέγουσιν) « ἐτέλει θοίνας καθ' ἑκάστην λαμπρὰς, πλῆθος ἔχων συνδείπνων, καὶ ῥάσματα μύρων ῥαίνων κατὰ γῆς, καὶ τὰ ἐδάφη τῶν οἰκημάτων διηνθισμένα κατασκευάζων, καὶ μάγειρα Μοσχίωνα τὸν ἄριστον τῶν τότε μαγείρων ἔχων ἐωνημένον, » (διότι καὶ τοῦτον ἡ τοῦ Δημητρίου λαμπρότης κατέστησεν ὀνομαστὸν εἰς τὴν ἱστορίαν), « ὅστις μόνον ἐξ ὧν αὐτῷ ὁ Δημήτριος ἐχαρίσατο λειψάνων τῶν καθημερινῶν τραπεζῶν ἠγόρασεν ἐν ἔτεσι δύο τρεῖς συνοικίας » (Ἀθήν. ιϐ, 542), ταῦτα, λέγομεν, καὶ τὰ τοιαῦτα τρυφερὸν μὲν καὶ φιλήδονον καὶ συβαριτικὸν ἐμφαίνουσιν ἦθος, καὶ βίου ὑγρότητα (ἵνα μὴ λέγωμεν ἀσωτίαν)· σὺ δ' ἂν θέλῃς, πρόσθες καὶ φαντασίαν ἀρχοντικὴν, καὶ λαμπρότητα μεγαλόδοξον, καὶ προσέτι δημαγωγικὴν Ἀλκιβιάδειον φιλοτιμίαν, ἀλλ' οὐχὶ καὶ μεγαλοφροσύνην ἀληθινήν. Ὁ Ἀλκιβιάδης Ὀλύμπια νικήσας, εἱστίασεν ἅπασαν ἐκείνην τὴν μυριοπληθῆ πανήγυριν. Ὡσαύτως καί τις ἄλλος Λεόφρων, καὶ αὐτὸς Ὀλυμπιονίκης· ἄλλος δέ τις ἄλλους τινάς· ὁ δὲ μέγας Ἀλέξανδρος καὶ πάντας Ἀθηναίους (ϐ). Ἀλλὰ τίς ἐκ τούτων ἐπῄνεσε τοὺς ἄνδρας ὡς μεγαλόφρονας καὶ μεγαλοφυεῖς; εἰ δέ τις τὰ τοιαῦτα θαυμάζει, θαυμαζέτω λοιπὸν ὡς δείγματα βασιλικῆς μεγαλοφροσύνης καὶ τὰ τῶν Λευκούλλων πολυτάλαντα καὶ πολυανθρωπότατα δεῖπνα, καὶ Μήδων καὶ Περσῶν τὴν *πολύχρυσον χλιδὴν*, καὶ τὸ

(α) Van Dale Diss. c. 3. p. 21. — Ἀλλ' ἴδε καὶ τὴν ὑπὸ τοῦ σοφοῦ Βοναμῦ μετὰ κρίσεως συγγραφεῖσαν Βιογραφίαν τοῦ Φαληρέως, in Memoir. de l'Academ. des Inscript. T. VIII. p. 157. sqq.

(ϐ) Σουΐδ. λ. Ἀθήναιος. « Καὶ Χάρης δὲ ὁ Ἀθηναῖος (ἀφ' ὧν ἔλαβε διὰ Λυσάνδρου 60 ταλάντων) ἐδείπνησεν Ἀθηναίους ἐν τῇ ἀγορᾷ ». Ἀθήν. ΙΒ. 532.

πίνειν παρ' ἐκείνοις « ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων ἄκρατον οἶνον ἡδύν ».

« Οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους,
Τοὺς πλεῖστα δυναμένους καταφαγεῖν καὶ πιεῖν » (Ἀριστοφ. Ἀχαρν. 74—77).

Ἀλλ' ὁ Κίμων ὁ Ἀθηναῖος « δεῖπνον παρεσκεύαζεν ἀεὶ εὐτελὲς, τοὺς ἀπόρους τῶν Ἀθηναίων εἰσιόντας δειπνίζων » (Ἀθήν. ΙΒ. 533). Ὁ δὲ τῶν Ἀθηναίων στρατηγὸς Τιμόθεος, ἀποῤῥίψας τὰ δεῖπνα τὰ πολυτελῆ καὶ τὰς στρατηγικὰς ἑστιάσεις ἐκείνας (ὁποίας καὶ αὐτός ποτε φορτικῶς ἐπεδείκνυτο), πολὺ προτιμοτέραν ἔκρινε τὴν τράπεζαν τοῦ Πλάτωνος, « ἀφελῶς ἅμα καὶ μουσικῶς παρ' αὐτῷ ἑστιαθείς» (α). Σφόδρα περιττοὶ γινόμεθα καὶ ὀχληροὶ, συνείροντες τὰ τοιαῦτα· ἀλλ' Ὅδιος αἴτιος! ὅστις καὶ τὴν ἐν Ἀθήναις λεγομένην ἁβροδίαιτον τοῦ Φαληρέως πολυτέλειαν ἀπέδειξεν ἡμῖν ὡς τεκμήριον τῆς αὐτοῦ μεγαλοφροσύνης, δι' ἣν οὐκ ἄν ποτε κατεδέξατο τὴν ἐπιστασίαν τῆς ἐν *Ἀλεξανδρείᾳ* βιβλιοθήκης! Ἀλλὰ διὰ μὲν τοιαύτην ἀσωτίαν (εἴπερ ἦν ἔνοχος ὁ Φαληρεὺς) ἐπέπληξαν ἂν αὐτὸν ἐν Ἀθήναις οἱ Ἀρεοπαγῖται· καθὼς ὕστερον καὶ τὸν ἀπόγονον αὐτοῦ καὶ ὁμώνυμον Δημήτριον, « κελεύσαντες αὐτὸν *βέλτιον ζῆν* » (Ἀθήν. δ, 167). Ὁ δὲ κριτικὸς παρὰ τὰς λαμπρὰς, ἃς ἐμνημόνευσε, καὶ σολοίκους ἐκείνας καὶ συβαρίτιδας θοίνας, εἶχεν (εἴπερ ἤθελεν εἰπεῖν) ἄλλα πολὺ λαμπρότερα καὶ ἀληθέστερα δείγματα τῆς μεγαλοφυΐας τοῦ φιλοσόφου τῶν Ἀθηναίων ἄρχοντος, καὶ περικλεοῦς ἐπίσης καὶ νομοθέτου καὶ ῥήτορος καὶ *γραμματικοῦ*· ὁποῖα κἀκεῖνα. Ὅτι κατασταθεὶς ὑπὸ Κασσάνδρου ἐπιστάτης τῶν Ἀθηναίων, « *οὐ μόνον οὐ κατέλυσε τὴν δημοκρατίαν, ἀλλὰ καὶ ἐπηνώρθωσε* » (Στράβ. Θ, 398)· καὶ ὅτι « πολλὰ καὶ τὰ κάλλιστα τῇ πατρίδι ἐπολιτεύσατο· καὶ γὰρ *προσόδοις καὶ κατασκευαῖς ηὔξησε τὴν πόλιν* » (Λαέρτ. Ε, ε, 2) κτλ. Ἀλλὰ καὶ τῶν τετυφωμένων εὕρισκε τὴν θεραπείαν. Καὶ τοὺς νέους ἐνουθέτει τὴν αἰδῶ πανταχοῦ ἀχώριστον περιφέρειν (Λαέρτ.). Καὶ τοὺς πλεονέκτας χαριέντως καὶ

(α) Αἰλιαν. Π. ἱστορ. Β. 18. — Ἀθήν. Ι, 419.

κομψῶς ἐπέσκωπτε λέγων· « Οὕτω συντόνως ὀρύττειν (ἐν μεταλλείαις), ὡς ἂν προσδοκῶντας αὐτὸν ἀνάξειν τὸν Πλούτωνα » (Στράβ. γ, 147). Καὶ ὅτι « πολλάκις καταναλώσαντες τὰ φανερὰ τῶν ἀδήλων ἕνεκα, ἃ μὲν ἔμελλον, οὐκ ἔλαβον, ἃ δ᾽ εἶχον, ἀπέβαλλον· ὥσπερ αἰνίγματος τρόπον ἀτυχοῦντες » (α). Ἄλλα μεγαλόφρονα τοῦ Φαληρέως παραλείπομεν, ἐν οἷς καὶ ἡ περὶ τῶν καταστραφέντων ἀνδριάντων ἀπόκρισις, ἣν καὶ Ὅδιος ἀνέφερε παράλληλον πρὸς τὰς θοίνας τὰς λαμπράς!

Κἀκεῖνο δὲ προστίθησι παράλογον ὁ κριτικός· ὅτι διὰ τὴν τοιαύτην μεγαλοφροσύνην ὁ Φαληρεὺς, ἀφεὶς τὸν Πτολεμαῖον (ἐπὶ τὴν ἄδοξον τῆς βιβλιοθήκης ἐπιστασίαν καλοῦντα), πρὸς ἄλλους ἂν ἀπήρχετο βασιλεῖς, λίαν ἀσπαστὸς καὶ ἀποδεκτός (§. ε). Ὢ! καλὴν, μὰ τὴν ἀλήθειαν, ὑψηλόνοιαν καὶ μεγαλοψυχίαν ἐπεδείκνυτ᾽ ἂν ὁ φιλόσοφος οὗτος, εἴπερ, ἀπολιπὼν τὴν εἰς ἣν κατέφυγε, καὶ διέτριψε πολυετῶς, καὶ τοσοῦτον εὐημέρησεν, εὐεργετικωτάτην οἰκίαν τῶν Πτολεμαίων, ταύτην λέγω τὴν οἰκίαν ἀπολακτίσας (καὶ ταῦτα, δι᾽ ὑπουργίαν μάλιστα πρέπουσαν εἰς ἄνδρα φιλολόγον καὶ φιλόσοφον), ἔπειτα, παρῆλιξ ἤδη, καὶ προβεβηκὼς, περιήρχετο κρούων θύρας ἄλλων βασιλέων, ὡς ῥακένδυτος θυρεπανοίκτης, δοξοκοπίᾳ βουλιμιῶν, καὶ ἐπαιτῶν εὐνοίας καὶ τιμὰς, αἵτινες ἂν κατῄσχυνον τὴν εὐγένειαν καὶ τὸ κλέος τῆς Ἀθήνῃσιν αὐτοῦ πολιτείας! Ὁ πρῴην δι᾽ ὅλης δεκαετίας κυβερνήσας τὴν πόλιν, καὶ τ᾽ ὄνομα μὲν *ἐπιστάτης*, ἢ *ἐπιμελητὴς* αὐτῆς καὶ δημαγωγὸς, τὸ δὲ πρᾶγμα γενόμενος *βασιλεὺς* καὶ φύλαξ τῆς δημοκρατίας, ἄξια γ᾽ ἂν ἔπραττε τοῦ τε βήματος τοῦ Ἀττικοῦ, καὶ τῶν τοσούτων δι᾽ αὐτὸν ἐκκλησιῶν, καὶ ψηφισμάτων, καὶ στεφάνων, καὶ αὐτῆς τῆς τριακοσιοστύος τῶν ἀνδριάντων, εἰ μετὰ πολλὰς θωπείας καὶ περιδρομὰς ὠνομάζετο, τέλος, ἔπαρχος βαρβάρου τινὸς χώρας, τιμηθεὶς ὑπὸ Λυσιμάχου, ἢ

(α) Ἀθήν. ϛ. 233. Τὸ δὲ *αἰνίγματος τρόπον* εἶπεν ὁ Φαληρεὺς, ἐξ ἐκείνης τῆς τῶν φθειριζομένων ἁλιέων πρὸς τὸν Ὅμηρον αἰνιγματώδους ἀποκρίσεως. « Ἅσσ᾽ ἕλομεν, λιπόμεσθα· ἃ δ᾽ οὐχ ἕλομεν, φερόμεσθα ». Ἡρόδ. ἐν βίῳ Ὁμήρ. καὶ Schweigh. Animadv. εἰς Ἀθήν. τ. 3. σελ. 349.

Σελεύκου, ἢ ἄλλου τινὸς τῶν μήτε πεπαιδευμένων, μήτε φιλομούσων, κατὰ τοὺς Πτολεμαίους, συχνάκις δὲ καὶ πρὸς ἀλλήλους διαπληκτιζομένων διαδόχων τοῦ Ἀλεξάνδρου! Ἄτοπα τὰ τοιαῦτα πιθανουργοῦνται περὶ τῆς δῆθεν μεγαλοφροσύνης τοῦ Φαληρέως· πᾶν δὲ μάλιστα τοὐναντίον, καὶ λίαν αὐτὸν ἀσύνετον καὶ μικρόψυχον παριστῶσιν· εἴ γε διὰ μειρακιώδη φιλοτιμίαν ὀργισθεὶς πρὸς φίλον βασιλέα, ἄλλων ἡγεμόνων ἐθήρευεν εὐνοίας. Ὅστις καὶ πρὸς αὐτοὺς αὐτοῦ τοὺς συμπολίτας, οὕτως ἀχαριστήσαντας, τοσαύτην ἐπεδείκνυε μεγαλοψυχίαν, ὥστε καὶ φυγὰς ὢν ἐν Αἰγύπτῳ « δωρεὰς αὐτοῖς πέμπειν » (Πλούτ.). Ἔπειτα, κἂν θῶμεν ὅτι παρεξέπιπτεν εἰς τοσαύτην κενοδοξίας μικροφροσύνην, ἐκτυφωθεὶς, καὶ τὴν αἰδῶ τῆς προτέρας εὐκλείας καὶ τὸ μέγεθος τοῦ φρονήματος ἀπολέσας, ταχέως ἂν ἐξήγειρον αὐτὸν πάλιν πολλοὶ τῶν ἐν Ἀλεξανδρείᾳ φιλοσόφων αὐτοῦ φίλων, ὑπενθυμίζοντες τὸ καλὸν αὐτοῦ γνωμικὸν, καὶ κατασπῶντες ἐπαιρομένας τὰς ὀφρῦς, « *ὡς ἐπισκοτούσας τῷ βίῳ* » (α). Καὶ τοῦτο δ' ἄν τις ὑπολάβοι δικαίως· ὅτι ὁ ἐπὶ πολιτικῇ συνέσει θαυμαστὸς καὶ πολύπειρος Δημήτριος οὐ μόνον ἐπὶ ξένης οὐδέποτ' ἐζήλωσε τοιαύτας τιμὰς, ἀλλὰ καὶ εἰς αὐτὰς τὰς χρυσᾶς Ἀθήνας εἴγε πάλιν ὡς ἄρχων μετεκαλεῖτο, μνημονεύων μετὰ τῆς εὐκλείας καὶ τοὺς χαλεποὺς καὶ θορυβώδεις περισπασμοὺς καὶ κινδύνους τῆς πολιτείας, εἶπεν ἂν καὶ αὐτὸς τὸ τοῦ Θεμιστοκλέους· ὅτι « Εἴ μοί τις ὁδοὺς δύο δείξειε, τὴν μὲν εἰς ᾅδου φέρουσαν, τὴν δ' ἐπὶ τὸ βῆμα, ἥδιον ἂν τὴν ἑτέραν ἦλθον, τὴν εὐθὺ τοῦ ᾅδου » (β). Ὁ δ' αὐτὸς Θεμιστοκλῆς παρὰ τοῖς Πέρσαις φυγὰς διατρίβων, οὔτε σατραπείας τινὰς ἐζήτει καὶ παραδυναστείας, οὔτε *κίδαριν φορεῖν ὀρθὴν*, ἀλλ' ἰδιώτευεν, εὐλαβούμενος τὸν φθόνον, καὶ *ἀγαπῶν εἰς*

(α) « Ἔλεγεν (ὁ Φαληρεὺς) μὴ μικρὸν εἶναι μέρος τὰς ὀφρῦς, ὅλῳ γοῦν ἐπισκοτῆσαι δύνασθαι τῷ βίῳ » (παρὰ Λαερτ. Ε. ε §. 10). Ὁ δὲ Μενάγιος (observat. ib.) ὀρθότερον νομίζει γραπτέον, « μικρὸν μὲν μέρος », ἢ ἁπλῶς « μικρὸν μέρος εἶναι τὰς ὀφρῦς, ὅλῳ δ' ἐπισκοτεῖν » κτλ. ἀλλὰ μετὰ τοῦ μὴ φαίνεται δριμύτερον.

(β) Αἰλιαν. Π. ἱστορ. Θ. 18. Τοιαῦτά τινα καὶ τὸν Δημοσθένην εἰπόντα ἱστόρησεν ὁ Πλούταρχος ἐν βίῳ Δημοσθέν. §. κς.

ἃς ἐκαρποῦτο μεγάλας δωρεὰς καὶ τιμάς (Πλουτ. Θεμιστοκλ.). Πολὺ γ᾽ ἂν μᾶλλον ὁ Φαληρεὺς προῃρεῖτο τὸν παρὰ τοῖς φιλομούσοις Πτολεμαίοις ἀκίνδυνον καὶ φιλόσοφον βίον, ἀποφεύγων πᾶσαν δοξοθηρίαν πολιτικήν. Οὕτω δὲ καὶ ἄλλοι τῶν Ἀθηναίων ἔνδοξοι στρατηγοὶ, καίτοι μὴ φυγάδες, κατεβίουν ὅμως ἔξω τῆς πόλεως ἑκουσίως ἰδιωτεύοντες, ἄλλοι ἀλλαχοῦ, καὶ Χαβρίας ἐν αὐτῇ κἀκεῖνος τῇ Αἰγύπτῳ (α). Εἰ δὲ καὶ παρωργίζετο πρὸς αὐτὸν ὁ Φιλάδελφος, ὡς ὑπέθετο διλημματίζων ὁ Ὅδιος (§. ε) (ἐπειδὴ κατεδικάσθημεν διαδραμεῖν ὅλους τοῦ κριτικοῦ τοὺς ὀνείρους), πάλιν ἠδύνατο φιλοσόφως ὁ Φαληρεὺς ὑπομεῖναι, πραΰνων τὸν φιλοτιμότατον βασιλέα, καὶ στέγων καὶ αὐτὴν τὴν (κατὰ τὸν Ὅδιον) φαύλην μὲν, ἀλλ᾽ ὅμως (ὡς οὐδ᾽ ἂν αὐτὸς ἀρνηθείη) μουσοφιλῆ τῆς βιβλιοθήκης ἐπιστασίαν πολὺ πάντως προθυμότερον, ἢ ὅσον ὁ μέγας ἐκεῖνος Θεμιστοκλῆς, τὸν βάρβαρον Πέρσην ἐξημερῶν, ὑπέμεινε καὶ αὐτὴν τὴν πρὸς αὐτὸν βαρβαρικὴν προσκύνησιν (Πλούτ. Θεμιστ.). Ὡς δὲ, τέλος, οὗτος οὐκ ἠνέσχετο προδοῦναι τὴν πρὸς τὸν εὐεργέτην εὐγνωμοσύνην· ὡσαύτως καὶ ὁ Φαληρεὺς οὐκ ἄν ποτε κατεδέξατο ἀγνώμων καὶ ἀχάριστος (καὶ ταῦτα χωρὶς ἀνάγκης) ἀποβῆναι, τὸν εὐεργέτην βασιλέα προδούς. Ἐγγυᾶται δέ μου τὸν λόγον αὐτὸς πάλιν ὁ Δημήτριος, συμμαρτυροῦντος καὶ τοῦ Ὁδίου. Ὀκταετίαν, ἢ δεκαετίαν ὅλην (ὡς Ὅδιος διατείνεται) παρέμεινεν ὁ Φαληρεὺς παρὰ τῷ βασιλεῖ Κασσάνδρῳ, φυγὰς εἰς τὰς Θήβας διασωθεὶς ἐκ τῶν Ἀθηνῶν. Πῶς ἆρα διῆγε παρ᾽ αὐτῷ δι᾽ ὅλων τῶν ἐτῶν τούτων; ποίαν ἀξίαν ἢ δύναμιν καὶ ἐξουσίαν πολιτικὴν, ποῖον καὶ μικρὸν ἀντάλλαγμα τῆς Ἀθήνησι λαμπρότητος ἀνταπέδωκεν ὁ φίλος αὐτῷ Κάσσανδρος; Οὐδὲ ἕν. Καὶ ἐφιλοξένει μὲν ἐξάπαντος τὸν πρόσφυγα, βασιλικῶς ἐπιμελούμενος καὶ θεραπεύων, καὶ συμβούλῳ πολλάκις ἐχρῆτο, καὶ πρεσβευτὴν ἀπέστειλεν (ὡς Ὅδιος ἠξίωσεν, ὄπισθ. σελ. 71). Καὶ συνερ-

---

(α) «Ἅπασιν (οἱ Ἀθηναῖοι) εἰσὶ χαλεποί· διὸ καὶ εἵλοντο αὐτῶν οἱ ἔνδοξοι ἔξω τῆς πόλεως καταβιοῦν. Ἰφικράτης μὲν ἐν Θράκῃ, Κόνων δ᾽ ἐν Κύπρῳ, Τιμόθεος δ᾽ ἐν Λέσβῳ, Χάρης δ᾽ ἐν Σιγείῳ, καὶ αὐτὸς ὁ Χαβρίας ἐν Αἰγύπτῳ». Θεόπομπ. παρ᾽ Ἀθην. ΙΒ. 532.

ῥαψῴδει δὲ πάντως μετ' αὐτοῦ τὸν Ὅμηρον ὁ Κάσσανδρος, « οὕτω φιλόμηρος ὤν, ὡς διὰ στόματος ἔχειν τῶν ἐπῶν τὰ πολλά » (Ἀθήν. ιδ 620). Καὶ συνέποχον ἴσως ἐπὶ τοῦ ἅρματος πολλάκις ἔσχε τιμῶν. Οὕτω καὶ Διονύσιος ὁ τύραννος ἐτίμησε τὸν Πλάτωνα, ὅτε τὸ πρῶτον ἦλθεν εἰς Σικελίαν, αὐτὸς μὲν ἡνιοχῶν, ὁ Διονύσιος, τὸν δὲ φιλόσοφον ἔχων ἐπὶ τοῦ ἅρματος παραβάτην. Καί τις ἴσως τῶν φιλομούσων Θηβαίων, βλέπων τὸν Δημήτριον καὶ Κάσσανδρον ἐπὶ τοῦ αὐτοῦ ἅρματος, ἐχάρη τε καὶ εἶπεν ὅ,τι παρῴδησεν ὁμηρίζων εὐφυῶς καὶ ὁ Συρακούσιος ἐκεῖνος περὶ Διονυσίου καὶ τοῦ Πλάτωνος·

— « Μέγα δ' ἔβραχε φήγινος ἄξων
Βρισθοσύνη· δεινὸν γὰρ ἄγεν βροτόν, ἄνδρα τ' ἄριστον » (Αἰλιαν. Π. ἱστ. Δ, 18).

Ἀλλὰ τί ἦσαν (εἴπερ ἦσαν καὶ ὅλως) τὰ τοιαῦτα φιλοφρονήματα πρὸς τὸν ἔκπτωτον καὶ τῆς ἀρχῆς καὶ τῆς πατρίδος, καὶ ξένον εἰς τὰς Θήβας, καὶ πλάνητα Δημήτριον; Ποσάκις ἴσως ᾤκτειρον αὐτὸν αὐτοὶ πάλιν οἱ Θηβαῖοι, βλέποντες ἰδιώτην καὶ τῆς προτέρας δόξης ἔρημον· ὡς ἠλέουν καὶ τὸν ὁμώνυμον αὐτοῦ Δημήτριον τὸν Πολιορκητὴν, ὁπότε κἀκεῖνος μετὰ ταῦτα τῆς βασιλείας ἐκπεσὼν, ἦλθεν εἰς τὰς Θήβας ἰδιώτης, καὶ πλανώμενος « *παρὰ νάματα Δίρκης, Ἰσμηνοῦ θ' ὕδωρ* » (Πλουτ. Δημητ. §. με.). Ἀλλὰ καὶ αὐτὸς ὁ Κάσσανδρος πιεζόμενος τότε συχνάκις ἐκ τῶν πολέμων τοῦ Πολιορκητοῦ, καὶ παρεῖδεν ἴσως κἄποτε τὸν ἐπεξενωμένον φίλον, ἀμελήσας ὑπ' ἀσχολίας, πολὺ πλέον εὐκολώτερον, ἢ ὁ μέγας Περικλῆς τὸν ἑαυτοῦ διδάσκαλον Ἀναξαγόραν (Πλουτ. Περικλ. §. ις).

§. ιδ. « *Καὶ διῆγε* λοιπὸν *ἐν Θήβαις* ὁ Φαληρεὺς « *ἀδοξῶν, καὶ ταπεινὰ πράττων* » (βλ. ὄπισθ. σελ. 70), καὶ πενόμενος δὲ, ἴσως, καὶ ἀγαπῶν φιλόσοφον πενίαν (ἀφ' ἧς πρῴην ἐν τοῖς αὐτοῦ συγγράμμασιν ἐφιλοτιμήθη καὶ τὸν Ἀριστείδην καὶ τὸν Σωκράτην αὐτὸν ἀπαλλάξαι, ὡς δῆθεν ἀπὸ μεγίστου κακοῦ, καθὼς εἶπε χαριέντως ὁ Πλούταρχος, Ἀριστείδ. §. α). Ἀπεδέχετο δὲ καὶ τὸν φίλον Κράτητα παραμυθοῦντα (α), καὶ αὐτὸς ἑαυτὸν παρεμύθει, φέρων

(α) Πλούταρχ. πῶς ἄν τις διακρ. τὸν κόλ. τοῦ φίλου· σελ. 255. τόμ. ς. Reiske.

γενναίως τὴν τοῦ βίου μεταβολὴν, καὶ φιλοσοφῶν περὶ τὰς ὀξυῤῥόπους τῶν ἀνθρωπίνων πραγμάτων στροφὰς καὶ περιπετείας· ὥστε καὶ τοὺς Εὐριπίδου στίχους ἐκείνους

— — — — Μί' ἡμέρα
Τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω,

διώρθου σοφώτερον αὐτὸς ὁ Φαληρεὺς λέγων, ὅτι « βέλτιον ἂν εἶχεν, εἰ μὴ *μίαν ἡμέραν*, ἀλλὰ στιγμὴν εἶπε χρόνου » (α). Οὕτω δ' ἔχων ὁ Δημήτριος οὔτ' ἀπέλιπε ταχέως τὰς Θήβας καὶ τὴν Μακεδονίαν, ἀγανακτήσας, οὔτε πρὸς ἄλλους βασιλεῖς ἐπεφοίτησεν, ἀρχάς τινας καὶ τιμὰς καὶ δόξας θηρεύων, ἀλλὰ παρέμεινε καὶ μέχρι τῆς Κασσάνδρου τελευτῆς, καὶ μετέπειτα, παραμυθῶν τὴν χήραν αὐτοῦ, τὴν Θεσσαλονίκην, διὰ τὴν πρὸς τὸν Κάσσανδρον εὐγνωμοσύνην, ὡς αὐτὸς Ὅδιος διεβεβαίου ἐν τοῖς προηγουμένοις (Κεφ. Δ. §. ζ.). Καὶ κατὰ ταύτην ἄρα τὴν διάγνωσιν τοῦ κριτικοῦ, παρομοίως ἂν παρέμενεν ὁ Φαληρεὺς καὶ παρὰ τῷ Φιλαδέλφῳ, φέρων γενναίως τὴν τούτου (καθ' Ὅδιον) τραχύτητα, διὰ τὴν πρὸς τὸν πατέρα, τὸν Λαγίδην, εὐγνωμοσύνην, συνεργῶν δὲ προθύμως καὶ εἰς τὴν κοινωφελεστάτην τῶν βιβλίων συναγωγήν· ἀφ' ἧς πάντως καὶ τέρψιν ἐκαρποῦτο καὶ θυμηδίαν, οἵας ἐν Θήβαις ἐστέρητο. Εἰ δὲ καὶ μεταξὺ τῶν καλλίστων ἔργων τῆς Ἀθήνησιν αὐτοῦ πολιτείας ἀπαριθμεῖται κἀκεῖνο, ὅτι « *κατασκευαῖς ἐκόσμησε τὴν πόλιν* », πολὺ φιλοτιμότερον ἐσπούδασε καὶ περὶ τὴν ἐν Ἀλεξανδρείᾳ *κατασκευὴν τῆς βιβλιοθήκης*, φιλοσόφως ἅμα καὶ φιλανθρώπως συντελῶν εἰς τὴν αὔξησιν τοῦ καλλίστου τῶν ψυχῶν ἰατρείου καὶ παμπλούτου τῶν γνώσεων θησαυροῦ. Καὶ οὕτω κατεκόσμει τὴν Ἀλεξάνδρειαν, θαυμαζόμενος ἀπὸ τῆς σοφίας οὐχ ἧττον, ἢ πρώην ἀπὸ τῆς πολιτείας, ὁπότε μετὰ κλέους ἐκόσμει τὰς Ἀθήνας (β). Ἄδοξον ἔργον ἔκρινεν Ὅδιος τὴν ἐπὶ

(α) Πλούτ. *παραμ. π. Ἀπολλών. σελ.* 395: Τ. ς. Reisk.

(β) « Mediocriter doctos magnos in rep. viros, et doctissimos homines non nimis in rep. versatos, multos commemorare possumus; qui vero utraque re excelleret, ut et doctrinae studijs et regenda civitate princeps esset, quis facile praeter hunc (Demetrium Phalareum) inveniri potest? (Cicer. de Leg. L. III. c. 6). Ταύτην τὴν περὶ τοῦ Φαληρέως μαρτυρίαν τοῦ Κικέρωνος

τῶν βιβλιοθηκῶν ἐπιστασίαν τοῦ Φαληρέως! Ἀλλ' οὐκ ἂν ἔκρινε τοιοῦτο κἀκεῖνος ὁ τοῦ Φαληρέως συγγενὴς καὶ στρατηγὸς τῶν Ἀθηναίων Τιμόθεος· ὅστις, εἴ ποθεν, ἐξαίφνης ἐπιστὰς, ἔβλεπεν αὐτὸν περὶ τὰ κάλλιστα σπουδάζοντα καὶ διαλεγόμενον, εἶπεν ἂν καὶ περὶ αὐτοῦ, ὅ,τι καὶ περὶ τοῦ Πλάτωνος ἐπεφώνησεν (ὁπότε τοῦτον ἤκουσε μετὰ τῶν φίλων διαλεγόμενον οὐχὶ περὶ τριηρῶν καὶ φόρων καὶ συμμάχων, ἀλλ' ὑπὲρ ὧν εἴθιστο σπουδάζειν ὁ Πλάτων) « *ὦ τοῦ βίου, καὶ τῆς ὄντως εὐδαιμονίας* »! Οὕτως ὁ Τιμόθεος εὐδαιμονεστέραν ἔκρινε τὴν φιλόσοφον τοῦ Πλάτωνος σπουδὴν, παρ' ἣν εἶχεν αὐτὸς τότε παρὰ τοῖς Ἀθηναίοις εὔκλειαν καὶ τιμήν (Αἰλιαν. Π. ἱς. Β, 10). Πόσοι καὶ τὸν Δημήτριον παρομοίως εὐδαιμόνιζον, ἵλεων ὁρῶντες καὶ σεμνὸν ἀσχολούμενον μετὰ τῶν φίλων περὶ τὴν μουσομήτορα βιβλιοθήκην καὶ τὴν σύνοικον αὐτῷ φιλοσοφίαν, ἀφ' ἧς ἐθαυμάζετο τιμώμενος, καί τοι ξένος καὶ μετανάστης! Ὁ Φαληρεὺς ἐν Αἰγύπτῳ φυγὰς παροικῶν, ὡμοίαζε κάλλιστον ἀνδριάντα, ἐκτετοπισμένον ἀπὸ τῆς οἰκείας αὐτοῦ χώρας εἰς ξένην γῆν, ὅπου, καί τοι μὴ κατέχων τὴν προσήκουσαν διάταξιν καὶ θέσιν, ἐφ' ἧς τὸ πρῶτον ἱδρυθεὶς ὑπὸ τοῦ τεχνίτου ἀπήστραπτεν ὅλην τοῦ κάλλους τὴν τελειότητα, θαυμάζεται πάλιν ὅμως καὶ τιμᾶται, κατακοσμῶν κἀκεῖνον τὸν τόπον, εἰς ὃν μετετέθη. Τοιαύτην εἶδεν ὁ Θεμιστοκλῆς εἰς τὰς Σάρδεις θαυμαστὴν καὶ τιμίαν ἱδρυμένην ἐν τῷ τῆς Μητρὸς ἱερῷ, τὴν αἰχμάλωτον μετ' ἄλλων ἀναθημάτων ἐξ Ἀθηνῶν ὑπὸ τῶν Περσῶν ἀπαχθεῖσαν καλλίστην ἐκείνην *κόρην*, τὴν *ὑδροφόρον* καλουμένην, ἣν αὐτὸς εἶχε πρώην Ἀθήνησιν ἀνατεθειμένην· (ὅθεν καὶ παθὼν τὴν ψυχὴν πρὸς τὴν αἰχμαλωσίαν τοῦ ἀγάλματος, ἐζήτησε παρὰ τοῦ σατράπου τῆς Λυδίας τὴν εἰς Ἀθήνας πάλιν τῆς κόρης ἀποστολήν. Πλούταρχ. Θεμιστ. §. λα.).

μνημονεύει καὶ ὁ κλεινὸς Οὐαλκενῆρος, βραχυλόγως ἅμα καὶ καιρίως ἐξελέγχων καὶ αὐτὸς τὰς Ὀδιακὰς περὶ τὴν τοῦ Φαληρέως ἐπὶ τῶν βιβλιοθηκῶν ἐπιστασίαν ἀμφιβολίας καὶ δυσπιστίας· « Ὁ τοσαῦτα (λέγει) τῶν ἀρχαίων, ἀληθῆ τὰ πλεῖστα, μνημονεύσας περὶ τοῦ Φαληρέως, διὰ τί μὴ καὶ ταύτην ἐξήνεγκε τὴν μαρτυρίαν τοῦ Κικέρωνος; » κτλ. Valcken. de Aristobul. Jud. p. 56.

Τοιοῦτος καὶ καθ᾽ ἡμᾶς ὁ *Ἀπόλλων*, φυγαδευθείς ποτε καὶ αὐτὸς εἰς τὴν Ῥώμην ἐκ τῆς Ἑλλάδος, καὶ αὐτὴν τὴν ἐπωνυμίαν βαρβαρωθείς, ἀλλ᾽ ὅμως πάλιν καταλαμπρύνει τὸ ταμεῖον ἐκεῖνο, ἐν ᾧ ἵσταται μόνος, ὡς πανέξοχος τῶν ἄλλων τῶν μυρίων Ἑλληνικῶν ἀριστουργημάτων, ὅσα κατακοσμοῦσι τὰς ἀχανεῖς αἰθούσας τοῦ Βατικάνου, κινῶν τῶν ὁρώντων τὸ θάμβος, καὶ διδάσκων ἀκένωτα μαθήματα τοὺς ἀγαλματοποιούς. Καὶ ταῦτα μὲν ὁδοῦ πάρεργον. Ὁ δὲ Δημήτριος καὶ ψυχὴν φιλόσοφον, « *καὶ ῥίζας* (ὡς εἶπε περὶ αὐτοῦ Πλούταρχος ἐν τῷ περὶ Φυγῆς) « *καὶ ῥίζας ἔχων πανταχοῦ ζῆν τε καὶ τρέφεσθαι καὶ παντὶ τρόπῳ προσφύεσθαι δυναμένας* (*οἵας εἶχε καὶ Θεμιστοκλῆς, χορηγίᾳ βασιλικῇ* παρὰ τῷ Πέρσῃ *πρυτανευόμενος*), *διῆγε καὶ αὐτὸς ἐν ἀφθόνοις, καὶ τοῖς Ἀθηναίοις δωρεὰς ἔπεμπε* », τιμώμενος ὑπὸ τοῦ Λαγίδου τε καὶ τοῦ φιλαδέλφου· ἠγάπα δὲ πάλιν εὐχαρίστως καὶ εἰς τὴν εὐκλεεστάτην ἐπιμέλειαν τῆς βιβλιοθήκης (εἰς ἣν αὐτὸν συνήλασεν, ὡς ἂν εἰς ἐπονείδιστον ἔργον, ὁ κριτικός, γυμνώσας αὐτὸν ἀπὸ πάσης ἄλλης τιμῆς, ἀφ᾽ οὗ παρώξυνε κατ᾽ αὐτοῦ τὸν Φιλάδελφον· § ε᾽). Ἐν ταύτῃ τῇ τῶν βιβλίων συναγωγῇ καὶ αὐτὸς ὁ μέγας ἀνὴρ εὕρισκεν *ἄκος ψυχῆς*, ὁσάκις ἀνθρώπινα πάσχων, ἀνεπόλει καὶ τὰ τῆς ἀρχαίας τύχης, ξενοπαθῶν ἐνίοτε καὶ νοσταλγῶν πρὸς τὴν πατρίδα. Καὶ πολλὰ δὲ καὶ λαμπρότατα συνέγραφε κατ᾽ ἐκείνην τὴν (ἀπὸ τῶν πολιτευμάτων τῆς πατρίδος) ἡδεῖαν, ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ἀγαπητήν, ἐνίοτε δ᾽ οὖν ἴσως καὶ *ὀϊζυρὰν* (ὡς εἶπεν, εἴπερ εἶπεν ὀρθῶς ὁ Κικέρων) καὶ δυσάρεστον *σχολήν* (α), αὐτός τε φιλοσοφῶν, καὶ

(α) « **Multa praeclara in illo calamitoso otio scripsit** » (Cicer. de Finib. V. c. 19. βλ. καὶ ὄπισθ. Κεφ. Ε, §. ζ). Ὑπομιμνήσκει καὶ ταῦτα τὸν Ὅδιον ὁ Οὐαλκενῆρος (ἔνθ. ἀνωτέρ.), προστιθεὶς καὶ ὅτι τὸ **calamitoso otio** προσέθηκεν ὁ Κικέρων, τῇ τοῦ λόγου ὑποθέσει δουλεύων μᾶλλον, ἢ πρὸς τὸ ἀκριβέστατον ἐκφραζόμενος· πῶς ἂν ὀϊζυρὰν ᾐσθάνετο τὴν σχολὴν ἐκείνην ὁ γραμματικώτατος (litteratissimus) φιλόσοφος, ὅστις ἐκπεσὼν ἀπ᾽ ἀχαρίστου πατρίδος, καὶ τῶν ἐν αὐτῇ πραγμάτων ἀπαλλαγείς, ἠδύνατο τοῖς φίλοις σπουδάσμασιν ὅλος προσανέχειν, ἐν ἀφθόνοις διάγων, καὶ ῥίζας ἔχων (κατὰ τὸν Πλούταρχον); κτλ. Σοφώτατα ταῦτα τοῦ Οὐαλκενήρου καὶ ἀληθῆ· πλὴν ἀλλ᾽ (ἵνα μὴ παντάπασι

τοὺς ἄλλους διδάσκων, διὰ τῶν καλλίστων αὐτοῦ συγγραφῶν (α). « Καὶ γὰρ τοῖς παλαιοῖς, ὡς ἔοικεν, αἱ μοῦσαι τὰ κάλλιστα τῶν συνταγμάτων καὶ δοκιμώτατα φυγὴν λαβοῦσαι συνεργὸν ἐπετέλεσαν. Θουκυδίδης Ἀθηναῖος συνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων ἐν Θρᾴκῃ περὶ τὴν Σκαπτὴν ὕλην. Ξενοφῶν, ἐν Σκιλλοῦντι τῆς Ἠλείας· Φίλιππος, ἐν Ἠπείρῳ· Τίμαιος ὁ Ταυρομενίτης, ἐν Ἀθήναις· Ἀνδροτίων Ἀθηναῖος, ἐν Μεγάροις· Βακχυλίδης ὁ ποιητὴς, ἐν Πελοποννήσῳ » (β)· καὶ Δημήτριος, ὅδιε, ὁ Φαληρεὺς ἐν Ἀλεξανδρείᾳ, καὶ ἄλλοτε καὶ κατ᾽ ἐκεῖνον μάλιστα τὸν καιρὸν, ὅτε τοῦτον εἰσάγεις προσκεκρουκότα τῷ Φιλαδέλφῳ, καὶ περιβεβλημένον τὴν ἣν εἶπας ἀναρσίαν καὶ ἄτιμον τιμὴν τῆς τῶν βιβλιοθηκῶν ἐπιστασίας! Τί λέγεις ὦ ἀγαθέ; « *Ὁ μέγας Ἀριστοτέλης ἐδίδαξε τοὺς βασιλέας τῆς Αἰγύπτου βιβλιοθήκης σύνταξιν* »· καὶ αὐτὸς ὁ Φαληρεὺς « *παρῄνει τῷ βασιλεῖ Πτολεμαίῳ — βιβλία κτᾶσθαι* »· καὶ σὺ τοῦτον ἀναπλάττεις αἰσχυνόμενον ὡς ἀναξίαν ἑαυτοῦ τὴν ἐπιστασίαν εἰς τὴν ἐξ ὧν αὐτὸς παρῄνει βιβλίων σύνταξιν τῶν βασιλικῶν βιβλιοθηκῶν; Ἀλλὰ πρὸς ταύτας τὰς εἰκαίας εἰκοτολογίας, ἅλις· μεταβαίνομεν δὲ καὶ εἰς ἄλλας.

§. ιέ. Β) Μόνος τῶν ἀρχαίων ὁ Τερτυλλιανὸς προσεῖπε γραμματικὸν τὸν Δημήτριον· τοῦτο δὲ δραξάμενος πρῶτος ὁ Βοβέριος, καὶ μετ᾽ αὐτὸν ὁ Ὅδιος, αὐτὸν μὲν τὸν γηραιὸν τῆς Ἀφρικῆς διδάσκαλον, «*ἄνδρα τά τε ἄλλα ἔνδοξον, καὶ τῶν μάλιστα ἐπὶ Ῥώμης λαμπρῶν* (γ), καὶ *παντοδαπῆς* παιδείας *ἔμπειρον* (δ), καὶ *ὀξυνούστατον*

καὶ τὸν Κικέρωνα ψεύσωμεν) ἴσως ἐνίοτε καὶ ἐξενοπάθει ὁ Φαληρεὺς, τὴν δὲ πρόσκαιρον ἀθυμίαν ἐθεράπευε διὰ τῆς σπουδῆς.

(α) Μεταξὺ τῶν Φαληρέως συγγραμμάτων, ὧν ἡμῖν ὁ χρόνος μὲν ἐφθόνησεν, ὁ δὲ Λαέρτιος παρέδωκε τῶν γε πλείστων τὸν κατάλογον, μνημονεύεται καὶ ἓν ἐπιγραφόμενον Π τ ο λ ε μ α ῖ ο ς (πιθανώτατα βιογραφία Πτολεμαίου τοῦ Σωτῆρος), καὶ ἄλλα δέ πως ὑποσημαίνοντα τὴν ἐν Ἀλεξανδρείᾳ αὐτοῦ διατριβὴν, οἷον τὰ π ε ρ ὶ χ ά ρ ι τ ο ς, π ε ρ ὶ τ ύ χ η ς, π ε ρ ὶ μ ε γ α λ ο ψ υ χ ί α ς, π ε ρ ὶ γ ή ρ ω ς, κτλ.

(β) Πλούταρχ. περὶ φυγῆς. σελ. 388. τόμ. 8. R. — (γ) Εὐσέβ. Ἐκκλ. ἱστορ. Β, 2.

(δ) « Tertul. fuit omni genere litterarum peritus ». Lactant. de Iust. V. c. 1.

Τερτυλλιανὸν » (α) κατεδίκασαν, ὡς μὴ ἐξακριβοῦντα μήτε τὴν ἐποχὴν, μήτε τὴν ἀξίαν Δημητρίου τοῦ Φαληρέως, ἀλλ' εἴτε ἐξ ὁμωνυμίας ἀπατηθέντα, εἴτε καὶ νομίσαντα τὸν ἄρχοντα τῶν Ἀθηναίων ὡς ἕνα τινὰ τῶν ἐπ' αὐτοῦ συνήθως ἐπιστατούντων εἰς τὰς ἐν Ῥώμῃ βιβλιοθήκας δυστήνων γραμματικῶν! Καὶ τοῦτο πάλιν τὸ *γραμματικὸς* τοῦ Τερτυλλιανοῦ προβάλλουσι πρὸς ἀπόδειξιν, ὅτι τοιοῦτόν τινα βιβλιοφύλακα διέγραψε τὸν Φαληρέα καὶ ὁ πάντας ἐπίσης καὶ Πτολεμαίους καὶ Δημητρίους συγχύσας, ἀνιστόρητος κἀκεῖνος καὶ πλαστογράφος Ἀριστέας! (§. α, καὶ §. γ). Οὕτως οἱ ἄνδρες ἐσπούδασαν θηρεῦσαι *διὰ μιᾶς βολίδος δύω λαγωοὺς* (τὸ τῆς παροιμίας)· ἀλλὰ « *δύω διώξαντες πτῶκας, οὐδενὸς ἀντέσχοντο* »! Πρῶτον μὲν γὰρ μόνος τῶν ἀρχαίων (ὡς προείπομεν) ὁ Τερτυλλιανὸς ἐπωνόμασε γραμματικὸν τὸν Δημήτριον. Εἰ δὲ καὶ (καθὼς θέλουσι) φαύλη τις ὑπῆρχε καὶ τοῦ Δημητρίου δῆθεν ἀναξία, διὸ καὶ ὕποπτος, ἡ ἐπωνυμία, μία λέξις ὅμως, ἢ καὶ φράσις ἄκυρος ἑνός τινος (ἔστω καὶ ἐνδόξου) μάρτυρος οὐδὲν παραβλάπτει τὴν ὑπὸ τοσούτων ἄλλων μαρτύρων, καὶ τούτων ἐνδόξων, βεβαιουμένην τοῦ πράγματος πίστιν. Καὶ ὁ Ἀριστέας, ἱστορῶν τὸν Δημήτριον (χωρὶς τῆς παρὰ τῷ Τερτυλλιανῷ γραμματικωνυμίας) κατασταθέντα παρὰ τοῦ βασιλέως ἐπὶ τῆς βιβλιοθήκης, ἐξέφρασεν ἀκριβῶς τὸ πρᾶγμα καὶ τὴν ἀξίαν τοῦ ἀνδρὸς, ὡς φανήσεται μετ' ὀλίγον. Ἔπειτα, ὅτι ὑπῆρχε καὶ γραμματικὸς, ὡς *ἐκ τῶν γραμματικῶν αὐτοῦ συγγραφῶν*, ὁ καὶ ἄλλως φιλόσοφος καὶ πολιτικὸς Δημήτριος, σεσημείωται ἐν τοῖς ἔμπροσθεν (§. γ. σημ.). Τελευταῖον, οὔτε προσφυεστέραν ἐπὶ τῆς ὑποθέσεως, οὔτε δικαιοτέραν ἢ ἐκφαντικωτέραν ἄλλην τῶν Δημητρίου ἐπωνυμιῶν ἠδύνατο μεταχειρίσασθαι ὁ δριμὺς Τερτυλλιανὸς, παρὰ τὸ « *δοκιμώτατος τῶν τότε γραμματικῶν* ». Περὶ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης ἐποιεῖτο τὸν λόγον ὁ πολυΐδμων οὗτος Ἄφρος· ὅθεν καὶ πρὸς τοῦτο τὴν φράσιν ἐφιλοκάλησε. Καὶ τὸν μὲν εἰς τὴν κατασκευὴν τῆς βιβλιο-

(α) « Quid Tertul. eruditius? quid acutius? » S. Hieronym. Epist. ad Magn. Tom. II, p. 328.

θήκης φιλοτιμότατον Φιλάδελφον ἀπ' οὐδεμιᾶς βασιλικῆς ἐπωνυμίας προσεῖπεν· ἀλλὰ *πολυμαθέστατον* τῶν Πτολεμαίων, καὶ μιμητὴν τοῦ βιβλιακοῦ καὶ φιλομήρου μάλιστα Πεισιστράτου. Ἡ δὲ συλλογὴ τῶν βιβλίων οὔτε φιλοσόφων ἐστὶν ἰδιαίτατον ἔργον, οὔτε νομοθετῶν, ἢ ἀρχόντων εὐκλεεστάτων, ἀλλὰ τῆς κριτικῆς κυρίως ἐπιστήμης, περὶ ἣν ἀσχολοῦνται μάλιστα οἱ πολυΐστορες *γραμματικοὶ* (οἱ καὶ ἄλλως *φιλολόγοι*), τὰ κάλλιστα τῶν συγγραμμάτων καὶ τὰς τούτων ἀκριβεῖς ἐκλέγοντες ἐκδόσεις. Καὶ τοιοῦτοι *γραμματικοὶ* ἤνθουν κατὰ τὴν Ἀλεξάνδρειαν οὐ μόνον ἐπὶ τοῦ Φιλαδέλφου καὶ τῶν ἐφεξῆς Πτολεμαίων (οἷον οἱ Ἀριστάρχειοι, *ἀπὸ* Ἀριστάρχου, οὗ καὶ αὐτοῦ ὁ Τερτυλλιανὸς ἐμνημόνευσε (α), καὶ ἄλλοι περιώνυμοι), ἀλλὰ καὶ ἐπ' αὐτοῦ Πτολεμαίου τοῦ Σωτῆρος, οἷος ἦν καὶ Φιλητᾶς, καὶ Ζηνόδοτος αὐτὸς, « ὁ πρῶτος (μετ' *Ἀριστοτέλην*) τῶν Ὁμήρου διορθωτὴς γενόμενος » (κατὰ τὸν Σουΐδαν). Τῶν δὴ τοιούτων τῶν τότε περιφήμων *γραμματικῶν* ἄριστον καὶ *σοφώτατον ὁ πολυμαθέστατος* Φιλάδελφος κρίνας τὸν Φαληρέα, κατέστησεν ἐπὶ τῆς τῶν βιβλίων συναγωγῆς. Καὶ λοιπὸν ὁ Τερτυλλιανὸς *δοκιμώτατον τῶν γραμματικῶν*, ὡς ἐκ τοῦ ἔργου καὶ τῆς ἐπιστασίας, ἀποκαλέσας τὸν Δημήτριον, ἀπεκάλεσε πολὺ κυριώτερον καὶ ἐνδοξότερον, ἢ εἴπερ αὐτὸν ἐπωνόμαζε *φιλόσοφον* καὶ *ἄρχοντα τῶν Ἀθηνῶν*. Οἱ δὲ περὶ τῶν Ὅδιον κριτικοὶ καταλιπόντες τοῦ Τερτυλλανείου χωρίου τὸν νοῦν, ἐπλανῶντο περιερχόμενοι καὶ παλαιὰς καὶ νέας βιβλιοθήκας, ὅπως ἀποδείξωσι τοὺς προϊσταμένους γραμματικοὺς ἀδόξους καὶ τριωβολιμαίους, πρὸς ἔλεγχον τοῦ Ἀριστέου καὶ αὐτοῦ τοῦ Τερτυλλιανοῦ. Ἀλλὰ τοῦτον *κακῶς πλανηθέντα* περὶ τὴν γραμματικωνυμίαν εἰπόντες, *κάκιστα πεπλάνηνται πάντως αὐτοί*! Ἐν τούτοις δὲ παράδοξος μάλιστα

(α) « Medici ab Erasistrato, Grammatici ab Aristarcho ». Tertul. Apolog. 6. Οὕτω *μνημονεύονται καὶ ἄλλοι πάλιν* Ἀ ρ ι σ τ ο φ ά ν ε ι ο ι (ἀπὸ Ἀριστοφάνους τοῦ *γραμματικοῦ*), οἷον Καλλίστρατος, Διόδωρος, Ἀρτεμίδωρος ὁ Ἀριστοφάνειος (Ἀθήν. α, 21. καὶ ε, καὶ ια)· καὶ ἄλλοι Κ α λ λ ι μ ά χ ε ι ο ι, οἷον Ἕ ρ μ ι π π ο ς ὁ Καλλιμάχειος, Ἴστρος, κτλ. (Ἀθήν. ε, 213, καὶ ϛ, 292).

φαίνεται ὁ Βοβέριος, ὅστις ἐν τῷ περὶ Πολυμαθείας αὐτοῦ πονήματι πολυμαθῶς διαγράψας τὴν ἀξίαν καὶ τὸ πλάτος καὶ τὴν μυρίαν ὠφέλειαν τῆς κριτικῆς γραμματικῆς (κεφ. ιη, καὶ ιθ), ἔπειτα σκανδαλισθεὶς, εὔρηκεν ἀναξίαν τοῦ Φαληρέως καὶ τὴν τῆς βιβλιοθήκης ἐπιστασίαν, καὶ τὴν ταύτῃ προσφορωτάτην ἐπωνυμίαν, τὴν *γραμματικός!*

§. ις΄. Γ.) Ἀντεῖπεν ὁ κλεινὸς Ὄδιος πρὸς τοῦ καθηγήτορος Βοβερίου τὴν ὑπερβολὴν, ἀπολογηθεὶς ὑπὲρ τῶν βιβλιοφυλάκων γραμματικῶν, καὶ δείξας τούτων ἱκανοὺς μὴ μόνον ὡς γραμματικοὺς, ἀλλὰ καὶ ὡς φιλοσόφους κλεϊζομένους (α)· καὶ τοιούτους ἐμνημόνευσεν ἐκ τῆς ἱστορίας ἄλλους τε καὶ *Διονύσιον τὸν Ἀλεξανδρέα*, καὶ τὸν *περιώνυμον Ἐρατοσθένην*. Μετὰ τούτων δὲ καὶ αὐτὸν παρέβαλε τὸν Φαληρέα Δημήτριον (§. δ). Ὀρθῶς γε ταῦτα καὶ λίαν μουσικῶς ὁ γραμματικώτατος κριτικός! Ἀλλ᾽ ἐφεξῆς ἐξαίφνης ᾖσε παλινῳδίαν· καὶ διομολογήσας ἑαυτὸν ἀκροσφαλῆ, καὶ λίαν ἰσχνὸν καὶ ἀσθενικὸν πρὸς τὸ πάντα ῥᾳδίως πιστεύειν (ὡς φιλύποπτος δηλαδὴ, καὶ μὴ πάνυ τις ταχυπειθὴς, μηδὲ πλαδαρᾶς εὐπιστίας ἔμπλεως), ἀπεῖπεν ἀποτόμως, οὐδ᾽ *ἠνέσχετο πιστεῦσαι*, ὅτι καὶ ὁ Φαληρεὺς (καί τοι φιλόσοφος καὶ αὐτὸς, καί τοι πολύπειρος καὶ πλήρης πολυμαθείας γραμματικῆς) ἠδύνατο τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης ἐπιστατῆσαι· διότι πρώην ὑπῆρξεν ἐν Ἀθήναις ἄρχων καὶ νομοθέτης! Καὶ ταύτην αὐτοῦ τὴν ἐπίνοιαν ἰσχυροποιῶν ὁ κριτικὸς, ἀπέφηνεν εὐθὺς καὶ ἐπ᾽ αὐτῶν τῶν Πτολεμαίων ἀσημοτάτην νομιζομένην τὴν ἐπαγγελίαν τῶν ἐν βιβλιοθήκαις προϊσταμένων γραμματικῶν, καὶ τούτους αὐτοὺς ἀδόξους τινὰς καὶ φαύλους, καὶ οἷον ἐν *Καρὸς μοίρᾳ* λογιζομένους, ἐν οἷς πάλιν συνηρίθμησε καὶ τὸν *Ἀλεξανδρέα Διονύσιον καὶ αὐτὸν τὸν Ἐρατοσθέ-*

(α) Ὁ δὲ Τζέτζης (Χιλ. η, 158) εἴτε ἀκριβῶς, εἴτε μετὰ τῆς συνήθους ἀπερισκεψίας καὶ τὸν Ἱπποκράτην εἶπε βιβλιοφύλακα τοῦ ἐν Κῷ βιβλοφυλακίου (βλ. Demagist. l. c. p. 563). Οὐδὲν δὲ παράδοξον εἴπερ καὶ ἐν Κῷ, ἢ ἐν Κνίδῳ, ὑπῆρχεν ἐπὶ Ἱπποκράτους βιβλιοθήκη, ἢ γραμματοφυλακεῖον (ἰατρικῶν τινων πινάκων καὶ βιβλίων συλλογὴ), ὡς ὑπῆρχε καὶ ἐν Σάμῳ ἡ τοῦ Πολυκράτους βιβλιοθήκη, καὶ ἡ πολὺ μείζων ἐν Ἀθήναις τοῦ Πεισιστράτου (βλ. ὄπισθ. σελ. 247).

γην! (§. ς). Ἀλλὰ μὴ θαυμάσῃς μηδὲ περὶ τούτων, ἀναγνῶστα. Πολλάκις ὁ Ὀδιακὸς λόγος, καί τοι πολυμαθείας πλούτῳ κομῶν, ἔχει ὅμως καί τι περὶ τὰς ἐννοίας ἀνώμαλον, καὶ σκολιὸν, καὶ μεταπίπτον ἐξαίφνης εἰς τἀναντία· οἷον ἔλεγον οἱ πάλαι χαριεντιζόμενοι περὶ τῆς πλουσίας μὲν καὶ περικλεοῦς, ἀλλ' ὅμως ἀνωμάλου κἀκείνης καὶ τραχείας πόλεως τῶν Κορινθίων· ὅτι,

« Κόρινθος ὀφρυᾷ τε καὶ κοιλαίνεται » (Στράβ. Η, 382).

Ἡμεῖς δὲ περὶ μὲν τῆς ἐπιφανείας καὶ τιμῆς τῶν ἀρχαίων ἐκείνων γραμματικῶν καὶ κριτικῶν, ἴσως τι ὑπενθυμίσομεν τὸν σοφώτατον Ὄδιον παρακατιόντες. Νῦν δὲ μετ' αὐτοῦ συνομολογοῦμεν, ὅτι οὔτε *Πρίγκηπες* καὶ *μεγιστᾶνες*, οὔτε *Κόμητες*, ἢ *Βαρόνιοι* ὑπῆρχον οἱ προστάται τῶν ἀρχαίων ἐκείνων ἐπισήμων βιβλιοθηκῶν, καὶ μάλιστα τῆς Ἀλεξανδρείας· ἦσαν δὲ ὅμως ἄνδρες σοφοὶ καὶ πολυΐστορες, τὰ μέγιστα τιμώμενοι παρὰ τοῖς τότε φιλομούσοις βασιλεῦσι, καὶ μάλιστα παρὰ Πτολεμαίοις· οἵτινες, εἰ καὶ μὴ περιέβαλλον τοὺς ἄνδρας τὰ τῶν νεωτέρων τίτλων καλλιστεῖα, ἀλλ' ὅμως καὶ συμβούλοις αὐτοῖς ἐχρῶντο, καὶ πρέσβεις ἀπέστελλον, καὶ συνδαιτυμόνας εἶχον, καὶ τῶν ἰδίων τέκνων διδασκάλους καὶ παιδευτάς. Οὕτω Ζηνόδοτος τοὺς ἄνακτας υἱοὺς τοῦ Σωτῆρος ἐπαίδευσε, καὶ Φιλητᾶς ἰδίως αὐτὸν τὸν Φιλάδελφον (α). Ὅτι δὲ ἡ τῶν ἡγεμόνων ὑπὸ σοφῶν καὶ χρηστῶν διδασκάλων ἐκπαίδευσις καὶ λογικὴ διάπλασις κρίνεται δικαίως λαμπρότατον πολίτευμα, οὐδ' ἂν αὐτὸς Ὄδιος ἀρνηθείη. Οὕτω καὶ Ἀριστοτέλης (ὁ μὴ μᾶλλον φιλόσοφος, ἢ γραμματικὸς) εὐκλεῶς ἐπολιτεύσατο, παιδεύσας Ἀλέξανδρον, καὶ Πλάτων τὸν Δίωνα, καὶ Λύσις ὁ πυθαγορικὸς τὸν Ἐπαμινώνδαν, καὶ εἴ τις ἄλλος ἄλλοτε ἄλλον (β). Ἀλλ' οἱ

(α) Οὕτω καὶ Ἀριστόδημος ὁ Νυσσαεὺς, γραμματικὸς ἐπίσημος, ἐπαίδευσε Πομπήϊον τὸν Μάγνον. Καὶ τῶν τούτου παίδων ἄλλος Ἀριστόδημος ἐπεστάτει (Στράβ. ιδ, 650). Τήλεφος, Περγαμηνὸς γραμματικὸς, ἐδίδαξεν Οὐῆρον τὸν αὐτοκράτορα (Σουΐδ.). Θεόδωρος Γαδαρεὺς, σοφιστὴς, τὸν Καίσαρα Τιβέριον (Σουΐδ.). κτλ. κτλ

(β) « Εἴ τις οὖν ἀπράκτους (ἀπολιτεύτους) λέγει τοὺς φιλοσόφους, ἀλλ' εὐήθη γε αὐτοῦ καὶ ἀνόητα ταῦτα ». Αἰλιαν. Π. ἱστορ. γ. 17. βλ. καὶ ιβ. 25. πρβλ. καὶ Ἀντιγόν. ἐπιστ. πρὸς Ζήνωνα (Λαέρτ. Ζ. α. 8).

περὶ τὸν Ὅδιον παρέστησαν ἡμῖν τοὺς μὲν γραμματικοὺς ἐκείνους οὕτως ἀφιλοσόφους καὶ ὀλιγομαθεῖς, ὥστε μικρὸν διαφέρειν τῶν χαμαιδιδασκάλων γραμματιστῶν, ἢ καὶ ταπεινῶν τινων λογοπτώχων, ὁποῖοι πολλάκις ἐγίνοντο φύλακες ἀσήμων, κατὰ τόπους καὶ μικρῶν τινων βιβλίων ἀποθηκῶν. Τοὺς δὲ πάλιν Πτολεμαίους καὶ τοὺς ἄλλους σοφοὺς ἡγεμόνας (παρ' οἷς οἱ ἄνδρες ἐκεῖνοι προΐσταντο τῶν βιβλιοθηκῶν) οὕτως ἀναισθήτους ὑπέλαβον καὶ τετυφωμένους, ὥστε μηδὲν διαφέρειν τῶν κατὰ τοὺς Οὐοσσίου χρόνους ἡγεμόνων ἐκείνων, παρ' οἷς (ὡς οὗτος λέγει) ἐπεῖχον τόπον ἐπισημότερον οἱ τῶν ἱεράκων καὶ θηρευτικῶν κυνῶν ἐπιστάται, καὶ οἱ κλειδοῦχοι τῶν ἀνακτόρων, παρὰ τοὺς σοφοὺς προστάτας τῶν Μουσείων καὶ βιβλιοθηκῶν. Ἀλλὰ τὸ πρᾶγμα (λέγει) διέφερε παντάπασι καὶ τότε, καθὼς καὶ νῦν, παρὰ τοῖς φιλομούσοις ἡγεμόσιν· οἵτινες περὶ λόγους καὶ φιλοσοφίαν σπουδάζοντες, οὐ προτιμῶσι τὰς σαρκικὰς ἀπολαύσεις πρὸ τῶν ψυχικῶν ἀγαθῶν· οὐδὲ τὸ μεταξὺ θηρίων διατρίβειν κυνηγετοῦντες, καὶ κάπρον θηρεύοντες, ἢ πτηνάριον, παρὰ τὸ διάγειν πολλάκις μετὰ τῶν σοφῶν ἐν ταῖς βιβλιοθήκαις, αὔξοντες καὶ προβιβάζοντες τὴν παιδείαν τιμαῖς (α). Ἐπὶ δὲ τῶν Πτολεμαίων,

(α) Voss. de LXX. c. 4. p. 10. Ἀλλὰ καὶ ἐν Observ. ad Pomp. Melam p. 65. ἐξελέγχων τὸν Ὥδιον, ὅτι τοὺς ἐπὶ τῆς Ἀλεξανδρινῆς βιβλιοθήκης προϊσταμένους ἐκφαυλίζει, ὡς ἄν τινας μικροὺς ἐπιστάτας ὀλίγων βιβλίων ἐν διδασκαλείοις συναγωγῆς. « Ἀλλ' ἐὰν (λέγει) περάσῃ εἰς τὴν Γαλλίαν, εὑρίσκει βασιλικὸν βιβλιοθηκάρχην τὸν Ῥημησίων ἀρχιεπίσκοπον καὶ πρωτόθρονον (primatem) πάσης Γαλλίας. Ἐὰν δ' εἰς Ῥώμην ἀπέλθῃ, κἀκεῖ τὸν πρῶτον Καρδινάλιον εὑρήσει τιτλωνυμούμενον καὶ ἐπὶ τῶν βιβλιοθηκῶν τῆς Ῥωμαίων ἐκκλησίας, κτλ. « Ἀλλ' οὗτοι » (πάλιν ἀπήντησεν Ὅδιος) « μόνον τὸ ἐπώνυμον, ἢ τὸν τίτλον φέρουσι, χάριν τιμῆς. Τοιοῦτοι δὲ παρὰ τοῖς ἀρχαίοις ἐπίτιμοι βιβλιοθηκάρχαι πάντως οὐχ ὑπῆρχον » (Hody pag. 43). Ἀλλ' ὑπῆρχεν (ἀπαντῶμεν ἡμεῖς) αὐτὴ τῆς ἐπαγγελίας ἡ τιμή, ἣν καὶ σύ, σοφώτατε Ὅδιε, ὁμολογεῖς ἤδη στόματι μεγάλῳ. Εἰ δ' ἦν τοσοῦτον ἄζηλον καὶ χαμερπὲς τὸ ἐπάγγελμα (καθὼς ἔλεγες ἀνωτέρω), πῶς λοιπὸν ἀρκεῖ καὶ μόνον αὐτὸ καὶ ψιλὸν τὸ ἐπώνυμον πρυτανευόμενον χάριν τιμῆς, ὡς τίτλος λαμπρὸς καὶ πολύζηλον καλλιστεῖον εἰς ἐπισήμους ἀξιωματικούς; Τί δέ; μήπως καὶ ἔμπρακτοι τῶν μεγάλων βιβλιοθηκῶν ἐπιστάται οὐκ ἐγένοντο πολλάκις καὶ μάλιστα καθ' ἡμᾶς, ἄνδρες καὶ ἀπὸ παιδείας καὶ ἀπὸ γένους ἐπισημότατοι, ἔχοντες καὶ ἄλλους δευτερεύοντας συνεργούς, ἢ τηρητὰς (custos); Ἀλλ' ἴσως τὰ τοιαῦτα τοῦ Ὡδίου φρονήματα κατὰ μέρος ἀνήκουσιν εἰς τοὺς χρόνους καθ' οὓς ἔζη, ὁπότε

ἐὰν καὶ πρὸς τὸ μέγεθος τῆς αὐτῶν δυνάμεως καὶ λαμπρότητος ἀπίδωμεν, καὶ πρὸς αὐτὴν τὴν ἀχανῆ, καὶ μεγέθει τε καὶ κάλλει πανυπέροχον τῆς βιβλιοθήκης ἐκείνης ἀξίαν, τότε τῶν ὑπὸ τοιούτων βασιλέων εἰς τοιαύτης βιβλιοθήκης ἐπιστασίαν ἐκλεγομένων ἀνδρῶν τὸ ἐπάγγελμα τοσοῦτον ἐνδοξότερον φανήσεται τῶν καθ' ἡμᾶς, ὅσῳ καὶ ἡ βιβλιοθήκη ἐκείνη ὑπερεῖχε τὴν Βατικανὴν, συνάμα λαμβανομένων καὶ τῶν ἄλλων ἁπασῶν τῶν κατ' Εὐρώπην βιβλιοθηκῶν (α)· ὥστε δικαίως ἄν τις εἴποι, ὅτι ἡ ἐπὶ τῆς βιβλιοθήκης προστασία τοῦ Φαληρέως ἐπὶ τοῦ Πτολεμαίου ὑπῆρχεν οὐχ ἧττον ἐνδοξοτέρα τῆς προστασίας τῶν Ἀθηνῶν ἐπὶ τοῦ Κασσάνδρου.

§. ιζ'. Κἀκεῖνο δὲ παράδοξον ἐποίησεν Ὅδιος, παραστήσας τοὺς ἀρχαίους γραμματικοὺς πολλῷ τῷ μέτρῳ διεστηκότας καὶ λίαν ἀτιμοτέρους τῶν ἐξ ἐπαγγέλματος φιλοσόφων (ὅθεν καὶ τὴν φαυλοτάτην μεταξὺ τῶν λογίων ἐπεῖχον τάξιν)· τοῦτο δὲ πῶς ἄρα καὶ ἐφιλοτέχνησεν; Ἐκλέξας ἀπὸ τῶν Λαερτίου βίων ὅσα καταλέγονται γραμματικώτερα τῶν ἀρχαίων φιλοσόφων συγγράμματα (ἐν οἷς παρεσιώπησε πολλὰ καὶ ἄλλα πολλῶν), κατέδραμε καὶ δι' αὐτῶν τοὺς γραμματικοὺς, ἀποφαινόμενος, ὅτι τὰ τοιαῦτα συνέγραφον οἱ φιλόσοφοι παίζοντες πρὸς ἄνεσιν (§. γ). Ἀλλ' εἴτε παίζοντες, εἴτε σπουδάζοντες, Ὅδιε, καὶ μάλιστα φιλοσοφοῦντες, ἠσχολοῦντο καὶ περὶ τὰ γράμματα καὶ τοὺς λόγους, ἦσαν λοιπὸν κατὰ ταῦτα καὶ οὗτοι γραμματικοὶ, « θεωροῦντες (ὡς ὁ Πλάτων) *τῆς γραμματικῆς τὴν δύναμιν* (Λαέρτ. γ. 19). Καθὼς καὶ οἱ γραμματικοὶ πάλιν ἐφιλοσόφουν, ἐπιστημονικώτερα συγγράφοντες

κατὰ τὴν Εὐρώπην μᾶλλον τινὲς ἐτίμων τὰ πινάκια τῶν ἀλλοκότων παρασήμων τῆς ἱπποτικῆς εὐγενείας, παρὰ τὰ ψυχωφελῆ βιβλία. Εἰ δ' ἀνίστατο τὴν σήμερον ὁ τοῦ Ὀξωνίου ἀρχιδιάκονος, ἔβλεπεν ἂν πολλοὺς καὶ ἐξ αὐτῶν τῶν παρὰ τοῖς Ἄγγλοις καλουμένων Λόρδων (εὐγενῶν κυρίων) ἀγαλλομένους οὐχ ἧττον ἐπὶ σοφίᾳ, ἢ ἐπὶ εὐγενείᾳ· εὕρισκε δὲ καὶ μὴ μόνον βιβλιοφύλακας ἄνδρας ἐπισήμους, ἀλλὰ καὶ ἐφημερίδων ἐκδότας, οἷος ὁ Λόρδος Δουγκάνων, ἐφημερίδα καθ' ἡμᾶς μεγαλοφρόνως ἐκδούς. Βλ. τοῦ σοφοῦ Μ. Σχινᾶ τὸν Θεατήν· ἀριθμ. δ. σελ. 16.

(α) Οὕτως ἔκρινε Vossius in Appendic. etc. p. 66. Κατὰ τὸν Ἀγέλλιον, καὶ τὸν Ἀμμιανὸν, ἡ Ἀλεξανδρινὴ βιβλιοθήκη ἀνέβη ἐπὶ τῶν Πτολεμαίων εἰς 700, χιλιάδας τόμων. Βλ. Lips. de Bibliothec. c. 2.

θεωρήματα. Καὶ οὐχ ἧττον ἦν φιλόσοφος ὁ γραμματικὸς Καλλίμαχος *περὶ νομίμων* συγγράφων, καὶ ὅσα τῆς φυσικῆς ἱστορίας (οἷον περὶ *ἀνέμων*, *ὀρνέων*, *ποταμῶν*, κτλ.), καὶ ὁ Ἐρατοσθένης (περὶ τῶν *κατὰ φιλοσοφίαν αἱρέσεων*, καὶ *διαλόγους*, καὶ ἄλλα φιλόσοφα συντιθείς), παρ' ὅ,τι ἦν γραμματικὸς ὁ Στωϊκὸς Στράβων *γεωγραφῶν*, καὶ αὐτὸς ὁ ἀρχαιότατος Δημόκριτος (ἔπαιξε γὰρ κἀκεῖνος τοιαῦτα παίγνια!), *περὶ Ὁμήρου*, καὶ *ὀρθοεπείας*, καὶ *γλωσσέων* πραγματευόμενος, καὶ ἄλλα πολλὰ γραμματικά. Οἱ δὲ Στωϊκοὶ καὶ τρίτον τῆς φιλοσοφίας μέρος ἐδογμάτιζον τὸ λογικόν, δηλαδὴ τὸ περὶ τὴν λογικήν, καὶ καθόλου περὶ τοὺς λόγους καὶ τὰ γράμματα ἀσχολούμενον, μηδόλως διαιροῦντες τὴν γραμματικὴν τοῦ λόγου θεωρίαν ἀπὸ τῆς ἄλλης φιλοσοφίας (α). Μηδὲ σὺ διαίρει τὰς *Μούσας*, Ὅδιε, καλὸν παίδευμα Μουσῶν, αἵτινες (εἰ καὶ μὴ κατ' ἀκρίβειαν ἐτυμολογικήν, ἀλλ' ὅμως κατὰ πραγματικὴν ἀλήθειαν) ἐκ τοῦ *ὁμοῦ οὖσαι* παρωνομάσθησαν. Συγγενῆ παρὰ τοῖς ἀρχαίοις καὶ συνώνυμα πολλάκις ὑπῆρχον τό,τε *λόγιος* καὶ τὸ *σοφός*, καὶ τὰ ἐξ αὐτῶν σύνθετα, τὸ *φιλόσοφος* καὶ *φιλοσοφία*, καὶ τὸ *φιλολόγος*, ἢ *φιλόλογος* καὶ *φιλολογία* (β). Καὶ ἀφ' οὗ δὲ διεκρίθησαν αἱ γνώσεις, καὶ διέστησαν ἀπ' ἀλλήλων ἥτε φιλολογία καὶ ἡ φιλοσοφία, τὸν οἰκεῖον ἑκατέρα ἐπέχουσα κύκλον, ἔμειναν ὅμως πάλιν ἐν πολλοῖς

(α) Λαέρτ. Ζ. λγ—ν. κτλ. πρβλ. καὶ Fabric. Bibl. Gr. vol. 3. p. 527. Harl.

(β) Τὸ συνηθέστερον φιλολόγος εὑρίσκεται παρά τισι τῶν ἀρχαίων καὶ προπαροξύτονον (φιλόλογος)· καὶ τοῦτο φαίνεται γραμματικώτερον (ὁ φιλῶν τοὺς λόγους, ἢ φίλος λόγων, κατὰ τὰ φιλόθεος, φιλόμουσος, φιλόσοφος, καὶ τὰ τοιαῦτα). Εὑρίσκεται δὲ καὶ κύριον ὄνομα τὸ Φιλόλογος (Πλουτάρχ. Κικερ. 48)· τὸ δὲ παροξύτονον (φιλολόγος) ἐμφαίνει τὸν φιλοῦντα λέγειν (καὶ ἄλλως λογόφιλον), τὸν λάλον καὶ πολυλόγον (Ἀθήν. Β. 39, καὶ Ἀρχάδ. σελ. 89), ὡς, οἶνος φιλολόγους ποιεῖ· ἢ καὶ τὸν περὶ φίλων λέγοντα (ὡς καὶ τὰ παρόμοια ἐνεργητικά, θεολόγος, ἀρεταλόγος, ἀρχαιολόγος, ὁ λέγων περὶ Θεοῦ, ἀρετῆς, κτλ.). Ἀλλ' ἡ διάκρισις αὕτη μήτε πάντοτε φυλάττεται μήτε παρὰ πᾶσι (καὶ μάλιστα τοῖς ἀρχαίοις). Ὁ Πλάτων συνάπτει παράλληλα τὰ «φιλολόγος καὶ φιλόσοφος» (Πολιτ. Θ. 383)· ἔπειτα καὶ αὐτὸ τὸ φιλολόγος (ἐπὶ τοῦ φλυάρου) ἐκφράζεται καὶ διὰ τοῦ παροξυτόνου φιλόλογος (ὡς φίλος λόγων, οὐχὶ τῶν τῆς παιδείας, ἀλλὰ τῶν πολλῶν καὶ τῆς συνήθους λαλιᾶς). Βλ. Lobeck εἰς Φρύνιχ. 383, καὶ Riemer ἑλληνογερμαν. λεξικ. λ. φιλολόγος.

ἀλλήλων συναφαπτόμεναι. Οὕτως Ἰσοκράτης μὲν ὁ ῥήτωρ (Πανηγ.) « *τὴν περὶ τοὺς λόγους φιλοσοφίαν* », καὶ τὴν « *περὶ τοὺς ποιητὰς φιλοσοφίαν* » ὠνόμαζε τὴν φιλόσοφον σπουδὴν τῆς ῥητορικῆς καὶ ποιητικῆς. Πλάτων δὲ πάλιν καὶ Ἀριστοτέλης, οἱ πασῶν ἐν γένει τῶν τότε μαθήσεων ἐγκρατεῖς, φαίνονται ἐκ τῶν ἰδίων αὐτῶν συγγραμμάτων οὐ μᾶλλον φιλοσοφοῦντες, ἢ γραμματικευόμενοι καὶ φιλολογοῦντες. Καὶ κατὰ ταύτην μάλιστα μετὰ τὸν Ἀριστοτέλην τὴν σημασίαν ὠνομάσθησαν *φιλολόγοι* ἄλλοι τε παντοδαποὶ καὶ μάλιστα οἱ τῆς Ἀλεξανδρείας γραμματικοί, (καὶ πρῶτος ὁ Ἐρατοσθένης) (α), ἄνδρες πολυΐστορες, καὶ μὴ μόνον περὶ τοὺς γραμματικοὺς τῆς γλώσσης ἀσχολούμενοι κανόνας, ἀλλὰ πάσης τῆς ἐν λόγοις ἐγκυκλίου παιδείας ἐγκρατεῖς (τουτέστι ποιηταὶ καὶ ποιητῶν ἐξηγηταί, ῥήτορες, ἱστορικοί, ἀρχαιολόγοι, μυθογράφοι, γεωγράφοι, ἐθνογράφοι, χρονολόγοι, μουσικοί, νόμων καὶ πολιτειῶν ἔμπειροι, μαθηματικῶν καὶ φυσικῶν καὶ τῶν ἰδίως φιλοσοφικῶν λεγομένων γνώσεων ἐπιστήμονες, καὶ ἐπὶ πᾶσι τῶν παντοδαπῶν συγγραμμάτων κριτικοί). Ὁ χρόνος ηὔξησε πάντως τὴν τῆς τότε φιλολογικῆς παιδείας περιοχὴν (ὁποία πλατύτερον θεωρεῖται παρὰ τοῖς νεωτέροις, καί τινων ἄλλων γνώσεων προστεθεισῶν) (β), ἀλλ' οὐδὲν ἧττον ὑπῆρχον ἔνδοξοι καὶ περιώνυμοι σοφοί, φιλοσόφων καὶ μαθηταὶ καὶ διδάσκαλοι, οἱ τῆς ἀρχαιότητος ἐκεῖνοι *φιλολόγοι*, οἱ αὐτοὶ καλούμενοι συνωνύμως καὶ *γραμματικοὶ* καὶ *κριτικοὶ* (ὡς ὠνομάσθη πρῶτον Ἀπολλόδωρος ὁ Κυμαῖος, παρ' αὐτῶν τῶν Ἀμφικτυόνων λαβὼν τὴν τιμήν, κατὰ τὸν Πλίνιον) (γ). Τούτων δέ

(α) Sueton. de Grammat. c. 10. — (β) Βλ. Wolfs Museum der Alterthumswissenschaft. I. Bd. Berlin, 1807. καὶ Fridr. Ast, Grundriss der Philologie. pag. 14—22. Landshut. 1808. καὶ Θηρσίου διατριβὴν περὶ Φιλολογίας· ἐν Λογίῳ Ἑρμῇ. 1817. σελ. 2—6.

(γ) Plin. Hist. VIII. 37. Ὁ δὲ Κλήμης ὁ ἱερώτατος (Στρωμ. Α, 309) « Ἀπολλόδωρος (λέγει) ὁ Κυμαῖος πρῶτος τοῦ κ ρ ι τ ι κ ο ῦ εἰσηγήσατο τοὔνομα, καὶ γ ρ α μ μ α τ ι κ ὸ ς προσηγορεύθη· ἔνιοι δὲ Ἐρατοσθένην τὸν Κυρηναῖόν φασιν (ἐπειδὴ ἐξέδωκεν οὗτος βιβλία δύο γ ρ α μ μ α τ ι κ ὰ ἐπιγράψας). Ὠνομάσθη δὲ γραμματικός, ὡς νῦν ὀνομάζομεν » (συνήθως, δηλονότι τὸν ἔμπειρον τῆς περὶ τὴν γραμματικὴν

τινας εὑρίσκομεν τοὺς αὐτοὺς καὶ *φιλολόγους*, ἢ *γραμματικοὺς* ἐπίσης καὶ φιλοσόφους ὠνομασμένους· οἷον « Ἑκαταῖος, ὁ Ἀβδηρίτης φιλόσοφος, *ἐπεκλήθη καὶ κριτικὸς γραμματικὸς, οἷα γραμματικὴν ἔχων παρασκευήν* » (Σουΐδ.). Καὶ Κράτης ὁ Μαλλώτης (ἐκ Μαλλοῦ τῆς Κιλικίας), γραμματικὸς καὶ οὗτος τῶν ἐκ Περγάμου (καὶ πρεσβευτὴς εἰς Ῥώμην ὑπὸ τοῦ βασιλέως Ἀττάλου πεμφθεὶς), ὁ αὐτὸς καὶ *Στωϊκὸς καλεῖται φιλόσοφος*, καὶ φιλοσόφου διδάσκαλος ἐνδόξου, τοῦ Παναιτίου (α)· καὶ Θεόφραστος ὁμοίως *φιλόσοφος* ὁ αὐτὸς καὶ *φιλολόγος* (ὡμολόγησε δὲ καὶ Ὅδιος, §. γ.). Ὥστε καὶ ὁ Θεοφράστου μαθητὴς, ὁ Φαληρεὺς Δημήτριος, εἴπερ ἤκουεν ἑαυτὸν μὴ μόνον φιλόσοφον, ἀλλὰ καὶ *φιλολόγον* λεγόμενον, καὶ κριτικὸν, ἢ *γραμματικὸν*, οὐδόλως ἂν ἐπῃσχύνθη ὡς ἀναξίαν ἑαυτοῦ τὴν ἐπωνυμίαν (οἵαν Ὅδιος ἔκρινεν)· ὡς οὐδ' αὐτὸς ὁ βασιλεὺς Πτολεμαῖος ἐλυπεῖτο *φιλολόγος* ἀκούων, ἀλλὰ καὶ λίαν ἠγάλλετο, καὶ πολλὰ συνέγραψε *φιλολογικὰ*, ἢ *γραμματικά*. Ὁ δὲ Στράβων καὶ πάντας τοὺς τοῦ Μουσείου μετόχους, καὶ γραμματικοὺς καὶ φιλοσόφους, ἐπίσης ὠνόμασε *φιλολόγους*. Ὡσαύτως καὶ τοὺς πολυμαθεῖς ἄνδρας τῆς Ταρσοῦ (Στράβ. ιδ, 673, 675, καὶ ιζ. 794). Καὶ αὐτὸν δὲ τὸν ἐπὶ πολυμαθείᾳ περικλεέστατον *γραμματικὸν*

τέχνην θεωρίας καὶ τῆς ὀρθῆς ἑρμηνείας τῶν συγγραφέων), πρῶτος Πραξιφάνης Διονυσιφάνους Μιτηλυναῖος » κτλ. (ὅθεν ἴσως πρὸς διαστολὴν τῆς κοινῆς καὶ συνήθους ταύτης σημασίας τοῦ γραμματικὸς, ἀπὸ τῆς τοῦ φιλολόγος, προσετίθετο πολλάκις καὶ τὸ κριτικὸς, οἷον « Φιλητᾶς ὁ Κῶος γραμματικὸς καὶ κριτικὸς » Σουΐδ.) κτλ. Ὅτι δὲ τοῦτο πάλιν ὑπῆρχε συνώνυμον τοῦ φιλολόγος, μαρτυροῦσιν ἄλλα τε πολλὰ, κἀκεῖνο τὸ τοῦ Σκύμνου τοῦ Χίου περιηγητοῦ· ὅστις (Περίπλ. στίχ. 19) ὀνομάζει ἕνα « τῶν Ἀττικῶν γνησίων τε φιλολόγων » τὸν γραμματικὸν Ἀπολλόδωρον (οὗ σῴζεται καὶ παρ' ἡμῖν ἡ βιβλιοθήκη). Τούτου δὲ τοῦ φιλοσόφου καὶ φιλολόγου μνημονεύουσι καὶ Στράβων (α, 31), Λουκιανὸς (περὶ Μακροβ.), Ἀθήναιος (γ, ζ, ια, ιδ), Λαέρτιος (α. 1. §. 10). Περὶ ἄλλων ἐνδόξων Ἀπολλοδώρων ἔλ. Fabric. Bibl. Gr. vol. 4 p. 299. Harl. ἐν οἷς καὶ ὁ μνημονευόμενος ἐν Ἐφεσίων ἐπιγραφῇ. « Ἡ βουλὴ ἐτίμησε Πόπλιον Αἴλιον Φλαβιανὸν Ἀπολλόδωρον Ἀσπένδιον φιλόλογον » (Spon Voyage d'Italie etc. T. 3 p. 132).

(α) Σουΐδ. λ. Κράτης. Στράβ. ιδ, 676. πρβλ. καὶ Fabric. Bibl. Gr. vol. 3. p. 558. Harl.

Ἐρατοσθένην, τὸν Ἀγλαοῦ παῖδα, καὶ Ἀρίστωνος τοῦ Στωϊκοῦ καὶ αὐτοῦ τοῦ Στωϊκάρχου Ζήνωνος στωϊκὸν μαθητὴν (α), ὁ μὲν Ὅδιος ἐγκατέμιξε συγκορδυλήσας μετὰ τῶν ἄλλων, ὅσους ὑπεροπτικῶς καὶ σεσυρμένως ἀπηρίθμησε, γραμματικῶν, μόλις αὐτῷ χαρισάμενος ὀλίγα φιλοσοφίας ἄνθη (§. ϛ, καὶ γ). Ἄλλος ὅμως Ὁδίου πιστότερος (κἀκεῖνος *φιλολόγος καὶ κριτικὸς γραμματικός*), ὁ Λουκιανὸς, « τοῦτον (λέγει) τὸν Ἐρατοσθένην *οὐ μόνον γραμματικὸν, ἀλλὰ καὶ ποιητὴν ἄν τις ὀνομάσειε, καὶ φιλόσοφον, καὶ γεωμέτρην* » (ϐ). Ἀλλὰ καὶ τὸν Ἐρατοσθένους διδάσκαλον Καλλίμαχον, τὸν ὑπὲρ τὰ 800, βιβλία συγγράψαντα παντοδαπὰ, ποιήματά τε καὶ καταλογάδην, καὶ « *κρείσσονα βασκανίης ἄσαντα* », καὶ « *παρὰ τοῖς Αἰγύπτου βασιλεῦσι τετιμημένον* », ὡς ἕνα τῶν χυδαίων γραμματικῶν ἐμνημόνευσεν Ὅδιος, μιμούμενος ἴσως τὸν ὑποχονδριακὸν καὶ δύσκολον Σεϐηριανὸν, ὅστις ἀναγινώσκων « *κατέσκωπτε τὸν Λίβυν ποιητὴν* (τὸν Καλλίμαχον)· *ἀνιώμενος δὲ ἐπὶ μᾶλλον, ἤδη πολλαχοῦ καὶ τῷ βιβλίῳ προσέπτυεν* » (γ). Ὡσαύτως ἐξουθένησεν ὁ κριτικὸς καὶ τὸν Ἀπολλώνιον τὸν Ῥόδιον, Καλλιμάχου καὶ τοῦτον μαθητὴν, οὗτινος οἱ μαθηταὶ καὶ τὰ φιλόσοφα συγγράμματα διώρθουν, οἷος ἦν Ἀσκληπιάδης Διοτίμου Μυρλεανὸς (ἐκ τῆς Ἀπαμείας), συνταξάμενος « *φιλοσόφων βιβλίων διορθωτικά* » (Σουΐδ.). Ἀλλ᾽ ὤφειλεν ὁ κριτικὸς ἵνα κἂν τοῦ Καλλιμάχου φεισθῇ, χάριν τοῦ φίλου Ἑρμίππου, τοῦ Σμυρναίου ἐκείνου ἱστορικοῦ, ὃν τοσοῦτον ἐπῄνεσε πρῴην, σύμμαχον καλῶν (κεφ. Δ, §. γ), ὅστις καὶ αὐτὸς γραμματικὸς ὑπῆρχε *Καλλιμάχειος* (Ἀθήν.). Ἀλλὰ παραλείπω τὸ περὶ τοσούτων καὶ τηλικούτων φιλολόγων μακρότερα λέγειν, μή μου τὸ βιβλίον ἐκπεσὸν εἰς ἀπειρόκαλον καὶ μειρακιώδη φιλοτιμίαν, *φιλολόγον*

(α) Ἀθήν. Ζ, 281. Βλ. καὶ Fabric. Bibl. Graec. vol. 3. 562. Harl.

(ϐ) Λουκιαν. περὶ Μακροϐ. σελ. 228. τόμ. 3. Reitz. πρϐ. Σκύμν. περιηγ. ϛχ. 112: βλ. καὶ Eratosthen. Geograph. Fragment. ed. F. Seidel Götting. 1789. 8.

(γ) Σουΐδ. λ. Σεϐηριανός. πρϐλ. καὶ λ. Καλλίμαχος: καὶ Fabric. Bibl. Gr. vol. 3. p. 82. Harl.

μᾶλλον, ἢ *φιλόλογον* ἀποβῇ. Οὕτω τὸ τῆς Ὀδίου « *ζαπληθὲς, ἀμέτρητον στόμα Μούσης* » λάλους πρὸς ἀντήχησιν ποιεῖ πολλάκις καὶ τοὺς λιθώδεις! Ἢ πῶς ἄν τις παρῆλθε σιωπῶν οὕτως αὐτογνωμονοῦντα τὸν ἄλλως πολυμαθέστατον κριτικόν; ὅστις, ἐπειδὴ οὐκ εἶχεν ἱκανὴν εὐπιστίαν (ὡς εἶπεν), ἵνα παραδεχθῇ τὴν τοῦ Φαληρέως ἐπὶ τῆς βιβλιοθήκης ἐπιστασίαν, οὕτως ἀποτόμως καὶ ταύτην ἐξεφαύλισε, καὶ καθόλου δὲ τὸ γραμματικὸς ὄνομα καὶ πρᾶγμα προσεπηλάκισεν, ὥστε καὶ τοὺς ἐνδοξοτάτους τῶν φιλοσόφων γραμματικῶν ἐζωγράφησεν ὡς ἄλλους τινὰς ἀθλίους γραμματοκύφωνας καὶ γυμνοῤῥυπάρους γραμμαδιδασκαλίδας, πάντοτε περὶ μορίων καὶ πτώσεων καὶ στιγμῶν γραμματικῶν διαλεγομένους, καὶ φέροντας ἐπὶ τῆς ῥάχεως τὴν τοῦ Παλλαδᾶ *πεντάστιχον κατάραν*. Καὶ Λουκιανὸς μὲν ἀστείως ἱστορῶν τῶν κατ᾽ αὐτὸν Λαπιθῶν τὸ συμπόσιον, καὶ τοὺς εἰς αὐτὸ κεκλημένους ἀπὸ φιλοσοφίας καὶ λόγων εὐκλεεστάτους κατακλίνων εὐσχήμως, ὡς ἕκαστος ἀξίας εἶχεν, ἐσχάτους ἐκάθισε τὸν *ῥήτορα* (Διονυσόδωρον) καὶ τὸν *γραμματικὸν* (Ἱστιαῖον)· ἐτίμησε δὲ ὅμως πάντας ὁμοίως, « *μουσεῖόν τι τὸ συμπόσιον* » ἀποκαλῶν (ὡς τὸ τῆς Ἀλεξανδρείας), καὶ *σοφωτάτους* ἅπαντας τοὺς ἑστιωμένους, καὶ « *ὅτι περ τὸ κεφάλαιον ἐξ ἑκάστης αἱρέσεως* (α). Ὡσαύτως καὶ Ἀθήναιος (Α, ι) τοὺς *δειπνοσοφιστὰς* ἑστιῶν, ἀνέμιξε μετὰ φιλοσόφων καὶ τῶν *γραμματικῶν τοὺς χαριεστάτους*. Ὁ δὲ κλεινὸς Ὅδιος, εἴ ποτε συνέγραφε τοιοῦτό τι συμπόσιον σοφῶν, οὐδ᾽ ἂν ἐκάθιζεν ὅλως τοὺς ἀρχαίους γραμματικοὺς καὶ φιλολόγους συνδαιτυμόνας μετὰ τῶν φιλοσόφων, ἀλλ᾽ ἔξω που παρέῤῥιπτεν αὐτοὺς δειπνοῦντας τὰ λείψανα τῆς τραπέζης τῶν φιλοσόφων, καὶ συζητοῦντας μετὰ κραυγῶν πρὸς ἀλλήλους, τί τὸ *μῶν*, καὶ τί τὸ *κᾆτα*, καὶ *ποσαχῶς τὸ δή!*

§. ιή. Ἀλλ᾽ ὑπὲρ ἐκείνων μὲν ἀπολογοῦνται ἄλλα τε μυρία καὶ αὐτὸ τὸ τῆς Ἀλεξανδρείας Μουσεῖον, ἀσίγητον δι᾽ αἰῶνος φωνὴν ἀφιὲν, ἐν ᾧ πάσης καὶ παντοίας ἀπήλαυον παρὰ τοῖς βασιλεῦσι

(α) Λουκιαν. Συμπ. ἢ Λαπίθ. §. 9, 10, σελ. 424. τόμ. 3. Reitz.

τιμῆς. Καὶ ἄλλο δὲ Μουσεῖον ἀρχαιότατον ἀντιφθέγγεται πρὸς τὸν Ὅδιον, τὸ κατὰ τὴν Τροιζῆνα τῶν Μουσῶν ἱερὸν, καὶ Πιτθεὺς αὐτὸς, ὁ πάππος Ἡρακλέους, « *λόγιος ἀνὴρ καὶ σοφώτατος τῶν τότε* » νομιζόμενος, ὅστις ἐν τούτῳ τῷ Μουσείῳ ἐδίδαξε « *λόγων τέχνην* », ὡς ὁ Παυσανίας ἱστόρησε τὴν παράδοσιν, καὶ αὐτοῦ Πιτθέως δῆθεν προσενεχθὲν αὐτῷ σύγγραμμα ἀναγνούς (α). Εἰ δὲ καὶ ἐπὶ Παυσανίου, καὶ πολὺ πρότερον, ἴσως, οὐδὲν ἐσῴζετο παρ' Ἕλλησιν ἀρχαιότερον Ὁμήρου, ἀλλ' οὗτος πάλιν ὑπῆρξεν, ὡς τῆς ἄλλης ἁπάσης τῶν Ἑλλήνων σοφίας, οὕτω καὶ αὐτῶν μάλιστα τῶν γραμματικῶν ὁ πατὴρ, ἐν οἷς ὑβριζομένοις, οὐδ' αὐτὸς ἐπαινεῖται. Ἐγὼ δὲ νομίζω, ὅτι πρὸς τὸν παρ' Ὀδίου πολὺν τῶν γραμματικῶν προπηλακισμὸν ἠγανάκτησεν ἂν, ἴσως, καὶ αὐτὸς ὁ μισογράμματος Ἐπίκουρος, καὶ αὐτὸς ὁ Πύῤῥων ὁ Ἐφεκτικὸς, ὁμολογοῦντες ἀμφότεροι τὸ τῆς Γραμματικῆς ἀναγκαῖον (β)· ἐπέμυξαν δ' ἂν πάντως δυσφοροῦσαι καὶ αἱ καλαὶ τῆς Ἑλλάδος *γραμματικαὶ*, οἷον Ἀναγαλλὶς ἡ Κερκυραία, καὶ Παμφίλη Ἐπιδαυρία ἡ σοφὴ (Σουΐδ.), καὶ ἡ φιλομηροτάτη θυγάτηρ τῆς Ἀλεξάνδρου πόλεως Ἑστιαία (Στράβ. ιγ, 599), καὶ εἴ τινες ἄλλαι, καὶ δύω, τέλος, βασιλίδες, ἥ τε Ἀθηναία καὶ Ἀθηναῒς καλουμένη πρότερον, Εὐδοξία, ἡ ποικίλτρια τῶν Ὁμηροκέντρων, καὶ ἡ βασιλὶς καὶ βασιλόπαις Εὐδοκία, ἡ καλλιπλοκήσασα τὸν *Ἀριάδνης πλόκαμον*, καὶ καλὴν φυτεύσασα τὴν *Ἰωνιὰν*, ἀφ' ἧς καὶ αὐτὸς, ἴσως, Ὅδιος ἠνθολόγησεν (γ). Ἀλλὰ πρὸς ταύτας αὐτὸς πάλιν ὁ σοφὸς ἀπολογείσθω· ὅστις ἀλλαχοῦ καὶ πάνυ ἐπιχαρίτως διέγραψε, μαθὼν παρὰ τοῦ Φιλέλφου, τὴν εὐγλωττίαν τῶν Βυζαντίδων γυναικῶν (δ).

(α) Παυσαν. Β. λα. §. 4. Βλ. καὶ Πλουτάρχ. Θησ. §. γ.

(β) « Αὐτοὺς δὲ εὑρήσομεν τοὺς τῆς Γραμματικῆς κατηγόρους, Πύῤῥωνά τε καὶ Ἐπίκουρον, ἐξομολογουμένους τὸ ἀναγκαῖον αὐτῆς. ὧν ὁ μὲν Πύῤῥων ἱστορεῖται τὴν Ὁμηρικὴν διὰ παντὸς ποίησιν ἀναγινώσκων· μὴ ἄν ποτε τοῦτο ποιήσας, εἴπερ μὴ ἐγίνωσκεν αὐτὴν χρησίμην, καὶ διὰ τοῦτο τὴν γραμματικὴν ἀναγκαίαν ». κτλ. Σέξτ. π. Μαθηματ. σελ. 54.

(γ) Βλ. Σωκρ. Ἐκκλ. *ἱστ.* Ζ, 21 : *Ζωναρ. χρον. ιγ. σελ.* 45 : Τζέτζ. *χιλ.* 10. 306. *καὶ* Fabr. Bibl. Gr. L. V. c. 5.

(δ) *Ὁ σοφὸς Ὅδιος συνέγραψε μεταξὺ τῶν ἄλλων, καὶ περὶ τῶν μετὰ τὴν Βυζαν-*

§. ιθ΄. Καὶ αὐτοὺς δὲ τοὺς ἀσήμους τῶν ἐν Ῥώμῃ βιβλιοθηκῶν ἐπιστάτας οὐδὲν πρὸς ἔπος ἐμνημόνευσεν ὁ κριτικός. Εἴπερ ἐπὶ τῆς Παλατινῆς καὶ τῆς Ὀκταυϊανῆς, ἢ καὶ ἄλλης τινὸς τῶν ἐκ τῆς Ἑλλάδος εἰς Ῥώμην συνηγμένων δημοσίων βιβλιοθηκῶν (οἷον τοῦ Τιβερίου, τοῦ Τραϊανοῦ, τοῦ Οὐεσπασιανοῦ, τῆς Καπιτωλίνης) (α) ἐπεστάτουν καὶ πτωχοί τινες καὶ ἀπὸ δούλων γραμματικοί, ἀλλ᾽ ὅμως τῆς ἐν Ἀλεξανδρείᾳ προστάται γεγόνασιν ἄλλοι τε περικλεεῖς καὶ Καλλίμαχος, ὁ Βάττου μὲν τοῦ κτίστου τῆς Κυρήνης ἀπόγονος (β), Βάττου δὲ καὶ Μεσάτμας υἱός, καὶ ἔγγονος Καλλιμάχου στρατηγοῦ (γ). Τούτου δὲ καὶ αὐτὸς ὁ δοῦλος καὶ μαθητὴς Ἴστρος ἀπέβη διὰ τῆς σοφίας πολλῶν συγκλητικῶν Ῥωμαίων ἐπιφανέστερος. Ἀριστοφάνης δὲ πάλιν ὁ Βυζάντιος, Καλλιμάχου καὶ οὗτος μαθητής, ὁ προστὰς τῆς βιβλιοθήκης (κατὰ τὸν Πλίνιον), στρατηγοῦ καὶ αὐτὸς υἱὸς ἦν, Ἀπελλοῦ, *ἡγουμένου στρατιωτῶν»* (Σουΐδ.). Τὸν δ᾽ Ἀλεξανδρέα Διονύσιον (εἴτε τῶν ἐν Ἀλεξανδρείᾳ, εἴτε τῶν ἐν Ῥώμῃ βιβλιοθηκῶν προστάντα· διότι τοῦτο οὐ διακρίνεται ῥητῶς παρὰ τῷ Σουΐδᾳ), καὶ αὐτὸς Ὅδιος ὡς ἔνδοξον ἐν ἀξιώμασιν ἐμνημόνευσεν (§. δ, καὶ ϛ). Καθόλου δὲ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν οἱ προεστηκότες τοσούτῳ παρὰ τοὺς ἐν Ῥώμῃ διέφερον, ὅσον καὶ αὐταὶ αἱ βιβλιοθῆκαι, καὶ οἱ φιλομουσότατοι Πτολεμαῖοι, οἱ Σωτῆρες μάλιστα καὶ Φιλάδελφοι καὶ Εὐεργέται, παρὰ τοὺς γάστρωνας Λευκόλλους (ἢ Λουκούλλους), καὶ τοὺς ἀγρίους Σύλλας καὶ Μομμίους! Ἐπῆρεν ὁ Σύλλας αἰχμάλωτον εἰς τὴν Ῥώμην ἐξ Ἀθηνῶν τὴν Ἀπελλίκωντος βιβλιοθήκην· ἀλλὰ πόσην εἰς

τίου ἅλωσιν ἑλλήνων συγγραφέων, ἐν τῷ Humfr. Hody de Graecis illustribus, Linquae Graecae literarumque instauratoribus. Londin. 1742. Ἐν ᾧ καὶ Φιλέλφου μνημονεύει, τοῦ κατὰ τὰς παραμονὰς τῆς ἁλώσεως ἐν Κωνσταντινουπόλει διατρίψαντος. (p 51—61). Ἐπαινεῖ δὲ κατὰ τὸ πρέπον καὶ τοὺς τότε λογίους Ἕλληνας, οἵτινες μεταναστάντες ἐκ τῆς αἰχμαλώτου πατρίδος εἰς τὴν τότε κατάζοφον Εὐρώπην, ἀνῆψαν πάλιν ἐν αὐτῇ τὰ φῶτα τῆς παιδείας.

(α) Βλ. Lipsius de Biblioth. c. 6, 7. — (β) Στράβ. ιζ. 837. πρβλ. καὶ Σχολ. εἰς Καλλιμ. ὕμν. Β. 65·

(γ) Βλ. αὐτοῦ τοῦ Καλλιμάχου τὸ εἰς τὸν πατέρα Βάττον ἐπίγραμμα (κβ, σελ. 292. τ. α. Ernest.).

αὐτὴν ἔδειξεν ὀλιγωρίαν, ἀποδείκνυσιν ὁ κατασταθεὶς ἐπ' αὐτῆς ἀνώνυμος ἐπιστάτης (οὔτε φιλόσοφος, ἢ γραμματικὸς, οὔτ' ἀπελεύθερός τις, ἴσως, ἀλλ' εἷς ἐκ τῶν αὐτοῦ ἀνδραπόδων), ὃν (χρήμασιν, ἢ κολακείᾳ) « *θεραπεύων* ὁ *Τυραννίων* (Ἀμισηνὸς γραμματικὸς) *διεχειρίζετο* (καθὼς ἤθελε) *τὴν βιβλιοθήκην* (α). Καὶ θαυμαστὸν οὐδὲν, εἰ τοιοῦτοι ἅρπαγες ὀλίγον ἐφρόντιζον περὶ τῆς ἀξίας καὶ συντηρήσεως τῶν ὅσων ἑτοίμως καὶ εἰς πλῆθος ἐλήστευον ἀλλοτρίων θησαυρῶν, ἀπογυμνοῦντες ἐξ αὐτῶν τὴν Ἑλλάδα (ὁποῖος καὶ Μόμμιος ἐφάνη περὶ τὰ ἀναθήματα τῆς Κορίνθου (β)). Τὸ δὲ παραδοξότερον, ὅτι καὶ αὐτὸς ὁ φιλολογώτατος φιλόσοφος καὶ πολιτικὸς Κικέρων *δοῦλον* εἶχε φύλακα τῆς ἑαυτοῦ βιβλιοθήκης,

---

(α) Στράβ. ιγ, 609: Πλούτ. Σύλλ: Λουκιαν τ. γ. σελ. 102. Reitz: Σουΐδ. λ. Ἀπελλίκ. καὶ Τυραννίων. Περὶ τῆς Ἀπελλίκωντος βιβλιοθήκης, καὶ ἰδίως περὶ τῶν ἐν αὐτῇ βιβλίων Ἀριστοτέλους καὶ Θεοφράστου, διέλαβε καὶ ὁ ἐκδότης τοῦ Ἀριστοτέλους Buhle (praef. p. 17—19), καὶ ὁ τοῦ περὶ Ζώων ἱστορίας τοῦ Ἀριστοτέλους περικλεὴς ἐκδότης Σνεϊδέρος (praef. p. 77—93)· ὅπου καὶ τὰ περὶ Νηλέως, τοῦ κληρονομήσαντος τὴν Θεοφράστου βιβλιοθήκην, εἰρημένα ὑπό τε Στράβωνος καὶ Πλουτάρχου παραβάλλοντες πρὸς τὰ τοῦ Ἀθηναίου (βλ. ὄπισθ. σελ. 250), ὁ μὲν Βύλης θεραπεύει τὴν ἐναντιοφάνειαν, κρίνων, ὅτι ὁ Φιλάδελφος ὠνήσατο παρὰ τοῦ Νηλέως πάντα τὰ τῶν ἄλλων συγγραφέων, πλὴν τῶν αὐτοῦ τοῦ Ἀριστοτέλους (οὕτω καὶ Vossius de Sectis philosoph. c. 16. καὶ Lipsius de Biblioth. c. 3)· ὁ δὲ Σνεϊδέρος ἔκρινεν (οὐ πάνυ τοι δικαίοις λόγοις) συγκεχυμένον τὸ τοῦ Ἀθηναίου χωρίον, ὑπ' αὐτοῦ τοῦ συνοψιστοῦ τοῦ Ἀθηναίου· ἀλλὰ καὶ ἐν τοῖς Στράβωνος καὶ τοῦ Πλουτάρχου θεωρεῖ τινα ἀντιλεγόμενα.

(β) « Σχεδὸν γάρ τι καὶ τῶν ἄλλων ἀναθημάτων τῶν ἐν Ῥώμῃ τὰ πλεῖστα καὶ ἄριστα ἐντεῦθεν » (ἐκ τῆς κατασκαφείσης Κορίνθου) « ἀφῖκται· τινὰ δὲ καὶ αἱ κύκλῳ τῆς Ῥώμης πόλεις ἔσχον. Μεγαλόφρων γὰρ ὢν μᾶλλον, ἢ φιλότεχνος ὁ Μόμμιος, ὥς φασι, μετεδίδου ῥᾳδίως τοῖς δεηθεῖσι. Λεύκολλος δὲ κατασκευάσας τὸ τῆς Εὐτυχίας ἱερὸν, καὶ στοάν τινα, χρῆσιν ᾐτήσατο ὧν εἶχεν ἀνδριάντων ὁ Μόμμιος, ὡς κοσμήσων τὸ ἱερὸν μέχρις ἀναδείξεως, εἶτ' ἀποδώσων· οὐκ ἀπέδωκε δέ —· πρᾴως δ' ἤνεγκεν ἐκεῖνος, — ὥστ' ηὐδοκίμει τοῦ ἀναθέντος μᾶλλον » (Στράβ. η, 381). Καλὴ τῇ ἀληθείᾳ μεγαλοφροσύνη (ὡς εἶπε καταχρηστικώτερον ὁ Στράβων τὴν μᾶλλον ἀνάλγητον ἀσωτίαν τοῦ Μομμίου). Τοιοῦτοι μεγαλόφρονες καὶ μεγαλόδωροι φαίνονται καὶ πάντες οἱ λῃσταὶ, φιλοδωροῦντες ἑτοίμως ἅπερ ἀπόνως ἔλαβον. Καίτοι ὁ Λούκουλλος πλῆθος καὶ αὐτὸς βιβλίων ἐκ Πόντου κομίσας εἰς Ῥώμην (Isidor), ἐφιλοτιμεῖτο ὅμως καὶ ἄλλως εἰς συναγωγὴν πολλῶν καὶ καλῶς γεγραμμένων βιβλίων· καὶ τὰς βιβλιοθήκας εἶχεν ἀνειμένας τοῖς πᾶσι, καὶ πολλάκις συνεσχόλαζε τοῖς φιλολόγοις. βλ. Πλούτ. Λουκούλ. §. μβ.

Διονύσιον, τὸν αὐτὸν καὶ *ὀψωνητὴν* (ὅστις καὶ ἐδραπέτευσε κλέψας βιβλία πολλὰ, καθὼς αὐτὸς ὁ τῶν Ῥωμαίων Δημοσθένης ἀποκλαίεται) (α). Ὁ δὲ πάλιν εὐκλεέστατος καὶ Καῖσαρ καὶ φιλολόγος καὶ ἱστορικὸς, ὁπότ᾽ ἐπολέμει πρὸς τοὺς Ἀλεξανδρεῖς, ἐπέσυρε τὸν ἐμπρησμὸν τοῦ Σεραπείου καὶ τῆς ἐν αὐτῷ μεγάλης (εἰ καὶ μὴ πάσης) βιβλιοθήκης (β), ἄκων μὲν καὶ μὴ βουλόμενος (ὁποῖα συμβαίνουσι πολλάκις εἰς τοὺς κοσμοφθόρους πολέμους), ἀλλ᾽ ὅμως καὶ οὕτω φανεὶς περὶ τὴν εἰς τὰ καλὰ φειδὼ καὶ συντήρησιν πάμπολυ διαφέρων Δημητρίου τοῦ Πολιορκητοῦ· ὅστις τὴν Ῥόδον πολιορκῶν, καὶ τὴν περὶ *τὸν Ἰάλυσον διάθεσιν* (πολυπρόσωπον εἰκονογραφίαν) τοῦ ζωγράφου Πρωτογένους ἔν τινι τῶν προαστείων λαβὼν, ἐπειδὴ πέμψαντες οἱ Ῥόδιοι κήρυκα παρεκάλουν φείσασθαι, καὶ μὴ διαφθεῖραι τὴν ζωγραφίαν, ἀπεκρίνατο· « τὰς τοῦ πατρὸς εἰκόνας ἐμπρήσειν μᾶλλον, ἢ *τέχνης πόνον τοσοῦτον* ». Ἀλλ᾽ ὅμως ὕστερον « καὶ ταύτην τὴν (δι᾽ ἐτῶν ὅλων ἑπτὰ συντελεσθεῖσαν) *γραφὴν* (ζωγραφίαν), « *εἰς ταὐτὸ ταῖς ἄλλαις συνωσθεῖσαν ἐν Ῥώμῃ, τὸ πῦρ ἐπενείματο* » (Πλούτ. Δημητρ. §. κβ). Ὁ δὲ σοφὸς Ὅδιος οὔτε δικαίως, οὔτ᾽ εὐθυῤῥημόνως, ἢ ἀληθῶς συνεπέρανε τὴν ἄτιμον ἀσημότητα τῶν ἐν Ἀλεξανδρείᾳ προστατῶν τῆς βιβλιοθήκης, ἀπὸ τῶν ἐπὶ τῆς Ῥώμης ἀπελευθέρων, παραβάλλων τοὺς περὶ τὰς Μούσας ὀλιγώρους Ῥωμαίους πρὸς τοὺς Ἕλληνας· οἵτινες καὶ δοῦλοι πολλάκις ὑπὸ τῶν δορικτητόρων ἀπαγόμενοι Ῥωμαίων, ἐκόσμουν τὴν Ῥώμην, διαπρέποντες καὶ ἀφ᾽ ὧν συνῆγον ἰδίων αὐτῶν βιβλιοθηκῶν (γ).

(α) Cicer Epist XIII. 77. τὸν αὐτὸν ἴσως εἶχε καὶ διδάσκαλον τῶν ἑαυτοῦ υἱῶν (Epist VII. 30 VI. 1. VIII 4. κτλ). Θαυμαστὸν δὲ πῶς καὶ τοῦτον τὸν βιβλιοκλέπτην δοῦλον ὁ κλεινὸς Ὅδιος οὐκ ἐμνημόνευσε μεταξὺ τῶν ἄλλων ἀπελευθέρων βιβλιοφυλάκων τῆς Ῥώμης, ὅσους παρέβαλε πρὸς τοὺς τῆς Ἀλεξανδρείας!

(β) Πλούταρχ. Ἰουλ. Καίσ. §. μθ. — Ammian. Lib. 22. πρβλ. Ἐπιφάν. περὶ μέτρ. §. ια, καὶ Dion. Petav. amimad. in S. Epiphan. Tom. 2. p. 383.

(γ) Οὕτω Τυραννίων ὁ ἐξ Ἀμισοῦ (ὁ προῤῥηθεὶς) ἁλοὺς μετὰ τῆς πατρίδος ὑπὸ Λουκούλλου (ὅτε κατεπολέμησε τὸν Μιθριδάτην. βλ. Πλούτ. Λουκούλ. §. ιθ). « καὶ διαπρεπὴς ἐν Ῥώμῃ γενόμενος, καὶ πλούσιος, ἐκτήσατο καὶ βιβλία ὑπὲρ τὰς τρεῖς μυριάδας » (Σουΐδ). Ἄλλος, Ἐπαφρόδιτος, Χαιρωνεὺς γραμματικὸς — « ὠνήθη ὑπὸ τοῦ Μοδέστου, ἐπάρχου Αἰγύπτου, καὶ παιδεύσας τὸν υἱὸν αὐτοῦ ἐν Ῥώμῃ, διέπρεψεν

Τελευταῖον, καὶ αὐτοὺς τοὺς Ῥωμαίους ἠδίκησεν, ἐν μέρει γοῦν, ὁ κριτικός· διότι καὶ κατ᾽ αὐτὴν τὴν Ῥώμην, μεταξὺ τῶν ὧν ἀπήντα χειραφέτων καὶ ἀπὸ δούλων φυλάκων τῶν βιβλιοθηκῶν, ἠδύνατ᾽ ἀπαντῆσαι καὶ τὸν εὐπατρίδην καὶ πολυμαθέστατον τῶν Ῥωμαίων φιλολόγων Οὐάῤῥωνα, προστατοῦντα τῆς Ἰουλίου τοῦ Καίσαρος βιβλιοθήκης (ὅστις καὶ συνέγραψε περὶ βιβλιοθηκῶν). Καὶ ἄλλον ἔτι λαμπρότερον ἐπιστάτην πασῶν τῶν ἐν Ῥώμῃ βιβλιοθηκῶν, ὡς δηλοῖ ἡ ἐπὶ τῆς Ὀστίας (Ostiensis) ὁδοῦ εὑρεθεῖσα ἀρχαία ἐκείνη ἐπιγραφή· « *Ἀρχιερεῖ Ἀλεξανδρείας καὶ Αἰγύπτου πάσης, Λευκίῳ Ἰουλίῳ Οὐεστινίῳ, καὶ ἐπιστάτῃ τοῦ Μουσείου, καὶ ἐπὶ τῶν ἐν Ῥώμῃ βιβλιοθηκῶν, Ῥωμαϊκῶν τε καὶ Ἑλληνικῶν, καὶ ἐπὶ τῆς παιδείας Ἀδριανοῦ, [καὶ] ἐπιστολεῖ τοῦ αὐτοῦ αὐτοκράτορος* » (α). Εἰ δὲ καὶ ὁ προειρημένος (ἐπὶ Νέρω-

---

(ἐπὶ Νέρωνος)· — *ὠνούμενος δὲ ἀεὶ βιβλία, ἐκτήσατο μυριάδας τρεῖς· [καὶ] τούτων δὲ σπουδαίων καὶ ἀνακεχωρηκότων* » (τουτέστι σπανίων, καὶ μὴ κοινῶν). Σουΐδ.

(α) Δεμάγιστρος (l. c. p. 567)· Ὁ δ᾽ αὐτὸς (p. 561) καὶ ἄλλον Διονύσιον τὸν Μιλήσιον σοφιστήν, « ὃν Ἀδριανὸς σατράπην ἀπέφηνεν οὐκ ἀφανῶν ἐθνῶν, κατέλεξε δὲ τοῖς δημοσίᾳ ἱππεύουσι, καὶ τοῖς ἐν τῷ Μουσείῳ σιτουμένοις » (Φιλόστρ. βίοις Σοφιστ. βιβλ. Α κδ. §. 3), καὶ τοῦτον τὸν Διονύσιον ὁ Δεμάγιστρος ἠρίθμησεν ὡς ἕνα τῶν προστάντων τῶν ἐν Ἀλεξανδρείᾳ, ἢ (τὸ πιθανώτερον) τῶν ἐν Ῥώμῃ βιβλιοθηκῶν, ἐπάγων εἰς μαρτυρίαν λατινικῆς ἐπιγραφῆς τεμμάχιον (ἐκ τοῦ Maffei Antiquit. Gall. p. 188), ὅπου μνημονεύεται « Διονύσιος ἐπ᾽ Ἀδριανοῦ ἐπιμελητὴς (procurator) τῆς Ἀλεξανδρινῆς Διοικήσεως, καὶ τῶν βιβλιοθηκῶν τῶν ἑλληνικῶν καὶ ῥωμαϊκῶν (bibliothecar. Graec. et Latin.), Ἀνθύπατος Λυκίας, Παμφυλίας, Γαλατίας » κτλ. καὶ προσέτι « ἐπὶ τῶν ἐπιστολῶν (ab epistolis) τοῦ αὐτοκράτορος ». — Ὅθεν ὁ Δεμάγιστρος νομίζει (οὔ τι πάνυ πιθανὰ λέγων), ὅτι ἐκ τούτου τοῦ Διονυσίου τοῦ Μιλησίου παραλαβὼν ὁ Σουΐδας ἀπέδωκεν εἰς τὸν Ἀλεξανδρέα Διονύσιον καὶ τὰ ἐπώνυμα ἐκεῖνα « καὶ ἐπὶ τῶν ἐπιστολῶν καὶ πρεσβειῶν ἐγένετο καὶ ἀποκριμάτων » (βλ. ἀνωτ. §. ς). Ἀλλ᾽ εἴτε καὶ ὁ Ἀλεξανδρεὺς Διονύσιος εἶχε καὶ ταῦτα τὰ ἀξιώματα, εἴτε μόνος ὁ Μιλήσιος ὁ σοφιστὴς (οὗτινος οὐδόλως ὁ Σουΐδας ἐμνημόνευσεν· ἄλλου δέ τινος ὁμωνύμου ἱστορικοῦ), καὶ εἴτε τὸν Μιλήσιον σοφιστήν, εἴτε καὶ ἄλλον τινὰ Διονύσιον ὁμώνυμον, ἐννοεῖ ἡ ἐπιγραφή, φαίνεται σαφῶς καὶ ἐξ αὐτῆς, ὅτι τὴν τῶν βιβλιοθηκῶν ἐπιστασίαν οὐκ ἀπηξίουν καὶ ἄνδρες ἐπισημότατοι, καὶ πολὺ πλειόνων ἐπιστάται λαῶν, παρὰ τὸν μόνον Ἀθηνῶν ἐπιστατήσαντα Φαληρέα· ὁ δὲ Δεμάγιστρος (αὐτόθ.) ὀρθῶς μνημονεύει καὶ τὸν ἐπὶ τῶν αὐτοκρατόρων προεστηκότα τῆς ἐν Κωνσταντινουπόλει (πλησίον τῆς ἁγίας Σοφίας) καθιδρυμένης (ἐν τῷ Μουσείῳ) βιβλιοθήκης

νος ἀκμάσας καὶ μέχρι Τραϊανοῦ) Διονύσιος ὁ Ἀλεξανδρεὺς προέστη τῶν ἐν Ῥώμῃ βιβλιοθηκῶν (ὡς Ὄδιος ἐξέλαβεν) (α), ὑπῆρχον λοιπὸν καὶ εἰς τὴν Ῥώμην (ἐπὶ τῶν τὰ Πτολεμαϊκὰ τῆς Ἀλεξανδρείας καλὰ ζηλούντων μάλιστα Καισάρων) ἐπιστάται τῶν βιβλιοθηκῶν ἄνδρες καὶ ἐν ἐπαγγέλμασι πολιτικοῖς ἐπιφανέστατοι, καὶ οὐ μόνον ἀπὸ δούλων, ὡς ἔγραψεν ὁ κριτικός. Καί τοι καὶ δούλων παῖδες ἐν Ῥώμῃ ἀπέβησαν καὶ ἄλλως ἐν ἀξιώμασι λαμπροί. Οὕτω Θεοδώρου τοῦ Γαδαρέως, καὶ ἀπὸ δούλων σοφιστοῦ, καὶ Τιβέριον τὸν Καίσαρα διδάξαντος ὁ υἱὸς Ἀντώνιος ἐγένετο ἐν Ῥώμῃ συγκλητικός (Σουΐδ.). Ὁ δὲ φίλος τοῦ Ὀδίου Ἕρμιππος καὶ βιβλίον ὅλον συνέγραψε « *περὶ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων* » (β). Ἀλλὰ καὶ αὐτὸς, τέλος, ὁ καὶ ἐκ παιδείας καὶ ἀπὸ τῆς πολιτείας ἐπιφανέστατος Δημήτριος (οὗτινος ἀναξιωτάτην τὴν ἐπὶ τῆς βιβλιοθήκης ἐπιστασίαν ἔκρινεν ὁ κριτικὸς, ὡς μόνον εἰς γραμματικούς τινας ἀπελευθέρους καὶ οἰκότριβας ἁρμόζουσαν), καὶ αὐτὸς οὗτος ὁ Φαληρεὺς οὔτε τῶν ἀπὸ Κόδρου τις ἦν, ἢ τῶν Πεισιστρατιδῶν, οὔτε ὅλως εὐγενὴς, *ἀλλ' οἰκότριψ, ἐκ τῆς Κόνωνος οἰκίας* (γ).

ὡς καὶ τοῦτον ἔνδοξον διὰ τὸ ἐπάγγελμα, καὶ μάλιστα τιμώμενον, καθὼς μαρτυρεῖ Κωνσταντῖνος ὁ Μανασσῆς ἐν τῷ Χρονικῷ (βλ. καὶ ὄπισθ. σελ. 332).

(α) Vet. urb. Descript. apud Mabill. Analect. IV. p. 503, καὶ Demagistr. l. c. p. 567.

(β) Σουΐδ. λ. Ἴστρος. πρβλ. καὶ Gell. N. Attic. 11. 18. ὅπου πολλοὶ ἀριθμοῦνται φιλόσοφοι γεγονότες ἀπὸ δούλων, οἷον Φαίδων (Λαέρτ. β. θ), Μένιππος, Πομπύλος (Λαέρτ. Ε, β, 3), Περσεὺς, Διογένης ὁ Κυνικὸς, Ἐπίκτητος, ὁ Ἴστρος αὐτὸς, κτλ.

(γ) « Καί περ οὐκ εὐγενὴς ὤν· ἦν γὰρ ἐκ τῆς Κόνωνος οἰκίας, ὡς Φαβωρῖνος ἐν α, τῶν ἀπομνημονευμάτων φησί » (παρὰ Λαερτ. Ε, ε, 3). « Δημήτριον δὲ τὸν Φαληρέα οἰκότριβα γενέσθαι λέγουσιν ἐκ τῆς οἰκίας Τιμοθέου καὶ Κόνωνος » (Αἰλιαν. ποικ. ἱστ. ιβ. 43). « Ὁ δὲ Τιμόθεος (ὁ τοῦ Κόνωνος πατὴρ) « ἑταίρας ἦν υἱὸς Θρᾴσσης τὸ γένος, σεμνῆς δὲ ἄλλως τοὺς τρόπους » (Ἀθήν. ιγ. 577. πρβλ. καὶ Menag. Not. in Laert. vol. 2. p. 221). Περὶ ἄλλων πολλῶν πολλαχοῦ ἀπὸ δούλων, ἢ καὶ ἄλλως δυσγενοῦς καὶ φαύλης καταστάσεως εἰς τὰς μεγίστας ἀνελθόντων ἀρχὰς βλ. Ἀθήναιον (αὐτόθ.), καὶ Αἰλιανὸν (αὐτ.). πρόσθες καὶ τὰ τοῦ Ἑλλαδίου· « Ὅτι Ὀνηλάτου μὲν υἱὸς Διονύσιος ἦν, ὁ τῆς Σικελίας ἄρξας ἔτη μ, δυοῖν ἀποδέοντα. Ἀγαθοκλῆς δὲ, Κεραμέως. — Τῆς δ' Ἀταρνέως δοῦλος ἦρξεν, Ἑρμείας. Πῶρος δὲ ὁ βασιλεὺς Ἰνδῶν κουρέως ἦν υἱός. Βράδυλλις δέ τις Ἰλλυρίων ἐστρατήγησεν, ἀνθρακεὺς γεγονώς· καὶ Ὀρθαγόρας Σικυῶνος ἐτυράννησεν, ὁ μάγειε-

§. κ΄. Δ) Πρῶτον τῆς βιβλιοθήκης ἱδρυτὴν ἀπέδειξεν Ὅδιος Πτολεμαῖον τὸν Σωτῆρα (§. ζ.). Ὀρθῶς καὶ ταῦτα καὶ πάνυ σοφῶς. Ἀλλὰ παραυτίκα πάλιν ἀντιπεριέπεσεν εἰς λαμπρὰς πρὸς ἑαυτὸν ἀντιφάσεις. Αὐτὸς διϊσχυρίσθη περὶ τοῦ Ἀριστέου, ὅτι λίαν ἠπατημένως ὑπέλαβε πρῶτον τῆς βιβλιοθήκης ἱδρυτὴν οὐχὶ τὸν Λαγίδην, ἀλλὰ τὸν Φιλάδελφον (βλ. ὄπισθ. §. η). Καὶ πάλιν παρευθὺς (§. ι) ἀποδείκνυσι τὸν Ἀριστέα, αὐτὰς αὐτοῦ τὰς ῥήσεις παρατιθείς, ὅτι καὶ αὐτὸς ἐγνώριζε προϋπάρχουσαν (πρὸ τῶν Φιλαδέλφου χρόνων) βιβλιοθήκην βασιλικήν. Ἀλλ᾽ ἐπειδὴ καὶ τοῦτο μόνον ἀληθεύει, ἄρα καὶ αὐτὸς ὁ κριτικὸς ἐξελέγχει τὴν πρώτην αὐτοῦ γνώμην, ὡς ψευδῆ καὶ πάσης ἐπικρίσεως ἧττονα φαντασίαν, δι᾽ ἧς ἡμῖν ἐφοίβαζεν ὑποδεικνὺς ἐκ ποίας αἰτίας ὁ Ἀριστέας πλανηθείς, κατέστησε τὸν Δημήτριον ἐπὶ τῆς βιβλιοθήκης τοῦ Φιλαδέλφου! Πάλιν, συγκρούων πρὸς τὸν Ἀριστέα τούς, οὓς λέγει *τούτου ὀπαδοὺς* (πάντας ἐννοῶν τοὺς ἱεροὺς πατέρας καὶ ἱστορικούς, ὅσοι μνημονεύουσι καὶ τὴν ἐπὶ τῶν βιβλιοθηκῶν ἐπιστασίαν τοῦ Φαληρέως), ἀπεδείκνυεν αὐτοὺς ἐξ ὧν ἀνέφερεν αὐτῶν χρήσεων (§. ι), ὅτι δῆθεν οὗτοι τὸν Φιλάδελφον θέλουσι πρῶτον τῆς Ἀλεξανδρινῆς βιβλιοθήκης καθιδρυτήν. Ἀλλ᾽ αὐτὸς πάλιν ἀλλαχοῦ (§. ζ), μνημονεύων ἐκεῖνα τὰ τοῦ Ἀθηναίου (ε, 202) « *περὶ δὲ βιβλίων πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς* » κτλ. εἰς ἔπαινον εἰρημένα τοῦ Φιλαδέλφου, παρήγαγεν αὐτὰ πρὸς ἀπόδειξιν ὅτι « *ἀξίως ὁ Φιλάδελφος ἐκλεΐσθη διὰ τὴν περὶ τὴν βιβλιοθήκην φιλοτιμίαν* »· ἐκ δὲ τούτων οὐδόλως ὑπενόησε καὶ ὅτι ταῦτα λέγων ὁ Ἀθήναιος ἐφρόνει τὸν Φιλάδελφον πρῶτον θεμελιωτὴν *τῆς τῶν βιβλιοθηκῶν κατασκευῆς* (τοῦ δὲ Λαγίδου οὐδεμίαν ποιεῖται μνείαν ἡ τοῦ Ἀθηναίου περικοπή). Διὰ τί λοιπὸν

ρος » (Ἑλλάδ. παρὰ Φωτ. ἀναγ. σοθ). *Ἀλλ᾽ ὁ κλεινὸς* Ὅδιος *μέγα τῶν ἐν Ῥώμῃ γραμματικῶν βιβλιοφυλάκων ὄνειδος προφέρει καὶ τὴν τοῦ γένους ἀφάνειαν! ὡς ἂν ἀπὸ δούλων ἄρχοντας μὲν καὶ ἡγεμόνας ἐθνῶν γινομένους, ἐνδόξους δὲ γραμματικοὺς καὶ βιβλιοθηκῶν ἐπιστάτας μὴ γινομένους! μηδὲ τοιούτους πάλιν ἀπ᾽ ἀρχόντων, διὰ τὴν ἀγχίστροφον τοῦ βίου μεταβολήν!*

ὁ κριτικὸς οὐκ ἐξήγησε παρομοίως καὶ τὰς ῥήσεις τῶν ὧν λέγει ὀπαδῶν τοῦ Ἀριστέου; Ἢ τί διαφέρουσι τὸ παρ' Ἀθηναίῳ « *βιβλίων πλῆθος, καὶ ἡ βιβλιοθηκῶν κατασκευὴ* », παρὰ τὰ τοῦ Ἰουστίνου ἐκεῖνα, ὅτι « *βιβλιοθήκην κατεσκεύασεν ὁ Φιλάδελφος, — πανταχόθεν συνάγων βιβλία* », καὶ τ' ἄλλα τὰ τῶν ἄλλων ὅσα κατέλεξε ταυτοσήμαντα; (βλ. ὄπισθ. §. ε. πρβλ. καὶ §. ζ. σημ.). Μὴ γὰρ ἔγραψάν τινες ἐκ τούτων δὴ τῶν Ἀριστέου ὀπαδῶν, προσθέντες ἐπὶ λέξεως, ὅτι *οὐχ ὁ Λαγίδης, ἀλλ' ὁ Φιλάδελφος* ἐπεχείρησε πρώτιστα *βιβλιοθήκης κατασκευήν;* Καὶ αὐτὸς ὁ γηραιὸς Τερτυλλιανὸς, λέγων τὸν Φιλάδελφον τοῦ Πεισιστράτου ζηλωτὴν *περὶ τὴν εἰς τὰς βιβλιοθήκας σπουδὴν*, ἄλλο τι ἐσήμανε διὰ τοῦ πληθυντικοῦ *βιβλιοθηκῶν*, ἤ, ὅτι μὴ ἀγαπῶν εἰς μίαν (τὴν ὑπὸ τοῦ πατρὸς συσταθεῖσαν), πολλὰς ἐποίει τὰς βιβλιοθήκας ὁ Φιλάδελφος, μιμούμενος τὸν Πεισίστρατον; (τοῦτον δὲ πρῶτον μεταξὺ τῶν Ἑλλήνων ἱστορούμενον, ὡς μεγάλην συναγαγόντα βιβλιοθήκην, ἠπίστατο ὁ Τερτυλλιανός). Καὶ αὐτὸς δὲ, τέλος, ὁ εὔρους καὶ γλυκὺς Μανασσῆς στιχουργήσας τὰ

— — — — — — « ὃς πρῶτος βασιλέων
Τὴν Ἀλεξάνδρου τέθεικε *βίβλων πολλῶν μητέρα*·
Ἀπειραρίθμους γάρ φασι βίβλους αὐτὸν ἀθροῖσαι » κτλ.

τί ἄλλο ἐξέφρασε παρὰ τὸ παρ' Ἀθηναίῳ *πλῆθος τῶν βιβλίων*, ὅπερ ὁ Φιλάδελφος πρῶτος τῶν ἄλλων βασιλέων συνήθροισεν, αὐξήσας εἰς κάλλος καὶ μέγεθος τὴν ὑπὸ τοῦ πατρὸς ὀλίγην καὶ μικρὰν (ὡς πρὸς τὴν ὑπ' αὐτοῦ) τῶν βιβλίων συναγωγήν; (τοῦτο γὰρ ἐνόει προφανῶς ὁ Μανασσῆς γράφων τὴν Ἀλεξάνδρειαν « *βίβλων πολλῶν μητέρα* », καὶ *ταύτης τῆς πληθύος* πρῶτον εἶπε τὸν Φιλάδελφον ἀρχηγέτην, οὐχὶ δὲ καὶ *καθιδρυτὴν*, ἢ *συνίστορα τῆς βιβλιοθήκης*). Πότερον λοιπὸν, ὁ Ἀθήναιος ἄρα, καὶ ὁ παρ' αὐτῷ Καλλίξενος (καὶ εἴ τινες ἄλλοι τῶν ἀρχαίων Ἑλλήνων ἱστόρησαν παρόμοια), οὗτοι λέγομεν ψευσθέντες, ἔψευσαν καὶ τὸν μακάριον Ἰουστῖνον, καὶ τὸν Εὐσέβιον, καὶ τοὺς ἄλλους Ἀριστέου ὀπαδοὺς, ἐκείνοις μᾶλλον ἢ τούτῳ πεπιστευκότας περὶ τοῦ πρώτου καθι-

δρυτοῦ τῆς βιβλιοθήκης; Ἀλλ' εἴπερ οὗτοι ἐπλανήθησαν, τί πρὸς τὸν Ἀριστέα; οὗτος ἔγραψεν ἀλήθειαν, προϋπάρχουσαν εἰπὼν τὴν βιβλιοθήκην, καὶ πρὶν ὁ Φαληρεὺς ἐπὶ τοῦ Φιλαδέλφου καταστῇ εἰς βιβλίων συναγωγήν. Ἢ μήποτε καὶ οἱ περὶ τὸν Ἀθήναιον καὶ οἱ τούτῳ συμφωνοῦντες ὀπαδοὶ τοῦ Ἀριστέου λέγουσιν ἅπαντες ἴσα καὶ ταὐτὰ πρὸς αὐτὸν τὸν Ἀριστέα, θεωροῦντες τὸν Φιλάδελφον οὐχὶ πρῶτον κατασκευαστὴν, ἀλλὰ πρῶτον ἀρχηγέτην τῆς ἀχανοῦς αὐξήσεως τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν, καθὼς καὶ αὐτὸς ὁ Ὅδιος ἐξήγησε τὸν Ἀθήναιον; τοῦτο φαίνεται πάντως ἀληθὲς καὶ βέβαιον. Τοὺς δ' *Ἀριστέου ὀπαδοὺς* ἀδίκως, καὶ αὐτὸς εἰς ἑαυτὸν ἀντιπίπτων κατεδίκασεν ὁ κριτικός. Τὸ δὲ μέγιστον, ὅτι καὶ αὐτῶν τινες τῶν, ὧν λέγει, ὀπαδῶν, οἱ ἀρχαιότατοι (ὧν τὰς ῥήσεις ἀπεσιώπησε, μόλις τινὰς Ἰσιδώρους Ἰσπάλων ἐνθυμηθεὶς) ἐξελέγχουσι τὴν πλάνην τοῦ ἀνδρός. Αὐτίκα ὁ θεῖος Εἰρηναῖος (κατὰ Αἱρέσ. γ). «Πτολεμαῖος ὁ Λάγου φιλοτιμούμενος *τὴν ὑπ' αὐτοῦ κατεσκευασμένην βιβλιοθήκην ἐν Ἀλεξανδρείᾳ κοσμῆσαι*» κτλ. Καὶ Κλήμης ὁ ἱερώτατος (Στρωματ. α) «Ἑρμηνευθῆναι δὲ τὰς γραφὰς — φασὶν ἐπὶ τοῦ Πτολεμαίου τοῦ Λάγου· ἤ, ὥς τινες, ἐπὶ τοῦ Φιλαδέλφου, — τὴν μεγίστην φιλοτιμίαν εἰς τοῦτο προσενεγκαμένου Δημητρίου τοῦ Φαληρέως. — Φιλοτιμούμενος (γὰρ) ὁ βασιλεὺς *τὴν ἐν Ἀλεξανδρείᾳ πρὸς αὐτὸν* (γρ. πρὸς ΑΥΤΟΥ) *γενομένην βιβλιοθήκην*» κτλ. (α). Ἀρκοῦσιν οὗτοι οἱ δύω καὶ τηλικοῦτοι· εἰ δέ τις καὶ ἄλλος, διδάξει κἀκεῖνος τὸν Ὅδιον τὸ φρόνημα *τῶν Ἀριστέου ὀπαδῶν* ἐν τῷ οἰκείῳ τόπῳ.

§. κά. Ε) Τελευταῖον· σφόδρα φιλοτίμως καὶ παρατεταμένως

(α) Μνημονεύει καὶ ὁ Βανδάλης τῆς Κλημεντείου ταύτης ῥήσεως (Diss. c. 8. p. 67). Καὶ (ἐπειδὴ καὶ γραμματικώτερον ὁ ἀνὴρ ἐνίοτε φιλολογεῖν ἀγαπᾷ) τὸ ἄνω τυπογραφικὸν, ἢ καὶ τῶν μεταγραφέων σφάλμα, τὸ, π ρ ὸ ς α ὐ τ ὸ ν (ἀντὶ π ρ ὸ ς α ὐ τ ο ῦ = ὑ π' α ὐ τ ο ῦ, ὡς εἶπεν ἀνωτέρω Εἰρηναῖος, καὶ ἄλλοι πολλοὶ) κρατεῖ, καὶ δικαιολογεῖ ὁ γραμματικώτατος Βανδάλης, φέρων καὶ παράδειγμα φράσεως ὁμοίας (!) ἐκ τοῦ Πίνακος τοῦ Κέβητος· ποῖον; τὸ «π ρ ὸ ς ἰ α τ ρ ὸ ν γ ί ν ε σ θ α ι» (δηλονότι π α ρ α γ ί ν ε σ θ α ι)! Τοιοῦτοι χαρίεντες ἑλληνισταὶ φαίνονται πολλάκις καὶ τινες ἄλλοι τῶν Ἀριστειομάχων φιλολόγων κριτικῶν!

ἐπεμάκρυνεν ὁ κριτικὸς τὴν ζωὴν τοῦ Ζηνοδότου, μέχρι καὶ τῶν Εὐεργέτου χρόνων αὐτὸν καταγαγὼν (§. θ. βλ. καὶ σημ.), ὅπως ἀποκλείσῃ τῷ Δημητρίῳ τὴν εἰς τὰς βιβλιοθήκας πάροδον μὴ μόνον ἐπὶ ζῶντος ἔτι τοῦ Λαγίδου, ἀλλὰ καὶ ἐπ᾽ αὐτοῦ τοῦ μακρὸν, ἴσως, μετὰ τὸν Δημήτριον ἐπιζήσαντος Φιλαδέλφου. (α) (ὡς ἂν εἴπερ ἦν ἀδύνατον, ἔτι ζῶντα καὶ διδάσκοντα τὸν Ζηνόδοτον παραχωρῆσαι τῷ Δημητρίῳ τῆς τῶν βιβλιοθηκῶν ἐπιστασίας, τοῦ βασιλέως προστάξαντος!). Ἀλλ᾽ ἔστω, καὶ ζήτω βίον ἐννεάγηρων καὶ *τετρακόρωνον* ὁ Ζηνόδοτος, μέχρι τελευτῆς ἐπιστατῶν τῆς βιβλιοθήκης. Οὐδὲν ἐκ τούτου παραβλάψεται Ἀριστέας. Ὁ Φαληρεὺς οὐδέποτε κατεστάθη βιβλιοθηκοφύλαξ, *κατὰ τὴν κυρίαν τῆς λέξεως σημασίαν* (β), οὔτ᾽ ἐπὶ τοῦ Λαγίδου, οὔτε ἐπὶ τοῦ Φιλαδέλφου (καθὼς ἐξήγησε τὰ τοῦ Ἀριστέου καὶ Ὅδιος μετ᾽ ἄλλων συχνῶν) (γ). Αὐτὸς ὁ κριτικὸς ἐν τοῖς προλαβοῦσιν (§. η) ἀπεδέξατο ὡς πρᾶγμα πιθανώτατον, ὅτι ἠδύνατο ὁ βασιλεὺς ἐπιθεῖναι τῷ πολυμαθεστάτῳ Δημητρίῳ τὴν *περὶ βιβλίων συναγωγῆς* ἐπιστασίαν, εἰς κατασκευὴν τῆς βιβλιοθήκης· — « *κἂν τοῦτο* (προστίθησιν) *ἔγραφεν Ἀριστέας, οὐδὲν ἀντέλεγεν αὐτός* ». Ἀλλὰ τί ἄλλο παρὰ τοῦτο ἔγραψεν ὁ Ἀριστέας; ἐκεῖνος αὐτὸς εἰπάτω. « Κατασταθεὶς ἐπὶ τῆς τοῦ

(α) Ὁ « Δημήτριος, ἴσως, ἐτελεύτησε πλέον ἢ 70, ἐτῶν, καὶ μετὰ τὸ 7, ἔτος τῆς Φιλαδέλφου βασιλείας (βλ. ὄπισθ. σελ. 261). Ὁ δὲ Βοναμῦς (βλ ὄπισθ. σελ. 348), δουλεύων καὶ αὐτὸς τῇ ἐξ Ἑρμίππου πλάνῃ τῶν Σκαλιγηρικῶν, ὑποτίθησι θανόντα τὸν Δημήτριον τῷ 66, ἢ 67, ἔτει τῆς ἡλικίας αὐτοῦ.

(β) « Equidem non arbitror Demetrium tempore Ptolemaei Lagi Bibliothecae fuisse regiae custodem p r o p r i e s i c d i c t u m. — neque à scriptoribus antiquis, plures istae bibliothecae praefectos commemorantibus, hoc exulenti patriae Demetrio munus usquam contribuitur. «Valckenaer. de Aristob. Jud. p. 56. Καί τοι μηδ᾽ αὐτὸ τοῦ βιβλιοφύλακος τὸ ἐπάγγελμα ἀνάξιον τοῦ ἐν Αἰγύπτῳ διατρίβοντος Φαληρέως ἔκρινεν ὁ αὐτὸς Οὐαλκενῆρος. «Neque tamen (λέγει) ipsius degentis in Aegypto persona munus hoc indignum arbitror, minime gentium! » (ibid.).

(γ) Βλ. Demagistr. l. c. p. 561. ὅπου καταλέγων οὗτος τοὺς ἐπὶ τ ῆ ς β ι β λ ι ο θ ή κ η ς προστάντας, δεύτερον μετὰ τὸν Ζηνόδοτον ἔταξεν ἐν τῷ καταλόγῳ, μηδὲν δέον, καὶ αὐτὸν τὸν (ὡς εἶπεν ὁ Εὔνιος) « π ρ ά γ μ α τ ι μ ᾶ λ λ ο ν ἢ ὀ ν ό μ α τ ι » ἐπιστατήσαντα τῶν βιβλιοθηκῶν Φαληρέα.

βασιλέως βιβλιοθήκης Δημήτριος ὁ Φαληρεὺς, *ἐχρηματίσθη πολλὰ διάφορα* (δηλονότι ἔξοδα, *ἀναλώματα*, τὰ πρὸς ἀγορὰν *χρήματα*) *πρὸς τὸ συναγαγεῖν, εἰ δυνατὸν, ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην βιβλία. Καὶ ποιούμενος ἀγορασμοὺς καὶ μεταγραφὰς*, ἐπὶ τέλος ἤγαγεν, ὅσον ἐφ' ἑαυτῷ, τὴν τοῦ βασιλέως πρόθεσιν »· καὶ μετ' ὀλίγα· — « Προσαγγέλλεται δέ μοι » (λέγει πρὸς τὸν βασιλέα ὁ Φαληρεὺς) « καὶ [τὰ] τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια καὶ τῆς παρὰ σοὶ βιβλιοθήκης εἶναι· Τί τὸ κωλύον οὖν, εἶπεν (ὁ βασιλεὺς) ἐστὶ, σὲ τοῦτο ποιῆσαι; *πάντα γὰρ ὑποτέτακταί σοι τὰ πρὸς τὴν χρείαν* » (α). Καὶ πάλιν ἐν τῇ πρὸς τὸν βασιλέα ἀναφορᾷ αὐτὸς ὁ Φαληρεὺς ἀνακηρύττει τὸ ἔργον τῆς ἑαυτοῦ ἐπιστασίας λέγων « Προστάξαντός σου, βασιλεῦ, *περὶ τῶν ἀπολειπόντων εἰς συμπλήρωσιν τῆς βιβλιοθήκης βιβλίων ὅπως ἐπισυναχθῇ, καὶ τὰ διαπεπτωκότα τύχῃ τῆς προσηκούσης ἐπισκευῆς* » κτλ. Ἰδοὺ ποῖός τις, καὶ διατὶ *κατεστάθη ἐπὶ τῆς βιβλιοθήκης* ὑπὸ τοῦ βασιλέως ὁ Φαληρεὺς, « *πρὸς τὸ συναγαγεῖν βιβλία εἰς συμπλήρωσιν τῆς βιβλιοθήκης*, ἐπισκευάζων καὶ ἐκ τῶν πρώην συνηγμένων *τὰ διαπεπτωκότα* » (περὶ ὧν λέγομεν εὐθύς). Καὶ ὁ μὲν Ζηνόδοτος προΐστατο τῆς βιβλιοθήκης ἐξ ἐπαγγέλματος, ὡς ἔντιμος αὐτῆς ἐπιμελητὴς καὶ φύλαξ ἀπ' ἀρχῆς καταστὰς ὑπὸ Πτολεμαίου, καὶ φροντίζων καὶ αὐτὸς (πῶς δ' οὐχί;) τὰ δυνατὰ πρὸς βιβλίων τινῶν κτῆσιν, καί τινων περὶ τὴν γραφὴν ἡμαρτημένων τὴν κριτικὴν διόρθωσιν (ὡς διώρθου καὶ τὸν Ὅμηρον). Ὁ δὲ Δημήτριος εἶχε τὴν ἐπὶ τῆς βιβλιοθήκης ἐπιστασίαν ἀπόλυτον καὶ καθολικὴν, καθὸ πρῶτος ἡγεμὼν καὶ κυβερνήτης, καὶ οἷον ἀρχιτέκτων τοῦ μεγάλου κατα-

---

(α) Ἀριστέας ἐκδ. Hody pag. 2. πρβλ. καὶ τὰ τοῦ Ἰωσήπου· « Δημήτριος ὁ Φαληρεὺς, ὃ ς ἦ ν ἐ π ὶ τ ῶ ν β ι β λ ι ο θ η κ ῶ ν τ ο ῦ β α σ ι λ έ ω ς, σπουδάζων, εἰ δυνατὸν εἴη, πάντα τὰ κατὰ τὴν Οἰκουμένην συναγαγεῖν βιβλία, καὶ συνωνούμενος, εἴ τι που μόνον ἀκούσειε σπουδῆς ἄξιον, ἢ ἡδὺ τῇ τοῦ βασιλέως προαιρέσει (μάλιστα γὰρ περὶ τὴν συλλογὴν τῶν βιβλίων εἶχε φιλοκάλως), συνηγωνίζετο » κτλ. Ἰώσ. Ἀρχαιολ. βιβλ. ΙΒ, β. §. α.

σκευάσματος καὶ συντελεστής, διέπων τὰ πάντα, καὶ τοῖς πᾶσιν ἐπισκοπῶν καὶ διατάσσων, καὶ μετ᾽ ἐξουσίας ἐνεργῶν, καὶ πρὸς τὸν βασιλέα παῤῥησιαζόμενος, καὶ γνωμοδοτῶν, καὶ πέμπων μὲν πρὸς τοὺς ἁπανταχοῦ γνωρίμους καὶ σοφοὺς (ὡς ἤθελε καὶ Ὅδιος §. η), εἰς προμήθειαν βιβλίων καὶ συλλογὴν, ἐπιστατῶν δὲ καὶ εἰς τὴν ἐκλογὴν καὶ διάκρισιν τῶν ἀξίων τῆς βιβλιοθήκης, καὶ εἰς τὴν διόρθωσιν δὲ τῶν περὶ τὰ γράμματα τυχὸν διεφθαρμένων παντοδαπῶν τινων συγγραμμάτων (καθὸ καὶ πολυμαθέστερος τοῦ Ζηνοδότου, καὶ τὴν φήμην ἐνδοξότερος)· διὰ ταῦτα καὶ « *ἐχρηματίσθη* » ἢ διεχειρίσθη παρὰ τοῦ βασιλέως « *χρήματα πολλὰ, πρὸς ἀγορασμοὺς καὶ μεταγραφὰς* », καὶ « *πάντα τὰ πρὸς τὴν χρείαν αὐτῷ ὑποτέτακτο* ». Τοιοῦτον « *ἐπὶ τῆς βιβλιοθήκης κατασταθέντα* » τὸν Φαληρέα Δημήτριον ἱστόρησεν ὁ Ἀριστέας.

§. κβʹ. Ἀλλ᾽ ὁ σοφὸς Ὅδιος εἰσάγει τὸν ἱστορικὸν φρονοῦντα καὶ λέγοντα δῆθεν, ὅτι « *κατετάχθη* ἐπὶ τῆς βιβλιοθήκης ὁ Φαληρεὺς, ὡς *κοινός τις βιβλιοφύλαξ* » (βλ. §. η), καὶ τ᾽ ἄλλα, καὶ ὅτι περί τε τῶν ἀποκειμένων βιβλίων ἐφρόντιζε, μὴ βλαβῶσι, καὶ *περὶ τῶν βεβλαμμένων καὶ κατατετριμμένων*, ὅπως ἐπισκευασθῶσιν ». Ὥστε βλέπεις, ἀναγνῶστα, καὶ τὸν Φαληρέα (καθὼς αὐτὸν ἐζωγράφησεν ὡς ἐκ τοῦ Ἀριστέου δῆθεν ὁ κριτικὸς) ὡς ἕνα τινὰ τῶν ἐσχάτων ἐν ταῖς βιβλιοθήκαις τεταγμένων φυλάκων, ἢ τηρητῶν, κρατοῦντα τοὺς καταλόγους καὶ τὰς κλεῖς τῆς βιβλιοθήκης, καὶ διευθετίζοντα τοὺς τόμους ἐν ταῖς θήκαις, καὶ προσγράφοντα τοὺς ἀριθμοὺς, καὶ σπογγίζοντα πολλάκις (ἂν τύχῃ) τὴν ἐφιζάνουσαν κόνιν, καὶ τ᾽ ἄλλα φροντίζοντα τὰ περὶ τὴν διάθεσιν τοῦ οἰκοδομήματος, καὶ, τέλος, συναρμόζοντα καὶ συγκολλῶντα (καθὼς οἱ βιβλιοδέται), καὶ συμπηγνύοντα τὰς μεμβράνας τῶν σαθρῶν καὶ σκωληκοβρώτων, καὶ διὰ χρῆσιν, ἢ παλαίωσιν, ἢ ἄλλως ὁπωσδήποτε κεκακωμένων τόμων· (εἴτε κατὰ σελίδας ὑπῆρχον οὗτοι εἰς σώματα συνεστοιχωμένοι, εἴτε καὶ ἐν ἁπλαῖς διφθέραις εἱλητοί)· τοιαύτην τινὰ φαίνεται νομίζων Ὅδιος τὴν ἐπισκευὴν τῶν παρὰ τῷ Ἀριστέᾳ *διαπεπτωκότων βιβλίων*, ἑρμηνεύσας τοῦτο *βεβλαμ-*

μένα καὶ κατατετριμμένα (α). Ἀλλ᾽ εἴγε καὶ τοιαύτη χειρωνακτικὴ καὶ βάναυσος ὑπῆρχεν ἡ τοῦ Φαληρέως ἐν τοῖς βιβλίοις *ἐπισκευή*, οἵαν ἔπλασαν οἱ περὶ τὸν Ὅδιον ἐπ᾽ ὀνείδει τοῦ Ἀριστέου, καὶ οὕτω πάλιν ὤφειλον οἱ ἄνδρες ἐνθυμηθῆναι τοὺς Ἀθηναίους, οἵτινες τιμῶντες τὸν Φιλάτιον (ἢ Φιλτάτιον), ἄνδρα καὶ τοῦτον γραμματικὸν, διὰ μόνην τῆς εἰς σύμπηξιν βιβλίων χρησίμου κόλλης τὴν ἐφεύρεσιν, ἀνέστησαν εἰς αὐτὸν ἀνδριάντα (β). Ἀλλ᾽ οἱ κριτικοὶ, σφόδρα δῆθεν ἐξαίροντες τὸν Δημήτριον καὶ τιμῶντες, ὅπως ἀτιμάσωσι τὸν Ἀριστέα, ἀναξίαν τοῦ περικλεοῦς ἀνδρὸς εὑρίσκουσι καὶ αὐτὴν τὴν εἰς κατασκευὴν τῆς ἐπιφανεστάτης ἐκείνης βιβλιοθήκης μεγαλουργὸν ἐπιστασίαν! Καὶ φθόνος μὲν τὸ πάλαι κατέσπασεν ἐν Ἀθήναις εἰς μίαν καὶ μόνην ἡμέραν τὰς ὅλων

(α) « Laesos detritos que » (Hody pag. 46). Καὶ ὑπέμνησε μὲν πάλιν τὸν Ὅδιον Οὐόσσιος, ὅτι κακῶς ἐνόησε τὰς Ἀριστέου καὶ Ἰωσήπου φράσεις, ἐκλαβὼν τὸν Δημήτριον ὡς κοινόν τινα βιβλιοφύλακα, φροντίζοντα περὶ στοιχώσεως καὶ συγκολλήσεως τῶν βεβλαμμένων καὶ τετριμμένων τευχῶν (ὡς ἐξήγησε τὸ διαπεπτωκότων). « Διαπεπτωκότα (λέγει) βιβλία ὑπάρχουσιν, ὧν τὰ γράμματα (κατὰ τόπους) διὰ παλαιότητα, ἢ ἄλλην, τυχὸν, ἐπισκήψασαν λύμην διεξέπεσαν ἐξαλειφθέντα, ἢ καὶ διαβρωθέντα· τὰ δὲ τοιαῦτα καὶ βασιλεῖς καὶ ἡγεμόνες συνετοὶ καὶ φιλόμουσοι φροντίζουσιν ὅπως τύχωσι τῆς προσηκούσης ἐπισκευῆς, καὶ μεταγράφεσθαι πολλάκις κελεύουσι » κτλ. (Voss. Appendix etc. p. 66). Ὁ δὲ Ὅδιος ἀπαντῶν ἐν ὑποσημειώσει (p. 46). Ἀλλ᾽ ἔγωγε, λέγει, οὐδέποτ᾽ ἐνόμισα τὸν Δημήτριον αὐτὸν ἐπισκευάζοντα τὰ βιβλία, ἀλλὰ δι᾽ ἄλλων (ὑπηρετῶν τινων καὶ τεχνιτῶν). Τὸ δὲ διαπεπτωκότα (λέγει) σημαίνει τὰ μὴ μόνον περὶ τὴν γραφὴν (κατὰ τὸν Οὐόσσιον), ἀλλὰ καὶ παντοίως ἄλλως περὶ τὴν στοίχωσιν καὶ σύμπηξιν τῶν σελίδων κεκακωμένα, καὶ ταῦτα εἶπον βεβλαμμένα καὶ τετριμμένα » κτλ. — Ἀλλὰ κἂν δῶμεν ὅτι τὸ διαπεπτωκότα κυρίως δηλοῖ καθολικωτέραν κατὰ τὸν Ὅδιον σημασίαν, τὰς μὲν ἄλλας τὰς περὶ τὴν στοίχωσιν καὶ τὴν ἄλλην ἐξωτερικὴν κατάστασιν τῶν βιβλίων βλάβας καὶ κακώσεις ἐθεράπευε δι᾽ ἄλλων ὁ Φαληρεύς· ἔστω τοῦτο (κατὰ τὸν Ὅδιον)· τὸ δὲ τὰ διαπεπτωκότα τῶν γραμμάτων (στοιχεῖά τε καὶ λέξεις) ἀναπληροῦν ἐν τῷ κειμένῳ, καὶ διορθοῦν, καὶ ἀνακαινίζειν, ἆρά γε μικρὸν ἔργον καὶ τοῦ τυχόντος βιβλιοφύλακος ἐνόμιζεν ὁ κριτικός;

(β) « Ζητήματος ἐν ταῖς Ἀθήναις ἀνακύψαντος περὶ τῶν κεκολλημένων βιβλίων, τοῖς μαθεῖν ἐπιζητοῦσι τὸ μέτρον τοῦ κόλλου Φιλάτιος (ἄλλ. Φιλτάτιος) ὁ τοῦ ἱστορικοῦ (Ὀλυμπιοδώρου) ἑταῖρος, εὐφυῶς περὶ γραμματικὴν ἔχων, τοῦτο ἀπέδειξε· καὶ εὐδοκιμήσας, τυγχάνει παρὰ τῶν πολιτῶν εἰκόνος ». Ὀλυμπιόδ. παρὰ Φωτ. κώδ. 80.

τῶν τοῦ ἔτους ἡμερῶν ἰσαρίθμους εἰκόνας τοῦ Φαληρέως, ἀλλὰ τὴν ἀρετὴν, δι' ἣν ἐστάθησαν αἱ εἰκόνες, ἀφῆκεν ἀκατάλυτον δι' αἰῶνος πανταχοῦ καὶ πάντοτε περιᾳδομένην. Ἡ δὲ τῶν νεωτέρων κριτικῶν καχύποπτος δυσπιστία πεπείραται καταστρέψαι καὶ αὐτῆς αὐτοῦ τῆς ἀρετῆς τῶν ἱστορουμένων ἔργων τὸ κάλλιστον· αὐτὴν δηλαδὴ τὴν τῆς Φιλαδελφείου μεγαλοφροσύνης ἰσοστάσιον φιλοτιμίαν αὐτοῦ καὶ σπουδὴν εἰς σύνταξιν τῆς βιβλιοθήκης ἐκείνης, ἧς τινος, καὶ διαλυθείσης, λείψανα πολλὰ περιῆλθον ἀειθαλῆ καὶ εἰς ἡμᾶς, αὔξοντα καὶ τρέφοντα καὶ κατακοσμοῦντα καὶ αὐτῶν τῶν κριτικῶν τὴν νεωτέραν σοφίαν! Ἀλλ' εἰς μάτην ἐβασάνισε τοὺς ἄνδρας ἡ δυσπιστία· καὶ σφραγιζέτωσαν τὸν λόγον οἱ μάρτυρες.

§. κϐ'. Τὴν ἐπὶ τῆς κατασκευῆς τῶν βιβλιοθηκῶν βασιλικὴν τοῦ Φαληρέως καὶ τελεσιουργὸν ἐπιστασίαν μαρτυροῦσι·

Α) Αὐτὸς ὁ Φαληρεὺς παρὰ τῷ Πλουτάρχῳ, συμβουλεύων τῷ Πτολεμαίῳ « *κτᾶσθαι τὰ περὶ βασιλείας βιβλία* ». Πρὸς δὲ τὴν τῶν τοιούτων βιβλίων ἐκλογὴν καὶ συναγωγὴν τίνα ἄλλον ἢ σοφώτερον, ἢ φιλοτιμότερον εὗρεν ἂν ὁ βασιλεὺς (αὐτός τε ὁ Λαγίδης, καὶ ὁ μετ' αὐτοῦ συμβασιλεύων, ὁ Φιλάδελφος) παρὰ τὸν σύμβουλον αὐτόν; Καὶ ταύτην λοιπὸν ἱστόρησεν Ἀριστέας τὴν ὑπὸ τοῦ βασιλέως ἐγκεχειρισμένην τῷ Φαληρεῖ φροντίδα καὶ προστασίαν εἰς συλλογὴν *τῶν τε περὶ βασιλείας* βιβλίων, καὶ τῶν περὶ *νομοθεσίας* (ἧς *καὶ ταύτης ἦρξεν ὁ Φαληρεὺς ἐν Αἰγύπτῳ συνὼν τῷ Πτολεμαίῳ* », κατὰ τὸν Αἰλιανὸν, γ, 17), καὶ παντοίων ἄλλων συγγραμμάτων ἀξίων λόγου καὶ σπουδῆς.

Β) Ὁ Ἀριστόβουλος, γράφων πρὸς τὸν μαθητὴν αὐτοῦ Πτολεμαῖον τὸν Φιλομήτορα (τρισέγγονον τοῦ Φιλαδέλφου), μαρτυρεῖ λέγων· « Ἡ δὲ ὅλη ἑρμηνεία τῶν διὰ τοῦ νόμου πάντων » (τῶν βιβλίων δηλαδὴ τῆς ἱερᾶς Γραφῆς, γέγονεν) « ἐπὶ τοῦ προσαγορευθέντος Φιλαδέλφου βασιλέως, σοῦ δὲ προγόνου, *προσενεγκαμένου μείζονα φιλοτιμίαν Δημητρίου τοῦ Φαληρέως, τοῦ πραγματευσαμένου τὰ περὶ τούτων* » κτλ. Ὅπως δὲ ἐπραγματεύσατο τὴν ἑρμηνείαν τῶν Γραφῶν ὁ Φαληρεὺς, ἱστόρησεν Ἀριστέας, διαγράψας

τὴν αὐτοῦ πραγματείαν, καὶ τὴν φιλότιμον ἐπιμέλειαν εἰς τὴν τῶν σπουδαιοτάτων βιβλίων συναγωγήν. (Περὶ τοῦ Ἀριστοβούλου βλ. τὸ ἐφεξῆς κεφάλαιον).

Γ) Ὁ Ἰώσηπος ἀντιγράφων τὰ τοῦ Ἀριστέου, συνεπικυροῖ κατὰ λέξιν καὶ ὅτι «*ὁ Φαληρεὺς ἦν ἐπὶ τῶν βιβλιοθηκῶν τοῦ βασιλέως*».

Δ) Πάντες οἱ τῆς Ἐκκλησίας ἱεροὶ πατέρες καὶ ἀρχαιότατοι διδάσκαλοι καὶ συγγραφεῖς (οὓς Ὅδιος εἶπεν Ἀριστέου ὀπαδοὺς), ὁμολογοῦσι τὸν Φαληρέα προστάντα τῆς τῶν βιβλιοθηκῶν κατασκευῆς, οἱ μὲν ὀνομαστὶ καὶ κατὰ λέξιν, ὡς Κλήμης ὁ Ἀλεξανδρεὺς, Ἰούλιος ὁ Ἀφρικανὸς (παρὰ τῷ Συγκέλλῳ), ὁ Τερτυλλιανὸς, Κύριλλος ὁ Ἱεροσολύμων, ὁ ἱερὸς Ἐπιφάνιος, ὁ μακάριος Ἱερώνυμος, καὶ Ῥουφῖνος ὁ τούτου σύγχρονος (περὶ ὧν προείπομεν)· οἱ δὲ, καὶ ὡς γνωστὸν τὸ πρᾶγμα ὑπονοοῦντες, ὅσοι πρὸς τὸν Ἀριστέα, ἢ πρὸς τὸν Ἰώσηπον παραπέμπουσι τοὺς ἀναγνώστας, ἢ καὶ μόνον ἐν παρόδῳ μνημονεύουσι τὴν τῶν Πτολεμαίων (τοῦ Λαγίδου καὶ τοῦ Φιλαδέλφου) πρὸς κατασκευὴν τῆς βιβλιοθήκης σπουδήν· ὡς ὁ μάρτυς Ἰουστῖνος, ὁ θεῖος Εἰρηναῖος, ὁ Ἀλεξανδρείας Θεωνᾶς, ὁ Λαοδικείας Ἀνατόλιος, ὁ ἱστορικὸς Εὐσέβιος, Αὐγουστῖνος ὁ ἱερώτατος, ὁ θεῖος Χρυσόστομος κτλ. Πρόσθες καὶ τὸν Αἰγύπτιον Κοσμᾶν τὸν Ἰνδικοπλεύστην, ὅστις μνημονεύσας καὶ αὐτὸς ἐπ᾽ ἀκριβὲς *Δημητρίου τοῦ Φαληρέως*, ἔπειτα δι᾽ ἀβλεψίαν τῶν ἀντιγραφέων εὑρίσκεται τὴν σήμερον *Τρύφωνα* τὸν Δημήτριον μόνος ἀποκαλῶν (α).

(α) «Πτολεμαῖος ὁ Φιλάδελφος μαθὼν παρὰ Τρύφωνος τοῦ Φαληρέως περὶ τῶν ἰουδαϊκῶν βιβλίων» κτλ.(Κοσμ. Τοπογραφ. χριστ. βιβλ. ιβ). Ὅτι τῶν βιβλιογράφων καὶ βιβλιοκαπήλων ἡ ἀμάθεια κατέστρεψε τὸ Δημητρίου εἰς τὸ Τρύφωνος (εἴτε τὰς δύω πρώτας συλλαβὰς ἐξηλειμμένας εἰς παλαιὸν ἀπόγραφον ἰδοῦσα, καὶ μόνον τὰ ὑπόλοιπα, τὰ, τρίου, εἰς τὸ Τρύφου καὶ Τρύφωνος μεταβαλοῦσα, εἴτε καὶ δὶς κατὰ λάθος γεγραμμένου τοῦ Φαληρέως, τὸ πρῶτον εἰς τὸ Τρύφωνος διαστρέψασα, ὡς καὶ παρ᾽ Ἐπιφανίῳ μετέπλασε τὸν Φαληρέα εἰς Φαληρινὸν, εἴτε καὶ ἄλλως ὁπωσδήποτε ληρήσασα περὶ τὴν τοῦ ὀνόματος μεταγραφὴν), τοῦτο ῥᾳδίως κατανοεῖ πᾶς τις διενθυμηθεὶς, ὅτι οὐχ ὑπῆρχεν ἐπὶ τοσοῦτον ἀμαθὴς ὁ Αἰγύπτιος Ἰνδικοπλεύστης, ὥστε καὶ τὸ κύριον ὄνομα τοῦ μάλιστα δι᾽ αὐτὴν τῶν Γραφῶν ἑρμηνείαν περιφήμου Φαληρέως ἀγνοεῖν. Ὁ δὲ σοφὸς αὐτοῦ ἐκδότης (Montfaucon in Collect. nov. PP. Graec. vol. 2. p. 344),

Ε) Καὶ ἐξ αὐτῶν τῶν νεωτέρων σοφῶν ἄνδρες ἐπὶ κριτικῇ πολυμαθείᾳ περικλεέστατοι βεβαιοῦσιν ἐπὶ τῶν βιβλιοθηκῶν γεγονότα τὸν Φαληρέα Δημήτριον. Μετὰ τοὺς ἐνδόξους Οὐοσσίους καὶ τοὺς Βάλτωνας καὶ τοσούτους ἄλλους, ἀρκείτωσαν ἔτι τέσσαρες μνημονευόμενοι πρὸς τὸ παρὸν, ὅ,τε περιώνυμος Ἰσαὰκ ὁ Κασωβὼν ἐκεῖνος (α), καὶ Λίψιος (β), καὶ (ὃν προείπομεν) ὁ Οὐαλκενῆρος, καὶ ὁ κλεινὸς Ἕϋνιος (γ).

Ϛ) Τελευταῖον, καὶ οἷον ἀκριβείας σφραγὶς, ἐπικείσθω τὸ *Πλαύτειον σχόλειον*, ὅπου τρανῶς ὁ Φαληρεὺς μαρτυρεῖται συνεργήσας τῇ βασιλικῇ τοῦ Φιλαδέλφου δαπάνῃ εἰς τὸ συλλέγειν ἐξ ἁπάντων ἐθνῶν καὶ γλωσσῶν ἄξια λόγου βιβλία, πρὸς κατασκευὴν τῶν βιβλιοθηκῶν. Βλέπε τοῦτο τὸ σχόλιον ἐφεξῆς (κεφ. κδ. §. α. ἄρθρ. θ).

§. κγ′. Καὶ περὶ μὲν τῆς ἐπὶ τῶν βιβλιοθηκῶν ἐπιστασίας τοῦ Φαληρέως ἅλις ἤδη, καὶ πολλὰ, καὶ « *γῆν ὁρᾷς* » ἀναγνῶστα, μετὰ πλοῦν κεφαλαίου μακροῦ.

καὶ ὁ τοῦτον ἄλλως διορθῶν περιώνυμος Οὐαλκενῆρος (De Aristob. Jud. p. 56), καὶ ὁ Φαβρίκιος, εἰς μάτην, ἴσως, ἀπεθαύμασαν τὸ τοιοῦτον μνημονικὸν (ὡς ἔκριναν) ἁμάρτημα τοῦ Ἰνδικοπλεύστου. Εἰς μάτην δὲ πάλιν καὶ ὁ σοφὸς Δεμάγιστρος (Diss. IV. p. 452) διϊσχυρίσθη, ὅτι καὶ ὁ Φαληρεὺς ἐπωνομάσθη Τρύφων εἴτε ὑπὸ τῶν Ἀλεξανδρέων, ὡς τρυφερὸς καὶ τρυφητὴς, καθὼς καὶ Διόδοτος, ὁ τὴν Συρίας βασιλείαν σφετερισάμενος, ἐπωνομάσθη Τ ρ ύ φ ω ν (Ἀθήν. η, 333: Στράβ. ις, 752: Μακκαβ. Α. ια, 39), καὶ Πτολεμαῖος ὁ Φιλοπάτωρ παρ' Ἰουστίνῳ (prolog. 27, et 30) καὶ ἐν τῇ Ἀρμεν. μεταφράσει Εὐσεβίου (χρονικ. α. σελ. 186 Maij). Περιττὰ ταῦτα (νομίζομεν), καὶ πολὺ τῆς ἀκριβείας ἀπολειπόμενα. Ὁ δ' οὖν Ἰνδικοπλεύστης ἤκμαζεν ἐπὶ τοῦ αὐτοκράτορος Ἰουστίνου· μνημονεύει δὲ καὶ Φώτιος τῆς τούτου συγγραφῆς ἐπ' ὀνόματι Χ ρ ι σ τ ι α ν ῶ ν β ί β λ ο ς » (ἀναγν. λϛ. πρβλ. καὶ Fabric. Bibl. Gr. vol. 4. p. 253. Harl.).

(α) « Et Josephus, et omnes scriptores ecclesiastici, qui de translatione τῶν LXX literis aliquid mandarunt, Demetrium quoque Phalereum venisse in Aegyptum et Alexandrinae Bibliothecae fuisse praefectum etc. » Is. Casaubon. not. in Diog. Laert. L. V. c. 5. seg. 78. p. 308. τόμ. 1.

(β) Lispsius de Bibliothec. Syntag. c. 2.

(γ) Heynij Opuscul. Academ. vol. I. p. 91, et 129.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Τὰ κατὰ τὸν Ἀριστόβουλον.

§. αʹ. Ἀριστόβουλος ὁ Ἰουδαῖος, Ἀλεξανδρεὺς τὸ γένος, περιπατητικὸς φιλόσοφος καὶ διδάσκαλος τοῦ βασιλέως Πτολεμαίου τοῦ Φιλομήτορος, συνέγραψεν *Ἐξηγήσεις τῆς Μωσέως Γραφῆς*, καὶ ταύτας ἀνέθηκε προσφωνήσας πρὸς αὐτὸν τὸν Φιλομήτορα (α). Ἐκ δὲ τούτων τῶν ἐξηγήσεων σμικρότατά τινα χωρία καὶ εἰς ἡμᾶς ἀπεσώθησαν παρὰ τῷ ἱερῷ Κλήμεντι μάλιστα καὶ τῷ Εὐσεβίῳ, ἐν οἷς καὶ τὸ ἐφεξῆς· « Διηρμήνευται γὰρ (τινὰ τῆς *Νομοθεσίας*) πρὸ Δημητρίου τοῦ Φαληρέως δι᾽ ἑτέρων, πρὸ τῆς Ἀλεξάνδρου καὶ Περσῶν ἐπικρατήσεως —. Ἡ δὲ ὅλη ἑρμηνεία τῶν διὰ τοῦ νόμου πάντων ἐπὶ τοῦ προσαγορευθέντος Φιλαδέλφου βασιλέως, σοῦ δὲ προγόνου, προσενεγκαμένου μείζονα φιλοτιμίαν Δημητρίου τοῦ πραγματευσαμένου τὰ περὶ τούτων » (ϐ). Καὶ περὶ μὲν τῆς πρὸ τοῦ Δημητρίου τοῦ Φαληρέως, ἣν ὁ Ἀριστόβουλος λέγει, φερομένης ἑρμηνείας μερῶν τινων καὶ ἀποσπασμάτων τῆς Πεντατεύχου τοῦ Μωϋσέως ἀλλαχοῦ διαλαμβάνομεν ἐν τῷ οἰκείῳ τόπῳ. Τῆς δ᾽ ἐπὶ τοῦ Φιλαδέλφου καὶ τοῦ Φαληρέως ὑπὸ τῶν Ο, γενομένης ἑρμηνείας ὅλων τῶν θείων Γραφῶν ἔχομεν ἀρχαιότατον καὶ λαμπρότατον μάρτυρα τὸν ἐκ περιπάτου φιλόσοφον Ἀριστόβουλον, βεβαιοῦντα συνάμα καὶ τὸ κῦρος τῆς ἱστορίας τοῦ Ἀριστέου.

§. βʹ. Ἀλλ᾽ οἱ κριτικοὶ τοῦ Ἀριστέου καὶ τῶν Ο, πολέμιοι, πιεζόμενοι καὶ δυσχεραίνοντες πρὸς τοσαύτης μαρτυρίας τὸ βάρος,

---

(α) Ἀλεξανδρ. χρονικ. σελ. 337 Bon. Τὸ σύγγραμμα μνημονεύεται καὶ δι᾽ ἄλλων ὀνομάτων ταυτοσήμων « Βίϐλοι ἐξηγητικαὶ τοῦ Μωϋσέως νόμου » (Ἀνατόλ. παῤ Εὐσεϐ. Ἐκκλ. ἱστορ. Ζ, η)· καί, « Τῶν ἱερῶν νόμων ἑρμηνεία » (Εὐσέϐ. Εὐαγγ. προπαρ. ζ, 14), καί, « Τὸ πρὸς Πτολεμαῖον τὸν βασιλέα σύγγραμμα (αὐτ. η, 9). Ὁ δὲ Ἱερώνυμος ταῦτα Explanationum in Moysen commentarios καλεῖ· ἤτοι, ἐξηγήσεων (ἢ ἐξηγητικὰ) εἰς τὸν Μωϋσῆν ὑπομνήματα. S. Hieronym. Chronic. ad Olymp. 151.

(ϐ) Ἀριστόβουλ. παρὰ Κλήμ. Στρωμ. α, 410, καὶ Εὐσέϐ. Εὐαγγ. προπαρ. Θ. κεφ. Ϛ. καὶ ΙΓ. ιϐ.

ταχεῖαν ἐπενόησαν καὶ πρόχειρον ἀπαλλαγὴν, τὴν παραγραφήν. Πρῶτος Σίμων, ἢ Σιμώνιος, Γάλλος μοναχὸς πολυμαθὴς (ἐκ τῆς λεγομένης *Συναγωγῆς τοῦ Εὐκτηρίου*), ἀντιλέγων πρὸς Οὐόσσιον καὶ Βάλτωνα, ἀξιόχρεων ὑπὲρ τοῦ Ἀριστέου μάρτυρα προβαλλομένους τὸν Ἀριστόβουλον, παρεγράψατο παντάπασι τὴν μαρτυρίαν, ἀποῤῥίψας ὡς νόθα καὶ ψευδεπίγραφα τὰ μνημονευόμενα βιβλία τοῦ Ἀριστοβούλου (α). Τὴν γνώμην τοῦ Σίμωνος ἠσπάσθησαν ἀμφοτέραις ὠλέναις ἀγκαλισθέντες καὶ ἄλλοι, καὶ Βανδάλης, καὶ ὁ περικλεὴς Ὅδιος, ὅστις καὶ εἰς τὸν β, αἰῶνα μ. Χ. πεπλασμένα κατάγει ταῦτα δὴ τὰ ἀναφερόμενα εἰς τὸν Ἀριστόβουλον (β), καὶ πολὺ πρὸ τῶν ἄλλων ἁβροτέρας καὶ πλουσίας περιπλέκει τὰς ἀντιῤῥήσεις, ἠρέμα προχωρῶν ἀπὸ τῶν ἠπιωπέρων εἰς τὰς δυσχερεῖς καὶ δυσπορωτάτας. Ταύτας οὖν τὰς ἀντιῤῥήσεις ἐκτιθέμεθα πάσας ἐφεξῆς, συνοψίζοντες ἀκριβῶς, καὶ καθυποτάσσοντες ἑκάστῃ παρὰ πόδας τὴν ἀπάντησιν.

§. γ΄. « Πρῶτον (λέγουσιν)· ἂν ὑποτεθῶσιν ὡς γνήσια τὰ τοῦ Ἀριστοβούλου, ταῦτα λοιπὸν ἀντέγραψεν οὗτος ἐξ αὐτοῦ τοῦ Ἀριστειανοῦ βιβλιδαρίου, πεπλασμένου μὲν καὶ ὑποβολιμαίου, ἀλλ' ὅμως *σφόδρα παλαιοῦ*. Καὶ φαίνεται μὲν παράδοξον, πῶς φιλόσοφος ἀνὴρ καὶ διδάσκαλος τοῦ βασιλέως ἠπατήθη περί τε τῆς

(α) R. Simon Hist. Critique de V. T. L. II. c. 2 et L. III. c. 23.

(β) Ὁ Ὅδιος διαμαρτύρεται ὅτι εἶχεν ἤδη γεγραμμένα τὰ περὶ τῆς Ἀριστοβούλου νοθείας, καθ' ὃν χρόνον ἐξεδόθη ἀγγλιστὶ ἡ τοῦ Σίμωνος κριτικὴ ἱστορία τῆς Π. Δ. (τῷ 1682), ἐν ᾗ καὶ οὗτος νοθίζει τὸν Ἀριστόβουλον. Καί τοι (προστίθησιν Ὅδιος) οὐδὲν ὁ Σίμων ἐξήνεγκεν ἐπιχείρημα πρὸς ἀπόδειξιν τῆς ἰδίας αὐτοῦ γνώμης » (Hody pag. 54). Πιστεύομεν Ὀδίῳ προθύμως. Καὶ ἔννοιαι πολλάκις καὶ πραγμάτων εὑρέσεις συμπίπτουσι κατὰ συγκυρείαν αἱ αὐταὶ ταυτοχρόνως εἰς διαφόρους κεφαλάς. Ἀλλ' εὐχῆς ὑπῆρχεν ἔργον, εἴ γε καὶ Ὅδιος, ὡς ὁ Σίμων, ἀναπόδεικτον ἐξέφερε τὴν ἐπίνοιαν, μηδόλως πράγματα παρασχὼν μητ' αὐτὸς ἑαυτῷ πρὸς ματαίων ἐπιχειρημάτων εὕρεσιν, μήτε τοῖς ἀναγνώσταις πρὸς ἐπίκρισιν. Καὶ ὅμως (τίς ἂν ἐπίστευσε ;) τὴν Ὀδιακὴν καὶ Σιμώνειον ταύτην ἐπίνοιαν ἀταλαιπώρως ἀπεδέξαντο καὶ ἄλλοι τῶν μετὰ ταῦτα μισαριστέων σοφῶν (βλ. Fabric. Bibl. Graec. vol. 3. p. 471 Harl.), καὶ ὁ περίφημος Εἰχόρνιος (Eichhorn Allg. Bibl. V. 253), καὶ νεώτατος, ὁ Φράγκελος ὁ ἀρχιραββῖνος (Historisch-Kritische Studien zu der Septuaginta. 1. Bd. 1. Abth. p. 14. 19).

ἑρμηνείας τοῦ Μωσαϊκοῦ νόμου, καὶ τῆς κατασκευῆς τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης, ἐν ᾧ κατὰ τοὺς αὐτοῦ χρόνους ἔζων εἰσέτι τινὲς αὐτὸν γνωρίσαντες τὸν Φιλάδελφον! Ἀλλ᾽ ὅταν διορίσωμεν τὸν Ἀριστέου μῦθον πρὸ τῶν χρόνων τοῦ Φιλομήτορος κεραμουργηθέντα (α), τότε φαίνεται, ὅτι τὴν ἐκ τοῦ τοιούτου μύθου περὶ τῆς ἑρμηνείας (ὡς φιλοτιμίᾳ τάχα τοῦ Φιλαδέλφου καὶ σπουδῇ τοῦ Φαληρέως γεγενημένης) διαθρυλληθεῖσαν ὑπόληψιν, ἐγγηράσασαν ἤδη ταῖς τῶν Ἰουδαίων ψυχαῖς, καὶ χρόνῳ κεκρατηκυῖαν, παρεδέξατο πιστεύσας ἀβασανίστως καὶ αὐτὸς ὁ Ἀριστόβουλος (β). Βλέπομεν δὲ (λέγουσι) καὶ ἐκ τῶν ὁσημέραι παραδειγμάτων ἄνδρας σοφοὺς καὶ πεπαιδευμένους ῥᾳδίως συγχωροῦντας ψευδῆ, καὶ ταῦτα μηδ᾽ ἀπὸ χρόνων προγενεστέρων, ἀλλ᾽ ἐν τῇ κατ᾽ αὐτοὺς ἡλικίᾳ προσφάτως διεῤῥαψῳδημένα.

Ἀπαντῶμεν.

§. δ΄. Ἠπίστατο μὲν καὶ ὁ πολύμητις Ὀδυσσεὺς « *ψεύδεα πολλὰ* » λέγειν, πλὴν ἀλλ᾽ ὅμως « *ἐτύμοισιν ὁμοῖα* » καὶ πιθανά· οἱ δὲ περὶ τὸν Ὅδιον σοφοὶ κακῶς Ὀδυσσηΐζουσι, λίαν ἀπίθανα τερατολογοῦντες. Πόθεν ἔμαθον οἱ ἄνδρες, ἢ πόθεν ἔχουσιν ἐξελέγξαι τὸν Ἀριστόβουλον ἀντιγράψαντα τὰ τοῦ Ἀριστέου; — Εἴπερ ἔτι κατ᾽ αὐτὸν περιῆσαν ἄνδρες αὐτόπται τοῦ Φιλαδέλφου, τί μὴ παρ᾽ αὐτῶν ἐμάνθανεν ὁ φιλόσοφος Ἀριστόβουλος τὴν ἀλήθειαν; — Πῶς δὲ πάλιν καὶ εἰς τούτων τὰς ψυχὰς ἐπεκράτησεν ὁ μῦθος,

(α) Πρὸ τοῦ Ἀριστοβούλου διορίζουσι καὶ ἄλλοι γράψαντα τὸν (ὡς λέγουσι) Ψευδαριστέα τοῦτον (βλ Fabric. Bibl. Gr. vcl. 3. p. 664 Harl.). Ἀλλ᾽ ὅμως ἀλλαχοῦ πάλιν ὁ αὐτὸς Ὅδιος λέγει τὴν Ἀριστέου ἱστορίαν πλασθεῖσαν ὀλίγῳ πρὸ τῆς Χριστοῦ γεννήσεως; (βλ. ἐφεξῆς κεφ. κγ. §. γ). Ὁ δὲ θερμουγότερος Βανδάλης καὶ μετὰ Χριστὸν, τοῦ μὲν Φίλωνος κατόπιν, πρότερον δὲ ὅμως Ἰωσήπου (μεταξὺ τοῦ 40—60 μ. Χ.) τίθησι τὸ πλάσμα τοῦ Ἀριστέου, καὶ παρὰ τοῦ Φίλωνος αὐτοῦ τὴν ὑπόθεσιν τῆς συγγραφῆς δανεισάμενον θέλει τὸν Ψευδαριστέα τοῦτον ὁ Βανδάλης! (Diss. c. 1 p. 5)· τοιαῦτά τινα καὶ Σχευβέλιος ὠνειρώξατο (Schwebelius Comm. de Pseudo-Arist. Onold. 1770, 4.). Ἄλλοι δ᾽ ἄλλα πολλῷ χείρονα. Βλ. περὶ τούτων πάντων ἐφεξῆς βιβλ. Β. κεφ. α.

(β) Τοῦτο καὶ πρὸ τοῦ Ὁδίου εἶπε καὶ Βοβέριος· ἀλλὰ τὸν Ἀριστόβουλον οὗτος εὐδόλως ἐξενόθισεν (ὡς Ὅδιος ποιήσει ἐφεξῆς), ἀληθῆ δὲ καὶ γνήσιον συγγραφέα φαίνεται διομολογῶν. Βλ. Wower. Syntagm. c. 3. p. 34.

ἐξαλείψας τὴν ἣν ἐκ τῶν ἰδίων αἰσθήσεων εἶχον ἐναργῆ τοῦ πράγματος πληροφορίαν; Ἆρά γε παντάπασιν ἑαυτῶν ἀπέβησαν ἐπιλήσμονες; ἢ καὶ φύσει τινὲς εὐήθεις ἦσαν καὶ κρονόληροι πάντες οἱ περιόντες ἐκεῖνοι; μωροὶ δέ τινες πάλιν αὐτός τε ὁ φιλόσοφος καὶ πάντες οἱ ἄλλοι σοφοὶ, τρέχοντες κατόπιν ἑνὸς μυθογράφου γόητος, καὶ συνεπισύροντες τοσαύτας μυριάδας τῶν ὁμοφύλων καὶ συνοίκων καὶ σὺν αὐτοῖς συμπροσευχομένων ἐκ τῆς ἑρμηνείας τῶν θείων Γραφῶν; (ἐπειδὴ πῶς ἂν ἄλλως ἐνεγήρασκεν ἐν ταῖς ψυχαῖς τῶν Ἀλεξανδρέων Ἰουδαίων ὁ τοῦ Ἀριστέου μῦθος, εἰ μὴ διότι μηδ' ὑπ' αὐτῶν τῶν ἐπισταμένων τὰ κατὰ τὸν Φιλάδελφον ἐξηλέγχετο;). Ἢ μήποτε καὶ εἰς τοὺς Ἀλεξανδρεῖς ἐκείνους ἐξαίφνης ἐνέπεσε πανδημεὶ νόσημα παρόμοιον πρὸς ἐκεῖνο τὸ τῶν Ἀβδηριτῶν, καὶ πάντες ἐτραγῴδουν τὸν Ἀριστέου μῦθον, καθὼς οἱ Ἀβδηρῖται τὴν Εὐριπίδειον Ἀνδρομέδαν; (Λουκιαν. προοιμ. πῶς δεῖ ἱστορ. συγγράφ.). *Σφόδρα παλαιὸν* (valde antiquum) ἐπὶ τοῦ Ἀριστοβούλου λέγουσι *τὸ τοῦ Ἀριστέου βιβλιδάριον*. Ἔστω· καὶ λογισώμεθα τὰ ἔτη. Ὁ Ἀριστόβουλος ἤκμαζε μεταξὺ τῶν σοφῶν τῆς Ἀλεξανδρείας περὶ τὸ δ, ἔτος τῆς Φιλομήτορος βασιλείας, καὶ ἑπομένως περὶ τὰ 175 π. Χ. (ὡς φανήσεται ἐν τοῖς ἐφεξῆς)· τὸ δὲ τότε *σφόδρα πεπαλαιωμένον ἤδη βιβλίδιον* ἂν ὑποτεθῇ (χάριν τῶν Ὀδιακῶν) πρὸ 50 (τὸ μετριώτατον) ἐτῶν πλαστουργηθὲν, συνεγράφη λοιπὸν περὶ τὸ 225 π. Χ. (τουτέστι μετὰ τὴν ἐν ἔτει 283—282 γενομένην ἑρμηνείαν τῶν Γραφῶν, ἔτος περίπου 57), ὅτε δηλονότι ἔζων οὐ μόνον οἱ γονεῖς, ἀλλὰ καὶ οἱ διδάσκαλοι τοῦ Ἀριστοβούλου, καὶ τοσοῦτοι ἄλλοι κατὰ τὴν Ἀλεξάνδρειαν Ἰουδαῖοι σοφοί· πῶς λοιπὸν οὗτοι μήτε παρευθὺς ἀναφυεῖσαν ἐξήλεγχον τὴν μυθοποιΐαν, ἀλλὰ καὶ παρεδίδουν αὐτὴν ὕστερον, ἔτι παιδὶ, τῷ Ἀριστοβούλῳ; (διότι πάντως αὐτῆς ἐμνημόνευον, ὁπότ' ἐδίδασκον αὐτὸν τὰς ἡρμηνευμένας Γραφάς). Εἰ δὲ καὶ ἐπὶ τῆς ἀκμῆς αὐτοῦ (τῷ 175 π. Χ.) περιῆσαν ἔτι καί τινες τῶν ἰδόντων τὸν Φιλάδελφον (καθὼς αὐτὸς Ὅδιος ὡμολόγησεν), ὀγδοηκοντούτεις τινὲς ἴσως (διότι ὁ Φιλάδελφος ἐτελεύτησε περὶ τὸ 244 π. Χ.

βλ. ὄπισθ. κεφ. ζ. §. λϛ), οἱ ἄρα πάπποι τοῦ Ἀριστοβούλου καὶ τῶν διδασκάλων οἱ ἄμεσοι διδάσκαλοι ἴδον αὐτοψεὶ καὶ τὸν Φαληρέα καὶ τοὺς Ο, πρεσβυτέρους ἐπὶ Φιλαδέλφου κατὰ τὴν Ἀλεξάνδρειαν ἑρμηνεύοντας τὰς Γραφάς. Ὥστε ὁ Ἀριστόβουλος μανθάνων τὴν ἀλήθειαν τοῦ πράγματος παρὰ τοσούτων ἀξιοπίστων μαρτύρων, πῶς ἀπεδέξατο ληροῦντα τὸν ψευδώνυμον Ἀριστέα; Εἰ δὲ καὶ προείλετο συμψεύσασθαι μετ' ἐκείνου, ἀλλ' αὐτὸς ὁ διδάσκαλος ἔγραφε πρὸς τὸν Φιλομήτορα· πῶς οὖν ἐτόλμα τοσοῦτον μῦθον ἀναφέρειν εἰς αὐτὸν τὸν πρόπαππον τοῦ βασιλέως, τὸν Φιλάδελφον; Ἠδύνατό ποτε περὶ πραγμάτων οὕτω δημοσίων οὕτως ἀναιδῶς μυθολογεῖν, ἐν μέσῳ τῶν Ἀλεξανδρινῶν ἀνακτόρων ψευδοκοπῶν, ὡς ἂν εἰ μηδόλως μήτ' αὐτὸς ὁ βασιλεὺς, μήτε τις ἄλλος τῶν ἐν τοῖς βασιλείοις διαπρεπόντων Ἑλλήνων Ἀλεξανδρέων μηδεμίαν εἶχον γνῶσιν περὶ τῶν μεγαλουργημάτων τοῦ Φιλαδέλφου, καὶ μάλιστα περὶ τῆς βιβλιοθήκης καὶ τοῦ Φαληρέως καὶ τῆς ἑρμηνείας τῶν Γραφῶν; ἢ μήπως καὶ εἰς τῶν μεγιστάνων τοῦ βασιλέως (πρὸς ὃν ὁ Ἀριστόβουλος προσεφώνει τὴν συγγραφὴν) καὶ εἰς ὅλων τῶν αὐτοῖς γνωρίμων τὰς ψυχὰς ἐνυπῆρχε τότε (καθὼς καὶ εἰς τὰς τῶν Ἰουδαίων) ἐγγεγηρακὼς καὶ πεπολιωμένος ὁ μῦθος τοῦ Ἀριστέου; Καὶ ἐπίστευον λοιπὸν κἀκεῖνοι οἱ Ἀλεξανδρεῖς τυφλῶς παραδεδεγμένοι τὴν ψευδῆ διήγησιν; καὶ ταύτην περὶ πράγματος οὔτ' ἐν γωνίᾳ καὶ παραβύστῳ, οὔτε που μακρὰν καὶ εἰ τοὺς ὑπὲρ Θούλην τόπους, ἀλλ' ἐν μέσῃ τῇ βασιλευούσῃ πόλει πανηγυρικῶς καὶ πανδήμως διαπραχθέντος; Οὐδ' αὐτῶν δὲ, τέλος, τῶν δημοσίων ἀρχείων, ἐν οἷς ἦσαν ἀναγεγραμμέναι πᾶσαι τῶν βασιλέων αἱ πράξεις (σελ. 118), οὐδὲ τούτων ἐπεμνήσθησαν, ὅθεν ἂν ἐμάνθανον τὸ ἀληθές; Σφόδρα παράδοξα λέγουσιν οἱ περὶ τὸν Ὅδιον. Καὶ μέχρις ἂν ἀποδείξωσι τοὺς Ἀλεξανδρεῖς ἐκείνους ἅπαντας ἀναισθήτους τινὰς ὄντας μαμακούθους, *Μελιτίδου καὶ Μαργίτου χείρονας*, δικαίως αὐτοὶ φαίνονται εἰ καὶ μὴ σπουδάσαντες ὡς Μαργίταις χρῆσθαι τοῖς ἀναγνώσταις, ἀλλ' ὅμως ἄγαν βαρέως σφαλέντες περὶ τὴν κρίσιν.

§. έ. « Δεύτερον (λέγουσιν). Ἐὰν διακροτήσωμεν ἐκ τοῦ σύνεγγυς βασανίσαντες τὸ τοῦ Ἀριστοβούλου κῦρος, εὑρεθήσεται λίαν ἀσθενέστερον καὶ ἀφαυρότερον, ἢ ὅσον νομίζεται κοινῶς. Ἂν διερευνήσωμεν τὰ περὶ τῆς κατ' αὐτὸν ἡλικίας, δυοῖν θάτερον προκύψει, ἢ ὅτι συνέγραψε πρός τινα Πτολεμαῖον νεώτερον τοῦ Φιλομήτορος, ἢ πάντως ὅτι ὁ χρόνος, καθ' ὃν ἔζησεν, ἄδηλος ὑπάρχει καὶ ἀβέβαιος. Ὁ Ἀριστόβουλος ἔγραψε πρὸς *Πτολεμαῖον* ἁπλῶς, καὶ χωρίς τινος ἐπωνυμίας. Ὁ δὲ Κλήμης ὁ Ἀλεξανδρεὺς (ᾧ κατηκολούθησε καὶ Εὐσέβιος) προσέθηκε καὶ τὸ *Φιλομήτορος* ἐπώνυμον ἀπὸ ψιλῆς εἰκασίας, διότι ἐν τῷ προοιμίῳ τῆς Β, τῶν Μακκαβαίων γίνεται μνεία Ἀριστοβούλου τινὸς ἱερέως Ἰουδαίου, διδασκάλου Πτολεμαίου τινὸς βασιλέως, ὃν ὁ Κλήμης ὑπέλαβεν εἶναι τὸν *Φιλομήτορα*. Ὅτι δ' ἐν αὐτοῖς τοῖς Ἀριστοβούλου ὑπομνήμασιν οὔτε Κλήμης οὔτε ὁ Εὐσέβιος εὕρηκε τὴν ἐπωνυμίαν τοῦ Φιλομήτορος, γίνεται δῆλον ἐξ αὐτῆς αὐτῶν τῆς πρὸς ἑαυτοὺς ἀντιφάσεως καὶ διαφωνίας· νῦν μὲν γὰρ τὸν *Φιλομήτορα* γράφουσι, νῦν δὲ πάλιν ἄλλον ἀρχαιότερον Πτολεμαῖον, αὐτὸν δηλαδὴ τὸν *Φιλάδελφον*. Αὐτίκα ὁ Κλήμης ἀλλαχοῦ μὲν ἔχει ταῦτα· « Ἀριστόβουλος δὲ ἐν τῷ πρώτῳ *τῶν πρὸς τὸν Φιλομήτορα* κατὰ λέξιν γράφει » κτλ. (Στρωματ. α)· καὶ πάλιν ἀλλαχοῦ (Στρωμ. ε.) « Ἀριστοβούλῳ δὲ τῷ *κατὰ Πτολεμαῖον γεγονότι τὸν Φιλάδελφον*, οὗ μέμνηται ὁ συνταξάμενος τὴν τῶν Μακκαβαίων ἐπιτομὴν, βιβλία γεγονέναι ἱκανά » κτλ. Εἰς τὸ πρῶτον χωρίον ὁ Κλήμης ἐνόμισεν ὅτι Πτολεμαῖος, οὗ μέμνηται καὶ ἡ Β, τῶν Μακκαβαίων, ὑπῆρχεν *ὁ Φιλομήτωρ*· εἰς δὲ τὸ δεύτερον, ἐπιλαθόμενος ἑαυτοῦ, ὑπέλαβε *τὸν Φιλάδελφον* (α). Ὁ δὲ πάλιν Εὐσέβιος *ἐν τῷ Χρονικῷ Κανόνι* (ᾧ περ ἠκολούθησαν καὶ ὁ συγγραφεὺς τοῦ Ἀλεξανδρινοῦ Χρονικοῦ, καὶ Μαριανὸς ὁ Σκότος, καὶ Ἄδων ὁ Βιέννης, καὶ Βέδας ἐν τοῖς χρονικοῖς) πρὸς τὸν Φιλομήτορα γράψαι τὸν Ἀριστόβουλον ἱστορεῖ, παρεπόμενος

(α) Οὕτω καὶ Σκαλίγηρος (ᾧ καὶ κατὰ τοῦτο παρηκολούθησεν ὁ Ὅδιος) διαφωνήσαντα πρὸς ἑαυτὸν τὸν ἱερὸν Κλήμεντα καὶ πλανηθέντα βεβαιοῖ (Scalig. Animadv. ad Euseb. Chron. N. MDCCCXLI p. 142). — Σημ. ἡμετ.

εἰς τὰ πρῶτον χωρίον τοῦ Κλήμεντος. Ἐν δὲ τοῖς βιβλίοις τῆς *Εὐαγγελικῆς Προπαρασκευῆς*, ὅπου πολλάκις τῶν Ἀριστοβούλου ἐξηγήσεων μνημονεύει, καὶ χωρία δὲ τούτων ἐκφέρει, οὐδαμοῦ τὸν *Φιλομήτορα* τίθησιν ὁ Εὐσέβιος, ἀλλ' ἐν πολλοῖς καὶ διαφόροις τόποις ἁπλῶς ἀναφέρει τὴν Ἀριστοβούλου συγγραφὴν τὴν πρὸς τὸν *Πτολεμαῖον*· οἷον· « Ἀριστόβουλος αὐτῷ Πτολεμαίῳ τὴν τῶν ἱερῶν νόμων προσφωνῶν ἑρμηνείαν » (Εὐαγ. Προπαρ. ζ. 14). Καὶ ἀλλαχοῦ (η, 9), « Ἀριστόβουλος ἐν τῷ πρὸς Πτολεμαῖον τὸν βασιλέα συγγράμματι ». Καὶ πάλιν (ιγ, 12) « Ἐκ τῶν Ἀριστοβούλου, βασιλεῖ Πτολεμαίῳ προσπεφωνημένων ». Καὶ τέταρτον, τέλος, ὁ Εὐσέβιος ποιεῖ τὸν Ἀριστόβουλον Ἐλεαζάρῳ σύγχρονον τῷ ἀρχιερεῖ (περὶ οὗ διέλαβεν ὁ Ἀριστέας), καὶ τούτους ἀμφοτέρους ἀνάγει εἰς τοὺς χρόνους τοῦ Φιλαδέλφου, λέγων· « Ἀπαρκεῖν ἡγοῦμαι τὰς Ἐλεαζάρου καὶ Ἀριστοβούλου διηγήσεις, ἀνδρῶν τὸ μὲν γένος Ἑβραίων ἀνέκαθεν, τὸν δὲ χρόνον, κατὰ τοὺς Πτολεμαίου χρόνους διαπρεψάντων » (η, 8). Θέλεις καί τι περισσότερον; Ἀνατόλιος ὁ Ἀλεξανδρεὺς καὶ ἕνα τῶν Ο, ποιεῖ τὸν Ἀριστόβουλον, καὶ ὅτι τὰ ὑπομνήματα προσεφώνησεν οὐχὶ πρὸς *ἕνα τινὰ* Πτολεμαῖον, ἀλλὰ *πρὸς δύω*, τὸν Φιλάδελφον δηλονότι καὶ τὸν Λαγίδην· ἄκουε· « Μαθεῖν δ' ἔστιν ἐκ τῶν — ἔτι παλαιοτέρων, ἀμφοτέρων *Ἀγαθοβούλων τῶν ἐπίκλην διδασκάλων* (α), Ἀριστοβούλου τε τοῦ

(α) « Διόρθου (ὅ,τι κἂν λέγῃ Οὐάλεσιος) « *τῶν ἔτι παλαιοτέρων ἀμφοτέρων, Ἀγαθοβούλου τοῦ ἐπίκλην διδασκάλου, καὶ* Ἀριστοβούλου *τοῦ πάνυ* » *κτλ. Σημ.* Hody. p. 51. — [*Οὕτω καὶ* Σκαλίγηρος *διώρθου πρὸ τοῦ* Ὀδίου (*εἰς* Εὐσεβ. Χρον. *σελ*. 142). Ἐφεξῆς *δὲ ἀντὶ* τ ο ῦ « π ά ν υ » *ἔγραψε τοῦ* « ἀ π ὸ Π α ν ε ά δ ο ς », *ὁ* Σκαλίγηρος, *ὡς ἔχει καὶ* Ῥουφῖνος (*ἐν τῇ λατινικῇ μεταφράσει τῆς* Εὐσεβίου Ἐκκλ. *ἱστορίας*), Aristobulus ex Paneade (*ἔστι δὲ ἡ* Πανεὰς, Παλαιστίνης *πόλις, ἡ μετὰ ταῦτα* Κ α ι σ ά ρ ε ι α Φ ι λ ί π π ο υ *μετονομασθεῖσα*). Ἀλλ' ὁ Ὅδιος *ὀρθῶς κρίνων καὶ δικαίως, τὸ* « τ ο ῦ π ά ν υ » *προτιμᾷ* (*ὡς ἔχουσι καὶ πάντα τὰ τοῦ* Εὐσεβίου *ἀπόγραφα ἐν ταῖς φερομέναις ἐκδόσεσιν*). « Ὁ *δὲ* Ῥουφῖνος (*λέγει*) *πλανηθεὶς δι' ἄγνοιαν τῆς* τ ο ῦ π ά ν υ *σημασίας, ἔτρεψε τὴν φωνὴν εἰς τὸ* Π α ν ε ά δ ο ς. Οὕτω (*λέγει*) *καί τις ἄλλος λατῖνος μεταφραστὴς* Ἰ ω ά ν ν ο υ τ ο ῦ τ ῆ ς Κ λ ί μ α κ ο ς (δ, 85) *τὸ*, « Ἰ ω ά ν ν η ς ὅ μ ο ι π ά ν υ » (*ἤθελε γράφειν ἴτ.* ὁ π ά ν υ) « *μετεποίησεν εἰς τὸ* Joannes Opanius » (Hody p. 51, 52). Ἀλλ' *εἰ μὲν καὶ* Ῥουφῖνος *ἐκεῖνος τοσαύτην ἔπασχε* τ ο ῦ π ά ν υ *ἄγνοιαν, ὅσην καὶ* ὁ τ ῆ ς Κ λ ί μ α κ ο ς

πάνυ· ὃς ἐν τοῖς Ἑβδομήκοντα κατειλεγμένος, τοῖς τὰς ἱερὰς καὶ θείας — ἑρμηνεύσασι Γραφὰς Πτολεμαίῳ τῷ Φιλαδέλφῳ καὶ τῷ τούτου πατρὶ, καὶ βίβλους ἐξηγητικὰς τοῦ Μωϋσέως νόμου τοῖς αὐτοῖς προσεφώνησε βασιλεῦσι » (α). Τοσαύτη διαφωνία περὶ τοῦ Ἀριστοβούλου τούτου καὶ τοῦ, πρὸς ὃν ἔγραψε, Πτολεμαίου, παρὰ Κλήμεντι καὶ Ἀνατολίῳ καὶ Εὐσεβίῳ κρατεῖ ».

Ἀπαντῶμεν.

§. ϛ'. Θαυμαστόν τινα τῷ ὄντι καὶ μέγαν τόλμης θησαυρὸν πλουτοῦσιν οἱ περὶ τὸν Ὅδιον! οἵτινες οὕτως ἰταμῶς κατεδίκασαν τοὺς ἀρχαιοτάτους τῆς Ἐκκλησίας πατέρας ὡς ἐσφαλμένους περὶ πραγμάτων καὶ προσώπων, ὧν τὴν γνῶσιν ἅπασαν οἱ πολυΐστορες οὗτοι ὀφείλουσι πάλιν εἰς μόνους ἐκείνους. Καὶ λοιπὸν κατ' αὐτοὺς ὁ μὲν πολυμαθέστατος Κλήμης ὁ Ἀλεξανδρεὺς, ὁ κατὰ τὴν αὐτὴν τοῖς Πτολεμαίοις πόλιν τραφεὶς, καὶ τὰς Ἀριστοβούλου βίβλους πολλάκις ἐκμελετήσας, καὶ μόλις τρεῖς καὶ ἥμισυν αἰῶνας μετ' ἐκεῖνον ἀκμάσας ἐν τῇ σχολῇ τῆς Ἀλεξανδρείας, οὗτος μὲν συνείκαζε ψιλὰς καὶ γυμνὰς εἰκασίας, ἀφ' ἑαυτοῦ τὸν Φιλομήτορα προστιθεὶς εἴς τε τὴν Ἀριστοβούλου συγγραφὴν καὶ εἰς τὴν ῥῆσιν τῆς Β, τῶν Μακκαβαίων (ἅτε δὴ μηδὲν μηδόλως βέβαιον ἐπιστάμενος μήτε περὶ τῶν βασιλέων τῆς ἰδίας αὐτοῦ πατρίδος, μήτε περὶ τῶν ἐν αὐτῇ γενομένων ἐπισήμων ἀνδρῶν καὶ συμβεβηκότων!)· αὐτοὶ δὲ οἱ περὶ τὸν Ὅδιον καὶ τὸν ἑαυτῶν καθηγεμόνα, τὸν Σκαλίγηρον, ἑτερογενεῖς σοφοὶ, μετὰ τοσαύτας ἡλίου κύκλων ἑκατοντάδας ἀνατείλαντες εἰς τῶν γραμμάτων τὴν παλαίγονον πολιτείαν, καὶ

μεταφραστὴς, περὶ τούτου οὐκ ἐγγυώμεθα τῷ Ὀδίῳ. Ἐν δὲ τούτοις ὅμως (οἷα πολλάκις ἄνθρωποι πάσχουσι) καὶ αὐτὸς ὁ κριτικὸς ἔλαθεν εἰς ὅμοιον σφάλμα περιπεσών· ἀντὶ Ἰωάννου τοῦ (συγγραφέως) τῆς Κλίμακος ἔγραψε Johannis Climaci (Ἰωάννου τοῦ Κλιμάκου, ὡς ἐξ ὀνομαστικ. ὁ Κλίμακος), ἐκλαβὼν ὡς ἐπώνυμον τοῦ συγγραφέως τὴν ἐπιγραφὴν τοῦ συγγράμματος· καίτοι τούτου ἐκ τοῦ λατινικοῦ μεταφραστοῦ μνημονεύων (Scala Paradisi). Ἀλλὰ ταῦτα μὲν μικρὰ, καὶ μηδὲ μνήμης ἄξια. Περὶ δὲ τοῦ ἀνωτέρω χωρίου τοῦ Ἀνατολίου λέγομεν ἐφεξῆς §. ϛ. ἄθρ. γ. — Σημ. ἡμετ.].

(α) Ἀνατόλ. ἐν τοῖς περὶ τοῦ Πάσχα Κανόσι, παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. Ζ. κεφ. λα (ἄλλ. λβ).

μηδὲ φυλλάδιον ὁλόκληρον ἰδόντες τῶν μηκέτι σωζομένων Ἀριστοβούλου συγγραφῶν, μόνα δὲ τὰ παρὰ Κλήμεντι καὶ Εὐσεβίῳ διασωθέντα τούτων ἀποσπάσματα διαδραμόντες, οὗτοι δὲ κάθηνται « Σεμνοὶ καὶ γαῦροι μαθηταὶ, κρείττονες διδασκάλων », καὶ διορίζουσιν ἀπτώτως καὶ ἀσφαλῶς τὰ κατὰ τὸν Ἀριστόβουλον, ἀραρότα δηλαδὴ θεσμοθετοῦντες αὐτοὶ, καὶ βέβαια καὶ τετράγωνα· καὶ φαίνονται λοιπὸν (καθὼς ἀξιοῦσι) συνετοὶ μὲν αὐτοὶ περὶ ταῦτα καὶ πεπνυμένοι, « *βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενοι* », οἱ δὲ περὶ τὸν Κλήμεντα καὶ Εὐσέβιον πλανῆταί τινες ἀστάτως περιῤῥεμβόμενοι καὶ δονούμενοι « *ὡς κοῦφαι σκιαί* »! Παράδοξος τῷ ὄντι καὶ ὑπέροπλος ἡ ἀξίωσις, καὶ αὐτὴ ἐκείνη ἡ *ὕβρις ἡ ὑπέρβιος καὶ ὑπέραντλος!* (α). Πλὴν ἀλλ' ἐξήλεγξαν τὸν τύφον τῶν τοιούτων παραλογισμῶν ἄλλοι πάλιν ἐκ τῶν νεωτέρων συνετοὶ κριτικοὶ, ἐν οἷς καὶ ὁ κλεινὸς Οὐαλκενῆρος (β). Τούτῳ καὶ ἡμεῖς συμφώνως (εἰ καὶ μὴ πάντα) θεωροῦμεν, καὶ πλατύτερον ἀνακρίνομεν τὰς προηγηθείσας περὶ τῶν μνημονευθέντων πατέρων Ὀδιακὰς κρίσεις, ἀρχόμενοι πρῶτον ἀπὸ τοῦ Κλήμεντος.

Α) Ὅτι τ' ὄνομα τοῦ Φιλομήτορος οὐκ ἐμπεριείχετο κατὰ λέξιν ἐν ταῖς Ἀριστοβούλου συγγραφαῖς, εἰς μάτην ὁ κριτικὸς ἐσπούδασεν ἀποδεῖξαι, προβαλλόμενος ἃς λέγει διαφωνίας τῶν πατέρων. Ὑπάρχει πρᾶγμα ὁμολογούμενον, ὅτι πολλάκις οἱ ἀρχαῖοι συγγραφεῖς τοὺς Πτολεμαίους ἐμνημόνευον ἁπλῶς ἐκ τῆς κυριωνυμίας, μὴ προςτιθέντες καὶ τὸ ἐπώνυμον (βλ. ὄπισθ. σελ. 181)· καὶ ὁ Ἀριστόβουλος λοιπὸν ἐπέγραψε τὰς *Ἐξηγήσεις* ἁπλῶς « *Βασιλεῖ Πτολεμαίῳ* ». Κείσθω τοῦτο καὶ συνομολογοῦμεν· πλὴν ἀλλ' ὅμως ὤφειλεν ὁ κριτικὸς ἀποδεῖξαι, καὶ ὅτι εἰς τὰς Ἀριστοβούλου ταύτας συγγραφὰς ἔλειπε παντάπασι καὶ πᾶν ἕτερον οἱονδήποτε γνώρισμα χαρακτηριστικὸν

(α) Βλ. καὶ τοὺς Ὀδίῳ συμφωνοῦντας Chr. Wolf. Bibl. Hebr. Pr. I. p. 215. καὶ J. Cleric. epist. critic. adject. Art. critic. p. 189. edit. Lips. πρβλ. καὶ Scharfenberg not. in Fabric. Bibl. Gr. vol. 3. p. 659. Harl.

(β) Valckenaer. de Aristobul. Jud. §. 8. p. 22. sq. πρβλ. καὶ Fabric. Bibl. Graec. vol. 3. p. 469. Harl.

τοῦ *Πτολεμαίου ἐκείνου*, πρὸς ὃν ὁ φιλόσοφος προσεφώνει τὰς Ἐξηγήσεις. *Πτολεμαῖον* ἁπλῶς καὶ ὁ Θεόκριτος ὀνομάζει τὸν *Φιλάδελφον*, εἰς ὃν ἐποίησε τὸ ιζ, Εἰδύλλιον. *Πτολεμαῖον* δὲ μόνον καὶ τὸν τούτου πατέρα· ἀλλ' ἐκ πόσων χαρακτήρων διέκρινεν ἑκατέρους! καὶ τὸν ἕτερον ἅπαξ που προσεῖπε καὶ ὀνομαστὶ *Λαγίδην*· καὶ αὐτὴ δὲ (ἵνα μὴ πολλοὶ γινώμεθα προστιθέντες ἄλλα πάμπολλα παραδείγματα), αὐτὴ ἡ παρὰ τῷ Ἀριστέᾳ τοῦ ἀρχιερέως πρὸς τὸν Φιλάδελφον ἐπιστολή, « βασιλεῖ Πτολεμαίῳ » ἁπλῶς ἐπιγραφομένη, φέρει παρακείμενον καὶ τὸ τούτου γνώρισμα, « *τὴν ἀδελφὴν* καὶ *βασίλισσαν Ἀρσινόην* ». Παρομοίως ἠδύναντο καὶ τὰ τοῦ Ἀριστοβούλου βιβλία περιέχειν ἰδιάζοντάς τινας χαρακτῆρας τοῦ πρὸς ὃν ἀνετίθεντο Πτολεμαίου, δακτυλοδεικτοῦντας τὸν Φιλομήτορα· καὶ μάρτυς τὸ μικρὸν ἐκεῖνο τεμάχιον, ἐν ᾧ τοῦ Φιλαδέλφου μνημονεύων ὁ Ἀριστόβουλος πρὸς *τὸν βασιλέα*, προστίθησι καὶ τό, « *σοῦ δὲ προγόνου* » (προπροπάππου δηλονότι)· παρομοίως ἠδύνατο, δι' ἄλλην περίστασιν, καὶ *τοῦ πάππου* (τοῦ Φιλοπάτορος) μνημονεύειν, ἢ καὶ τοῦ (Ἐπιφανοῦς), πατρὸς τοῦ Φιλομήτορος. Ἔπειτα τίς οἶδεν εἰμὴ καὶ ἐπὶ κεφαλῆς, ἢ καὶ πρὸς τῷ τέλει τοῦ κώδηκος τῶν Ἀριστοβούλου πρὸς τὸν Πτολεμαῖον Ἐξηγήσεων, ὑπῆρχεν ἐπιγραφή τις, ἢ ὑπογραφή, φέρουσα προσγεγραμμένον καὶ τὸ ἐπώνυμον τοῦ Φιλομήτορος (ὡς εἴθισται μάλιστα παρὰ τοῖς ἀρχαίοις τὰς ὑποθέσεις τῶν βιβλίων πλατύτερον ὑποσημειοῦν) (α). Ἀλλὰ

(α) Τοιαῦται ἐν τῷ τέλει ἑκάστης τῶν τοῦ θείου Παύλου ἐπιστολῶν φέρονται παλαιαὶ ὑποσημειώσεις, ἢ (κατὰ τοὺς ἀρχαίους) ὑπογραφαί· οἷον (ἐν τῇ πρὸς Τίτον) « Πρὸς Τίτον, τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Νικομηδείας » κτλ. Καὶ (ἐν τῇ παλαιᾷ Διαθήκῃ κατὰ τὸν Ἀλεξανδρινὸν κώδηκα, ἐκδ. Μόσχ.) « Ἔξοδος τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου » (εἰς τὸ τέλος τῆς Ἐξόδου). Καὶ (ἐν τῷ τέλει τῆς Β. Μακκαβ.) « Ἰούδα τοῦ Μακκαβαίου πράξεων ΕΠΙΤΟΜΗ » (οὕτω γραπτέον, ἀντὶ τοῦ ἐσφαλμένου ἐπιστολή, ὀρθῶς ἔκρινεν ὁ Οὐαλκενῆρος, ἔνθ. ἀνωτ. σελ. 34). Καὶ ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς, ἐν κεφαλίδι μὲν ἐπιγράφεται « Διαταγαὶ τῶν ἁγίων Ἀποστόλων διὰ Κλήμεντος τοῦ Ῥωμαίων ἐπισκόπου τε καὶ πολίτου, ἡ καθολικὴ διδασκαλία ». Ἐν δὲ τῷ τέλει τῶν ταῖς Διαταγαῖς συνημμένων Ἀποστολικῶν κανόνων, συντομώ-

ταῦτα μὲν ἀφῶμεν· ἴδωμεν δὲ καὶ τὰς διακεκροτημένας διαφωνίας δῆθεν τοῦ Κλήμεντος τὰς αὐτοῦ πρὸς ἑαυτόν. *Τετράκις* τὸ σύνολον ἀναφέρει τὸν Ἀριστόβουλον ὁ ἱερώτατος Κλήμης, ὡς ἐξηκρίβωσεν ὅ,τε Οὐαλκενῆρος (ἔνθ. ἀνωτέρω), καὶ πάντες τῶν πεφροντισμένων ἐκδόσεων οἱ πίνακες. Ἐν τῷ πρώτῳ χωρίῳ λέγει· « *Ἀριστόβουλος ὁ περιπατητικὸς* » (Στρωμ. α, 360)· ἐν δὲ τῷ δευτέρῳ, « *Ἀριστόβολος ἐν τῷ πρώτῳ τῶν πρὸς τὸν Φιλομήτορα*· (Στρωμ. α, 410)· ἐν δὲ τῷ τρίτῳ (Στρωμ. ε, 705) « Ἀριστοβούλῳ δὲ τῷ *κατὰ Πτολεμαῖον γεγονότι τὸν Φιλάδελφον*, οὗ μέμνηται ὁ συνταξάμενος τὴν τῶν Μακκαβαϊκῶν ἐπιτομήν, βιβλία *γεγονέναι* ἱκανά, δι᾽ ὧν ἀποδείκνυσι τὴν περιπατητικὴν φιλοσοφίαν » κτλ. (α). ἐν δέ, τέλος, τῷ τετάρτῳ γράφει τ᾽ ὄνομα μόνον ἁπλῶς, « ὥς φησιν *Ἀριστόβουλος* » (Στρωμ. ς, 755). Ἐν τούτῳ τῷ τετάρτῳ χωρίῳ ὁ Κλήμης (ἵν᾽ ἀπὸ τοῦ ἐσχάτου ἀρξώμεθα) τὸ τελευταῖον μνημονεύσας τὸν Ἀριστόβουλον ἐξέφερεν ἁπλῶς, ὡς ἐκ τῶν προηγηθέντων ἤδη γνωστόν. Ἐν δὲ τῷ πρώτῳ, περὶ φιλοσοφίας τὸν λόγον ποιούμενος (ὅτι ἡ *παρ᾽ Ἰουδαίοις φιλοσοφία προκατῆρξε τῆς παρ᾽ Ἕλλησι*) διαγράφει τὸν Ἀριστόβουλον ὡς ἐκ τῆς φιλοσοφικῆς αἱρέσεως ᾗ κατηκολούθει, καθὼς προσηγόρευσε καὶ τὸν ἐκείνου ὁμογενῆ Φίλωνα· « *διὰ πολλῶν ὁ Πυθαγόρειος ὑποδείκνυσι Φίλων, οὐ μὴν ἀλλὰ καὶ Ἀριστόβουλος ὁ Περιπατητικός* ». Ἐν δὲ τῷ δευτέρῳ, μέλλων ἀποδεικνύειν ὅτι πολλὰ καὶ Πλάτων παρέλαβεν ἐκ τῶν θείων Γραφῶν, φέρει μάρτυρα τὸν Ἀριστόβουλον, προστιθεὶς

τερον· « Τέλος Διαταγῶν (γρ. ΤΩΝ Διαταγῶν) τῶν ἁγίων Ἀποστόλων διὰ Κλήμεντος, ἢ [ΤΗΣ] καθολικῆς Διδασκαλίας » (ἐκδ. Coteler. PP. Apostol. T. I. p. 450) κτλ. καὶ ταῦτα μὲν ἐκ τῶν ἱερῶν γραμμάτων. Ἡ δὲ παρὰ τῷ Συγκέλλῳ τοῦ Μανέθωνος πρὸς τὸν Φιλάδελφον ἐπιστολὴ φέρει καὶ διπλῆν τοῦ ὀνόματας ἐπιγραφήν. « Βασιλεῖ μεγάλῳ, Πτολεμαίῳ Φιλαδέλφῳ σεβαστῷ, Μανέθων ἀρχιερεὺς καὶ γραμματεὺς τῶν κατ᾽ Αἴγυπτον ἱερῶν ἀδύτων, γένει Σεβεννύτης ὑπάρχων, Ἡλιουπολίτης, τῷ Δεσπότῃ μου Πτολεμαίῳ χαίρειν ». Συγκέλ. Χρονογραφ. σελ. 73. Bon.

(α) Τὸ ἀνωτέρω γεγονέναι εἰς τὸ πεπόνηται παρῄνεσε τρέπειν, ὀρθῶς ἅμα καὶ λίαν ἐπιτυχῶς τὸ ἀσυνάρτητον τοῦ λόγου διορθῶν, ὁ σοφὸς Οὐαλκενῆρος (αὐτ. σελ. 30).

καὶ τὸν τόπον τῆς τούτου συγγραφῆς· «*Ἀριστόβουλος ἐν τῷ πρώτῳ τῶν πρὸς Φιλομήτορα*» κτλ. Ἐν τούτοις οὖν τοῖς χωρίοις σύμφωνος πρὸς ἑαυτὸν ὁ ἱερώτατος φαίνεται Κλήμης. Ἐν δὲ, τέλος, τῷ τρίτῳ (τῷ μάλιστα παροξύναντι τὸν Ὅδιον) πάλιν διαλαμβάνων, ὅτι πολλὰ καὶ *τῆς Πλατωνικῆς καὶ τῆς Στωϊκῆς* φιλοσοφίας· συμφωνοῦσι πρὸς τὰ τῶν θείων Γραφῶν, προστίθησιν ὅτι, «*καὶ τὴν περιπατητικὴν φιλοσοφίαν ἔκ τε τοῦ κατὰ Μωσέα νόμου καὶ τῶν ἄλλων ἠρτῆσθαι προφητῶν ἀποδείκνυσιν ὁ Ἀριστόβουλος*» (καὶ ἅμα διαγράφων *καὶ τὸν χρόνον*, καὶ *τὴν ἐπισημότητα* τοῦ ἀνδρὸς, προστίθησιν εἰσάπαξ), «ὁ κατὰ Πτολεμαῖον γεγονὼς *τὸν Φιλάδελφον*, οὗ μέμνηται ὁ συνταξάμενος τὴν τῶν Μακκαβαϊκῶν ἐπιτομήν». Πῶς λοιπὸν ὁ κατὰ πάντα τ᾽ ἄλλα περὶ τοῦ Ἀλεξανδρέως Ἀριστοβούλου μηδὲν πρὸς ἑαυτὸν διαφωνήσας Ἀλεξανδρεὺς Κλήμης, εἰς τοῦτο μόνον τὸ χωρίον *ἐπελάθετο ἑαυτοῦ* (κατὰ τὸν Ὅδιον); Πῶς; ὁ τοσοῦτον ἀκριβῶς διαγράψας τὸν Ἀριστόβουλον, καὶ τὴν φιλόσοφον αὐτοῦ αἵρεσιν ὀνομάσας, καὶ αὐτὸν τὸν βασιλέα, ἐφ᾽ οὗ ἤκμαζε καὶ πρὸς ὃν προσεφώνει τὴν συγγραφὴν, τὸν ς, τῶν Πτολεμαίων, τὸν Φιλομήτορα διορίσας, ἔπειτα μικρὸν προχωρήσας εἰς τοσαύτην ἐνέπεσε λήθην, ὥστε πάλιν τὸν αὐτὸν Ἀριστόβουλον εἰς τοῦ β, Πτολεμαίου, τοῦ Φιλαδέλφου, τοὺς χρόνους ἀναγαγεῖν; Καὶ τοῦτο οὐκ ἤρκεσε μόνον, ἀλλὰ καὶ ἄλλην ἔπαθε χείρονα λήθην ὁ Κλήμης (ἥτις ἕπεται πάντως, κατὰ τὸν Ὅδιον, εἰ καὶ μὴ καὶ ταύτην ὁ δόκτωρ ἐξεπόμπευσε ῥητῶς). Ὁ Κλήμης ὑπολαμβάνων ὅτι ὁ Ἀριστόβουλος οὗτος ὑπῆρχεν ὁ αὐτὸς καὶ οὗ *μέμνηται ἡ τῶν Μακκαβαϊκῶν ἐπιτομὴ*», ἀνῆγε λοιπὸν καὶ τὰ Μακκαβαϊκὰ εἰς τοὺς Φιλαδέλφου χρόνους, καθὼς καὶ τὸν Ἀριστόβουλον! Ἀλλ᾽ εἴπερ ἦν ὀλίγῳ δικαιότερον ὁ κριτικὸς, οὐκ ἂν ἀπέῤῥιπτεν εἰς τὸν συγγραφέα τὰ σφάλματα τοῦ μεταγραφέως· Εἰ δὲ καὶ τῆς αὐτοῦ τοῦ Κλήμεντος μνήμης ἐτίθει τὸ ἁμάρτημα, οὐδὲν ἂν οὐδ᾽ ἐκ τούτου παρεβλάπτετο ἡ ἀλήθεια. Πόσοι καὶ ἄλλοι τῶν ἐνδόξων συγγραφέων ἔπαθον περὶ τὰς κυρίας ὀνομασίας σφάλματα μνημονικὰ, ἐν οἷς καὶ αὐτὸς ὁ Κικέρων, *Αἴαντα* γράψας

ἀντὶ τοῦ Ἕκτορος (α), καὶ πάλιν ἄλλον ἀντ' ἄλλου, ὡς αὐτὸς ὁμολογεῖ καὶ διορθοῖ (β). Πλὴν ἀλλ' ὅμως ὁ Κλήμης ἔγραψε καὶ ὧδε πάντως, καθὼς ἐν τοῖς παραλαβοῦσι, « Πτολεμαῖον *τὸν Φιλομήτορα* »· τῶν δὲ βιβλιογράφων ἡ ἀβλεψία μετέβαλε τὸ *Φιλομήτορα* εἰς τὸ *Φιλάδελφον*. Τοιαῦτα δὲ τῶν ἀντιγραφέων παραπτώματα (καὶ μάλιστα περὶ τὰς Πτολεμαίων ἐπωνυμίας) ἀπαντῶνται πάμπολλα καὶ παρὰ τοῖς ἀρχαίοις συγγραφεῦσι (βλ. ὄπισθ. σελ. 270). Αὐτὸς ὁ Ὅδιος μνημονεύων τὴν παρὰ Φωτίῳ τοῦ Μέμνονος ῥῆσιν, ἐν ᾗ γράφεται ἡμαρτημένως « Πτολεμαίου *τοῦ Φιλαδέλφου* (ἀντὶ τοῦ *Σωτῆρος*, ἢ τοῦ *Λάγου*), ἔκρινεν ἐξαλειπτέον ὅλως τὸ *Φιλαδέλφου* (Hody σελίδι 24), ὡς ἂν ὑπό τινος ἀπαιδεύτου χειρὸς παρεγγεγραμμένον· ἀλλ' εἴτ' ἐξαλειπτέον, εἴτε προσηκόντως τοῦτο διορθωτέον, ὁμολογεῖ καὶ Ὅδιος ὅτι συμβαίνουσι πολλάκις συγχύσεις περὶ τὰς Πτολεμαϊκὰς προσηγορίας· διὰ τί λοιπὸν οὐκ ἐξέλαβε τοιαύτην καὶ τὴν ἐν τῷ Κλημεντίῳ τόπῳ γραφὴν, προείλετο δὲ μᾶλλον ἀπ' αὐτῆς ἐξελέγξαι τὸν ἱερώτατον συγγραφέα τοσοῦτον ἀμαθῶς καὶ ἀστάτως ἀντιφάσκοντα πρὸς ἑαυτὸν καὶ διχογνωμοῦντα; (γ).

(α) Gell. Noct. attic. XV. 6. — (β) Cicer. Epist. ad Attic. XIII. 44· πρβλ. Perizon. in Animadvers. hist. p. 7, 8.

(γ) Καὶ ὁ Οὐαλκενῆρος (De Aristobul. p. 30) ἔκρινε τὸ Φιλάδελφον σφάλμα προφανὲς οὐχὶ τοῦ Κλήμεντος, ἀλλ' ἀμαθοῦς τινος σχολιαστοῦ. « Ὁ Κλήμης (λέγει) ἔγραψεν « Ἀριστοβούλῳ δὲ βιβλία πεπόνηται ἱκανὰ, δι' ὧν ἀποδείκνυσι τὴν περιπατητικὴν φιλοσοφίαν, κτλ. Ἀναγνώστης δέ τις ἱστορίας ἀμαθὴς παρενέβυσε (μεταξὺ τοῦ Ἀριστοβούλῳ δὲ, καὶ τοῦ βιβλία) καὶ τὰ ἑξῆς « τῷ κατὰ Πτολεμαῖον γεγονότι τὸν Φιλάδελφον, οὗ μέμνηται ὁ συνταξάμενος τὴν τῶν Μακκαβαϊκῶν ἐπιτομήν ». Ἀλλὰ συγγνώμη! εἰ μηδόλως ἀποδεχόμεθα μήτε τὴν περὶ τούτου κρίσιν τοῦ σοφωτάτου Οὐαλκενήρου, μήτε τὴν περί τινων ἄλλων τοῦ ἱεροῦ Κλήμεντος χωρίων, ἅπερ ὡσαύτως ἔδοξε κἀκεῖνα τῷ κριτικῷ διεσκευασμένα· εἶον τὰ ἑξῆς. Ἐν Στρωμ. α (σελ· 350) ἀριθμῶν ὁ Κλήμης τοὺς ἑπτὰ σοφοὺς, ἕνα μετ' ἄλλον ἐξ ὀνόματος κατὰ συνεχῆ σειρὰν, ἐπειδὴ κατήντησεν εἰς τὸν ἔσχατον Ἐπιμενίδην τὸν Κρῆτα, ἐπισυνῆψεν (ὡς ἔδει) καὶ τὰ περὶ αὐτοῦ ἐκ τῆς πρὸς Τίτον (Κρητῶν καὶ τοῦτον ἐπίσκοπον) τοῦ θείου Παύλου ἐπιστολῆς λέγων· « Ὃν ἑλληνικὸν εἶδε προφήτην, οὗ μέμνηται ὁ Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Τίτον ἐπι-

Β) Καὶ περὶ τοῦ Εὐσεβίου δὲ οὐχ ἧττον παράδοξα ἀποφαίνεται ὅδιος, ἀσύμφωνον πρὸς ἑαυτὸν εἰσάγων καὶ τοῦτον καὶ ἀντιφάσκοντα ἐν τοῖς περὶ τοῦ Ἀριστοβούλου. Καὶ πρῶτον μὲν, (ἐξα-

---

στολῆ λέγων οὕτως » κτλ. (ἀπὸ τοῦ 25, μέχρι τοῦ 39, στίχου τῆς σελίδος). Ταῦτα γοῦν διεσκευασμένα τίθησιν ὁ Οὐαλκενῆρος, ὡς ἄτοπον καὶ μακρὰν παρένθεσιν, καὶ μηδόλως πρέπουσαν εἰς τὴν συγγραφικὴν τοῦ Κλήμεντος ἀκρίβειαν. Εὑρίσκει δὲ καὶ φράσιν ἄμουσον ἐν αὐτοῖς τὴν, « ὃ ν ἑ λ λ η ν ι κ ὸ ν ο ἶ δ ε π ρ ο φ ή τ η ν, ο ὗ μ έ μ ν η τ α ι » κτλ. Ἀλλὰ τοῦτο μὲν τὸ τῷ ὄντι κακόζηλον ἀσύνδετον ἀπαιτεῖ προφανῶς τὸν π ρ ὸ τοῦ ο ὗ διεκπεσόντα Κ α ί· ὁ Κλήμης ἔγραψεν « Ὃν οἶδε, ΚΑΙ οὗ μέμνηται » κτλ. ἢ « Οὗ Κ Α Ι μέμνηται » ὡς ἔχει καὶ ὁ παλαιὸς Λατῖνος, μεθερμηνεύσας « Quem-novit, cujus etiam meminit ». [Οὕτω καὶ ἀλλαχοῦ (Στρώμ. σελ. 815, καὶ παρ' Οὐαλκεν. σελ. 90) ὁ Κλήμης ἔγραψεν « εν ᾗ (ἡμέρᾳ) καὶ δι' ἧς τὰ πάντα ἐποίησε, ἧ ς ΚΑΙ χ ω ρ ὶ ς ἐγένετο οὐδὲ ἕν » κτλ. (εἰ μὴ γνησιώτερον καὶ ὧδε τὸ « κ α ὶ ἧ ς χωρίς). Ὅτι δὲ καὶ εἰς τὸ ἀνωτέρω τοῦ Κλήμεντος χωρίον τὸ « ο ὗ μ έ μ ν η τ α ι κτλ. γραπτέον καὶ τὸ ἐφεξῆς μετὰ τοῦ συνδέσμου, Κ Α Ι ὁ σ υ ν τ α-ξ ά μ ε ν ο ς, μαρτυρήσει ὁ Εὐσέβιος εὐθύς]. Τὴν δ' οὖν περὶ τοῦ Ἐπιμενίδου διεσκευασμένην νομισθεῖσαν π α ρ έ ν θ ε σ ι ν (ἢ μᾶλλον π α ρ έ κ β α σ ι ν) καὶ λέξις, καὶ σύνθεσις, καὶ διάνοια γνησίαν τοῦ Κλήμεντος ἀποδείκνυσιν· ὅστις καὶ ἐφεξῆς (σελ. 372) μνημονεύων τοῦ ἐν Πράξ. κς, Ἀρατείου ἡμιστίχου « Τ ο ῦ γ ὰ ρ κ α ὶ γένος ἐ σ μ έ ν », ὅμοιον ἐπάγει πάλιν ἐπεισοδιῶδες τὸ ἐφεξῆς· « ἐξ ὧν δῆλον, ὅτι καὶ ποιητικοῖς χρώμενος (ὁ Ἀπόστολος) παραδείγμασι, δοκιμάζει τὰ παρ' Ἕλλησι καλῶς εἰρημένα ». Εἰ δὲ καὶ ἡ ἀνωτέρω παρέκβασις φαίνεται μακροτέρα, ἀλλ' ἔχει καὶ ἄλλας τοιαύτας ὁ Κλήμης. Ὁ δὲ καὶ ταύτας, ὁ Οὐαλκενῆρος, ὡς παρεγγράπτους ἐξοβελίζει· οἷον τὴν ἐν σελ. 294 ῥῆσιν τοῦ θείου Δανιὴλ (οὕτως ἀναγκαίαν εἰς τὸν ἐκεῖ θεωρούμενον συμψηφισμὸν τῆς ἐκπληρώσεως τῶν προφητευθεισῶν ἑ β δ ο μ ά-δ ω ν· πρβλ. καὶ σελ. 404), καὶ τὴν (ἐν σελ. 404. στίχ. 12—405. στίχ. 24) περὶ τ ῶ ν ἐ θ ν ῶ ν κ α ὶ γ λ ώ σ σ ω ν π α ρ έ κ β α σ ι ν, ἣν καὶ παντάπασι ξένην νομίζει τοῦ προκειμένου (καί τοι ἐξηρτημένην ἐκ τῆς προηγουμένης ἀπὸ Ἀδὰμ ἄχρι Ῥωμαίων χρονολογίας, ἐν ᾗ μνημονεύσας καὶ τὴν Ἰουδαίων ἔξοδον τὴν ἐξ Αἰγύπτου, ὅπου τὸ πρῶτον ἦλθον α ἱ μ ε τ ὰ τ ο ῦ Ἰ α κ ὼ β 75 ψυχαὶ, παρεξέβη καὶ εἰς τὴν ἐκ τούτου παρ' Ἐφόρῳ καὶ ἄλλοις ἱστορικοῖς διαίρεσιν τῶν 75 ἐθνῶν καὶ γλωσσῶν). Ὁ δὲ κριτικὸς (σελ. 32) τελευταῖον, ἐξωβέλισε καὶ τὸ ἐφεξῆς (Στρωμ. α, 392), « Ἐν τῇ αἰχμαλωσίᾳ ταύτῃ γίνεται Ἐσθὴρ καὶ Μαρδοχαῖος, ο ὗ φ έ ρ ε τ α ι β ι-β λ ί ο ν, ὡ ς κ α ὶ τ ὸ τ ῶ ν Μ α κ κ α β α ϊ κ ῶ ν » — « ΟΥ̃ β ι β λ ί ο ν! τίνος; (λέγει), τοῦ Μ α ρ δ ο χ α ί ο υ »; — Ναὶ (ἀπαντῶμεν)· τούτου σύγγραμμα καὶ παρ' αὐτοῖς τοῖς ἐπισημοτάτοις ἑβραίοις ἐνομίσθη τὸ βιβλίον τῆς Ἐσθὴρ (ἐν ᾧ, κεφ. θ. 20, γέγραπται ταῦτα· « Ἔγραψε δὲ Μ α ρ δ ο χ α ῖ ο ς τοὺς λόγους τούτους εἰς β ι β λ ί ο ν »). Εἰ δέ τις τὸ ο ὗ τρέπει εἰς τὸ ΩΝ, καὶ οὕτως ἕξει πάλιν καὶ τοὺς συγγραφεῖς καὶ τὴν ἐπιγραφὴν ἐξ αὐτοῦ τοῦ βιβλίου τῆς Ἐσθὴρ (Θ. 29). « Καὶ

σθενίζων τάχα τὴν Εὐσεβίου μαρτυρίαν, ὡς ἂν ἐξ ὑποβολέως ἠπατημένου, τοῦ Κλήμεντος, ὑπαγορευθεῖσαν) « τῷ Κλήμεντι (λέγει) κατηκολούθησε καὶ Εὐσέβιος ἐν τοῖς χρονικοῖς, τάξας τὸν Ἀριστό-

---

ἔγραψεν Ἐσθὴρ - καὶ Μαρδοχαῖος - ὅσα ἐποίησαν » κτλ. (βλ. καὶ Huet. Demonst. Evangel. Pr. IV. p. 203, Bassani, 1782). Ἀντὶ δὲ τοῦ « Ὡς καὶ τὸ τῶν Μακκαβαϊκῶν ὑποπτεύει, τέλος, ὅτι ἔγραψεν ὁ διασκευαστὴς, « ὡς καὶ τὸ Γ, τῶν Μακκαβ. ». Ὀρθότατα συνεῖδεν ὁ κριτικὸς καὶ τὴν ἔκπτωσιν τοῦ Γ, (τρίτου), καὶ τὴν ὁμοιότητα τῆς Ἐσθηρικῆς ἱστορίας πρὸς τὸν ἐν τῷ Γ, τῶν Μακκαβ. ἱστορούμενον κίνδυνον τῶν Ἰουδαίων (πρβλ. Ἐσθὴρ κεφ. γ, μέχρι τέλους, καὶ Γ. Μακ. γ. μέχρι τέλους)· καί τοι, καὶ ὡς ἔχει τὸ χωρίον, χωρὶς τοῦ Γ, ἀναγινωσκόμενον, τοῦτο πάλιν, τὸ τρίτον, ἀκινδύνως ἂν ἐσήμαινε, κατὰ συνεκδοχὴν τοῦ ὅλου ἀντὶ τοῦ μέρους. Καὶ μάρτυς ὁ Εὐσέβιος, ὅστις μόνον τὸ ζ, κεφάλαιον μόνης τῆς Β. τῶν Μακκαβ. σημαίνων, ἔγραψεν· ὅτι ἡ τῶν Ζ, παίδων ἱστορία περιέχεται « ἐν τοῖς οὕτω καλουμένοις Μακκαβαϊκοῖς συγγράμμασι» (Ἐκκλ. ἱστορ. γ. 10). Εἰ δὲ καὶ τὸ, ὡς, ἔτρεπεν εἰς τὸ οἷον ὁ κριτικὸς, πᾶσαν ἀπεδίδου σαφέστατα τὴν ἔννοιαν οὐχὶ τοῦ (κατ' αὐτὸν) διασκευαστοῦ, ἀλλ' αὐτοῦ τοῦ Κλήμεντος. Ὁ Κλήμης ἔγραψεν « Ἐσθὴρ καὶ Μαρδοχαῖος, οὗ (ἢ ὧν) φέρεται βιβλίον, ΟΙΟΝ καὶ τὸ Γ, τῶν Μακκαβ. ». Τούτου δὲ τοῦ χωρίου δῆθεν διασκευαστὴν ἐνόμισεν ὁ Οὐαλκενῆρος τὸν αὐτὸν καὶ τὸν τῆς ἀνωτέρω τῆς πρώτης τοῦ Κλήμεντος περικοπῆς, τῆς « οὗ μέμνηται [καὶ] ὁ συνταξάμενος, τὴν τῶν Μακκαβαϊκῶν ἐπιτομὴν (ὡς ὀνομάζεται ἡ Β, Μακκαβαίων, ἐν κεφ. β. 28). Ἀλλ' αὐτὰ ταῦτα παρομοίως ἀνέγνω παρὰ Κλήμεντι, καὶ μετέγραψεν ὡς γνήσια, καὶ ὁ Εὐσέβιος λέγων· « Οὗτος δ' ἦν (ὁ Ἀριστόβουλος) αὐτὸς ἐκεῖνος, οὗ ΚΑΙ ἡ Β, τῶν Μακκαβαίων ἐν ἀρχῇ τῆς βίβλου μνημονεύει » (Εὐαγγ. προπαρ. η. 9). Ταῦτα παρεκβατικώτερον περὶ τοῦ ἱεροῦ Κλήμεντος, εἰς οὗτινος τὰς συγγραφὰς ἡ κριτικὴ ἀκρίβεια λίαν προχείρους καὶ ὀξεῖς ἐπέβαλε τοὺς ὀβελοὺς (οἵους καὶ εἰς ἄλλα πολλὰ τῶν ἀρχαίων, καὶ εἰς αὐτὰ τὰ Ὁμηρικά). Ἀλλ' εὐκταῖον ἂν ἦν, εἴπερ ὁ βαθὺς Οὐαλκενῆρος ὑπῆρχε περὶ τὰ τοιαῦτα πολλῶν ἄλλων εὐλαβέστερος. Ὁ δὲ καὶ λογοκλόπον ἄντικρυς ὠνόμασε τὸν θεοῤῥήμονα Κλήμεντα (καί τοι τοῦτον ἄλλως ἐπαινῶν), μήτε καλὴν μήτε δικαίαν ταύτην χάριν ἀποδιδοὺς εἰς τὴν ἱερὰν καὶ πλουσίαν ἐκείνην τῆς πολυμαθείας βιβλιοθήκην, ἀφ' ἧς καὶ αὐτὴ τῶν νεωτέρων ἡ κριτικὴ καθ' ἑκάστην ἐναβρύνεται στολίζουσα τὰς λογοδαιδάλους αὐτῆς συγγραφάς. — « Ἐξέδωκεν ὁ Κλήμης εἰς τὸν γεγραμματισμένον (ἢ φιλολογικὸν) κόσμον (in orbe literato) τὰ ἀλλότρια ὡς ἴδια, μὴ ὀνομάσας τὸν συγγραφέα », (τουτέστι τὸν Ἀριστόβουλον, κτλ.), ταῦτα διεσάλπισε περὶ τοῦ Κλήμεντος ὁ Οὐαλκενῆρος! (σελ. 10. πρβλ. 12, 71). — Ἀλλ' οὕτως ἂν ἐξήλεγχε λογοκλόπους καὶ πάντας τοὺς ἐνδοξοτάτους πατέρας τῆς Ἐκκλησίας, καὶ αὐτὸν τὸν θεῖον Ἀπόστολον Παῦλον (διότι κἀκεῖνος εἶπε τὸ « φθείρουσιν ἤθη » κτλ. μὴ μνημονεύσας τὸν ποιητήν!). Ἔπειτα ὁ ἱερὸς Κλήμης Στρωμματεῖς ἐπιγράψας τὸ σύνταγμα, διεκήρυξεν

βουλον κατὰ τοὺς χρόνους τοῦ Φιλομήτορος ν. Ἀλλ' ὁ Κλήμης (ὡς διατείνεται ὁ κριτικὸς), εἶχε δύω γνώμας ἀμφιῤῥόπους, ταλαντευόμενος, καὶ νῦν μὲν ἐπὶ τοῦ Φιλαδέλφου, νῦν δ' ἐπὶ τοῦ Φιλομήτορος τάττων τὸν Ἀριστόβουλον! διὰ τί λοιπὸν ὁ Εὐσέβιος οὐκ ἀντέγραφεν ἐν τοῖς χρονικοῖς ἀμφοτέρας τὰς Κλημεντείους γνώμας

ὅτι οὐ μόνον ἰδίας ἐξέδωκε γνώμας, ἀλλὰ ποικίλην χρειῶν συναγωγὴν, ἐκ παλαιῶν συγγραφέων ἀπηνθισμένην, ὃ δηλοῖ τὸ Στρωματεῖς (βλ. Ἀθην. α, 4. καὶ Casaub. αὐτόθ. παρὰ Schweigh. in Athen. vol. 1. p. 53. καὶ αὐτὸν Κλήμεντα Στρωμ. δ, 347). Καὶ αὐτὸν δὲ τὸν Ἀριστόβουλον πολλάκις ἐν ἄλλοις χωρίοις ὠνόμασε (καί τινα δ' οὔ;). καὶ παρ' αὐτοῦ Κλήμεντος πρῶτον ἔμαθεν ὁ Οὐαλκενῆρος, ἄλλων τε πολλῶν συγγραφέων τὰ ὀνόματα, καὶ αὐτοῦ τοῦ Ἀριστοβούλου! Ἀλλὰ τὸ μὲν περὶ τοιούτων ὑπὲρ τῶν θείων πατέρων ἀπολογεῖσθαι μάταιον κρίνομεν καὶ περιττόν· αὐτὸς δὲ ὁ κριτικὸς σφόδρα περίεργος φαίνεται καὶ γλίσχρος, κατασπῶν πρὸς τοῦ φιλολογικοῦ κόσμου τὰς ἀξιώσεις τὸ σεμνὸν καὶ ἀκέραιον πνεῦμα τῶν ἁγίων διδασκάλων τῆς Ἐκκλησίας· οἵτινες οὔτε μελέτας ἀκάρπους ἔγραφον καὶ σοφιστικὰς, ψυχρῶς περὶ τοὺς λογους καλλωπιζόμενοι, οὔτε τὸ παρὰ τῶν πολλῶν ἐδίψων δοξάριον, ὑψηλὴν πανεπιστημοσύνης ἐπαίροντες ὀφρῦν, καὶ σοβαρὸν κριτικῆς δεινότητος ὄγκον ἐπιδεικνύμενοι ἐν τῇ κακοήθει τῶν ἄλλων ὑπεροψίᾳ. Ἀλλ' ἀτύφως καὶ φιλοπόνως ἀπὸ πάντων τὰ κάλλιστα ἀπανθίζοντες, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τῆς ἄνωθεν σοφίας τὴν ὑπακοὴν, ἕνα μόνον εἶχον σκοπὸν, τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας. Οὐδὲ γὰρ ἑαυτοὺς, οὐδὲ τὰ ἀρέσκοντα τοῖς φιλοσόφοις ἐκήρυττον, ἀλλὰ τὸ κήρυγμα τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων. Εἰ δέ ποτε καὶ τῶν ἔξω συγγραφέων ἐξ ὀνόματος ἐμνημόνευον, πρὸς πειθὼ τῶν ἐθνικῶν ἐποίουν τὸ τοιοῦτο, διὰ τῶν οἰκείων αὐτοὺς πρὸς εὐσέβειαν προπαρασκευάζοντες. Καὶ τῶν Ἑλλήνων συγγραφέων τὰς παρ' ἀλλήλων εἴτε λογοκλοπίας, εἴτε καὶ μιμήσεις καὶ ἀποτυπώσεις, ἀποδεικνύοντες (ὡς ὁ Κλήμης καὶ Εὐσέβιος), καὶ παρ' αὐτοῖς τοῖς Ἕλλησιν ὁμολογουμένας (Ἀθήν. β, γ, δ, ι: Πορφύρ. κτλ.), οὐκ ἐπὶ ψόγῳ τοῦτο ἐποίουν, ἀλλ' ὅπως ἀποδείξωσιν ὅτι παρομοίως καὶ τῆς ἧς αὐτοὶ ἐκήρυττον ἀρχεγόνου σοφίας τῶν θείων Γραφῶν πολλὰ ἡ Ἑλληνικὴ σοφία δανεισαμένη, ἐξέφερεν ὡς ἴδια. Καὶ λίαν ἄρα φαίνεται θαυμαστὸν, πῶς ὁ περὶ πολλὰ καὶ χρήσιμα σοφὸς Οὐαλκενῆρος ἀπώλλυεν ἐνίοτε καὶ εἰς ματαιοσπουδίας τὸν χρόνον, συνάγων ἀπὸ λειμώνων ἀκάνθας. Καί τοι πάντῃ διάφορος παρὰ τοὺς ἀπειροκάλους, ἢ βασκάνους ἐκείνους, ὅσοι ἐπὶ ψόγῳ μόνῳ συνῆξαν λογοκλόπων ἑκατοντάδας (οἷα ἡ τοῦ Fabricij, καὶ τὰ τοῦ Almeloveen, κτλ.), καὶ ἄλλας τοιαύτας ἀγρίας βοτάνας καὶ βοσκὰς κηφήνων σοφιστιώντων, κενὴν ἀναγνώσταις ματαιοσχόλοις ἡδονὴν προξενοῦντες, καὶ κενοτέραν δόξαν ἀντιλαμβάνοντες. Ὁ δὲ σοφὸς Βαταυὸς καὶ αὐτὰς τὰς τῶν ἀρχαίων κατὰ Πλάτωνος καὶ πολλῶν ἄλλων ποιητῶν καὶ συγγραφέων, ὡς λογοκλόπων, ἐκτοξευθείσας κατηγορίας μνημονεύων (σελ. 65 καὶ 12), προσφιλο-

προείλετο δὲ μᾶλλον τὴν ἑτέραν, καὶ ταύτην τὴν περὶ τοῦ Φιλομήτορος; Διὰ τί ἄλλο; εἰ μὴ διότι οὐδέποτ' ἀνέγνω παρὰ τῷ Κλήμεντι τὸν *Φιλάδελφον* (καθὼς προαπεδείχθη), εἴ γε τῷ ὄντι (κατὰ τὸν κριτικὸν) ἀντέγραψεν ἐκ τοῦ Κλήμεντος ὁ Εὐσέβιος. Ὅταν δ' ἀναπολήσωμεν καὶ τὴν β, τῶν Μακκαβαίων, καὶ τῶν ἀρχαίων ὑπομνημάτων τὸν θησαυρὸν, τότε φανήσεται σαφῶς, ὅτι καὶ Κλήμης καὶ Εὐσέβιος ἐκ τῶν αὐτῶν ἠρύσαντο πηγῶν τὴν ἐπὶ τοῦ Φιλομήτορος ἡλικίαν τοῦ Ἀριστοβούλου. Αὐτὸς δὲ ἄρα ὁ κριτικὸς, ὁ πάσας ἐπιστάμενος τὰς Εὐσεβίου μελέτας, καὶ τοῦτον αὐτὸν, καὶ τὸν συγγραφέα τοῦ χρονικοῦ τῆς Ἀλεξανδρείας (α), καὶ πάντας τοὺς ἄλλους ὅσους ἐμνημόνευσε, καὶ ὅσους ἐσιώπησε χρονολόγους, καὶ αὐτὸν δὲ μετὰ τούτων τὸν ἐπισημότατον μεταφραστὴν τῶν Εὐσεβίου χρονικῶν Ἱερώνυμον (β), ἅπαντας ὁμοίως ὡς πλανωμένους κατόπιν τοῦ πρωτοπλανήτου Κλήμεντος ἀγεληδὸν ἀποστέλλων, τίνα καὶ ποῖον ἆρά γε ἱστορικὸν καὶ χρονογράφον αὐτὸς, ἀπλανῆ σημάντορα, παρα-

---

τιμήθη κἂν τούτοις δριμὺ καὶ καυστειρὸν τῆς φιλολόγου κριτικῆς τὸ κέντρον προσεπιβαλεῖν (σελ. 65). Κατατρέχει δὲ μάλιστα τὸν Ἰουδαῖον Ἀριστόβουλον (εἰς ὃν καὶ κυρίως ἐξέδωκε τὴν βαθυτέρας καὶ αὐτὴν ἐπικρίσεως χρήζουσαν Διατριβὴν), οὐ μόνον ὡς κλεψίλογον, ἀλλὰ καὶ ὡς πολλῶν Ὀρφέως δῆθεν καὶ Λίνου στίχων, καὶ ἑνὸς Ὁμηρικοῦ, πλαστογράφον, ἐκεῖνον πάντως αὐτὸν, αὐτότατον ἐξελέγχων! (ἐκ ποίων τούτον ἀσφαλῶν χαρακτήρων γνωρίσας; ἢ μήπως ἤρκεσεν ὁ πρότερον αὐτοῦ Ἐσχεμβάχιος μετὰ Μοσχεμίου τοιοῦτον ἐν τοῖς Ὀρφικοῖς πλαστογράφον ὑποπτεύσας τὸν Ἀριστόβουλον; ὡς ἂν εἴπερ οὗτος ἦν μόνος μεταξὺ τῶν Ἀλεξανδρινῶν Ἰουδαίων ἑλληνιστής! πρβλ. Fabric. Bibl. Graec. vol. 3. p. 469 Harl.). Ἀλλ' εἴπερ ἔβλεπέ ποθεν ὁ Ἀλεξανδρεὺς Ἀριστόβουλος τὴν σοφὴν τοῦ Βαταυοῦ διατριβὴν, ἐξεφώρα δὲ καὶ ὅσα, τυχὸν, καὶ αὐτὸς ὁ Οὐαλκενῆρος ἠνθολόγησε παρ' ἄλλων σιωπηλῶς (βλ. ἐφεξ. §. ια. σημ.), εἶπεν ἂν πρὸς αὐτὸν χαριέντως, ὅ,τι καὶ αὐτὸς ὁ κριτικὸς τοῦ ἱεροῦ κατειρωνεύσατο Κλήμεντος (σελ. 12), « ὅτι ἄρα δύνασαι καὶ σὺ, Βαταυὲ, καυχήσασθαι τὸ Καλλιμάχειον ἐκεῖνο· « οὐκ ἀπὸ ῥυσμοῦ Εἰκάζω· φωρὸς δ' ἴχνια φὼρ ἔμαθον »!

(α) Ἀριστόβουλος Ἰουδαῖος, περιπατητικὸς φιλόσοφος ἐγνωρίζετο, ὃς Πτολεμαίῳ τῷ Φιλομήτορι ἐξηγήσεις τῆς Μωϋσέως γραφῆς ἀνέθηκεν ». Εὐσεβ. Χρονικ. β. Ὀλυμπ. 151: σελ. 355. ἐκδ. Maij. — Καὶ ἡ παρ' αὐτῷ ἀρμενικὴ μετάφρασις. — Ὡσαύτως καὶ Χρονικ. Πασχάλ. Ὀλυμπ. 150, τὸ δ. (σελ. 337 ἐκδ. Bon.).

(β) Hieronym. in Eus. Chronic. Can. ad Olympiad. CLI, τὸ 4. pag. 145. edit. Scalig. πρβλ. καὶ Εὐσεβ. Χρονικ. Καν. αὐτόθ. pag. 187.

κολουθῶν, ἐκίνησε τὰς περὶ τῶν Ἀριστοβούλου χρόνων ἀμφιβολίας; Πλὴν ἀλλ' ἐξεφώρασε, τέλος, καὶ τὸν Εὐσέβιον οὕτω λαμπρῶς ἀντιλέγοντα πρὸς ἑαυτὸν, ὥστε τὸν, ὃν ἔταξεν ἐν τῷ Κανόνι σύγχρονον τοῦ Φιλομήτορος, Ἀριστόβουλον, τοῦτον ἐν Η, τῆς *Εὐαγγελικῆς Προπαρασκευῆς* ὁμόχρονον Ἐλεαζάρου ποιεῖ, συντάσσων ἀμφοτέρους ἐπὶ τῶν χρόνων τοῦ *Φιλαδέλφου*! «Ἀλλ' ὅμως (λέγει πρὸς ἀπάντησιν ὁ Οὐαλκενῆρος σελ. 28), εἴπερ Ὅδιος ὑπῆρχε καὶ περὶ τὴν κριτικὴν ἐπιστήμην ἐπίσης γεγυμνασμένος, ὅσον ἦν εἰς τὴν ἀνάγνωσιν τῶν ἀρχαίων, ἔβλεπεν ἂν, ὅτι ὁ Εὐσέβιος ἔγραψεν ἐν τῇ προμνησθείσῃ περικοπῇ (βλ. ὄπισθ. §. ε) «κατὰ τοὺς *Πτολεμαίων χρόνους*»· καὶ τὸ πρᾶγμα πρόδηλον. Ὁ Εὐσέβιος περὶ τῆς ἀλληγορικῆς σημασίας πολλῶν τῆς Γραφῆς χωρίων διαλεγόμενος, ἀναφέρει τὸν λόγον εἰς τὰς *Ἐλεαζάρου* διηγήσεις (ἐννοῶν τὰς παρὰ τῷ Ἀριστέᾳ σῳζομένας, σελ. 16—20, Hod.), καὶ τὰς τοῦ Ἀριστοβούλου, οἵτινες ἀμφότεροι διέπρεψαν *κατὰ τοὺς Πτολεμαίων χρόνους* (ὁ μὲν ἐπὶ τοῦ Φιλαδέλφου, ὁ Ἐλεάζαρος, ὁ δὲ Ἀριστόβουλος ἐπὶ Φιλομήτορος). Οὕτω βραχυλογίας χάριν ὁ ἱστορικὸς συνῆψεν ἀμφοτέρους τοὺς βασιλεῖς ὑφ' ἓν ὄνομα (τὸ κύριον), παραδραμὼν ἑκατέρων τὰς ἐπικλήσεις. Καὶ μαρτυρεῖ πάλιν ὁ αὐτὸς Εὐσέβιος ἀλλαχοῦ τῆς *Προπαρασκευῆς*, τὸν μὲν Ἐλεάζαρον τάσσων «*κατὰ τὸν δεύτερον Πτολεμαῖον*, τὸν ἐπικληθέντα Φιλάδελφον» (βιβλ. η. σελ. 349)· τὸν δ' Ἀριστόβουλον ἰδίως ἐπὶ τοῦ Φιλομήτορος (βιβλ. θ. 410· ὅπου μνημονεύει, καθὼς καὶ Κλήμης, «*τοῦ πρώτου τῶν πρὸς τὸν Φιλομήτορα*»)· καὶ πάλιν τὸν αὐτὸν Ἀριστόβουλον ἀκμάσαντα λέγει «*κατὰ τὴν Πτολεμαίων ἡγεμονίαν* (βιβλ. Ζ. κεφ. 13), τοῦ Φιλομήτορος δηλαδὴ, καὶ τοῦ (συμβασιλεύσαντος αὐτῷ) Β, *Εὐεργέτου*, τοῦ καὶ *Φύσκωνος*· (ὅπου παρατήρησον καὶ αὖθις, πῶς ὑφ' ἓν ὄνομα συνῆψεν ἑκατέρους *τοὺς Πτολεμαίους*). Καὶ λίαν ἄρα θαυμαστὸς φαίνεται Ὅδιος, μηδαμοῦ τῆς Προπαρασκευῆς εὑρίσκων τὸν Εὐσέβιον ὁρίζοντα σαφῶς τὸν Πτολεμαῖον, ἐφ' οὗ ἤκμασεν ὁ Ἀριστόβουλος! Τέσσαρα χωρία (λέγει πάλιν Οὐαλκενῆρος) ἠρίθμησεν Ὅδιος ἐκ τῆς Προπαρασκευῆς

(βλ. ὄπισθ. §. ε). ἀλλὰ διὰ τί παρέλιπε καὶ ἄλλο, μηδόλως ὂν αὐτῷ παραλειπτέον, τὸ τοῦ Ζ. βιβλίου (κεφ. 6), ὅπου τὸ πρῶτον ἐκ τῶν *Ἀριστοβούλου* τινὰ μνημονεύων ὁ Εὐσέβιος ὀνομάζει *καὶ τὸν* (ἐφ' οὗ ἤκμασε) *Φιλομήτορα*; Ἐν δὲ τοῖς ἐφεξῆς οὐδόλως ἔκρινεν ὁ συγγραφεὺς ἀναγκαίαν τὴν συχνὴν τῆς αὐτῆς ἐπωνυμίας ἐπανάληψιν. Ἢ μήπως οὐκ ἐξήρκει λέγων « *ἐκ τῶν Ἀριστοβούλου, τῷ βασιλεῖ Πτολεμαίῳ προσπεφωνημένων*; » κτλ. Ἤδη δὲ πολλοὶ καὶ τῶν καθ' ἡμᾶς βασιλεῖ τινι προσφωνοῦντες τὰς συγγραφάς, παραλείπουσι καὶ τὸ κύριον ὄνομα πολλάκις, ἐπιγράφοντες ἁπλῶς « *τῷ βασιλεῖ* » (au Roi)! Καὶ περὶ μὲν Εὐσεβίου τοσαῦτα.

Γ) Ἡ δὲ τοῦ ἱεροῦ Ἀνατολίου παρὰ τῷ Εὐσεβίῳ περικοπὴ (βλ. ὄπισθ. §. ε) πολλὰ πράγματα παρέσχεν οὐχ Ὀδίῳ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς σοφοῖς κριτικοῖς, ὅσοι ταύτης ἐμνημόνευσαν. Ἅπαντες ἀπαξαπλῶς κατεδίκασαν τὸν Ἀνατόλιον ὡς πλανηθέντα περὶ τὴν ἱςορίαν, καὶ γράψαντα μηδὲν ὑγιές (α). Ὁ δὲ κλεινὸς Οὐαλκενῆρος (σελ. 25—27) ἀντιλέγων πρὸς τὸν Ὅδιον ὅτι ματαίως εἰς τοιούτου μάρτυρος κατέφυγε τὴν προστασίαν, ἄγαν τρανὰς καὶ πλήρεις τὰς Ἀνατολίου πλάνας ἐξέφρασε, λέγων· « Οὐκ ἀγνοῶ τὸν Ἀνατόλιον μετὰ μεγάλων ἐπαίνων παρ' Εὐσεβίῳ μνημονευόμενον, ὡς *ἄνδρα ἀγαθὸν* καὶ πολυμαθῆ κτλ. (β). Ἀλλὰ καὶ τοιοῦτος ὢν (λέγει), καὶ μαθηματικὸς ὁ Ἀνατόλιος, ἠδύνατο πλανηθῆναι περὶ τὴν ἱστορίαν· πλὴν γὰρ ἐκείνων (ἐν οἷς καὶ τὸν Ἀριστόβουλον ἕνα τῶν Ο, τῆς Γραφῆς ἑρμηνέων ποιεῖ), γράφει καὶ ἄλλα θαυμαστά τινα καὶ ἀνήκουστα. Διορίζων γὰρ τοῦ πάσχα τὴν ἑορτήν, λέγει· « Ἰου-

(α) Βλ. Wolf Bibl. Hebraic. P I. p. 216. — Brucker Hist. Crit. Philosoph. vol. 2. p. 701. πρβλ. καὶ Fabric. Bibl. Graec. vol. 3. p. 469. Harl.

(β) Ἰδοὺ τοῦ Εὐσεβίου αἱ λέξεις αὗται (Ἐκκλ. ἱστορ. Ζ, 32)· « Ἀνατόλιος αὐτῷ (τῷ Λαοδικείας Διονυσίῳ) διάδοχος, ἀ γ α θ ὸ ς φ α σ ι ν ἀ γ α θ ο ῦ , καθίσταται, γένος μὲν καὶ αὐτὸς Ἀλεξανδρεύς, λόγων δ' ἕνεκα καὶ παιδείας τῆς Ἑλλήνων, φιλοσοφίας τε τὰ πρῶτα τῶν μάλιστα καθ' ἡμᾶς δοκιμωτάτων ἀπενηνεγμένος· ἅτε ἀριθμητικῆς καὶ γεωμετρίας, ἀστρονομίας τε καὶ τῆς ἄλλης διαλεκτικῆς ἔτι τε φυσικῆς θεωρίας, ῥητορικῶν τε αὖ μαθημάτων ἐληλακὼς εἰς ἄκρον· ὧν ἕνεκα καὶ τῆς ἐπ' Ἀλεξανδρείας Ἀριστοτέλους διαδοχῆς (ἄλλ. διδαχῆς) τὴν διατριβὴν λόγος ἔχει πρὸς τῶν τῇδε πολιτῶν συστήσασθαι αὐτὸν ἀξιωθῆναι » κτλ. Ἤκμασε δὲ τῷ 270: μ. Χ.

δαίοις ἐγινώσκετο τοῖς πάλαι καὶ πρὸ Χριστοῦ· ἐφυλάττετό τε πρὸς αὐτῶν μάλιστα. Μαθεῖν δ᾽ ἔστιν ἐκ τῶν ὑπὸ Φίλωνος, Ἰωσήπου, Μουσαίου, λεγομένων· καὶ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἔτι παλαιοτέρων, ἀμφοτέρων Ἀγαθοβούλων τῶν ἐπίκλην διδασκάλων, Ἀριστοβούλου τε τοῦ πάνυ » κτλ. « Καὶ ὅσον μὲν περὶ τοῦ Ἰωσήπου (συνεχίζει λέγων ὁ Οὐαλκενῆρος) νομίζω ὅτι πάντως οὐ συνηρίθμει καὶ τοῦτον ὁ Ἀνατόλιος μεθ᾽ ὧν λέγει « *πρὸ Χριστοῦ γενομένων* » ! ὡς μήπω πρότερον εἰ μὴ μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ γεννηθέντα (α). Ἀλλ᾽ ἄσμενος ἂν ἔμαθον (λέγει), τίνες ἦσαν οὗτοι οἱ *Ἀγαθόβουλοι*, ἄμφω Ἰουδαῖοι, ἄμφω τοῦ Ἰουδαίου Φίλωνος ἀρχαιότεροι, ἄμφω (τὸ θαυμαστότερον) *τὸ ἐπίκλην διδάσκαλοι*; Ἠθέλησεν ὁ Σκαλίγηρος τοῦτο τὸ δύσχρηστον θεραπεῦσαι, γράφων ἐξ εἰκασίας « *ἀμφοτέρων, Ἀγαθοβούλου τοῦ ἐπίκλην διδασκάλου καὶ Ἀριστοβούλου* » κτλ. (βλ. ὄπισθ. §. ε. σημ.). Ἀλλ᾽, ὃν ὁ Σκαλίγηρος ἀφῆκε κατὰ χώραν, πολὺ μᾶλλον φαίνεται θαυμαστότερος, ὁ Ἰουδαῖος ἐκεῖνος Μουσαῖος, ὁ καὶ τῶν Ἀγαθοβούλων καὶ Ἀριστοβούλου νεώτερος. Τοῦτον ὑποπτεύω μήπως καὶ αὐτὸς ὁ πλεῖστα ἀναγνοὺς Ὅδιος ἠγνόει παντελῶς. Ἀλλὰ καὶ ὁ Σωζόμενος (Ἐκκλ. ἱστορ. η, 18) ἀντιγράφων τὴν ῥῆσιν ἐξ Εὐσεβίου, παντάπασιν ἀπέσχετο τῶν ὀνομάτων τούτων *(τῶν Ἀγαθοβούλων καὶ τοῦ Μουσαίου)*, ὡς ἀνηκούστων (β). Ἀνήκουστοι ἦσαν καὶ αὐτῷ Διονυσίῳ τῷ Πεταβίῳ, ὅστις παρὰ τῷ Οὐαλεσίῳ (εἰς Εὐσεβ. Ἐκκλ. ἱστορ.) μνημονεύων ὡς ἐκ τῆς Ἀνατολίου περικοπῆς *τοὺς Ἀριστοβούλους καὶ τὸν Ἀγαθόβουλον* (κατὰ πλάνην τῆς γραφίδος, ἀντὶ, τοὺς Ἀγαθοβούλους καὶ τὸν *Ἀριστόβου-*

(α) Ἀλλ᾽ ἀδίκως τοῦτο κατειρωνεύεται τοῦ Ἀνατολίου ὁ Οὐαλκενῆρος. Ὁ Ἀνατόλιος εἶπεν ὅτι ταῦτα (τὰ περὶ τοῦ χρόνου τῆς ἑορτῆς τοῦ πάσχα) « ἐ γ ι ν ώ σ κ ο ν τ ο κ α ὶ ἐ φ υ λ ά τ τ ο ν τ ο τ ο ῖ ς π ά λ α ι Ἰ ο υ δ α ί ο ι ς κ α ὶ π ρ ὸ Χ ρ ι σ τ ο ῦ ». Καὶ ταύτης τῆς φυλακῆς καὶ διατηρήσεως μάρτυρα φέρει καὶ τὸν ἱστορικὸν Ἰώσηπον. Ὅταν δέ τις περὶ τῶν ἀρχαίων ἐπιμαρτύρηται καί τινα πολὺ νεώτερον ἱστορικὸν, μήπως καὶ τοῦτον ἐκείνοις ὁμόχρονον φαίνεται παρεισάγων; Ἄτοπον τὸ σκῶμμα τοῦτο καὶ λίαν ἄχαρι διέπαιξεν ὁ σοφὸς Οὐαλκενῆρος. Σημ. ἡμετ.

(β) Βλ. τὴν Σωζομένου ῥῆσιν ἐφεξῆς παρακατιών.

λον), τὸν Μουσαῖον ὅμως καὶ οὗτος ἀγνοῶν ἀπεσιώπησε (α). Καὶ λοιπὸν τοὺς Πεταβίῳ, καὶ Σκαλιγήρῳ, καὶ Οὐαλεσίῳ, καὶ Ὀδίῳ, καὶ ἑπομένως πάσῃ τῇ ἀρχαιότητι (ἧς τινος οὐδὲν περὶ τοῦτο τὸ εἶδος ἐκείνους ἐλάνθανεν) ὁλοτελῶς ἀγνοουμένους Ἰουδαίους συγγραφεῖς (αὐτόν τε τὸν μετὰ τοῦ Φίλωνος καὶ Ἰωσήπου μνημονευόμενον Μουσαῖον, καὶ τοὺς ἔτι τούτων ἀρχαιοτέρους διδασκάλους *Ἀγαθοβούλους*), θέλεις πιστεύσωμεν, ὅτι τούτους ἐγνώριζεν εἷς καὶ μόνος, ὁ Ἀνατόλιος; Ἐγὼ (προστίθησιν ὁ Οὐαλκενῆρος) ὑπονοῶ, μήπως ὁ Ἀνατόλιος ἀνέγνω παρά τινι ἑλληνιστῇ Ἰουδαίῳ, ὅτι *τὴν τῶν διαβατηρίων ἑορτὴν* (τὸ πάσχα) *διέταξεν ὁ Μουσαῖος*· ἠγνόει δὲ ἄρα ὁ Ἀνατόλιος, ὅτι Μουσαῖον ἀπεκάλεσάν τινες αὐτὸν τὸν νομοθέτην Μωϋσῆν, πρὸς ἑλληνικὸν καὶ χάριεν ὄνομα τὴν φωνὴν μεταβαλόντες (ὡς ὁ Ἀρτάπανος παρ' Εὐσεβίῳ, Εὐαγγ. Προπαρ. βιβλ. Θ, 17. σελ. 431—436, καὶ ὁ Νουμήνιος, ἐν οἷς μνημονεύει « *τῶν συμφορῶν, ἃς ὁ Μουσαῖος ἐπήγαγε τῇ Αἰγύπτῳ* ». αὐτόθ. βιβλ. Δ. κεφ. 8.). Καὶ λοιπὸν, εἰ ταῦτα ἀληθῆ ὑποπτεύω, καὶ εἴπερ ὁ παρ' Ἀνατολίῳ Μουσαῖος ὁ αὐτός ἐστι καὶ ὁ τῶν Ἰουδαίων θεῖος νομοθέτης Μωϋσῆς, ποίου τινὸς ἐγκλήματος ἔνοχον θῶμεν τὸν Ἀνατόλιον, ὅστις τούτου τοῦ Μουσαίου παλαιτέρους εἶπεν ἐκείνους τοὺς σκοτίους *διδασκάλους Ἀγαθοβούλους*, καὶ αὐτὸν ἐκεῖνον (οὗ τινος τὰς συγγραφὰς φαίνεται καὶ αὐτὸς ἀνεγνωκὼς) τὸν

(α) Βλ. Petav. Animadv. ad Epiphan. Haer. τόμ. 2. p. 198. [Ἀλλ' ὅμως ὁ αὐτὸς Πετάβιος ὀλίγῳ πρότερον, αὐτόθ. σελ. 169. οὐ μόνον ἁπλῶς ὀνομάζει τὸν Μουσαῖον, ἀλλὰ καὶ παλαιὸν τῶν Ἰουδαίων συγγραφέα τοῦτον προσδιορίζει. Ἰδοὺ αἱ λέξεις τοῦ Πεταβίου « In primis (docent) Agathobuli duo, et Aristobulus horum discipulus, qui unus ex LXX Senioribus fuit, apud Anatolium in fragmento. — Idem et Musaeus vetus Judaeorum scriptor docuit. Sed et Philo », etc. Ἐγνώριζε λοιπὸν καὶ ὁ Πετάβιος τὸν Μουσαῖον (ὡς ἀνέγνωκεν ἐν ταῖς κοιναῖς ἐκδόσεσι τοῦ Εὐσεβίου). Ὅθεν ἐξαιρείσθω τῆς τετράδος τῶν εὐθὺς ἐπαγομένων ἀνωτέρω πανσόφων περὶ τὰ τοιαῦτα μαρτύρων. Ἐπειδὴ δὲ καὶ Οὐαλέσιος ἀντέγραψεν ὅσα ἐφεξῆς ὁ Πετάβιος (σελ. 198) ἐξέφρασε συντομώτερον, ἐξαιρετέος ἄρα καὶ Οὐαλέσιος, ὡς ἀνεγνωκὼς πάντως καὶ τὰ προηγηθέντα (σελ. 169) τοῦ Πεταβίου, καὶ μηδὲν περὶ τοῦ ἐκεῖθι μνημονευομένου Μουσαίου ἀντειπών (βλ. καὶ ἐφεξῆς τὴν ἀπάντησιν). — Σημ. ἡμετ.]

Ἀριστόβουλον; (α). Μὴ τοίνυν θαυμάζωμεν (λέγει) μηδὲ διὰ τὰς ἐφεξῆς τοῦ Ἀνατολίου δισσὰς ἁμαρτάδας· ὅστις *πρῶτον* μὲν εἶπεν, ὅτι τὰς τοῦ Νόμου ἐξηγητικὰς βίβλους προσεφώνησεν ὁ Ἀριστόβουλος τοῖς πρώτοις Πτολεμαίοις, τῷ Φιλαδέλφῳ, καὶ τῷ Λαγίδῃ (ἐν ᾧ βεβαίως αὐτὰς προσεφώνησε τῷ ς, Πτολεμαίῳ τῷ Φιλομήτορι)· εἶτα δὲ καὶ *δεύτερον* ἐξιστόρησεν ἡμῖν, εἷς καὶ μόνος ἐκ πάντων τῶν ἀρχαίων συγγραφέων αὐτὸς, ὅτι ὁ Ἀριστόβουλος ὑπῆρχεν εἷς τῶν Ο, τῆς Γραφῆς ἑρμηνευτῶν. (βλ. τὴν ῥῆσιν ὄπισθ. σελ. 392). Πρόσθες, καὶ ὅτι μεταξὺ τῶν Ο, τούτων, ὧν τὰ ὀνόματα διεκοίνωσεν Ἀριστέας (ἐν τῇ Ἐλεαζάρου πρὸς τὸν Φιλάδελφον ἐπιστολῇ) οὐδεὶς οὐδόλως εὑρίσκεται καλούμενος Ἀριστόβουλος. Καὶ φαίνεται πάλιν πιθανὸν, ὅτι ὁ Ἀνατόλιος ἀνέγνω πούποτε τὰς Ἀριστοβούλου ἐξηγήσεις προσφωνηθείσας τῷ *Φιλαδέλφῳ* (ὁποῖον ἤδη καὶ ἡμεῖς ἴδομεν πρὸ μικροῦ, σελ. 397, παρά τινος μωροῦ σχολιαστοῦ παρεγγραφὲν εἰς τὸν *Κλήμεντα τὸν Ἀλεξανδρέα*). Τοῦτο γοῦν τὸ ψευδὲς ἐνθυμηθεὶς (ἐν ᾧ συνέγραφεν) ὁ Ἀνατόλιος, καὶ μηδὲν περὶ τοῦ πράγματος ἐξερευνήσας, τὸν *Ἐξηγητὴν* τοῦ Μωσαϊκοῦ νόμου Ἀριστόβουλον εὐκόλως μετεμόρφωσεν εἰς ἕνα τῶν Ο!». Ταῦτα (κεφαλαιωδῶς εἰπεῖν) ἔκρινε περὶ τοῦ Ἀνατολίου ὁ Οὐαλκενῆρος.

Ἀλλ' ἡμεῖς οὐδὲ ταῦτα τοῦ κριτικοῦ δυνάμεθα παραδέξασθαι. Τιμῶμεν καὶ τὴν τούτου σοφίαν, καὶ οὓς παρέστησεν, ὡς *ἀντιπροσώπους* πρέσβεις *τῆς ἀρχαιότητος*, ἐνδοξοτάτους ἄνδρας, τούς τε περὶ τὸν Πετάβιον καὶ Οὐαλέσιον (περὶ ὧν ἀνωτέρω προσεσημείωται), καὶ τὸν Σκαλίγηρον καὶ τὸν Ὅδιον (οὓς πολλάκις πάλιν αὐτὸς ὁ κριτικὸς ἐν ἄλλοις διεψευσμένους τρανῶς ἐξελέγχει). Οὐδ' ἐξετάζομεν ὅλως, εἴ περ οἱ ἀπὸ τοῦ ις, αἰῶνος καὶ ἐφεξῆς ἀκμάσαντες οὗτοι

(α) Καὶ λίαν ἄτοπος (ἀπαντῶμεν εὐθὺς, καὶ σύγγνωθι Οὐαλκενῆρε), καὶ πάντῃ παράδοξος ἡ ὑπόνοια. Πῶς; ὁ πολυμαθέστατος Ἀνατόλιος ἠγνόει τὰ τοῦ Νουμηνίου, καὶ Ἀρταπάνου, καὶ ὅπως ὁ Μωϋσῆς ἐξελληνίσθη εἰς τὸ Μουσαῖος; Παχυλὴν ταύτην εἶπας καὶ λίαν ἀνάρμοστον Ἀνατολίῳ τὴν ἄγνοιαν! πλὴν ἀλλ' ἔστω, καὶ δῶμεν. Ἀλλὰ πῶς πάλιν αὐτὸς ὁ γραφικώτατος Ἀνατόλιος ἐπίστευεν, ὅτι ὁ παρ' αὐτῷ ἄγνωστος οὗτος Μουσαῖος, (ὃν ἐνόμιζε πάντως ἕτερον τοῦ Μωϋσέως) διέταξε τὴν τῶν δαβατηρίων ἑορτήν; ἢ μήπως οὐδὲ ταύτην τίς ἦν ὁ διατάξας ἐγνώριζεν ὁ Ἀνατόλιος;

παντογνῶσται τῶν *τοιούτου εἴδους* γνώσεων καὶ συγγραφῶν (δηλονότι τῆς τῶν ἀρχαίων ἑλληνιστῶν Ἰουδαίων φιλολογικῆς ἱστορίας) ὑπῆρχον *περὶ τοῦτο τὸ εἶδος* πολυμαθέστεροι, παρὰ τὸν κατ᾽ ἐκείνους τοὺς χρόνους ἐκ τῆς Ἀλεξανδρινῆς προελθόντα Σχολῆς (ἣν καὶ αὐτὸς Οὐαλκενῆρος *φορωτάτην ἀνδρῶν πολυμαθεστάτων* ὡμολόγησεν ἐν τῇ Διατριβῇ σελ. 21), καὶ τὴν Ἀριστοτελικὴν Σχολὴν ἐν Ἀλεξανδρείᾳ συστησάμενον Ἀνατόλιον (α). Ἀλλ᾽ ὅτι πάλιν ὁ Ἀνατόλιος οὗτος, ὁ (κατὰ τὸν Εὐσέβιον) « *λόγων ἕνεκα καὶ παιδείας ἑλληνικῆς καὶ φιλοσοφίας τὰ πρῶτα τῶν τότε δοκιμωτάτων* » (ὁποίων καὶ πόσων!) « *ἀπενεγκάμενος* », ὑπῆρχεν οὕτω μὲν ἀμαθὴς τῆς ἱστορίας, ὥστε μήτε τὰς Ἀρταπάνου καὶ Νουμηνίου γνωρίζειν συγγραφὰς (ὧν μικρά τινα χωρία διέσωσεν εἰς ἡμᾶς ὁ τοῦ Ἀνατολίου νέος γηραιοῦ σύγχρονος Εὐσέβιος), μήτε κἂν αὐτὴν τὴν Ἀριστέου ἱστορίαν, οὕτω δέ τις ὀρνεώδης, ἢ καὶ φιλοψευδής, ὥστε τερατοποιεῖν ἀνυπάρκτους συγγραφεῖς, καὶ προσέτι (τὸ χείριστον) τοσοῦτον ἀναίσθητος πρὸς αὐτάς, ἃς εἶχε μετὰ χεῖρας (ὡς καὶ Οὐαλκενῆρος ὡμολόγησε) τὰς *Ἐξηγητικὰς* τοῦ Ἀριστοβούλου *βίβλους*, τοσοῦτον δ᾽ ἀμύητος καὶ αὐτῆς τῆς Β, τῶν Μακκαβαίων (ἐν ᾗ διορίζεται σαφῶς ὁ χρόνος καὶ ὁ τόπος, καθ᾽ ὃν ἔζη οὗτος ὁ Ἀριστόβουλος), ὅτι, λέγομεν, ὑπῆρχε τοιοῦτος ὁ Ἀνατόλιος, τοῦτο θαυμάζομεν πῶς ἐπίστευσε, καὶ ἀμφιβάλλομεν, εἴ γ᾽ ἐπίστευσεν εἰλικρινῶς ἡ μοῦσα τοῦ Οὐαλκενήρου. Πολὺ δὲ μᾶλλον φαίνεται θαυμαστόν, πῶς καὶ αὐτὸς ὁ Εὐσέβιος, τοσούτοις ἐγκωμίοις καταστέψας τὸν Ἀνατόλιον, ἔπειτα ὡς δεῖγμα καὶ γεῦμα τῆς *ἐν λόγοις δυνάμεως* αὐτοῦ καὶ *πολυμαθείας* ἐξήνεγκε τοῦτ᾽ αὐτὸ τὸ περὶ οὗ ὁ λόγος χωρίον, οὕτω βαρέων καὶ ἀσυγγνώστων σφαλμάτων ὑπόδικον παρέχον τοῖς κριτικοῖς τὸν ἱερὸν τῆς Λαοδικείας ποιμένα! Ἢ μήπως οὐκ εἶδε ταῦτα καὶ ὁ Εὐσέβιος; (Οὗτος δὲ καὶ αὐτὰς τὰς περὶ Μουσαίου ῥήσεις τοῦ Νουμηνίου καὶ Ἀρταπάνου διέσωσε καὶ εἰς ἡμᾶς). Ἰδὼν

(α) Εὐσέβ. Ζ. 32 (βλ. ὄπισθ. σελ. 403 σημ.), Ἱερώνυμ. (Καταλ. τῶν Ἐκκλ. Συγγραφ. κεφ. 73) κτλ. πρβλ. Cave Script. Eccles. Hist. liter. p. 71. καὶ Fabric. Bibl. Graec. vol. 3. p. 461. Harl.

δὲ καὶ μεταγράψας τὰ σφάλματα, πῶς παρέλιπεν ἀνεξέλεγκτα, μηδὲ λέξιν γοῦν περὶ τούτων σημειωσάμενος, οὕτως ἀμφιλαφῶν ὄντων καὶ ὀγκηρῶν, καὶ οὕτως ἄντικρυς ἀντιλεγόντων πρὸς ὅσα πάλιν ὁ αὐτὸς Εὐσέβιος ἀλλαχοῦ (ἐν τῇ Εὐαγγελικῇ Προπαρασκευῇ) ῥητῶς περὶ τοῦ Ἀριστοβούλου διώρισεν; Ἀλλὰ τὸ τούτοις πιστεύειν ταὐτὸν ἂν εἴη, καὶ εἴ τις ἐπίσης καὶ αὐτὸν τὸν πατέρα τῆς Ἐκκλησιαστικῆς ἱστορίας κατακρίνοι ὡς συνένοχον τῶν αὐτῶν ἐγκλημάτων (ἅτινα διὰ τὸ μέγεθος ἠπόρησεν ὁ κριτικὸς ἀνωτέρω, *πῶς ἄν τις ὀνομάσειεν ὀρθῶς*!). Τί λοιπὸν ἀπολογηθῶμεν ὑπὲρ τοῦ λαμπροῦ τῆς Ἀνατολικῆς Ἐκκλησίας καὶ φερωνύμου φωστῆρος Ἀνατολίου; Παρίδωμεν αὐτὸν οὕτως ἀμαυρῶς ἐκλείποντα καὶ ἐπιπροσθούμενον ὑπὸ τῆς δυσμόθεν ἀστραψάσης φωτοφανείας τῶν νεολαμπῶν Σκαλιγήρων καὶ Ὀδίων; ἄπαγε! Καὶ δεινὸν μὲν τὸ πρὸς τοσούτων καὶ τηλικούτων σοφῶν παμφωνοτάτην Μοῦσαν ἀντιλέγειν, καινότερα παρεισάγοντας· (ὅσα δέ τινες προεῖπον ἀπολογούμενοι ὑπὲρ τοῦ πατρὸς Ἀνατολίου, ἀσθενῆ τινα φαίνονται καὶ ἀσύστατα) (α). Ἀλλ' ὅμως ἐροῦμεν καὶ ἡμεῖς τὸ δοκοῦν· κρινέτωσαν δ' αὐτοὶ πάλιν οἱ κριτικοί.

(α) Οἱ *μέν τινες ὑπέθεντο δύω* Ἀριστοβούλους, *ἕνα μὲν, ὡς ἕνα τῶν* Ο, *παρ' Ἀνατολίῳ λεγόμενον, ἕτερον δὲ τὸν παρὰ Κλήμεντι καὶ Εὐσεβίῳ συγγραφέα τῶν πρὸς Πτολεμαῖον ἐξηγήσεων τοῦ Μωσαϊκοῦ νόμου* (*βλ.* Spencer. ad Origen. c. Cels. L. IV. 51. p. 543. — I. Scalig. ad Euseb. Chronic. p. 142. — Fabric. Bibl. Graec. vol. 3. p. 469 Harl.). Δύω τινὰς ἐπισήμους Ἰουδαίους Ἀριστοβούλους ἔκρινε καὶ Βουδδαῖος ἄνευ ἀποδείξεων (Hist. Philos. Ebr. p. 72, *καὶ* Fabric. l. c. p 470). Ἀλλ' ὁ Ἀνατόλιος (ὡς ἐκ τῆς κοινῆς ἐκδεδομένης τοῦ χωρίου γραφῆς) ἕνα καὶ τὸν αὐτὸν λέγει κἀκεῖ καὶ ὧδε τὸν Ἀριστόβουλον· πρόσθες καὶ ὅτι Ἀριστόβουλος οὐδεὶς τῶν Ο, φαίνεται καλούμενος (ἐν τῷ παρ' Ἀριστέᾳ καταλόγῳ). Ὁ δὲ κλεινὸς Δεμάγιστρος δύω καὶ αὐτὸς κρίνων τοὺς Ἀριστοβούλους, καὶ τὸ Ἀγαθόβουλος ὡς ἓν καὶ τὸ αὐτὸ πρὸς τὸ συνώνυμον Ἀριστόβουλος θεωρῶν, παραδέχεται ὡς ἑλληνικὴν μετάφρασιν τοῦ ἑβραϊκοῦ Ἰωὰς (τοιαῦτα δὲ φέρονται λέγει καὶ ἐν τῷ Καταλόγῳ τῶν Ο, οἷον Ἰάσων, κτλ). καὶ τοῦτον πάλιν, τὸν Ioas Ἀριστόβουλον, νομίζει τὸν αὐτὸν καὶ τὸν ἐπ' Ἀλεξάνδρου τοῦ Μ. Ἀριστόβουλον τὸν Κασσανδρέα, τὸν ἱστορικόν. Καὶ Κασσανδρέα δὲ θέλει καλούμενον τὸν ἱστορικὸν τοῦτον οὐκ ἀπὸ τῆς πόλεως Κασσάνδρας, ἀλλ' ἀπ' αὐτοῦ τοῦ φίλου αὐτῷ Κασσάνδρου!! Ἀλλ' οὐδὲ διὰ τῶν τοιούτων παραδόξων θεραπεύεται ἡ ἐν τῷ χωρίῳ ταυτότης τοῦ Ἀριστοβού-

Οὔτε τῆς Ἀνατολίου, οὔτε τῆς Εὐσεβίου φρενὸς καὶ χειρὸς ἔργα φαίνονται τὰ τοσαῦτα σφάλματά τῆς Ἀνατολιάδος περικοπῆς, ἀλλὰ τῆς ἀμαθοῦς τῶν ἀντιγραφέων ἀπροσεξίας. Ὁ Ἀνατόλιος, ἐξ αὐτοῦ δὲ καὶ Εὐσέβιος, ἔγραψε, ΤΟΥ ΙΟΥΔΑΙΟΥ· ὁ δὲ τυφλώττων ἢ νυστάζων μεταγραφεὺς συνεστρέβλωσε τὰ γράμματα εἰς τὸ Μουδαίου καὶ τοῦτο πάλιν εἰς τὸ *Μουσαίου*· τὸ δὲ ἅπαξ ἐν τῷ κειμένῳ γεγραμμένον ΑΡΙΣΤΟΒΟΥΛΟΥ ἐδισσεύθη κατ᾽ ἐπανάληψιν ὑπὸ τοῦ πρῶτον πλανηθέντος ἀντιγραφέως· ἄλλος δέ τις κακόμουσος προσκόψας πρὸς τὴν διπλῆν τοῦ αὐτοῦ ὀνόματος γραφὴν, ἔτρεψε τὸ ἕτερον τῶν δύο *Ἀριστοβούλου*, εἰς τὸ ὁμοιόφωνον καὶ ταυτόσημον ΑΓΑΘΟΒούλου, καὶ τοῦτο κατὰ πληθυντικὸν ἀριθμὸν (ὡς νομίσας ὁ ἀσύντακτος συντακτέον πρὸς τὸ προηγούμενον *ἀμφοτέρων*)· καὶ οὕτως ἐξηχρείωσεν ὅλην τὴν ὑφὴν καὶ τὸ νόημα τοῦ κόμματος, ὅπερ ὁ Σκαλίγηρος εἰς μάτην ἐπειράθη διορθοῦν (α). Ἀπὸ δὲ, τέλος, τοῦ γνησίου « ΟΣ ΩΣΑΝΕΝ », κτλ. ἐξέπεσαν διὰ τὸ τῶν γραμμάτων ὁμοιόμορφον αἱ μέσαι συλλαβαὶ, *(ὡς ἂν)*, καταλειφθείσης μόνης τῆς ἘΝ (ἴσως δὲ καὶ ἀντ᾽ αὐτῆς ἐγράφετο γνησίως ΕἸ) καὶ τὸ ἐφεξῆς « τοῖς *ΕΞ αὐτῶν* » μετεποιήθη εἰς τὸ « *τοῖς αὐτοῖς* ». Οὕτω νομίζομεν ὅτι συνέστη τὸ πολυσύνθετον ἔκτρωμα τῆς διαφθορᾶς τοῦ Ἀνατολικοῦ χωρίου, κακωθέντος δηλονότι κατ᾽ αὐτὴν, ἐν ᾗ

λου, ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ (ἐπὶ μὲν τοῦ Φιλαδέλφου) ἑρμηνεύσαντος, ἐπὶ δὲ τοῦ Φιλομήτορος ἐξηγήσαντος τὰς Γραφάς! (Βλ. Demagistr. Diss. I. p. 319, καὶ Diss. V. pag. 514—516).

(α) Ὁ Σκαλίγηρος διορθῶν τὸ πληθυντικὸν Ἀγαθοβούλων εἰς τὸ ἑνικὸν Ἀγαθοβούλου (κατὰ τὴν Ῥουφίνου μετάφρασιν), φαίνεται ὅτι ἀποδέχεται καί τινα Ἀγαθόβουλον, Ἀλεξανδρινὸν ἑλληνιστὴν, προγενέστερον τοῦ Φίλωνος. Καὶ κατὰ ταῦτα λοιπὸν (εἴπερ ἦσαν ἀληθῆ), ὁ Ἀνατόλιος ἔγραψε « Καὶ τῶν ἔτι παλαιοτέρων τούτων ἀμφοτέρων » (ὑπὲρ τούτους ἀμφοτέρους, δηλαδὴ τὸν Φίλωνα καὶ Ἰώσηπον, παλαιοτέρων· — τίνων τούτων;) « Ἀγαθοβούλου τε, καὶ Ἀριστοβούλου τοῦ ἐπίκλην διδασκάλου, τοῦ πάνυ, ὃς κτλ. Τοῦ δ᾽ ὑποτιθεμένου τούτου Ἀγαθοβούλου, φανερὸν ὅτι διαφέρει ὁ πολὺ νεώτερος Ἀγαθόβουλος ἐκεῖνος, οὗ μέμνηται Λουκιανὸς ἐν Αἰγύπτῳ διατρίβοντος (περὶ τῆς Περεγρ. τελευτ. §. 17. καὶ Δημών. §. 3), ἀκμάσαντος περὶ τὸ 120 μ. Χ.

κεῖται, τὴν Εὐσεβίου ἱστορίαν ὑπὸ βιβλιοκαπήλων ἢ ἀντιγραφέων ἀμαθῶν, ὡς φαίνονται κατὰ λέξεις διεφθαρμένα καὶ ἄλλα ταύτης χωρία. Καὶ κρίνομεν λοιπὸν γνησίαν τῆς Ἀνατολίου ῥήσεως ἀνάγνωσιν, ταύτην· « Μαθεῖν δ' ἔστιν ἐκ τῶν ὑπὸ Φίλωνος ΚΑῚ Ἰωσήπου ΤΟΥ ΙΟΥΔΑΙΟΥ λεγομένων· καὶ οὐ μόνον τούτων, ἀλλὰ καὶ ΤΟΥ ἔτι παλαιοτέρΟΥ τούτων ἀμφοτέρων, ΑΡΙΣΤΟΒΟΥΛΟΥ ΤΟΥ ἐπίκλην διδασκάλΟΥ, τοῦ πάνυ· ὅς, ΩΣΑΝΕΙ τοῖς ἑβδομήκοντα κατειλεγμένος, τοῖς τὰς ἱερὰς καὶ θείας [τῶν] Ἑβραίων ἑρμηνεύσασι γραφὰς Πτολεμαίῳ τῷ Φιλαδέλφῳ καὶ τῷ τούτου πατρὶ, *καὶ* βίβλους ἐξηγητικὰς τοῦ Μωσέως νόμου τοῖς ΕΞ ΑΥΤΩΝ προσεφώνησε βασιλεῦσι » (α). Ταῦτα νομίζομεν ὅτι ἔγραψεν ὁ Ἀνατόλιος, ἑαυτοῦ τε ἄξια, καὶ σύμφωνα τῷ τε Εὐσεβίῳ καὶ τῷ Κλήμεντι καὶ αὐτῇ τῇ ἀληθείᾳ. Οὕτω καὶ τὸ *ἀμφοτέρων*, ἀναφερόμενον εἰς τοὺς προηγουμένους δύω (*τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον*), μαρτυρεῖ δύω τούτους μόνους γράψαντα τὸν Ἀνατόλιον· ὁ δὲ τρίτος ὁ σκανδαλώδης ἐκεῖνος *Μουσαῖος* (ὃν οὕτως ἐπιμελῶς ἐζήτει παρὰ τοῖς Ἀρταπάνοις καὶ Νουμηνίοις ὁ κριτικὸς), οὔτε Μωϋσῆς τις ἐστὶν, οὔτ' ἄλλος συγγραφεὺς, ἀλλ' ὁ ἁπλοῦς *Ἰουδαῖος*· οἴχονται δὲ καὶ οἱ ἀνήκουστοι *ἄμφω διδάσκαλοι Ἀγαθόβουλοι*, ἑνὸς καὶ μόνου μένοντος, τοῦ πάνυ γνωστοῦ καὶ περικλεοῦς *Ἀριστοβούλου τοῦ διδασκάλου* (β). Καὶ τὰ δύω δὲ τὰ ἔσχατα τῷ Ἀνατολίῳ προσγραφέντα σφάλματα ἀφανίζονται· ὁ ἱερὸς πατὴρ ἐπαινῶν τὸν Ἀριστόβουλον ὡς ἀκριβῶς ἐξηγήσαντα τὰς Γραφὰς, παραβάλλει τοῦτον ὁμοιωματικῶς πρὸς τοὺς Ο. νοῶν ὅτι, καθὼς ἐκεῖνοι κατενόησαν ἐπ' ἀριβὲς καὶ μετέφρασαν ἑλληνιστὶ τὰς ἑβραϊκὰς Γραφὰς, οὕτω καὶ αὐτὸς ἐξήγησεν αὐτὰς τὰς ἑλληνικὰς, ἀναπτύσσων εἰς τὸ σαφέστερον, ὡς ἂν εἴπερ ὑπῆρχε καὶ αὐτὸς εἷς ἐξ ἐκείνων, καὶ *ἐν ἐκείνοις κατειλεγμένος*. Παρομοίως καὶ Φίλων (περὶ Μωσ. Β)

(α) Ὁ ΚΑΙ (εἰς τὸ « *καὶ* βίβλους » κτλ.) ἀναφέρει τὴν ἔννοιαν πρὸς τὰ ἄνω « διδασκάλου τοῦ πάνυ » (τουτ. ὃς, ὁ διδάσκαλος, ὁ πάνυ, ὁ περικλεής), καὶ βίβλους, κτλ.

(β) Β. Μακκαβ. α. 10. βλ. καὶ ἐφεξῆς § η, καὶ θ.

ἐξυμνῶν τῶν Ο, τὴν σοφίαν, εἶπεν ὅτι « τούτοις ἐξεγένετο συνδραμεῖν *λογισμοῖς εἰλικρινέσι* τῷ Μωσέως καθαρωτάτῳ πνεύματι »· ἀλλ' οὔτε οἱ τὰ Μωσέως εἰλικρινῶς ἑρμηνεύσαντες Ο, ἦσαν ἐκείνου σύγχρονοι, οὔτε μὴν ὁ τὰ τῶν Ο, *εἰλικρινέσι* καὶ αὐτὸς *λογισμοῖς* ἐξηγήσας Ἀριστόβουλος συνεχρόνισεν ἐκείνοις. Ὡς δὲ πάλιν οἱ Ο, μεθηρμήνευσαν τὰς Ἑβραϊκὰς Γραφὰς χαριζόμενοι τοῖς δυσὶ Πτολεμαίοις (τῷ Λαγίδῃ καὶ τῷ Φιλαδέλφῳ), παρομοίως καὶ Ἀριστόβουλος ἀνέθηκε τὰς τῶν Γραφῶν ἐξηγήσεις *τοῖς ἐξ αὐτῶν* (ἀπογόνοις) βασιλεῦσι, δυσὶ καὶ τούτοις Πτολεμαίοις (τῷ Φιλομήτορι καὶ τῷ Φύσκωνι)· ὅτι δὲ τούτους ἐνόει τοὺς *βασιλεῖς* ὁ ἱερὸς Ἀνατόλιος, μαρτυρεῖ σαφῶς ὁ Εὐσέβιος, ὅστις (τοῦτο τὸ χωρίον ἴσως τοῦ Ἀνατολίου φέρων κατὰ νοῦν) εἶπε περὶ τοῦ Ἀριστοβούλου, ὅτι « *ἤκμασε κατὰ τὴν* (τῶν δύω τούτων) *Πτολεμαίων ἡγεμονίαν* » (ὄπισθ. σελ. 402). Εἰ δὲ καὶ πρὸς τὸν Φιλομήτορα μόνον προσεφώνησεν ὁ Ἀριστόβουλος τὰς Ἐξηγήσεις, ἀλλ' οὐδὲν παράδοξον, εἴπερ ὁ Ἀνατόλιος προσέλαβεν *ἀπὸ κοινοῦ* καὶ τὸν συμβασιλεύσαντα ἀδελφόν (α). Ἐπελάμπρυνε δὲ καὶ ἄλλως τὴν Ἀριστοβούλου πρὸς τοὺς Ο, παρομοίωσιν. Δυσὶν ἐκεῖνοι (πατρὶ καὶ υἱῷ) βασιλεῦσιν ἡρμήνευσαν τὰς Γραφάς. Δυσὶ καὶ οὗτος (ἀδελφοῖς) βασιλεῦσι ἐξήγησε τὸν Νόμον τοῦ Μωσέως, εἰς τὸν πρεσβύτερον προσφωνήσας τὴν βίβλον.

Ταύτην τοῦ χωρίου τὴν γνησιότητα μαρτυρεῖ, κατὰ μέρος, καὶ Σωζόμενος ὁ ἱστορικὸς (ὃν καὶ Οὐαλκενῆρος ὠνόμασεν ἀνωτέρω) λέγων· « Ἑβραίων τοῖς πάλαι, ὡς ἱστορεῖ Εὐσέβιος ὑπὸ μάρ-

(α) « Πτολεμαίου τοῦ Ἐπιφανοῦς ἀποθανόντος, δύο παῖδες αὐτοῦ Πτολεμαῖοι τὴν ἀρχὴν μετ' αὐτὸν διεδέξαντο, ὧν ὁ πρεσβύτερος Φιλομήτωρ ἐπεκέκλητο, ὁ δὲ νεώτερος Εὐεργέτης (ὁ καὶ Φύσκων)· πρὸς ἀλλήλους δὲ στασιάζοντες ἐναλλὰξ ἐβασίλευσαν. — Πρῶτος γὰρ ὁ Φιλομήτωρ μόνος ιά, ἔτη ἐβασίλευσε. — Ἔπειτα βασιλεύουσιν οἱ δύο ἀπὸ τοῦ ιβ ἔτους μήχρι τοῦ ιζ. — καὶ κρατεῖ πάλιν ὁ Φιλομήτωρ ἔτη ιη (τὰ πάντα λε). Οὗ ἀποθανόντος ὁ β. Εὐεργέτης κρατεῖ ἔτη κθ. (Εὐσεβ. Χρον. κη). ὡς γίνεσθαι τὸν ἅπαντα χρόνον ἑκατέρων ἀδελφῶν ἔτη ξδ. ». (Σύγκελ. χρονογραφ. σελ. 537. Bon. πρβλ. Ἰώσηπ. Ἰουδ. ἀρχ. λβ, δ. καὶ Πολύβ. Ἐκλογ. πρεσβ. πθ. καὶ ριε. σελ. 716, 766. τόμ. 6. ἐκδ. Vindob. καὶ Διόδ. Σικ. Ἐκλογ. τόμ. 6. σελ. 594 καὶ σημ. Wessel. — I. Voss. Can. Chronol. p. 225 sq. καὶ τὸν εἰς πλάτος ταῦτα ἐξηκριβωκότα Champoll. Annal. des Lagid. T. 11. ch. IX. καὶ X.

τυσι *Φίλωνι καὶ Ἰωσήπῳ καὶ Ἀριστοβούλῳ καὶ* ἑτέροις πλείστοις, μετὰ [τὴν] ἐαρινὴν ἰσημερίαν τὰ διαβατήρια θυόντων » κτλ. Οὕτως ὁ ἱστορικὸς (τῷ 440 μ.Χ.) καθαρώτερον ἀντίγραφον τῆς Εὐσεβίου ἱστορίας ἀναγινώσκων, οὔτε Μουσαῖον, οὔτε ζεῦγος *ἀμφοτέρων διδασκάλων* Ἀγαθοβούλων ὅλως ἐμνημόνευσε, τὸ δὲ *ἑτέροις πλείστοις* προσέθηκεν ὁ Σωζόμενος οὐχὶ (καθὼς ὑπενόησεν ὁ Οὐαλκενῆρος) *τὸν ἕνα Μουσαῖον* καὶ τοὺς *δύω Ἀγαθοβούλους* ὑποσημαίνων (διότι οἱ *τρεῖς* οὔτ' εἰσὶν, οὔτε λέγονται *πλεῖστοι!*), ἀλλ' ἀνάγων τὴν ἔννοιαν ἁπλῶς καὶ περιληπτικῶς εἰς τοὺς Ἰουδαίους ἐκείνους (οὓς εἶπε προηγουμένως παρὰ τῷ Εὐσεβίῳ ὁ Ἀνατόλιος) « *τοὺς πάλαι καὶ πρὸ Χριστοῦ γινώσκοντας τὸν περὶ τοῦ Πάσχα λόγον* » (α). Ὁ δὲ θεῖος Χρυσόστομος καὶ αὐτὸν τὸν Ἀριστόβουλον μετὰ τῶν ἄλλων ἀορίστως συμπεριέλαβε, μόνους ὀνομάσας τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον· « Ἔχομεν (λέγει) μάρτυρας σοφοὺς Ἑβραίους, οἷον Φίλωνα καὶ Ἰώσηπον καὶ *ἄλλους τινὰς*, οἵτινες ἐν τοῖς οἰκείοις συγγράμμασι διαβεβαιοῦνται, ὅτι οὐ δύναται ἀκριβῶς ἄλλως τὸ πάσχα γενέσθαι, ἢ μετ' ἐαρινὴν ἰσημερίαν ἐνστᾶσαν » κτλ. (β). Τελευταῖον καὶ αὐτὴ ἡ εἰς τὸν Ῥουφῖνον ἀπονεμομένη λατινικὴ ἑρμηνεία τοῦ παρ' Εὐσεβίῳ Κανόνος τοῦ Ἀνατολίου (καίτοι πολλαχοῦ σφαλέντος τοῦ μεταφραστοῦ) τὸν μὲν *Φίλωνα καὶ Ἰώσηπον* περιέχει, *Μουσαίου* δ' οὐδόλως μέμνηται οὐδενὸς (οὐδὲ γὰρ οὐδὲ Ῥουφῖνος ἀνέγνω), καὶ τὸ *Ἀγαθοβούλων* ἐξέφερεν ἑνικῶς *Ἀγαθοβούλου* (ὅθεν πάλιν καταφαίνεται ἡ περὶ ἧς εἴπομεν πλάνη τῆς διττογραφίας τοῦ ἑνὸς *Ἀριστοβούλου*, εἰς δύω διαφόρους, *Ἀγαθοβούλου* καὶ *Ἀριστοβούλου*) (γ). Ταῦτα κρίνομεν περὶ τῆς

(α) « Ἔστι δ' οὐχ' *ἡμέτερος οὗτος ὁ λόγος*. Ἰουδαίοις δ' *ἐγινώσκετο τοῖς πάλαι* καὶ πρὸ Χριστοῦ » κτλ. (Ἀνατόλ· *παρ'* Εὐσεβ. Ζ, 32).

(β) Χρυσόστομ. Λόγ. εἰς τὸ Πάσχ. ζ. τόμ. η. σελ. 277.

(γ) Τῶν *περὶ* τοῦ Πάσχα Κανόνων τοῦ Ἀνατολίου (ὧν *τεμάχιον μόνον σώζεται παρ'* Εὐσεβίῳ) ἐξέδωκεν *ὁλόκληρον λατινικὴν μετάφρασιν* Αἰγίδιος ὁ Βύχερος (Bucher, τῷ 1634), *ὡς ἐξ ἀρχαίων χειρογράφων* τὸν Ῥουφῖνον *μεταφραστὴν ἐπιγεγραμμένων*. Ὁ Κάβης *γνήσιον* τοῦ Ἀνατολίου *νομίζει τὸ πόνημα, καίτοι κακῶς μὲν* ὑπὸ τοῦ Ῥουφίνου *ἡρμηνευμένον, χεῖρον δὲ καὶ* ὑπὸ τῶν *ἀντιγραφέων διατεθὲν* (Cave

Ἀνατολίου περικοπῆς· καὶ εἰ μὲν ὀρθὰ δόξουσι, καλῶς· εἰ δὲ μὴ, ἄλλος τις τῶν περὶ τὰς κριτικὰς τῶν βιβλίων διορθώσεις δεξιῶν, μαλακῇ χειρὶ τὸ παλαιὸν τῆς κακογραφίας ἕλκος περιψηλαφῶν, εὑρήσει τὴν ὑγιᾶ καὶ γνησίαν ἀνάγνωσιν τοῦ χωρίου. Τῶν δ' οὖν ἐν αὐτῷ (κατὰ τὰς κοινὰς τοῦ Εὐσεβίου ἐκδόσεις) φερομένων χυδαιοτάτων σφαλμάτων οὐδεὶς οὐδέποτ' οὐδόλως ἔνοχον ἀποδείξει τὸν ἱερώτατον καὶ σοφώτατον Ἀνατόλιον. Ἀλλ' ἐπάνειμεν εἰς τὰ Ὀδιακά.

§. ζ'. « *Τρίτον* (λέγουσιν οἱ περὶ τὸν Ὅδιον), ὁ Ἀριστόβουλος ἔγραψε πρὸς Πτολεμαῖον οὐχὶ τὸν *Φιλομήτορα*, ἀλλὰ τὸν τούτου *διάδοχον* (τὸν Φύσκωνα)· καὶ τοῦτο δείκνυται ἐκ τῆς παρ' Εὐσεβίῳ γνώμης, ἥτις θέλει τοῦτον τὸν Ἀριστόβουλον εἶναι τὸν αὐτὸν καὶ τὸν « οὗ μνημονεύει ἡ Β, τῶν Μακκαβαίων » (ἐν τῇ τῶν Ἱεροσο-

---

Script. Eccles. histor. literar. p. 71). Ὁ δὲ Δουπῖνος ὑπώπτευσε νόθον τὸ σύνταγμα, πρὸς τῇ παρ' Εὐσεβίῳ σῳζομένῃ γνησίᾳ τοῦ Ἀνατολίου περικοπῇ συῤῥαφέν. (Dupin Nouv. Bibl. des aut. Eccl. Tom. 1. p. 193). Ἀντεῖπε δὲ πάλιν πρὸς τὸν Δουπῖνον ὁ Κάβης (τόμ. Β. σελ 32), ἄδηλον κρίνων εἴτε Ῥουφῖνος, εἴτ' ἄλλος ἐστὶν ὁ μεταφραστής. Ὑπερασπίζεται τὸ γνήσιον τοῦ λατινίζοντος τούτου Πασχαλίου τοῦ Ἀνατολίου καὶ ὁ Λύμπερος (Histor. Theologico-critic. etc. T.13. p. 232). Ἀλλ' ἴσως μετεφράσθη οὐχ ὑπὸ τοῦ Ῥουφίνου (400 : μ. Χ), ὀψιαίτερον δὲ καὶ ὑπό τινος ἀμαθεστέρου, περὶ τὸν ζ. αἰῶνα (διότι ὁ κατὰ τὸ 701, ἀκμάσας Βέδας ἀναφέρει τινὰ χωρία ἐξ αὐτοῦ). Ἐν ταύτῃ τῇ ἑρμηνείᾳ κεῖται καὶ τὸ παρ' Εὐσεβίῳ τεμάχιον, ἀλλ' ἐν πολλοῖς διεφθαρμένον. Ἰδοὺ τῆς ἀνωτέρω περικοπῆς ἡ λατινικὴ μετάφρασις (ἀπὸ τοῦ « Μαθεῖν δ' ἔστι καὶ ἐφεξῆς) « Sicut evidenter edocet Philo et Josephus (τὸ Μουσαῖος λείπει), sed et horum antiquiores, Agathobulus (ἑνικῶς), et ab eo eruditus (ἀντὶ τοῦ ὁ διδάσκαλος!) Aristobulus ex Paneade, qui unus ex illis LXX senioribus fuit, qui missi ſuerunt à Pontificibus ad Ptolemaeum Regem, Hebraeorum libros interpretari in Graecum sermonem, qui que multa ex traditionibus Moysis proponenti Regi percontantique responderunt » (Apud Hody pag. 51). Ἐκ ταύτης τῆς ἑρμηνείας ὁ Σκαλίγηρος ὁρμηθεὶς διώρθου τὸ Ἀγαθοβούλων εἰς τὸ ἑνικὸν Ἀγαθοβούλου, καὶ τὸ πάνυ εἰς τὸ Πανεάδος (βλ. ὄπισθ. σελ. 391). Σὺ δὲ βλέπεις, ἀναγνῶστα, ὅτι ὁ μεταφραστὴς περὶ τὸ τέλος τοῦ προκειμένου χωρίου μὴ νοήσας τὰ τοῦ Ἀνατολίου, « ὃς καὶ βίβλους ἐξηγητικὰς προσεφώνησε » κτλ. ἐποίησεν αὐτοὺς τοὺς Ο, ἀποκρινομένους πολλὰ ἐκ τῶν Μωσέως παραδόσεων ἐρωτῶντι τῷ βασιλεῖ! Καὶ ὅμως ὁ λῆρος οὗτος τῆς μεταφράσεως δεικνύει τὸν μεταφραστὴν ἔχοντα κατὰ νοῦν τὴν παρὰ τῷ Ἀριστέᾳ τοῦ βασιλέως μετὰ τῶν Ο, συνδιάλεξιν! Καὶ κείσθω λοιπὸν καὶ οὗτος (εἰ καὶ Ὀδίῳ δοκεῖ) πλάγιός τις μάρτυς τῆς Ἀριστέου συγγραφῆς!

λυμιτῶν πρὸς τοὺς ἐν Αἰγύπτῳ Ἰουδαίους ἐπιστολῇ). Καὶ φαίνεται τῷ ὄντι πιθανὸν, ἢ ὅτι ὁ αὐτός ἐστιν ἐκεῖνος ὁ Ἀριστόβουλος, ἢ κἂν, ὅτι αἱ τούτου ἐπώνυμοι βίβλοι τῶν πρὸς Πτολεμαῖον Ἐξηγήσεων εἰσὶν ὑποβολιμαῖαι. Καὶ ἐν ἀποσπάσματι δὲ τούτων τῶν Ἐξηγήσεων, σωζομένῳ παρ' Εὐσεβίῳ [Εὐαγ. Προπαρ. η. 10] φαίνεται καὶ αὐτὸς ὁ συγγραφεὺς διδάσκαλον τοῦ βασιλέως ἑαυτὸν γενέσθαι ὑπαινιττόμενος, ἐν οἷς καὶ πρὸς αὐτὸν ἀποτείνεται τὸν βασιλέα, πυνθανόμενον περὶ Ἰουδαίων καὶ τῆς κατ' αὐτοὺς λατρείας. Ἀλλ' ὁ Πτολεμαῖος ἐκεῖνος (οὗτινος διδάσκαλον λέγει γενέσθαι τὸν Ἀριστόβουλον ἡ ἐν τῇ Β, τῶν Μακκαβαίων προειρημένη ἐπιστολὴ) ὑπῆρχεν οὐχ ὁ Φιλομήτωρ (ὡς ὑπέλαβεν ὁ Κλήμης, καὶ ὁ παρ' αὐτοῦ πλανηθεὶς Εὐσέβιος), ἀλλ' ὁ τούτου διάδοχος. Καὶ τοῦτο δείκνυται σαφῶς ἐκ τοῦ χρόνου καθ' ὃν ἐκδέδοται ἡ ἐπιστολή. Αὕτη ἐξεδόθη « *ἔτους ἑκατοστοῦ ὀγδοηκοστοῦ ὀγδόου* » τῆς τῶν Μακκαβαίων λεγομένης ἐποχῆς (α), ὁ δὲ Φιλομήτωρ ὑπῆρχεν ἤδη τετελευτηκὼς ὅλην εἰκοσαετίαν πρότερον, κατὰ τὸ 167 τῆς αὐτῆς ἐποχῆς (βλ. Α. Μακκαβ. ια, 18-19). Ἐπειδὴ δὲ τὸ 188 ἔτος τῆς ἐπιστολῆς, *ὁπότε ἤκμαζεν ὁ Ἀριστόβουλος*, συμπίπτει πρὸς τὸ 122 (κατὰ τὸν Πτολεμαίου τοῦ Ἀστρονόμου συμψηφισμὸν), ἢ (κατὰ τὸν Εὐσέβιον) τὸ 123 ἀπὸ τῆς Φιλαδέλφου τελευτῆς, εὐκόλως ἄρα ἐν τούτῳ τῷ μακρῷ χρόνῳ ἠδύνατο πλασθῆναι ὁ τοῦ Ἀρι-

---

(α) Ἡ ἐποχὴ λέγεται καὶ τῶν Σελευκιδῶν, ἀπὸ τοῦ Α, Σελεύκου, τοῦ Νικάτορος. (Νικάτωρ οὗτος γέγραπται καὶ ἐν τοῖς νομίσμασιν· ἡ δ' ἑτέρα τούτου γραφὴ, ἡ Νικάνωρ, οὐ πάνυ τι φαίνεται ἀκριβής.). Ἤρξατο δὲ ἡ ἐποχὴ κατὰ τὸ 312, π. Χ. Ὀλυμ. 117, τὸ α. Ταύτῃ χρῶνται καὶ οἱ συγγραφεῖς τῶν Μακκαβαϊκῶν βιβλίων, ὀνομάζοντες « τῆς βασιλείας Ἑλλήνων » (Α. Μακκαβ. α, 10. πρβλ. καὶ ζ, 1: ια, 18: ιγ, 41: καὶ Β. Μακκ. α, 7, κτλ.) « Ἕλληνας δὲ καὶ Μακεδόνας κατὰ τὴν τῶν Μακκαβαίων γραφὴν τοὺς αὐτοὺς μεμαθήκαμεν » (Ἀφρικ. παρὰ Συγκ. Χρονογ. σελ. 527. Bon.). Ὅθεν ἡ ἐποχὴ ἐπωνόμασται καὶ Μακκαβαϊκή (βλ. Hegewisch Einleit. in die Hist. Chronolog. Alton. 1811. καὶ Champol. l. c. T. 1. p. 326. καὶ T. 11. 163). Ὁ δὲ κλεινὸς Δεμάγιστρος ἀπ' ἄλλης ἐποχῆς (τῆς Ἀλεξάνδρου ἀναβάσεως) ψηφίζων τὰ ἀνωτέρω τῆς ἐπιστολῆς ἔτη, ξένα τινὰ καὶ ἀπίθανα φαίνεται χρονολογῶν (Demagist. l. c. p. 318)· βλ. ἐφεξῆς §. ι. — Σημ. ἡμετ.

στέου μῦθος καὶ κρατῆσαι, νομισθεὶς ὡς ἀληθὴς, παρὰ τοῖς Ἀλεξανδρεῦσιν Ἰουδαίοις (ἐν οἷς ἦν καὶ Ἀριστόβουλος) » (α).

Ἀπαντῶμεν.

§. ή. Κείσθω λοιπὸν πρᾶγμα *πάντως πιθανὸν*, ὡς εἶπεν Ὅδιος ἀνωτέρω (εἰ καὶ μετά τινος ὑποδιαιρέσεως, περὶ ἧς ἐφεξῆς), καθ' ἡμᾶς δὲ *καὶ βέβαιον καὶ ἀληθινὸν*, ὅτι ὁ πατὴρ τῶν Ἐξηγήσεων Ἀριστόβουλος, ὁ αὐτός ἐστιν ἐκεῖνος, οὗ μέμνηται καὶ ἡ ἐν Β, τῶν Μακκαβαίων ἐπιστολή (β). Λέγει δὲ ἡ ἐπιστολὴ ταῦτα· « Ἔτους ἑκατοστοῦ ὀγδοηκοστοῦ καὶ ὀγδόου, οἱ ἐν Ἱεροσολύμοις καὶ οἱ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἡ γερουσία, καὶ Ἰούδας, *Ἀριστοβούλῳ διδασκάλῳ Πτολεμαίου τοῦ βασιλέως, ὄντι δὲ ἀπὸ τοῦ τῶν χριστῶν ἱερέων γένους*, καὶ τοῖς ἐν Αἰγύπτῳ Ἰουδαίοις, χαίρειν καὶ ὑγιαίνειν » κτλ. — β) Κείσθω πρὸς ὥραν (Ὁδίου χάριν), καὶ ὅτι Πτολεμαῖος οὗτος, οὗτινος διδάσκαλον λέγει τὸν Ἀριστόβουλον ἡ ἐπιστολὴ,

---

(α) Ἀλλ' ἐν τοῖς προηγουμένοις (§. γ) ὁ αὐτὸς Ὅδιος ὡμολόγησε περιόντας ἔτι κατὰ τοὺς Ἀριστοβούλου χρόνους ἀνθρώπους γνωρίσαντας τὸν Φιλάδελφον. Ὥστε βραχύτερον ἐκεῖ ἐθεώρει τὸν ἀπὸ τῆς Φιλαδέλφου τελευτῆς μέχρις Ἀριστοβούλου διαδραμόντα χρόνον, καθ' ὃν ἐπλάσθη δῆθεν ὁ Ἀριστέου μῦθος. Ἤδη δὲ παρατείνων τοῦτο τὸ διάστημα, πότερον συμπαρατείνει καὶ τὸν βίον τούτων δὴ τῶν γνωρισάντων τὸν Φιλάδελφον, ἑκατὸν καὶ πεντηκοντούτεις σχεδὸν ἅπαντας τούτους εἰσάγων (ὡς διαβιώσαντας δηλονότι καθ' ὅλην τούτων τῶν 123 ἐτῶν τὴν παράτασιν); ἀλλὰ καὶ τούτου δοθέντος, μένουσι πάλιν ὅσα εἴπομεν (§. δ). Ἢ τῶν γηραιῶν ἐκείνων τοῦ Φιλαδέλφου αὐτοπτῶν ἤδη παντελῶς ἐπιλαθόμενος, ἄλλως πως διαμετρεῖ τὸν μακρὸν χρόνον, καθ' ὃν ἐπλάσθη καὶ ἐκράτησεν ἡ τοῦ Ἀριστέου μυθολογία; Ἀλλ' αὐτὸς πάλιν μετ' ὀλίγον (§. θ. σημ.) οὕτω γηραιὸν (ἐπὶ τοῦ 123 ἔτους) εὑρήσει τὸν Ἀριστόβουλον, ὥστε μηδὲ ζῆν αὐτὸν τότε διϊσχυρισθήσεται παντὶ σθένει (ὡς ὀψόμεθα ἐφεξῆς). Τοιαῦτα διαπλέκει καὶ πάλιν ἀναλύει παίζουσα πολλάκις ἡ Ὁδιακὴ εὐφυΐα.

(β) Ταύτην τὴν ταυτότητα τοῦ Ἀριστοβούλου ἀρνεῖται ὁ Σκαλίγηρος (Scalig. in Eus. Chronic. p. 142), καὶ Σιμώνιος (R. Simon Hist. crit. du. V. T. L. III. c. 23). Τούτοις ὁμαλῶς ἠκολούθησε καὶ Ὅδιος ἐν οἷς πρότερον ἀντέλεγε τῷ Κλήμεντι καὶ τῷ Εὐσεβίῳ (βλ. §. δ, καὶ ε). Ἀλλ' ἤδη καὶ αὐτὸς αὐτὴν ὡς π ι θ α ν ὴ ν ἀνακηρύττει· πολλοὶ δὲ καὶ ἄλλοι τῶν νεωτέρων σοφῶν καθομολογοῦσιν· οἷον Grotius (Com. in Lib. Maccab.), G. Voss. (Hist. Graec. I. 10. p. 90), J. Vossius (Obser. ad P. Mel. Append. p. 66), Walton (Proleg. Bib. IX. 4), G. Spencerus (in Orig. c. Cels. p. 543), Houbigant (Not. Crit. in V. Test. Tom. 1. p. 455). Huetius (Demonst. Evang. IV. c. 2. §. 27 καὶ c. 12. §. 4), Demagistr. (Diss. l. p. 316, 317), Valckenaer. (de Aristob. Jud. p. 35). κτλ. κτλ.

ὑπῆρχεν, οὐχ᾿ ὁ πρὸ εἴκοσιν ἐτῶν τελευτήσας Φιλομήτωρ, ἀλλ᾿ ὁ τούτου διάδοχος, ὁ Φύσκων, ὁ καὶ Β, Εὐεργέτης. Ἀλλ᾿ ἐκ τούτων, οὕτω κειμένων, ἀποροῦμεν, κατὰ ποίας ἄρα συλλογιστικῆς ἀποδείξεως ἀφύκτους ἀνάγκας συνεπέραναν οἱ περὶ τὸν Ὅδιον, ὅτι πάντως πρὸς τὸν Φύσκωνα τοῦτον ὁ Ἀριστόβουλος προσεφώνησε τὰς *Ἐξηγήσεις*, οὐχὶ δὲ πρὸς τὸν Φιλομήτορα (καθὼς ἔγραψαν οἱ περὶ τὸν Κλήμεντα καὶ Εὐσέβιον). Πῶς; ἐν ᾧ ἐδίδασκεν ὁ Ἀριστόβουλος τὸν Φύσκωνα (νέον ἔτι πάντως, καὶ πρὶν ἢ τῷ ἀδελφῷ συμβασιλεύσῃ), οὐκ ἠδύνατο τότε προσφωνῆσαι τὰς ἐξηγήσεις πρὸς τὸν ὅλην δωδεκαετίαν καθ᾿ ἑαυτὸν βασιλεύσαντα πρεσβύτερον ἀδελφὸν, τὸν Φιλομήτορα; Ἀλλὰ τοῦτ᾿ ἂν εἴη τὸ αὐτὸ σχεδὸν, καὶ ὡς ἂν εἰ παρομοίως ἔλεγον, ὅτι, ἐπειδὴ Ζηνόδοτος ὁ Ἐφέσιος ἐγένετο τοῦ νέου Φιλαδέλφου διδάσκαλος, ἐπὶ τούτου λοιπὸν πάντως, ἀλλ᾿ οὐκ ἐπὶ τοῦ πατρὸς αὐτοῦ, τοῦ Λαγίδου, προέστη τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης! Ἔπειτα, τοῦτον μὲν τὸν Ζηνόδοτον ἀποδέχονται τῆς βιβλιοθήκης ἐπὶ τοῦ Λαγίδου προεστηκότα, καθ᾿ ὃν καιρὸν ἐδίδασκεν ἔτι παῖδα τὸν Φιλάδελφον, διότι τοῦτο παρέδωκεν ὁ Σουΐδας. Τὸν δ᾿ Ἀριστόβουλον προσφωνήσαντα τῷ Φιλομήτορι τὰ βιβλία, καθ᾿ ὃν χρόνον ἐδίδασκε νέον ἔτι τὸν Β, Εὐεργέτην, οὐκ ἀποδέχονται, διότι τοῦτο βεβαιοῦσι Κλήμης ὁ Ἀλεξανδρεὺς καὶ ὁ Εὐσέβιος; Ἀλλ᾿ εἰ μὴ ταῦτα καὶ τὰ τοιαῦτα, ποῖα λοιπὸν ἄλλα λέγοιντ᾿ ἂν δικαίως παράχορδα καὶ *παράλογα συμπεράσματα*; Ἄλλοι δὲ ὅμως πολὺ πάντως εὐλογώτερα κρίνοντες, « Οὐδὲν ἄτοπον, λέγουσιν, οὐδ᾿ ἀπεικὸς, εἴπερ ὁ πρὸς τὸν Φιλομήτορα γράψας Ἀριστόβουλος ὑπῆρχεν ὁ αὐτὸς καὶ τοῦ Φύσκωνος διδάσκαλος » (α). Ἔπειτα καὶ τὸ τοῦ Φιλομήτορος χρηστὸν καὶ φιλάνθρωπον ἦθος, πολλὴν τοῖς Ἰουδαίοις ἰδίως ἐπιείκειαν ἐπιδειξαμένου (β), πρὸς

(α) Βλ. H. Grotij. Not. in II. Maccab. c. 1 § 10. — Wesseling Lect. publ. de Arist. Jud. (In Valckenaer. de Aristobul. Jud p. 131). πρβλ. καὶ Fabric. Bibl. Graec. vel. 3. p. 469. Harl.

(β) Βλ. Ἰώσηπ. Ἰουδ. Ἀρχ. ΙΓ. κεφ. γ. §. 4. καὶ κεφ. δ. §. 5, 7. καὶ Β. κ. Ἀπίων. §. 5. σελ. 472 Hav. Τὴν τοῦ Φιλομήτορος πρᾳότητα καὶ χρηστότητα καὶ

αὐτὸν τοῦτον δικαιοῖ καὶ τὰς τοῦ Νόμου ἐξηγήσεις ὑπὸ τοῦ Ἀριστοβούλου προσφωνηθῆναι· ὅστις καὶ αὐτὸς παρὼν ἐν Ἀλεξανδρείᾳ, τῆς εὐνοίας τοῦ βασιλέως ἀπήλαυε, μετ᾽ αὐτοῦ συμφιλοσοφῶν ἐν τοῖς βασιλείοις, καὶ διδάσκων τὸν νεώτερον ἀδελφόν (α). Καὶ ταῦτα μὲν ἔστωσαν, ἐάν, ἴσως, ὁ ἐν τῇ Μακκαβαϊκῇ ἐπιστολῇ Πτολεμαῖος αὐτὸς ὁ Φύσκων ἐκληφθῇ (καθὼς οἱ περὶ τὸν Ὅδιον ἀπαιτοῦσι), καὶ τούτου τάχα διδάσκαλος ὁ Ἀριστόβουλος γεγονώς.

Ἄλλοι δὲ ὅμως πολὺ πιθανώτερα κρίνοντες, αὐτοῦ τοῦ Φιλομήτορος διδάσκαλον γενέσθαι λέγουσι τὸν φιλόσοφον Ἀριστόβουλον, πρὸς ὃν ἤδη βασιλεύοντα προσεφώνησε καὶ τὰς Ἐξηγήσεις, παρέμεινε δ᾽ αὐτῷ τὸ ἐπώνυμον καὶ ἐφ᾽ ὅσον ἐβασίλευεν ὁ Φιλομήτωρ, καὶ μετὰ τὴν τούτου τελευτήν, ἐπὶ τοῦ διαδόχου καὶ ἀδελφοῦ, τοῦ Φύσκωνος, χάριν τιμῆς εἰς τὸν φιλόσοφον διατηρηθὲν διὰ βίου. Διὸ καὶ οἱ ἐξ Ἱεροσολύμων Ἰουδαῖοι γράφοντες ὕστερον τὴν ἐν Β, τῶν Μακκαβαίων ἐπιστολήν, ἐπ᾽ αὐτοῦ τοῦ Φύσκωνος βασιλεύοντος (ἂν τὸ ἔτος τῆς ἐπιστολῆς ἀδιάφθορον ἐκληφθῇ), *διδάσκαλον τοῦ βασιλέως Πτολεμαίου* προσφωνοῦσι τὸν τότε γηραλέον ἤδη Ἀριστόβουλον. Οὕτω κρίνουσιν οἱ περὶ τὸν Οὐόσσιον (β), καὶ Βασνάγιον, καὶ ἄλλοι (γ), καὶ Δεμάγιστρος (δ). Μαρτυρεῖ δὲ πρὸ πάντων καὶ ὁ ἱερὸς Ἀνατόλιος, *ἐπίκλην* εἰπών, ἢ ἐπώνυμον τοῦ Ἀριστο-

---

Πολύβιος μαρτυρεῖ (ἐν Ἐκλογ. τόμ. 3. σελ. 149. Vind.), καὶ Διόδωρ. (ἐν Ἐκλογ. τόμ. β. σελ. 595, Wessel. καὶ σημ.).

(α) Ἐναντίος τοῦ χρηστοῦ Φιλομήτορος ἐφάνη βασιλεύσας ὁ ἀδελφὸς Φύσκων, ὁ καὶ Β, Εὐεργέτης (βλ. Διόδωρ. Ἐκλογ. τ. β. σελ. 594, 593 Wessel. πρβλ. καὶ Σύγκελ. Χρονογ. σελ. 539 Bon. καὶ Scalig. Εὐσεβ. Χρονικ. σελ. 68). Ὅθεν καὶ Κακεργέτης ἐλέγετο ὑπὸ τῶν Ἀλεξανδρέων. Ὁ δ᾽ αὐτός, καὶ καθὸ φιλόμουσος καὶ πολυμαθὴς καὶ συγγραφεύς, προσηγορεύετο καὶ φιλολόγος (βλ. Ἀθήν. σελ. 61, 184, 549· πρβλ. καὶ Valcken. l. c. p. 20).

(β) Voss. App. ad P. Melam p. 67. — (γ) Basnage Hist. des Juifs. III. c. 6. §. 5. p. 404. Τοῦ Βασναγίου τὴν γνώμην ἀποδέχεται καὶ Brucker (Hist. Philos. II. p. 699). πρβλ. καὶ Fabric. Bibl. Graec. l. c. p. 469.

(δ) Ὁ Δεμάγιστρος (Diss. I. p. 317) καὶ λατινικὴν ἐξέφερεν ἀρχαίαν ἐπιγραφὴν (ἐκ τῶν Gruteri, 369, 2) « Aufidio — magistri Imperatorum » (διδασκάλῳ τῶν Αὐτοκρατόρων).

βούλου τὸ *διδάσκαλος* (« Ἀριστοβούλου, *τοῦ ἐπίκλην διδασκάλου* »), καθὸ δηλονότι προσωνυμίαν ἔντιμον καὶ σεμνὴν ἐπίκλησιν, ὡς γέρας ἀπονεμομένην τῷ γενομένῳ διδασκάλῳ τοῦ Φιλομήτορος βασιλέως. Εἰ δὲ καὶ ἡ ἐπιστολὴ *διδάσκαλον* τοῦτον ἁπλῶς τοῦ *Πτολεμαίου* (χωρὶς τοῦ Φιλομήτορος) ὀνομάζει, ἀλλὰ τίς ἀγνοεῖ τὴν περὶ ἧς προείπομεν συνήθειαν τῶν ἀρχαίων, οἵτινες πολλάκις *Πτολεμαίους* ἁπλῶς (χωρὶς τῆς ἑκάστου προσωνυμίας) προσηγόρευον ἅπαντας τοὺς Αἰγύπτου βασιλεῖς, εἴ τε ζῶντας αὐτοὺς ἐμνημόνευον, εἴ τε καὶ τεθνηκότας; Αὐτίκα Πολύβιος, περὶ τούτων αὐτῶν τῶν δισσῶν Πτολεμαίων (τοῦ Φιλομήτορος καὶ τοῦ Φύσκωνος) συμβασιλευόντων τὸν λόγον ποιούμενος, « πρεσβείας (λέγει) παραγενομένης παρὰ τῶν βασιλέων ἀμφοτέρων, *Πτολεμαίου καὶ Πτολεμαίου* ». (Ἐκλογ. πρεσβ. πθ) ».

Τελευταῖον, ἐὰν τῆς ἐν Β, τῶν Μακκαβ. εἰρημένης ἐπιστολῆς τὸ ἔτος τεθῇ παρὰ τῶν ἀντιγραφέων τεταραγμένον, γραψάντων κατὰ λάθος 188, ἀντὶ 148 (καθὼς φαίνεται πιθανώτατον), τότε ἡ ἐπιστολὴ αὕτη ἐγράφη οὐκ ἐπὶ Φύσκωνος βασιλεύοντος, ἀλλ᾽ ἐπ᾽ αὐτοῦ τοῦ Φιλομήτορος, ὥστε ὁ τούτῳ τὰς *ἐξηγήσεις* προσφωνήσας Ἀριστόβουλος, τοῦ αὐτοῦ λοιπὸν βασιλέως καὶ *διδάσκαλος* ἀποδείκνυται καὶ ἐξ αὐτῆς τῆς ἐπιστολῆς. Ἀλλὰ περὶ τούτου λέγομεν εὐθὺς, ἀπαντήσαντες πρότερον πρὸς τὸ τελευταῖον παρὰ τῶν κριτικῶν κατ᾽ Ἀριστοβούλου τοξευόμενον ἐχεπευκὲς καὶ πυρφόρον βέλος, τὸ ἐφεξῆς.

§. θ. « Τέταρτον καὶ τελευταῖον (λέγουσιν οἱ περὶ τὸν Ὅδιον)· ἐὰν προβῶμεν ἐπιμελέστερον ἔτι περαιτέρω τοῦ πράγματος ἐρευνῶντες, εὑρήσομεν χώραν ὑποψίας δικαίας, μήποτε ταῦτα δὴ τὰ ὑπομνήματα, ἢ αἱ *ἐξηγήσεις*, πρὸς οὐδένα τῶν Πτολεμαίων ἐγράφησαν, ἀλλ᾽ ἐξεδόθησαν ἐπ᾽ ὀνόματι τοῦ Ἀριστοβούλου διδασκάλου τοῦ Πτολεμαίου, ὑπό τινος νεωτέρου πλαστουργηθέντα. Καὶ ἡμεῖς τῷ ὄντι ῥαδίως πείθομεν ἑαυτοὺς, ὅτι μήτ᾽ Ἀριστόβουλος διδάσκαλος Πτολεμαίου τοῦ βασιλέως μηδεὶς ἐγένετο πώποτε, καὶ ἡ τούτου μνημονεύουσα ἐν τῇ Β, τῶν Μακκαβαϊκῶν ἐπιστολὴ νόθος ἐστὶ

καὶ αὐτὴ καὶ πλαστή. Ὁ δὲ πατὴρ τῶν ἐξηγήσεων δι᾽ οὐδεμίαν ἄλλην αἰτίαν ἐξέδωκεν αὐτὰς ὡς ἐκ προσώπου τοῦ τοιούτου Ἀριστοβούλου, εἰ μὴ διότι εὕρηκεν ἕνα τοιοῦτόν τινα μνημονευόμενον ἐν τῇ προειρημένῃ ἐπιστολῇ. Ὅτι δὲ πέπλασται αὕτη ἡ ἐπιστολὴ συμπεραίνεται ἐντεῦθεν. Ἔτος τῆς ἐκδόσεως αὐτῆς ἐπιγέγραπται τὸ 188, τῆς Μακκαβαϊκῆς ἐποχῆς. Ὁ δὲ τότε βασιλεύων Πτολεμαῖος εἶχε καὶ διδάσκαλον, τοῦτον δὴ τὸν Ἀριστόβουλον, ὡς ἀξιοῖ ἡ ἐπιστολή, καὶ ῥητῶς αὐτὸν ἀποκαλεῖ *διδάσκαλον τοῦ βασιλέως*· ἀλλὰ τοῦτο πάντως ἦν ἀδύνατον· ὁ γὰρ τότε βασιλεύων Πτολεμαῖος, οὐ *νέος* τις ἦν (διδασκάλου χρείαν ἔχων), ἀλλὰ *γέρων*. Ὁ Πτολεμαῖος οὗτος ὑπῆρχεν ὁ τοῦ *Φιλομήτορος* ἀδελφός, ὁ *Φύσκων* τὸ ἐπίκλην, καὶ *δεύτερος Εὐεργέτης*· ὅστις κατὰ τὸ ῥηθὲν ἔτος τῆς ἐπιστολῆς οὐκ ἂν ἦν νεώτερος τῶν 60 ἐτῶν· καθότι τὸ 188 Μακκαβαῖον ἔτος συμπίπτει πρὸς τὸ 21, ἀπὸ τῆς Φιλομήτορος τελευτῆς. Ὁ δὲ Φιλομήτωρ ἐβασίλευσεν ἔτη 35 μετὰ τὸν θάνατον τοῦ πατρός, Πτολεμαίου τοῦ Ἐπιφανοῦς (καὶ λοιπὸν ὁ Φύσκων ἦγεν ἔτος τότε τοὐλάχιστον *ἑξηκοστόν!*). Ὅτι δὲ ἡ ἐπιστολὴ νοεῖ τὸν Πτολεμαῖον τοῦτον οὐχὶ πάλαι ποτὲ γενόμενον, ἀλλὰ τότε δὴ (καθ᾽ ὃν ἐπεστάλη χρόνον) διατελοῦντα μαθητὴν τοῦ Ἀριστοβούλου, φαίνεται σαφῶς ἐξ αὐτῶν αὐτῆς τῶν λέξεων· « Ἔτους 188, οἱ ἐν Ἱεροσολύμοις — *Ἀριστοβούλῳ διδασκάλῳ Πτολεμαίου τοῦ βασιλέως, ὄντι δὲ ἀπὸ τοῦ τῶν χριστῶν ἱερέων γένους* » κτλ. (βλ. ὄπισθ. §. ή) (α).

(α) « Ἀλλὰ τίς ἀγνοεῖ (λέγει πρὸς τὸν Ὅδιον Οὐόσσιος), ὅτι τοῖς (τῶν βασιλοπαίδων) τροφεῦσι καὶ παιδαγωγοῖς καὶ παιδευταῖς παραμένουσι τὰ ἐπώνυμα ταῦτα καὶ ἐφ᾽ ὅσον χρόνον διαβιώσωσι καὶ αὐτοί, καὶ οὓς ἐπαίδευσαν, οἱ βασιλεῖς; Πλήθουσιν αἱ βίβλοι παραδειγμάτων βασιλέων, οἵτινες καὶ εἰς ἔσχατον ἐλάσαντες γῆρας, διδασκάλους προσαγορεύουσι τοὺς ἑαυτῶν παιδευτάς. Καὶ νῦν καθ᾽ ἡμᾶς ἐν Γαλλίᾳ, κἂν ἐπὶ μακρότατον ὁ βασιλεὺς αὐτῆς βασιλεύσῃ, τοῦ κατ᾽ αὐτὸν ὅμως γενομένου τροφέως, ἢ ἐπιστάτου καὶ διδασκάλου ὁ τίτλος οὐ παύεται (Voss. Append. p. 67). Ὁ δὲ Ὅδιος (pag. 53) ἐν ὑποσημειώσει ἀνταπήντησεν (ὑφειμένῃ καὶ πρᾳείᾳ τῇ φωνῇ) τὰ ἐφεξῆς· « Ἀλλ᾽ εἰ μὲν ὑπῆρχεν ἐν τοῖς ζῶσι τότε τοῦ βασιλέως Πτολεμαίου διδάσκαλος, οὐκ ἂν ἀρνηθείην ὅτι ἠδύνατο τῷ τίτλῳ τούτῳ καταχαλλύνεσθαι· ἐπειδὴ δ᾽ ὁ Πτολεμαῖος ἦν τότε πάντως ἑξηκοντούτης, τῶν δὲ νέων βασιλέων ἐπιστάται καὶ

« Τὴν περὶ τῆς νοθείας τῶν Ἀριστοβούλου ἐξηγήσεων ὑποψίαν αὐξάνει (λέγουσι) κἀκεῖνο μάλιστα, ὅτι πρῶτος αὐτῶν ἐμνημόνευσεν ὁ περὶ τὰ τέλη τῆς β, ἑκατονταετηρίδος ἀκμάσας Κλήμης ὁ Ἀλεξανδρεύς. Ἀλλ᾽ εἴ τις Ἀριστόβουλος, ἐκ τῶν παρ᾽ Ἰουδαίοις ἄκρων ἱερέων ἕλκων τὸ γένος, συνέγραφε *πρὸς τὸν βασιλέα Πτολεμαῖον*

καθηγηταὶ διορίζονται τῇ ἡλικίᾳ προβεβηκότες, οὐδόλως φαίνεται πιθανὸν ὅτι ἔζη μέχρι τότε ὁ διδάσκαλος τοῦ βασιλέως. Τελευταῖον, ἔξεστι περὶ τούτου τοῦ πράγματος ἀμφιβάλλειν διὰ τοῦτο γοῦν, ὅτι τούτου τοῦ Ἀριστοβούλου τοῦ διδασκάλου οὐδόλως μέμνηται ὁ Ἰώσηπος ». Ταῦτα ὁ Ὅδιος. Ὁ δὲ πάλιν Δεμάγιστρος ἀντιλέγων· « Καὶ τί βλάπτει (λέγει), εἴπερ ὁ διδάσκαλος Ἀριστόβουλος ὑπερεῖχε τότε τὸν ἑξηκοντούτη Πτολεμαῖον δέκα, ἢ καὶ εἴκοσιν ἐνιαυτοὺς, ὀγδοηκοντούτης ὢν ἤδη »; κτλ. (Diss. I. p. 317). Δίκαια ταῦτα (νομίζομεν) ἀντεφώνησε πρὸς τὸν Ὅδιον ὁ καὶ αὐτὸς Ἀπὸ Διδασκάλων (De-Magistris) ἐπονομασθεὶς Δεμάγιστρος. Ἠδύνατο δὲ καὶ ἐκ παραδειγμάτων ἀπαντᾷν, ὑπομνήσας τὸν κριτικὸν περὶ μόνου τοῦ Ζηνοδότου τοῦ Ἐφεσίου, τοῦ διδάξαντος τὸν Φιλάδελφον καὶ τοὺς ἄλλους Πτολεμαίου τοῦ Λαγίδου παῖδας. Ἢ οὐ παρέστησεν ἐκεῖνον αὐτὸς ὁ κριτικὸς ἐπιζήσαντα μέχρι καὶ τῆς Φιλαδέλφου τελευτῆς (65, κἀκείνου ζήσαντος ἔτη), καὶ μέχρις ἀρχομένης τῆς βασιλείας τοῦ Εὐεργέτου; (βλ. ὄπισθ. κεφ. ια. §. θ). Διὰ τί μὴ παρομοίως ἐφιλοτιμήθη καὶ περὶ τὸν Ἀριστόβουλον, τοσοῦτον καὶ τοῦτον προβεβηκότα τὴν ἡλικίαν ἐπιστήσας παιδὶ τῷ Πτολεμαίῳ, καὶ τοσοῦτον ἔπειτα παρατείνας αὐτοῦ τὸν βίον, ὅσον ὑπετίθει καὶ τὸν Ζηνόδοτον; Ἢ πόθεν ἔμαθε τὸν Ἀριστόβουλον πρὸ τοῦ Φύσκωνος ἀποθανόντα; ἀλλὰ τὰ τοιαῦτα παραλείπομεν. Ἐκεῖνο δὲ μόνον ἀποροῦμεν. Πόθεν ἐπληροφορήθη ὁ σοφὸς Ὅδιος, ὅτι ἡ ἀνωτέρω φράσις, « Ἀριστοβούλῳ διδασκάλῳ τοῦ βασιλέως, παρίστησι τοῦτον οὐχὶ πρῴην, ἀλλ᾽ ἐνεργείᾳ διδάσκοντα τότε τὸν Πτολεμαῖον, καθ᾽ ὃν χρόνον ἐγράφετο ἡ ἐπιστολή; Ἆρά γε διότι οὐκ ἔστι πρὸς τῷ διδασκάλῳ προστεθειμένον καὶ τὸ πρῴην, ἢ τὸ πάλαι, ἢ τὸ γενομένῳ κτλ.; ἀλλὰ πρῶτον μὲν, κατ᾽ ἐκείνους τοὺς χρόνους οὐκ ἦσαν συνήθεις οὔτε παρ᾽ Ἰουδαίοις, οὔτε παρ᾽ Ἕλλησιν (ὡς νομίζομεν) οἱ Ῥωμαϊκοὶ ἐκεῖνοι τίτλοι, οἱ ἀπὸ ὑπάρχων, καὶ ἀπὸ ὑπάτων, κτλ. καὶ αὐτὸ τὸ καθ᾽ ἡμᾶς γαλλικὸν ex-professeur! Ὅθεν καὶ πρὸς αὐτοὺς πολλάκις τοὺς ἡγεμόνας, ἢ στρατηγοὺς, καὶ πεπαυμένους ἤδη τῆς ἀρχῆς ἐπιστέλλοντες, προσέγραφον ἐνίοτε καὶ τὸ πρῴην ἀξίωμα, χωρὶς αὐτοῦ τοῦ πρῴην (καὶ νῦν δὲ καθ᾽ ἡμᾶς καὶ στρατηγοῖς, καὶ βασιλεῦσι πολλάκις, τῆς ἀρχῆς πεπαυμένοις, παραμένει τὸ ἐπώνυμον). Ὅθεν καὶ ἱστορικῶς οἱ ἐπισημότατοι μνημονεύονται πυκνὰ καὶ παρὰ τοῖς ἀρχαίοις μετὰ τοῦ ἐπωνυμίου τῆς ἀρχῆς, οἷον, Ἰφικράτης ὁ στρατηγὸς, κτλ. Ἔπειτα (ὅπως ἂν ἔχωσι τὰ τοιαῦτα), αὐτὸς ὁ κριτικὸς ὡμολόγησεν, ὅτι (ζῶντος τοῦ Ἀριστοβούλου τεθέντος, ὁπότ᾽ ἐγράφετο ἡ ἐπιστολὴ) οὐδ᾽ αὐτὸς ἀπαρνεῖται τοῦ βασιλικοῦ διδασκάλου τὸν τίτλον, παραμείναντα τῷ Ἀριστοβούλῳ· πῶς λοιπὸν πάλιν ἐξηγεῖ τὰς αὐτὰς λέξεις τῆς ἐπιστολῆς, ὡς ἐμπράκτως, ἢ ἐνεργείᾳ, τότε καὶ μὴ πρῴην διδάσκαλον τοῦ Πτολεμαίου σημαινούσας τὸν Ἀριστόβουλον; — Σημ. ἡμετ.

ἐξηγήσεις τοῦ Μωσέως νόμου, διὰ τί μηδὲ μίαν τούτου μνείαν Ἰώσηπος ἐποιήσατο, μηδὲ γοῦν ἓν λεξείδιον περὶ Ἀριστοβούλου, τοιούτου ἀνδρὸς, ἐν τοῖς ἑαυτοῦ συγγράμμασι προσθείς; Οὕτω καλαὶ καὶ δόκιμοι ἦσαν ἐκεῖναι αἱ ἐξηγήσεις, ὥστε δι᾽ αὐτὰς ὁ Ἀριστόβουλος παρ᾽ Εὐσεβίῳ μὲν, « *σοφὸς ἐν Ἰουδαίοις ἀνὴρ* », παρ᾽ Ἀνατολίῳ δὲ πάλιν, *ὁ πάνυ*, παρὰ δὲ τῷ *Βέδᾳ*, *πολυμαθέστατος* ἐκλεΐσθη. Τῶν δὴ τοιούτων ἐξηγήσεων τὸν συγγραφέα πῶς οὐκ ὤφειλε καὶ Ἰώσηπος διαμνημονεῦσαι, εἴπερ ἦν αὐτοῦ προγενέστερος ἐκεῖνος; Ἐξηγήσεις τοῦ νόμου Μωσέως, *ὑπὸ Ἰουδαίου πρὸς τὸν βασιλέα τῆς Αἰγύπτου* γραφείσας, πῶς ἂν εἶχε σιωπῇ παρελθεῖν ὁ Ἰώσηπος; ἢ πῶς ἂν ἐπελάθετο *Ἀριστοβούλου τοῦ Ἰουδαίου, τοῦ διδασκάλου Πτολεμαίου τοῦ βασιλέως*, εἴ τι καὶ ἐξ ἀκοῆς ἐμάνθανε περὶ αὐτοῦ; Ἀλλ᾽ ἡ λύσις τοῦ ἀπορήματος πρόχειρος. Γνωστόν ἐστι τοῖς πᾶσι, πόσον ὑπῆρξε φορὸς καὶ γόνιμος ψευδῶν συγγραφέων ὁ μετὰ τὴν Ἰωσήπου ἡλικίαν ἐγγύτατος αἰὼν, αὐτὴ δηλονότι ἡ *δευτέρα* ἀπὸ Χριστοῦ Σωτῆρος *ἑκατονταετηρίς*. Ταύτης τῆς ἐποχῆς ἀπόζουσαι φαίνονται καὶ αἱ προειρημέναι *ἐξηγήσεις*· διότι καὶ αὗται (παρ᾽ Εὐσεβίῳ Εὐαγ. Προπ. ζ, 13, καὶ 10, κτλ.) διαβεβαιοῦσιν ἐγκατασάττουσαι καὶ περικροτοῦσαι τὴν γνώμην ἐκείνην· ὅτι οἱ παλαιοὶ τῶν Ἑλλήνων ποιηταὶ καὶ φιλόσοφοι τὸ πλεῖστον τῆς αὐτῶν σοφίας καὶ ἐπιστήμης ἠρύσαντο καὶ ἐξήνεγκαν ἐκ τῶν ἱερῶν Γραφῶν. Τοῦτο δὲ καὶ οἱ κατ᾽ ἐκεῖνον τὸν αἰῶνα Πατέρες ἐπέφερον κατὰ τῶν ἐθνικῶν φιλοσόφων, οἵτινες, ὡς ἐχθροὶ τῆς χριστιανικῆς εὐσεβείας, κατεφρόνουν τῶν ἱερῶν βιβλίων, καυχώμενοι συνήθως εἰς τὴν ἑλληνικὴν σοφίαν. Πρόδηλον δὲ τοῦτο πᾶσι τοῖς μεταχειριζομένοις τὰς συγγραφὰς Ἰουστίνου τε τοῦ Μάρτυρος (Παραινετικ.), καὶ Θεοφίλου τοῦ Ἀντιοχείας (πρὸς Αὐτόλυκ. β.) καὶ Τατιανοῦ (πρὸς τοὺς Ἕλλην.), καὶ τοῦ Κλήμεντος αὐτοῦ, κατὰ τὸν αὐτὸν ἐκείνοις αἰῶνα, τὸν δεύτερον, περὶ τὸ τέλος, ἀκμάσαντος καὶ τούτου· ἵνα μηδὲν λέγωμεν περὶ τῶν ἐφεξῆς ἐν τοῖς εἰσέπειτα χρόνοις ἀκμασάντων ἐκκλησιαστικῶν ».

Ἀπαντῶμεν.

§. ί. Τὴν στενὴν καὶ σκολιὰν ἀτραπὸν τῶν ζητητικῶν περὶ τοῦ Ἀριστοβούλου ἐρευνῶν ἀκροβατήσας ὁ κριτικὸς, κατήντησε, τέλος, εἰς τὸ βαθύκρημνον τῆς πυῤῥωνικῆς ἀκαταληψίας χωρίον· πλὴν ἀλλ᾿ ὅμως εὕρηκε ῥάστην καὶ ταχεῖαν ἔκδυσιν, ὅλην τοῦ Ἀριστοβούλου τὴν ὕπαρξιν ἀποτόμως ἀπαρνησάμενος, καὶ ῥίψας τὰς ἐπωνύμους αὐτοῦ Ἐξηγήσεις κατὰ κεφαλῆς εἰς τὸ κυνόσαργες τῆς νοθείας. Ἐπειδὴ δὲ χαρακτηρίζει τὸν Ἀριστόβουλον καὶ ἡ τῆς Β, τῶν Μακκαβ. ἐπιστολὴ, καὶ ταύτην ἡ πυῤῥώνειος διάθεσις παντόλμως ἐξενόθισε. Καὶ τὸν μὲν Ἐπίκτητον (φέρ᾿ εἰπεῖν), ἀναγράφοντα τὴν Διογένους πρὸς τὸν βασιλέα τῶν Περσῶν ἐπιστολὴν (α), ἀποδέχονται προθύμως οἱ κριτικοὶ, καὶ πιστεύουσιν, ὅτι πάντως ἐξ ἱστορίας εἶχε μαθὼν τὰ περὶ ταύτης δὴ τῆς, παρ᾿ ἄλλῳ μηδενὶ τῶν ἀρχαίων μνημονευομένης, ἐπιστολῆς τοῦ Διογένους ὁ πλέον ἢ 300, ἐνιαυτοὺς μεταγενέστερος Ἐπίκτητος. Τὴν δ᾿ ἐν τοῖς Μακκαβαϊκοῖς διατηρηθεῖσαν ὅλης πόλεως δημοσίαν πρὸς Ἀριστόβουλον ἐπιστολὴν, πλάσμα νομίζουσιν οἱ βαθύφρονες! Οὕτως ἀδυσώπητοι κατ᾿ Ἀριστέου παρωργίσθησαν, δωρεὰν αὐτὸν μισήσαντες! ὅθεν οὐ μόνον αὐτὸν, ἀλλὰ πάντα τινὰ καὶ ἄλλον, καὶ λὰξ καὶ πὺξ ἐπιβαίνοντες, ἀναιροῦσιν, ὅστις ἂν ᾖ, ὅταν ἢ περὶ ἐκείνου, ἢ περὶ Δημητρίου τοῦ Φαληρέως, καὶ τῶν Ο, μαρτυρῇ. Τὰς Ἀριστοβούλου Ἐξηγήσεις ἀναγνόντες ἀσπασίως ἐδοκίμασαν ὁ Κλήμης, ὁ Ὠριγένης, ὁ Εὐσέβιος, ὁ Ἀλεξανδρείας Κύριλλος, καὶ ἄλλοι· « τίς οὖν μὴ θαυμάσει (φησὶν Οὐόσσιος) τοὺς ἤδη *κατὰ τὸν διεφθαρμένον ἡμῶν αἰῶνα* προκύψαντας ἀγχίνους τούτους καὶ διορατικοὺς, οἵτινες αὐτὰς μὲν, ἃς οὐδέποτ᾿ ἀνέγνων, τὰς *Ἐξηγήσεις*, ὡς νόθους ἀποκηρύττουσι, τοὺς δὲ ταύτας ἀναγνόντας ἅπαντας, ὡς ἠπατημένους, ἢ καταψευσαμένους, θρασέως ἀνασκευάζουσιν ; » (β). Ἀμφότεροι οἱ Οὔμφρεδοι (ὁ Ὅδιος, καὶ ὁ Πριδὼς) (γ), ὁ Σιμώνιος, ὁ Βανδάλης (δ), ἄλλοι

(α) Ἐπίκτητ. Διατριβ. Δ. α. §. 30.

(β) Βλ. I. Voss. Append. p. 66. — (γ) Prideaux Hist. Iud. ann. 277. A. C.

(δ) Ὁ, καθὸ μὲν ἰατρὸς, ἀξιότιμος, καθὸ δ᾿ ἑλληνιστὴς καὶ κριτικὸς, Μεγαρέων

μετ᾽ αὐτοὺς (καθὼς προείπομεν) πεπλασμένον θέλουσι καὶ νόθον τὸν Ἀριστόβουλον, τοὺς αὐτοὺς ἅπαντες περισαλπίζοντες λόγους, ὅσους καὶ Ὅδιος ἀνωτέρω φιλοτιμότερον πάντων καὶ τεχνικώτερον ἐξετόρνευσε.

τάξιν ἔχων Βανδάλης, νοθίζων καὶ αὐτὸς τὰς Ἀριστοβούλου Ἐξηγήσεις «Θαυμαστὸν (λέγει) τῷ ὄντι, πῶς τῶν Ἐξηγήσεων τούτων οὐδεὶς ἄλλος ἐμνημόνευσεν. Οὐ Ψευδαριστέας οὗτος, οὐκ Ἰώσηπος, οὐ Φίλων, οὐ Κλήμης, οὐδ᾽ ἄλλος οὐδεὶς οὔτε τῶν Ἰουδαίων, οὔτε τῶν Χριστιανῶν, ὅσοι περὶ ταύτης τῆς (τῶν Ο,) ἑρμηνείας ἐμνημόνευσαν» (Van Dale Diss. c. 18. p.213, 214). Οὕτως ὁ φλοιώδης Βανδάλης συνέχεεν, ὡς ἓν καὶ τὸ αὐτὸ, τὰς Ἀριστοβούλου ἐξηγήσεις, καὶ τῶν Ο, τὴν μετάφρασιν (βλ. Valcken. l. c. p.22). Καὶ ἐν ᾧ μνημονεύει τὰ τοῦ Ἀνατολίου (ἐφ᾽ οἷς ταῦτα σημειοῖ) ἐκ τοῦ Εὐσεβίου (ἐκκλ. ἱστορ. Ζ, 32), προστιθεὶς καὶ αὐτὴν τὴν Εὐσεβίου (Προπ. γ. θ), καὶ αὐτὴν αὐτοῦ τοῦ Κλήμεντος (Στρωμ. Ε.) περὶ τῶν Ἀριστοβούλου Ἐξηγήσεων τὴν μαρτυρίαν (ibid.p.214), ἔπειτα οὔτε Κλήμης (λέγει), οὔτ᾽ ἄλλος οὐδεὶς τῶν χριστιανῶν ἐπεμνήσθη τῶν Ἐξηγήσεων! Ἄπιστα φαίνονται τῷ ὄντι πολλάκις τὰ τοιαῦτα ῥήματα, ἢ θαύματα τῶν Ἀριστεομάχων κριτικῶν. Ἤδη δὲ καθ᾽ ἡμᾶς καὶ Φράγκελος ὁ ἀρχιραββῖνος νεώτατος Ἀριστοβούλου κατεξανέστη. Καὶ πρῶτον μὲν (ὡς εἰκὸς!), ἄδηλον εἶπε καὶ ἀβέβαιον, τίς ἦν ἄρα καὶ πότε ἤκμαζεν Ἀριστόβουλος οὗτος, ὁ πατὴρ τῶν Ἐξηγήσεων! Ἔπειτα δὲ τοῦτον ἀπέφηνε καὶ πάντῃ διάφορον τοῦ κατὰ τὴν Φιλομήτορος αὐλὴν ἀκμάσαντος Ἀριστοβούλου τοῦ περιπατητικοῦ. [Τίνα δὲ τοῦτον λέγει, καὶ πόθεν μαθὼν, οὐ διώρισεν. Ἴσως ἐννοεῖ τὸν ἐν τῇ Β, τῶν Μακκαβ. διδάσκαλον Πτολεμαίου τοῦ βασιλέως. Ἀλλὰ τοῦτον ὁ Κλήμης καὶ ὁ Εὐσέβιος, παρ᾽ ὧν ἔμαθεν ὁ Φράγγελος καὶ τὸν πατέρα τῶν Ἐξηγήσεων, καὶ τοῦ περιπατητικοῦ τὴν προσηγορίαν, ἕνα λέγουσι καὶ τὸν αὐτόν. Ὁ δὲ κριτικὸς οὔτε πρὸς τούτους ἀντεῖπεν, οὔτε πάλιν πρὸς τὸν Ὅδιον, νοθίζοντα τὴν Μακκαβαίαν ἐπιστολήν· εὖ γε ποιῶν. Τὸ σύντομον καὶ ἀφοριστικὸν ὕφος ὑπερπηδᾷ δυσχερείας πολλάς!]. Τὸν δὲ πατέρα τῶν Ἐξηγήσεων ἐγνώρισε νεώτερον ὁ Φράγκελος. α) «Διότι (λέγει) διαλεγόμενος περὶ τῶν ἀνθρωπικώτερον ἐπὶ Θεοῦ λεγομένων (παρ᾽ Εὐσεβ. Εὐ. Προπ. Η, 9), ἐπιδείκνυται σκοπὸν καὶ τόνον πολεμικόν, ὡς ἂν εἴπερ εἶχε πρὸ ὀφθαλμῶν πολεμίους τῶν Γραφῶν, ὁποῖοι ἐφάνησαν ὕστερον Κέλσος καὶ Πορφύριος». [Ἀλλ᾽ ὁ Ἐνυάλιος οὗτος, ὡς ἡμεῖς νομίζομεν, ἐβόμβησεν εἰς μόνα τοῦ ἀρχιραββίνου τὰ ὦτα. Ὁ δὲ Ἀριστόβουλος ἐξηγῶν τὰς γραφὰς, ὤφειλε πάντως διασαφῆσαι καὶ ἕκαστα τῶν σημαινομένων, ἐπιλύων καί τινα παρὰ τοῖς φιλομαθέσι κινούμενα ζητήματα, ὁποῖα πολλάκις περὶ πολλῶν καὶ παντοίων ἐζητοῦντο συνήθως παρὰ τοῖς ἐν Ἀλεξανδρείᾳ σοφοῖς ἐξ ἀρχῆς· ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς. Ἔπειτα, τὸν μὲν Κέλσον ᾤκτειρεν ὁ σύγχρονος Ὠριγένης, ὅτι οὐκ ἀνέγνω τὸ βιβλίον τοῦ ἀρχαίου Ἀριστοβούλου· ὁ δὲ Φράγκελος ἀναγνοὺς τὰ τοῦ Κέλσου πρῶτον παρ᾽ Ὠριγένει, διδάσκει ἔπειτα τὸν Ὠριγένην πότε ἤκμαζεν ὁ Ἀριστόβουλος!]. β) Λέγει, «παντάπασίν ἐστιν ἀπίθανον τὸ νομίζειν, ὅτι, καθ᾽ ὃν χρόνον ἤκμαζεν ἐν Ἀλεξανδρείᾳ

Προπαρασκευάζων οὗτος τὴν νοθοποιΐαν τῶν Ἐξηγήσεων τοῦ Ἀριστοβούλου, ὡμολόγησε προηγουμένως, ὡς εἴδομεν (§. ζ), τοῦτον εἶναι τὸν αὐτὸν καὶ τὸν ἐν τῇ Μακκαβαίᾳ ἐπιστολῇ μνημονευόμενον Ἀριστόβουλον. Ἤδη δὲ καταντήσας πρὸς τὸ ἔργον αὐτὸ, ῥᾷστα καὶ διὰ μιᾶς κατέπραξε τὴν δεῖξιν τῆς νοθείας τῶν Ἐξηγήσεων, ἀνακηρύξας ὑποβολιμαίαν καὶ νόθον καὶ αὐτὴν τὴν ἐπιστολήν! Καὶ τοῦτο πόθεν δῆλον; ἐκ μόνου τοῦ ἔτους, καθ' ὃ φέρεται γεγραμμένη. Τότε γὰρ (φησι) βασιλεύων Πτολεμαῖος ὁ Φύσκων, ἤδη ἑξηκοντούτης, οὐδόλως ἠδύνατο μαθητεύειν, ἔχων *διδάσκαλον* τὸν ἐν τῇ ἐπιστολῇ προσαγορευόμενον Ἀριστόβουλον. Ἀλλὰ περὶ ταύτης μὲν τῆς ψευδῶς συμπερανθείσης γεροντομαθείας τοῦ Φύσκωνος, προείπομεν ἀνωτέρω (§. η). Εἰ δέ τι καὶ ὧδε ῥητέον, λέγομεν ὅτι, καὶ εἰ τοιοῦτό τι (καθ' ὑπόθεσιν) ἐσήμαινεν ἡ φράσις τῆς ἐπιστολῆς, αὐτοὶ πρῶτοι οἱ περὶ τὸν Ὅδιον ὤφειλον ἀσπάσασθαι καὶ καθομολογῆσαι τὸ πρᾶγμα προθύμως. Μὴ γὰρ οὐκ εἰσῆγον αὐτοὶ οὗτοι πρὸ μικροῦ καὶ τὸν Φιλάδελφον, παρομοίως γηραλέον ἤδη καὶ περὶ βίου δυσμὰς ἐπιδόντα ἑαυτὸν οὐχ ἁπλῶς εἰς φιλοσοφίαν, ἀλλ' εἰς πρωτόπειρον τῶν γραμμάτων σπουδήν; (βλ. κεφ. Θ. §. ϛ.). Ἔπειτα δὲ καὶ ἄλλως, διὰ τί τοσοῦτον ἄτοπον εὑρίσκουσι πρᾶγμα συνήθως εἰς τὸν φύσει τοῦ εἰδέναι ὀρεγόμενον ἄνθρωπον πολλάκις ἐπισυμβαῖνον; τοῦτο δὲ καὶ ὁ παλαιὸς ἐπήνεσε γνωμολόγος εἰπὼν,

« Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά ».

Ὁ δὲ Σόλων, καὶ νομοθέτης ὢν καὶ φιλόσοφος, ὑπέργηρως ἤδη, φαίνεται διὰ τοῦτο καὶ καυχώμενος·

« Αἰεὶ γηράσκω, πολλὰ *διδασκόμενος* ».

ἡ τῶν ἀρχαίων συγγραφέων σπουδὴ, ἐτόλμησεν οὗτος ὁ Ἀριστόβουλος ἀναγνῶναι πρὸς τὸν Φιλομήτορα νόθους στίχους τοῦ Ὀρφέως, διαφθείρας καὶ ἕνα Ὁμηρικὸν, ὁποίους ἐν ταῖς Ἐξηγήσεσιν ἐξήλεγξεν ὁ Οὐαλκενῆρος ». [Ἀλλ' αὐτὸς ὁ Οὐαλκενῆρος ὁ τοὺς στίχους ἐξελέγξας ὁπωσδήποτε (διότι ἄλλος περὶ τούτου λόγος, εἰ Ἀριστόβουλος αἴτιος), ὡμολόγησε καὶ διεκήρυξε καὶ τὸ γνήσιον τῶν Ἐξηγήσεων, καὶ τὸν Ἀριστόβουλον ἐπὶ τοῦ Φιλομήτορος ἀκμάσαντα, καὶ τὸν αὐτὸν εἶναι καὶ τὸν ἐν τῇ Β, τῶν Μακκαβαίων. Ὁ δὲ Φράγκελος μάτην ἐτόξευσε κατὰ τῆς αὐθεντίας τοῦ λαμπροῦ τῶν παλαιῶν αὐτοῦ πατέρων συγγενοῦς Ἀριστοβούλου]. (Franckel. l. c. pag. 19).

Τί παράδοξον λοιπὸν εἰ καὶ Φύσκων, ὁ καί τοι *Κακεργέτης* (Ἀθήν. Δ, 184), ἀλλ' ὅμως *φιλολόγος* βασιλεὺς, καὶ γέρων ἤδη ἑξηκοντούτης φιλομαθῶν ἐδιδάσκετο καθ' ὥρας ὡρισμένας, ἀκροώμενος Ἀριστοβούλου τοῦ φιλοσόφου, ὃν, ἴσως, εἶχε καὶ ἐκ παίδων διδάσκαλον; Ὅτι δὲ καὶ τοιοῦτοι κακεργέται, καὶ ἄλλως κακοήθεις, ἐπιθυμοῦσιν ἐνίοτε, καὶ μάλιστα περὶ τὸ γῆρας, σπουδαιοτέρων μαθημάτων ἀκούειν, μάρτυς ὁ τρυφηλότατος Λούκουλλος· ὅστις ἤδη πρεσβύτης, καὶ τῶν ἐνδόξων στρατειῶν πεπαυμένος, ἔζη μὲν βίον Ἐπικούρειον, ἠσπάζετο δὲ ὅμως πᾶσαν φιλοσοφίαν, καὶ μάλιστα τὴν τῆς ἀρχαίας Ἀκαδημίας· καὶ πολλάκις ἐμβάλλων εἰς τοὺς περιπάτους συνεσχόλαζε τοῖς φιλολόγοις, καὶ φίλον εἶχε καὶ συμβιωτὴν τὸν Ἀσκαλωνίτην Ἀντίοχον (Πλούτ. Λουκούλ. §. μβ). Ἀλλ' οὐδ' ὁ βασιλεὺς τῶν Μακεδόνων Ἀντίγονος ὁ Γονατᾶς ὑπῆρχε νέος παντελῶς, ἤδη δὲ καὶ τὸ 45 ἔτος τῆς ἡλικίας, τῆς δὲ βασιλείας τὸ 23, εἶχεν ὑπερβὰς, ὁπότε δι' ἐπιστολῆς μετεκαλεῖτο τὸν φιλόσοφον Ζήνωνα τὰ πρὸς ἀρετὴν *παιδευτήν*· ἐκεῖνος δὲ παραιτησάμενος ἔπεμψεν ἀνθ' ἑαυτοῦ τὸν Περσαῖον (α)· ὁ δ' αὐτὸς Ἀντίγονος καὶ « *Μενεδήμου μαθητὴν ἀνεκήρυττεν* ἑαυτὸν (Λαερτ. Β. ιη. §. 17), καθὼς ἴσως πολλάκις καὶ Λούκουλλος ἐκάλει διδάσκαλον τὸν Ἀσκαλωνίτην. Μάρκος δὲ ὁ φιλόσοφος αὐτοκράτωρ οὐ μόνον τῶν ἐκ παιδὸς αὐτοῦ διδασκάλων *ἐν τοῖς πρὸς ἑαυτὸν* ἐμνημονευσε (Α. 5—13), ἀλλὰ καὶ γέρων ἤδη πρὸς Σέξτον τὸν ἐκ Βοιωτίας ἐθάμιζε, « *μαθησόμενος ἃ οὔπω ᾔδει* » καθὼς ἔλεγε, « *καλὸν* εὑρίσκων *καὶ γηράσκοντι τὸ μανθάνειν* ». Ὅθεν καὶ ὁ Λούκιος ἐθαύμαζε, « πῶς ὁ Ῥωμαίων βασιλεὺς, *γηράσκων ἤδη*, δέλτον ἐξαψάμενος, ἐς *διδασκάλου φοιτᾷ*, ὥσπερ οἱ παῖδες ». (Φιλόστρ. ἐν Βίοις Σοφιστ. βιβ. Β, α, §. 9). Πῶς οὖν καὶ ὁ Φύσκων (εἴπερ ἦν οὗτος ὁ Πτολεμαῖος τῆς ἐπιστολῆς) οὐκ ἠδύνατο σπουδάζειν ἐν τοῖς αὐτοῦ βασιλείοις, ἀκροώμενος Ἀριστοβούλου, καὶ διδάσκαλον αὐτὸν ἀποκαλῶν; Εἰ δὲ καὶ πάνυ τότε γεγηρακότα καὶ αὐτὸν προφέρουσι τὸν

(α) Βλ. ὑπισθ. Κεφ. Ι. §. ζ. πρβλ. καὶ Κεφ. ζ. §. κθ, καὶ λ.

Ἀριστόβουλον, ἀλλὰ καὶ Ζήνων τοιοῦτος ἦν, καὶ Μενέδημος· « Εὐφράνορος δὲ τοῦ γηραιοῦ, καὶ ὑπὲρ ἑκατὸν ἔτη γεγονότος, διήκουσεν Ἀπίων ὁ Ἀλεξανδρεύς » (Σουΐδ. λ. Ἀπίων). Καὶ ταῦτα μὲν ὑπερεκπερισσοῦ, χάριν τῆς Ἀριστοβούλου διδασκαλωνυμίας, καὶ τῆς ἐξ αὐτῆς πλασθείσης γεροντομαθείας τοῦ Φύσκωνος· πρὸς ἣν ὁ κριτικός, ὡς πρὸς λυδίαν λίθον, βασανίσας τὴν καθιερωμένην τῶν Μακκαβαϊκῶν ἐπιστολὴν, κίβδηλον ἐξήλεγξε, « *καὶ τοῦ πονηροῦ καὶ νόθου κόμματος!* ». Ἀλλ᾽ ἐξετάσωμεν σπουδαιότερον καὶ τὰ περὶ τοῦ ἔτους τῆς ἐπιστολῆς.

§. ιά. Τὸ 188, ἔτος τῆς ἐπιστολῆς (ὡς φέρεται κοινῶς ἐν ταῖς ἐκδόσεσιν), ἡμαρτημένον ἔκρινάν τινες τῶν σοφῶν, ἐξ ἀβλεψίας τῶν ἀντιγραφέων παραπλασθέν· καὶ λέγουσιν οὐκ ἀπίθανα. Δύω τῶν ἐν Ἱεροσολύμοις πρὸς τοὺς ἐν Αἰγύπτῳ Ἰουδαίους ἐπιστολὰς περιέχει τὸ α, κεφάλαιον τῆς Β, τῶν Μακκαβαίων (α). Ἡ πρώτη χρονολογεῖται « *βασιλεύοντος Δημητρίου, ἔτους ἑκατοστοῦ ἑξηκοστοῦ ἐννάτου* (κατὰ τὴν χρονολογίαν δηλαδὴ τῆς ἐποχῆς τῶν Σελευκιδῶν· βλ. ὄπισθ. §. ζ. σημ.). Ἡ δὲ δευτέρα (ἡ περὶ ἧς ὁ λόγος), «*ἔτους ἑκατοστοῦ ὀγδοηκοστοῦ ὀγδόου* » κτλ. (βλ. ὄπισθ. §. η). Ἀμφότεραι ἀναγγέλλουσι πρὸς τοὺς ἐν Αἰγύπτῳ *τὸν καθαρισμὸν* (ἤτοι τὸν *ἐγκαινισμὸν*) τοῦ (ὑπ᾽ Ἀντιόχου τοῦ Ἐπιφανοῦς βεβηλωθέντος) ἱεροῦ, καὶ πότε τοῦτον ἑορταστέον, καὶ πῶς (§. 8—9, καὶ §. 18. πρβλ. Β. Μακκ. ι. 5, 6). Καὶ ἡ μὲν πρώτη τῶν ἐπιστολῶν διη-

---

(α) Τρεῖς αὐτὰς ἀριθμοῦσιν ὁ Οὐβιγάντης, καὶ ἄλλοι τῶν νεωτέρων, διαιροῦντες τὴν α, εἰς δύω, τὴν μὲν ἀπ᾽ ἀρχῆς μέχρι τοῦ ς, ἐδαφίου· τῆς δὲ β, ἀρχὴν ποιοῦντες τὸ « β α σ ι λ ε ύ ο ν τ ο ς Δ η μ η τ ρ ί ο υ » κτλ. καὶ νομίζουσι τὴν α, γεγραμμένην ἐπὶ Φιλοπάτορος Αἰγύπτου βασιλεύοντος, ὁπότε ἦσαν ἐν περιστάσεσιν οἱ ἐν Αἰγύπτῳ Ἰουδαῖοι, καθὼς συμπεραίνεται ἐκ τοῦ §. ς, « μ ὴ ὑ μ ᾶ ς ἐ γ κ α τ α λ ί π ο ι (ὁ Θεὸς) ἐ ν κ α ι ρ ῷ π ο ν η ρ ῷ » (βλ. Houbigant. Not. Crit. in Vet. Test. vol. I. p. 454. Francof. 1777). Ἀλλ᾽ ἅπαντα ταῦτα τὰ ἐν §. 1—5 (ἅτινα νομίζουσι χωριστὴν ἐπιστολὴν, ἢ ἀποσπάσματα ἐπιστολῆς), φαίνονται μᾶλλον προοίμιον τῆς α, ἐπιστολῆς, εὐχὰς περιέχον, ἐν αἷς καὶ τὸ « μ ὴ ὑ μ ᾶ ς ἐ γ κ α τ α λ ί π ο ι » κτλ. (ὁπότ᾽ ἂν ἐπέλθῃ δηλονότι οἱοσδήποτε καιρὸς πονηρός)· μετὰ δὲ τὰς εὐχὰς, ἄρχεται κυρίως ἡ ὑπόθεσις τῆς ἐπιστολῆς, ἀπὸ τοῦ « Β α σ ι λ ε ύ ο ν τ ο ς » κτλ.

γεῖται καὶ τὰ κατὰ τὴν τριετίαν (καθ' ἣν ἐτυράννει τῶν Ἱεροσολύμων Ἀντίοχος) ἐπελθόντα τοῖς Ἰουδαίοις κακὰ (§. 7, 8)· ἡ δὲ Β, ἰδίως εὐαγγελίζεται τὸν ἐν Περσίδι θάνατον τοῦ Ἀντιόχου (§. 11—18). Συνέβη δὲ ὁ μὲν τοῦ ναοῦ καθαρισμὸς (ὑπὸ τοῦ Ἰούδα τοῦ Μακκαβαίου) ἔτει 148 (Α. Μακκ. δ, 52), ὁ δὲ τοῦ Ἀντιόχου θάνατος, ἔτει 149 (Α. Μακκ. ς, 16). Ὅθεν ὁ Οὐαλκενῆρος ἔκρινε γραπτέον ἐν ἀμφοτέραις ταῖς ἐπιστολαῖς, ἔτους 149· τὸ δὲ « *βασιλεύοντος Δημητρίου* » παντάπασιν ἐξαλειπτέον ἀπὸ τῆς πρώτης ἐπιστολῆς (ὡς μήπω τότε Δημητρίου τοῦ Νικάνορος βασιλεύοντος)· διότι νομίζει μὴ πολὺ κατὰ χρόνον ἀπεχούσας ἀπ' ἀλλήλων τὰς ἐπιστολὰς ἀμφοτέρας, ἀλλὰ τὴν μὲν πρώτην γεγραμμένην ἢ περὶ τὸ τέλος τοῦ 148, ἢ μᾶλλον περὶ τὰς ἀρχὰς τοῦ 149, τὴν δὲ Β, εὐθὺς μετὰ τὸν Ἀντιόχου θάνατον, συμβάντα κατὰ τὸ ἔτος τὸ αὐτό (α). Ἀλλ' ὅτι μὲν συγχρονίζει σχεδὸν τῇ δευτέρᾳ καὶ ἡ πρώτη ἐπιστολὴ, τοῦτο καὶ λίαν πιθανῶς εἴκασεν ὁ σοφὸς Οὐαλκενῆρος (ὡς φανήσεται εὐθύς). Τὸ δ' οὖν « *βασιλεύοντος Δημητρίου* » μηδόλως ἐξαλειπτέον (τό γ' ἐμοὶ δοκοῦν), μόνον δὲ τὸ *Δημητρίου* τρεπτέον εἰς τὸ *Ἀντιόχου* (β)· (ὃν, καί τοι μιαρὸν, ἐμνημόνευσαν ὅμως, ὡς ἄρξαντα πολιτικῶς· οὕτως ὠνόμασαν καὶ Ἰάσωνα τὸν Ψευδαρχιερέα· αὐτόθ.). Καὶ φαίνεται ἄρα ζῶντος ἔτι τοῦ Ἀντιόχου γεγραμμένη ἡ πρώτη ἐπιστολὴ, ἐν ᾗ οἱ ἐν Ἱεροσολύμοις ὑπομνήσαντες τοὺς ἐν Αἰγύπτῳ ἀδελφοὺς ὅσα καὶ πρότερον εἶχον ἤδη γράψαντες (ὡς δηλοῖ τὸ « *ἐγεγραφήκαμεν* ») περὶ τῆς ἐν τοῖς προλαβοῦσι τρισὶν ἔτεσιν (« *ἐν τοῖς ἔτεσι τούτοις* ») ὑπ' Ἀντιόχου καταθλίψεως τῶν Ἰουδαίων, τελευταῖον ἐξαγγέλλουσι *τὸν καθαρισμὸν τοῦ ναοῦ, καὶ τὸν καιρὸν τῆς ἐπετείου ταύτης ἑορτῆς*· « *Καὶ νῦν* (γράφομεν) *ἵνα*

(α) Βλ. Valcken. de Aristob. §. XIV. p. 38. sq.

(β) Οὕτω καὶ Β. Μακκαβ. κεφ. θ. 15. ἐξ ἀβλεψίας τῶν ἀντιγραφέων γέγραπται Ἀθηναίοις, ἀντὶ Ἀντιοχεῦσι (πρβλ. αὐτ. κεφ. δ. §. 9). Ὡσαύτως ἴσως καὶ τὸ, κεφ. ς. 1, Ἀθηναῖον τρεπτέον εἰς τὸ Ἀντιοχέα (ὡς ἔχει καὶ ἡ Βουλγάτα Antiochenum). Βλ. Grotij Comm. ibid. καὶ Honbigant. Not. crit. ibid. p. 458.

ἄγητε τὰς ἡμέρας» κτλ. Ἀλλὰ ταῦτα τὰ εὐαγγέλια πῶς ἂν ἔμελλον οὕτω βραδέως ἀναγγεῖλαι τῷ 169, διαλιπόντες ἕνδεκα ὁλόκληρα ἔτη, ἀφ' οὗ ἐγένετο ὁ καθαρισμὸς, καὶ διετάχθη ἡ ἑορτή; (Α. Μακκαβ. δ, 59). Ὥστε φαίνεται πιθανωτάτη ἡ τοῦ 169, εἰς τὸ 149, ἢ 148 μεταποίησις ἐπὶ τῆς α, ἐπιστολῆς. Ἀλλὰ περὶ ταύτης μὲν ἄλλη παρ' ἄλλοις ἡ σκέψις. Τῆς δὲ περὶ ἧς ὁ λόγος (τῆς β) τὸ 188, ὁ μὲν Οὐβιγάντης (πολὺ πρὸ τοῦ Οὐαλκενήρου) ἔκρινε τρεπτέον εἰς τὸ 148 (α). Ὁ δὲ Οὐαλκενῆρος (ἔτι πιθανώτερον) εἰς τὸ 149 (β)· καὶ λόγους ἐπιφέρουσιν ἀμφότεροι ἰσχυροὺς, δύω δὲ μάλιστα τοὺς ἐφεξῆς· α) Οὐδόλως φαίνεται πιθανὸν, ὅτι οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι ἀνέμειναν ὅλους 40, (ἢ 39) ἐνιαυτοὺς, ἵνα κοινοποιήσωσι πρὸς τοὺς ἐν Αἰγύπτῳ τὴν ἔτι κατὰ τὸ 148, διαταχθεῖσαν ἑορτὴν τῶν ἐγκαινίων. β) Ὁ ἐν ταύτῃ τῇ ἐπιστολῇ ἱστορούμενος ὄλεθρος τοῦ Ἀντιόχου καταγγέλλεται ὡς νέον καὶ χαρμόσυνον συμβεβηκός. Τοῦτον δὲ πῶς ἂν εἶχον ὡς καινὸν ἀναγγέλλειν, διαδραμόντων ἤδη, ἀφ' οὗ συνέβη (τῷ 149) ὅλων 39, ἐτῶν; Καὶ φαίνεται ἄρα τὸ 188 τρεπτέον εἰς τὸ 149. Τότε δὲ ἔζη καὶ αὐτὸς ὁ ἐν ἀρχῇ τῆς ἐπιστολῆς μνημονευόμενος Ἰούδας ὁ Μακκαβαῖος, ὃν (ἄλλως ἄλλων ἐκλαβόντων) ὀρθῶς ἀπέδειξεν ὁ Οὐαλκενῆρος, τοῦτον ἐκεῖνον εἶναι τὸν αὐτὸν (σελ. 40). Τούτων δὲ οὕτως ἐχόντων, ἄρα καὶ ὁ τότε (τῷ 149) βασιλεύων τῆς Αἰγύπτου

(α) Houbig. l. c. p. 455. Τῆς δὲ πρώτης τὸ 169 ἀφῆκε κατὰ χώραν ὁ Οὐβιγάντης, μηδὲν πολυπραγμονήσας (σελ. 454). Ἀλλὰ τὸ περὶ τούτων φιλοκρινεῖν, ἀλλότριον τῆς ἡμετέρας ὑποθέσεως.

(β) Valcken l. c. Ἀλλὰ τὸν Οὐβιγάντην ὁ Οὐαλκενῆρος οὐδόλως ὠνόμασεν, αὐτὸς δ' ὡς οἰκείαν ἐξάγει τὴν γνώμην! Οὕτω καὶ ἀλλαχοῦ (l. c. σελ. 19) τὴν περὶ τοῦ Βανδάλου κρίσιν (βλ. ὄπισθ. σελ. 19) ἐκ τοῦ Δεμαγίστρου (Disser. I. p. 315) κατὰ λέξιν ἀντέγραψε, μηδόλως τούτου ἐπιμνησθείς. Ἄλλα τοιαῦτα τοῦ παρὰ ταῦτα μηδὲν ἧττον εὐκλεοῦς κριτικοῦ μικρὰ παραμελήματα, ἢ ἀμνημονήματα παραλείπομεν· καὶ ταῦτα δὲ οὐκ ἂν ἄλλως ἐσημειώσαμεν (τί γὰρ τὰ τοιαῦτα πρὸς τὴν σοφίαν τοῦ ἀνδρός;), εἰ μὴ μόνον ἵνα δείξωμεν, ὅτι πάντως τῆς «πρόσεχε σεαυτῷ» σωτηρίου παραγγελίας εἶχεν ἀμνημονήσας ὁ κριτικὸς, ὁπότ' ἔψεγεν ἀδίκως τὸν ἱερώτατον Στρωματέα, ὡς ἐνίοτε σιωπήσαντα τὸ ὄνομα τοῦ Ἀριστοβούλου! (βλ. ὄπισθ. σελ. 399).

Πτολεμαῖος (οὗτινος διδάσκαλον τὸν Ἀριστόβουλον ἡ ἐπιστολὴ προσαγορεύει) ὑπῆρχεν οὐχ ὁ Φύσκων, ἀλλ' ἐξάπαντος ὁ τούτου πρεσβύτερος ἀδελφὸς, ὁ Φιλομήτωρ, δέκατον ἕβδομον ἔτος ἄγων ἤδη τῆς βασιλείας (διότι τὸ 149 τῆς Σελευκιδῶν ἐποχῆς συμπίπτει πρὸς τὸ α, τῆς 154 Ὀλυμπ. ὁ δὲ Φιλομήτωρ ἐβασίλευσε τὸ α, τῆς 150) (α). Ὅτι δὲ κατὰ τὸ 17 ἔτος μόνος ἐβασίλευσεν ὁ πρότερον 6, ἔτη (ἀπὸ τοῦ 11 τῆς αὐτοῦ βασιλείας καὶ ἐφεξῆς) μετὰ Φύσκωνος τοῦ νεωτέρου ἀδελφοῦ συμβασιλεύσας Φιλομήτωρ, προείπομεν (σελ. 411) (β).

Τοῦτον τὸν Φιλομήτορα διδάξας ἐκ παίδων ἔτι ὁ Ἀριστόβουλος, καὶ οἰκείως πρὸς αὐτὸν καὶ βασιλεύσαντα διατελῶν, ἔφερε καὶ τὸ ἐπώνυμον διδάσκαλος τοῦ βασιλέως, ὡς αὐτὸν προσηγόρευσεν ἡ ἐπιστολὴ, καθὸ τοιοῦτον συνήθως γνωριζόμενον παρὰ πᾶσιν. Ὁ δὲ κλεινὸς Οὐαλκενῆρος εἰσάγει περὶ τούτου μικράν τινα διαφοράν· « Εἰ μὲν (λέγει) ἡ ἐπιστολὴ ὑπῆρχε γεγραμμένη *ἐν Αἰγύπτῳ, καὶ καθ' ὃ συνήθως ἐπιγράφεται ἔτος* (τὸ 188), ἦν ἂν οὐ σμικρὰ δυσκολία περὶ τὴν λύσιν τῆς, ἧς Ὄδιος καθήψατο, διδασκαλωνυμίας τοῦ Ἀριστοβούλου. Ἐπειδὴ δὲ τὴν ἐπιστολὴν ἔγραψαν οἱ *ἐξ Ἱεροσολύμων* πρὸς τοὺς ἐν Αἰγύπτῳ Ἰουδαίους καὶ *πρὸς τὸν Ἀριστόβουλον*, ὃν διά τε τὴν ἐκ τοῦ γένους λαμπρότητα καὶ σοφίαν προσηγόρευσαν καὶ ἰδίως ἐξ ὀνόματος· φήμη δέ τις ἀψευδὴς ἀνὰ πᾶσαν χωροῦσα τὴν Ἰουδαίαν ἐκήρυττεν, ὡς τῷ βασιλεῖ Φιλομήτορι (πρὸς ὃν καὶ τὰς βίβλους ἀνέθηκεν) οἰκείως ἔχοντα, καὶ συνόντα, καὶ ὡς

(α) Valcken. l, c. p. 44. πρβλ. καὶ Honbigant. l. c p. 455. « Notatio (λέγει) anno 148, optime concordat et cum clade Antiochi, et cum aetate Aristobuli, Ptolemaei Philometoris educatore » κτλ.

(β) « Καὶ ἐβασίλευσαν οἱ δύω (Φιλομήτωρ καὶ ὁ Φύσκων, ἡ β, Εὐεργέτης) ἀπὸ τούτου τοῦ ιβ, ἔτους τοῦ Φιλομήτορος, ἕως τοῦ ιζ, ἔτους αὐτοῦ (ϛ, δὲ τοῦ Εὐεργέτου), καὶ πάλιν στασιάζουσι κατ' ἀλλήλων· καὶ χρηματίζει ἀπὸ τοῦ ιη, ἔτους μόνου τοῦ Φιλομήτορος ἡ κατ' Αἴγυπτον ἀρχή » κτλ. (Σύγκελ. Χρονογ. σελ. 538. Bon.). Ὥστε ἡ ἐπιστολὴ ἐγράφη περὶ τὸ τέλος τοῦ ιζ, ἔτους (καθ' ὃ διεστασίασαν οἱ ἀδελφοί). « Ὁ δὲ Φιλομήτωρ ὑπερέσχε, παραχωρήσας τῷ νεωτέρῳ ἀδελφῷ τὴν Λιβύης καὶ Κυρήνης ἀρχὴν » (αὐτ. αὐτόθ.). πρβ. καὶ Champol. l. c. ὄπισθ. σελ. 411.

ἐπιλύσαντα ζητήματά τινα πρὸς αὐτὸν προβληθέντα (α)· διὰ ταῦτα, οὐδὲν θαυμαστὸν, εἰ καὶ *διδάσκαλος τοῦ βασιλέως* παρὰ τοῖς Παλαιστινοῖς Ἰουδαίοις ὁ Ἀριστόβουλος ἐνομίσθη· ὅθεν καὶ οἱ Ἱεροσολυμῖται (κατὰ τὴν συνήθη παρὰ τοῖς Ἰουδαίοις ἔκφρασιν) διὰ τούτου τοῦ ἐπωνύμου προσηγόρευσαν ἐν τῇ ἐπιστολῇ τὸν γηραιόν ». Ταῦτα ὁ Οὐαλκενῆρος, ἀβλαβῆ μὲν ὡς πρὸς τὴν ὑπόθεσιν, ἀλλ᾽ ἴσως περιεργότερα τοῦ δέοντος. Ὅσον τὸ ἐξ ἡμῶν, νομίζομεν ὅτι, καὶ εἴπερ ἦν ἡ ἐπιστολὴ γεγραμμένη καθ᾽ ὃ κοινῶς ἐπιφέρει ἔτος (τὸ 188), τοσοῦτον εὐκόλως καὶ εὐλόγως ἠδύνατο καὶ ἐν Αἰγύπτῳ καὶ κατὰ τὴν Παλαιστίνην καὶ γράφεσθαι καὶ λέγεσθαι διδάσκαλος καὶ θανόντος ἤδη τοῦ βασιλέως Πτολεμαίου (τοῦ Φιλομήτορος) ὁ τοῦτον διδάξας Ἀριστόβουλος, ὅσον καὶ εἴ τις ἂν γράφοι καὶ λέγοι (ὡς ἔγραψαν πολλοὶ) καὶ τὸν Ἀριστοτέλην διδάσκαλον τοῦ Μ. Ἀλεξάνδρου καὶ βεβασιλευκότος

(α) Τοῦτο δείκνυται ἐξ αὐτῶν τῶν Ἀριστοβούλου παρ᾽ Εὐσεβίῳ (Εὐαγ. Προπ. η, 376) ἐκείνων· « Ἱκανῶς εἰρημένων πρὸς τὰ προκείμενα ζ η τ ή μ α τ α, ἐπεφώνησας καὶ σὺ, βασιλεῦ ». [Ἀποτείνεται δὲ πρὸς αὐτὸν τὸν βασιλέα, καθὸ πρὸς τοῦτον τὰς ἐξηγήσεις προσφωνήσας, ὅπερ δείκνυται καὶ ἐξ ἄλλων χωρίων, οἷον· « ὅ τ α ν γ ὰ ρ δ υ ν ά μ ε ι ς ἐ ξ α π ο σ τ έ λ λ ῃ ς σ ὺ, β α σ ι λ ε ὺ ς ὢ ν » (αὐτ. η. σελ. 376) καὶ (ιγ. 664) « ἐ π ὶ τ ο ῦ Φ ι λ α δ έ λ φ ο υ — σ ο ῦ δ ὲ π ρ ο γ ό ν ο υ » κτλ.]. Φαίνεται λοιπὸν ὅτι καὶ εἰς τὰς Ἐ ξ η γ ή σ ε ι ς ὁ Ἀριστόβουλος ἐπέλυε πρὸς τοῖς ἄλλοις καί τινα ζητήματα κινούμενα παρὰ τοῖς φιλομαθέσιν Ἰουδαίοις ἐκ τοῦ Μωσέως νόμου (ὁποῖα καὶ ἐξ Ὁμήρου ἐκίνουν οἱ ἐπιμελέστεροι τῶν ἀρχαίων γραμματικῶν, οἷον τὰ τοῦ Πορφυρίου « Ὁ μ η ρ ι κ ὰ ζ η τ ή μ α τ α » κτλ. βλ. Hemsterhuis. εἰς Λουκιαν. σελ. 242). Ὅθεν καὶ Ἀνατόλιος μνημονεύων τοὺς τ ὰ ζ η τ ο ύ μ ε ν α κ α τ ὰ τ ὴ ν Ἔ ξ ο δ ο ν ἐ π ι λ ύ ο ν τ α ς, ἑνὸς μόνου, τοῦ Ἀριστοβούλου προσέθηκε τοὺς λόγους αὐτολεξεί· « Ὁ δ ὲ Ἀ ρ ι σ τ ό β ο υ λ ο ς π ρ ο σ τ ί θ η σ ι » κτλ. μέχρι τοῦ « ἡ σ ε λ ή ν η » (Εὐσεβ. ἐκκλ. ἱστορ. Ζ. 32). Ταῦτα δὲ πιθανῶς ἐλήφθησαν ἐκ τῶν εἰς τὴν Ἔξοδον ἐξηγήσεων τοῦ Ἀριστοβούλου (ὅπερ οὐ συνεῖδεν ὁ τοῦ Εὐσεβίου ἐκδότης Οὐαλέσιος). Τὰ ζ η τ ο ύ μ ε ν α (περὶ τῶν τοπικῶν ὀνομάτων ἐν τῇ θείᾳ Γραφῇ) ἐπραγματεύσατο καὶ ὁ Εὐσέβιος (αὐτόθ. προοιμ.)· πρβλ. καὶ Φωτ. βιβλιοθ. σελ. 246. Διόδωρος δέ τις μονάζων ἔγραψεν εἰς τὰ Ζ η τ ο ύ μ ε ν α τ ῶ ν Π α ρ α λ ε ι π ο μ έ ν ω ν (Σουΐδ.). Οὕτω δὲ καὶ Εὐαγόρας, π ε ρ ὶ τ ῶ ν π α ρ ὰ Θ ο υ κ υ δ ί δ ῃ ζ η τ ο υ μ έ ν ω ν (αὐτ.). Ὡσαύτως καὶ Ἀριστόβουλος ἐπέλυε ζητήματα παντοῖα ἐκ τῶν θείων Γραφῶν, τὰ μὲν ὑπὸ τοῦ βασιλέως, τὰ δὲ καὶ παρ᾽ ἄλλων προτεινόμενα, σύμφωνα ποιῶν τοῖς τότε σπουδάσμασιν οὐ μόνον τῶν ὁμογενῶν αὐτῷ διδασκάλων, ἀλλὰ καὶ αὐτῶν μάλιστα τῶν ἐν τῷ Μουσείῳ τῆς Ἀλεξανδρείας περὶ παντοδαπὰ ζητήματα φιλολογούντων Ἑλλήνων. Βλ. Valcken. l. c. p. 37, sq.

ἤδη, καὶ τελευτήσαντος· (οὕτω δὲ καὶ αὐτὸς γράφων πρὸς Ἀριστοτέλην ἐκ τῆς Ἀσίας τὴν περὶ τῶν ἀκροαματικῶν λόγων ἐπιστολὴν, καυχᾶται ἐπὶ τῇ διδασκαλίᾳ)· ἢ τὸν Στράτωνα καὶ Φιλητᾶν, *διδασκάλους Πτολεμαίου βασιλέως* (τοῦ Φιλαδέλφου)· πρόσθες καὶ τὸν Αὐφίδιον (ὄπισθ. σελ. 417). Ὅτι δὲ πάλιν ἡ ἐν Ἱεροσολύμοις Ἰουδαϊκὴ ἐκκλησία τοσοῦτον ἠπατήθη, ὥστε διὰ μόνας τὰς ἐπιλύσεις τῶν ὑπὸ τοῦ βασιλέως προβαλλομένων ζητημάτων ἐνόμισε καὶ ὠνόμασεν αὐτογνωμόνως *διδάσκαλον τοῦ βασιλέως* τὸν Ἀριστόβουλον, τοῦτο φαίνεται δυσχερέστατον. Καὶ ἄλλως δὲ *Διδάσκαλον* (ἢ Ῥαββῖνον) ἠδύναντο πάντως οἱ Ἰουδαῖοι καὶ τὸν Ἀριστόβουλον (ὡς καὶ πάντας τοὺς παρ' αὐτοῖς νομοδιδασκάλους) ἁπλῶς καὶ ἀπολύτως ἀποκαλεῖν· ἀλλ' ὅτι διὰ τὸ αὐτὸ ἔθος ἐπωνόμασαν αὐτὸν καὶ *διδάσκαλον Πτολεμαίου τοῦ βασιλέως*, ἰδιαζόντως ἐν ἐπιστολῇ ἐπισήμῳ προσαγορεύοντες, τοῦτο δὴ καὶ παντελῶς ἀπίθανον. Πᾶν δὲ μάλιστα τοὐναντίον, ἐξ αὐτῆς τῆς πρὸς τὸν βασιλέα οἰκειότητος, καὶ τῆς περὶ ζητημάτων νομικῶν μετ' αὐτοῦ συνδιαλέξεως (ἣν ὀρθότατα συνεῖδε καὶ ἐξέφρασεν ἡ Οὐαλκενήρειος πολυμάθεια) δείκνυται πραγματικῶς διδάσκαλος τοῦ βασιλέως ὁ λαμπρὸς Ἀριστόβουλος γεγονὼς, ἐκ παίδων ἔτι παιδεύσας τὸν χρηστὸν Φιλομήτορα (καὶ τίς οἶδεν, εἰ μὴ τούτου διήκουε σπουδάζων καὶ ὁ νεώτερος ἀδελφὸς, ὁ Φύσκων. Καὶ γὰρ « ἀμφοτέρους ἔτι βραχεῖς τὴν ἡλικίαν κατέλιπεν ὁ πατήρ »· Ἰώσηπ. Ἀρχ. ΙΒ.δ,11). Ἐν δὲ τοῖς βασιλικοῖς μαθήμασιν, ὅσα παιδὶ τῷ Φιλομήτορι παρεδίδου, τὸ ἐπ' αὐτῷ, ὁ περιπατητικὸς φιλόσοφος, ἀνεμίγνυε πιθανώτατα καί τινα θεωρήματα τῆς Μωσαϊκῆς φιλοσοφίας· ὅθεν καὶ ὕστερον μετὰ τοῦ μαθητοῦ βασιλεύοντος ἤδη συνεφιλοσόφει περὶ *νομικῶν ζητημάτων*, καὶ ὅλας *ἐξηγήσεις* τοῦ Μωσέως νόμου προσεφώνησε πρὸς αὐτόν. Ματαίως λοιπὸν, καὶ οἷον οὐδὲν ἂν γένοιτο ματαιότερον, ἐσπούδασαν οἱ περὶ τὸν Ὄδιον ἐκ τῆς Ἀριστοβούλου διδασκαλίας ὑποβολιμαίαν ἐξελέγξαι τὴν ἐν τῷ α, τῆς Β. τῶν Μακκαβαϊκῶν ἐπιστολήν. Ταύτην δὲ καὶ ἰδίως ὁ κλεινὸς Οὐαλκενῆρος (σελ. 41) γνησιωτάτην πλήρει τῷ στόματι ἀνεκήρυξε, *συγχωρῶν*

(ὡς λέγει) καὶ τῷ *οὐχ ἅπαξ περὶ τὰ τοιαῦτα πλανηθέντι* τοῦ Ὀδίου συμψήφῳ, τῷ ἰατρῷ Βανδάλῃ (α). Ἐπειδὴ δὲ καὶ τῶν Ἀριστοβούλου Ἐξηγήσεων πρῶτον τῆς νοθείας τεκμήριον ἔστησεν Ὄδιος

(α) Ὡς πολλὰ ψ ε υ δ ῆ, ἄ τ ο π α, γ ε λ ο ῖ α περιέχουσαν τὴν Β, τῶν Μακκαβαίων (καὶ μάλιστα τὰ δύω πρῶτα αὐτῆς κεφάλαια, ἐν οἷς καὶ ἡ ἐ π ι σ τ ο λ ὴ) κατεδίκασεν ὁ ἰατροφιλόσοφος Βανδάλης! Μυκτηρίζει τὸ «ἐ ν κ ο ι λ ώ μ α τ ι, φ ρ έ α τ ο ς τ ά ξ ι ν (εἶδος) ἔ χ ο ν τ ι, (ὅπερ αὐτὸς ἡρμήνευσεν ἁπλῶς φ ρ έ α ρ, puteum!) κεκρυμμένον, καὶ μετὰ 70 ἐνιαυτοὺς ἀνευρεθὲν πῦρ τοῦ θυσιαστηρίου (Β. Μακκ. α. 19—23). Καὶ τὰ περὶ τοῦ Ἱερεμίου (αὐτόθ. β. 1—9) μνημονευόμενα, ὡς γεγραμμένα ἐν ταῖς δημοσίαις ἀ π ο γ ρ α φ α ῖ ς (ἃς ὁ Βανδάλης ἡρμήνευσεν Ἱ ε ρ ε μ ί ο υ σ υ γ γ ρ ά μ μ α τ α, Scripta Ieremiae), καὶ ὅσα τοιαῦτα, λίαν εὕρηκεν ὁ ἄνθρωπος θαυμαστὰ καὶ ἀπίθανα, φυσικώτερον, ἢ χ ε ι ρ ο υ ρ γ ι κ ώ τ ε ρ ο ν ἀ ν α τ έ μ ν ω ν! (πρβλ. καὶ Valcken. l. c. p 37). Χείριστα δὲ πάντων τῶν ἐν τῇ Β. τῶν Μακκαβαίων εὕρηκεν ὁ κριτικὸς τὰ κατὰ τὸν Ἀντιόχου θάνατον, ὡς ἄλλως μὲν ἱστορούμενα ἐν τῇ ἐπιστολῇ (κεφ. α. 11—17), ἄλλως δὲ μετὰ μικρὸν (κεφ. θ. ι. κτλ.), καὶ ἄλλως παρ' Ἰωσήπῳ (Ἀρχ. ΙΒ. 9). Εἰ δὲ καὶ τὴν Α. Μακκαβ. (κεφ. ς. 16) παρετήρει ὁ Βανδάλης, ἄλλως ἂν εὕρισκε πάλιν ἐκεῖ τὴν αὐτὴν διήγησιν· (βλ. Van Dale Diss. cap. 28) Ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τὸν Ἀντίοχον ἔγραψαν οἱ ἱεροὶ ἱστορικοί, οὐ πάντα συνάμα τὰ περιστατικὰ διαλαβόντες ἕκαστος, ἀλλ' ὁ μὲν τοῦτο διηγούμενος, ὁ δ' ἐκεῖνο. Ἐὰν δέ τις πανταχόθεν συνείρων συνάψῃ τὰ πάντα κατὰ σειράν, βλέπει φανερῶς τὴν ἀλληλουχίαν τῶν μερῶν τοῦ ἱστορήματος. Ὅτι ὁ Ἀντίοχος ἀπελθὼν εἰς τὴν Ἐλυμαΐδα τῆς Περσίας (Α. Ϛ. 1), τὴν καὶ Περσέπολιν (Β. θ. 2), καὶ τὸ κατ' αὐτὴν πλούσιον ἱερὸν τῆς Ναναίας (τῆς Ἀρτέμιδος) συλῆσαι βουληθεὶς (Β. α. 13: Α. ς, 2. πρβλ. Στράβ ις. 744), εἰσῆλθε μ ε τ ὰ τ ῶ ν φ ί λ ω ν (τῶν αὐλικῶν καὶ ἡγεμόνων) εἰς τ ὸ ν π ε ρ ί β ο λ ο ν τ ο ῦ τ ε μ έ ν ο υ ς (Β, α, 15—16), ὅπου οἱ ἱερεῖς πέτρας ἄνωθεν ἐπιῤῥίπτοντες, συνεκεραύνωσαν τ ο ὺ ς ἡ γ ε μ ό ν α ς (οὕτω γρ. πληθυντ. ὡς δηλοῖ καὶ τὸ τ ὰ ς κ ε φ α λ ὰ ς, ἐφεξῆς· βλ. Houbigant. Not. Crit. p. 455). Αὐτὸς δὲ ὁ Ἀντίοχος διασωθείς, ἀ σ χ ή μ ο ν α π ο ι ε ῖ τ α ι τ ὴ ν ἀ ν α ζ υ γ ὴ ν (Β. θ. 2: Α. ς. 4) μετὰ λύπης μεγάλης, καὶ φεύγων ἔπεσεν ἐκ τοῦ ἅρματος (Β. θ, 7), καὶ νόσῳ περιπίπτει, καὶ τελευτᾷ (Α. Ϛ, 8. Ἰώσηπ. Ἀρχ. αὐτ.). Ἡ γοῦν ἐπιστολὴ (Β. α, 16 κτλ.) ἔσπευσεν (ὡς ἔδει) συντόμως εὐαγγελίσασθαι τὸν ὄλεθρον τοῦ τυράννου, δεικνύουσα μόνον, ὅτι πάλιν ἱεροσυλῆσαι πειραθεὶς (καί τοι τῆς ἰδίας αὐτοῦ θρησκείας εἰδωλεῖον), ἀπέλαβεν ἐν αὐτῷ τὰ ἐπίχειρα τῆς πρώτης τοῦ θείου ναοῦ ἱεροσυλίας (βλ. καὶ Πολύβ. παρ' Ἰωσήπῳ, αὐτ. καὶ Πολυβ. Ἐκλογ. τόμ. γ. σελ. 111. Vindob.). Μέμνηται δὲ Πολυβίου καὶ Διοδώρου καὶ Ἱερώνυμος (εἰς Δανιὴλ ια, 31), ὡς μαρτυρούντων ταύτην τὴν Ἀντιόχου πεῖραν εἰς τὸ συλῆσαι τὸν ἐν Ἐλυμαΐδι ναὸν τῆς Ἀρτέμιδος· ὡς καὶ πρότερον ὁ πατὴρ αὐτοῦ Ἀντίοχος ὁ Μέγας συλήσας τὸν ἐν Ἐλυμαΐδι τοῦ Βήλου ναόν, ἀπώλετο (βλ. καὶ Στράβ. ις. 744. Διόδωρ, Ἐκλ. β. Iustin. 32. 2. Ἱερώνυμ. εἰς Δαν. ια, 17). Ταῦτα παρέργως περὶ τῆς Β,

αὐτὴν πάλιν τὴν νοθείαν τῆς ἐπιστολῆς (ἀφ' ἧς δῆθεν ὁ πατὴρ τῶν Ἐξηγήσεων ἐδανείσθη τ' ὄνομα τοῦ Ἀριστοβούλου), ἔῤῥει λοιπὸν καὶ τοῦτο τὸ δυσειδὲς καὶ κακέμφατον τεκμήριον, ἐξίτηλον, ὡς κηλὶς ἀσβόλης, ἐξαλειφθέν! Καί τοι καὶ καθ' ἑαυτὸν ὁ λόγος οὗτος θεωρούμενος, κοῦφος φαίνεται καὶ ψυχρός· « Καλὸς, *μὰ τὸν Ἡρακλῆν* » (λέγει πρὸς τὸν Ὅδιον χαριεντιζόμενος ὁ δριμὺς Βαταυὸς), πάνυ καλὸς λόγος ἐκίνησε τὸν πατέρα τῶν Ἐξηγήσεων ἐκδοῦναι ταύτας ἐπ' ὀνόματι τοῦ Ἀριστοβούλου, διότι ἀνέγνω τ' ὄνομά τινος *Ἀριστοβούλου διδασκάλου τοῦ βασιλέως*, ἔν τινι ἐπιστολῇ, καὶ ταύτῃ νόθῳ καὶ σκοτίᾳ! Ἀλλ' ὤφειλε κἂν Ὅδιος εἰπεῖν, ὅτι διὰ τοῦτο πέπλασται καὶ αὕτη δὴ ἡ ἐπιστολὴ, ἵνα κόσμον καὶ αὐτὴ καὶ κάλλος εἰς τὰς Ἐξηγήσεις, ὡς ἐκ τοῦ ἀξιώματος *τοῦ βασιλικοῦ διδασκάλου*, περιποιήσῃ! Ὤφειλεν ὁρίσαι καὶ πότε ἄρα, καὶ ὑπὸ ποίου τινὸς Ἰουδαίου τάχα, ἢ χριστιανοῦ, διεῤῥαψῳδήθη τὸ πλάσμα τοῦτο τῆς ἐπιστολῆς; — ἆρά γε καὶ αὕτη (καθὼς εἶπε καὶ τὰς *ἐξηγήσεις*) ἐπλάσθη κατὰ τὸν β, αἰῶνα μετὰ Χ.; — Καὶ ὅμως τὸ γνήσιον καὶ ταύτης (ὡς καὶ τῆς πρώτης) ἐπιστολῆς ἀποδείκνυσι καὶ αὐτὸς ὁ ἄπλαστος καὶ ἀρχαϊκὸς τοῦ λόγου χαρακτὴρ, καὶ τὸ *τῶν λέξεων ἄτυφον, καὶ τῶν εἰπόντων τὸ ἀνεπιτήδευτον*. Ἀμφότεραι ἐστάλησαν ἐξ Ἱεροσολύμων πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ Ἰουδαίους, γεγραμμέναι κατὰ τὸ ὕφος τῆς Α, τῶν Μακκαβαίων, ἥτις « *κατὰ τὸ τῆς θείας Γραφῆς ἀρχαϊκὸν ἰδίωμα τὸν χαρακτῆρα φέρει* » (α).

Ἔσχατον δεῖγμα τῆς νοθείας τῶν Ἀριστοβούλου Ἐξηγήσεων εἶπον οἱ περὶ τὸν Ὅδιον, τὴν παντελῆ τοῦ Ἰωσήπου περὶ τούτων σιωπήν. — « Ἀλλὰ διὰ ποίαν αἰτίαν ὤφειλεν ἐξ ἀνάγκης ἐπιμνησθῆναι τῶν Ἀριστοβουλείων Ἐξηγήσεων ὁ Ἰώσηπος, ὅστις οὐδ' αὐ-

---

τῶν Μακκαβαίων. (βλ. τοὺς Ὑπομνηματιστάς). Ὁ δὲ Βανδάλης (καὶ εἴ τις ἄλλος αὐτῷ σύμψηφος) φαίνεται γελοῖος, ἀναιρῶν δῆθεν τὰ τῆς ἐπιστολῆς (καὶ τὰ ἐν Β, κεφ. 7, κτξ.) ἐκ τῶν τοῦ Ἰωσήπου (Ἀρχ. ιϐ, 9. ἅπερ καὶ αὐτὰ περικόψας ἐξέφερεν!)· ὡς ἂν εἴπερ ὁ Ἰώσηπος οὔτ' ἐγίνωσκεν, οὔτε ἐτίμα τὴν, ἣν οἱ βανδαλίζοντες καταφρονοῦσιν ἱερὰν καὶ παρ' Ἑβραίοις τιμίαν Β. βίβλον τῶν Μακκαβαίων!

(α) Βλ. Valcken. De Aristobul. Jud. p. 36, 38. πρβλ. καὶ p. 34.

τοῦ τοῦ Φίλωνος ἐμνημόνευσεν οὐδεμίαν συγγραφήν; Εἰ δὲ καὶ μὴ ἀπεστέλλετο πρέσβυς πρὸς τὸν Καίσαρα Γάϊον ὁ Φίλων, οὐδ' ἂν αὐτὸ τὸ ὄνομα τοῦ Φίλωνος εὕρισκες παρ' Ἰωσήπῳ ». Ταῦτα συντόμως ἅμα καὶ σαφῶς ἀπήντησε πρὸς Ὅδιον Οὐόσσιος, ἐν ὀλίγοις πολλά. « Ἀλλ' ἀρκεῖ (πάλιν ἐπανέλαβεν Ὅδιος), ἀρκεῖ κἂν, ὅτι που τοῦ Φίλωνος ὁ Ἰώσηπος ἐπεμνήσθη ». — Ἀρκεῖ πάντως (ἀπαντῶμεν ἡμεῖς), ὅσον εἰς γνῶσιν ἑνὸς καὶ μόνου χαρακτῆρος τοῦ Φίλωνος, καθὸ δηλονότι *ἐνδόξου καὶ φιλοσόφου πρεσβευτοῦ γενομένου* (Ἰώσηπ. Ἀρχ. ΙΗ. η. §. 1)· ἀλλὰ καθὸ συγγραφέως, τόσον βαθέως καὶ περὶ τοῦ Φίλωνος ἀπεσιώπησεν ὁ Ἰώσηπος, ὅσον καὶ περὶ τοῦ Ἀριστοβούλου. Ὥστε πρεσβευτὴν μὲν Ἰουδαῖον ἔχομεν Φίλωνα ἐκ τοῦ Ἰωσήπου, συγγραφέα δὲ οὐδένα. Καὶ κινδυνεύουσιν ἄρα (κατὰ τὴν Ὀδίου κρίσιν) καὶ τὰ τοῦ Φίλωνος εἰς τὸν Μωσαϊκὸν νόμον ὑπομνήματα νόθα φαίνεσθαι καὶ ὑποβολιμαῖα, ὡς καὶ τοῦ Ἀριστοβούλου αἱ Ἐξηγήσεις, ἕνεκά γε ταύτης τῆς Ἰωσήπου σιωπῆς! Ἢ μήπως οὐδὲ τὰ Φιλώνεια ὑπομνήματα ἀνέγνω ὁ Ἰώσηπος; οὐδ' ὑπῆρχον ὅλως ἐπ' αὐτοῦ ἐκδεδομέναι αἱ τοῦ γηραιοῦ καὶ ζῶντος ἔτι, ὁπότ' αὐτὸς ἐγεννήθη, διασημοτάτου Φίλωνος περικλεεῖς καὶ περιᾳδόμεναι συγγραφαί; Καί τοι τί Φίλωνας λέγομεν; οὐδ' αὐτὴν τὴν ἄγαν καὶ παρ' Ἰουδαίοις σεπτὴν καὶ κανονικὴν *βίβλον τοῦ Ἰὼβ* οὐδόλως ἐμνημόνευσεν ὁ Ἰώσηπος (τοὐλάχιστον ἐν τοῖς ἀποσῳθεῖσιν αὐτοῦ συγγράμμασιν), οὐδ' αὐτὸ τὸ πρόσωπον τοῦ μακαρίου καὶ θεοστέπτου πολύτλα, τοῦ πέμπτου ἀπὸ Ἀβραὰμ, οὐδὲ τ' ὄνομα γοῦν ἀνέφερεν ὁλοτελῶς ὁ Ἰουδαῖος ἀρχαιολόγος (α). Τί λοιπὸν ποιήσεις Ὅδιε; νόθον ὑποπτεύσεις καὶ ταύτην τὴν θεόπνευστον βίβλον, καὶ τ' ὄνομα τὸ τοῦ Ἰὼβ ἄγνωστον παντάπασιν, ἢ ψευδόπλαστον, διότι μηδὲ περὶ τούτων μηδεμίαν ἐποιήσατο μνείαν ὁ Ἰώσηπος; Εἰ δὲ καὶ θείαν οὖσαν, καὶ θρησκευτικὸν μελέτημα, τὴν βίβλον τοῦ Ἰὼβ παρῆλθε σιωπῶν ὁ ἱστορικὸς, πολὺ γ' ἂν εὐχερέστερον ἠδύνατο σιωπῆσαι τὰς Ἀριστοβούλου Ἐξηγήσεις· καί τοι καὶ ταύτας πολ-

(α) Βλ. J. B. Ottij annot. in Fl. Joseph. vol. 2. p. 305. Hav.

λάκις ἀναγνοὺς, καὶ αὐτὸ δὲ τ᾽ ὄνομα τοῦ *Ἀριστοβούλου, τοῦ διδασκάλου Πτολεμαίου τοῦ βασιλέως*, διηνεκῶς καθορῶν ἐγκεχαραγμένον ἐν τῇ τῆς Β, τῶν Μακκαβαίων ἐπιστολῇ. Ὅτι δὲ καὶ ταύτην ἀνεγίνωσκεν ὁ Ἰώσηπος ἔν τε τοῖς Μακκαβαϊκοῖς (ὧν συνέγραψε τὴν ἐπιτομὴν) γεγραμμένην, τηρουμένην δὲ πάντως καὶ ἐν αὐτοῖς τοῖς ἔτι πρὸ τῆς ἁλώσεως ὑφεστῶσιν ἀρχείοις τῆς πόλεως τῶν Ἱεροσολύμων, οὐδ᾽ αὐτὸς ἂν Ὅδιος ἔξαρνος γένοιτο. Εἰ μή πως, τυχὸν, εἴποιεν οἱ Ὀδιακοὶ, ὅτι καὶ ἀναγινώσκων ἐν τῇ ἐπιστολῇ τὸν Ἀριστόβουλον ὁ Ἰώσηπος, ἄλλον τινὰ τοῦτον ὑπελάμβανε, διάφορον παντάπασι παρὰ τὸν ὁμώνυμον πατέρα τῶν δῆθεν μετ᾽ αὐτὸν ἐκδεδομένων Ἐξηγήσεων. Ἀλλὰ κἂν καὶ τοῦτο δοθῇ τὸ παράδοξον, εὑρεθήσεται λοιπὸν ὁ Ἰώσηπος καὶ ἄλλον ἐκ τῶν ἐπισημοτάτων τοῦ γένους αὐτοῦ σοφῶν ἀποσιωπήσας, τοῦτον δὴ τὸν Ἀριστόβουλον, *τὸν διδάσκαλον Πτολεμαίου τοῦ βασιλέως*, ὃν Ἰούδας ἐτίμησεν ἐκεῖνος ὁ Μακκαβαῖος, καὶ πᾶσα ἡ τότε πολιτεία τῶν Ἰουδαίων ἡ γράψασα τὴν ἐπιστολήν. Ἔπειτα, μὴ γὰρ ἔγραψε κατάλογον ὅλων τῶν ὁμογενῶν αὐτοῦ πεπαιδευμένων ὁ Ἰώσηπος, καὶ τοὺς ἄλλους ἅπαντας καὶ τὰς τούτων συγγραφὰς ἀριθμήσας, παρέλιπε μόνον τὸν Ἀριστόβουλον; (καίτοι καὶ τούτους ἐξεπίτηδες ἱστορῶν, ὑπέκειτ᾽ ἂν πάλιν, ὡς ἄνθρωπος, εἰς λήθην τινῶν)· ἀλλ᾽ αὐτὸς ὀλιγίστους ἐκ τῶν ὁμοφύλων ὠνόμασε συγγραφέων, εἴ τινι συνήντησε κατὰ τὸν δρόμον τῆς ἱστορίας. Τῶν δ᾽ εἰς τὸν Μωσέως νόμον Ἐξηγήσεων τοῦ Ἀριστοβούλου τότε μόνον ὤφειλεν ἐπιμνησθῆναι ὁ Ἰώσηπος, εἰ συνέγραφε καὶ αὐτὸς (ὡς συνέγραψεν ἴσως, καὶ ἀπώλετο) πραγματείαν, ἐξηγῶν τὰς περὶ Θεοῦ καὶ περὶ νόμων δόξας τῶν Ἰουδαίων (α). Πλὴν ἀλλὰ καὶ ἐν τῇ Ἀρχαιολογίᾳ (αὐτόθ.) φαίνεταί πως τὰς Ἀριστοβούλου Ἐξηγήσεις ἀνωνύμως ὑπαινιττόμενος, ἐν οἷς λέγει ὅτι, « Πολλῶν πονησάντων περὶ τὴν ἄσκη-

---

(α) « Προήρημαι δὲ συγγράψαι κατὰ τὰς ἡμετέρας δόξας τῶν Ἰουδαίων ἐν Δ, βιβλίοις περὶ Θεοῦ καὶ τῆς οὐσίας αὐτοῦ, καὶ περὶ τῶν νόμων, διὰ τί κατ᾽ αὐτοὺς τὰ μὲν ἔξεστιν ἡμῖν ποιεῖν, τὰ δὲ κεκώλυται ». Ἰώσηπ. Ἀρχ. Κ. ἐν τῷ τέλει. προλ. καὶ Ἀρχαιολ. προοίμ. καὶ Εὐσεβ. Εὐ. Προπ. ή, 8. καὶ Νικηφ. Ἐκκλ. ἱστορ. β. ι8.

28*

σιν ταύτην *(τὴν τῶν ἱερῶν γραμμάτων ἑρμηνείαν)*, μόλις τινὲς, *δύο ἢ τρεῖς*, κατώρθωσαν ». Ὅθεν πάλιν ὁ Βαταυὸς πρὸς τὸν Ἄγγλον κριτικὸν ἀποτεινόμενος· « Εἴκοσιν ἔτη (λέγει) ὁ Ὅδιος ἠσχολήθη περὶ τὴν συγγραφὴν τῆς (κατ᾽ Ἀριστέου) διατριβῆς, ἀλλ᾽ εἰ καὶ ἄλλον τοσοῦτον ἐσχόλαζε χρόνον, διασκεπτόμενος πρότερον ἡσυχώτερον, καὶ ἐπιθεωρῶν ὅσα μετ᾽ ὀργῆς, Θὐοσσίου καταφερόμενος, ἔγραψε περί τε τῶν ἄλλων ἁπάντων, καὶ περὶ ταύτης δὴ τῆς ἐπ᾽ Ἀριστοβούλῳ τοῦ Ἰωσήπου σιγῆς, οὐκ ἂν ἔγραφεν ὁ ἄνθρωπος ὅτι « *διὰ ταύτην δὴ τὴν Ἰωσήπου σιωπὴν, περὶ τοῦ Ἀριστοβούλου τούτου διηνεκῶς ἀμφιβάλλων διατελέσω* »! Πῶς; ὅσων ὁ Ἰώσηπος ἐν ταῖς ἱστορίαις οὐκ ἐπεμνήσθη, περὶ τούτων πάντων ἀμφιβαλοῦμεν εἰ καὶ ὅλως ὑπῆρξαν, ἐὰν ὁπωσδήποτε παραβάλλωνται σχετικῶς πρὸς τὸν Ἀριστόβουλον; Καὶ μήπως ἐμνημόνευσεν ὁ ἀρχαιολόγος τοὺς ἄλλους τοὺς ὁμοθρήσκους καὶ ὁμοφύλους αὐτῷ σοφοὺς, ἵνα μηδὲ τὸν Ἀριστόβουλον παραδράμῃ; ἀλλ᾽ ἔγω γε συγγραφέα παρόμοιον Ἀριστοβούλου (φιλόσοφον καὶ τῶν Γραφῶν ἐξηγητὴν) οὐδ᾽ ἕνα γοῦν ἐγνώρισα παρ᾽ Ἰωσήπῳ μνημονευθέντα. Πολλὰ λέγει πρὸς Ἰοῦστον Ἰουδαῖον, τὴν πατρίδα Τιβεριέα, σύγχρονον αὐτῷ ἱστορικὸν, περὶ τῶν ἐν τῷ ἰουδαϊκῷ πολέμῳ πεπραγμένων, ἀλλὰ καὶ ταῦτα γέγραφεν, ἵνα ψευδόμενον αὐτὸν ἐξελέγξῃ (α). Ἀρισταῖον δὲ καὶ Κλεόδημον καὶ Εὐπόλεμον καὶ Ἑκαταῖον, περὶ τῶν ἰουδαϊκῶν πραγμάτων διαλαβόντας, μνημονεύει ὡς ἐθνικούς. Ποῦ λοιπὸν ὑπῆρχε τόπος διὰ τὸν Ἀριστόβουλον; κτλ. Καὶ ταῦτα μὲν ἔκρινεν ὁ Οὐαλκενῆρος (β).

Ἀλλ᾽ εἴ γε, τέλος, καὶ ἀνέφερεν ὀνομαστὶ τὸν Ἀριστόβουλον ὁ Ἰώσηπος, μήπως, ἀναγνῶστα, νομίζεις, ὅτι ἔμελλεν ἀγαπήσειν ἀρκεσθὲν εἰς ταύτην τὴν μαρτυρίαν τὸ φίλερι καὶ δύσκολον φῦλον τῶν περὶ τὸν Ὅδιον τούτων *δυσμενιδῶν;* Εὐθὺς ἂν πάλιν ἔκραζον, ὅτι καὶ Ἰώσηπος (ὡς καὶ Κλήμης καὶ Εὐσέβιος) ἠπατήθη, πιστεύ-

---

(α) Ἰώσηπ. ἐν τῷ αὐτοῦ βίῳ §. ξε. σελ. 31. τόμ. β. Hav. πρβλ. Menag. in Laert. Lib. II. Segm. 41. pag. 91. — (β) Valcken. l. c. p. 24.

σας τῇ δῆθεν πλαστῇ ἐκείνῃ ἐπιστολῇ τῆς Β, τῶν Μακκαβαίων. Καὶ τί λέγομεν Ἀριστόβουλον; Αὐτὸν τὸν Ἀριστέα (δι᾽ ὃν βλασφημεῖται καὶ Ἀριστόβουλος) ὅλον σχεδὸν ἀντιγράψας ἐπεκύρωσεν ὁ Ἰώσηπος, καὶ ὅμως οὐδόλως ἴσχυσε μαλάξαι τὴν κατ᾽ Ἀριστέου τραχυνθεῖσαν διάθεσιν τῶν κριτικῶν! καὶ νῦν κάθηνται προβάλλοντες τὴν Ἰωσήπου σιωπὴν πρὸς ἀπόδειξιν, ὅτι οὐδεὶς ὑπῆρξεν ἄλλος συγγραφεὺς (αὐτὸς τουτέστιν ὁ Ἀριστόβουλος) ἐπικυρῶν παρομοίως κἀκεῖνος τὸν Ἀριστέα! Ἀλλ᾽ εἴπερ ὁ Ἰώσηπος ἀπιστεῖται στεντοροφώνως ὑπὲρ Ἀριστέου μαρτυρῶν, κρίνεται λοιπὸν ἀξιόπιστος ἡ τούτου περὶ ἄλλου συνομολογοῦντος μάρτυρος τυχαία σιωπὴ πρὸς ἀναίρεσιν τοῦ Ἀριστέου;

Τί δ᾽ ἄν τις εἴποι καὶ περὶ τοῦ χρόνου, καθ᾽ ὃν ὠνειρεύθησαν πλασθείσας τὰς Ἀριστοβουλίνας συγγραφάς; Πρῶτος πάντων (λέγουσιν) ὁ Κλήμης τούτων ἐμνημόνευσεν ὁ Στρωματεύς. — Ὡς ἄν, (ἀπαντᾷ μειδιῶν ὁ Οὐαλκενῆρος σελ. 23—36, ὅθεν ἀπανθίζομεν τὰς προσφορωτέρας αὐτοῦ γνώμας), ὡς ἂν εἴπερ εἴχομεν ἑκατοντάδας ὅλας συγγραφέων τοῦ β, αἰῶνος, οἵτινες ὤφειλον ἐξάπαντος ἐπιμνησθῆναι τοῦ Ἀριστοβούλου, καὶ ὅμως οὐκ ἐπεμνήσθησαν! Ἀλλὰ τῶν μὲν κατ᾽ ἐκεῖνον τὸν χρόνον χριστιανῶν συγγραφέων ὀλιγώτατα συγγράμματα διεσώθησαν καὶ εἰς ἡμᾶς. Καὶ τοὺς μὲν πατέρας τοὺς Ἀποστολικοὺς (τὸν θεῖον Ἰγνάτιον, καὶ Πολύκαρπον, καὶ τὸν Ῥώμης Κλήμεντα, κτλ.), πάντως οὐδεὶς ἀπαιτήσει μνείαν Ἀριστοβούλου ἐν ταῖς ἀποστολικαῖς αὐτῶν συγγραφαῖς. Ἴσως δέ τις εἴπῃ τὸν Ἀθηναγόραν, καὶ Θεόφιλον, καὶ Τατιανὸν [πρόσθες καὶ *τὸν Εἰρηναῖον*]· ἀλλὰ καὶ οὗτοι Κλήμεντος ἦσαν σύγχρονοι· καὶ ἔπειτα, οὐδὲ τὰς Φίλωνος συγγραφὰς ἐμνημόνευσαν οὗτοι, οὐδ᾽ αὐτὴν Ἰωσήπου τὴν Ἀρχαιολογίαν (ὅτι μὴ Εἰρηναῖος ἅπαξ καὶ μόνος)· διὰ τί λοιπὸν ὤφειλον ἐξάπαντος ἐξαιρέτως ὀνομάσαι τὰς ἐξηγητικὰς βίβλους τοῦ Ἀριστοβούλου; Τὸν δὲ Τερτυλλιανὸν οὐδεὶς ἂν εἴποι (ὡς ἱκανῶς μαρτυροῦντα περὶ τοῦ Ἀριστέου, δι᾽ ὃν ἀπιστεῖται ὁ Ἀριστόβουλος). Μένει λοιπὸν ὁ μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος· ἀλλὰ περὶ τούτου μᾶλλον (λέγει) θαυμάζω, ὅτι καὶ ἄλλους τοσου-

τους ἐμνημόνευσε συγγραφεῖς, ἢ ὅτι παρέλιπεν ἀμνημονεύτους ὡς μηδ', ἴσως, ἀνέγνω ἐξηγήσεις τοῦ Ἀριστοβούλου. [Ἔπειτα καὶ ἄλλως, ὁ θεῖος Ἰουστῖνος ἐμαρτύρησε τῷ 164. μ. Χ. τότε δὲ καὶ ὁ Κλήμης ἤνθει, νέος τὴν ἡλικίαν]. Ἀλλ' ἴσως Ἰουδαίους τινὰς Ὄδιος ἀπῄτει συγγραφεῖς, μνημονεύοντας Ἀριστοβούλου πρὸ τοῦ Κλήμεντος. Ἀλλὰ καὶ οὗτοί εἰσιν ὀλίγιστοι· οὐδένας γὰρ ἄλλους ἔχομεν εἰπεῖν σῳζομένους, εἰ μὴ τοὺς πάντας δύω καὶ μόνους, τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον. Καὶ περὶ τούτου μὲν προείπομεν· τὸ δὲ Φίλωνος ὄνομα οὐδ' ἔψαυσεν ὅλως ἡ εὐλαβὴς τοῦ Ὀδίου περίνοια, καλῶς γε ποιοῦσα! διότι ὁ Φίλων οὐδὲ γοῦν ἕνα τινὰ τῶν ὁμογενῶν ὠνόμασε συγγραφέων (πλὴν τῶν τῆς θείας Γραφῆς)· ἀλλ' οὐδ' ἐκ τῶν ἐθνικῶν αὐτῶν, πλὴν ὀλίγων τινῶν, ἐξήνεγκε μαρτυρίας. Καθόλου δὲ ποῖός τις ἠδύνατο συγγράψαι κατὰ τὸν β, αἰῶνα τὰς Ἀριστοβούλου ταύτας ἐξηγήσεις; Χριστιανός τις; ἢ Ἰουδαῖος; Ἀλλὰ χριστιανοῦ μὲν οὐκ ἂν εἴποιεν αὐτὰς ἔργον (διότι οἱ τότε χριστιανοὶ καὶ σοφοὶ Πατέρες τῆς Ἐκκλησίας, καὶ πρῶτος ὁ Κλήμης, καὶ Ὠριγένης ὁ τούτου μαθητής, μνημονεύουσι *τὴν τῶν ἱερῶν νόμων ἑρμηνείαν* ὡς Ἰουδαίου σύγγραμμα). Ἰουδαῖός τις λοιπὸν ὑπῆρξεν ὁ συγγραφεύς. Ἀλλὰ πρός τινα δὴ σκοπόν, ἐν ποίᾳ δ' Ἑλληνίδι σχολῇ παιδευθεὶς ἐπὶ τοῦ β, αἰῶνος ὁ Ἰουδαῖος οὗτος, ὁ περιπατητικὸς φιλόσοφος, συνέταττεν οὕτω γλαφυρὰς καὶ πολυμαθεῖς ἐξηγήσεις, μεστὰς ἑλληνισμοῦ, καὶ πλήρεις μαρτυριῶν πολλῶν ἀρχαίων Ἑλλήνων, συγγραφέων καὶ ποιητῶν; Τοιαῦτα τῶν Γραφῶν ὑπομνήματα κατὰ μὲν τὸ 175 π. Χ. πάντως ἠδύνατο συγγράφειν Ἰουδαῖος ἀνὴρ ἐν Ἀλεξανδρείᾳ φιλοσοφῶν, καὶ θεοπρεπέστερον διὰ τῆς ἀλληγορικῆς φιλοσοφίας τὰς δόξας τὰς περὶ Θεοῦ καὶ τοὺς πατρῴους νόμους ἐξηγῶν, χάριν τε τῶν ἰδίων ὁμογενῶν, τῶν Ἑλληνιστῶν, καὶ μάλιστα καταιδῶν καὶ ἐπιστομίζων τοὺς τῶν ἀκμαζόντων τότε Ἰουδαίων καταφρονοῦντας ἐθνικούς· καὶ ταῦτα συγγράφειν ἠδύνατο μάλιστα, βασιλέα μαθητὴν καὶ φίλον ἔχων εὐνοοῦντα τοῖς Ἰουδαίοις, τὸν φιλάνθρωπον Φιλομήτορα. Κατὰ δὲ τὸν β, αἰῶνα, τοῦ ναοῦ καταστραφέντος ἤδη, καὶ τῶν Ἰουδαίων οὕτως ἀθλίως διασπαρέντων,

πρὸς τί τέλος ὁ Ἰουδαῖος οὗτος ὁ πολυμαθὴς ἐκοπίαζε, πλαστουργῶν τοιαύτην συγγραφὴν ὡς ἐκ προσώπου τοῦ Ἀριστοβούλου, οὗτινος εὗρηκε τὸ ὄνομα ἐν τῇ Μακκαβαΐδι ἐπιστολῇ; Καὶ φέρονται μὲν ψευδεπίγραφά τινα τοῦ β, αἰῶνος συγγράμματα (περὶ ὧν Ὄδιος ἐπεμνήσθη)· ἀλλ' οὐδὲν τούτων (φησὶν ὁ Οὐαλκενῆρος) ὁμοιάζει πρὸς τὰς Ἀριστοβούλου Ἐξηγήσεις, (ὅσον περὶ τούτων ἔξεστι κρίνειν ἐκ τῶν ἀποσωθέντων χωρίων), οὔτε κατὰ τὴν φράσιν, οὔτε κατὰ τὴν διδασκαλίαν καὶ τὴν ὑπόθεσιν. Πρόσθες, ἀναγνῶστα, τοῖς Οὐαλκενήρου τούτοις, ὅτι καὶ τῶν μνημονευομένων ψευδεπιγράφων τὴν νοθείαν πρῶτοι κατεξήλεγξαν αὐτοὶ πάλιν οἱ πατέρες ἐκεῖνοι, οἵτινες ἀνέφερον ὡς γνησίας καὶ κυρίας τὰς Ἀριστοβούλου συγγραφάς (α). Εἰ δὲ καὶ αὗται ἀποδεικνύουσι τὴν ἑλληνικὴν φιλοσοφίαν πολλὰ παρὰ τῶν θείων Γραφῶν καὶ τῆς ἀρχεγόνου Μωσαϊκῆς θεοσοφίας δανεισαμένην, διὰ τοῦτο λοιπὸν καὶ αὗται συνεγράφησαν κατὰ τὸν β, αἰῶνα, ὁπότε Κλήμης καὶ οἱ τούτου σύγχρονοι διδάσκαλοι τῆς Ἐκκλησίας τὴν αὐτὴν ἀλήθειαν ἀπεδείκνυον; Παράδοξος τῇ ἀληθείᾳ χρονικοῦ γνωρίσματος χαρακτήρ! Τὸ αὐτὸ, καὶ ὡς ἂν εἴ τις ἔλεγεν, ὅτι καὶ τὰ βιβλία τοῦ Πλάτωνος συνεγράφησαν πολλοὺς ὕστερον αἰῶνας, ὁπότε καὶ ἄλλοι τινὲς παρομοίας ἐξέδωκαν πραγματείας! Καὶ διὰ τί μὴ μᾶλλον αἱ ἐξηγήσεις ἐμφαίνουσι καὶ κατὰ τοῦτο τοὺς Ἀριστοβούλου χρόνους, καὶ τοὺς ἔτι προγενεστέρους, (καὶ μάλιστα τοὺς ἀπ' Ἀλεξάνδρου, καὶ τοῦ Α, Πτολεμαίου, καὶ ἀπὸ τῆς ἑρμηνείας τῶν Γραφῶν); Τότε γὰρ οἱ ἐν Συρίᾳ καὶ μάλιστα οἱ Ἀλεξανδρινοὶ καὶ οἱ ἐν Αἰγύπτῳ Ἰουδαῖοι, ἑλληνικῆς γευσάμενοι σοφίας, ἀπεδείκνυον τοὺς ἐπὶ λόγων δυνάμει βρενθυομένους Ἕλληνας μηδὲν τῆς ἀληθείας ἔχοντας μάθημα πολιὸν, ὅ,τι μὴ ἐπήγασεν ἐκ τῆς αἰωνίου σοφίας καὶ τῶν νόμων τοῦ παρ' αὐτοῖς *ἀγνώστου Θεοῦ!* Καὶ τοῦτο πολὺ βεβαιότερον ἀπεφαίνοντο

(α) « Ἀμύθητον πλῆθος ἀποκρύφων καὶ νόθων γραφῶν, ἃς αὐτοὶ ἔπλασαν, προφέρουσιν εἰς κατάπληξιν τῶν ἀνοήτων, καὶ τὰ τῆς ἀληθείας μὴ ἐπισταμένων γράμματα ». Ὠριγέν. Α. 17. Τοιαῦτα καὶ Κλήμης πολλαχοῦ, καὶ Εὐσέβιος (Ἐκκ. ἱστορ. κτλ

καὶ ἀληθέστερον παρὰ τοὺς παλαιοὺς Αἰγυπτίους· οἵτινες ἔχοντες κἀκεῖνοι μετὰ τῆς εἰδωλοθρήσκου πλάνης ἀνεμιμιγμένα πολλὰ καὶ τῆς θείας νομοθεσίας καὶ τῶν Πατριαρχικῶν παραδόσεων ἀρχαῖα καὶ σεμνότατα θεωρήματα, ἔλεγον πρὸς τὸν Σόλωνα, ὅτι « Ἕλληνες ὑμεῖς ἀεὶ παῖδές ἐστε. — Οὐδ᾽ ἔστι παρ᾽ ὑμῖν *χρόνῳ πολιὸν μάθημα* » (Πλάτων. Τιμ. πρβ. Κλήμ. Στρ. Α. σελ. 261). Τὴν δὲ τοιαύτην τῶν σοφῶν ἑλληνιστῶν Ἰουδαίων ἐλεγκτικὴν διδασκαλίαν, ἐκ τῶν προγόνων κατιοῦσαν, καὶ Φίλων διεδέξατο καὶ Ἰώσηπος· οἵτινες καὶ αὐτῶν τῶν Αἰγυπτίων τὰς μεμυθουργημένας πλάνας ἐξήλεγχον ἐκ τῶν θείων Γραφῶν.

§. ιϐ΄. Ὁ δὲ κλεινὸς Ὅδιος καὶ ἄλλην ἐν ὑποσημειώσει προσέθηκε περὶ τοῦ Ἀριστοβούλου γνώμην (σελ. 54)· ὅτι τάχα « σφάλλεται ὁ Εὐσέβιος, τοῦτον δὴ τὸν πατέρα τῶν *Ἐξηγήσεων* Ἀριστόβουλον ἕνα ποιῶν καὶ τὸν αὐτὸν *Ἀριστοβούλῳ τῷ Περιπατητικῷ*, ὅστις οὐκ Ἰουδαῖος ὑπῆρχεν ἀλλ᾽ ἐθνικός. Καὶ τοῦτο (λέγει) συνάγεται ἐκ τοῦ τρόπου, καθ᾽ ὃν ὁ Ἀριστόβουλος οὗτος ὁ ἐθνικὸς μνημονεύει τοὺς Ἰουδαίους ἔν τινι ῥήσει παρὰ Κυρίλλῳ τῷ Ἀλεξανδρείας περισωθείσῃ, τῇ ἐφεξῆς. « Ἀριστόβουλος δὲ ὁ Περιπατητικὸς ἀλλαχοῦ οὕτω λέγει· Ἅπαντα μέν τοι τὰ περὶ φύσεως εἰρημένα παρὰ τοῖς ἀρχαίοις λέγεται καὶ παρὰ τοῖς ἔξω τῆς Ἑλλάδος φιλοσοφοῦσι, τὰ μὲν παρ᾽ Ἰνδοῖς ὑπὸ τῶν Βραχμάνων, τὰ δὲ *ἐν τῇ Συρίᾳ ὑπὸ τῶν καλουμένων Ἰουδαίων* » (α). Περὶ τούτων (λέγει Ὅδιος) οὐκ ἂν οὕτως ἐλάλησεν Ἰουδαῖος ἀνήρ. Ὁ δὲ πατὴρ τῶν Ἐξηγήσεων ἐν τοῖς παρ᾽ Εὐσεβίῳ ἀποσπάσμασι πρωτοπροσώπως ἐκφράζεται λέγων, « *ἡμεῖς* » ἢ « *οἱ ἡμέτεροι πολῖται* », κτλ. Ἀλλὰ πρῶτον μὲν (ἀπαντῶμεν), καὶ εἴπερ ἀληθῶς ὑπῆρχεν ἡ μαρτυρία τοιαύτη, οἵαν Ὅδιος ἐξέλαβε, καὶ οὕτως ἐπλανήθη τῆς ὀρθῆς σκέψεως. Ὁ *ἐξ Ἑβραίων φιλόσοφος* Ἀριστόβουλος ἠδύνατο λέγειν ἀπολύτως *τοὺς καλουμένους Ἰουδαίους*, οὐχ ὡς ἀλλοεθνεῖς διαγράφων, ἀλλὰ διαστέλλων αὐτοὺς διὰ τῆς ἰδίας αὐτῶν *κλήσεως* τῆς ἐθνικῆς ἀπὸ τῶν

(α) Ἀριστόβουλ. π. Κυρίλ. Ἀλεξ. κατὰ Ἰουλιαν. Δ. σελ. 134.

ἄλλων κατοίκων τῆς *Συρίας*, ἧς μέρος ἦν καὶ ἡ Ἰουδαία (Σράβ. ΙϚ· σελ. 760· ὅθεν καὶ Ἡρόδοτος *Σύρους τοὺς ἐν τῇ Παλαιστίνῃ* λέγων, τοὺς Ἰουδαίους ἐνόει, παρ' Ἰωσήπῳ κατὰ Ἀπίων. α. §. κϐ). Ὁ δὲ ὅδιος ἤθελεν ἄρα ἵνα καὶ ἑαυτὸν, Ἀστυδάμαντος τρόπον, ὁ φιλόσοφος ἀναμίξῃ, λέγων· « Τὰ δὲ (φιλοσοφεῖται) *ἐν Συρίᾳ, ὑφ' ἡμῶν* τῶν καλουμένων Ἰουδαίων (ἤ τι ἄλλο τοιοῦτο). Ἀλλ' ὅσον ἐκ τῆς φράσεως ταύτης τοσοῦτον Ἰουδαῖος φαίνεται καὶ ὁ Ἀριστόϐουλος, ὅσον καὶ Φίλων, ὅστις τὰ αὐτὰ σχεδὸν, ὅσα καὶ Ἀριστόϐουλος, περὶ τῆς ἐν Ἑλλάδι τε καὶ κατὰ τὴν βάρϐαρον χώραν φιλοσοφίας διαλαμϐάνων, καὶ ἐν Πέρσαις μὲν ἱστορῶν τὸ τῶν Μάγων στῖφος *τὰ τῆς φύσεως ἔργα διερευνώμενον*· ἐν Ἰνδοῖς δὲ, τὸ τῶν *γυμνοσοφιστῶν*, ἐπιφέρει· « Ἔστι δὲ καὶ ἡ *Παλαιστίνη καὶ Συρία* καλοκἀγαθίας οὐκ ἄγονος, *ἣν πολυανθρωποτάτου γένους τῶν Ἰουδαίων* οὐκ ὀλίγη μοῖρα νέμεται » κτλ. (α). Οὕτως οὐδὲ Φίλων εἶπεν *ἡμῶν τῶν Ἰουδαίων* (ἢ τῶν *ἡμετέρων πολιτῶν*, ἢ ἄλλο τι τοιοῦτο περιαυτολογικὸν, ἔνθα μὴ δεῖ). Εἰ δὲ καὶ τὸ *καλουμένων* προσετίθει πρὸς τὸ *Ἰουδαίων* ὁ Φίλων, καὶ οὕτως οὐκ ἂν ἧττον Ἰουδαῖός τε ἐφαίνετο, καὶ φιλόσοφος ἀκριϐῶς ἑλληνίζων. Ὡς οὐδ' ὁ Ἰώσηπος ἐξελέγχεται γένους καὶ θρησκεύματος ἑτέρου τῶν Γαλιλαίων, διότι διακρίνει τούτους ὡς ἐκ τῆς γεωγραφικῆς προσηγορίας, λέγων· « ἐστρατήγουν *τῶν παρ' ἡμῖν Γαλιλαίων ὀνομαζομένων* » (κατα Ἀπίων. Α. §. θ)· οὐδ' ὁ Θουκυδίδης αὐτὸς βαρϐάρου χώρας γέννημα, διότι εἶπεν « *ἡ νῦν Ἑλλὰς καλουμένη* » (Α. 2). Καὶ ταῦτα μὲν ἐξήρκουν, εἴ γε τὸ ἀπὸ Κυρίλλου τοῦ Ἀλεξανδρείας μνημονευόμενον χωρίον ὑπῆρχεν ἀληθῶς τοῦ Ἀριστοϐούλου.

Ἀλλ' ἐν τούτῳ κατωλίσθησαν ὀλίσθημα παράδοξον οἱ τὸν Ἀριστόϐουλον κατατρέχοντες ἀγέρωχοι κριτικοί. Τὸ χωρίον οὐκ ἔστιν οὔτε τοῦ Ἀριστοϐούλου, οὔτ' ἄλλου τινὸς Ἰουδαίου ἑλληνίζοντος, ἀλλὰ γνησίου Ἕλληνος ἀνδρὸς, τοῦ ἐπὶ Σελεύκου τοῦ Νικάτορος ἱστορικοῦ,

(α) Φίλ. π. τοῦ πάντα σπουδ. εἶναι ἐλεύθερον, σελ. 457 τόμ. β. Mang.

Μεγασθένους, σωζόμενον αὐταῖς λέξεσι παρά τε τῷ Εὐσεβίῳ (Εὐαγ. Προπ. Θ, 6), καὶ παρὰ τῷ ἱερῷ Κλήμεντι. Ἄκουε· « *Οὐ μὴν ἀλλὰ καὶ Ἀριστόβουλος ὁ περιπατητικὸς* » (ὑπέδειξε τὴν παρ' Ἑβραίοις φιλοσοφίαν προκατάρξαι τῆς παρ' Ἕλλησι), « καὶ ἄλλοι πλείους· ἵνα μὴ κατ' ὄνομα ἐπιὼν διατρίβω. Φανερώτατα δὲ, *Μεγασθένης ὁ συγγραφεὺς, ὁ Σελεύκῳ τῷ Νικάνορι συμβεβιωκὼς, ἐν τῇ τρίτῃ τῶν Ἰνδικῶν* ὧδε γράφει. Ἅπαντα μέν τοι τὰ περὶ φύσεως εἰρημένα παρὰ τοῖς ἀρχαίοις, λέγεται καὶ παρὰ τοῖς ἔξω τῆς Ἑλλάδος φιλοσοφοῦσι· τὰ μὲν παρ' Ἰνδοῖς ὑπὸ τῶν Βραχμάνων, τὰ δὲ *ἐν τῇ Συρίᾳ* ΥΠΟ ΤΩΝ ΚΑΛΟΥΜΕΝΩΝ ΙΟΥΔΑΙΩΝ » (α). Ἐκ τοῦ Κλήμεντος πιθανῶς ἀντέγραψε τὴν ῥῆσιν καὶ ὁ ἱερὸς Κύριλλος. Καὶ παρὰ τούτῳ μὲν συνέτριψαν τὴν φράσιν οἱ ἀντιγραφεῖς, παραλείψαντες τὰ μεταξὺ τοῦ « *περιπατητικὸς* » καὶ τοῦ « *ὧδε γράφει* ». Ὁ δὲ κλεινὸς Ὅδιος, ὁ καὶ τὸν Εὐσέβιον καὶ τὸν Κλήμεντα τοσάκις ἀνελίξας, ὥστε καὶ εὐθύνειν τούτους ἐπιχειρῆσαι τοὺς σοφωτάτους διδασκάλους τῆς Ἐκκλησίας, ἄπορον, πῶς οὐκ ἐνέπεσεν εἰς τὸ χωρίον, οὕτως ἐμφανῶς καὶ προὔπτον προκείμενον. Πολὺ δὲ μᾶλλον ἀπορώτερον, πῶς οὐδ' αὐτὸς ὁ καὶ τὸν Κλήμεντα καὶ τὸν Ἀριστόβουλον οὕτως αὐστηρῶς ἐτάσας πολυμαθέστατος Οὐαλκενῆρος, (εἰ μὴ καὶ τοῦτον ἀπεπλάνησαν αἱ Σειρῆνες Ὀδίου), οὐδ' αὐτὸς ἐνόησε τὴν ῥῆσιν τοῦ Μεγασθένους οὖσαν, ἀλλὰ καὶ οὗτος ἐν τοῖς Ἀριστοβούλου κατέταξεν αὐτὴν ἀποσπάσμασιν, ἐκ τοῦ ἱεροῦ Κυρίλλου μεταγράψας, καὶ δριμέως ἐπικρίνας καὶ δι' αὐτὴν τὸν Ἰουδαῖον Ἀριστόβουλον. Ὁ δ' ἠγνόει ἄρα τὸν Ἕλληνα Μεγασθένην κατεξελέγχων! (β). Ὁ δὲ κλεινὸς Εἰχόρνιος ἔτι παραδοξότερον ἐπλανήθη· διότι καὶ αὐτὸς Ὀδίῳ συμφωνῶν, καὶ κρίνων ἐκ τῆς παρὰ τῷ Κυρίλλῳ κεκολοβω-

---

(α) Κλήμ. Στρωμ. Α. σελ. 224. Lugd. 1616. Τῶν Ἰνδικῶν τοῦ Μεγασθένους καὶ Στράβων (β. 68, 70) μνημονεύει, καὶ Ἰώσηπος (Ἰουδ. Ἀρχ. Ι. ια. §. 1. καὶ κατ. Ἀπίων. Α. §. 20), καὶ ἄλλοι. Οὕτω καὶ ὁ Κλέαρχος ὁ μαθητὴς Ἀριστοτέλους ἔγραψε τῷ Μεγασθένει συμφωνῶν· « Καλοῦνται δὲ, ὡς φασὶν, οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοὶ, παρὰ δὲ Σύροις Ἰουδαῖοι ». Κλέαρχ. παρ' Ἰωσήπ. κατ. Ἀπίων. Α. §. κβ. — (β) Valcken. l. c. p. 67.

μένης ῥήσεως τὸν δῆθεν Ἀριστόβουλον, ποιεῖ τοῦτον *καὶ χριστιανόν!* παραπέμπει δὲ τὸν ἀναγνώστην καὶ *εἰς τὸν Εὐσέβιον* (Θ, 6), ὡς ἂν καὶ τοῦτον Ἀριστοβούλου δῆθεν γράφοντα ῥῆσιν, οἷα τανῦν κεῖται παρὰ Κυρίλλῳ! (α) Ἀλλὰ κἂν ἐξ ὑποθέσεως καὶ αὐτὸς ὁ ἱερώτατος Κύριλλος ἔγραφε τὸ χωρίον ὡς ἐκ τοῦ Ἰουδαίου Ἀριστοβούλου (ἐπιλαθόμενος τοῦ Μεγασθένους), καὶ τότε πάλιν ὤφειλεν ὁ σοφὸς Ὅδιος ἐνθυμηθῆναι, ὅτι καὶ Κύριλλος ὁ πολίτης καὶ ποιμὴν τῆς Ἀλεξανδρείας τὸν περιπατητικὸν Ἀριστόβουλον ὀνομάζων, οὐδένα ἄλλον ἐνόει, εἰ μὴ τὸν αὐτὸν ἐκεῖνον, ὃν καὶ οἱ προγενέστεροι αὐτοῦ συμπολῖται καὶ συνδιδάσκαλοι, Κλήμης τε καὶ Ὠριγένης, μεθ' ὧν καὶ ὁ Εὐσέβιος. Κἀκεῖνο δὲ προσθετέον. Τὸ πρωτοπρόσωπον *ἡμῶν*, ὅπερ Ὅδιος ἀπῄτει ἐν τῷ περὶ οὗ ὁ λόγος χωρίῳ, ὡς γνώρισμα δῆθεν τοῦ περιπατητικοῦ Ἰουδαίου Ἀριστοβούλου, τοῦτ' αὐτὸ προσέθηκε ῥητῶς αὐτὸς ὁ Ἀριστόβουλος ἐν ταῖς Ἐξηγήσεσι, δεικνύων οὐχὶ τὸ ἔθνος, ἀλλὰ τὴν περιπατητικὴν αὐτοῦ φιλοσοφίαν. « Ὅτι δεῖ (λέγει) περὶ Θεοῦ διαλήψεις » (τουτέστιν *ὑπολήψεις*) « ὁσίας ἔχειν· ὃ μάλιστα καλῶς παρακελεύεται ἡ *καθ' ἡμᾶς* αἵρεσις » (β), τουτέστιν *ἡμῶν τῶν περιπατητικῶν*. Καὶ μαρτυρεῖ λοιπὸν αὐτὸς ὁ πατὴρ τῶν Ἐξηγήσεων Ἀριστόβουλος ὁ Ἰουδαῖος, ὅτι ὁ αὐτὸς ἦν καὶ ὁ τῆς αἱρέσεως τῆς ἐκ περιπάτου, καθὼς οὐ μόνον ὁ Εὐσέβιος, ἀλλὰ καὶ Κλήμης αὐτὸν διέγραψεν· ἀλλὰ τούτοις Ὅδιος οὐ προσέσχεν· ὅθεν ἐσφάλη καὶ ἄλλο σφάλμα. Ἀπὸ ταύτης μόνης τῆς μιᾶς, καὶ ταύτης ἀλλοτρίας, καὶ παρεξηγηθείσης φράσεως, τῆς « *τῶν καλουμένων Ἰουδαίων* », ὁρμηθείς, ἐξήνεγκεν ἡμῖν ἐξαίφνης ἐκ τῶν Περιπάτου κήπων ἄλλον νέον, *ἐθνικὸν* (καὶ πάντως Ἕλληνα τὸ γένος) φιλόσοφον Ἀριστόβουλον· τίνα τοῦτον; καὶ πόθεν; ἄγνωστον,

---

(α) Eichhorn Bibliothek. der biblischen Literatur Th. V. S. 279, 282. πρβλ. καὶ τὸν Φράγκελον (Frankel. l. c. pag. 19—20). Ὅστις εὐθύνει μὲν τὴν τοσαύτην περὶ τοῦ Ἀριστοβούλου πλάνην τοῦ Ὁδίου καὶ τοῦ Εἰχορνίου (τὸν δὲ Οὐαλκενῆρον παρεσιώπησεν). Ἄλλον δ' αὐτὸς ἐν τοῖς Φιλομήτορος βασιλείοις ἐδημιούργησεν Ἀριστόβουλον, παλαιὸν, καὶ τοῦ παρὰ Κλήμεντι διάφορον (βλ. ὄπισθ. σελ. 423), παρ' Ὁδίου πάντως τὸ πρότυπον δανεισάμενος, ὡς ὀψόμεθα εὐθὺς ἐν τοῖς ἀνωτέρω.

(β) Ἀριστόβουλ. παρ' Εὐσεβ. Προπαρ. σελ. 666. πρβλ. καὶ Valcker. l. c. p. 68.

ἀνήκουστον, ἀνιστόρητον παρὰ πᾶσι τοῖς ἀρχαίοις συγγραφεῦσι· (τοῦτον, ἴσως, καὶ ὁ Φράγκελος προπέρυσιν ἐκάθισεν ἐν τοῖς Φιλομήτορος βασιλείοις, ἐξ Ὀδίου παραλαβών)· ὅθεν καὶ εὐθύνθη δικαίως ἡ τόλμη τῆς Ὀδιακῆς πολυμαθείας παρ' ἄλλων περὶ τὰ τοιαῦτα δοκιμωτέρων (α).

§. ιγ'. Συμπεραίνομεν τὸ κεφάλαιον, ἐπαναλαμβάνοντες περιληπτικῶς τὰς ἐπισήμους ἐνδείξεις καὶ μαρτυρίας, τὰς περὶ Ἀριστοβούλου τοῦ Ἰουδαίου, φιλοσόφου περιπατητικοῦ, καὶ γνησίου συγγραφέως τῶν *Ἐξηγητικῶν* τοῦ νόμου βίβλων, ἃς Πτολεμαίῳ τῷ *Φιλομήτορι* προσεφώνησε.

Α) Ἡ ἐν τῷ Α, κεφ. τῆς Β. Μακκαβαίων ἐπιστολή, *διδάσκαλον Πτολεμαίου τοῦ βασιλέως* ἀποκαλοῦσα τὸν Ἀριστόβουλον, δείκνυσι τοῦτον εἶναι τὸν αὐτὸν ἐκεῖνον, ὅστις ἐν τοῖς παρ' Εὐσεβίῳ τε καὶ Κλήμεντι σῳζομένοις τῶν Ἐξηγήσεων χωρίοις διαλέγεται πρὸς αὐτὸν τὸν βασιλέα *διδακτικῶς*, ἐξηγῶν τὰ τῆς Μωσαϊκῆς φιλοσοφίας. Ὅτι δὲ ὁ βασιλεὺς οὗτος ἦν ὁ Φιλομήτωρ ἀποδείκνυται καὶ ἐκ τῆς πιθανωτάτης διορθώσεως τοῦ ἔτους τῆς ἐπιστολῆς.

Β) Ἐν τοῖς ῥηθεῖσι σῳζομένοις χωρίοις ὁ Ἀριστόβουλος πολλάκις μεταχειρίζεται τὸν ἀλληγορικὸν τῆς ἐξηγήσεως τρόπον, σεμνῶς καὶ θεοπρεπῶς ἑρμηνεύων τὰ τοῦ θεοπνεύστου προφήτου καὶ νομοθέτου, τοῦ (κατὰ τὴν ὀρθοτάτην Ἰωσήπου παρατήρησιν) « *τὰ μὲν αἰνιττομένου δεξιῶς, τὰ δὲ ἀλληγοροῦντος μετὰ σεμνότητος, ὅσα δ' ἐξ εὐθείας λέγεσθαι συνέφερε, ταῦτα ῥητῶς ἐμφανίζοντος* » (ϐ). Πολλοὶ τῶν νεωτέρων καινοτομιστῶν χθιζήν τινα καὶ ἐν τοῖς κάτω χρόνοις εἰσαχθεῖσαν παρ' Ἰουδαίοις ἐθέλουσι τὴν ἀλληγορίαν (συγχύζοντες τὴν κατάχρησιν αὐτῆς πρὸς τὴν ἱερὰν καὶ ἀρχαιοτάτην χρῆσιν). Ὁ δὲ κλεινὸς Οὐαλκενῆρος (σελ. 69) *πρῶτον* παρ' Ἰουδαίοις ἀλληγορητὴν φαίνεται νομίζων τὸν Ἀριστόβουλον· ἀλλ' ἡ γνώμη τῶν τοιούτων ἀντίκειται πρὸς τὰ τοῦ Ἰωσήπου, ὅςις καὶ εἰς αὐτὸν τὸν θεῖον

(α) Βλ. Fabric. Bibl. Graec. vol. 3. p. 470. Harl.

(ϐ) Ἰώσηπ. Ἀρχαιολ. προοίμ. §. δ. πρβλ. καὶ Ἰσιδώρ. Πηλουσιώτ. Ἐπιστολ. βιβλ. γ. ἐπιστ. 19.

Μωϋσῆν ἀναφέρει δικαίως τὸν ἀλληγορικὸν τῆς λέξεως τρόπον (πάνυ συνήθη καὶ ἐν ἄλλοις χωρίοις τῆς θείας Γραφῆς). Μαρτυρεῖ δὲ καὶ Φίλων, ὅτι « ταῦτα *(τὰ ἀλληγορικώτερα)* εἰς ἀκοὰς ἦλθε τὰς ἡμετέρας *ἀρχαιολογούμενα* παρὰ θεσπεσίοις ἀνδράσιν, *οἳ τὰ Μωσέως οὐ παρέργως διηρμήνευσαν* » (α). Καί, « Ἔστι δὲ αὐτοῖς (τοῖς Θεραπευταῖς) καὶ συγγράμματα *παλαιῶν ἀνδρῶν*, οἳ τῆς αἱρέσεως » (αὐτῶν τῶν Θεραπευτῶν) « ἀρχηγέται γενόμενοι, *πολλὰ μνημεῖα τῆς ἀλληγορουμένης ἰδέας ἀπέλιπον* » (ϐ). Τίς ἂν ἀμφιϐάλλοι δικαίως, ὅτι μεταξὺ τῶν ἀρχαίων τούτων τοῦ Μωσέως διερμηνευτῶν συγκατέλεγεν ὁ Φίλων καὶ τὸν εἰ καὶ μὴ πρῶτον, ἀλλ' ὅμως διασημότατον ἐπ' ἀλληγορίᾳ καὶ φιλοσοφίᾳ *διδάσκαλον Ἀριστόβουλον*; ὁμοίως καὶ τὰς αὐτοῦ *Ἐξηγήσεις* μεταξὺ *τῶν πολλῶν καὶ παλαιῶν τῆς ἀλληγορουμένης ἰδέας* συγγραφῶν; (γ).

Γ) Καὶ Ἰώσηπος, ὡς εἴπομεν (σελ. 435) ᾐνίξατο τὸν Ἀριςόϐουλον.

Δ) Τὰ δὲ τοῦ Κλήμεντος προεγράφησαν.

Ε) Καὶ Ὠριγένης ὁ θαυμάσιος, ἀπαντῶν πρὸς τὸν Ἐπικούρειον Κέλσον, διαϐάλλοντα τὰς ἀλληγορικὰς τῶν Γραφῶν ἑρμηνείας, *ὡς ἀτόπους καὶ πολὺ τῶν μύθων αἰσχίους* κτλ. — « Ἔοικε (λέγει) περὶ τῶν Φίλωνος συγγραμμάτων ταῦτα λέγειν, ἢ καὶ τῶν ἔτι ἀρχαιοτέρων, *ὁποῖά ἐστι τοῦ Ἀριστοβούλου*. Στοχάζομαι δὲ τὸν

(α) Φίλ. περὶ περιτομῆς σελ. 211. τόμ. β. Mang.

(ϐ) Αὐτ. τ. β. σελ. 475. Καὶ ἀλλαχοῦ (τ. ϐ. σελ. 458) « τὰ πλεῖστα διὰ συμϐόλων ἀ ρ χ α ι ο τ ρ ό π ῳ ζ η λ ώ σ ε ι παρ' αὐτοῖς φιλοσοφεῖται ». κτλ. Ἀλλὰ καὶ παρὰ τῷ Ἀριστέᾳ (σελ. 17, 20. ἐκδ. Hody) ὁ πρὸ τοῦ Ἀριστιϐούλου ἕνα σχεδὸν πρότερον αἰῶνα ἀκμάσας ἀρχιερεὺς Ἐλεάζαρος, ἠλληγόρει (πρϐ. Εὐσεϐ. Εὐαγ. Προπ. η. 9 καὶ 10). Καὶ πάλιν ὁ Ἰώσηπος (Ἀρχ. ΙΗ, α. §. 2) « ἐκ τοῦ πάνυ ἀρχαίου τῶν πατρίων » λέγει τὴν φιλοσοφίαν τῶν Ἐσσηνῶν (τῶν Θεραπευτῶν). Ὁ δ' Οὐαλκενῆρος (l. c. p. 69) τὰ μὲν Ἐλεαζάρου πλάσμα τοῦ Ἀριστέου ἀποφηνάμενος, τὰ δ' ἀνωτέρω χωρία τοῦ Φίλωνος καὶ τοῦ Ἰωσήπου παρασιωπήσας (καί τοι τούτων ἀμφοτέρων ἐπ' ἄλλοις ἐν παρόδῳ μνημονεύσας), καὶ τοὺς Φιλωνος θ ε ρ α π ε υ τ ὰ ς θεοϐλαϐεῖς (fanaticos) προσαγορεύσας, ἔσπευσεν ἀποδεῖξαι πρῶτον ἀλληγορητὴν τὸν Ἀριςόϐουλον· διότι οὗτος ἀποδίδωσιν εἰς ἑαυτὸν τὴν ἀλληγορικὴν Ἐξήγησιν τῶν προκειμένων· Ὡσανεὶ προσέθηκεν ὁ Ἀριστόϐουλος, καὶ ὅτι πρῶτος αὐτὸς ἀλληγορεῖ! ἢ, ὡσανεὶ καὶ αὐτὸς οὐκ ἠδύνατο μετ' ἄλλους πολὺ προγενεστέρους ἀλληγορεῖν! Ἀλλὰ περὶ ἀλληγορίας λέγομέν τινα καὶ ἐν τοῖς ἑφεξῆς.

Κέλσον μὴ ἀνεγνωκέναι τὰ βιβλία. Ἐπεὶ πολλαχοῦ οὕτως ἐπιτετεῦχθαί μοι φαίνεται, ὥστε αἱρεθῆναι ἂν καὶ τοὺς ἐν Ἕλλησι φιλοσοφοῦντας ὑπὸ τῶν λεγομένων, ἐν οἷς οὐ μόνον φράσις ἐξήσκηται, ἀλλὰ καὶ νοήματα, καὶ δόγματα, καὶ ἡ χρῆσις τῶν, ὡς οἴεται, ἀπὸ τῶν Γραφῶν μύθων, ὁ Κέλσος » (α).

Ϛ) Ὁ ἱερὸς Ἀνατόλιος· Ζ) Ὁ Εὐσέβιος· Η) Ὁ Ἀλεξανδρείας Κύριλλος· Θ) Ὁ Ἱερώνυμος (ἐν τοῖς Εὐσεβίου Χρονικοῖς, καὶ ἐν Καταλόγῳ τῶν Συγγρ. λέξ. Κλήμης Ἀλεξ.)· Ι) Ὁ Ῥωμαῖος Πρόσπερος (Χρονικ.)· ΙΑ) Ὁ Σωζόμενος (ζ. 18)· ΙΒ) Τὸ Ἀλεξανδρινὸν Πασχάλιον, συμφώνως περὶ τοῦ αὐτοῦ Ἀριστοβούλου μαρτυροῦσιν. Ἄλλους τούτων ἐφεξῆς (οἷον τὸν Σκότον καὶ τὸν Βέδαν, καὶ εἴ τις ἕτερος) παραλείπομεν.

Ἐκ δὲ τῶν νεωτέρων, πολλῶν ὄντων καὶ ἀγαθῶν, ὅσοι μαρτυροῦσιν ἀναμφίβολον συγγραφέα τὸν φιλόσοφον Ἀριστόβουλον (β), τοὺς μέν τινας ἐμνημονεύσαμεν (οἷον Οὐοσσίους ἀμφοτέρους, καὶ Γρότιον, καὶ Οὐβιγάντην, καὶ Ὕέτιον, καὶ Σπέγκερον, καὶ τοὺς περὶ τὸν

(α) Ὠριγ. κ. Κέλσ. Δ. §. 51. σελ. 542. τόμ. α. — « Ταῦτα (λέγει ὁ Δεμάγιστρος ἀγανακτῶν) ταῦτα πρὸς Κέλσον οὕτως ἀπήντησεν Ὠριγένης, ὥστε πολὺ μᾶλλον ἁρμόζειν αὐτὰ λεγόμενα πρὸς Βανδάλην. Πρὸ δὲ τοῦ Ὠριγένους καὶ Κλήμης τῶν Ἀριστοβούλου ἐξηγήσεων ἐμνημόνευσε, καὶ Εὐσέβιος ὕστερον πολλάκις, καὶ ἄλλοι. Ἴτω νῦν καὶ ἀντιλεγέτω ὁ (ἰατρὸς) Βανδάλης, ὁ τοὺς ζῶντας θεραπεύειν, τοὺς δὲ τεθνεῶτας, ὅσων ἐν τοῖς συγγράμμασιν εὐκλεεστάτη σῴζεται μνήμη, ἀποκτείνειν ἐπιχειρῶν, καὶ πρός τε θείας ἅμα καὶ πρὸς ἀνθρωπίνας πίστεις ἀντιτιθεὶς καὶ ἐρευγόμενος ὀνείρους, οἵους οὐδὲ Κέλσος ἐξέχεεν ὁ Ἐπικούρειος ». Demagistr. Diss I. p. 316.

(β) Αὐτίκα ὁ γεραρὸς Βάλτων τὸν Ἀριστόβουλον (λέγει) « Auctorem indubitatum esse, et paulo post Aristeam scripsisse ; et vel ab ipso, vel ab alijs, qui rei gestae interfuerunt, veritatem addiscere potuisse ». (Proleg. IX. 4). Ταῦτα καὶ αὐτὸς Ὅδιος καί τοι μὴ πειθόμενος, ἐμνημόνευσε, προστιθεὶς ὡς ὁμόφρονα τοῦ Βάλτωνος καὶ τὸν σοφὸν Stillingfleet (Hody pag. 50). Ὁ δὲ Buxtorfius (ad Libr. Cosri, p. 33 in Biblioth. Florent.) λέγει ὅτι « Καὶ νῦν ἔτι σῴζονται λανθάνουσαι κατὰ τὴν Μάντουαν παρὰ τοῖς Βενεδικτείοις μοναχοῖς αἱ τοῦ Ἀριστοβούλου Ἐξηγήσεις ἐν μεμβράναις ». Ἀλλὰ τὴν Βυξτορφίου ταύτην εἴδησιν ἀπίστευτον ἔκριναν ὁ Eschenbach (in Epigen. p. 149), καὶ ὁ Φαβρίκιος (Bibl. Graec. vol. 3. p. 470 Harl.), καὶ ὁ Valckenaer (l. c. p. 21).

Φαβρίκιον (βλ. §. η, ιβ)· ἄλλους δὲ πολλοὺς παραλείπομεν, μόνους προσθέντες τινὰς ἐκ τῶν μήπω πάνυ πρῴην, τοὺς ἐπισημοτάτους, αὐτό τε τὸ Οὐαλκενήρου κλέος, καὶ τὸν λαμπρὸν Βεσσελίγγιον (ὅστις καὶ ῥητῶς τὸ κατ' Ἀριστοβούλου δόγμα τοῦ Ὀδίου κατεδίκασεν ὡς *σφόδρα παράθερμον καὶ παράτολμον*) (α), καὶ τὸν καθ' ἡμᾶς δριμὺν Δεβέττην (ϐ), καὶ Φριδερῖκον τὸν Βλῆκον (γ). Ἐπὶ πᾶσι δὲ τούτοις κορυφαῖον τάσσομεν ἀρχαῖον ἄνδρα, καὶ ἀείποτε παρὰ πᾶσι τοῖς Ὀδιακοῖς νεάζοντα καὶ πιστότατον, αὐτὸν τὸν ἔνδοξον Ὅδιον, ὅστις, ἀφ' οὗ τὸ κατ' Ἀριστοβούλου κεφάλαιον ἐντέχνως ἐξύφανε, καὶ τὴν Μακκαβαίαν ἐπιστολὴν ὡς κίβδηλον ἐξεσύριξε, προσεπιβεβαιώσας καὶ ὅτι « *περὶ τούτου τοῦ Ἀριστοβούλου διηνεκῶς ἀμφιβάλλων διατελέσει* », ἔπειτα προχωρήσας ἐπ' ἄλλα θεωρήματα, μετ' ὀλίγας σελίδας διεκήρυξε τὰ ἐφεξῆς· « Ἀριστοβούλου Ἰουδαίου, *διδασκάλου Πτολεμαίου τοῦ Φιλομήτορος ἀδελφοῦ, γίνεται μνεία ἐν τῇ κατ' ἀρχὰς τῆς Β. Μακκαβ. ἐπιστολῇ*· τοῦτον δὲ τὸν αὐτὸν εἶναι καὶ τὸν συγγραφέα τῶν προειρημένων Ἐξηγήσεων ὑπέλαβον ἄνδρες πολυμαθεῖς, οἷον Κλήμης καὶ Εὐσέβιος. Ὅτι δὲ ἤκμασε τῷ ὄντι *κατ' ἐκείνους τοὺς χρόνους* ἐν Ἀλεξανδρείᾳ Ἀριστόβουλός τις Ἰουδαῖος σοφὸς, εἰς οὗτινος τὸ *γοῦν ὄνομα* ἐξεδόθησαν αὗται αἱ ἐξηγήσεις, *οὐδόλως ἔξεστιν ἀμφιβάλλειν* » (δ). Ἀλλαχοῦ δὲ, τέλος, καὶ αὐτὰς τὰς

(α) « Est profecto illud (Hodij) decretum nimis calidum et temerarium » etc. P. Wesseling. Lect. publ. de Aristob. Jud. ad calcem Valcken. Diatrib. p. 131.

(ϐ) « Diesen Aristobulus halten Hody p. 52. und Eichhorn, Allg. Biblioth. V. 253. aus nicht ganz zureichenden Gründen für unächt » etc. W. M. L. De-Wette Lehrbuch der historisch-krit. Einleit. in die Bibel etc. p. 60. Berlin 1833. τουτ. « Τοῦτον τὸν Ἀριστόβουλον Ὅδιος καὶ Εἰχόρνιος ὑπέλαβον ὡς μὴ γνήσιον, εἰς μὴ πάντῃ ἀποχρώσας βάσεις στηριχθέντες ».

(γ) Βλ. F. Bleek Einig. aphor. Beitraege zu d. Unterch. über den Pentateuch. in E. F. K. Rosenmüller's Biblisch-Exegetisches Repertorium. 1 Bd. p. 74. Leipzig 1822.

(δ) Ἰδοὺ αἱ λέξεις τοῦ Ὀδίου αὐταί· « Aristobuli Judaei, qui Ptolemaeo Philometoris fratri praeceptor fuerit, mentio habetur in epistola

Ἐξηγήσεις συγχωρεῖ *γνησίας* εἶναι τοῦ Ἀριστοβούλου τούτου συγγραφάς, λέγων· « Εἰ δὲ *καὶ γνήσιος* ἐγένετο συγγραφεὺς (τῶν Ἐξηγήσεων) ὁ Ἀριστόβουλος, καὶ ἔζησεν ἐπὶ τῶν *Πτολεμαίων* (τοῦ Φιλομήτορος καὶ τοῦ Φύσκωνος), ἀλλ' ὅμως ἠδύνατο πλανηθῆναι (περὶ τῆς ἐπὶ τοῦ Φιλαδέλφου, συνεργείᾳ τοῦ Φαληρέως, ἑρμηνείας τῶν Γραφῶν), *ἀπατηθεὶς* ὑπὸ τοῦ Ψευδαριστέου, *γόητος ἀρχαιοτάτου!* » (α). Καὶ ἀπέχεις λοιπὸν ἀναγνῶστα, παρ' αὐτοῦ Ὀδίου λαβών, εὐσύμβολον καὶ διηκριβολογημένον τὸν πολυσχιδῆ τῆς περὶ Ἀριστοβούλου θορυβώδους πραγματείας *ἰσολογισμόν*. Ὅσα πρότερον ἀνετίθει καὶ ἠρνεῖτο, ταῦτα τίθησιν ὁ ἄνθρωπος ἤδη, *ἴσα ἰσάκις* εὐγνωμόνως ἀποπληρῶν!

---

illa quae initio libri II. Maccab. extat; quem eundem fuisse cum Auctore praedictorum Commentariorum existimarunt Viri eruditi, ut Clemens Alex. et Eusebius. Floruisse revera temporibus istis Alexandriae Aristobulum quendam Judaeum eruditum, cujus nomine saltem commentarij isti editi sunt, dubitari non potest». (Hody Libr. II. c. IX. §. 3. p. 189). Τινὲς δὲ τῶν Ὀδίου ὀπαδῶν καὶ αὐτὸ τὸ δῆθεν ψευδεπίγραφον τῶν Ἀριστοβούλου συγγραφῶν προβάλλουσι μετ' ἀμφιβολίας. Οὕτως ὁ Carpzov. (Crit. Srcr. p. 485) ἔκρινεν « ἀμφιβόλου καὶ πίστεως καὶ ἀκεραιότητος τὰς παρ' Εὐσεβίῳ καὶ Κλήμεντι περικοπὰς τοῦ Ἀριστοβούλου »! Καὶ καθ' ἡμᾶς δὲ ὁ σοφὸς καθηγητὴς Γλαῖρος, ὁ Γάλλος, νεωτερίζων καὶ αὐτὸς, ἔν γε ταῖς περὶ τῶν Ο κρίσεσι, καὶ Ὀδιάζων πολλάκις, ἄδηλον ἔκρινε « καὶ ἀβέβαιον, εἰ μὴ τὸ (τοῦ Ἀριστοβούλου) βιβλίον κεχάλκευται ὑπό τινος Ἰουδαίου ἑλληνιστοῦ ». J. B. Glaire Introduct. historique et critique aux Livres de l'A. et du N. Testament T. I. p. 183. conf. p. 167. Paris. 1843.

(α) « Et si fuerit scriptor genuinus (Aristobulus), vixeritque sub Ptolemaeis, potuisse tamen à Pseudo-Aristea, impostore vetustissimo, in errorem abduci. Hody L. II. c. III. §. 2. p. 99. — [Ἀλλ' εἴπερ ὁ Ψευδαριστέας οὗτος ὑπῆρχεν ἤδη ἐπ' Ἀριστοβούλου (τῷ 175 π. Χ.) γόης ἀρχαιότατος, εἰς τὴν ὑπερθετικὴν λοιπὸν αὐτοῦ παλαίωσιν ἐδαπανήθη πάντως χρόνος μακρὸς, μιᾶς τοὐλάχιστον ἑκατονταετηρίδος. Καὶ φαίνεται ἄρα ὁ γόης οὗτος τοῦ Ὀδίου (κατ' αὐτὴν αὐτοῦ τὴν ὁμολογίαν) ἀκμάσας ἀκριβῶς κατὰ τὴν ἐποχὴν τῆς ἑρμηνείας τῶν Γραφῶν (τῷ 282: π. Χ.), καὶ τότε ἄρα κατεγοήτευσεν αὐτόν τε τὸν Φιλάδελφον, καὶ τὸν Φαληρέα Δημήτριον, καὶ τὸν ἀρχιερέα Ἐλεάζαρον συνάμα μετὰ τῶν Ο, πρεσβυτέρων! (πρβλ. καὶ ὄπισθ. §. δ, καὶ §. ζ, σημ. καὶ §. θ.). — Σημ. ἡμετ.].

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ζητεῖται περὶ τῆς παρὰ τῷ Ἀριστέᾳ πρὸς Ἀντίγονον ναυμαχίας καὶ νίκης Πτολεμαίου τοῦ Φιλαδέλφου.

§. ά. Ἱστορῶν ὁ Ἀριστέας ὅπως ὑπεδέξατο τοὺς Ο, τὸ πρῶτον ἐμφανισθέντας ὁ Φιλάδελφος, εἰσάγει τοῦτον λέγοντα πρὸς αὐτοὺς καὶ τὰ ἐφεξῆς· « Μεγάλην δὲ τέθειμαι τὴν ἡμέραν ταύτην, ἐν ᾗ παραγεγόνατε· καὶ κατ᾽ ἐνιαυτὸν ἐπίσημος ἔσται πάντα τὸν [τῆς] ζωῆς ἡμῶν χρόνον. *Συνέτυχε δὲ καὶ κατὰ τὴν νίκην ἡμῖν προσπεπτωκέναι τῆς πρὸς Ἀντίγονον ναυμαχίας*· διὸ δειπνῆσαι σήμερον μεθ᾽ ὑμῶν βουλήσομαι ».

§. β'. « Τίς ἆρα (ζητοῦσιν οἱ Ὀδιακοὶ), τίς αὕτη ἡ νίκη τῆς πρὸς Ἀντίγονον ναυμαχίας *Πτολεμαίου τοῦ Φιλαδέλφου*; Ἐὰν (λέγουσιν) ἐρωτήσωμεν τὸν κλεινὸν Οὐόσσιον, ἀποκριθήσεται (σὺν αὐτῷ δὲ καὶ ὁ Ῥικκιόλιος), ὅτι ἡ αὐτή ἐστι, καὶ ἣν ὁ Διόδωρος (Κ. 73—76) διὰ μακρῶν ἐξιστόρησε γενομένην, ἐν ἔτει 3, τῆς 118 Ὀλυμπιάδος· προσθήσει δὲ καὶ ὅτι ὁ Πτολεμαῖος, περιχαρὴς γενόμενος διὰ τὴν ἀπὸ τοῦ κινδύνου ἀπαλλαγὴν, διέταξε *θυσίαν ἐτησίαν καὶ ἐτήσια συμπόσια* (α). Ἀλλ᾽ ἐκ τούτων (λέγουσιν οἱ περὶ τὸν Ὄδιον) φαίνεται ὁ πολυμαθέστατος Οὐόσσιος μήτε τοὺς Ἀριστέου λόγους μήτε τὸν Διόδωρον ἱκανῶς ἐννοήσας. Οὐδεμίαν οὗτος ὁ ἱστορικὸς μνημονεύει ναυμαχίαν λαμπρὰν, οἵαν φαίνεται παιανίζων ὁ Ἀριστέας· ἱστορεῖ δὲ μόνον τὸν μὲν Ἀντίγονον κατὰ γῆν, Δημήτριον δὲ τὸν υἱὸν Ἀντιγόνου διὰ θαλάσσης, μετὰ πολλῆς δυνάμεως ἐπιστρατεύσαντας κατὰ Πτολεμαίου· διὰ δὲ τὰς Αἰγυπτίων ὀχυρὰς προφυλακὰς, καὶ τοῦ Νείλου τὴν πλημμύραν, καὶ τῆς τρικυμίας τὸ μέγεθος, ἠναγκάσθησαν ἀμφότεροι πάλιν ἀναχωρῆσαι παντελῶς ἄπρακτοι, χωρὶς μάχης μηδεμιᾶς. Ἀλλ᾽ οὐδὲ Παυσανίας μέμνηται *ναυμάχου τινὸς ἀγῶνος*, ἐν οἷς καὶ αὐτὸς τὴν αὐτὴν στρατείαν

(α) Voss. de LXX. c. 3. — Ricciol. Chronol. T. 1. L. 3. c. 6.

ἱστορεῖ (Α. ς, 6). Οὐδὲ, τέλος, ὁ Πλούταρχος· λέγει δὲ μόνον οὗτος τοσαῦτα· « Αὐτὸς τ' οὖν (ὁ Ἀντίγονος) ἐντυχὼν κατὰ γῆν πολλαῖς ἀπορίαις, καὶ Δημητρίου χειμῶνι καὶ κλύδωνι μεγάλῳ κινδυνεύσαντος εἰς τόπους ἀλιμένους καὶ χαλεποὺς ἐκριφῆναι, πολλὰς δὲ τῶν νηῶν ἀπολέσαντος, ἐπανῆλθεν ἄπρακτος » (Δημητρ. §. ιθ). Καὶ περὶ τῆς ἐτησίας ἑορτῆς σφάλλεται παντάπασιν Οὐόσσιος· οὐδὲ γὰρ περὶ ταύτης ὁ Διόδωρος εἶπεν οὐδέν· λέγει δὲ μόνον ὅτι, « Πτολεμαῖος δὲ διὰ τὴν ἀπαλλαγὴν τῶν πολεμίων περιχαρὴς γενόμενος, καὶ θύσας τοῖς θεοῖς χαριστήρια, τοὺς φίλους εἱστία λαμπρῶς ». Κἀκεῖνο δὲ ματαίως ὑπέλαβεν Οὐόσσιος, ὅτι δῆθεν ἐξ αὐτῶν τῶν Ἀριστέου λόγων καταφαίνεται σαφῶς, ὅτι αὕτη δὴ ἡ ἐτησία ἑορτὴ ἐφυλάττετο μέχρις ἔζη Πτολεμαῖος ὁ Λαγίδης. Ἀλλὰ ταῦτα τοσοῦτον ἀπέχουσι τῶν παρὰ τῷ Ἀριστέᾳ λόγων τοῦ Φιλαδέλφου, ὥστε οὐ μόνον οὗτος οὐδὲν οὐδόλως εἶπε περὶ τοῦ ἰδίου πατρὸς, ὡς ἑορτάζοντος τὴν ἡμέραν ἐκείνην, ἀλλὰ καὶ πᾶν τοὐναντίον, αὐτὸς λέγει ὅτι καθιέρωσε τὴν ἑορτὴν, τὸ μὲν, διότι τὴν ἡμέραν ἐκείνην ἐνίκησε τὸν Ἀντίγονον, τὸ δὲ, διότι κατ' αὐτὴν ἦλθον καὶ οἱ Ο· οὕτως ὁ Ἰώσηπος τοὺς Ἀριστέου λόγους ἐξηγεῖ λέγων· « Τὴν μέν τοι γε ἡμέραν, καθ' ἣν ἦλθον πρὸς αὐτὸν, ἐπιφανῆ ποιήσειν, καὶ κατὰ πᾶν ἔτος ἐπίσημον εἰς ὅλον τὸν τῆς ζωῆς χρόνον, ἐπηγγέλλετο· *ἔτυχε γὰρ ἡ αὐτὴ εἶναι τῆς παρουσίας αὐτῶν καὶ τῆς νίκης, ἣν Ἀντίγονον ναυμαχῶν ἐνίκησε* » (Ἰώσ. Ἀρχ. ΙΒ. β. 10).

§. γ'. « Ἀλλὰ κἂν δοθῇ (λέγουσιν) ὅτι ὁ Ἀριστέας ἐκείνην ἐννοεῖ τὴν νίκην, ἣν ὁ Λάγου Πτολεμαῖος ἐνίκησε τὸν Ἀντίγονον (ὡς ὁ Διόδωρος ἱστορεῖ), καὶ οὕτω πάλιν ὁ Ἀριστέας οὗτος ἐξελέγχεται περιπεσὼν εἰς αἴσχιστον ἁμάρτημα· πρῶτον μὲν, διότι μνημονεύει *ναυμαχίας*, μηδέποτε γενομένης· ἔπειτα δὲ, καὶ ὅτι ῥητῶς εἶπε τὸν Φιλάδελφον αὐτὸν (οὐχὶ τὸν Λαγίδην) νικήσαντα τὸν μέγαν Ἀντίγονον· ἐν ᾧ ὁ Φιλάδελφος ἤρξατο βασιλεύειν πολλοὺς ὕστερον ἐνιαυτοὺς μετὰ τὴν Ἀντιγόνου τελευτὴν, παῖς παντάπασι τυγχάνων κατὰ τὸν καιρὸν τῆς παρὰ τῷ Διοδώρῳ μάχης ἐκείνης. Βεβαιοῖ

δὲ ταῦτα καὶ αὐτὸς ὁ Φιλάδελφος, εἰς ἑαυτὸν (οὐκ εἰς τὸν πατέρα) τὴν νίκην ἐκείνην ἀναφέρων, ἐν οἷς λέγει (παρὰ τῷ Ἀριστέᾳ) « *τὴν νίκην ἡμῖν προσπεπτωκέναι* » (*ἐμοὶ* δηλονότι· πληθυντικῶς, ὡς βασιλεύς, ἐκφραζόμενος, καθὼς καὶ ἐφεξῆς « πάντα τὸν τῆς ζωῆς *ἡμῶν* χρόνον ») (α). Ταῦτα λέγει καὶ Ἰώσηπος· « Ἔτυχε γὰρ (ἡμέρα) ἡ αὐτὴ εἶναι τῆς παρουσίας αὐτῶν, *καὶ τῆς νίκης, ἣν Ἀντίγονον ναυμαχῶν ἐνίκησεν* ». Ὁ δὲ Ῥικκιόλιος, ἐκλαμβάνων τὸ πληθυντικὸν *ἡμῖν* καὶ *ἡμῶν* ὡς εἰρημένον ἐκ προσώπου αὐτοῦ τε τοῦ Φιλαδέλφου καὶ τοῦ ζῶντος ἔτι πατρὸς (ὁπότε νομίζει γενομένην τὴν ἑρμηνείαν), ἀπατᾶται· διότι κἂν δῶμεν, ἐξ ὑποθέσεως, ὅτι τότε καὶ Ἀριστέας ἐνόμιζε γενομένην τὴν ἑρμηνείαν, ἀλλὰ καὶ οὕτω πάλιν οὐδόλως ἠδύνατο παρεισάγειν τὸν Φιλάδελφον ἐπὶ τοσοῦτον τετυφωμένον, ὥστε καὶ εἰς ἑαυτὸν ἀνατιθέναι τὴν νίκην ἐκείνην, ἣν μόνος ἐνίκησεν ὁ πατήρ, ὁ Λαγίδης, καθ᾽ ὃν χρόνον αὐτὸς ἔκειτο νήπιος ἔτι ἐν τῇ κοιτίδι ».

§. δ΄. « Ἄλλον Ἀντίγονον τὸν παρὰ τῷ Ἀριστέᾳ τοῦτον ἐνόμισεν ὁ Σαλιανὸς (Χρονικ. Ἔτ. 3785, §. 2), τὸν ἐπίκλην Γονατᾶν, Δημητρίου μὲν υἱόν, ἔγγονον δὲ τοῦ μεγάλου Ἀντιγόνου. Τοῦτον τὸν Γονατᾶν ὁ Φιλάδελφος βοηθῶν τοῖς Ἀθηναίοις ἐνίκησε, πέμψας ναυτικὸν καὶ Πάτροκλον στρατηγόν, περὶ τὸ ιγ, ἔτος τῆς αὐτοῦ βασιλείας. Καὶ κατὰ τοῦτο λοιπὸν τὸ ἔτος φαίνεται ὅτι μετεφράσθησαν αἱ Γραφαὶ ὑπὸ τῶν Ο, παρόντων ἤδη κατὰ τὴν Ἀλεξάνδρειαν καθ᾽ ἣν ἡμέραν ἦλθον τὰ εὐαγγέλια τῆς νίκης ἐκείνης ». κτλ. Τοιαῦτα ὁ Σαλιανός, ὅστις ἀλλαχοῦ πάλιν τίθησι τὴν ἑρμηνείαν περὶ τὸ 7 ἢ 8 ἔτος τῆς βασιλείας τοῦ Φιλαδέλφου. Ἀλλ᾽ ὅτι μὲν (ἀπαντῶσιν οἱ περὶ τὸν Ὅδιον) οὐχὶ τὸν μέγαν Ἀντίγονον, ἀλλὰ τὸν Γονατᾶν ἐξ ἀνάγκης ἐκληπτέον παρὰ τῷ Ἀριστέᾳ, τοῦτο παρέ-

---

(α) Ἀλλ᾽ ὁ Φιλάδελφος, Ὅδιε, δι᾽ ὅλης τῆς πρὸς τοὺς Ο, προσλαλιᾶς ἑνικῶς διαλέγεται περὶ ἑαυτοῦ· οἷον, *εὐχαριστῶ*, *τέθειμαι*, *βουλήσομαι* κτλ. (Ἀριστέας σελ. 20: Hody), μόνον δὲ τῆς ἀνωτέρω φράσεως (§. α) τὰς ἀντωνυμίας *ἡμῖν*, καὶ *ἡμῶν* ἐξέφερε πληθυντικῶς. Ὀρθῶς οὖν ταύτας ἐξέλαβον ἄλλοι ἀπὸ κοινοῦ εἰρημένας ἐπ᾽ ἀμφοτέρων, αὐτοῦ τε τοῦ Φιλαδέλφου καὶ τοῦ ζῶντος ἔτι πατρός. — Σημ. ἡμετ.

πεται πάντως ἐκ τῆς χρονολογίας. Ὅτι δὲ τὸν Γονατᾶν ἐνίκησεν ὁ Φιλάδελφος, οἵαν Ἀριστέας λέγει νίκην, δι' ἣν καὶ ἐνιαύσιον ἔταξεν ἑορτὴν, τοῦτο παρ' οὐδενὶ βλέπομεν τῶν ἐνδόξων ἱστορικῶν. Ἂν ὁ Ἀριστέας ἐννοῇ (κατὰ τὸν Σαλιανὸν) τὸ ναυτικὸν, ὅπερ ὁ Φιλάδελφος ἔστειλε κατ' Ἀντιγόνου, μετὰ Πατρόκλου ναυαρχοῦντος, ἀλλ' ὑπὸ τούτου οὐδὲν ἐπράχθη ἀξιόλογον, οὐδὲ μάχην ὅλως συνῆψε πρὸς Ἀντίγονον· τοσοῦτον ὁ Φιλάδελφος ἀπέχει τοῦ νικῆσαι τότε νίκην ἐτησίας ἑορτῆς, καὶ συμποσίων ἀξίαν! καὶ μάρτυς ὁ Ἰουστῖνος ἱστορῶν (ΚϚ, 2), ὅτι κατὰ τὴν στρατείαν ἐκείνην « ὁ Ἀντίγονος πολυτρόπῳ πολέμῳ παρά τε Πτολεμαίου τοῦ βασιλέως (τοῦ Φιλαδέλφου) καὶ τῶν Σπαρτιατῶν πιεζόμενος, — ὀλίγην δύναμιν ἐν εἴδει στρατοπέδων πρὸς τούτους καταλιπὼν, — ἀπῆλθε πανστρατιᾷ πρὸς τοὺς ἐπιόντας Γαλάτας· — (ὡς δὲ τούτους ἐνίκησε) Πτολεμαῖος μὲν (τουτ. ὁ τοῦ Πτολεμαίου στόλος) καὶ οἱ Σπαρτιάται ἐκκλίνοντες τὸν νικητὴν, εἰς τὰ ὀχυρώτερα καταφεύγουσιν. Ἀντίγονος δὲ τὴν τούτων ἀναχώρησιν ἰδὼν, — πόλεμον ἐπάγει τοῖς Ἀθηναίοις ». Ὡσαύτως καὶ Παυσανίας λέγων « Ἀντίγονος ὁ Δημητρίου πεζῷ τε καὶ ναυσὶν ἐπ' Ἀθήνας στρατεύει. Τοῖς δὲ Ἀθηναίοις ἀμυνοῦντες ἀφίκοντο μὲν ὁ Αἰγυπτίων ὁμοῦ Πατρόκλῳ στόλος, ἐξίασι δὲ καὶ οἱ Λακεδαιμόνιοι πανδημεὶ, τὸν βασιλέα ἡγεῖσθαι σφίσιν Ἀρέα ἐπιτάξαντες. — Πάτροκλος, ἀποστέλλων ἀγγέλους, προέτρεπε Λακεδαιμονίους καὶ Ἀρέα ἄρχειν τῆς πρὸς Ἀντίγονον μάχης. — Ἀρεὺς δὲ, ὡς σφίσι τὰ ἐπιτήδεια ἐξανήλωτο, ἀπῆγεν ὀπίσω τὴν στρατιάν. — Τοῖς δὲ Ἀθηναίοις, ἀντισχοῦσιν ἐπὶ μακρότατον, ἐποιήσατο Ἀντίγονος εἰρήνην, ἐφ' ᾧ τε σφίσιν ἐπαγάγῃ φρουρὰν εἰς τὸ Μουσεῖον » (Παυσαν. Γ, ϛ, §. 3). Καὶ πάλιν ἀλλαχοῦ (Α, ζ. καὶ α) « Οὗτος ὁ Πτολεμαῖος ναυτικὸν ἔστειλεν εἰς τὴν Ἀθηναίων συμμαχίαν ἐπ' Ἀντίγονον καὶ Μακεδόνας· ἀλλὰ γὰρ ἀπ' αὐτοῦ οὐδὲν μέγα ἐγένετο εἰς σωτηρίαν Ἀθηναίοις ».

§. ε. « Καὶ λοιπὸν (συμπεραίνουσιν οἱ περὶ τὸν Ὅδιον) εἴτε τὸν Μέγαν Ἀντίγονον ἐνόησεν ὁ Ἀριστέας, εἴ τε τὸν Γονατᾶν, καὶ τὸν κατ' αὐτοῦ στόλον τοῦ Φιλαδέλφου, φαίνεται πεπλανημένος λαμ-

πρῶς. Ὁ κλεινότατος Ὑσσέριος (Χρονικ. Ἔτ. 3727) ἐνόμισεν, ὅτι τῆς ὑπ' Ἀριστέου πανηγυρισθείσης ταύτης ναυμαχίας παρὰ τοῖς ἄλλοις συγγραφεῦσιν οὐχ εὑρίσκεται μνεία « *διὰ τὴν ἔλλειψιν τῶν κατ' ἐκείνους τοὺς χρόνους ἱστοριῶν* » Καὶ ἔστι μὲν ἐνδεχόμενον ἴσως καὶ δυνατὸν τὸ αἰτιολόγημα, πλὴν ἀλλὰ τοῦτο οὐδόλως ἀναιρεῖ τὴν περὶ τῆς ναυμαχίας ταύτης ἀμφιβολίαν τῶν ἐπιστημόνων καὶ δικαίων περὶ τὰ πράγματα τιμητῶν, ὅσοι μὴ καθωσίωσαν ἑαυτοὺς παραδόντες τὰ ἑαυτῶν ὀνόματα θρησκευτικῶς εἰς τὸν Ἀριστέαν ».

§. ϛ. « Ἐγὼ δὲ (προστίθησιν Ὅδιος), εἴπερ ἔξεστιν εἰπεῖν ὅ,τι μάλιστα φρονῶ περὶ τοῦ πράγματος, ὑπάγομαι καὶ κλίνω ῥαδίως πρὸς τὸ πιστεῦσαι, ὅτι τὴν λαμπρὰν ἐκείνην νίκην, ἣν Πτολεμαῖος ὁ *Κεραυνὸς*, Μακεδόνων βασιλεὺς, καὶ τῶν *Λαγίδου* παίδων ὁ πρεσβύτατος, ἐνίκησε καταναυμαχήσας Ἀντίγονον τὸν Γονατᾶν (ὡς ἱστόρησε Μέμνων παρὰ Φωτίῳ, κώδ. σκδ), ταύτην τὴν νίκην ἀνέθηκεν ὁ Ἀριστέας εἰς τὸν *Φιλάδελφον* Πτολεμαῖον, διότι καὶ τοῦτον εἶχεν ἐκ παραδόσεως μαθὼν, ὅτι ἦν υἱὸς τοῦ *Λαγίδου Πτολεμαίου* (α).

(α) « Ἐμίσησα (σημειοῖ παρὰ πόδας ὁ Ὅδιος), καὶ κατεφρόνησα πάντοτε τοὺς ἀνθρώπους ἐκείνους (καίτοι οὐκ ὀλίγους), ὅσοι μηδένα τῆς ἀληθείας λόγον ποιούμενοι, πειρῶνται μετὰ πεισμονῆς τὰς ἰδίας αὐτῶν πλάνας, κἂν θέμις κἂν μὴ θέμις, ὑπερασπίζειν, μήτε εἴ τι παρ' αὐτοῖς ψευδὲς, μήτε εἴ τι παρὰ τοῖς ἐναντίοις ὀρθόν τε καὶ καλὸν εἰλικρινῶς ὁμολογοῦντες. Ἀλλ' ὅμως παρ' ἐμοὶ τὸ αὐτό ἐστι καὶ ἀδιάφορον, εἴτε ἄλλους ἀναιροίην, εἴτ' αὐτὸς ἐμαυτόν. Ὅθεν, ἵνα μή τι κρύψω τὸν ἀναγνώστην κατ' ἐμοῦ φαινόμενον ἀντιλέγειν, ὁμολογῶ, ὅτι ὁ Λαέρτιος μέμνηται ναυμαχίας, ἐν ᾗ Ἀντίγονος ὁ Γονατᾶς ἐνικήθη, ἀφ' οὗ κατέσχεν ἤδη τὰς Ἀθήνας. « Μετὰ τὴν Ἀντιγόνου (λέγει) ναυμαχίαν πολλῶν προσιόντων, καὶ ἐπιστόλια παρακλητικὰ γραφόντων, αὐτὸς (ὁ Ἀρκεσίλαος) ἐσιώπησε (Λαέρτ. Δ. ϛ, 14). Τὴν δ' αὐτὴν ἴσως ναυμαχίαν σημαίνει καὶ ὁ Πλούταρχος λέγων, ὅτι « ἐν τῇ περὶ Κῶν ναυμαχίᾳ — μέλλων (ὁ Ἀντίγονος) ναυμαχεῖν πρὸς τοὺς Πτολεμαίου στρατηγοὺς, εἰπόντος τοῦ Κυβερνήτου πολὺ πλείονας εἶναι τὰς τῶν πολεμίων ναῦς, ἐμὲ δὲ, ἔφη, αὐτὸν παρόντα πρὸς πόσους ἀντιτάττεις »; (Πλούταρχ. Ἀποφθ. Βασιλ. καὶ ἐν τῷ Π. τ. ἑαυτὸν ἐπαινεῖν ἀνεπιφθόν.). Ταύτης οὖν τῆς νίκης ὁ Ἀριστέας μνημονεύων, καὶ ἄλλην ἡμῖν παρέσχεν ἀπόδειξιν, ὅτι τὴν τῶν Γραφῶν ἑρμηνείαν ἐνόμιζε γενο-

Ἀπαντῶμεν.

§. ζ. Ὅτι τῶν Γραφῶν ἡ ἑρμηνεία γέγονεν ἐπὶ τῆς διετίας καθ᾽ ἣν ὁ Φιλάδελφος ἐβασίλευε ζῶντος ἔτι τοῦ πατρὸς, προείπομεν (Κεφ. Ϛ §. α, κτλ.). Τότε λοιπὸν ἐγένετο καὶ ἡ παρὰ τῷ Ἀριστέα πρὸς Ἀντίγονον νικηφόρος ναυμαχία τοῦ Φιλαδέλφου. Ἀλλ᾽ Ἀντίγονος οὗτος ὁ μέγας οὐκ ἂν ἦν (ὡς ἤδη πάνυ πρῴην τεθνηκώς)· ὑπῆρχεν ἄρα ὁ τούτου ἔγγονος, τοῦ δὲ Δημητρίου υἱὸς, Ἀντίγονος ὁ Γονατᾶς, ὅστις, καί τοι μήπω τότε τῆς Μακεδονίας κεκρατηκὼς, ἐβασίλευεν ὅμως καὶ πρότερον ἐν τῇ Ἑλλάδι δι᾽ ὅλων δέκα ἐτῶν (βλ. ὄπισθ. σελ. 216)· ὅθεν καὶ περὶ τὸ δ, τῆς 124 Ὀλυμπ. (δύω περίπου ἔτη μετὰ τὴν Λαγίδου τελευτὴν) ἐναυμάχησε καὶ πρὸς τὸν Κεραυνὸν ἐπελθόντα στόλῳ μεγάλῳ (βλ. ὄπισθ. σελ. 215). Τοιαύτην τινὰ ναυμαχίαν ἴσως καὶ πρότερον ἔτι πρὸ δύω ἐτῶν συνάψας πρὸς τοὺς Φιλαδέλφου

μένην οὐχὶ καθ᾽ ὃν καιρὸν συνεβασίλευε τῷ πατρὶ ὁ Φιλάδελφος, ἀλλὰ πολλοὺς ὕστερον ἐνιαυτούς. Καθότι ὁ Γονατᾶς Ἀντίγονος ἤρξατο βασιλεύειν 5, ἔτει μετὰ τὴν Λαγίδου τελευτήν (Εὐσέβ. Χρονικ.)· κατέσχε δὲ τὰς Ἀθήνας Ὀλυμπ. ρκθ, τὸ 3, ἤτοι τῷ 23, μετὰ τὸν Λαγίδου θάνατον.. — Ἀπέδωκε δὲ πάλιν τὴν ἐλευθερίαν τοῖς Ἀθηναίοις ἔτει 29, μετὰ τὸν θάνατον τοῦ Λαγίδου (Εὐσέβ. Χρονικ.). — Πρὸ ταύτης οὖν τῆς ἐποχῆς φαίνεται ὅτι ἐνικήθη, ναυμαχήσας πρὸς τὸν Φιλαδέλφου στόλον, καὶ ἴσως κατ᾽ αὐτὸ τὸ 23, ἔτος ἀπὸ τῆς Λαγίδου τελευτῆς » (Hody pag. 58). — [Καλὴ καὶ γενναία τοῦ περικλεοῦς Ὀδίου ἡ ἐξομολόγησις! ἀλλ᾽ (εἰ δεῖ τ᾽ ἀληθὲς εἰπεῖν) καὶ φιλένδοξος ὀλίγον, ἢ καὶ πάντῃ περιττή! Εἰ γὰρ τούτους τοὺς συγγραφεῖς εὕρισκεν ἐναντίους πρὸς τὴν ἀνωτέρω περὶ τοῦ Κεραυνοῦ προεκτεθεῖσαν ἀμάρτυρον αὐτοῦ γνώμην, τί μὴ ταύτην ἀπέπτυε καὶ ὅλως, μὴ μολύνας τὸ χαρτίον; ἀλλ᾽ ἴσως ἐμιμήθη τοὺς φιλοτίμους λιθοξόους ἐκείνους, οἵτινες ἢ πρόσωπον, ἢ σχῆμά τι χαράξαντες ἡμαρτημένως, ἔπειτα τοῦτ᾽ αὐτὸ διωρθωμένως ἀποδόντες ἐπὶ τοῦ αὐτοῦ πίνακος, παραλείπουσιν ἄθικτον καὶ τὸ πρῶτον χάραγμα, φειδόμενοι, μὴ ταφῇ παντάπασιν εἰς τὴν λήθην ὁ πρότερος πόνος, ἄγνωστος καὶ ἀθαύμαστος καὶ οὗτος ὑπὸ τῶν θεωρῶν! Ἴσως δὲ καὶ τὸ κατ᾽ Ἀριστέου πάθος ἔπεισε τὸν ἄνδρα γράφειν ὡς ῥητὰ, καὶ ὅσα κάλλιον ἂν ἔμενον ἄῤῥητα καὶ ἄγραφα. « Καί τοι (λέγει ὁ Δεμάγιστρος) ἐν τοῖς δικαστηρίοις κεκώλυται τοῖς κατηγόροις τοιαῦτα μινυρίσματα προφέρειν. Ἀλλ᾽ οὐδ᾽ ἂν καταδικασθείη πώποτε παρὰ δικασταῖς δικαίοις ὁ ἐγκαλούμενος, ὅταν ὁ κατήγορος αὐτὸς ἑαυτὸν κατακρίνῃ. Ἡ δὲ τοῦ Ἀριστέου διήγησις, εἰ καὶ ὅλως ἔλειπον αἱ τοῦ Λαερτίου καὶ Πλουτάρχου μαρτυρίαι, οὐδὲν ἧττον ἂν ἦν ἀληθής » (Diss. V. p. 499). Περὶ δὲ τῆς Φιλαδέλφου πρὸς τὸν Γονατᾶν ναυμαχίας, βλ. εὐθὺς ἐν τῇ ἀπαντήσει. — Σημ. ἡμετ.].

στρατηγοὺς κατὰ τὴν ἑλληνικὴν θάλασσαν, ἐνικήθη. Καὶ ταύτης τῆς νίκης τὰ εὐαγγέλια ἀφίκοντο εἰς τὴν Ἀλεξάνδρειαν συγχρόνως μετὰ τῶν Ο.— Ἀλλὰ τοιαύτην (λέγουσι) ναυμαχίαν τοῦ Γονατᾶ πρὸς τὸν Φιλάδελφον, ἐπὶ ζῶντος ἔτι τοῦ Λαγίδου συμβᾶσαν, οὐδεὶς τῶν συγγραφέων ἱστόρησεν.— Ἀλλ᾿ ἱστόρησεν αὐτὴν Ἀριστέας· ὡς πάλιν ὁ Λαέρτιος καὶ ὁ Πλούταρχος καὶ Ἰουστῖνος (καί τοι μηδ᾿ οὗτοι πρὸς ἀλλήλους ἐν πᾶσιν ὁμολογοῦντες) ἐμνημόνευσαν τὴν ὕστερον εἴτε περὶ τὴν Κῶν, εἴτε περὶ τὴν Ἄνδρον γενομένην ἐπὶ τοῦ 9, ἔτους τῆς βασιλείας τοῦ Φιλαδέλφου. Ταῦτα πρῶτον ἀπαντῶμεν πρὸς τοὺς περὶ τὸν Ὅδιον. Εἰ δὲ καὶ μαρτυρίαν οὗτοι πάντως ἀπαιτοῦσιν, ἐφαρμόζομεν λοιπὸν ἐπὶ τῆς τιθεμένης προτέρας ταύτης ναυμαχίας, τὴν ἣν Ὅδιος ἐξ εἰκασίας ἐμνημόνευσεν ἀνωτέρω (σελ. 453) μαρτυρίαν τοῦ Πλουτάρχου περὶ τῆς ἀμφὶ τὴν Κῶν ναυμαχίας τοῦ Γονατᾶ πρὸς τοὺς *Πτολεμαίου στρατηγούς* (α). Αἱ δὲ περὶ τῆς ὑστέρας τοῦ

(α) Ὁ Δεμάγιστρος (Diss. V. p. 499) ὁρίζων τὸν χρόνον τῆς παρὰ τῷ Ἀριστέᾳ ναυμαχίας, φαίνεταί πως ἀποδεχόμενος τὴν ἀνωτέρω παρ᾿ Ὁδίου μνημονευθεῖσαν κατ᾿ Ἀντιγόνου (τοῦ Γονατᾶ) ναυμαχίαν τοῦ Φιλαδέλφου, προστιθεὶς εἰς τοῦ Λαερτίου καὶ Πλουτάρχου τὰς μαρτυρίας καὶ ἄλλην τοῦ Ἰουστίνου, λέγοντος· ὅτι Πτολεμαῖος (ὁ Φιλάδελφος) ἐνίκησε τὸν Ἀντίγονον ναυμαχήσας κατὰ τὴν Ἄνδρον (Iustin. prolog. L. 27). Λέγει δὲ τὴν ναυμαχίαν ὁ Ἰουστῖνος γενομένην κατὰ τ ὴ ν Ἄ ν δ ρ ο ν, ἅτε μίαν καὶ αὐτὴν οὖσαν τῶν Κυκλάδων, ὡς ὁ Πλούταρχος πάλιν ὠνόμασε τὴν Κῶν (« ἐν τῇ περὶ Κῶν ναυμαχίᾳ »). Ἀλλ᾿ ὁ σοφὸς Δεμάγιστρος φαίνεται πρὸς ἑαυτὸν διαφωνῶν· διότι ἀλλαχοῦ τῆς Ἀπολογίας ὀρθότερον θεωρεῖ τὴν ἑρμηνείαν τῶν Γραφῶν γενομένην περὶ τὰς ἀρχὰς τῆς Φιλαδέλφου βασιλείας, ἡ δὲ πρὸς τὸν Γονατᾶν αὕτη ναυμαχία γέγονεν εἰ καὶ μὴ περὶ τὰ μέσα (καθὼς Ὅδιος ἀνωτέρω συνείκασεν), ἀλλ᾿ ἐξάπαντος περὶ τὸ 10, ἢ τὸ 9 ἔτος βασιλεύοντος τοῦ Φιλαδέλφου. Τότε καὶ ὁ τοῦ Ὁδίου Ἔκδικος (βλ. ὄπισθ. κεφ. Ζ. §. λ) πιθανολογεῖ τὴν ἑρμηνείαν, ὡς ἐκ τῆς παρὰ τῷ Ἀριστέᾳ ταύτης ναυμαχίας, ἣν καὶ αὐτὸς τὴν κατὰ τοῦ Γονατᾶ ἐκλαμβάνει, τιθεὶς περὶ τὸ α, τῆς 126 Ὀλυμπιάδος, καὶ τὸ 9 ἔτος τῆς Φιλαδέλφου βασιλείας (Vindication of the history etc p. 110 sqq.). Ὁ δὲ τὰ πλεῖστα τῶν Ὁδιακῶν φρονημάτων υἱοθετήσας σοφώτατος Ῥοδομύλλερος προὐχώρησε καὶ μακρότερον. « Ὁ Ἀριστέας (λέγει) ἱστορεῖ ναυμαχίαν τοῦ Φιλαδέλφου πρὸς Ἀ ν τ ί γ ο ν ο ν τ ὸ ν Γ ο ν α τ ᾶ ν, περὶ ἧς οὐδὲν εἶπεν ο ὐ δ ε ὶ ς σ υ γ γ ρ α φ ε ύ ς »!! (Rosenmül. Handbuch für die Literatur etc p. 380 Tom. 2). Καὶ ποῦ τοιαύτην ναυμαχίαν ῥητῶς ἱστόρησεν Ἀριστέας; πῶς δὲ πάλιν οὐδεὶς τῶν ἱστορικῶν ἐμνημόνευσε ναυμαχίας Φιλαδέλφου πρὸς τὸν Γονατᾶν;

Φιλαδέλφου πρὸς τὸν Γονατᾶν ναυμαχίας μαρτυρίαι τοῦ Λαερτίου καὶ Ἰουστίνου οὐδεμίαν ἔχουσι χώραν ἐπὶ τοῦ προκειμένου ζητήματος.

§. ή. « Ἀλλὰ πολὺ πιθανώτερον νομίζομεν, ὅτι ὁ Ἀριστέας μνημονεύει ναυμαχίαν καὶ νίκην Πτολεμαίου τοῦ Λαγίδου, πρώην πρὸς αὐτὸν τὸν μέγαν Ἀντίγονον γενομένην, ἧς τὴν ἐπέτειον ἑορτὴν ἐπετέλουν καθ' ἣν ἡμέραν ἦλθον εἰς τὴν Ἀλεξάνδρειαν οἱ Ο, καθὼς ἔκρινεν ὀρθῶς ὁ γηραιὸς Οὐόσσιος. — « Ἀλλὰ κατ' Ἀντιγόνου τοῦ μεγάλου (λέγουσι) ναυμαχίαν καὶ νίκην τοῦ Λαγίδου λαμπρὰν (οἵαν ἐμνημόνευσεν Ἀριστέας), οὐχ εὑρίσκομεν ἱστορουμένην παρὰ τοῖς Ἕλλησι καὶ Ῥωμαίοις ἱστορικοῖς ». — Ἔστω τοῦτο πρὸς τὸ παρόν. Ἀλλὰ μήποτε παρὰ τοῦτο ψεύδεται ὁ κατὰ τοὺς Ἀριστοβούλου χρόνους ἤδη παλαιὸς (καθὼς ὡμολογήθη σελ. 448) καὶ Ἀλεξανδρινὸς Ἀριστέας, οὕτως ἀναισχύντως ἢ ἀναισθήτως πλάττων βασιλικὰς ναυμαχίας καὶ νίκας παντάπασιν ἀνυπάρκτους; ἀλλὰ τοῦτο μόνη τις ἰσχυρογνώμων καὶ πάντολμος ἐμπάθεια χωρεῖ. Οἱ δὲ τῷ ὄντι δίκαιοι τῶν ἀρχαίων πραγμάτων ἐκτιμηταί, ὁσάκις βλέπουσιν ἱστορικὸν συμβεβηκὸς ἐν παρόδῳ καὶ ἀκροθιγῶς μνημονευόμενον παρ' ἑνί τινι καὶ μόνῳ τῶν ἀρχαίων συγγραφέων, ὅταν μήτε πρὸς τὸν χρόνον μήτε πρὸς τὰς ἄλλας περιστάσεις προφανῶς ἀντιβαίνῃ τὸ πρᾶγμα, ψῆγμα τοῦτο κρίνουσι χρυσίου, πολύτιμον εἰς τὴν ἱστορίαν, ἥτις ἐν πολλοῖς ἐξελέγχεται πολλάκις ἐλλειπὴς (καὶ μάλιστα περὶ τὰ Πτολεμαϊκά), διὰ τὴν ἀτέλειαν τῶν εἰς ἡμᾶς περισωθεισῶν ἐκ τῶν τότε χρόνων ἱστοριῶν, καθὼς ἔκρινε περὶ τούτου σοφῶς ὁ σοφὸς Ὑσσέριος. Ἀλλ' ὁ κλεινὸς Ὅδιος φοβούμενος μὴ φανῇ καθωσιωμένος εἰς τὸν Ἀριστέα, καθωσιώθη ὅλος εἰς ἑαυτόν, μήτε τὴν Ὑσσερίου μήτε τὴν Οὐοσσίου καὶ τοσούτων ἄλλων ἐνδόξων ἀνδρῶν ἀποδεξάμενος γνώμην, ἀλλὰ μηδ' αὐτὰ τὰ παρὰ τοῖς ἀρχαίοις ἱστορικοῖς σωζόμενα γνωρίσματα τῆς παρὰ τῷ Ἀριστέᾳ μνημονευομένης ναυμαχίας.

§. θ΄. Τὴν ναυμαχίαν ταύτην (ὅσον ἂν Ὅδιος ἀντιλέγῃ) ἱστορεῖ Διόδωρος· καὶ ὁ σοφὸς Οὐόσσιος, ὅσον συντόμως καὶ βραχυλόγως, τόσον εὐλόγως καὶ δικαίως ἀπέφηνε τὴν αὐτὴν παρά τε τῷ Διοδώρῳ καὶ τῷ Ἀριστέᾳ. Καὶ ἡ δεῖξις πρόχειρος.

§. ί. Πρῶτον. Ὁ Διόδωρος, εἰ καὶ μὴ ῥητῶς ἱστορεῖ ναυμαχίαν *ἐκ παρατάξεως ἐν τῷ πελάγει* γενομένην, ἱστορεῖ ὅμως τὸν Ἀντιγόνου μετὰ Δημητρίου στόλον πειραθέντα τῆς εἰς Αἴγυπτον ἀποβάσεως, καὶ ἀποκρουσθέντα ὑπό τε τῶν παραλίων τοῦ Πτολεμαίου προτειχισμάτων, καὶ τῶν ἐν αὐτοῖς τοῖς στόμασι τοῦ Νείλου ἀμυνομένων ἐνόπλων πλοίων, ἢ σκαφῶν. Ἰδοὺ αἱ λέξεις αὐταὶ τοῦ ἱστορικοῦ· « Ἀντίγονος — προσέπλευσεν ἐπὶ τὸ καλούμενον Ψευδόστομον, νομίζων ἐνταῦθα δυνήσεσθαί τινας τῶν στρατιωτῶν ἀποβιβάσαι. Εὑρὼν δὲ πρὸς αὐτῷ φυλακὴν ἰσχυρὰν, *καὶ τοῖς τε ὀξυβελέσι καὶ τοῖς ἄλλοις παντοίοις βέλεσιν ἀνειργόμενος*, ἀπέπλευσεν. — Ἔπειτα προσέπλευσεν ἐπὶ τὸ στόμα τοῦ Νείλου τὸ καλούμενον Φαγνητικόν » (ἄλλ. *Φατνιτικὸν*, ἢ καθὼς ὁ Στράβων, *Φατνικόν*). « Καὶ οἱ μὲν περὶ τὸν Πτολεμαῖον πυθόμενοι τὸν κατάπλουν τῶν πολεμίων, ἧκον ὀξέως βοηθήσαντες· καὶ τὴν δύναμιν διασκευάσαντες ἔστησαν ἐπὶ τὸν αἰγιαλόν. Ὁ δὲ Δημήτριος *ἀποτυχὼν καὶ ταύτης τῆς ἐκβάσεως*, — ἐπαλινδρόμει παντὶ τῷ στόλῳ. Εἶτ' ἐμπεσόντος βορέου λαμπροῦ, καὶ τοῦ κλύδωνος εἰς ὕψος αἰρομένου, τρία μὲν σκάφη τῶν τετρηρικῶν, καὶ τῶν στρατιωτικῶν πορείων ἅμα (ἴσ. ἄλλα) κατὰ τὸ αὐτὸ βιαιότερον ὑπὸ τοῦ κύματος εἰς τὴν γῆν ἐξεβράσθη, καὶ *τοῖς περὶ τὸν Πτολεμαῖον ὑποχείρια κατέστη*. — Τῶν δὲ περὶ τὸν Πτολεμαῖον διειληφότων πᾶσαν τὴν περὶ τὸν ποταμὸν ἔκβασιν φυλακαῖς ἰσχυραῖς, καὶ *πολλῶν μὲν σκαφῶν ποταμίων αὐτῷ παρεσκευασμένων, πάντων δὲ τούτων ἐχόντων βέλη παντοῖα καὶ τοὺς χρησομένους αὐτοῖς ἄνδρας*, οἱ περὶ τὸν Ἀντίγονον οὐ μετρίως ἠποροῦντο. — Καὶ ταχὺ πάλιν ὁ Ἀντίγονος ἐπανῆλθεν εἰς τὴν Συρίαν, συμπαραπλέοντος αὐτῷ καὶ τοῦ στόλου παντός » (Διόδωρ. Κ, §. 75—76.). Ἐκ τῶν Διοδώρου τούτων βλέπομεν σαφῶς, ὅτι ὁ τοῦ Ἀντιγόνου στόλος βιαζόμενος τὴν ἀπόβασιν, ἐμάχετο πάντως πρὸς τοὺς περὶ τὸν Πτολεμαῖον· καὶ οὗτοι πάλιν ἐδέχοντο τοὺς πολεμίους ἐπιπλέοντας, ὅπλα τε ἀνταίροντες, « *ναύμαχα* δόρατα μακρὰ » (τὸ τοῦ ποιητοῦ), καὶ *βέλεσι παντοίοις* ἐκ τῆς παραποταμίας γῆς, καὶ *σκάφεσι μάλιστα πολλοῖς ὡπλι-*

σμένοις ἐξ αὐτοῦ τοῦ ποταμοῦ κωλύοντες τὴν ἀπόβασιν. Τοιαύτη δὲ *μάχη νηῶν ἐπιπλεουσῶν πρὸς ἄλλας* ἀνθισταμένας, καὶ ὑπὸ τῶν παραλίων ἅμα φυλακῶν ἐνισχυομένας, τί ἂν ἕτερον εἴη, ἢ πῶς ἂν ἄλλως λέγοιτο, εἰ μὴ *Ναυμαχία;* Ἢ μήπως *μάχη νηῶν* ἐν πελάγει μὲν ἔστι τε καὶ λέγεται *ναυμαχία*, ἐν δὲ τῷ ποταμῷ καὶ τοῖς στενοῖς καὶ παρ' αἰγιαλοῖς, οὔ; Καὶ ὅτε λοιπὸν ὁ Κίμων μετὰ τοῦ στόλου τῶν Ἀθηναίων προσεφέρετο πρὸς τὰς νῆας τῶν Περσῶν, εἰσορμισάμενος εἰς Εὐρυμέδοντα τὸν ποταμὸν, εἴπερ αὗται μὴ ἀντεξέπλεον, ἐδέχοντο δὲ τὸν Κίμωνα μένουσαι κατ' αὐτὸν τὸν ποταμὸν, τότε ἐκείνη ἡ μάχη οὐκ ἂν ἐλέγετο ναυμαχία; (Πλούτ. Κίμων. §. ιϭ). Ναυμαχία διαρκὴς οὐκ ἐγένετο κἀκείνη ἡ τῶν Ἀθηναίων καὶ τῶν Συρακουσίων, « *ἐν τῷ λιμένι κατ' ὀλίγους ναυμαχησάντων;* » (Διόδωρ. ιγ, 15). Καὶ τῶν μὲν Ἑλλήνων *κοίλῃς ἐπὶ νηυσὶ* πολεμούντων, καὶ τοὺς Τρῷας ἀμυνομένων, ἐκ τῆς γῆς εἰς τὸν ναύσταθμον ἐφορμήσαντας, ἐλέγετο ἡ *ἐπὶ ταῖς ναυσὶ μάχη* (Ἰλ. Ν.), πρὸς δὲ τὸν ἐπιπλέοντα τοῦ Ἀντιγόνου στόλον ἐν τοῖς τοῦ Νείλου στόμασι, καὶ ἀπὸ πλοίων πολλῶν καὶ ἀπὸ τῆς παραλίας οἱ Αἰγύπτιοι μαχόμενοι *οὐκ ἐναυμάχουν;* Ὁ δὲ πάλιν ἐκ τῆς τοιαύτης ναυμαχίας πλοῖα τῶν πολεμίων (*πορεῖα στρατιωτῶν καὶ σκάφη τετρηρικὰ*) ὑποχείρια λαβὼν ὑπὸ τοῦ κύματος ἐκβρασθέντα, καὶ *πολλῶν δὲ πρὸς αὐτὸν αὐτομολησάντων κρατήσας* (Διόδωρ. αὐτόθ.), καὶ τὴν *ἀπόβασιν* πάντοθεν *ἀποκρούσας*, καὶ, τέλος, ὅλον τὸν Ἀντιγόνου στόλον παλινδρομῆσαι καταναγκάσας Πτολεμαῖος ὁ Λαγίδης, πῶς ἂν ἄλλως καλοῖτο εἰ μὴ *νικητής;* Καὶ ταῦτα μὲν ἐζωγράφησεν ὁ Διόδωρος. Ὁ δὲ Παυσανίας τὴν αὐτὴν Ἀντιγόνου κατὰ τοῦ Λαγίδου στρατείαν ἱστορῶν, οὐχ ἁπλῶς *σκάφεσιν*, ἀλλὰ, μᾶλλον ἐκφαντικώτερον, *τριήρεσιν* εἶπεν ἀμυνόμενον τοὺς πολεμίους τὸ Πτολεμαίου ναυτικόν· « Πτολεμαῖον (λέγει) εἰς Αἴγυπτον, Ἀντίγονός τε κατὰ γῆν, καὶ ναυσὶν ἅμα ἐπολιόρκει Δημήτριος. Πτολεμαῖος δὲ εἰς πᾶν ἀφικόμενος τοῦ κινδύνου, διέσωσεν ὅμως τὴν ἀρχὴν, στρατιᾷ τε ἀντικαθήμενος ἐπὶ Πηλουσίῳ, καὶ *ΤΡΙΗΡΕΣΙΝ ἀμυνόμενος ἅμα ἐκ τοῦ ποταμοῦ* (Παυσαν. Α. ϛ. 6).

§. ιά. Δεύτερον. Τὴν ἐκ τῆς ναυμαχίας ταύτην νίκην πόσον μέγα εὐτύχημα ἐνόμιζεν ὁ Πτολεμαῖος, ἱστορεῖ λαμπρῶς αὐτὸς πάλιν ὁ Διόδωρος λέγων· « Πτολεμαῖος δὲ μετὰ τὴν ἀπαλλαγὴν τῶν πολεμίων περιχαρὴς γενόμενος, καὶ *θύσας τοῖς θεοῖς χαριστήρια, τοὺς φίλους εἰστία λαμπρῶς*. Καὶ πρὸς μὲν τοὺς περὶ Σέλευκον καὶ Λυσίμαχον καὶ Κάσσανδρον ἔγραψε περὶ ΤΩΝ ΕΥΤΥΧΗΜΑΤΩΝ, *καὶ περὶ τοῦ πλήθους τῶν πρὸς αὐτὸν αὐτομολησάντων*. Αὐτὸς δὲ τὸ *δεύτερον* (α) ἠγωνισμένος ὑπὲρ τῆς Αἰγύπτου, καὶ νομίσας ΔΟΡΙΚΤΗΤΟΝ ἔχειν τὴν χώραν, ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν » (Κ. 76.). Καὶ λοιπὸν ὁ Πτολεμαῖος οὕτως ἐτίμα τὴν ναυμαχίαν ἐκείνην, ὥστε δι' αὐτὴν ἐνόμιζεν ὅτι ἀπέβη τῆς Αἰγύπτου πάσης *δοριχτήτωρ, δορὶ* τούτῳ δηλαδή, τῷ ἀπὸ τῶν *τριήρεων* πρὸς τὸν Ἀντιγόνου *στόλον* πολέμῳ (διότι κατὰ γῆν οὐδεμίαν συνῆψε μάχην) νικήσας τοὺς πολεμίους, καὶ τὴν χώραν ἔμπεδον κτησάμενος (β). Εἰ δ' ἐσῴζοντο καὶ καθ' ἡμᾶς αἱ τούτου πρὸς τοὺς περὶ Σέλευκον καὶ Λυσίμαχον ἐπιστολαί, ἐν αἷς τὰ *εὐτυχήματα* καὶ κατορθώματα τῆς μάχης ἐκείνης διέγραφε (καὶ ἀφ' ὧν ἴσως καὶ Διόδωρος ἀντέγραψε καὶ ἄλλα καὶ αὐτὸ τὸ τῶν *εὐτυχημάτων*), ἐβλέπομεν ἂν ἴσως καὶ αὐτὸν τὸν Λαγίδην *ναυμαχίαν* ῥητῶς τὴν ἀμυντικὴν ἐκείνην μάχην ἀποκαλοῦντα, καθὼς αὐτὴν ὠνόμασεν ὀρθῶς καὶ δικαίως ὁ υἱὸς αὐτοῦ ὁ Φιλάδελφος παρὰ τῷ Ἀριστέᾳ.

§. ιβ'. Τρίτον. Μετὰ τὴν μάχην ἐκείνην ὁ Πτολεμαῖος « θύσας τοῖς θεοῖς χαριστήρια τοὺς φίλους εἰστία λαμπρῶς »· ταῦτα δὲ λέγων ὁ Διόδωρος, ἅπαξ ἐννοεῖ τότε μόνον γενομένην καὶ τὴν ἑστίασιν (καθὼς καὶ ὁ Ἔκδικος ὀρθῶς παρετήρησε, σελ. 86 κτλ.)·

(α) Τὸ π ρ ῶ τ ο ν ἠγωνίσθη κατὰ Περδίκκου (Ὀλυμπ. 114, τὸ γ) μετὰ πολλῆς στρατιᾶς εἰς Αἴγυπτον στρατεύσαντος (Διόδωρ. ιη, 33—36. Παυσαν. Α. 6.)· ὁ δὲ δεύτερος οὗτος ἀ γ ὼ ν ἐγένετο μετὰ ἔτη περίπου 12 (Ὀλυμπ. 118, τὸ γ) τῷ 305 π. χ. βλ. Champol. Annal. des Lag. T. I. p. 339—343.

(α) « *Τὴν Αἴγυπτον ὡσανεὶ δορίκτητον εἶχεν* », *εἶπε περὶ Πτολεμαίου ὁ Διόδωρος* (ιη, §. 43), *καὶ ὅτε τὸν πρῶτον ἠγωνίσατο ἀγῶνα*, « *παραδόξως ἀποτετριμμένος τόν τε Περδίκκαν καὶ τὰς βασιλικὰς δυνάμεις* » (*πρβλ. καὶ βιβλ. ιη.* §. 39).

παρὰ δὲ τῷ Ἀριστέᾳ καὶ ὕστερον φαίνεται κατ᾽ ἔτος ἑορταζομένη τῆς νίκης ἐκείνης ἡ μνήμη, καθ' ἣν συνέπεσε καὶ ἡ ἡμέρα τῆς εἰς Ἀλεξάνδρειαν ἀφίξεως τῶν Ο, (μετὰ ἔτη περίπου 22 ἀπὸ τῆς ναυμαχίας). Ἐπειδὴ δὲ ὁ Διόδωρος περὶ τῆς ἐνιαυσίας ταύτης ἑορτῆς ἐσιώπησε, μὴ παρὰ τοῦτο οὐκ ἤγετο κατ᾽ ἔτος ἡ ἑορτή; Ἀλλ' ὅσον ἐκ τῆς Διοδώρου σιωπῆς οὐδ᾽ αὐτὴ λοιπὸν ὑπῆρξεν ἡ πρὸς Ἀντίγονον τὸν Γονατᾶν νικηφόρος ναυμαχία τοῦ Φιλαδέλφου. Εἰ δὲ ταύτην μόλις διὰ μιᾶς λέξεως ὑπεσήμανεν ὁ Λαέρτιος, ἐν παρόδῳ δὲ καὶ ἀσαφῶς ὁ Πλούταρχος, διαφόρως δὲ πάλιν παρὰ τοῦτον ὁ Ἰουστῖνος (τὴν *Ἄνδρον* ὀνομάζων ἀντὶ τῆς *Κῶ*), καὶ τὴν ὑπὸ Διοδώρου λοιπὸν σιωπηθεῖσαν ἐτήσιον ἀνάμνησιν τῆς ἑορτῆς ἐμνημόνευσεν ἄλλος ἱστορικὸς, ὁ Ἀριστέας, τοσούτῳ μᾶλλον τῆς Διοδώρου σιωπῆς πιστότερος, ὅσῳ καὶ πλησιέστερος ὑπῆρχε, καὶ σύγχρονος συνεορταστὴς καὶ συνδαιτυμὼν τῆς αὐτῆς ἑορτῆς. Ὅτι δὲ καὶ πόλεις πολλάκις καὶ βασιλεῖς εἴτε μεγάλων κινδύνων ἀπαλλαγέντες, εἴτε λαμπροῦ τινος εὐτυχήματος ἀπολαύσαντες, καὶ ἐπὶ πόλεων δὲ κτίσει, καὶ γενεθλίοις, ἢ ἀναγορεύσεσι βασιλέων, καὶ δι᾽ ἄλλας ἀξιομνημονεύτους αἰτίας, ἑώρταζον ἐτησίους ἑορτὰς καὶ παρὰ βαρβάροις καὶ παρὰ τοῖς Ἕλλησι, περιττοὶ γινόμεθα φέροντες παραδείματα. Ἓν μόνον μνημονεύομεν, τὴν λεγομένην τῶν Ταραντίνων *Νηστείαν* (ἑορτὴν εἰς νηστείας ἀνάμνησιν). Ἑώρταζον δὲ ταύτην οἱ Ταραντῖνοι, διότι « Πολιορκουμένων αὐτῶν ὑπὸ Ἀθηναίων, καὶ μελλόντων ἁλῶναι λιμῷ, οἱ Ῥηγῖνοι ἐψηφίσαντο μίαν ἡμέραν ἐν ταῖς δέκα νηστεύειν, καὶ ἐκείνης τὰς τροφὰς ἐκχωρῆσαι Ταραντίνοις. Ἀποστάντων οὖν αὐτῶν (τῶν πολιορκητῶν), ἐσώθησαν· καὶ μεμνημένοι τοῦ πάθους, ἑορτὴν ἄγουσι τὴν καλουμένην *Νηστείαν* οἱ Ταραντῖνοι » (α). Εἰ δὲ ταῦτα μία πόλις, οἱ Ταραντῖνοι, πολὺ

(α) Αἰλιαν. Π. ἱστορ. Ε. κ. Ἄλλη δὲ πολὺ διάφορος παρ' Ἀθηναίοις Ν η σ τ ε ί α λεγομένη κἀκείνη, σκυθρωποτάτη ἡμέρα, ἡ τρίτη καὶ μέση τῆς (ἐξ Αἰγύπτου. Ἡρόδ. β, 171) ἑορτῆς τῶν Θεσμοφορίων, καθ' ἣν ἐ ν ή σ τ ε υ ο ν α ἱ γ υ ν α ῖ κ ε ς (Πλούταρχ. Δημοσθ. §. λ. πρβλ. Ἀθήν. δ, 156 καὶ ζ, 307· ὅθεν καὶ Ν ή σ τ ε ι ρ α ἡ θεσμοφόρος Δήμητρα· Νίκανδρ. Ἀλεξ. 136). Σημειωτέον δ' ἐν παρόδῳ, ὅτι αὕτη τῶν πολλὰ καὶ

μᾶλλον ἔμελλεν ἑορτάζειν τὴν ἀείμνηστον ἐκείνην *Νίκην*, δι' ἣν *δορίκτητον* ἔσχεν ὅλην τὴν Αἴγυπτον, ὁ βασιλεὺς Πτολεμαῖος ὁ Λαγίδης, ὅστις, καὶ ὅτε τὸ πρῶτον ἔλαβε τῆς Αἰγύπτου τὴν ἀρχὴν, ἔστησε καὶ *Πενταετηρίδα*, καὶ *ἐποχὴν* ἐπισημοτάτην, τὴν ἀπ' αὐτοῦ παρονομασθεῖσαν *τῶν Λαγιδῶν*. Καὶ Ἀθηναῖοι δὲ κατ' ἔτος (6, Βοηδρομ.) ἑώρταζον τὴν ἐν Μαραθῶνι Νίκην (Πλούτ. πότ. Ἀθηναῖοι — ἐνδοξότ.).

§. ιγ'. Τούτων οὕτω τεθέντων, ἀναλάβωμεν τοὺς παρὰ τῷ Ἀριστέᾳ πρὸς τοὺς Ο, λόγους τοῦ Φιλαδέλφου, ἐξ ὧν τὴν ἀμαθῆ τοῦ Ἀριστέου νοθείαν ὠσφράνθη καὶ κατέδειξεν ἡ τοῦ Ὀδίου κριτική. «Μεγάλην δὲ τέθειμαι τὴν ἡμέραν ταύτην, ἐν ᾗ παραγεγόνατε· καὶ κατ' ἐνιαυτὸν ἐπίσημος ἔσται πάντα τὸν τῆς ζωῆς ἡμῶν χρόνον. Συνέτυχε δὲ καὶ κατὰ *τὴν νίκην* ἡμῖν προσπεπτωκέναι τῆς πρὸς Ἀντίγονον ναυμαχίας» κτλ. (α). Λέγει τοίνυν ὁ βασιλεὺς, ὅτι μεγάλην καὶ λαμπρὰν νομίσας τὴν ἡμέραν τῆς ἀφίξεως τῶν Ο, *ἐπίσημον* αὐτὴν καταστήσει, καὶ τιμήσει δι' ὅλης αὐτοῦ τῆς ζωῆς.

ἄλλα ἐκ τῆς Ἀσίας παραλαβόντων Ἀθηναίων ἡ νηστεία ἐτελεῖτο κατὰ μῆνα Πυανεψιῶνα, τὸν αὐτὸν καὶ παρ' Ἑβραίοις Τ ι σ ρ ὶ (Ὀκτώβριον), ὁπότε (τῇ 10 τοῦ μηνὸς) καὶ παρὰ τοῖς Ἑβραίοις ἤγετο πάνδημος νηστεία, κατὰ τὴν μεγάλην ἡμέραν τοῦ ἱλασμοῦ (Λευΐτ. ις, 29, 34. πρβλ. Θεοδώρ. εἰς τὰ Ἄπορ. Λευΐτ. ἐρωτ. κβ. βλ. καὶ Πράξ. κζ. 9). ταύτης τῆς νηστείας ἐμνημόνευσε καὶ Πλούταρχος (Συμποσ. Δ. ε). Βλ. Spanhem. Observat. εἰς Καλλιμ. ὕμν. Δήμητρ. στίχ. 12. σελ. 757. τόμ. β.

(α) Οὕτω καὶ Ἰώσηπος· «Ἔτυχε γὰρ ἡ αὐτὴ (ἡμέρα) εἶναι τῆς παρουσίας αὐτῶν (τῶν Ο), καὶ τῆς νίκης, ἣν Ἀντίγονον ναυμαχῶν ἐνίκησε» (Ἀρχ. ΙΒ. κεφ. β, §. 10). Σημείωσαι δὲ ὅτι ἣν ὁ Ἀριστέας εἶπε ν ί κ η ν, ὁ Ἰώσηπος ἐξέφρασε κοινότερον ν ί κ η ς ἡ μ έ ρ α ν (σύνηθες δὲ παρὰ τοῖς Ἀλεξανδρινοῖς μάλιστα καὶ τὴν ἑορτὴν ἁπλῶς ἡ μ έ ρ α ν καλεῖν, ὡς, «τ ὴ ν ἡ μ έ ρ α ν τ ῆ ς Π ε ν τ η κ ο σ τ ῆ ς» Πράξ. β. 1. τουτ. τὴν ἑ ο ρ τ ὴ ν τῆς Πεντ.). τοῦτ' αὐτὸ σημαίνει καὶ τὸ ν ί κ η (ἐπὶ νίκῃ ἑορτὴν), ὡς καὶ τὸ ν η σ τ ε ί α (ἀνωτέρω), καὶ μυρίων ἄλλων ἑορτῶν ὀνόματα ἀπαραλλάκτως λεγόμενα πρὸς τὴν ἀφορμὴν, ἢ τὴν ὑπόθεσιν ἑκάστης ἑορτῆς. Οἱ δὲ κριτικοὶ λίαν ἐπλανήθησαν ἐκλαβόντες τὴν ἐπὶ μνήμῃ τῆς νίκης ἑορτάσιμον ἡμέραν ἀντ' αὐτῆς τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἡ νίκη ἐγένετο. Τοῦτο δὲ καὶ ὁ λόγιος Οὗγος παθὼν, ἐνόμισε τὴν ἑρμηνείαν γενομένην κατ' ἐκεῖνον τὸν χρόνον ὁπότε τὸν Ἀντίγονον κατεπολέμησεν ὁ Λαγίδης· τὸν δ' Ἀριστέα κατέκρινεν ὡς ἐξ ἀπάτης ἐκλαβόντα τὸν Φιλάδελφον ἀντὶ τοῦ Λαγίδου βλ. L. Hug de Pentat. versione Alexandr. Comment. §. 7. p. 13—14.

Πῶς; ἀναγράψας δηλονότι καὶ συνάψας καὶ ταύτης τῆς ἡμέρας τὴν μνήμην μετὰ τῆς, καθ' ἣν συνέπεσεν, ἐνιαυσίου ἑορτῆς τῆς κατ' Ἀντιγόνου νίκης. Ἢ διὰ τί ἄλλο ἐμνημόνευσε τῆς νίκης ταύτης ὁ Φιλάδελφος, εἰ μὴ πρὸς ἀπόδειξιν, ὅτι κοινὴν ἀμφοτέρων τῶν εὐτυχημάτων μνήμην ἐπιτελέσει κατ' ἔτος, ὡς ἐπὶ τῆς αὐτῆς ἡμέρας κατὰ τύχην συμπεπτωκότων; Ὅτι δὲ τὸ « *κατὰ τὴν νίκην* » σημαίνει τὸ *κατὰ τὴν ἐπὶ τῇ νίκῃ ἑορτὴν*, δηλοῖ πως καὶ ἡ ἐφεξῆς ἐπακολουθοῦσα πρόσκλησις τῶν Ο, εἰς τὴν κοινὴν ἑστίασιν· « *Διὸ δειπνῆσαι* (λέγει) *μεθ' ὑμῶν σήμερον βουλήσομαι* ». (ἐν τῇ πανδαισίᾳ δηλονότι τῆς ἑορτῆς, καθ' ἣν πανηγυρίζομεν τῆς κατ' Ἀντιγόνου ναυμαχίας τὴν νίκην, πάλαι συμβᾶσαν, ὡς ἂν σήμερον). « Καὶ ἐκέλευσεν (ὁ βασιλεὺς) — τὰ *κατὰ τὸ συμπόσιον* ἑτοιμάζειν ».

§. ιδ'. Ταῦτα σημαίνουσιν οἱ λόγοι τοῦ Ἀριστέου. Ὁ δὲ κλεινὸς Ὅδιος ἐξελέγχων τάχα τούτους, ἐπλανήθη πολλαχῶς. α) Ἠρνήσατο τὴν παρὰ Διοδώρῳ καὶ Παυσανίᾳ διαδηλουμένην ἀμυντικὴν ναυμαχίαν. Αὐτὸς ὁ Λαγίδης Πτολεμαῖος ἔγραφε πρὸς τοὺς φίλους ἐκείνης τῆς μάχης τὰ εὐτυχήματα (καθὼς προείδομεν). Ὁ Διόδωρος λέγει τοῦτον ἐπὶ λέξεως *ἠγωνισμένον τὸ δεύτερον* ὑπὲρ τῆς Αἰγύπτου, παραβάλλων δηλονότι τὸν πρὸς Ἀντίγονον τοῦτον *ἀγῶνα*, ὡς ἰσοπαλῆ καὶ ἰσοστάσιον, πρὸς τὴν πρώτην ἐκείνην τὴν κατὰ Περδίκκου πεζομαχίαν. Εἰ δὲ καὶ μὴ ναυμαχίαν ἐκ παρατάξεως, ἀλλ' ὅμως ναυμαχικὸν ἀγῶνα σαφῶς ὁ ἱστορικὸς διαγράφει, λέγων· « *βέλεσι παντοίοις ὁ Πτολεμαῖος ἀνεῖργε τῶν ἐν τῷ στόλῳ πολεμίων τὴν ἀπόβασιν, καὶ σκάφη ποτάμια καὶ βέλη ἐν αὐτοῖς παντοῖα, καὶ τοὺς τούτοις χρησομένους εἶχε παρεσκευασμένους* ». Ὁ Παυσανίας, τέλος, ἔγραψε τοῦτον καὶ *τριήρεσιν ἀμυνόμενον* τοὺς ἐπιπλέοντας ἐχθροὺς *ἐκ τοῦ ποταμοῦ*. Ὁ δὲ κριτικὸς ὀρθῷ τῷ στόματι διεβεβαίωσεν (§. 6), ὅτι ὁ Παυσανίας οὐδενὸς *ἀγῶνος ναυμάχου* μέμνηται »· καὶ ὅτι οἱ περὶ τὸν Ἀντίγονον ἀνεχώρησαν *χωρὶς μάχης μηδεμιᾶς!* (α). — β) Ἠρνήσατο τὴν ἐπὶ τῇ νίκῃ

(α) Ὁ δὲ κλεινὸς Οὐόσσιος, « Ὅτι δὲ (λέγει) μηδεμίαν ἐν τούτῳ τῷ πολέμῳ ναυμαχίαν » (δηλονότι σ τ ό λ ο υ π ρ ὸ ς σ τ ό λ ο ν ἐ ν π ε λ ά γ ε ι μ ά χ η ν ἐκ

ταύτῃ ἐνιαύσιον ἑορτὴν, ἧς τινος ὁ μὲν Διόδωρος ἱστόρησε τὴν ἀρχὴν, ὁ δ' Ἀριστέας συντόμως ἐξέφρασε τὴν κατ' ἔτος ἐπανάληψιν, ὡς ὁ σοφὸς Οὐόσσιος παρετήρησε. — γ) Ἐσυκοφάντησε τὸν Ἀριστέα, λέγων αὐτὸν *ἁμαρτήσαντα τὰ αἴσχιστα*, διότι ἐπέγραψεν εἰς τὸν Φιλάδελφον ἀνύπαρκτον ναυμαχίαν, καὶ ταύτην πρὸς Ἀντίγονον, ἤδη τότε πρὸ πολλοῦ τετελευτηκότα (καθ' ὃν καιρὸν ὁ Φιλάδελφος ἔτι νανίον ἐβαυκαλίζετο τιθηνούμενος ἐπὶ τῆς κοιτίδος!). Τούτου δὲ τὴν δεῖξιν κατασκευάζων περιέκειρε μίαν πρόθεσιν ἐκ τῶν παρὰ τῷ Ἀριστέᾳ λόγων τοῦ Φιλαδέλφου. Οὗτος λέγει, ὅτι ἡ ἡμέρα τῆς ἀφίξεως τῶν Ο, « *Συνέτυχε καὶ ΚΑΤΑ τὴν νίκην* ἡμῖν προσπεπτωκέναι ». Ὁ δὲ κριτικὸς τἀνάπαλιν· « *Συνέτυχε τὴν νίκην ἡμῖν προσπεπτωκέναι* » (κατὰ τὴν ἡμέραν τῆς ἀφίξεως τῶν Ο,). Ἐκ δὲ τούτου διεστράφη πᾶν τὸ νόημα τῆς φράσεως· καὶ τὸ *κατὰ τὴν νίκην* (ἤτοι τὴν ἐπὶ τῇ νίκῃ ἑορτὴν), ἀπέβη αὐτὸ τὸ ἔργον τῆς νίκης. — δ) Τελευταῖον· ἐξηγῶν ὁ κριτικὸς καὶ τὸ *ἡμῖν* ὡς βασιλικώτερον εἰρημένον ὑπὸ τοῦ Φιλαδέλφου (ἀντὶ τοῦ ἑνικοῦ *ἐμοὶ*), εἰσάγει λοιπὸν τὸν Φιλάδελφον αὐτὸν εἰς ἑαυτὸν ἐπιγράφοντα καὶ τὴν νίκην καὶ τὴν πρὸς Ἀντίγονον ναυμαχίαν· καὶ ταῦτα συμπεσόντα κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν τῆς ἀφίξεως τῶν Ο! Ἀλλὰ τῶν αἰσχίστων τῷ ὄντι τούτων ἁμαρτημάτων οὐχ ὁ Ἀριστέας ἔνοχος, ὁ δὲ τὸ κείμενον αὐτοῦ διαφθείρων. Ὁ δὲ Ἰώσηπος τ' ἄλλα πάντα περὶ τὴν φράσιν τῷ Ἀριστέᾳ συμφωνῶν, μόνον τὸ ἀόριστον ἐκεῖνο τὸ

παρατάξεως) « *ἐμνημόνευσεν ὁ Διόδωρος, διὰ τοῦτο μάλιστα ἀπέβη διασημοτέρα καὶ λαμπροτέρα ἐκείνη ἡ νίκη, ἥτις ἤρκεσε καὶ μόνη πρὸς τὸ τὸν Πτολεμαῖον ἐπονομασθῆναι Σωτῆρα, ὡς διασώσαντα τοὺς οἰκείους, καὶ τρέψαντα τοὺς πολεμίους εἰς φυγήν. Τίς ἀγνοεῖ τὸν Πομπήϊον ὅτι διὰ τοῦτο μάλιστα ἐκλείσθη, διότι κατέπαυσεν ἀναιμάκτως τὸν πόλεμον τὸν πειρατικόν;* » (Voss. Append. p. 68. πρβλ. Πλούταρχ. Πομπ. §. κη). Ἀλλ' ἐν τούτοις ὁ γηραιὸς φαίνεταί πως ἀμελέστερον καὶ μετ' ὀλιγωρίας (ὡς εἴωθεν ἐνίοτε) πρὸς τὸν τότε νέον Ὅδιον ἀπαντῶν· διότι τὸ Σωτὴρ ἐπώνυμον οὔτε παρὰ τῶν Αἰγυπτίων, οὔτε τότε ἐδόθη τῷ Πτολεμαίῳ, δύω δ' ὕστερον ἐνιαυτοὺς (Ὀλυμπ. 119, τὸ α), καὶ ὑπὸ τῶν Ῥοδίων (Παυσ. Α, η. πρβλ. Διόδωρ. Κ. βλ. ὄπισθ. σελ. 156.). Τὸν δὲ Πομπήϊον εἶπεν ἀναιμωτὶ καταπαῦσαι τὸν πειρατικὸν πόλεμον, ἴσως διότι « *μάχῃ μιᾷ, καὶ ταύτῃ βραχείᾳ* (τῇ περὶ τὸ Κορακήσιον τῆς Κιλικίας) *ἐξετέλεσε τὸ μέγα ἔργον* » (Πλούταρχ. Πομπ. §. κη).

« *κατὰ τὴν νίκην τῆς πρὸς Ἀντίγονον ναυμαχίας* » παρέφρασε διοριστικώτερον εἰπών· « Ἡμέραν τῆς νίκης, ἣν Ἀντίγονον ναυμαχῶν ἐνίκησε ». Καὶ ἡμέραν μὲν τῆς νίκης αὐτὴν καὶ ὁ Ἰώσηπος τὴν ἑορτὴν ἐννοεῖ. Τὸ δὲ « ἐνίκησεν » ἀναφέρων εἰς αὐτὸν τὸν Φιλάδελφον, καταχρηστικώτερον ἐξεφράσθη, καὶ οἷον κατὰ συνεκδοχήν. Ἀνέφερε τὴν πατρῴαν ἀνδραγαθίαν εἰς τὸν υἱὸν οὐχ ὡς αὐτουργόν, ἀλλ' ὡς διάδοχον καὶ συμμέτοχον κἀκείνης τῆς οἰκιακῆς εὐκλείας τοῦ ζῶντος ἔτι πατρός, μεθ' οὗ καὶ συνεώρταζεν, ἐπαγαλλόμενος ὡς οἰκείᾳ, τῇ νίκῃ, δι' ἣν ἔσχε περισωθεῖσαν αὐτῷ καὶ τὴν βασιλείαν· (ὅθεν εἶπε καὶ πληθυντικῶς· « *ἡμῖν* προσπεπτωκέναι κατὰ τὴν νίκην ». βλ. ὄπισθ. σελ. 451). Ἴσως δὲ καὶ πρὸς μείζονα τοῦ Φιλαδέλφου ἔπαινον ὁ Ἰώσηπος συνεχώρησε τὴν τοιαύτην κατάχρησιν, ὡς ἐπιλαμπρύναντος, καὶ οἷον ἀνακαινίσαντος τῆς πατρῴας νίκης τὴν μνήμην, δι' ἧς αὐτὸς ἐπισυνῆψεν ἑορτῆς ἐπὶ τῇ τῶν Ο, παρουσίᾳ, μίαν ἐξ ἀμφοτέρων τὴν ἐτήσιον πανήγυριν ποιῶν (α). Καὶ ταῦτα μὲν ἴσως οὔτε παντελῶς ἀπίθανα, καὶ σεμνὰ δέ πως καὶ πρέποντα περὶ τοῦ Ἰωσήπου λεγόμενα. Εἰ δέ τις τῶν αὐστηροτέρων μὴ κατάχρησιν καὶ συνεκδοχὴν νομίζοι τὴν φράσιν, ἀλλ' ὕπαιθρον ἁμάρτημα τοῦ ἱστορικοῦ (εἴτε ῥεμβασμῷ διανοίας σφαλέντος, εἴτε κατά τι καὶ ὑπὸ τῶν ἀντιγραφέων ἀλλοιωθέντος), οὐδὲν ἐκ τούτων ἡ Ἀριστέου παραβλάπτεται γνησιότης. Ὁπωσδήποτε παρέφρασεν ὁ Ἰώσηπος, ὤφειλον οἱ περὶ τὸν Ὅδιον αὐτὴν πρῶτον ἀκέραιον καὶ ἄθικτον ἀνακρίνειν τὴν φράσιν τοῦ Ἀριστέου, πρὸς ὃν αὐτοῖς ὁ πόλεμος· οἱ δὲ, ταύτην περικείραντες, ἔπειτα μεθηρμήνευσαν κατὰ τὴν παρ' Ἰωσήπῳ φαινομένην ἐν μέρει διαφοράν· ἀλλὰ καὶ οὕτω μένουσιν ἔμπεδα τὰ τοῦ Ἀριστέου.

(α) Ταύτην τὴν Ἰωσήπου κατάχρησιν καὶ ὁ περικλεὴς Σπαγχέμιος ἐσημείωσε λέγων· « περὶ τοῦ ἐκ τῆς Αἰγύπτου φυγαδευθέντος στόλου τοῦ Ἀντιγόνου, καὶ τῆς εὐωχίας τῆς ἐπὶ τούτῳ διαταχθείσης ὑπὸ τοῦ Πτολεμαίου, οὐχὶ τοῦ Φιλαδέλφου, ἀλλὰ τοῦ πατρὸς αὐτοῦ, τοῦ Λαγίδου, βλέπε τὸν Διόδωρον βιβλ. Κ. σελ. 806 » (Spanhem. εἰς Ἰώσηπ. αὐτ. σελ. 593. τόμ. α). Ὥστε μαρτυρεῖ καὶ οὗτος τὴν παρ' Ἀριστέᾳ καὶ Ἰωσήπῳ ναυμαχίαν εἶναι τὴν αὐτήν, καὶ ἣν Διόδωρος ἱστορεῖ.

§. ιέ. Ἡμεῖς δὲ τῆς ἐπὶ τῇ παρουσίᾳ τῶν Ο, καταστάσης ὑπὸ τοῦ Φιλαδέλφου ταύτης ἑορτῆς λαμπρότατον μαρτύριον νομίζομεν κἀκείνην τὴν ἐν Φάρῳ κατ᾽ ἔτος γινομένην *ἑορτὴν καὶ πανήγυριν*, ἣν ὁ Φίλων διηγεῖται μέχρι καὶ ἐπ᾽ αὐτοῦ τελουμένην (περὶ ἧς καὶ ἐν τοῖς ἐφεξῆς). Καὶ τῆς μὲν κατ᾽ Ἀντιγόνου νίκης τὴν ἀνάμνησιν αἱ τῶν βασιλέων διαδοχαὶ καὶ πολιτικαὶ περιστάσεις ἀπημαύρωσαν καὶ ἐξήλειψαν, οὐδ᾽ ἐπέζησεν ἴσως ἐπὶ μακρὸν ἡ πολιτικὴ αὕτη ἑορτὴ μετὰ τὴν Φιλαδέλφου τελευτήν. Τὴν δὲ μετ᾽ αὐτῆς συναφθεῖσαν ἐπὶ τῇ τῶν Ο, παρουσίᾳ καὶ τῇ τῶν θείων Γραφῶν ἑρμηνείᾳ θρησκευτικὴν ἑορτὴν ἦγον πάλιν κατ᾽ ἔτος ἀδιαλείπτως οἱ Ἀλεξανδρεῖς Ἰουδαῖοι μέχρι καὶ τοῦ Φίλωνος αὐτοῦ (320, ἔτη περίπου μετὰ τὴν ἐποχὴν τῶν Ο,). « Καὶ *διέπλεον* εἰς τὴν Φάρον οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ παμπληθεῖς ἕτεροι, τό, τε χωρίον σεμνύνοντες, ἐν ᾧ πρῶτον τὸ τῆς ἑρμηνείας (τῶν Γραφῶν) ἐξέλαμψε, καὶ *παλαιᾶς ἕνεκα εὐεργεσίας, ἀεὶ νεαζούσης*, εὐχαριστήσοντες τῷ θεῷ » (Φίλων. π. Βίου Μωσ. Β, §. 7). Καὶ στηκέτω λοιπὸν καὶ Φίλων ὁ Ἀλεξανδρεύς, ὁ φιλόσοφος, ὑπερασπιστὴς τῆς Ἀριστέου ἀληθείας καὶ μάρτυς πιστός· Ἡμεῖς δὲ μεταβαίνομεν εἰς ἄλλο ζήτημα τῶν Ὀδιακῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Εἰ Πτολεμαῖος ὁ Λαγίδης ἐστρατήγει κατὰ τὴν στρατείαν ἐκείνην, ὑφ᾽ ἧς δέκα μυριάδες Ἰουδαίων ἀπήχθησαν αἰχμάλωτοι εἰς Αἴγυπτον.

§. ά. « Ἔγραψε (λέγουσιν) Ἀριστέας, ὅτι Πτολεμαῖος ὁ Λάγου *δέκα*, ἢ (κατὰ τὸν Ἰώσηπον) *ὑπὲρ τὰς ἕνδεκα* (α) μυριάδας Ἰου-

(α) « Ἀρχομένου δ᾽ ἔργοιο χρὴ πρόσωπον θέμεν τηλαυγές ». Ἀλλὰ παρ᾽ Ὀδίῳ προσέπεσεν ἁμάρτημα παρευθὺς εἰς τὸ προοίμιον τοῦ κεφαλαίου. Ὁ Ἰώσηπος οὐκ εἶπεν οὐδαμοῦ τὰς μυριάδας ὑπὲρ τὰς ἕνδεκα (super undecim), ἀλλ᾽ ὅσας καὶ Ἀριστέας. — « Βραχεῖ πλεῖον μυριάδων δέκα » λέγει ὁ Ἀριστέας (pag. 111. Hody.) καὶ πάλιν « ὑπὲρ δέκα μυριάδας »

δαίων ἀπήγαγεν αἰχμαλώτους εἰς Αἴγυπτον. Καὶ ὅτι μὲν ἀπήχθησάν τινες μυριάδες, ἀληθές· ἀλλ' ὁ Ἀριστέας ἐψεύσθη πάντως, πλανηθεὶς περὶ τὰς περιστάσεις τῆς αἰχμαλωσίας ταύτης (ὅπερ οὐκ ἂν ἔπασχεν, εἴπερ ἤνθει διατρίβων ἐν τοῖς βασιλείοις τοῦ Φιλαδέλφου!). Καὶ τοῦτο δείκνυται διχῶς ἐκ τῶν ἐφεξῆς. α) Ἡ στρατεία ἐκείνη, καθ' ἣν ἀπήχθησαν εἰς Αἴγυπτον οἱ αἰχμάλωτοι Ἰουδαῖοι, ὑπῆρχε προγενεστέρα τῶν ἄλλων, ὧν αὐτὸς ὁ Πτολεμαῖος ἐστράτευσε κατὰ τῆς *Συρίας*. β) Τῆς προγενεστέρας ἐκείνης στρατείας ἐστρατήγει οὐκ αὐτὸς ὁ Πτολεμαῖος αὐτοπροσώπως (ὡς ἔγραψεν Ἀριστέας), ἀλλ' ἕτερος στρατηγός· ἰδοὺ ἡ δεῖξις ».

§. ϛ'. Α) « (λέγουσιν) ὁ Ἰώσηπος ἱστορήσας, ὅπως ὁ Πτολεμαῖος ἡμέρᾳ Σαββάτου κατέσχε τὴν πόλιν τῶν Ἱεροσολύμων, καὶ πολλοὺς ἔλαβεν αἰχμαλώτους (οἷς καὶ φιλανθρώπως ὕστερον ἐχρήσατο), προστίθησι καὶ τὰ ἐφεξῆς· « Οὐκ ὀλίγοι δ' οὐδὲ τῶν ἄλλων Ἰουδαίων ἑκουσίως εἰς τὴν Αἴγυπτον παρεγένοντο, τῆς τε ἀρετῆς τῶν τόπων αὐτοὺς καὶ τῆς τοῦ Πτολεμαίου φιλοτιμίας προσκαλουμένης» (Ἀρχ. ΙΒ. α). Ἐγένετο δὲ ἡ πρώτη στρατεία (καθ' ἣν ἑάλωσαν τὰ Ἱεροσόλυμα) μετὰ δύω ἔτη ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ μεγάλου

(p. VI.). « Ὀλίγῳ πλείονας τῶν δέκα μυριάδων » καὶ ὁ Ἰώσηπος (Ἀρχ. ΙΒ. β. §. 3). καὶ πάλιν « ὑπὲρ δέκα μυριάδας » (αὐτ. §. 4. σελ. 586 καὶ 589. τόμ. α. Hav.). Ταῦτα τὰ χωρία τοῦ Ἰωσήπου πάντως καὶ Ὅδιος ἐννοεῖ. Ἀνέγνω δὲ τὸν ἀριθμὸν ἐσφαλμένως, ἴσως ἐν τῇ τῆς Βασιλ. ἐκδόσει. Παρέλιπε δὲ καὶ ἄλλο. Ὁ Ἰώσηπος ὀλίγῳ πρότερον ἐν τῷ αὐτῷ κεφαλαίῳ (§. 1) προοιμιαζόμενος τῆς περὶ τῶν Ο, κατ' Ἀρισταῖον ἱστορίας, λέγει τοὺς αἰχμαλώτους τούτους « ὄντας δώδεκα μυριάδας » (ΙΒ. β. §. 1. σελ. 585, ἢ, κατ' ἄλλην ἀνάγνωσιν, περὶ δώδεκα)· ἀλλὰ πῶς ἂν ἠδύνατο ὁ ἱστορικὸς ἀντιλέγειν οὕτω λαμπρῶς οὐ μόνον πρὸς Ἀριστέαν, ἀλλὰ καὶ πρὸς ἑαυτὸν, ὅστις εἶπε δὶς ἐφεξῆς ὑπὲρ δέκα τὰς μυριάδας; Οἱ σοφοὶ τοῦ Ἰωσήπου σημειωταὶ οὐδὲν περὶ ταύτης τῆς διαφορᾶς ἐσημείωσαν (ἐκδ. Hav.)· καὶ αὐτὸς ὁ Ὅδιος ἐσιώπησε (τρίτην αὐτὸς εἰσαγαγὼν ἀνάγνωσιν, τὴν « ὑπὲρ τὰς ἕνδεκα », supra undecim). Πότερον ἆρα, τοῦ συγγραφέως, ἢ τοῦ μεταγραφέως τὸ λάθος, δώδεκα γράψαντος ἀντὶ δέκα; τὸ β, πιθανώτερον. Οὕτω καὶ ἐν τῇ λατινικῇ τοῦ Ἰωσήπου μεταφράσει, ἐν ᾧ τὸ κείμενον ἔχει ὑπὲρ δέκα μυριάδας, ἡ μετάφρασις λέγει « paulo plura quam centum decem millia, (ἀντὶ μόνον centum millia). Ἰώσηπ. αὐτ. σελ. 586. ἐκδ. Hav. ἀλλὰ περὶ τούτων βλ. ἐφεξῆς Κεφ. ιε. §. ζ. — Σημ. ἡμετ.

τελευτῆς· περὶ τῆς στρατείας ταύτης καὶ τῶν κατ᾽ αὐτὴν αἰχμαλωτισθέντων Ἰουδαίων συμφωνεῖ τῷ Ἰωσήπῳ καὶ Εὐσέβιος (Χρονικ. Ὀλυμπ. 114, τὸ γ). Κατ᾽ ἄλλην δὲ *δευτέραν* στρατείαν (9 ἔτει μετὰ τὴν πρώτην, καὶ 12, ἀπὸ τῆς Ἀλεξάνδρου τελευτῆς, ἤτοι Ὀλυμπ. 117, τὸ α, ὁπότε καὶ Δημήτριον τὸν Πολιορκητὴν ἐνίκησεν ὁ Πτολεμαῖος περὶ τὴν Γάζαν), παρεγένοντο εἰς Αἴγυπτον (ὡς εἶπεν ὁ Ἰώσηπος) ἑκουσίως πλῆθος Ἰουδαίων, ἀκολουθήσαντες ἐπανερχομένῳ οἴκαδε τῷ Λαγίδῃ· μαρτυρεῖ δὲ καὶ ὁ τότε τούτῳ συνὼν Ἑκαταῖος ὁ Ἀβδηρίτης *ἐν τῷ περὶ Ἰουδαίων*, λέγων « Μετὰ τὴν ἐν Γάζῃ μάχην ὁ Πτολεμαῖος ἐγένετο τῶν ἐπὶ Συρίαν τόπων ἐγκρατὴς, καὶ πολλοὶ τῶν ἀνθρώπων πυνθανόμενοι τὴν ἠπιότητα καὶ φιλανθρωπίαν τοῦ Πτολεμαίου, συναπαίρειν εἰς Αἴγυπτον αὐτῷ, καὶ κοινωνεῖν τῶν πραγμάτων ἐβούλοντο, ὧν εἷς ἦν καὶ Ἐζεκίας ὁ Ἀρχιερεὺς τῶν Ἰουδαίων » κτλ. (α). Ὁ δ᾽ αὐτὸς Ἑκαταῖος ἀποδείκνυσι καὶ *τὴν πρώτην* στρατείαν λέγων· « Πολλὰς ἀνασπάστους εἰς Βαβυλῶνα Πέρσαι πρότερον ἐποίησαν μυριάδας (Ἰουδαίων). Οὐκ ὀλίγαι δὲ καὶ *μετὰ τὸν Ἀλεξάνδρου θάνατον* εἰς Αἴγυπτον καὶ Φοινίκην μετέβησαν διὰ τὴν ἐν Συρίᾳ στάσιν » (β). Ἐν τούτοις ὁ Ἑκαταῖος *μετὰ τὸν Ἀλεξάνδρου θάνατον* λέγων, ἐννοεῖ σαφῶς τὴν *πρώτην* στρατείαν, ὡς γενομένην εὐθὺς (μετὰ 2, ἔτη) ἀπὸ τῆς Ἀλεξάνδρου τελευτῆς. Ὥστε τὴν εἰς Αἴγυπτον ἀπαγωγὴν τῶν αἰχμαλώτων Ἰουδαίων ὁ Ἑκαταῖος ἱστορεῖ γενομένην οὐκ ἐπὶ τῆς δευτέρας τοῦ Πτολεμαίου στρατείας (καθ᾽ ἣν αὐτῷ συναπῆρεν εἰς Αἴγυπτον ἄλλη τῶν Ἰουδαίων πληθὺς ἑκουσίως)· ἀλλὰ κατὰ τὴν πρώτην ἐκείνην, ὁπότε καὶ τὴν Κοίλην Συρίαν καὶ τὴν Φοινίκην κατέσχεν ὁ Πτολεμαῖος (ὡς ὁ Διόδωρος ἐφεξῆς μαρτυρήσει) ». [Καὶ λοιπὸν ὁ Ἀριστέας συνέχεε τὰς δύω τοῦ Πτολεμαίου στρατείας εἰς μίαν, μηδόλως μνημονεύσας τῆς δευτέρας. Τοῦτο πρῶτον σφάλμα τοῦ Ἀριστέου].

§. γ. « Δεύτερον (λέγουσιν)· ὁ Ἀριστέας ἱστορεῖ τὸν Λάγου Πτο-

(α) Ἑκατ. παρ᾽ Ἰωσήπ. κ. Ἀπίων. Α. §. 22. — (β) Παρ᾽ Ἰωσήπ. αὐτόθ.

λεμαῖον αὐτὸν αὐτοπροσώπως στρατηγῆσαι τῆς στρατείας ἐκείνης, καθ' ἣν τὴν Κοίλην Συρίαν ὑπέταξε μετὰ τῆς Φοινίκης, καὶ τοὺς Ἰουδαίους ἀπήγαγεν ἐκ τῆς Ἰουδαίας εἰς Αἴγυπτον αἰχμαλώτους· « Ἐκεῖνος γὰρ » (λέγει περὶ τοῦ Λαγίδου) « ἐπελθὼν τὰ κατὰ Κοίλην Συρίαν καὶ Φοινίκην ἅπαντα, συγχρώμενος εὐημερίᾳ μετ' ἀνδρείας, τοὺς μὲν μετῴκισε [ἴσ. γρ. *μετῴκιζε*], τοὺς δὲ ᾐχμαλώτιζε, φόβῳ ἅπαντα ὑποχείρια ποιούμενος, ἐν ὅσῳ [ἴσ. γρ. *ἐν ᾧ*] καὶ πρὸς δέκα μυριάδας ἐκ τῆς Ἰουδαίων χώρας εἰς Αἴγυπτον μετήγαγεν· ἀφ' ὧν ὡσεὶ τρεῖς μυριάδας καθοπλίσας ἀνδρῶν ἐκλεκτῶν εἰς τὴν χώραν κατῴκισεν ἐν τοῖς φρουρίοις » κτλ. Καὶ πάλιν· « Ὅσοι » (λέγει ὁ Φιλάδελφος ἐν τῷ προστάγματι) « Ὅσοι τῶν συνεστρατευμένων *τῷ πατρὶ ἡμῶν* » κτλ. Ταῦτα ὁ Ἀριστέας. Ἀλλ' ὁ Σικελιώτης Διόδωρος, ἀκριβέστατος ἱστορικὸς, ὅλον ἱστορεῖ τοὐναντίον, ὅτι κατὰ τὸν πόλεμον τῆς στρατείας ἐκείνης ἐστρατήγει οὐκ αὐτὸς ὁ Πτολεμαῖος (ὁ τοῦ Φιλαδέλφου πατὴρ) αὐτοπροσώπως, ἀλλὰ Νικάνωρ ὁ τούτου στρατηγός· « Ὁρῶν δὲ (λέγει περὶ τοῦ Πτολεμαίου) τήν τε Φοινίκην, καὶ τὴν Κοίλην ὀνομαζομένην Συρίαν, εὐφυῶς κειμένας κατὰ τῆς Αἰγύπτου, πολλὴν εἰσεφέρετο σπουδὴν κυριεῦσαι τούτων τῶν πόλεων. Ἐξαπέστειλεν οὖν τὴν ἱκανὴν δύναμιν, καὶ στρατηγὸν ἕνα τῶν φίλων προχειρισάμενος, Νικάνορα. Οὗτος δὲ στρατεύσας εἰς τὴν Συρίαν, Λαομέδοντα μὲν τὸν σατράπην ἐζώγρησε, τὴν δὲ Συρίαν ἅπασαν ἐχειρώσατο· ὁμοίως δὲ καὶ τὰς κατὰ τὴν Φοινίκην πόλεις προσαγαγόμενος, καὶ ποιήσας ἐμφρούρους, ἐπανῆλθεν εἰς τὴν Αἴγυπτον, σύντομον τὴν στρατείαν καὶ πρακτικὴν πεποιημένος » (Διόδωρ. ιη. §. 43).

§. δ'. « Ἀλλ' ἐν τούτοις (λέγουσιν) οὐκ ἀποκρυπτέον τὸν ἀναγνώστην τὰ τοῦ Ἀγαθαρχίδου, ὅστις καὶ οὗτος ἱστορεῖ παρ' Ἰωσήπῳ (Ἀρχ. ΙΒ. α), ὅτι *αὐτὸς ὁ Πτολεμαῖος αὐτοπροσώπως* ἐκυρίευσε τὴν πόλιν τῶν Ἱεροσολύμων ἡμέρᾳ Σαββάτου· « *Εἰσιόντος* (λέγει) εἰς τὴν πόλιν *Πτολεμαίου* μετὰ δυνάμεως » κτλ. Καὶ φαίνεται λοιπὸν καὶ Ἀγαθαρχίδης συμφωνῶν Ἰωσήπῳ καὶ Εὐσεβίῳ πρὸς δικαίωσιν τοῦ Ἀριστέου. Ἀλλὰ πολὺ πιθανώτερον φαίνεται, ὅτι ὁ

Ἰώσηπος (ὅστις ἔσφηλε καὶ τὸν Εὐσέβιον) ὁπωσοῦν ἀπεπλανήθη τῆς ἀληθείας· διότι μαθὼν ὅτι ὁ Πτολεμαῖος εἷλε τὴν πόλιν τῶν Ἱεροσολύμων ἡμέρᾳ Σαββάτου, καὶ ὅτι πολλοὺς τῶν Ἰουδαίων ἀπήγαγεν αἰχμαλώτους εἰς Αἴγυπτον, ἐνόμισε λοιπὸν ὁ Ἰώσηπος ὅτι κατὰ τὸν αὐτὸν ἀμφότερα γεγόνασι καιρόν. Ἀλλὰ τῶν μὲν Ἰουδαίων ἡ αἰχμαλωσία συνέβη κατὰ τὴν πρώτην στρατείαν, ἧς οὐχ ὁ Πτολεμαῖος, ἀλλ' ὁ Νικάνωρ ἐστρατήγει (κατὰ τὴν Διοδώρου μαρτυρίαν)· τὴν δὲ πόλιν τῶν Ἱεροσολύμων καὶ τὰς ὁμόρους χώρας ὑπάρχει *βέβαιον* (constat), ὅτι *πολλάκις* μὲν κατέσχεν ὁ Πτολεμαῖος, *πολλάκις* δ' ἀπέβαλε πάλιν, Ἀντιγόνου κυριεύσαντος » (α).

§. ε. « Οὐδ' ἐκεῖνο (λέγουσι) παραλειπτέον· ὅτι τὴν Ἑκαταίου *περὶ Ἰουδαίων* συγγραφὴν (ὅθεν ἐξήχθησαν αἱ ἀνωτέρω μαρτυρίαι) μνημονεύει καὶ Ὠριγένης (κατὰ Κέλσ. α). « Καὶ Ἑκαταίου δὲ τοῦ ἱστορικοῦ φέρεται *περὶ Ἰουδαίων* βιβλίον, ἐν ᾧ προστίθεται μᾶλλόν πως ὡς σοφῷ τῷ (Ἰουδαίων) ἔθνει ἐπὶ τοσοῦτον, ὥστε καὶ Ἑρέννιον Φίλωνα *ἐν τῷ περὶ Ἰουδαίων συγγράμματι*, πρῶτον μὲν ἀμφιβάλλειν εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα· δεύτερον δὲ λέγειν, ὅτι εἴπερ ἐστὶν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ὑπὸ τῆς παρ' Ἰουδαίοις πιθανότητος καὶ συγκατατεθεῖσθαι αὐτῶν τῷ λόγῳ » (τουτέστι, *τῷ δόγματι τῆς θρησκείας, γενόμενον προσήλυτον ἐν κρυπτῷ*) (β). Εἰ μὲν οὖν (λέγουσι) τὸ πρῶτον τούτων ἀληθεύει,

---

(α) Καὶ πότε λοιπὸν (ἐρωτῶμεν παρὰ πόδας τὸν κριτικόν), πότε τὸ πρῶτον ἐκυρίευσε τῶν Ἱεροσολύμων ὁ Πτολεμαῖος; ἆράγε πρὸ τῆς πρώτης στρατείας; ἢ μετὰ ταύτην; ἢ καὶ μετὰ τὴν δευτέραν στρατείαν; ἢ μήπως τὸ πολλάκις κυριεῦσαι τῆς Ἱερουσαλὴμ οὐδόλως καταλογίζεται εἰς οὐδεμίαν στρατείαν; Ἐκ τίνος δὲ πάλιν ἢ Διοδώρου, ἢ Ἑκαταίου, ἢ Ἀγαθαρχίδου, ἢ καὶ Ἰωσήπου βεβεβαιωται (καθὼς εἶπεν) ὁ κριτικὸς ταύτας τὰς νῦν μὲν ὑπὸ Λαγίδου νῦν δ' ὑπ' Ἀντιγόνου πολλὰς πολλάκις κατασχέσεις, καὶ πολλάκις ἀποβολὰς τῆς πόλεως τῶν Ἱεροσολύμων καὶ τῶν ὁμόρων χωρῶν;— Ἓν μόνον ἐν τούτοις κεῖται βέβαιον καὶ συνεστηκός, ὅτι συνέχεεν Ὅσιος τὰ κατὰ τὸν Λαγίδην καὶ τὸν Ἀντίγονον πρὸς τὰ ἐπὶ τῶν κάτω Πτολεμαίων συμβεβηκότα τοῖς Ἰουδαίοις. βλ. ἐφεξῆς σελ. 472. — Σημ. ἡμετ.

(β) Βλ. G. Voss. Hist. Graec. I. 10. p. 86. ἐκδ. West. Ὁ δ' Ἑρέννιος οὗτος Φίλων φαίνεται ὁ αὐτὸς καὶ ὁ Βύβλιος Φίλων (ἀπὸ Βύβλου πόλεως Φοινίκης.

σφόδρα μὲν ἐξασθενεῖ καὶ ἀμαυροῦται τὸ κῦρος τῶν ἐξαγομένων ἐκ τῆς Ἑκαταίου συγγραφῆς (βλ. §. 6), ἀλλ' οὐχὶ καὶ παντάπασιν ἀναιρεῖται· καθότι καὶ ἄλλαι μαρτυρίαι βεβαιοῦσι τὴν αἰχμαλωσίαν τῶν Ἰουδαίων γενομένην ἐπὶ τῆς πρώτης στρατείας (ὅτε Νικάνωρ ἐστρατήγει). Ἐγὼ δὲ (λέγει Ὅδιος) καὶ λίαν ἀσμένως τοῖς Ἀριστέου ὀπαδοῖς (ἂν ἀρέσκῃ τούτοις) συγχωρῶ, μὴ παρ' αὐτοῦ τοῦ Ἑκαταίου, ἀλλ' ὑπό τινος Ἰουδαίου ψευδωνύμως τὸ βιβλίον ἐκδοθέν. Ἀλλὰ τοῦτο πάλιν ἀποβαίνει νέα τῆς Ἀριστηΐδος μυθολογίας ἀπόδειξις· οὗτος γὰρ ὁ Ἀριστέας, ὅστις ἐπεθύμησε πιστευθῆναι Ἑκαταίῳ σύγχρονος, ἢ μικρῷ νεώτερος, φέρει μαρτυρίαν ἐκ ταύτης τῆς συγγραφῆς, ὡς ἂν οὔσης γνησίας τοῦ Ἑκαταίου. Ὅτι δὲ τὸ βιβλίον, ἂν ὑποτεθῇ ψευδεπίγραφον, ἐξεδόθη πολὺν χρόνον μετὰ τὴν Ἑκαταίου τελευτὴν, οὐδεὶς ἂν ἀμφιβάλοι.

Ἀπαντῶμεν.

§. ϛ. Τρία τινὰ εἴδη μετοίκων Ἰουδαίων ἱστόρησεν ὁ Ἰώσηπος, μετὰ τὴν Ἱεροσολύμων ἅλωσιν εἰς τὴν Αἴγυπτον, ἢ εἰς ἄλλας χώρας, μεταναστάντων· λεγέτω δὲ ταῦτα αὐτὸς ὁ ἀρχαιολόγος (Ἀρχ. ΙΒ. α). « Τὴν Συρίαν ἅπασαν ὑπὸ Πτολεμαίου τοῦ Λάγου, Σωτῆρος τότε χρηματίζοντος, τἀναντία παθεῖν τῇ ἐπικλήσει » (Αὕτη τοῦ Πτολεμαίου ἡ πρώτη στρατεία. Ὀλυμπ. ριδ. τὸ γ). « Κατέσχε δὲ οὗτος τὰ Ἱεροσόλυμα, δόλῳ καὶ ἀπάτῃ χρησάμενος. Εἰσελθὼν γὰρ

Σουΐδ. λ Φίλων γραμματικὸς, ὅστις ἤκμασε κατὰ τοὺς χρόνους Τραϊανοῦ καὶ Ἀδριανοῦ (100—120. π. Χ.)· ἔγραψε περὶ πόλεων, καὶ ἄλλα, καὶ τὰ Φοινικικὰ (ἐξελληνίσας τὰ τοῦ Σαγχωνιάθωνος)· τούτου μνημονεύουσι καὶ ἄλλοι καὶ Στέφανος ὁ Βυζάντιος (λ. Βαβυλὼν, καὶ Σχολ. Berkel), καὶ Εὐσέβιος, ἄλλα τε συγγράμματα ἀναφέρων, καὶ αὐτὸ τὸ περὶ Ἰουδαίων (Εὐαγ. προπ. σελ. 40. πρβλ. σελ 31, 32, 41). Ἄλλος Ἑρέννιος Φίλων ὑπῆρξεν ἀρχαιότερος, ἰατρὸς Ταρσεὺς, συγγράψας περὶ ἰατρικῶν (Στεφ. Βυζ. λ. Κύρτος), ὅστις καὶ Φίλων ἁπλῶς ὀνομάζεται παρὰ τῷ Γαληνῷ. Τούτου δὲ πάλιν διάφορος Φίλων ὁ πρεσβύτερος (Εὐσέβ. αὐτ. σελ. 421, 430, κτλ. πρβλ. Voss. l. c. p. 486). Ἕτερος δὲ παντάπασιν ὁ παλαιὸς Ἀθηναῖος, τῆς τετάρτης Ἀκαδημίας ἀρχηγὸς, καὶ διάδοχος Κλειτομάχου (αὐτ. 726, 739. Λαέρτ. ζ, α. 17, καὶ θ, ια, 7. καὶ Menag. observ. S. 16). κτλ. Τούτων δὲ πάντων ἕτερος, τέλος, ὁ Ἀλεξανδρεὺς καὶ Ἰουδαῖος Φίλων, ὁ Πλατωνικὸς φιλόσοφος, οὗ σῴζονται καὶ καθ' ἡμᾶς τὰ συγγράμματα. — Σημ. ἡμετ.

Σαββάτοις εἰς τὴν πόλιν ὡς θύσων, — ἀπόνως ἐγκρατὴς γίνεται τῆς πόλεως, καὶ πικρῶς ἦρξεν αὐτῆς· μαρτυρεῖ δὲ τῷ λόγῳ τούτῳ καὶ Ἀγαθαρχίδης. — Ὁ δὲ Πτολεμαῖος πολλοὺς αἰχμαλώτους λαβὼν ἀπό τε τῆς ὀρεινῆς Ἰουδαίας, καὶ τῶν περὶ τὰ Ἱεροσόλυμα τόπων, καὶ τῆς Σαμαρείτιδος καὶ τῶν ἐν Γαριζεὶν, κατῴκισεν ἅπαντας εἰς Αἴγυπτον ἀγαγών ». (Ἓν *τοῦτο εἶδος Ἰουδαίων, ἐκ τῶν περὶ τὰ Ἱεροσόλυμα τόπων καὶ τῶν ὁμόρων χωρίων ἀποικισθέντων*). Πάλιν· « Ἐγνωκὼς δὲ *τοὺς ἀπὸ τῶν Ἱεροσολύμων* περί τε τὴν τῶν ὅρκων φυλακὴν καὶ τὰς πίστεις βεβαιοτάτους ὑπάρχοντας, — πολλοὺς αὐτῶν εἰς τὰ φρούρια καταλοχίσας, καὶ τοῖς Μακεδόσιν ἐν Ἀλεξανδρείᾳ ἰσοπολίτας ποιήσας, ὅρκους ἔλαβε παρ᾽ αὐτῶν, ὅπως τοῖς ἐκγόνοις τοῦ παραθεμένου τὴν πίστιν διαφυλάξωσιν ». (*Ἄλλο τοῦτο εἶδος*, τῶν ἰδίως ἐκ τῆς πρωτευούσης πόλεως *τῶν Ἱεροσολύμων* τότε μετοικισθέντων, καὶ τούτων οὐ πάντων· οὐδὲ γὰρ λέγει τὴν Ἱερουσαλὴμ ἐξερημωθεῖσαν). Καὶ τέλος· « Οὐκ ὀλίγοι δὲ οὐδὲ τῶν ἄλλων Ἰουδαίων ἑκουσίως εἰς τὴν Αἴγυπτον παρεγένοντο, τῆς τε ἀρετῆς τῶν τόπων αὐτοὺς καὶ τῆς τοῦ Πτολεμαίου φιλοτιμίας προσκαλουμένης ». (*Τρίτον τοῦτο εἶδος, τῶν ἑκουσίως μεταναστάντων εἰς Αἴγυπτον*). Ἐν τούτοις ὁ Ἰώσηπος διακρίνας τὰ διπλᾶ τῶν αἰχμαλώτων εἴδη, ὑποσυνάπτει παρευθὺς καὶ τρίτους, τοὺς ἑκουσίως ἐκ διαφόρων ὑπηκόων ἤδη τῷ Πτολεμαίῳ χωρῶν, τῆς τε Παλαιστίνης καὶ Συρίας (ἴσως καὶ ἐξ αὐτῶν τῶν Ἱεροσολύμων) εἰς τὴν Αἴγυπτον μετοικίσαντας, πάντα ταῦτα συνείρων ὑφ᾽ ἓν, ὡς ἐπὶ τῆς πρώτης τοῦ Πτολεμαίου στρατείας συμβεβηκότα, ἀπὸ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων καὶ ἀκολούθως κατὰ συνέχειαν, πρὶν ἢ τὸ δεύτερον ἐκστρατεύσῃ· τὴν δὲ δευτέραν στρατείαν οὐδόλως οὔτ᾽ ἀνέμιξεν οὔτ᾽ ἐνόησεν ὁ Ἰώσηπος. Κάλλιστα τοῦτο συνεῖδεν ὁ γηραιὸς Οὐόσσιος (α)· καὶ παρεκάλεσε τὸν Ὅδιον « ἵνα μὴ καταξαίνῃ τὰ χωρία τῶν συγγραφέων, ἀλλότριον αὐτοῖς νόημα προσάπτων, πιστεύῃ δὲ μᾶλλον αὐτῷ τε Ἰωσήπῳ, καὶ, ᾧ περ Ἰώσηπος οὗτος καὶ πάντες οἱ ἀρχαῖοι πεπιστεύκασιν, Ἀριστέᾳ· παρ᾽ ᾧ βλέπει καὶ

(α) J. Voss. Append. p. 69.

τὸν Φιλάδελφον (ἐν τῷ προστάγματι) διακρίνοντα τοὺς εἰς τὴν Αἴγυπτον ἀπαχθέντας αἰχμαλώτους οὐ μόνον ἐπὶ τῆς ὑπὸ Πτολεμαίου ἁλώσεως τῶν Ἱεροσολύμων, ἀλλὰ καὶ πρότερον (ὑπὸ Περσῶν), καὶ ὕστερον· « *Ὁμοίως δὲ καὶ εἴ τινες προῆσαν, ἢ καὶ μετὰ ταῦτα εἰσὶν εἰσηγμένοι* » (Ἀριστ. σελ. δ). Ἀλλ' ὁ κλεινὸς Ὅδιος κατέκρινε τοὺς Οὐοσσίου λόγους ὡς ἀπιθάνους. « Πῶς ἂν (λέγει) μετανέστησαν ἑκουσίως ἄλλοι Ἰουδαῖοι εἰς τὴν Αἴγυπτον, ἑλκόμενοι ὑπὸ τῆς Πτολεμαίου φιλανθρωπίας, κατ' αὐτὴν ἐκείνην τὴν πρώτην στρατείαν, ὁπότε ἔβλεπον τοὺς αὐτῶν ὁμογενεῖς ὑπὲρ τὰς δέκα μυριάδας αἰχμαλώτους ἀπαγομένους;» (σελ. 62). Ἀλλ', ὡς ἔοικεν, ἐπελάθετο ὁ *περὶ Πτολεμαίων Σύνταγμα* σοφὸν συγγράψας κριτικός (α), ὅτι Πτολεμαῖος ὁ Λαγίδης κατέσχε τὴν Συρίαν καὶ Φοινίκην ἀπὸ τῆς πρώτης στρατείας (Ὀλυμπ. ριδ, τὸ γ), μέχρις οὗ διεπολεμήθη πρὸς Ἀντίγονον (Ὀλυμ. ρις, τὸ β), χρόνους ὁλοκλήρους ὀκτὼ περίπου (β). Ἐν τούτῳ γοῦν τῷ μεταξὺ μετῴκησαν εἰς τὴν Αἴγυπτον οἱ ἑκουσίως μεταναστάντες, βλέποντες ἤδη φανερὰν τὴν

(α) Τούτου ἔτι ἀνεκδότου μνημονεύει Ὅδιος σελ. 59. (Syntagma Historico-chronologicum de Ptolemaeis Aegypti regibus). Ἔμεινε δὲ ἀνέκδοτον καὶ μέχρι τῶν ἀρχῶν τῆς παρούσης ἑκατονταετηρίδος (Valcken. de Aristob. Jud. p. 29). Εἰ δ' ἐξεδόθη μέχρι σήμερον, ἀγνοοῦμεν.

(β) Βλ. *Διόδωρ. ιη.* § 43—ιθ. §. 57 κτλ. Κατὰ δὲ τὸ β, τῆς ρις. Ὀλυμπ. *κατέσχεν Ἀντίγονος τὴν Φοινίκην καὶ Συρίαν μέχρι τοῦ α, τῆς ριζ, ὁπότε πάλιν στρατεύσας τὸ δεύτερον ὁ Πτολεμαῖος ἀνέλαβε τὰς χώρας, νικήσας ἐν Γάζῃ τὸν Δημήτριον, καὶ πάλιν κατὰ τὸ αὐτὸ ἔτος κατέλιπεν αὐτὰς, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον* (*Διόδωρ. ιθ.* §. 58—93). Ἐννέα *δὲ σχεδὸν ὕστερον ἐνιαυτοὺς* (Ὀλυμπ. *ριθ, τὸ γ*) *ὑπέταξε καὶ κατέσχε τὴν* Κοίλην *Συρίαν*, Ἀντιγόνου *φονευθέντος* (*Διόδωρ.* Κ. §. 113, κτλ.). Ταῦτα *μόνα συνέβησαν μεταξὺ τοῦ Ἀντιγόνου καὶ Λαγίδου περὶ τὴν κυριαρχίαν τῆς Συρίας καὶ Φοινίκης, ὧν ἦρχε σταθερῶς ἐφεξῆς καὶ Φιλάδελφος* (Θεόκριτ. ιζ, 84), *μέχρι τοῦ πρὸς Ἀντίοχον πολέμου. Ἔκτοτε δὲ πολλάκις περὶ τῆς Συρίας καὶ Φοινίκης ἐπολέμησαν οἱ Λαγίδαι πρὸς τοὺς Σελευκίδας, ὡς ἄλλοι τε, καὶ Πολύβιος* (ε §. 67) *ἱστόρησε, προσθεὶς ὅτι « τῇ οἰκίᾳ ταύτῃ* (τῶν Λαγιδῶν) *μᾶλλον ᾳείπως οἱ κατὰ Κοίλην Συρίαν ὄχλοι προσκυνοῦσι »* (ε. §. 86). Καὶ τοῦτο *νοοῦσιν ὁ Ἀφρικανὸς καὶ ὁ Σύγκελλος* (Χρον. σελ 525—527) *λέγοντες, ὅτι « Ἡ μετὰ τὸν θάνατον Ἀλεξάνδρου διαιρεθεῖσα* (τῶν Μακεδόνων) *ἀρχὴ εἰς ἀρχὰς — ὑποχείριον ἔσχε τὸ τῶν Ἰουδαίων ἔθνος, ποτὲ μὲν ὑπὸ τοὺς Πτολεμαίους, ποτὲ δὲ ὑπὸ τοὺς Ἀντιόχους ». κτλ. πρβλ.* Ἰωσήπ. Ἀρχ. ΙΒ. γ. Καὶ ταῦτα Ὅδιος *ἀνέμιξε μετὰ τῶν ἐπὶ Λαγίδου καὶ Ἀντιγόνου συμβεβηκότων τοῖς Ἰουδαίοις· βλ. ὄπισθ. σελ.* 469.

περὶ τοὺς αἰχμαλώτους φιλανθρωπίαν τοῦ Σωτῆρος. Καὶ τὰ μὲν Ἰωσήπου ταῦτα.

§. ζ΄. Τὰ δὲ τοῦ Ἑκαταίου, μέρος μὲν ὀρθῶς ἐπισυνῆψε τοῖς Ἰωσήπου ὁ κριτικὸς, ὅσα δηλοῦσι τὴν ἐπὶ τῆς πρώτης τοῦ Πτολεμαίου στρατείας εἰς Αἴγυπτον καὶ Φοινίκην μετοικεσίαν τῶν Ἰουδαίων. Καὶ κατὰ ταῦτα μαρτυρεῖ καὶ Ἑκαταῖος Ἀριστέᾳ καὶ Ἰωσήπῳ. Τὰ δὲ κατὰ τὴν δευτέραν εἰς Συρίαν τοῦ Πτολεμαίου στρατείαν (μετὰ τὴν ἐν Γάζῃ μάχην) ἱστορούμενα παρ᾽ Ἑκαταίῳ, οὐδεμίαν ἔχουσι σχέσιν πρὸς τὸ προκείμενον. Οὔτε *Ἰουδαίους* λέγει ῥητῶς ὁ Ἑκαταῖος, οὔτε τούτων ἰδίως *πληθὺν* ἀκολουθήσασαν εἰς Αἴγυπτον τῷ Λαγίδῃ μετὰ τὴν ἐν Γάζῃ μάχην, ἀλλ᾽ ἔγραψεν ἁπλῶς ὅτι « *πολλοὶ τῶν* (τῆς Συρίας) *ἀνθρώπων* », δηλονότι τῶν ἐγχωρίων *κατοίκων*, ἢ *πολιτῶν* (τοῦτο γὰρ ἐνταῦθα τὸ *ἄνθρωπος* σημαίνει σαφῶς) (α) « *ἐβουλήθησαν συναπαίρειν* εἰς Αἴγυπτον τῷ Πτολεμαίῳ » (ὁπότε δηλονότι γενόμενος τῆς Συρίας ἐπ᾽ ὀλίγους μῆνας ἐγκρατὴς, ἡτοιμάζετο πάλιν ἐπανελθεῖν εἰς τὴν Αἴγυπτον, διαφεύγων ἐπιόντα πολλῇ δυνάμει τὸν Ἀντίγονον· ὡς καὶ ἐπανῆλθε, κατασκάψας Ἄκην καὶ Ἰόππην καὶ Σαμάρειαν καὶ Γάζαν, κατὰ τὸν Διόδωρον). Τούτων δὲ τῶν *βουληθέντων* συναπαίρειν τῷ Πτολεμαίῳ, καὶ *κοινωνεῖν αὐτῷ τῶν πραγμάτων* (δηλονότι τῶν ἐν Αἰγύπτῳ πολιτευμάτων· ὅθεν εἰκάζεται ὅτι *οἱ ἄνθρωποι* οὗτοι ἦσάν τινες τῶν ἐπισημοτέρων τῆς Συρίας), εἰ πολλοὶ, ἢ ὀλίγοι, τέλος, συναπῆραν, καὶ εἴπερ ἦσαν ἐν τούτοις καὶ Ἰουδαῖοι, οὐδὲν διώρισεν Ἑκαταῖος. Καὶ παράλογον οὐδὲν, εἰ μεταξὺ τούτων ἦσαν καὶ Ἰου-

---

(α) Οὕτω καὶ Ἀγαθαρχίδης ἀνθρώπους εἶπεν ἀντὶ κατοίκους (τοὺς πολίτας τῶν Ἱεροσολύμων). βλ. τὴν ῥῆσιν ἐφεξῆς. Οὕτω καὶ παρὰ τῇ θείᾳ Γραφῇ. Ἰωάν. δ. 28. πρβλ. Ματθ κζ, 32. Πράξ. ις, κα. κβ. κτλ. (Τοιοῦτο καὶ τὸ Γαλ. hommes du pays). Ταύτης δὲ τῆς χρήσεως παρὰ μὲν τοῖς ἀρχαίοις Ἀττικοῖς (ὅσον γνωρίζομεν ἡμεῖς) οὐχ εὑρίσκονται παραδείγματα· φαίνεται δὲ ὅμως συνήθης τῇ κατὰ τοὺς Ἀλεξάνδρου χρόνους κοινῇ τῶν Ἑλλήνων φωνῇ, εἰς ἣν ἔνιοτ᾽ ἐξεφέροντο καὶ αὐτοὶ οἱ ἄλλως ἀττικίζοντες. Καὶ τοῦτο περὶ τοῦ Ἀγαθαρχίδου μάλιστα ῥητῶς ἔκρινεν ὁ Φώτιος λέγων· ὅτι, καίτοι λόγου μεγέθει καὶ ἀξιώματι χαίρων, « λέξεσι μέν τοι λογάσιν οὐ πάνυ προστεθειμένος ». (Ἀναγ. σιγ). καὶ, « Ὅτι κέχρηται ὁ συγγραφεὺς, ἀττικιστὴς καίτοι ὢν, τῇ τῆς καμάρας λέξει » (Ἀναγ. σν).

δαῖοι, ὁποῖος μνημονεύεται καὶ Ἐζεκίας ὁ ἀρχιερεὺς τῶν *Ἰουδαίων* (καὶ βλέπε πάλιν πῶς διακρίνει κατὰ λέξιν ὁ Ἑκαταῖος τοὺς Ἰουδαίους, ἀφ' ὧν εἶπε καθολικώτερον *ἀνθρώπων*)· ἀλλὰ ποίαν ὁμοίωσιν ἔχουσιν οὗτοι πρὸς τοὺς παρ' Ἰωσήπῳ *πολλοὺς τῶν Ἰουδαίων εἰς Αἴγυπτον ἑκουσίως παραγενομένους*, μετὰ τὴν ἐπὶ τῆς πρώτης στρατείας ἅλωσιν τῶν Ἱεροσολύμων; Σφόδρα λοιπὸν ἐσφαλμένως ὁ κριτικὸς ἐξέλαβε τὰ τοῦ Ἑκαταίου, παρερμηνεύσας καὶ αὐτὸ τὸ *ἀνθρώπους* (τῆς Συρίας) εἰδικῶς εἰς τὸ *Ἰουδαίους* (ὡς ἂν εἰ ἦσαν οἱ κάτοικοι τῆς Συρίας ἅπαντες Ἰουδαῖοι!). Καὶ οὐδ' αὐτῷ γοῦν προσέσχε τῷ Ἰωσήπῳ, ὅστις ἐν τῷ α, κεφαλαίῳ τοῦ ΙΒ, βιβλίου τῆς Ἀρχαιολογίας ἱστορῶν τὰς εἰς Αἴγυπτον μετοικεσίας τῶν Ἰουδαίων (αἰχμαλώτων καὶ ἐθελοντῶν), τὰς γενομένας μετὰ τὴν ἐπὶ τῆς α, στρατείας ἅλωσιν τῶν Ἱεροσολύμων, τὴν μὲν Ἀγαθαρχίδου σύμφωνον μαρτυρίαν ἐπισυνῆψεν ἐν τῷ αὐτῷ κεφαλαίῳ· τὰ δὲ τοῦ Ἑκαταίου, ὡς μηδεμίαν ἔχοντα σχέσιν, ἀνέφερεν ὁ Ἰώσηπος ἀλλαχοῦ (ἐν τῷ α, κατὰ Ἀπίωνος §. κϐ), ἄλλο τι πάντῃ διάφορον ἐκεῖ ἀποδεικνύων, ὅτι δηλαδὴ καὶ τότε (κατὰ τὴν β, τοῦ Πτολεμαίου στρατείαν) *ἤκμαζε* τὸ τῶν Ἰουδαίων *ἔθνος*. Ἐπὶ τούτῳ φέρει μάρτυρα τὸν Ἑκαταῖον, ἐπαινοῦντα μάλιστα τὸν ἀρχιερέα Ἐζεκίαν· καθὼς πάλιν δι' ἄλλον λόγον αὐτόθι προσέθηκε καὶ ἄλλην ὁμοίαν τῇ πρώτῃ ῥῆσιν τοῦ Ἀγαθαρχίδου, μαρτυροῦντος τὴν ἀκριϐῆ παρ' Ἰουδαίοις τῶν θείων νόμων φυλακήν. Ταῦτα δὲ βλέπει πᾶς τις σαφῶς, τὰ Ἰωσήπεια χωρία διεξερχόμενος. Ἀλλ' ὁ τοῦ Ὀδίου κάλαμος, οἷά τις σφενδάμνινος « *τριπτὴρ δικῶν* » (τὸ τοῦ κωμικοῦ), συνεκύκησε καὶ συνετάραξε τὰ πάντα, πρὸς στηλίτευσιν τοῦ κατ' αὐτὸν *Ψευδαριστέου*.

§. ή. Ἐρχόμεθα εἰς τὸ δεύτερον ἐπιχείρημα. Δείκνυσιν ἐκ τοῦ Διοδώρου μὴ τὸν Πτολεμαῖον αὐτὸν στρατηλατήσαντα κατὰ τὴν πρώτην στρατείαν (ὡς Ἀριστέας ἱστορεῖ), ἀλλὰ τὸν τούτου στρατηγὸν Νικάνορα (α). Καὶ ὅμως τῷ Ἀριστέᾳ συμμαρτυροῦσι·

(α) Τοῦτο συνυποκρέκουσιν Ὀδίῳ κατ' Ἀριστέου καὶ ἄλλοι, καὶ ὁ Rosenmüller Handbuch für die Literatur etc. 2. Th. p. 383.

α) Ὁ Ἀγαθαρχίδης, ἔνδοξος γραμματικὸς καὶ φιλόσοφος συγγραφεὺς *ἐκ περιπάτων* (Στράβ. ιδ), τὴν πατρίδα Κνίδιος, ἐπὶ τοῦ Φιλομήτορος Πτολεμαίου ἀκμάσας (α), ὅστις συνέγραψε καὶ ἄλλα παντοῖα, καὶ *τὰς πράξεις τῶν* (Ἀλεξάνδρου) *διαδόχων*. Ἐκ τούτου τοῦ βιβλίου ἐμνημόνευσεν ὁ Ἰώσηπος τὰ ἐφεξῆς· « *Εἰσιόντος εἰς τὴν πόλιν* (τῶν Ἱεροσολύμων) *Πτολεμαίου τοῦ Λάγου* μετὰ τῆς δυνάμεως, καὶ τῶν *ἀνθρώπων* ἀντὶ τοῦ φυλάττειν τὴν πόλιν, διατηρούντων τὴν ἄνοιαν » (τῆς ἀργίας τοῦ σαββάτου), « ἡ μὲν πατρὶς εἰλήφει δεσπότην πικρὸν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων ἐθισμόν » (β).

β) Ὁ Ἀππιανός· « Τὴν μεγίστην πόλιν, Ἱεροσόλυμα, καὶ ἁγιωτάτην αὐτοῖς (τοῖς Ἰουδαίοις) καὶ Πτολεμαῖος, ὁ πρῶτος Αἰγύπτου βασιλεὺς, καθῃρήκει » (γ).

γ) Καὶ Ἰώσηπος ὡσαύτως ἱστόρησεν (ὡς προείπομεν) αὐτὸν τὸν Πτολεμαῖον ἐπὶ τῆς πρώτης στρατείας δόλῳ κατασχόντα τὴν Ἱερουσαλὴμ, καὶ αἰχμαλωτίσαντα τὴν Ἰουδαίαν. Ἠπατημένον τὸν Ἰώσηπον ἐνόμισεν ὁ κριτικός (σελ. 469). Ἀλλὰ παρὰ τὰς τοιαύτας ὑπονοίας τῶν νεωτέρων, πᾶς τις ἀπαθὴς τῶν πραγμάτων θεωρὸς κρίνει (νομίζομεν) ἀσυγκρίτως ἀξιοπιστότερον ἄνθρωπον ἱεροσολυμίτην, σοφὸν ἱερέα τοῦ συνεστῶτος ἔτι ναοῦ, καὶ σύνεγγυς τῶν πραγμάτων γενόμενον, τὸν Ἰώσηπον, ὅστις ἠδύνατο πάντως γνωρίζειν ἀκριβῶς, ποσάκις καὶ πότε καὶ ὑπὸ τίνων βασιλέων ἑάλωκεν αὐτῷ ἡ πατρὶς, καὶ μετῳκίσθησαν αἰχμάλωτοι οἱ ὁμογενεῖς· καὶ ταῦτα δὲ διηγούμενος συμφωνεῖ καὶ πρὸς τοὺς ἔξωθεν ἱστορικοὺς, τὸν παλαιὸν Ἀγαθαρχίδην, καὶ τὸν Ἀππιανόν. Κᾀκεῖνο δὲ παράδοξον Ὅδιος ποιεῖ. Αὐτὸν ἐκεῖνον τὸν Ἰώσηπον, ὃν εἰσάγει μάρτυρα τῆς κατὰ τὴν πρώτην καὶ τὴν δευτέραν (δῆθεν) στρατείαν τοῦ Πτο-

---

(α) Βλ. Σουΐδ. λ. Ἀγαθαρχίδης — Φώτ. ἀναγν. σιγ. καὶ συ. προβλ. καὶ Fabr. Bibl. Graec. vol. 3. p. 32. Harl. καὶ Wessel. εἰς Διόδ. Σικελ. γ. § 11. σελ. 181. τόμ. α.

(β) Ἀγαθαρχίδ. παρ' Ἰωσήπ. κατὰ Ἀπίων. α. § κβ. προβλ. Ἀρχαιολ. ΙΒ. ια. (βλ. καὶ ὄπισθ. §. δ.).

(γ) Ἀππιαν. Συριακ. § 50. σελ 610. τόμ. α. Schweigh.

λεμαίου μετοικεσίας τῶν Ἰουδαίων, παρ' οὗ καὶ τὰ Ἀγαθαρχίδου ἀντέγραψε καὶ τὰ Ἑκαταίου, τοῦτον αὐτὸν πάλιν ἔκρινεν ἐξηπατημένον, δι' ἕνα καὶ μόνον ἅλις ἀποχρῶντα λόγον, διότι συμφωνεῖ πρὸς τὸν Ἀριστέαν!

δ) Ὡσαύτως καὶ Εὐσέβιος ὁ ἱστορικὸς (ὃν ὅδιος ἀποφαίνεται πλανηθέντα παρὰ τοῦ Ἰωσήπου· ὡσανεὶ μὴ εἶχεν ἀναγνοὺς ὁ Εὐσέβιος μήτε τὸν Ἀγαθαρχίδην, μήτε τὸν Ἑκαταῖον, μήτ' ἄλλον μηδένα τῶν τότε σωζομένων ἱστορικῶν!) ἐχρονολόγησεν, ὅτι κατὰ τὸ γ, τῆς 114 Ὀλυμπ. (ἐπὶ τῆς πρώτης στρατείας) « Πτολεμαῖος ὁ Λάγου δόλῳ παραλαβὼν τὴν Ἱερουσαλὴμ καὶ ἀπάτῃ, πολλοὺς ἐκ τῆς Ἰουδαίας μετῴκισεν εἰς Αἴγυπτον ». (Χρονικ. Β. σελ. 347. Μεδιολ.). Τῇ Εὐσεβίου χρονολογίᾳ κατηκολούθησαν καὶ Ἱερώνυμος, καὶ ἡ Ἀρμενικὴ μετάφρασις, καὶ ὁ Σύγκελλος, καὶ τῶν νεωτέρων χρονογράφων οἱ ἐπισημότατοι.

ε) Μένει λοιπὸν μόνος ὁ Διόδωρος ἱστορῶν, ὅτι διὰ τοῦ στρατηγοῦ Νικάνορος, ἀλλ' οὐκ αὐτοπροσώπως ὁ Πτολεμαῖος ἐχειρώσατο τὴν Συρίαν καὶ τὴν Φοινίκην. Ἀλλὰ α) ὁ Διόδωρος τὴν Φοινίκην καὶ τὴν Κοίλην Συρίαν ἁπλῶς ἱστορῶν ὑπὸ τοῦ Νικάνορος κυριευθείσας, οὐδεμίαν μνήμην ποιεῖται ἰδίως περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων καὶ τῆς ἄλλης Ἰουδαίας. Ὥστε ἡ τούτου μαρτυρία οὐκ ἀντιλέγει ῥητῶς ἀπ' εὐθείας πρὸς τὴν Ἀριστέου καὶ Ἑκαταίου καὶ Ἀγαθαρχίδου καὶ Ἰωσήπου περὶ τῶν μετοικισθέντων Ἰουδαίων διήγησιν. Καὶ καταναγκάζεται ἄρα καὶ ὁ Σικελιώτης ἱστορικός, ὡς πρῴην ὁ Σμυρναῖος Ἕρμιππος, μάχεσθαι πρὸς Ἀριστέα, μηδὲν ἔχων πρᾶγμα πρὸς τὸν ἄνθρωπον κοινόν. — β) Ὁ Διόδωρος λέγει μὲν τὴν τότε τοῦ Νικάνορος στρατείαν « σύντομον καὶ πρακτικὴν γεγενημένην »· ἀλλ' ὅτι καὶ διὰ πολέμων κατέδραμεν ὁ Νικάνωρ ἄγων καὶ φέρων ἅπασαν τὴν Συρίαν, οὐδὲν εἶπεν ὁ ἱστορικός· ἀλλ' οὐδ' ἐσήμανεν ὅλως, ὅτι μετὰ τὴν Νικάνορος ἐπιστροφὴν οὐκέτι ἐξῆλθεν εἰς τὴν Συρίαν καὶ Φοινίκην αὐτοπροσώπως ὁ Πτολεμαῖος μέχρι τῆς δευτέρας αὐτοῦ στρατείας. Ὁ δὲ τὸν Διόδωρον πολλάκις ἀνεγνωκὼς Ἰώσηπος ἱστορεῖ σαφῶς, ὅτι στρατεύσας κατὰ τῆς Συ-

ρίας ὁ *Πτολεμαῖος* ὁ *Σωτὴρ*, ἔπραξεν ἐναντία τῆς αὐτοῦ ἐπωνυμίας, βλάψας δηλαδὴ καὶ πορθήσας τὴν χώραν. Καὶ φαίνεται ἄρα ὅτι μετὰ τὴν Νικάνορος ἐπιστροφὴν, διά τινα στάσιν μετ' ὀλίγον, ἴσως, κατὰ τόπους τῆς Συρίας καὶ Φοινίκης ἐπισυμβᾶσαν, ἐστράτευσεν ὁ Πτολεμαῖος αὐτὸς μετὰ δυνάμεως, καταστρεφόμενος τοὺς ἀφεστηκότας· τότε καὶ τὴν πόλιν τῶν Ἱεροσολύμων δόλῳ κατέσχεν (ἥτις πάντως οὐκ ἐδέξατο παρὰ τοῦ Νικάνορος φρουράν· ἢ πῶς ἂν ἔλαβεν αὐτὴν ὁ Σωτὴρ ἀπάτῃ καὶ δόλῳ; καὶ ἴσως οὐδ' ἀνέβη παντάπασιν εἰς αὐτὴν ὁ Νικάνωρ), καὶ τοὺς ἄλλους Ἰουδαίους ἠχμαλώτισεν. Ὥστε κακῶς ὁ κριτικὸς περιέκλεισε τὴν πρώτην τοῦ Πτολεμαίου στρατείαν εἰς μόνην τὴν προλαβοῦσαν τοῦ Νικάνορος στρατηγίαν. — γ) Τοιαύτην τινὰ τῆς αὐτοπροσώπου τοῦ Πτολεμαίου στρατείας τὴν ἀφορμὴν καὶ αὐτὸς ὁ Ἑκαταῖος φαίνεται μαρτυρῶν. Διότι τὴν εἰς Αἴγυπτον καὶ Φοινίκην μετανάστευσιν τῶν Ἰουδαίων αἰτιολογῶν, ἐπιφέρει « *διὰ τὴν ἐν Συρίᾳ στάσιν* ». Στάσιν δὲ λέγων ὁ Ἑκαταῖος οὐκ ἐννοεῖ πάντως *μάχην* καὶ *πόλεμον* τοῦ Πτολεμαίου πρὸς Ἀντίγονον περὶ τῆς Συρίας, οὐδὲ τὴν τοῦ Νικάνορος στρατείαν, ὁπότε τὸ πρῶτον ἡ Συρία καὶ Φοινίκη τῷ Πτολεμαίῳ *συντόμως* ὑπετάγησαν, ἀλλὰ τοῦτ' αὐτὸ *στάσιν* πολιτικὴν, ἡ *ἐπανάστασιν*, οὐχὶ τῶν Ἰουδαίων (οὔτε γὰρ Ἰουδαῖοι μόνοι κατῴκουν τὴν Συρίαν, καὶ ὁ Ἑκαταῖος διακρίνει τούτους ῥητῶς, ὡς ἐκ τῆς Ἰουδαίας ἀποσπασθέντας), ἀλλ' αὐτῶν τῶν ἤδη ἐπὶ τοῦ Νικάνορος ὑποταγέντων Σύρων κατὰ τόπους ἐπανάστασιν, οὓς αὐτὸς ὁ Πτολεμαῖος κατέστρεψεν ἐπελθὼν, *τοὺς μὲν μετοικίζων, τοὺς δὲ καὶ αἰχμαλωτίζων, καὶ πάντα φόβῳ ὑποχείρια ποιούμενος* (ὡς εὐκρινέστερον ἱστόρησεν Ἀριστέας τὰ τῆς στάσεως κακά). — δ) Τελευταῖον ὁ Διόδωρος, ὅστις καὶ τὸν Ἑκαταῖον ἀνέγνω, Πτολεμαίου τοῦ Λάγου σύγχρονον αὐτὸν ὁμολογῶν (α), καὶ αὐτὸν τὸν Ἀγαθαρχίδην (ὃν καὶ ὡς *ἐπιτυγχάνοντα* περὶ τὴν ἱστορίαν ἐπαινεῖ) (β), οὔτ' ἐναντία πρὸς τούτους εἰκότως ἠδύνατο συγ-

---

(α) Βλ. *Διόδωρ.* Βιβλ. Α. §. 37 *καὶ* 46. *καὶ* Βιβλ. Β. §. 47. *τόμ.* Α. *σελ.* 44, 56, 158. Wessel. — (β) Βλ. *Διόδωρ.* Α. §. 41 : Γ. §. 11. Τ. Α. *σελ.* 50 *καὶ* 181. Wess.

γράφειν (ἀφ᾽ ὧν πολλὰ τῆς κατ᾽ αὐτὸν ἱστορίας ἠρανίζετο), καὶ εἴ ποθεν ἄλλοθεν ἠπίστατο μηδέποτε πρὸ τῆς δευτέρας στρατείας ἐπελθόντα τὸν Πτολεμαῖον αὐτὸν κατὰ τῆς Συρίας, ἀντέλεγεν ἂν, καὶ μάλιστα πρὸς Ἀγαθαρχίδην, ἱστοροῦντα κατὰ λέξιν τὴν ὑπ᾽ αὐτοῦ τοῦ Πτολεμαίου κατάσχεσιν τῶν Ἱεροσολύμων. Ὁ δὲ, τὴν πρώτην, τὴν διὰ τοῦ Νικάνορος, εἰς τὸ Πτολεμαίου βασίλειον κράτος ὑποταγὴν τῆς Συρίας καὶ τῆς Φοινίκης συντόμως διηγηθεὶς, ἔπειτα τὰς ἐφεξῆς ἐπὶ τοῦ Πτολεμαίου κρατοῦντος περιστάσεις τῶν τόπων τούτων παρέλιπεν, ἐπιτέμνων τὸν λόγον, μέχρις οὗ πάλιν αὐτῶν ἐπεμνήσθη, ὁπότε μετέβαλον ἄλλον ἐπελθόντα δεσπότην, τὸν Ἀντίγονον.

§. θ΄. Οὔτε Διόδωρος λοιπὸν ἀντιλέγει (εἰ δὲ καὶ ἀντέλεγεν, ὑπῆρχεν ἂν πρὸς ἄλλους ἀντιμαρτυροῦντας, πολλῷ πλείονας, *εἷς οὐδεὶς*), καὶ Ἀγαθαρχίδης μετὰ τοῦ Ἑκαταίου καὶ Ἀππιανοῦ συμμαρτυροῦσι λαμπρῶς Ἀριστέᾳ καὶ Ἰωσήπῳ περί τε τῆς εἰς Φοινίκην καὶ τὴν Συρίαν αὐτοπροσώπου τοῦ Πτολεμαίου στρατείας, καὶ περὶ τῆς τότε τῶν ἐξ Ἱερουσαλὴμ καὶ τῆς ἄλλης Ἰουδαίας αἰχμαλωτισθέντων Ἰουδαίων εἰς τὴν Αἴγυπτον μετοικεσίας. Ταύτην δὲ τὴν ὑπὸ τοῦ Πτολεμαίου ἅλωσιν τῶν Ἱεροσολύμων καὶ τῶν Ἰουδαίων ἀπαγωγὴν, ὁμολογοῦσι καὶ ἐξ αὐτῶν τῶν Ἀριστεομάχων κριτικῶν ἄνδρες ἐπίσημοι, καὶ προγενέστεροι καὶ νεώτεροι, οἷον Τραύγοτος ὁ Μύκκης, καὶ Πέτρος ὁ Βεσσελίγγιος, καὶ νεώτατος ὁ Ὕγος (α)· ἄλλους παραλείπομεν.

§. ι. Τὴν δὲ, τέλος, νοθείαν τοῦ *περὶ Ἰουδαίων* βιβλίου τοῦ Ἑκαταίου (§. ε) δῶρον ἄδωρον τοῖς Ἀριστέου φίλοις ὁ σοφὸς Ὅδιος ἐδωρήσατο, μηδαμῶς ἀποδεχομένοις! Αὐτὸς πρῶτος ὡμολόγησε τὸ γνήσιον τῆς συγγραφῆς· διότι τὴν ἐκ ταύτης μαρτυρίαν ὑπέθηκε θεμέλιον τῆς ἀποδείξεως τῶν κατὰ τὴν δευτέραν δῆθεν τοῦ Πτο-

(α) S. T. Mücke de origin. Version. Sept. interpr. pag. 59. — P. Wesseling. de fragm. Orph. in Valcker. Diatrib. de Arist. Jud. p. 132. — Hug de Pentateuchi Version. Alexandr. pag. 17. πρβλ. καὶ Herbst historisch-kritisch. Einleit. in die heil. Schrift. des Alt Test. 1. Th. pag. 149.

λεμαίου στρατείαν έκοντὶ μετοικησάντων Ἰουδαίων (§. 6). Εἰ δὲ καὶ Φίλων ὁ Ἑρέννιος, ἔτη 400, μετὰ τὸν Ἑκαταῖον, καὶ 20 περίπου μετὰ τὸν Ἰώσηπον ἀκμάσας (τῷ 120 μ. Χ.), ὑπωπτεύσατο διττὴν ὑποψίαν περὶ τῆς Ἑκαταίου συγγραφῆς (ἢ τοῦτον αὐτὸν λέγων ὑπὸ τῶν Ἰουδαίων συναρπασθῆναι, ἢ τὸ βιβλίον εἶναι ψευδεπίγραφον), πῶς ἄλλως ἠδύνατο γράψαι δριμὺς τῶν Ἰουδαίων εἰδωλόθρησκος ἐχθρός; Ὅτι δὲ τοιοῦτοι πολλοὶ καὶ Σύριοι καὶ Αἰγύπτιοι μάλιστα κατά τε τοὺς Ἑρεννίου χρόνους καὶ ἔτι πρότερον ἐξήνεγκαν πικρὰς κατὰ τῶν Ἰουδαίων βλασφημίας, αὐτὸς πάλιν ὁ Ἰώσηπος εἰλικρινῶς ὡμολόγησε, γενναίως αὐτοὺς (ἐν τοῖς κατὰ Ἀπίωνος) ἐξελέγχων. Οὐδόλως οὖν παράδοξα τὰ τοῦ Ἑρεννίου παραληρήματα. Ταῦτα δὲ καὶ ὁ θαυμάσιος Ὠριγένης ἐμνημόνευσε πρὸς ἔλεγχον τῆς αὐτοῦ τοῦ Ἑρεννίου παρανοίας. Διότι ἀντιλέγων πρὸς τὸν Κέλσον (ἄγριον καὶ τοῦτον χριστιανῶν καὶ Ἰουδαίων ἐχθρὸν, μικρῷ τοῦ Ἑρεννίου μεταγενέστερον), περιφρονοῦντα τὸ τῶν Ἰουδαίων ἔθνος, « Πόσῳ (λέγει) βελτίων Κέλσου ὁ Πυθαγόρειος Νουμήνιος, ὅστις ἐγκατέταξε (τοῖς σοφοῖς ἔθνεσι) τοὺς Ἰουδαίους. Λέγεται δὲ καὶ Ἕρμιππον ἱστορηκέναι Πυθαγόραν τὴν ἑαυτοῦ φιλοσοφίαν ἀπὸ Ἰουδαίων εἰς Ἕλληνας ἀγαγεῖν »· (καὶ εὐθὺς ἐπιφέρει) « Καὶ Ἑκαταίου δὲ τοῦ ἱστορικοῦ φέρεται *περὶ Ἰουδαίων βιβλίον*, ἐν ᾧ προστίθεται μᾶλλόν πως ὡς σοφῷ τῷ ἔθνει ἐπὶ τοσοῦτον, ὥστε καὶ Ἑρέννιον » κτλ. (βλ. τὰ λοιπὰ ὄπισθ. §. ε). Ὥστε ὁ Ὠριγένης καὶ τὸν Ἑκαταῖον ἐπαινεῖ μεθ᾽ Ἑρμίππου καὶ Νουμηνίου συγκατατάσσων, καὶ τὴν αὐτοῦ συγγραφὴν ἀποδέχεται γνησίαν. Ὁ δὲ περίσοφος Σκαλίγηρος, μετὰ 1500 ἐνιαυτοὺς κατόπιν Ἑρεννίου γενόμενος, ἐφάνη καὶ τούτου παραδοξότερος. Πρῶτος οὗτος πάλιν διεκήρυξεν, ὡς τοῦ Ἀριστέου, οὕτω καὶ τῆς Ἑκαταίου συγγραφῆς τὴν νοθείαν, ταύτην προτιμήσας (καθὼς ἔπρεπεν!) ἐκ τῶν διπλῶν τοῦ Ἑρεννίου ὑπονοιῶν· καὶ διατείνεται δὲ κατὰ λέξιν ὁ Σκαλίγηρος ὅτι « *Τὸ περὶ Ἰουδαίων* τοῦ Ἑκαταίου βιβλίον ἐπλάσθη παλαιόθεν ὑπό τινων ἑλληνιστῶν Ἰουδαίων, καθὼς (λέγει) *ΣΑΦΩΣ συνάγεται ἐκ τοῦ Ὠριγένους* ». (Ἀκούεις, τί συνάγεται *σαφῶς* ἐκ τοῦ

Ὠριγένους;). Καὶ λοιπὸν ὑπῆρξε καὶ τοῦτο (κατ' αὐτὸν) τὸ βιβλίον, ὁποῖον καὶ τὸ τοῦ Ἀριστέου (καθὼς εἶπεν *ἑλληνίζων περὶ τούτου) «τῶν ἑλληνιστῶν Ἰουδαίων παρεγχείρημα»* (α). Τὴν Σκαλιγήρειον ταύτην ὑπόνοιαν μετὰ κρότου κατησπάσθησαν καὶ ἄλλοι (β), καὶ μάλιστα πάντων ὁ σοφώτατος Βεντλήϊος, φιλοτιμηθεὶς καὶ δι' ἄλλης πάλιν οὗτος ὑπονοίας φιλολογικώτερον αὐτὴν ἐμπεδῶσαι (γ).

(α) «Quid Aristeas ille-quod est τῶν ἑλληνιστῶν Ἰουδαίων παρεγχείρημα? Quid Hecataeus de Judaeis, quem ab iisdem Hellenistis antiquitus confictum fuisse manifeste ex Origene colligitur?» (Scalig. Epist. 415 ad Is. Casaubon.). Καὶ ὅμως αὐτὸς οὗτος ὁ μέγας Σκαλίγηρος ἀλλαχοῦ πολλάκις ἐμνημόνευσεν ὡς γνησιωτάτην ταύτην τὴν περὶ Ἰουδαίων συγγραφὴν τοῦ Ἑκαταίου (βλ. Scalig. Not. in fragment. vet. Graec. p. 12, 24, etc). Ὅθεν πρὸς αὐτὸν ἀπήντησε γενναίως ὁ σοφὸς Spencer (Annotat. εἰς Ὠριγ. κ. Κέλσ. Α. §. 15.). πρβλ. καὶ Saint-Croix Examen des historiens d'Alexandre le Grand. Paris. 1804, pag. 558, καὶ Schoell Hist. de la Litterat. Grecq. vol. 3. p. 212.

(β) Eichhorn Bibl. der Bibl. Litterat. 5 Bd. 1. Abth. p. 431.

(γ) Ὁ ἱερὸς Κλήμης (ἐν Στρωματ. Ε, 717) μνημονεύει ῥῆσιν τοῦ Σοφοκλέους, ὡς ἐκ τοῦ Ἑκαταίου, λέγων «Ὁ μὲν Σοφοκλῆς, ὥς φησιν Ἑκαταῖος, ὁ τὰς ἱστορίας συνταξάμενος, ἐν τῷ κατὰ Ἄβραμον καὶ τοὺς Αἰγυπτίους, ἄντικρυς ἐπὶ τῆς σκηνῆς ἐκβοᾷ.

«Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶ Θεός·
Ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν,
Πόντου τε χαροπὸν οἶδμα, κἀνέμων βίαν.
Θνητοὶ δὲ πολλοὶ (ἴσ. γρ. πολλὰ) καρδίαν πλανώμενοι,
Ἱδρυσάμεσθα, πημάτων παραψυχὴν,
Θεῶν ἀγάλματ' ἐκ λίθων, ἢ χαλκέων,
Ἢ χρυσοτεύκτων, ἢ 'λεφαντίνων τύπους» κτλ.

Τοὺς αὐτοὺς στίχους καὶ Ἰουστῖνος (λόγ. πρὸς Ἕλλην.) ἐμνημόνευσε, καὶ Ἀθηναγόρας ἐν μέρει (Πρεσβ. π. Χριστιαν.), καὶ Εὐσέβιος (Εὐ. Προπ.), καὶ ὁ Θεοδώρητος (Θεραπ. Ἑλλην. παθ.), καὶ ἄλλοι τῶν Πατέρων. Ὁ δὲ κλεινὸς Βεντλήϊος (Bentlejus Epist. ad Millium p. 12, et 93), ἐπεχείρησεν ἀποδεῖξαι νόθους μὲν τοὺς στίχους τούτους, νόθον δὲ καὶ τὴν τούτους περιέχουσαν Ἑκαταίου συγγραφὴν (οἵαν αὐτὴν καὶ Σκαλίγηρος ἀνεκήρυξεν), ἐξ ἧς τοὺς στίχους ὁ Κλήμης ἐμνημόνευσεν ἀνωτέρω. (Ἐκ ταύτης, λέγει, καὶ Ἰουστῖνος αὐτοὺς ἔμαθεν! Ἐκ δὲ τούτου πάλιν καὶ τοῦ Κλήμεντος ἀντέγραψαν καὶ οἱ λοιποὶ Πατέρες). Καὶ πῶς μὲν ἀποδείκνυσι τὴν νοθείαν τῶν στίχων ὁ κριτικὸς, λέγομεν ἐφεξῆς· ἤδη δὲ πρῶτον σημειοῦμεν δύω πλάνας αὐτοῦ μεγάλας. Α) Λέγει περὶ τοῦ Κλήμεντος, ὅτι πάντως ἔμαθε τοὺς στίχους ἐξ Ἑκαταίου. — Ἀλλ' ὁ Κλήμης ἀναγράφων τοὺς αὐτοὺς στίχους καὶ ἀλλαχοῦ (Προτρεπτ. πρὸς τοὺς

Ἐπεδοκίμασε δὲ καὶ Οὐαλκενῆρος, ἀφοριστώτερον ἀποφηνάμενος· « Ὅτι τὴν Ἑκαταίου νοθείαν ὑπενόησε μὲν ὁ Σκαλίγηρος, ἀπέδειξε δ' ὁ Βεντλήϊος, καὶ ἀμφότεροι παρηκολούθησαν τῇ παρ' Ὠριγένει

Ἑλλην.) ἐξέφερε τούτους ἐξ αὐτοῦ τοῦ ποιητοῦ, λέγων « Ὁ δὲ τοῦ Σοφίλλου Σοφοκλῆς (λέγει) ». Ὡσαύτως καὶ ὁ μάρτυς Ἰουστῖνος. « Ἀκούσατε καὶ Σοφοκλέους οὕτω λέγοντος » (Ἑκαταίου δ' οὗτος οὐδαμοῦ μνημονεύει). Β) Ὁ Κλήμης ἀνέφερε τοὺς Σοφοκλέους στίχους καὶ ἐκ τοῦ Ἑκαταίου (συμπαριστῶν δηλονότι καὶ τοῦτον μετὰ τοῦ Σοφοκλέους συμμαρτυροῦντα τῇ ἀληθείᾳ). Τὸ δ' Ἑκαταίου βιβλίον (ἐξ οὗ ἀντέγραψεν) ὀνομάζει « τὸ κατὰ Ἅβραμον καὶ τοὺς Αἰγυπτίους· ὁ δὲ Σκαλίγηρος, ἀκολουθῶν δῆθεν Ἑρεννίῳ, διεκήρυξε νόθον ἄλλο βιβλίον τοῦ Ἑκαταίου « τὸ περὶ Ἰουδαίων, » ὡς ὀνομάζει τοῦτο ῥητῶς ὁ Ὠριγένης καὶ αὐτὸς ὁ παρ' αὐτῷ Ἑρέννιος. Ὁ δὲ κλεινὸς Βεντλήϊος ἐξέλαβε τοῦτο ψευδῶς ὡς τὸ αὐτὸ καὶ τὸ παρὰ τῷ Κλήμεντι ἀνωτέρω (τὸ κατὰ Ἅβραμον κτλ.). Ὅτι δὲ ταῦτα διέφερον ἀπ' ἀλλήλων, ἀρκεῖ πρὸς ἀπόδειξιν καὶ μόνη ἑκατέρων ἡ διάφορος ἐπιγραφή. Ὡς διάφορα μνημονεύει ταῦτα καὶ Ἰώσηπος, ὀνομάζων ἰδίως « τὸ περὶ Ἰουδαίων Ἑκαταίου βιβλίον (Α. κ. Ἀπίων. §. κβ), καὶ πάλιν « τὸ περὶ τοῦ Ἀβραάμ, ὃ συνέταξεν Ἑκαταῖος » (Ἀρχ. Α, ζ, §. β). Ὡσαύτως καὶ Εὐσέβιος τὸ κατὰ « Ἅβραμον καὶ τοὺς Αἰγυπτίους » ἀπὸ τῆς αὐτῆς ὡς ὁ Κλήμης ἐπιγραφῆς μνημονεύσας (Εὐαγ. Προπ. σελ. 689), τὸ περὶ Ἰουδαίων διέκρινεν, ὡς ἰδιαίτερον Ἑκαταίου σύγγραμμα, λέγων· « Ἑκαταῖος — ἰδίαν βίβλον ἀναθεὶς τῇ περὶ Ἰουδαίων ἱστορίᾳ » (σελ. 418). Ὁ δ' αὐτὸς καὶ τὸ περὶ τοῦ Ἀβραάμ, ὡς καὶ Ἰώσηπος, ὀνομάζει (σελ. 417). Εἰ δὲ τοῦτο ὑπῆρχε τὸ αὐτὸ καὶ « τὸ κατὰ Ἅβραμον καὶ τοὺς Αἰγυπτίους », ἀνάγεται λοιπὸν καὶ τοῦτο εἰς τὰς Αἰγυπτιακὰς ἱστορίας τοῦ Ἑκαταίου, ὧν καὶ Διόδωρος ἐπεμνήσθη (Α. σελ. 56: Τ. α. Wes.), καὶ Πλούταρχος (περὶ Ἴσιδ. καὶ Ὀσίρ.)· τὰς δ' αὐτὰς ἱστορίας καὶ Κλήμης πάντως ἐννοεῖ λέγων « Ἑκαταῖος, ὁ τὰς ἱστορίας συνταξάμενος ». Ὥστε καὶ τοῦτο δείκνυσι τὸ περὶ Ἰουδαίων διάφορον παρὰ τὰς Αἰγυπτιακὰς ἱστορίας. Συνῆπτε δὲ καὶ τὸν Ἅβραμον μετὰ τῶν Αἰγυπτίων ὁ Ἑκαταῖος, ἴσως, ὡς ἱστορῶν καὶ αὐτὸν εἰς τὴν Αἴγυπτον καταβάντα (Γενέσ. ιβ), καὶ πατέρα γεγονότα τῶν ὕστερον ἐν Αἰγύπτῳ πληθυνθέντων Ἑβραίων ». Γ) Τῆς δὲ νοθείας τῶν Σοφοκλείων στίχων ἀπόδειξιν προβάλλει ὁ Βεντλήϊος τρία μάλιστα ξένα τῆς Ἀττικῆς τοῦ Σοφοκλέους γλώσσης ἰδιώματα· α) τὸ ἀσυναίρετον ἰωνικὸν χαλκέων (στίχ. 6) « Χρυσοῦς λέγε » (λέγει, ἐκ τοῦ Φρυνίχου) « ἀττικῶς· τὸ γὰρ χρύσεος, ἰακόν· ὡσαύτως καὶ ἀργυροῦς, χαλκοῦς » κτλ. (οὐχὶ χάλκεος). Καὶ ὅμως ἠπάτησεν ὁ Φρύνιχος τὸν Βεντλήϊον, διότι αὐτὸς ὁ Σοφοκλῆς εἶπε « τὸ χρύσεον τῆς Δίκης . . . . ὄμμα » (βλ. Σοφοκλ. Λείψαν. τόμ. 3. σελ. 670 ἐκδ. Brunck). Οὕτως ἠδύνατο λέγειν καὶ χαλκέων (γενικ. πληθ. τοῦ χάλκεος, χαλκοῦς), ἢ χαλκέους (τύπους). Ἀλλ' ἡ γνησιωτέρα τοῦ στίχου τούτου γραφὴ φαίνεται « ἐκ λίθων, ἢ καὶ ξύλων »· οὕτως ἀναγινώσκεται

(κ. Κέλσ. Α) κρίσει τοῦ Φίλωνος Ἑρεννίου »! (α) Ὁ δὲ καλὸς Βανδάλης ἐπαμφοτερίζων, καί πως ἀποκλίνων πρὸς τὴν Ἑκαταίου γνησιότητα, προστίθησιν ὅμως ἑτέρωθεν, ὅτι Ἑκαταῖος οὗτος ἐγένετο σφόδρα φιλοψευδής τις ἱστορικός· καὶ φέρει πρὸς ἀπόδειξιν τὸ παρ' Αἰλιανῷ (π. Ζώων ἱστορ. ια, 1) περὶ *τῶν Ὑπερβορέων* μυθῶδες τοῦ Ἑκαταίου χωρίον (β). Τὸν δὲ σοφὸν Βαλέσιον καὶ λίαν ἄν τις θαυμάσοι, πῶς ἔκρινε τὴν Ἑκαταίου νοθείαν ἐκ τῆς παρὰ τῷ Ἀριστέᾳ πρὸς τὸν Φιλάδελφον ἀναφορᾶς Δημητρίου τοῦ

καὶ παρ' αὐτῷ Κλήμεντι (Προτρεπτ.), καὶ παρὰ τῷ Ἰουστίνῳ. — β) Λέγει τὸ κατὰ γενικὴν ἐκφερόμενον θεῶν χρυσοτεύκτων, ἢ 'λεφαντίνων (τύπους), ξένον καὶ τοῦτο τῶν Ἀττικῶν, οἵτινες λέγουσι χρυσοτεύκτους τύπους, ὡς « χαλκᾶς εἰκόνας » κτλ., συντάσσοντες τὰ ἐπίθετα οὐχὶ πρὸς τὰ τυπούμενα πρόσωπα (θεῶν, ἀνδρῶν κτλ.), ἀλλὰ πρὸς αὐτὰ τὰ τυπώματα καὶ ὁμοιώματα (τὰ ἀγάλματα). Ὀρθὸν τοῦτο εἶπεν ὁ κριτικός· ὤφειλε λοιπὸν καὶ διορθῶσαι τὴν ἐσφαλμένην γραφὴν, γράψας « ἢ χρυσοτεύκτΟΥΣ, ἢ 'λεφαντίνΟΥΣ τύπους », καθὼς καὶ αὐτὸς ὑπενόησεν, ἐξέδωκε δὲ καὶ ὁ Brunck τόμ. γ. σελ. 683 (καίτοι καὶ οὗτος τὴν περὶ νοθείας τῶν στίχων γνώμην τοῦ Βεντληΐου ἐπαινῶν), καὶ ὁ Musgrav. (Τ. 2. σελ. 272), καὶ ὁ Bothe (Τ. 2 σελ. 146). — γ) Τὸ « καρδίᾳ πλανώμενοι » εὕρηκεν ὁ Βεντλήϊος καθαρὸν ἑβραϊσμὸν, καὶ φέρει μαρτύρια, τὸ « ἀεὶ πλανῶνται τῇ καρδίᾳ » (ψαλμ. ηδ), καὶ τὸ « ἡ καρδία μου πλανᾶται » (Ἠσ. κε). Καὶ ὅμως ἐπελάθετο ὁ σοφὸς ἀνὴρ, ὅτι καὶ αὐτὸς ὁ Ἀττικὸς Εὐριπίδης εἶπε « πλάνος (τουτ. πλάνη) καρδίᾳ προσίσταται (Εὐριπίδ. λείψ. τόμ. 2. σελ. 497 ἐκδ. Barnes.) δηλονότι τὸ αὐτὸ καὶ « πλανᾶται ἡ καρδία ». Τοιοῦτο καὶ τὸ Μενάνδρου τοῦ Ἀθηναίου. « Εἴ τις δὲ θυσίαν προσφέρων, ὦ Πάμφιλε, — ἢ κατασκευάσματα, — ἢ διὲλέφαντος, ἢ σμαράγδου ζῴδια » (ὡς τὸ ἐλεφαντίνους τύπους), « εὔνουν νομίζει τὸν θεὸν καθιστάναι, πεπλάνητ' ἐκεῖνος, καὶ φρένας κούφας ἔχει » (Μένανδρ. παρὰ Κλήμεντ. Στρωμ. ε. σελ. 718),

(α) Valckenaer. Diatrib. de Aristob. Jud. p. 18.

(β) Van Dale Diss. c. 29. p. 220. Ἐπελάθετο ὁ Βανδάλης τοῦ Διοδώρου, μνημονεύοντος τὸν Ἑκαταῖον καὶ ὡς ἕνα « τῶν τὰς παλαιὰς μυθολογίας (περὶ τῶν Ὑπερβορέων) ἀναγεγραφότων (Διόδ. β. §. 47. σελ. 158 Wessel. πρβλ. καὶ Σχολ. Ἀπολλων. Ῥοδ. Β. 677, καὶ Plin. VI, 17). Καὶ ὅμως αὐτὸς ὁ Διόδωρος ἐν ἄλλοις φέρει μάρτυρα πιστὸν τὸν Ἑκαταῖον (Α. §. 46). Ἀλλ' ὅσον ἐκ τῆς Βανδαλείου ταύτης αὐστηρότητος, οὐδεμία λοιπὸν ἡμῖν ὑπολείπεται πίστις οὔτε Ἀγαθαρχίδου (ὅστις καὶ αὐτὸς πολλὰ παράδοξα συνέγραψε. βλ. Φωτ. ἀναγ. συν. καὶ Συλλογ. Γεωγρ. τόμ. α. σελ. 193. Βιέν.), οὔτ' αὐτοῦ Ἡροδότου, οὔτ' ἄλλων τοσούτων ἀρχαίων ἱστορικῶν, οἵτινες « περὶ τῶν ἀπωτάτω — τὰ πλείω λέγουσιν ἐξ ἀκοῆς » (Στράβ. ια, 685).

Φαληρέως λέγων· « Ὅτι (ὁ Φαληρεὺς) φέρει μαρτυρίαν ὡς ἐξ ἀρχαίου συγγραφέως, Ἑκαταίου τοῦ Ἀβδηρίτου· ἀλλ' οὗτος ἦν αὐτῷ σύγχρονος, ὡς ἀκμάσας καὶ οὗτος ἐπὶ τῶν Ἀλεξάνδρου *διαδόχων*, κατὰ Σουΐδαν » (α). Ἀλλ' ὅτι μὲν Ἑκαταῖος « *συνήκμασεν Ἀλεξάνδρῳ τῷ βασιλεῖ, καὶ Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος* », ἔγραψαν ἄλλοι σαφέστερον παρὰ τὸν Σουΐδαν (β). Ὅτι δὲ καὶ σύγχρονοι συγχρόνων (καὶ οὗτοι πάλιν, ἢ νεώτεροι γεραιτέρων, ἢ καὶ ὁμήλικες ὁμηλίκων, ἔστι δ' ὅτε καὶ γεραίτεροι νεωτέρων, προλαβόντων εἰς ἔκδοσιν τινὸς συγγράμματος) ἐκφέρουσι πολλάκις μαρτυρίας πιστὰς, ἄπορον ὅπως ἐπελάθετο ἡ τοῦ Βελεσίου πολυμάθεια· καὶ ταῦτα, σχολιάζοντος τὴν (ἐν ᾗ καὶ τὴν ῥηθεῖσαν κρίσιν ἐξέδωκεν) ἱστορίαν τοῦ Εὐσεβίου, ὅστις ἄλλων τε μέμνηται συγχρόνων, καὶ τῶν *Ἀνατολίου τοῦ Λαοδικείας* συγγραφῶν (Ἐκκλ. ἱστορ. ζ, 32). Οὕτω καὶ ὁ Κλήμης (τῷ 190) ἐπεμνήσθη *Τατιανοῦ* (τῷ 170), ζῶντος ἴσως ἔτι καὶ κατ' αὐτὸν (Στρωμ. α, καὶ γ, κτλ.). Ὠριγένην δὲ πρὸς τὰς τοῦ συγχρόνου Κέλσου γραφὰς ἀπαντῶντα, καὶ Ἰώσηπον πρὸς Ἀπίωνα, καὶ πρὸς Ἰοῦστον, καὶ πολλὰ τῶν ἀρχαίων Ἑλλήνων παραδείγματα παραλείπομεν. Ἓν δ' ἔτι μόνον (εἴπερ ἔξεστιν) ἐκ τῶν τῆς Ἐκκλησίας ὑπομιμνήσκομεν τὸν Βαλέσιον. Ὅτι καὶ Πέτρος ὁ θεῖος Ἀπόστολος ἀνέφερε τὰς τοῦ νεωτέρου Παύλου θεοπνεύστους ἐπιστολάς (Β, Πέτρ. γ, 15). Καὶ τοιαῦτα μὲν ἔκριναν περὶ τῆς Ἑκαταίου συγγραφῆς, ἀντιλεγομέναις ὑπονοίαις κατηκολουθηκότες, οἱ περικλεεῖς οὗτοι κριτικοί. Ἡμῖν δὲ ὅμως (καὶ μυρίοις ἄλλοις) συγχωρήσουσιν (ἐλπίζομεν) οἱ ἄνδρες, ἵνα περὶ τῆς Ἑκαταίου γνησιότητος συμπλανώμεθα μετὰ τοῦ βαρβάρου Ἰωσήπου, καὶ τοῦ ἀγραμμάτου Ὠριγένους, καὶ τῶν παντελῶς ἀφιλολόγων, Κλήμεντος καὶ Εὐσεβίου· (οἵτινες, οἱ τρεῖς, πολλοὺς πρὸ τοῦ Σκαλιγήρου αἰῶνας καὶ αὐτὸν τὸν Ἑρέννιον ὅλον

(α) Vales. in not. εἰς Εὐσεβ. Ἐκκλ. ἱστορ. ε. 9.

(β) Ἰώσηπ. κ. Ἀπίων. Α. §. κβ. πρβλ. Διόδωρ. Α. 46. Λαέρτ. θ, ια. 7 καὶ Menag. observ. ibid. Καὶ ὁ Εὐσέβιος λέγει τοῦτον « Σοφοκλέους νεώτερον » (Εὐαγ. Προπαρ. σελ. 680).

τότε πάντως ἀναγνόντες, ὁ δ' Εὐσέβιος καὶ τὸν Κλήμεντα καὶ τὸν Ὠριγένην, ὁ δὲ Θεοδώρητος καὶ τούτους κἀκεῖνον, ὅσον ὅμως περὶ τῶν εἰς Ἑκαταῖον ὑπονοιῶν, χαίρειν Ἑρεννίῳ προσεῖπον μακρά!). Ταύτην δὲ τὴν πλάνην πλανηθήσονται πολλοὶ καὶ εἰς τὸ ἑξῆς, ἕως ἂν ἡ τῶν νεωτέρων τούτων σοφία τρανώτερον ἀποδείξῃ, πῶς ὁ μὲν Ἰώσηπος πρὸς Ἀπίωνα, δριμὺν καὶ πολυμαθῆ τῆς Ἀλεξανδρείας γραμματικὸν, καὶ πρὸς ἄλλους τοιούτους συγχρόνους τῶν Ἰουδαίων ἐχθροὺς δημοσίως ἀντιλέγων, ἐξέφερε πεποιθότως μαρτυρίας ἐκ μὴ γνησίας καὶ γνωστῆς, ἀλλὰ σκοτίας, καὶ ταύτης ὑπό τινων Ἰουδαίων Ἑλληνιστῶν πεπλασμένης συγγραφῆς τοῦ Ἑκαταίου! Πῶς δὲ καὶ ὁ Κλήμης πρὸς τοὺς Ἕλληνας ἐμνημόνευε θαῤῥούντως, ὡς γνησίους, οὐ μόνον Ἑκαταίου ψευδωνύμους ῥήσεις, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ τότε ὁλοκλήρου σῳζομένου, καὶ παρὰ τοῖς Ἕλλησι περιᾳδομένου Σοφοκλέους στίχους ὑποβολιμαίους καὶ νοθογενεῖς καὶ ἑβραιοπλάστους! (τούτους δὲ οὐ μόνον Ἰουστῖνος ὁ μάρτυς πρὸ τοῦ Κλήμεντος, ἀλλὰ καὶ αὐτὸς ὁ Ἀθηναγόρας, καὶ οὗτος *Ἀθηναῖος φιλόσοφος*, ἐξήγγειλεν ἐν τῇ Ἀπολογίᾳ, τῷ 177). Εἰς ποίαν δὲ, τέλος, ἐχέγγυον ἀφορμὴν καὶ αὐτοὶ οἱ κριτικοὶ τὰς ἑαυτῶν ἐστήριξαν ὑπονοίας, ἐν ᾧ μήτε τὰς Σοφοκλέους (πλὴν *ἑπτὰ* μόνων, καί τινων βραχυτάτων λειψάνων) ἔχουσι τραγῳδίας, μήτε Ἑκαταίου, μήτε κἂν αὐτοῦ τοῦ Ἑρεννίου Φίλωνος μηδεμίαν συγγραφήν!

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Ποικίλαι περὶ τῶν παρὰ τῷ Ἀριστέᾳ λυτρωθέντων αἰχμαλώτων Ἰουδαίων ἀμφιβολίαι τῶν κριτικῶν.

§. α΄. Μὴ ἀρκεσθέντες οἱ περὶ τὸν Ὅδιον εἰς ὅσα τοῦ Ἀριστέου κατελάλησαν, ὡς ψευσθέντος περί τε τοῦ χρόνου καὶ τοῦ αὐτουργοῦ τῆς εἰς Αἴγυπτον ἐπὶ τοῦ Λαγίδου μετοικεσίας τῶν Ἰουδαίων, ἐπιφέρουσι περὶ τῶν αὐτῶν καὶ ἄλλας κατὰ τοῦ ἱστορικοῦ σκιαμάχους πληγάς.

§. β΄. Α) « Λέγουσιν (Ὅδ. σελ. 62) ἐκ τῆς Ἑκαταίου μαρτυρίας (εἴτε ὁ ἀληθὴς οὗτός ἐστιν Ἑκαταῖος, εἴ τέ τις Ἰουδαῖος τ᾽ ὄνομα ψευσάμενος) εὑρήκαμεν, ὅτι τοὺς ἐκ τῆς Ἰουδαίας αἰχμαλώτους ὁ Λαγίδης « *μετέστησεν εἰς Αἴγυπτον καὶ Φοινίκην* ». Ὁ δ᾽ Ἀριστέας ἐξ ἐναντίας πάντας εἰς *τὴν Αἴγυπτον* νομίζει μετοικισθέντας· διότι διορίζων « *τὰς δέκα μυριάδας, ὅσας Πτολεμαῖος εἰς Αἴγυπτον μετήγαγεν* », οὐδεμίαν ποιεῖται μνείαν περὶ ἄλλων εἰς Φοινίκην μετασταθέντων· πλὴν εἰ μὴ τούτους ἐννοεῖ, ἐν οἷς λέγει περὶ τοῦ Πτολεμαίου, ὅτι « (ἐπελθὼν τὰ κατὰ Κοίλην Συρίαν καὶ Φοινίκην) *τοὺς μὲν μετῴκιζε* » κτλ.

Ἀπαντῶμεν.

§. γ΄. Ναὶ, ὦ ἀγαθοὶ, τούτους πάντως ὁ Ἀριστέας ἐννοεῖ· διότι, μεταξὺ τῶν ἀπ᾽ ἄλλων εἰς ἄλλους τόπους τῆς Φοινίκης καὶ τῆς Συρίας μετοικιζομένων ἀνθρώπων, ὑπῆρχον πάντως καὶ Ἰουδαῖοι, διάφοροι τῶν ἰδίως ἐκ τῆς Ἰουδαίας περὶ δέκα μυριάδας εἰς Αἴγυπτον ἀπάντων μετοικισθέντων, καθὼς Ἰώσηπος ἱστορεῖ (ΙΒ, α). Ὑμῖν δὲ, ὦ ἄνδρες, τί κοινὸν ἤδη πρὸς τοῦτον τὸν Ἑκαταῖον; οἵτινες αὐτὸν ἐξ Ἀριστέου τὸ πρῶτον καὶ Ἰωσήπου μαθόντες, καὶ μετὰ πολλῆς βασανίσαντες εἰρωνείας, καὶ νῦν μὲν ἐκεῖνον τὸν ἀληθινὸν, ἀλλ᾽ ὅμως συνηρπασμένον ὑπὸ Ἰουδαίων ἐκλαβόντες, νῦν δὲ πάλιν εἰς αὐτόχρημα ψευδώνυμον καὶ πλαστογράφον Ἰουδαῖον μεταποιήσαντες, ἔπειτα τοῦτον προβάλλετε μάρτυρα κατ᾽ αὐτοῦ τοῦ Ἀριστέου καὶ Ἰωσήπου! Ἀλλ᾽ εἰ μὲν ὁ γνήσιός ἐστιν Ἑκαταῖος, συμμαρτυρεῖ λοιπὸν καὶ οὗτος τοῖς αὐτοῦ τὸ πρῶτον μνημονεύσασιν (ἢ μήπως ὁ Ἰώσηπος καὶ ὁ Ἀριστέας εἰσήγαγον ἀναισθήτως τὸν Ἑκαταῖον ἀντιμαρτυροῦντα καθ᾽ ἑαυτῶν;). Εἰ δὲ πάλιν, καθ᾽ ὑμᾶς, ὑπάρχει πλαστογράφος, πῶς οὐκ αἰδεῖσθε τοιοῦτον σύμμαχον προσλαμβάνοντες πρὸς ἔλεγχον τοῦ Ἀριστέου;

§. δ. Β) « Ὁ Σκαλίγηρος (λέγουσιν) ἀπιστεῖ παντάπασιν ὅτι ἀπελύθησαν ὑπὸ τοῦ Φιλαδέλφου πάντες οἱ ἐν Αἰγύπτῳ αἰχμάλωτοι Ἰουδαῖοι, νομίζων ὅτι ἐξ ἐκείνης δὴ τῆς αἰχμαλωσίας ἀπέμειναν αἵ τε κατὰ τοὺς Πτολεμαίων χρόνους πολυάριθμοι τῶν Ἑλληνιστῶν.

ἐν Αἰγύπτῳ συναγωγαὶ, καὶ αὐτῶν τῶν καθ' ἡμᾶς Αἰγυπτίων Ἰουδαίων τὸ πλῆθος. Καὶ Σαμαρεῖται δὲ μέχρι σήμερον κατοικοῦσιν ἐν Καΐρῳ (α). Ἀλλὰ τοῦτο (λέγει Ὅδιος), καίτοι κατὰ μέρος ἴσως ἀληθεῦον, χωρὶς ὅμως ἀνάγκης οὐδεμιᾶς ἐπίστευσεν ὁ Σκαλίγηρος. Μεγάλη πληθὺς Ἰουδαίων ἔτι ἐπὶ τοῦ Μ. Ἀλεξάνδρου μετῴκησεν εἰς Αἴγυπτον (ὡς βεβαιοῦται ἐκ τῆς ἱστορίας. βλ. ἐφεξ. §. ια)· καὶ (ἵνα παραλίπω τοὺς ἐπὶ τοῦ Λαγίδου ἑκουσίως μεταναστατεύσαντας), πολὺς πάλιν ὄχλος παρεγένετο καὶ ἐπὶ τοῦ Φιλομήτορος Πτολεμαίου, ὁπότε κατεσκεύασε τὸν ἐν Αἰγύπτῳ ναὸν Ὀνίας ὁ ἀρχιερεὺς (Ἰώσηπ. Ἀρχ. ιγ. 3. καὶ Ἰουδ. πολέμ. ζ. 30, καὶ Ἱερώνυμ. εἰς Δανιήλ). Πολλὰ δὲ καὶ ἄλλα στίφη κατὰ καιροὺς ἀναμφιβόλως μετηνάστευσαν εἰς Αἴγυπτον. Ἐγὼ δὲ (προστίθησιν), ὥσπερ οὐκ ἀρνοῦμαι ποσούς τινας Ἰουδαίων (Judaeos aliquot) ἀπολυθῆναι ὑπὸ τοῦ Φιλαδέλφου εἰς τὴν ἰδίαν αὐτῶν πατρίδα, οὕτως οὐδ' ἀποδέχομαι πάλιν ἅπαντα τὰ περὶ τῆς ἀπολύσεως ταύτης ὑπ' Ἀριστέου παραδοθέντα. Πολλὰ ψευδῆ καὶ ἀντιφατικὰ παρέπλασαν Ἰουδαῖοι. Καί τινες αὐτῶν εἰς τοῦτο μανίας κατήντησαν, ὥστε καὶ τὸν Ἔσδραν αὐτὸν (τρεῖς αἰῶνας ἤδη τοῦ Φιλαδέλφου προγενέστερον) ἐμυθολόγησαν μεσιτεῦσαι πρὸς τὸν Φιλάδελφον ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν Ἰουδαίων (β). Καὶ ὁ μὲν ἡμέτερος Ἀριστέας, ἐξ αὐτοῦ δὲ καὶ Ἰώσηπος καὶ Εὐσέβιος καὶ ἄλλοι, γράφουσι τὸν Φιλάδελφον ἀπολῦσαι τοὺς Ἰουδαίους, ὅπως τύχῃ τῆς ἑρμηνείας τῶν Γραφῶν. Ὁ δὲ Γοριονίδης Ἰώσηπος (ἱς. Ἰουδ. γ. 2) μετὰ τὴν ἑρμηνείαν λέγει τοὺς αἰχμαλώτους ἀπολυθῆναι ».

(α) J. Scalig. ad. Euseb. Chr. num. 1731. « Κατὰ τοὺς Σκαλιγήρου δηλονότι χρόνους (σημειοῖ Ὅδιος)· ἀλλ' ὅμως (λέγει) τὴν σήμερον τῷ (1700) οὐχ ὑπελείφθησαν ἐν Καΐρῳ Σαμαρεῖται, ὡς ὁ Vanslebius (ἐν τῷ De praesenti statu Aegypti) μαρτυρεῖ ». [Καὶ ἀλλαχοῦ δὲ ὁ Σκαλίγηρος (De Emendat. tempor. VII. p. 663) οὐ μόνον ἐν Καΐρῳ Σαμαρείτας μεγάλην ἔχοντας συναγωγὴν, ἀλλὰ καὶ ἐν Ἐρυθρᾷ θαλάσσῃ νῆσον κατοικοῦντας ἐσημείωσε, κατὰ τὴν μαρτυρίαν Ἄραβός τινος γεωγράφου. βλ. Spanhem. Not. εἰς Ἰωσήπ. Ἀρχ. ΙΒ. α].

(β) Βλ. Gotfrid. Viterbiens. in Chronic. part. XI.

Ἀπαντῶμεν.

§. ε. Δικαίως ἐπεῤῥάπισε τὴν εἰς τὸν Ἀριστέα Σκαλιγήρειον ἀπιστίαν ὁ κλεινὸς Ὅδιος· ἀλλ' αὐτὸς ἐνέπεσεν εἰς ἄλλην ἀλογωτέραν. *Ποσούς τινας Ἰουδαίους* στέργει ἀπολυθέντας, πόσους ὅμως, οὔτε διώρισεν, οὔτ' ἠπίστατο διορίσαι (ἢ πόθεν ἂν εἶχεν ὅλως εἰπεῖν;). — « Οὐκ ἀποδέχεται (λέγει) τὰ τοῦ Ἀριστέου, διότι πολλὰ διεμυθολόγησαν Ἰουδαῖοι ». — Ἀλλ' ὁ Ἀριστέας οὐκ ἦν Ἰουδαῖος, Ἕλλην δὲ προσήλυτος· (συγκαταφήσουσι δὲ ῥᾷστα καὶ οἱ Ὁδιακοί, καθὼς ἐπίστευσαν καὶ τῷ Ἐρεννίῳ Φίλωνι μαρτυροῦντι περὶ τοῦ Ἑκαταίου, ὅτι συγκατετέθη τῷ λόγῳ καὶ δόγματι τῶν Ἰουδαίων!). Εἰ δὲ καὶ πάντως Ἰουδαῖον ἐθέλει τὸν Ἀριστέαν ὁ κριτικός, ἀλλὰ πάλιν τὸ καὶ πρὸς τοῦτον, καὶ πρὸς Ἰώσηπον, καὶ πρὸς πάντας τοὺς τὴν ἱστορίαν ἐπικυροῦντας ἀρχαίους ἄνδρας ἀντιτάττειν μωρὰς ἀντιλογίας καὶ λήρους μυθογράφων Ῥαββινιδίων (οἷος καὶ ὁ Γορίωνος παῖς), τοῦτο προφανῶς ὑπερτερεῖ πάσης ἀτοπίας ὑπερβολήν! Ἄτοπον δ' ἂν εἴη καὶ αὐτὸ τὸ πρὸς τοιαύτας παραλογίας ὅλως ἀπαντᾷν. Ἀπέχομεν· καὶ χορευέτωσαν εὐθύμως αἱ Γοριωνίδες Μοῦσαι παρὰ τοῖς φιλοκάλοις αὐτῶν ἐρασταῖς!

§. ϛ'. Γ) « Δέκα μυριάδας περίπου (λέγουσιν) ἱστόρησεν Ἀριστέας ὑπὸ τοῦ Λαγίδου μετοικισθείσας εἰς τὴν Αἴγυπτον· « τούτων δὲ τρεῖς μὲν περίπου μυριάδας ἀνδρῶν ἐκλεκτῶν καθοπλίσας ὁ Λαγίδης, κατῴκισεν ἐν τοῖς φρουρίοις, τὸ δὲ λοιπὸν χύμα τῶν πρεσβυτέρων καὶ νεωτέρων, ἔτι δὲ καὶ γυναικῶν, εἴασεν εἰς οἰκετίαν (δουλείαν δεσποτῶν), οὐχ οὕτω τῇ προαιρέσει κατὰ ψυχὴν ἔχων, ὡς κατακρατούμενος ὑπὸ τῶν στρατιωτῶν, δι' ἃς ἐπεποίηντο χρείας ἐν τοῖς πολεμικοῖς ἀγῶσι ». Χωρὶς δὲ τούτων καὶ ἄλλους Ἰουδαίους ἱκανοὺς εἶπεν ὁ Ἀριστέας, ἤδη πρότερον ὑπὸ Περσῶν ἐκτοπισθέντας εἰς τὴν Αἴγυπτον· προστεθέντων οὖν καὶ τούτων, αὐξάνει πολὺ πλέον ὁ προειρημένος τῶν δεκακισμυρίων ἀριθμός, οἵτινες ἐδούλευον κατ' οἴκους δεσπόταις πικροῖς. Ἀλλὰ περὶ τούτου (φησὶν Ὅδιος) οὐκ ἂν δυναίμην μὴ ἀμφιβάλλειν· τοῖς γὰρ εἰς Αἴγυπτον αἰχμαλώτοις ἀπαχθεῖσιν ὅτι φιλανθρώπως ἦν χρώμενος ὁ Λαγίδης, ἅλις ἀπέδει-

ξαν οἱ μετέπειτα μετοικήσαντες αὐτοθελῶς, *τῆς τοῦ Λαγίδου χρηστότητος καὶ φιλοτιμίας αὐτοὺς προσκαλουμένης* (ὡς Ἑκαταῖος καὶ Ἰώσηπος μαρτυροῦσι). Πρόσθες καὶ ἄλλην Ἰωσήπου μαρτυρίαν, ὅτι πολλὰς ὁ τοῦ Λάγου Πτολεμαῖος εὐεργεσίας καὶ τιμὰς ἀπέδωκε τοῖς ἐν Αἰγύπτῳ Ἰουδαίοις (κ. Ἀπίωνος β. §. 4), καὶ ἐπὶ πᾶσιν, ὅτι « *τοὺς Ἰουδαίους ἐποίησεν ἰσοπολίτας τοῖς Μακεδόσιν* » (Ἀρχ. ΙΒ. α) (α). Θαυμαςὸν δὲ κἀκεῖνο δοκεῖ. Πῶς ὁ ὁ Πτολεμαῖος κατεπίστευσε τὰ φρούρια τῆς χώρας εἰς 30, ἢ καὶ 40 χιλιάδας (ϐ) αἰχμαλώτων Ἰουδαίων, ὧν τοὺς ὁμογενεῖς εἶχε καταδικάσας εἰς δουλείαν σκληράν; ποίαν πίςιν ἀπαράβατον ἠδύνατο παρὰ τούτων ἐλπίζειν; καθότι πάντως οὗτοι ὑπῆρχον ὑπὲρ πάντας ἄλλους ἐπίφοβοι καὶ ἐπίδοξοι ταχέως ἂν νεωτερίσειν ἐπαναστάντες, ἵνα τοὺς ἑαυτῶν συμπολίτας, *πατέρας, μητέρας, ἀδελφούς, ἀδελφάς, υἱούς, θυγατέρας, συγγενεῖς* (γ), τοὺς φίλους αὐτοὺς ἀφαρπάσαντες ἀπὸ τῆς δουλείας, ἀποκαταστήσωσιν εἰς τὴν φίλην πατρίδα. Διὰ ταῦτα πιθανώτερον δοκεῖ *μὰ τὸν Ἡρακλῆν* (Hercle!), ὅτι τῶν εἰς Αἴγυπτον ἀπαχθέντων Ἰουδαίων τὸ πλεῖστον μέρος ἠλευθέρωσεν αὐτὸς ὁ τοῦ Λάγου Πτολεμαῖος, « *ὡς εὐεργετικὸς ἀνὴρ καὶ ἐπιεικής* » (Διόδωρ. ιη, 33) (δ). Ὁ δὲ Φιλάδελφος

(α) Μὴ λεγε καθόλου τοὺς Ἰουδαίους, Ὅδιε, διότι τοῦτο οὐκ εἶπεν ὁ Ἰώσηπος, ἀλλὰ μόνον ὅτι « πολλοὺς αὐτῶν (τῶν ἀπὸ τῶν Ἱεροσολύμων) εἰς τὰ φρούρια καταλοχίσας, καὶ τοῖς Μακεδόσι ποιήσας ἰσοπολίτας, ὅρκους ἔλαβε παρ᾽ αὐτῶν » κτλ. (βλ. ὄπισθ. Κεφ. ιδ. §. ς). — Σημ. ἡμετ.

(ϐ) Πλὴν τῶν 30000, ἢ τρισμυρίων, οὓς αὐτὸς μετήγαγεν ὁ Πτολεμαῖος, καὶ ἄλλους τῶν ὑπὸ Περσῶν αἰχμαλωτισθέντων πιστοὺς κρίνας κατέστησεν εἰς φρούρια, καθὼς λέγει ἡ τοῦ Φιλαδέλφου πρὸς τὸν Ἐλεάζαρον ἐπιστολή (Σημ. Hody σελ. 64).

(γ) Ἄπορον πῶς οὐκ ἀπηρίθμησε καὶ τὰς συζύγους, ὁ κλεινὸς Ὅδιος (κατὰ τὸ « ἀμυνέμεναι ὤρεσσι »), προσθεὶς καὶ πάντας ἐξ ὀνόματος τοὺς ἐξ αἵματος καὶ τοὺς ἐξ ἀγχιστείας βαθμοὺς εἰς τοῦτο τὸ πλατὺ διάγραμμα τῆς συγγενείας! — Σημ. ἡμετ.

(δ) Ὁ Ἰώσηπος λέγει, ὅτι « Πτολεμαῖος ὁ Λάγου [οὐ μόνον] τὰ κατὰ τὴν Αἴγυπτον αὐτοῖς τοῖς (Ἰουδαίοις) ἐνεχείρισε φρούρια, πιστῶς ἅμα καὶ γενναίως φυλάξειν ὑπολαμβάνων, [ἀλλὰ] καὶ Κυρήνης ἐγκρατῶς ἄρχειν βουλόμενος, καὶ τῶν ἄλλων τῶν ἐν Λιβύῃ πόλεων, εἰς αὐτὰς μέρος Ἰουδαίων ἔπεμψε κατοικῆσον » (κατ. Ἀπίων. ϐ. §. 4). Ἐκ τούτων νομίζω ὅτι κατάγονται οἱ ἐν τῇ Καινῇ Διαθήκῃ (Πράξ. ς. 9) λεγόμενοι

ὕστερον εὔνοιαν παρὰ τῶν ἔξω πόλεων θηρώμενος, ἐπέτρεψε τοῖς βουλομένοις ἐπανελθεῖν εἰς τὴν ἰδίαν αὐτῶν πατρίδα. Ἐντεῦθεν ἀφορμὴν ὁ Ἀριστέας λαβὼν, ἔπλασε τοσαύτην Ἰουδαίων πληθὺν ἀπελευθερωθεῖσαν ὑπὸ τοῦ Φιλαδέλφου. Προσέθηκε δὲ καὶ τοσαύτας εὐεργεσίας ὑπ' αὐτοῦ προσδαψιλευθείσας, ὅπως λάβῃ παρὰ τῶν Ἰουδαίων τὸν κατ' αὐτοὺς νόμον, καὶ τοὺς ἑρμηνεύσοντας αὐτόν. Ἀλλὰ τοῦτο (λέγει) μόνον οὐδόλως οὐδέποτε συγχωρήσω. Περὶ δὲ τῶν ἄλλων οὐ διϊσχυρισθήσομαι, ἄν τις τραχύτερον ἀντιλέγῃ ».

Ἀπαντῶμεν.

§. ζ'. Εὖγε τῆς ἐπιεικείας, ὅτι μόνον ἑνὸς, τοῦ ἐσχάτου, τῶν προβλημάτων ἀντέχεται στεῤῥῶς ὁ κριτικὸς (καὶ πραγματεύσεται δὲ περὶ τούτου ἐν τοῖς ἐφεξῆς, κεφ. ιθ), τ' ἄλλα πάντα χαριέντως καὶ λίαν εὐμενῶς συγχωρῶν, ἴσα καὶ εἰ μηδόλως περὶ τούτων ἀντεῖπεν (ὡς αἰσθανόμενος καὶ αὐτὸς τὸ σαθρὸν τῆς ἀντιλογίας). Πλὴν, ἀλλ' ἵνα μὴ παραλίπωμεν τὸν Ἀριστέαν δωρεὰν, ἐφ' οἷς οὐχ ἥμαρτε, συγχωρούμενον, ὑπομιμνήσκομεν τοὺς περὶ τὸν διδάσκαλον, ἐν τίσιν ἀδίκως κατηγόρησαν Ἀριστέου. α) Τὰς πρῴην μὲν ὑπὸ Περσῶν, ὕστερον δὲ καὶ ὑπὸ Πτολεμαίου τοῦ Λάγου μετοικισθείσας πολλὰς τῶν Ἰουδαίων μυριάδας μαρτυρεῖ λαμπρῶς ὁ Ἑκαταῖος· ὅστις ἱστορῶν τὸ γένος τὸ ἑβραϊκὸν πολυανθρωπότατον γεγονὸς, « πολλὰς μὲν γάρ (φησιν) ἀνασπάστους εἰς Βαβυλῶνα Πέρσαι πρό-

---

Κυρηναῖοι » (Ὅδιος αὐτόθ. σελ. 64). [Ἀλλὰ τοῦτο μὲν τὸ περὶ τῶν Κυρηναίων εἶπεν, ἴσως, οὐκ ἀπίθανον ὁ κριτικός. Ἐκεῖνο δὲ πῶς σοι φαίνεται ἀναγνῶστα; Μικρὸν ἀνωτέρω ἀπεδείκνυεν ἀδύνατον τὴν εἰς τοὺς Ἰουδαίους καταπίστευσιν τῶν φρουρίων, πολὺν καθ' ἡμῶν, « ὥσπερ βαλανεὺς κατὰ νώτου » καταντλήσας τὸν περὶ συγγενείας καὶ νεωτεροποιΐας λόγον, πρὸς ἔλεγχον τοῦ Ἀριστέου. Ἤδη δ' ἐξαίφνης ἀποδέχεται τὸν Ἰώσηπον ταυτὰ μαρτυροῦντα περί τε τῆς ἐγχειρίσεως τῶν φρουρίων, καὶ τῆς ἄλλης εἰς τοὺς Ἰουδαίους πίστεως τοῦ Λαγίδου, δι' ὧν ὑπελάμβανε καὶ τὴν Κυρήνην καὶ τὴν ἄλλην Λιβύην καθέξειν ἀσφαλῶς. Ἐκ δὲ τούτων, ὡς πιστῶς καὶ βεβαίως εἰρημένων, καὶ αὐτὸς ὁ κριτικὸς ἐγενεαλόγει τοὺς ὕστερον ἐπικληθέντας Κυρηναίους! Καὶ λοιπὸν ὁ σοφὸς Ὅδιος αὐτὸς ἑαυτὸν ἀναιρῶν, καὶ τὰ πρότερα διὰ τῶν ὑστέρων ἀνατρέπων, ἀπήλλαξε καὶ ἡμᾶς ἀπὸ τοῦ κόπου μακροτέρας περὶ τούτων ἀντιῤῥήσεως, καὶ τοὺς ἡμετέρους ἀναγνώστας ἀπὸ τῆς ἀκάρπου περὶ τὰς τοιαύτας ἀντιλογίας διατριβῆς] — Σημ. ἡμετ.

τερον αὐτῶν ἐποίησαν μυριάδας· Οὐκ ὀλίγαι δὲ καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον» (ἐπὶ τῆς πρώτης, καὶ κατ' αὐτὸν τὸν Ὅδιον, στρατείας τοῦ Πτολεμαίου) «εἰς Αἴγυπτον καὶ Φοινίκην μετέστησαν, διὰ τὴν ἐν Συρίᾳ στάσιν» (βλ. Κεφ. ΙΔ. §. β. καὶ §. η). Ἐκ δὲ τῆς Βαβυλῶνος *εἰσῆλθον εἰς Αἴγυπτον ἱκανοὶ* (ὡς λέγει Ἀριστέας, σελ. 2) *σὺν τῷ Πέρσῃ* (ἴσως τῷ Καμβύσῃ, τῷ πρώτῳ καταστρεψαμένῳ τὴν Αἴγυπτον)· καὶ ἐξ αὐτῶν δὲ τῶν Ἱεροσολύμων ὕστερον, ἐπικρατούντων ἤδη τῶν Περσῶν (α). Ἀλλ' οὗτοι ἦσαν πάντῃ διάφοροι παρὰ τὰς δέκα περίπου μυριάδας, οὓς ὕστερον ὁ Λαγίδης ἀπήγαγεν αἰχμαλώτους· καὶ ἡ τοῦ Φιλαδέλφου πρὸς Ἐλεάζαρον ἐπιστολὴ διακρίνει τούτους σαφῶς (Ἀριστ. σελ. 6) Ἐκ δὲ τούτων τρεῖς μυριάδας ὁ Λαγίδης καθοπλίσας, εἴς τε τὸ στρατιωτικὸν κατεχώρισε, καὶ ἐν τοῖς φρουρίοις κατῴκισεν, ἐλευθέρους καὶ *ἰσοπολίτας τοῖς Μακεδόσι* (κατὰ τὸν Ἰώσηπον) ἀναδείξας, καὶ ὅρκους παρ' αὐτῶν λαβὼν περὶ τῆς πιςῆς διαφυλάξεως τῶν φρουρίων. Ὡσαύτως καὶ ἐκ τῶν ὑπὸ Περσῶν τὸ πρότερον εἰς Αἴγυπτον ἀπαχθέντων κατέστησεν εἰς φρούρια ὅσους ἔκρινε πιστούς. Καὶ λοιπὸν ἐκ μὲν τῶν ὑπὸ Λαγίδου μετοικισθέντων ἔμειναν ὡς ἑπτὰ μυριάδες δουλευόντων ἐν οἰκετίαις. Ἔμειναν δὲ τοιοῦτοι πάντως πολλοὶ καὶ ἐκ τῶν ἀνασπάστων γενομένων πρότερον ὑπὸ τῶν Περσῶν. Καὶ κατ' αὐτὴν δὲ τὴν Λαγίδου βασιλείαν ἀπήχθησαν καὶ ἄλλοι τινὲς αἰχμάλωτοι, ἁρπαγέντες ὑπὸ τῶν στρατιωτῶν κατ' ἄλλας πάλιν μετὰ τὴν πρώτην στρατείαν συμπεσούσας ἀφορμάς.

(α) Ἀριστέας σελ. 6. βλ. καὶ Ἰωσήπ. Ἀρχ. ια. ε. §. 6 (πρβλ. καὶ Νεεμ. α, 3). Λέγει δὲ πάλιν καὶ Ἑκαταῖος «τοὺς Ἰουδαίους προπηλακιζομένους πολλάκις ὑπὸ τῶν Περσικῶν βασιλέων καὶ σατραπῶν» (παρ' Ἰωσήπ. κατ' Ἀπίων. α. §. κβ). Κατὰ δὲ τὸν Εὐσέβιον καὶ πολὺ πρὸ τῆς Περσῶν ἐπικρατήσεως, ἐπὶ Οὐάφριος (ἢ Οὐαφρῆ Αἰγύπτου βασιλεύοντος, «προσέφυγον αὐτῷ, ἁλούσης ὑπὸ Ἀσσυρίων τῆς Ἱερουσαλήμ, οἱ τῶν Ἰουδαίων ὑπόλειποι» (Χρονικ. Α. κεφ. κ. σελ. 105 ἐκδ. Mediol. — πρβλ Ἱερεμ. ν, καὶ να, καὶ Δ. Βασιλ. κε. §. 26. Ἰωσηπ. Ἀρχ. Ι. θ. §. α. ζ. κτλ. βλ. καὶ ἔμπροσθ. §. ι). Ἕτεροι δὲ πάλιν ἦσαν, οὓς λέγει Ἀριστέας (πρὸ τῶν εἰσελθόντων σὺν τῷ Πέρσῃ) πρὸς συμμαχίαν εἰς Αἴγυπτον ἐξαπεσταλμένους, πρὸς τῶν Αἰθιόπων βασιλέα μάχεσθαι σὺν Ψαμμητίχῳ». Ὁ δὲ Ψαμμήτιχος οὗτος φαίνεται ὁ αὐτὸς, καὶ Διοδωρ. Α. §. 66. (τόμ. α. σελ. 77—79. Wess.). πρβλ. καὶ Ἡροδότ. Β. §. 152—157.

Καὶ ταῦτα τὰ τρία εἴδη τῶν αἰχμαλώτων διακρίνει σαφῶς τὸ τοῦ Φιλαδέλφου πρόσταγμα « τούς τε ὑπὸ τῶν *συστρατευσαμένων τῷ Λαγίδῃ δουλωθέντας, ὁμοίως δὲ καὶ εἴτινες προῆσαν*, ἢ καὶ μετὰ ταῦτα εἰσὶν εἰσηγμένοι ». Καὶ ἐκ τούτων λοιπὸν συνίσταντο οἱ ὑπὲρ τὰς δέκα μυριάδας ἐν δουλείᾳ εὑρεθέντες, καὶ ἐλευθερωθέντες ὑπὸ τοῦ Φιλαδέλφου. Οἱ δὲ περὶ τὸν Ὅδιον συνετάραξαν τὰ πάντα, συναναφύραντες καὶ τοὺς πρῶτον ὑπὸ τῶν Περσῶν, καὶ τοὺς ὕστερον ὑπὸ Λαγίδου μετοικισθέντας, καὶ αὐτοὺς τοὺς ὑπ' αὐτοῦ ἐλευθερωθέντας, ὅπως αὐξήσαντες πανταχόθεν τῶν αἰχμαλώτων τὸν ὄχλον, ἐξελέγξωσι τὸν Ἀριστέα ψευδόμενον περὶ τὸν ἀριθμὸν τῶν ὑπὲρ τὰς δέκα μυριάδας εὑρεθέντων ἐν οἰκετίαις, οὓς ἠλευθέρωσεν ἐκ τῶν κρατούντων δεσποτῶν πληρώσας τὰ λύτρα ὁ Φιλάδελφος. Τοῦτο πρῶτον ἠδίκησαν οἱ ἄνδρες τὸν Ἀριστέα, « *ἀναίτιον αἰτιώμενοι* ». β) Τὴν περὶ τοὺς τρισμυρίους καὶ τοὺς ἄλλους τῶν προϋπαρχόντων αἰχμαλώτων εὐεργεσίαν τοῦ Λαγίδου (ὅσους αὐτὸς ἐλευθερώσας κατελόχισεν ἐν τοῖς φρουρίοις) διέγραψε σαφῶς ὁ Ἀριστέας· καὶ τὸ παρ' αὐτῷ διάταγμα τοῦ Φιλαδέλφου διεκήρυξεν, ὡς ἄκων καὶ μὴ βουλόμενος ὁ φιλάνθρωπος Λαγίδης παρεχώρησε τῶν λοιπῶν αἰχμαλώτων τὸ πλῆθος εἰς τὴν ἐξουσίαν τῶν στρατιωτῶν. Οἱ δὲ περὶ τὸν Ὅδιον, ὡς ἄλλο τι καινότερον δῆθεν ἐφευρόντες, ἐξύμνησαν θαυμαστῶς τὸν Λαγίδην ὡς *εὐεργετικὸν ἄνδρα καὶ ἐπιεικῆ* (ὁποῖον καὶ Διόδωρος αὐτὸν μαρτυρεῖ)· καὶ λοιπὸν συνείκασαν ἐκ τούτου πάντας σχεδὸν τοὺς αἰχμαλώτους ὑπ' αὐτοῦ τοῦ Λαγίδου πρότερον ἐλευθερωθέντας, ὅπως μηδεὶς ὑπολειφθῇ λυτρωθεὶς ὕστερον ὑπὸ Φιλαδέλφου! Τῆς δὲ τοιαύτης τοῦ Λαγίδου φιλανθρωπίας ἔνδειξιν φέρουσι καὶ τοὺς ὕστερον αὐθορμήτως εἰς τὴν Αἴγυπτον μετοικήσαντας Ἰουδαίους (ὡς οὐκ ἄν ποτε τάχα μεταναστάντας, εἴπερ ἔβλεπον ἐν Αἰγύπτῳ δουλεύοντας τοὺς ἰδίους ὁμογενεῖς!). Ἀλλὰ περὶ τῶν ἑκουσίως τούτων μεταναστευσάντων προείπομεν (Κεφ. ΙΔ. §. η). Τὴν δ' αὐθαίρετον μετοικεσίαν τούτων τῶν Ἰουδαίων (ὅσους ἥ τε τῆς Αἰγύπτου εὐφορία καὶ ἡ τοῦ Λαγίδου πρὸς τοὺς ἀπελευθερωθέντας χρηστότης προσεκαλεῖτο), οὐδόλως ἀπετείχιζεν ἡ δου-

λεία τῶν πρώην αἰχμαλωτισθέντων, καὶ ποικίλοις κατὰ χώρας δεσπόταις δουλευόντων καὶ ταλαιπωρουμένων ὁμογενῶν· οἵτινες ἐκ διαφόρων τόπων τῆς Ἰουδαίας ἐξανδραποδισθέντες, ἐλάνθανον οἱ πλεῖστοι κατὰ τὴν πολυανθρωποτάτην χώραν τῆς Αἰγύπτου διεσπαρμένοι, ὡς εἰς ἀχανὲς πέλαγος ἐμπεσόντες (ὁποῖα συμβαίνουσι συνήθως εἰς τοὺς ἀπὸ διαφόρων χωρῶν ἔθνους τινὸς εἰς ἄλλην εὐρύχωρον ἐπικράτειαν δουλαγωγουμένους). γ) Τελευταῖον καὶ αὐτὴν τὴν εἰς τὰς τρεῖς, ἢ καὶ τέσσαρας μυριάδας των ἐλευθερωθέντων ὑπὸ τοῦ Λαγίδου καταπίστευσιν τῶν φρουρίων εὕρηκαν ἀπίθανον οἱ περὶ τὸν Ὅδιον· καὶ μακρὸν ἐξέδωκαν συγγενῶν κατάλογον, ὑπὲρ ὧν ἐκινδύνευον νεωτεροποιήσειν οὗτοι οἱ πεπιστευμένοι τῶν φρουρίων τὴν φυλακήν. Ὡς ἂν εἴπερ ἦσαν ἐξ ἀνάγκης ἅπαντες οὗτοι συγγενεῖς καὶ φίλοι πάντων τῶν ἐν πάσῃ τῇ Αἰγύπτῳ πρὸ τοσούτων χρόνων, ἔτι ἀπὸ τῶν Περσῶν καὶ ἐφεξῆς μέχρι Λαγίδου δουλευόντων, καὶ ἐκ διαφόρων τόπων ἐξανδραποδισθέντων Ἰουδαίων! Ἢ καὶ (ἂν ὑποτεθῇ τοῦτο τὸ παράδοξον), ὡσανεὶ μὴ ἦσαν αὐτοὶ πάλιν οἱ τοσοῦτον ἀκριβῶς βεβαθμολογημένοι συγγενεῖς, ἀσφαλῆ τῷ βασιλεῖ παρακείμενα ἐνέχυρα καὶ ἐχέγγυα τῆς ἐνόρκου πίστεως τῶν τὰ φρούρια ἐγκεχειρισμένων, καὶ ταῦτα δεσπόταις ὑπεζυγωμένοι δυσμενεστάτοις πρὸς Ἰουδαίους, τοῖς Αἰγυπτίοις. Πλὴν ἀλλ' ὅμως αὐτὴ πάλιν ἡ τοῦ Ὀδίου σύνεσις φθάσασα ἀπέῤῥιψε τὴν Ἰωσήπου μαρτυρίαν (ὡς πρὸ μικροῦ ἐσημειώσαμεν σελ. 488)! Σὺ δὲ σύναψον, ἀναγνῶστα, καὶ ἄλλην ἀπόδειξιν ἐκ τοῦ αὐτοῦ Ἰωσήπου, περὶ τῆς μεγάλης ὑπολήψεως ἣν εἶχεν ὁ Λαγίδης πρὸς τὴν πιστὴν τῶν Ἰουδαίων διάθεσιν, « ἐγνωκὼς τοὺς ἀπὸ Ἱεροσολύμων περί τε τὴν τῶν ὅρκων φυλακὴν καὶ τὰς πίστεις βεβαιοτάτους ὑπάρχοντας· — διὸ καὶ πολλοὺς αὐτῶν εἰς τὰ φρούρια κατελόχισε » (Ἀρχ. ΙΒ. α). Πρόσθες (τὸ μέγιστον) καὶ αὐτοῦ τοῦ Ἑκαταίου τοὺς λόγους (οὓς ἀπεσιώπησεν Ὅδιος), μαρτυροῦντος ὅτι καὶ Ἀλέξανδρος διὰ τὴν ἐπιείκειαν *καὶ πίστιν, ἣν αὐτῷ παρέσχον Ἰουδαῖοι*, τὴν Σαμαρεῖτιν χώραν προσέθηκεν αὐτοῖς ἔχειν ἀφορολόγητον (παρ' Ἰωσήπ. κ. Ἀπίων. Β, § δ). Καὶ εὑρίσκεται ἄρα καὶ ἐν τούτοις

ἀνέγκλητος καὶ ἀληθεύων ὁ Ἀριστέας. Οἱ δὲ τούτῳ πικρῶς ἐγκαλοῦντες, ἄδικοι περὶ τὰς κρίσεις, κἂν πολλοὺς πολλάκις ἐπομώσωσιν *Ἡρακλεῖς*!

§. η. Δ). « Ἐν τῷ περὶ τῶν αἰχμαλώτων (λέγουσιν) Ἰουδαίων βασιλικῷ προστάγματι λόγος τῆς ἐλευθερώσεως ἀποδίδοται ὁ ἐφεξῆς. « Νομίζομεν γὰρ καὶ παρὰ τὴν τοῦ πατρὸς ἡμῶν βούλησιν καὶ παρὰ τὸ καλῶς ἔχον ᾐχμαλωτίσθαι τούτους. *Διὰ δὲ τὴν στρατιωτικὴν προπέτειαν τήν τε χώραν αὐτῶν κατεφθάρθαι, καὶ τὴν τῶν Ἰουδαίων μεταγωγὴν εἰς Αἴγυπτον γεγονέναι· ἱκανὴ γὰρ ἦν ἡ παρὰ τὸ πεδίον γεγονυῖα ἐκ* » (ἴσ. ἐξαλειπτέον τὴν ἐκ) « *τῶν στρατιωτῶν ὠφέλεια· διὸ παντελῶς ἀνεπιεικής ἐστι καὶ ἡ τῶν ἀνθρώπων καταδυναστεία* (α). Πᾶσιν οὖν ἀνθρώποις τὸ δίκαιον ἀπονέμειν ὁμολογούμενοι, πολλῷ δὲ μᾶλλον τοῖς ἀλόγως καταδυναστευομένοις, προστετάχαμεν» κτλ. Ἐν τούτοις (λέγουσι) φαίνονται οἱ Ἰουδαῖοι χωρίς τινος ἐγκλήματος

(α) Ταῦτα τοῦ Ἀριστέου παρ' Ἰωσήπῳ συντέτμηται οὕτως. « Νομίζω γὰρ αὐτοὺς καὶ παρὰ τὴν τοῦ πατρὸς προαίρεσιν, καὶ παρὰ τὸ δέον ᾐχμαλωτίσθαι· τὴν δὲ χώραν αὐτῶν διὰ τὴν στρατιωτικὴν αὐθαδίαν κεκακῶσθαι, καὶ διὰ τὴν εἰς Αἴγυπτον αὐτῶν μεταγωγὴν πολλὴν ὠφέλειαν ἐκ τούτου τοῖς στρατιώταις γεγονέναι » κτλ. (Ἀρχ. ΙΒ. β. §. 3). Ἀλλ' ἐν τούτοις φαίνεταί τις διαφωνία· ὁ Ἀριστέας λέγει, ὅτι « ἱκανὴ ἦν ἡ παρὰ τὸ πεδίον (τῆς μάχης) γεγονυῖα τῶν στρατιωτῶν ὠφέλεια » (τὸ κέρδος δηλονότι ὅπερ ἔλαβον ἀπὸ τῶν σκύλων οἱ τοῦ Λαγίδου στρατιῶται, σκυλεύσαντες ἐν τῷ πεδίῳ τοὺς πολεμίους, καὶ « νεκροὺς ἀμπεδίον συλήσαντες τεθνειῶτας » Ἰλ. ζ, 71). Παρ' Ἰωσήπῳ δὲ τοῦτο μὲν ὅλως ἐλλείπει· λέγει δὲ τῶν στρατιωτῶν πολλὴν τὴν ὠφέλειαν (εἰς ἣν, ὡς εἰκὸς, ὤφειλον ἀρκεσθῆναι) τὴν γενομένην ἐξ αὐτῆς τῆς εἰς Αἴγυπτον τῶν αἰχμαλώτων μεταγωγῆς. Ἀλλὰ ταύτην μάλιστα κατακρίνει τὸ διάταγμα, ὡς ἀνεπιεικὲς ἔργον τῆς τῶν στρατιωτῶν αὐθαδίας καὶ προπετείας. Πότερον ἆρα αὐτὸς ὁ Ἰώσηπος ἐξέφρασεν οὕτως, ἐν ᾧ συνέτεμνε τὰς περιόδους, ἐν μέρει τῆς ἐννοίας παρεκπεσών; ἢ καὶ ταῦτα τοῦ Ἰωσήπου (ὡς καὶ ἄλλα τινὰ) πεπόνθασι βλάβην ἐκ τῆς ἀβλεψίας τῶν ἀρχαίων ἀντιγραφέων; περὶ τούτων κρινέτω πᾶς τις τὸ δοκοῦν. Τὴν δ' οὖν ἀνωτέρω τοῦ Ἀριστέου φράσιν τὴν « ἱκανὴ γὰρ ἦν ἡ παρὰ τὸ πεδίον.... ὠφέλεια » παρενόησε καὶ ὁ παλαιὸς λατῖνος μεταφραστὴς, ἑρμηνεύσας τοῦτο τὸ ἀδιανόητον « Nam quod commodi contigit ex auxilio militum regionis, hoc satis magnum fuit (τουτ. « Ἡ γὰρ ἐκ τῆς βοηθείας τῶν τῆς χώρας στρατιωτῶν συμβᾶσα ὠφέλεια ἅλις μεγάλη ἐγένετο!! » (οὕτως ἔγραψε καὶ Ὅδιος τὴν ἑρμηνείαν p. 64). Περὶ τοῦ Ἰωσήπου βλ. καὶ ὄπισθ. κεφ. ιγ. §. ιδ. σελ. 464. — Σημ. ἡμετ.

ἐκ τῆς πατρίδος ἀνασπασθέντες· ἀλλὰ τοῦτο ψευδὲς, ὡς μαρτυρεῖ Ἑκαταῖος (κἂν τοῖς Ἰουδαίοις εὔνους, κἂν καὶ Ἰουδαῖος οὗτος ὑποτεθῇ), λέγων· ὅτι μετέστησαν εἰς Αἴγυπτον καὶ Φοινίκην· διότι *συνεκίνησαν ἐν Συρίᾳ στάσεις καὶ ταραχάς*. Καὶ ῥᾷστα λοιπὸν ἕκαστος συνορᾷ, ὅτι πάντα ταῦτα (τὰ ἐν τῷ προστάγματι τοῦ Φιλαδέλφου) οὐδὲν ἕτερον ὑπάρχουσιν, εἰ μὴ *μελέτη τινὸς Ἰουδαίου* κατὰ τῶν Αἰγυπτίων, οἵτινες *ἐπιστεύοντο τοσούτους αἰχμαλώτους ἀπαγαγόντες*».

Απαντῶμεν

§. θ'. Ποίαν μὲν ὁ Ἑκαταῖος ἐννοεῖ *τὴν ἐν Συρίᾳ στάσιν* προείπομεν (Κεφ. ιδ. §. η. ἄρθρ. ε). Ὁ δὲ κριτικὸς πρὸς τῇ παρεξηγήσει τοῦ Ἑκαταίου παρίστησιν αὐτὸν καὶ γελοῖον ὑποκριτήν. Καλὰ τῇ ἀληθείᾳ εὐνόει τοῖς Ἰουδαίοις ὁ Ἑκαταῖος (εἴτε ὡς διεφθαρμένος ὑπ' αὐτῶν, εἴτε καὶ ὡς αὐτόχρημα Ἰουδαῖος, κατὰ τὴν Σκαλιγήρειον γενεαλογίαν!), εἴπερ ἱστόρει τούτους ὡς ταραξίας στασιαστὰς ὑπὸ τοῦ Λαγίδου ἐξοικισθέντας! καλὰ δὲ τὸν Ἑκαταῖον ἐνόει καὶ Ἰώσηπος, ὁ τούτου μνημονεύσας, καὶ μηδόλως μηδὲν ὑπονοήσας κατ' Ἀριστέου! Ὁ δὲ κλεινὸς Ὅδιος ἐπελάθετο καὶ Ἀγαθαρχίδου· ὃν ἡμῖν πρότερον ὑποδείξας φιλανθρώπως, ἵνα μὴ τοῦτον ἀποκρύψῃ τοὺς ἀναγνώστας, ὡς εἶπεν ἐν τοῖς προηγηθεῖσιν (κεφ. ιδ. §. δ.), ἤδη παντελῶς ἀπέκρυψε· διότι καὶ Ἀγαθαρχίδης ἱστόρησε τὸν Πτολεμαῖον εἰσελθόντα τὴν πόλιν τῶν Ἱεροσολύμων, καὶ λαβόντα τοὺς ἀνθρώπους, *οὔτε στασιάζοντας, οὔτε μαχομένους· (οὐδὲ γὰρ ὑπενόουν πολέμιον)*, πᾶν δὲ μάλιστα τοὐναντίον, ὅτι «ὅπλα λαβεῖν οὐκ ἠθέλησαν (σαββατίζοντες). διὸ καὶ διὰ τὴν ἄκαιρον δεισιδαιμονίαν χαλεπὸν ὑπέμειναν ἔχειν δεσπότην» (παρ' Ἰωσ. Ἀρχ. ιβ. α. βλ. καὶ ὄπισθ. σελ. 475). Κἀκεῖνο δὲ τοῦ κριτικοῦ μεγάλην ἔχει παραδοξίαν. Τῆς ἐν τῇ Συρίᾳ στάσεως, δι' ἣν (λέγει) ἐξῳκίσθησαν *οὐκ ὀλίγαι μυριάδες* Ἰουδαίων ὑπὸ τοῦ Πτολεμαίου, βασιλέως τῶν Αἰγυπτίων, μάρτυρα φέρει τὸν Ἑκαταῖον· καὶ πάλιν εὐθὺς αὐτὸν ψευδίζει τὸν Ἑκαταῖον, ἀθῳῶν σχεδὸν τοὺς Αἰγυπτίους, ὡς μόνον (καθὼς εἶπεν ἀνωτέρω) *πιστευομένους* (ἀλλ' οὐχὶ δηλαδὴ

καὶ τῇ ἀληθείᾳ γενομένους) αἰχμαλωτιστὰς τοσούτων Ἰουδαίων πολυπληθῶν! Κρῖνον ἤδη, ἀναγνῶστα, ποῖόν σοι δοκεῖ *σοφιστικὸν μελετημάτιον* (καὶ τοῦτο χιόνος ψυχρότερον), τὸ παρὰ τῷ Ἀριστέᾳ ἱστορικὸν τοῦ Φιλαδέλφου πρόσταγμα, ἢ τὸ σχέδιον τῶν κατ' αὐτοῦ πλασμάτων τοῦ κριτικοῦ;

§. ί. Ε.) «Τελευταῖον (λέγουσιν) ὁ Ἀριστέας εἰπὼν πρὸς δέκα μυριάδας Ἰουδαίων εἰς Αἴγυπτον ἀπαχθείσας ὑπὸ τοῦ Λαγίδου, ὑποσυνάπτει καὶ τὰ ἐφεξῆς. «Ἤδη μέν τοι καὶ πρότερον ἱκανῶν εἰσεληλυθότων σὺν τῷ Πέρσῃ, καὶ πρὸ τούτων ἑτέρων συμμάχων ἐξαπεσταλμένων, πρὸς τὸν Αἰθιόπων βασιλέα μάχεσθαι σὺν Ψαμμητίχῳ, ἀλλ' οὐ τοσοῦτοι πλήθει παρεγενήθησαν, ὅσους Πτολεμαῖος ὁ τοῦ Λάγου μετήγαγεν». Οὕτω δὲ (λέγουσιν) ἀπαριθμῶν ὁ Ἀριστέας τὰ ποικίλα κατὰ καιροὺς εἰς τὴν Αἴγυπτον πρὸ τῆς Λαγίδου βασιλείας μεταναστεύσαντα σμήνη τῶν Ἰουδαίων, φαίνεται παντάπασιν ἀγνοῶν (ὅπερ *Ἀριστέας ὁ τοῦ Φιλαδέλφου αὐλικὸς*, οὐκ ἠδύνατο πάντως ἀγνοεῖν), ὅτι καὶ ὁ Μέγας Ἀλέξανδρος ὀλίγῳ πρὸ τῆς Πτολεμαίου τοῦ Λάγου βασιλείας μετήγαγεν ἀποικίαν (coloniam) Ἰουδαίων εἰς τὴν Αἴγυπτον, καὶ μέρος δὲ τῆς πόλεως, ἧς αὐτὸς ἐγένετο κτίστης, τῆς Ἀλεξανδρείας, ἔδωκεν αὐτοῖς εἰς κατοίκησιν, καὶ προνόμιον ἰσοπολιτείας τοῖς Μακεδόσιν, ὡς Ἰώσηπος ἱστόρησε (κατ. Ἀπίων. Β), καὶ μετ' ἐκεῖνον ὁ Ἡγήσιπος» (α).

Ἀπαντῶμεν.

§. ιά. Ἀλλ' ὦ βέλτιστοι, πρῶτον μὲν, εἶπέ τις τῶν ἀρχαίων,

(α) Ἐν Ἀνακεφαλαιώσει περὶ ἁλώσεως Ἱεροσολύμων. [Τὸ *σύγγραμμα τοῦτο ἀποδίδοται μᾶλλον εἰς τὸν ἱερὸν Ἀμβρόσιον, ἢ ἄλλον τινὰ, καὶ οὐχὶ εἰς τὸν ἱστορικὸν Ἡγήσιππον οὗ μέμνηται Εὐσέβιος* (Ἐκκλ. ἱστορ. δ, 22). *Ὑπάρχει δὲ τὸ σύγγραμμα μόνον Λατινικὸν* (Anacephalaeosis de excidio urbis Jerosol.). *καὶ φαίνεται μετάφρασις τῆς* περὶ Ἰουδαίων πολέμου συγγραφῆς τοῦ Ἰωσήπου. *Ὅθεν καὶ τὸ ὄνομα κακογραφὲν* Iosipus (*ἀντὶ* Josephus) *παρεφθάρη ὑπὸ βαρβάρων βιβλιοκαπήλων εἰς τὸ* Igisippus (Ἡγήσιππος), *ὡς ἀπέδειξεν Οὐόσσιος*: I. Voss. de LXX. Append. p. 127. πρβλ. Cave Sript. Hist. Eccles. vol. 1. p. 151, καὶ Fabric. Bibl. Gr. vol. 5. p. 56 καὶ vol. 7 p. 157. Harl. — Σημ. ἡμετ.].

« Ἁπλῶς τὸ μὴ λέγειν οὐ τοῦ μὴ εἰδέναι σημεῖόν ἐστι » (Στράβ. α, 36). Εἰ γοῦν καὶ Ἀριστέας ἐσιώπησε τὴν λεγομένην ταύτην ἐπ' Ἀλεξάνδρου *μετοικεσίαν*, τίς τῶν τῆς ἀληθείας ἀκριβαστῶν ἐκλαμβάνει τὴν σιωπὴν ὡς βέβαιον τεκμήριον τῆς παντελοῦς ἀγνοίας τοῦ σεσιωπηκότος; Ἔπειτ' αὐτὸς ὁ Ἰώσηπος (παρ' οὗ καὶ ὑμεῖς, ὦ ἄνδρες, μαθόντες τὴν ἣν λέγετε μετοικεσίαν, προβάλλετε ταύτην πρὸς ἔλεγχον τῆς Ἀριστέου μωρίας), αὐτὸς οὗτος ὁ Ἰώσηπος καὶ τὸν Ἀριστέαν ἀνέγνω, καὶ τὴν παρ' αὐτῷ σιωπηθεῖσαν μετοικεσίαν πάντως παρετήρησε, καὶ ὅμως οὐδόλως αὐτοῦ κατέκρινεν, ἢ ἄγνοιαν τοῦ πράγματος, ἢ νοθείαν τῆς συγγραφῆς. Τὸ δὲ μέγιςον, οὐδ' αὐτὸς ὁ Ἰώσηπος ἐγνώριζεν, οὐδ' ἱςόρησεν ὅλως οἵαν ὑμεῖς λέγετε, ἐπὶ τοῦ Μ. Ἀλεξάνδρου γενομένην εἰς Αἴγυπτον κυρίως *ἀποικίαν* τῶν Ἰουδαίων· τί δὲ παραδίδωσιν οὗτος; αὐτὸς εἰπάτω « Οὐ γὰρ ἀπορίᾳ γε τῶν οἰκησόντων τὴν μετὰ σπουδῆς ὑπ' αὐτοῦ πόλιν κτιζομένην Ἀλέξανδρος τῶν ἡμετέρων ΤΙΝΑΣ ἐκεῖ συνήθροισεν· ἀλλὰ πάντας δοκιμάζων ἐπιμελῶς, ἀρετῆς καὶ πίστεως τοῦτο τοῖς ἡμετέροις τὸ γέρας ἔδωκε » κτλ. (κατὰ Ἀπίων. β, §. 4). Καὶ τὸν τόπον δὲ περιέγραψεν ὁ ἱστορικὸς, τὸ παράλιον τῆς πόλεως μέρος, ὅπερ ἐδόθη εἰς κατοίκησιν τῶν *τινῶν* τούτων οἰκογενειῶν, μετὰ δικαιώματος πολιτείας ἴσης τοῖς Μακεδόσι· καὶ ἦσαν ἔτι καὶ ἐπ' αὐτοῦ τοῦ Ἰωσήπου « πρὸς τοῖς βασιλείοις ἱδρυμένοι, καὶ μέχρι νῦν (φησὶν) αὐτῶν ἡ φυλὴ τὴν προσηγορίαν ἔχει Μακεδόνες » (αὐτόθ.). Τούτων τοίνυν τῶν Ἰουδαίων (οἵτινες καὶ μέχρις Ἰωσήπου, πολλὰς μετὰ τὸν Ἀλέξανδρον γενεὰς, οὐκ ἦσαν εἰ μὴ μία *φυλὴ*, τῶν ἄλλων τῶν τότε πολυαρίθμων ἐν Ἀλεξανδρείᾳ κατοίκων Ἰουδαίων διὰ τοῦ *Μακεδόνες* ἐπιθέτου μάλιστα διακρινομένη, καὶ ὡς ἂν εἴποις, *μία συνοικία*, ἢ βραχὺ δημίδιον, εἰς εὐπερίγραφον τόπον, πρὸς τοῖς βασιλείοις, καθιδρυμένοι) (α), τούτων λέγομεν τῶν ἐπ' Ἀλεξάνδρου μεταναστάντων

(α) Τὴν ἐν Ἀλεξανδρείᾳ Μακεδόνων ἰσοπολιτείαν καὶ Πτολεμαῖος ὕστερον ὁ Λαγίδης ἐχαρίσατο καὶ ἄλλοις Ἰουδαίοις (βλ. ὄπισθ. σελ. 471). Ὕστερον δὲ α καὶ πάντες

τινῶν μετοίκων τὴν δράκα, πῶς ἔμελλεν ὁ τὰ πάντα ἀκριβὴς Ἀριστέας παραβαλεῖν πρὸς τὰ μυριοπληθῆ καὶ πάμφυλα σμήνη τῶν ὧν ἐμνημόνευσεν ἀποικιῶν; ὅστις οὐδὲ τοὺς ἐπὶ τῆς πρώτης ἁλώσεως τῶν Ἱεροσολύμων εἰς Αἴγυπτον μεταναστάντας (ὡς προείπομεν §. ζ, σελ. 490, σημ.), οὐδ' ἐκείνους ὠνόμασεν (ὡς μηδ' ἐκείνους, ἴσως, γενομένους σφόδρα πολυπληθεῖς, μηδὲ καταμείναντας ἕως τέλους εἰς τὴν Αἴγυπτον). Καὶ θαῦμα, πῶς ὁ κλεινὸς Ὅδιος οὐκ ἐπεχείρησεν ἐξελέγξαι τὸν Ἀριστέαν καὶ ἐκ τῆς περὶ τούτων σιωπῆς. Ἀλλ' ἀφίσταμαι· καὶ *σχάζω κώπην* λόγων περὶ τούτου μακροτέρων, τιμῶν (ὅσον ἔνεστι) τὸ παράγγελμα· « *μὴ κακῷ κακὸν ἰᾶσθαι* », μηδὲ *λάβρον παγγλωσίαν* κατασιγάζειν δι' *ἀμετροεπείας*.

ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

Περὶ τῆς εἰς τὸν βασιλέα, τὸν Φιλάδελφον, εἰσδόσεως Δημητρίου τοῦ Φαληρέως.

§. ά. Δυσφορεῖς, ἴσως, ἀναγνῶστα, πρὸς τὴν ὀχληρὰν συνέχειαν τῶν ἀγωνιστικῶν κεφαλαίων, ἢ θέσεων ἀντιλογικῶν. Ἄχαρι δὲ καὶ ὅλως τὸ « *θέσεις ληκυθίζειν* ». Ἀλλὰ πρὸς τοιούτους εὑρεσιλόγους κατὰ τῆς ἀληθείας ληκυθιστάς, ἢ μᾶλλον, πρὸς τοιούτους Ἔριδος υἱούς, μάχης ἀκορέστους, ὡς ἄλλους Ἀνταίους, ὁ Ἀριστέας ἀντιπαλαίει, μήτ' ἀναπνοὴν αὐτῷ πρὸς ἄνεσιν ἐνδιδόντας, μήτε διὰ μιᾶς καταβαλλομένους, ἀλλὰ καὶ ἐκ τῆς πτώσεως ἀνισταμένους θρασυτέρους. Ἄλλας ἤδη κατ' Ἀριστέου πληγὰς ἐπανατείνουσιν, ἄλλος ἄλλοθεν χεῖρας ἀνασχόμενοι.

§. βʹ. Ὁ σεμνὸς Βοβέριος διαβάλλει τὴν *εἴσδοσιν*, ἢ ἔγγραφον ἀναφοράν, ἣν εἰσήνεγκεν ὁ Φαληρεὺς εἰς τὸν βασιλέα, τὸν Φιλάδελφον, γνωμοδοτῶν περὶ ζητήσεως καὶ μεταφράσεως τῶν ἑβραϊκῶν

οἱ ἐν Ἀλεξανδρείᾳ Ἰουδαῖοι, Ἀλεξανδρεῖς ἐλέγοντο, ἴσης (τοῖς Ἀλεξανδρεῦσι) πολιτείας παρὰ τῶν βασιλέων τετυχηκότες ». Ἰώσ. Ἀρχ. ΙΘ, ε. §. 2. πρβ. ΙΒ, α, §. 1. καὶ γ, §. 1. καὶ Φίλων. τ. Β. σελ. 599 : Mang. βλ. καὶ Γ. Μακκαβ. Β, 30.

Γραφῶν (α). « Γελοίως (λέγει ὁ Βοϐέριος) πρὸς παρόντα τὸν βασιλέα παρὼν ὁ Δημήτριος διαλέγεται δι᾽ ἐπιστολῆς » (ϐ). — « Ἄτοπος ὁ γέλως, ἀνέκραξεν ἀπ᾽ ἐναντίας ὁ γέρων Οὐόσσιος· διότι καὶ τότε καὶ νῦν ἐστὶ πρᾶγμα συνηθέστατον τὸ δι᾽ ἐπιστολῶν καὶ ἀναφορῶν τοῖς βασιλεῦσι πολλάκις προσδιαλέγεσθαι καὶ αὐτοὺς τοὺς ἐν ταῖς αὐλαῖς ἀναστρεφομένους » (γ). Ἀλλὰ καὶ ὁ τοῦ Βοϐερίου συνήθης ἅμα καὶ φαλαγγάρχης Σκαλίγηρος, στραφεὶς πρὸς συνεστηκότα τὸν φίλον, εἶπε μειδιάσας,

« Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίαθ᾽ οἱ ἄλλοι »,

ὅτι καὶ παρὰ τῷ Πλαύτῳ (παλαιῷ Ῥωμαίῳ κωμικῷ) τοιοῦτό τι ἀναγινώσκομεν « ὅτι λέγουσιν αὐτὸν εἰωθέναι δῆθεν προσέρχεσθαι τῷ βασιλεῖ δι᾽ ἐπιστολῆς » (δ). Ἀλλ᾽ ὁ κλεινὸς Ὅδιος ἠρέμα προσκύψας, καὶ παρακούσας, διέκοψεν ἔτι φθεγγόμενον τὸν Σκαλίγηρον, ἀνακράζων· « Ἀλλὰ τοῦτο μὲν, ἀμφίϐολον, εἴπερ ὁ Πλαῦτος εἶπε περὶ τῶν ἐν αὐτοῖς τοῖς βασιλείοις διατριϐόντων. Ἐγὼ δὲ (προστίθησι) καὶ περὶ τοῦ βασιλέως τῶν Σινῶν ἀνέγνων τοιοῦτό τι λεγόμενον, ὅτι, παρεκτὸς τῶν γυναικῶν αὐτοῦ καὶ τῶν τέκνων καὶ τῶν εὐνούχων, ἄλλος οὐδεὶς συγχωρεῖται προσιέναι πρὸς αὐτὸν, εἰ μὴ διὰ γράμματος (ε)· οὐδ᾽ ἀρνοῦμαι τοῦτο τὸ ἔθος καὶ παρ᾽ ἄλλοις τισὶ

(α) Εἴσδοσιν ὀνομάζει τὸ γράμμα ὁ Ἀριστέας (σελ. V. ἐκδ. Hody. ὅθεν καὶ ἐφεξῆς αὐτόθ. ἀντὶ τοῦ τῆς εἰσόδου ταύτης ἴσ. γρ. τῆς εἰσδόσεως ταύτης). Εἰσδοῦναι λέγει καὶ τὸ δοῦναι τῷ βασιλεῖ τὸ τοιοῦτο (περὶ δημοσίων μάλιστα πραγμάτων) διάγραμμα, ἢ ὑπόμνημα· παρὰ δὲ τῷ Ἰωσήπῳ ἀντὶ Εἴσδοσις ἀναγινώσκεται Ἔκδοσις (ὡς ἐξέδωκε καὶ Havercamp ὑποσημειώσας καὶ τὸ Εἴσδοσις). Ἐν δὲ ταῖς τοῦ αὐτοκράτορος Ἀδριανοῦ γνώμαις καὶ ἐπιστολαῖς (παρὰ Fabric. Bibl. Gr. vol. 12. p. 516), αἱ τοιαῦται ἐκδόσεις καὶ γραμματίδια καλοῦνται, καὶ ἐπιστολίδια, καὶ λατινικώτερον κωδίκελλοι, παρὰ δὲ τοῖς Βυζαντινοῖς πολλάκις καὶ ὑπομνήσεις, καὶ σημειώματα (notes), καὶ πιττάκια. Ἀλλὰ καὶ τοῦτο πάλιν, καὶ τὸ κωδίκελλος τίθεται καὶ ἐπὶ τῶν ἰδιωτικῶν γραμματίων, ἢ ἐπιστολιδίων (ὡς καὶ τὸ γαλλικ. billet, ἅπερ οἱ χυδαιέστεροι λέγουσιν ἐνίοτε καὶ ξενικῶς ῥαϐάσια). βλ. καὶ ἐφεξ. §. γ. σημ. σελ. 503. — Σημ. ἡμετ. — (ϐ) Wower. Syntagm. c. 4. p. 41. — (γ) Voss. de LXX. c. 4.

(δ) « Quasi regem adiri solere cjum ajunt per epistolam ». Plaut. apud Scaliger ad Euseb. Num. MDCCLXXXIV. — (ε) Herbert in Itinerar.

τῶν βασιλέων κρατῆσαν (α). Λίαν ὅμως ἀμφιβάλλω, εἰ διὰ τοιούτων ὁσωνδήποτε παραδειγμάτων δικαιωθήσεται ὁ Ἀριστέας. Ὅςτις πρὸ μικροῦ παραστήσας τὸν Δημήτριον ἀμέσως διαλεγόμενον πρὸς τὸν βασιλέα περὶ τῆς εἰς τὴν βιβλιοθήκην θησαυρίσεως τῶν ἑβραϊκῶν Γραφῶν, ἔπειτα λίαν ἀπιθάνως εἰσάγει τὸν αὐτὸν δι᾽ ἐπιστολῆς προσιόντα, ὡς ἂν οὐκ ἔχοντα ἐξουσίαν ἐντυγχάνειν τῷ βασιλεῖ διὰ ζώσης φωνῆς περὶ βιβλίων ἀντιγραφῆς! Ἀλλὰ τίς ἂν πιστεύσειεν, ὅτι τοιοῦτος ἀνὴρ, ὁ Δημήτριος, ἀπό τε τῶν καθηκόντων τοῦ ἐπαγγέλματος καὶ ἀπὸ τῆς συνηθείας καὶ συναναστροφῆς εἰς τὰ μάλιστα τῷ βασιλεῖ προσῳκειωμένος, διετέτακτο μὴ ἄλλως εἰ μὴ μόνον διὰ γράμματος πρὸς αὐτὸν ἐξαγγέλλειν ὅ,τι εἶχε κατὰ νοῦν; Λέγει ὁ Ἀριστέας, ὅτι διὰ τοῦτο δῆθεν ἐκέλευσεν ὁ βασιλεὺς τὸν Δημήτριον ἔγγραφον ἀναφορὰν εἰσδοῦναι περὶ τῆς τῶν ἰουδαϊκῶν βιβλίων ἀντιγραφῆς, διότι « πάντα διὰ προσταγμάτων — τοῖς βασιλεῦσι τούτοις (τῆς Αἰγύπτου) διῳκεῖτο, οὐδὲν (γρ. οὐδὲν δ') ἀπεριμμένως, οὐδὲ εἰκῇ ». Ἀλλὰ τοῦτο ταχέως ἀναιρεῖται ἐξ ὧν αὐτὸς πάλιν ὁ Ἀριστέας ἔγραψε μικρὸν ἀνωτέρω· ὅτι ὁ Δημήτριος ἀπὸ στόματος διελέχθη πρὸς τὸν βασιλέα περὶ τῆς εἰς τὴν βιβλιοθήκην ἐπισυναγωγῆς τῶν ἑβραϊκῶν Γραφῶν· καὶ ὅτι καὶ αὐτὸς Ἀριστέας παρὼν καὶ συλλαλῶν μετὰ τοῦ βασιλέως, ἐξῃτεῖτο χωρίς τινος ἐπιστολῆς τὴν ἀπολύτρωσιν τῶν αἰχμαλώτων Ἰουδαίων, καὶ ὅτι, τέλος, καὶ Σωσίβιος καὶ Ἀνδρέας ὁμοίως διὰ ζώσης φωνῆς συνεβούλευον περὶ τούτου τῷ βασιλεῖ. Καὶ φαίνεται ἄρα ὁ Ἀριστέας, ὅτι διὰ τοῦτο καὶ μόνον ἔγραψε ταῦτα τὰ περὶ τῆς εἰσδόσεως, ἵνα προσάψῃ κολλήσας ἀκόλουθον καὶ τὴν (πρὸς τὸν Ἰουδαίων ἀρχιερέα) περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν ἐπιστολὴν τοῦ βασιλέως, κῦρος δι᾽ αὐτῆς καὶ ἀξιοπιστίαν εἰς τὴν ἑαυτοῦ ἱστορίαν προμνηστευόμενος. Καὶ ἐσημείωσε μὲν ὁ Σκαλίγηρος ἐκ τοῦ Ἰωσήπου (Ἀρχ. ιγ, 3) ὅτι καὶ Ὀνίας, Ἰουδαῖος ἀρχιερεὺς, οἰκεῖος Πτολεμαίῳ τῷ Φι-

(α) Ὁ Ὕδιος ὑποσημειοῖ καὶ τὸ τοῦ Πλουτάρχου περὶ τοῦ Κλεομένους παράδειγμα, καὶ ἄλλα ἐκ τοῦ Τακίτου καὶ Σενέκα μαρτύρια. Πάντα ταῦτα ἐκτιθέμεθα κατωτέρω. — Σημ. ἡμετ.

λομήτορι, δι᾽ ἐπιστολῆς κἀκεῖνος ἐξῃτήσατο παρὰ τοῦ βασιλέως ἄδειαν, ὅπως οἰκοδομήσῃ ναὸν ἐν Αἰγύπτῳ, « *καίτοι* (καθὼς λέγει) *μηδόλως ἐκ τῆς αὐλῆς τοῦ βασιλέως ὁ Ὀνίας ἀνακεχωρηκώς* ». Ἀλλ᾽ ὅμως (καὶ συγγνώτω ὁ Σκαλίγηρος) οὔτε βέβαιον ὑπάρχει τοῦτο, καὶ ἐξ ἧς ἐπιστολῆς ἀντέγραψεν ὁ βασιλεὺς, φαίνεται σαφῶς ὅτι τότε ὁ Ὀνίας οὐ διέτριβεν ἐν τοῖς βασιλείοις » (α). Τοιαῦτα ὁ Ὅδιος.

Ἀπαντῶμεν.

§. γ. Ἀλλ᾽ εἰ μὲν ὁ χρηστὸς Βοδέριος εὕρισκε *γελοίαν* τὴν περὶ βιβλιοθήκης (δημοσίου πράγματος), ἧς ὁ Δημήτριος ἐπεστάτει, ἔγγραφον αὐτοῦ πρὸς παρόντα τὸν βασιλέα ἀναφορὰν, ὤφειλεν ὁ σοφὸς Ὅδιος καταλιπὼν γελῶντα τὸν Βοδέριον, ἀκοῦσαι μᾶλλον τὸν Οὐόσσιον, καὶ αὐτὸν αὐτοῦ τὸν ἀρχιδιδάσκαλον Σκαλίγηρον, οἵτινες συνεῖδον σπουδαιότερον τὸ ἀρχαῖον τοῦτο ἔθος μέχρι καὶ τῆς

(α) Οὐδὲν (*καὶ συγγνώτωσαν ἀμφότεροι καὶ* Σκαλίγηρος *καὶ* Ὅδιος) οὔτ᾽ ἐκ τῆς Ὀνίου, οὔτ᾽ ἐκ τῆς βασιλέως ἐπιστολῆς, οὔτ᾽ ἐξ αὐτοῦ τοῦ Ἰωσήπου, οὔτε σαφῶς, οὔτε σκοτεινῶς οὐδὲν οὐδόλως διακρίνεται περὶ τῆς Ὀνίου εἴτε διατριβῆς, εἴτε μὴ διατριβῆς ἐν τοῖς βασιλείοις, ὁπότ᾽ ἔγραφε πρὸς τὸν Φιλομήτορα τὴν ἐπιστολήν. Ὁ Ἰώσηπος εἶπε μόνον περὶ τοῦ Ὀνίου ὅτι· « Φεύγει πρὸς Πτολεμαῖον τὸν Αἰγύπτου βασιλέα, καὶ τιμῆς ἀξιωθεὶς ὑπό τε αὐτοῦ καὶ τῆς Κλεοπάτρας, λαμβάνει τόπον ἀ ξ ι ώ σ α ς ἐν τῷ νομῷ τῷ Ἡλιουπολίτῃ — οἰκοδομῆσαι ἱερόν» (Ἀρχ. ΙΒ. θ. §. ζ. πρβλ. καὶ π. Ἰουδ. πολεμ. Α. α. §. 1. καὶ Ζ. ι. §. 2). Καὶ πάλιν (Ἀρχ. ιγ. γ. §. α)· « Ὅς (Ὀνίας) ἐν Ἀλεξανδρείᾳ φυγὼν πρὸς τὸν βασιλέα Πτολεμαῖον, τὸν ἐπικαλούμενον Φιλομήτορα, διῆγε· — καὶ διέγνω π έ μ ψ α ς (τουτ. ἐ π ι σ τ ε ί λ α ς) πρὸς Πτολεμαῖον — αἰτήσασθαι ἐξουσίαν, ὅπως οἰκοδομήσειε », κτλ. (καὶ μετ᾽ ὀλίγα) « Γράφει Πτολεμαίῳ τοιαύτην ἐπιστολήν » (καὶ ἐφεξῆς ἀκολουθοῦσιν αἱ ἐπιστολαὶ, ἡ τοῦ Ὀνίου, καὶ ἡ τοῦ βασιλέως, ὅστις καὶ π α ρ ά κ λ η σ ι ν ὀνομάζει τὴν Ὀνίου ἐπιστολήν· « Ἀνέγνωμέν σου τὴν παράκλησιν »). Τὸ μόνον βέβαιον ὑπάρχει, ὅτι ὁ Ὀνίας ἐν Ἀλεξανδρείᾳ παρὼν πρὸς παρόντα τὸν βασιλέα ἔγραψε τὴν ἐπιστολήν. Καὶ ὅτι π ά σ η ς τ ι μ ῆ ς κ α ὶ φ ι λ ο φ ρ ο σ ύ ν η ς ἠξιοῦτο παρὰ τῷ βασιλεῖ (Ἰουδ. πολ. ζ, 10. §. 2). Ὥστε κἂν ἐκτὸς τῶν βασιλείων ἐκοιμᾶτο καὶ ἠρίστα (καθὼς Ὅδιος ἀπαιτεῖ), εἶχεν ὅμως ἀκώλυτον τὴν εἴσοδον πρὸς τὸν βασιλέα, καὶ ἠδύνατο διὰ ζώσης φωνῆς αἰτήσασθαι καὶ λαβεῖν τὴν ἄδειαν εἰς τὴν τοῦ ναοῦ κατασκευήν (τοῦτο δὲ καὶ Ὅδιος ἀνωτέρω ἠξίου περὶ τοῦ Φαληρέως). Ἐπειδὴ δὲ προσῆλθεν ὁ Ὀνίας δι᾽ ἐγγράφου ἀναφορᾶς, ἀποδείκνυσιν ἄρα καὶ οὗτος τὸ τοιοῦτο ἔθος ἐν τῇ αὐλῇ τῶν Πτολεμαίων κρατοῦν, καὶ (καθὼς εἶπεν Ἀριστέας) « πάντα διὰ προσταγμάτων τοῖς βασιλεῦσι τούτοις γινόμενα ». — Σημ. ἡμετ.

σήμερον παρὰ τοῖς βασιλεῦσιν ἐπικρατοῦν. Καὶ αὐτὸς ὁ Δόκτωρ ἤκουσε, καὶ εἶδεν, ἴσως, πολλάκις τοὺς βασιλικοὺς ὑπουργοὺς (ἢ καὶ ἄλλους δημοσίων ἔργων ἐπισήμους φροντιστὰς), ὅτι δι' ἐγγράφων ὑπομνήσεων καὶ ἀναφορῶν, ἢ σχεδίων, καὶ γραμματείων εἰσέρχονται πρὸς τὸν βασιλέα, φέροντες ἕκαστος ὑπὸ μάλης τὸ θυλάκιον, ἢ χαρτοφυλάκιον, ὁπόταν εἰσάγωσι γνώμας καὶ σκέμματα καὶ δηλώσεις περὶ ὧν ἐπιστατοῦσι δημοσίων, ἐντυγχάνοντες συνάμα καὶ ἀπὸ στόματος, καὶ πολλάκις περὶ τῶν αὐτῶν βουλευόμενοι μετὰ τοῦ βασιλέως, κἂν ἐκτὸς, κἂν ἔνδον τῶν ἀνακτόρων (ὡς συμβαίνει πολλάκις) ἔχωσι τὴν κατοίκησιν. Ὡσαύτως καὶ οἱ κατὰ πόλεις βασιλευούσας ἐνδιατρίβοντες ἄλλων ἐθνῶν πρεσβευταὶ διὰ σημειώσεων, ἢ δηλώσεων, καὶ διαγγελιῶν ἐγγράφων εἰσαγγέλλουσιν ἕκαστος τὰς ἀξιώσεις τῆς ἑαυτῶν αὐλῆς πρὸς τὸ κράτος, παρ' ᾧ πρεσβεύουσι, γραπτὰς δὲ πάλιν ἀντιλαμβάνουσι καὶ τὰς ἀπαντήσεις. Οὐδ' ἀναιρεῖ τὸ κρατῆσαν ἔθος ἡ πρεσβευτῶν τινων, ἢ ὑπουργῶν, πρὸς τὸν βασιλέα συνήθεια καὶ οἰκειότης, καὶ οἱ κατ' ἰδίαν μετ' αὐτοῦ χρηματισμοί. Οὕτως οὐδὲ τὸν Δημήτριον ἐκώλυεν ἀπὸ τῆς γραπτῆς εἰσδόσεως ἡ πρὸς τὸν Φιλάδελφον φιλία καὶ πυκνὴ συνέντευξις, καὶ ἡ περὶ τῶν πραγμάτων ἀπὸ στόματος κοινολογία καὶ συμβουλὴ (καθὼς Ὅδιος ἀπεφήνατο)· πᾶν δὲ μάλιστα τοὐναντίον, αὐτὸ τὸ καθῆκον τοῦ ὑπουργήματος ἀπήτει τὴν εἴσδοσιν, ὅσον ἄλλως ὑπῆρχε τῷ βασιλεῖ προσῳκειωμένος ὁ Δημήτριος, καὶ εἴτε ἐν αὐτοῖς κατῴκει τοῖς βασιλείοις, εἴτε καὶ ἐκτὸς κατὰ τὸ Μουσεῖον, φέρ' εἰπεῖν, ἢ *τὸν μέγαν ἐκεῖνον οἶκον, ἐν ᾧ ἦν τὸ συσσίτιον* (Στράβ.), ἢ καὶ εἰς ἰδίαν οἰκίαν λαμπράν. (ἢ πόθεν Ὅδιος ἐπληροφορήθη ποῦ εἶχε τὴν οἴκησιν ὁ Φαληρεύς;). Ὁ δὲ κριτικὸς εὐκόλως ἡμῖν ἀνεῖλε τὸν Ἀριστέα, προβαλὼν καὶ τὴν αὐτοῦ τε Ἀριστέου καὶ Σωσιβίου καὶ Ἀνδρέου περὶ λύσεως τῶν αἰχμαλώτων Ἰουδαίων ἄγραφον πρὸς τὸν Φιλάδελφον προτροπήν! Ὡς ἂν εἴπερ ἦν τὸ αὐτὸ πρὸς βασιλέα συμβουλὴ περὶ χάριτος πρὸς τοὺς ὑπηκόους μεγαλοπρεποῦς καὶ βασιλικῆς, καὶ εἴσδοσις, ἢ ἀναφορὰ, τοῦ ὑπουργοῦ, ἐκ τοῦ ἰδίου καθήκοντος ὑπαγορευομένη, περὶ τῶν ἐγκεχειρισμένων

αὐτῷ πραγμάτων! ἢ ὡσανεὶ τὸ τοιοῦτο τῶν εἰσδόσεων ἔθος ἐδέσμευε τὴν προαίρεσιν τοῦ μονάρχου μηδὲν ἀφ᾽ ἑαυτοῦ διάταγμα ἐκφέρειν, καὶ μάλιστα πρὸς εὐεργεσίαν! Κᾀκεῖνο δὲ τοῦ Ὀδίου ἀστεῖον. Τὸ μὲν τοῦ βασιλέως τῶν Σινῶν ἔθος ἔγραψεν ἐν τῷ κειμένῳ κατὰ σειρὰν (ὡς τάχα βαρβαρικὸν καὶ ἀνίσχυρον!), τὰς δὲ Ῥωμαϊκάς, καὶ μίαν τοῦ Πλουτάρχου μαρτυρίαν περὶ τῶν ἐγγράφων πρὸς τοὺς βασιλεῖς ἀναφορῶν, ἀπέῤῥιψεν ὑπὸ τὴν πέζαν τῆς σελίδος ἐν ὑποσημειώσει (οἷον αἰδούμενος, ἢ ὑποκρύπτων τὸν ἀναγνώστην τὰς ἐναντίας εἰς τὴν ἰδίαν αὐτοῦ θέσιν ἀποδείξεις). Ἀλλ᾽ ἐκθετέον καὶ ταύτας ἐμφανῶς πρὸς διατράνωσιν τῆς ἀληθείας. Ὁ Τάκιτος, ῥωμαῖος ἱστορικός, μνημονεύει τὸν Σηϊανὸν αὐτὸν (ἄρχοντα ῥωμαῖον μεγαλόδοξον) προσελθόντα πρὸς Τιβέριον τὸν Καίσαρα, καὶ ζητήσαντα τὴν Λιβίαν εἰς γυναῖκα διὰ γραμματίου, ἢ γραπτῆς ἀναφορᾶς (κωδικέλλου)· « *διότι* (προστίθησιν ὁ ἱστορικὸς) *ἔθος ὑπῆρχε τότε διὰ γραμματίου, καίτοι παρόντι, τῷ Καίσαρι προσιέναι* » (α). Καὶ Σενέκας δὲ μέμνηται τῶν *κωδικέλλων* τούτων, ὡς ὀνομάζοντο παρὰ Ῥωμαίοις κυρίως αἱ τοιαῦται πρὸς παρόντας τοὺς βασιλεῖς ἀναφοραί (β). Ἀλλὰ καὶ Πλούταρχος (Κλεομ. §. ιγ) τοιούτων ἐμνημόνευσε *γραμματίων*, ἱστορῶν περὶ τοῦ Κλεομένους, βασιλέως τῶν Λακεδαιμονίων, ὅτι τοῦτον ἔβλεπον οἱ ἐντυγχάνοντες, « οὐχ ὑπ᾽ ἀγγέλων ὄχλου καὶ θυρωρῶν, ἢ *διὰ γραμματίων* χρηματίζοντα χαλεπῶς καὶ μόλις ». Ταῦτα σεσημείωκεν Ὄδιος. Πρόσθες τούτοις, ἀναγνῶστα, καὶ ἄλλο τοῦ αὐτοῦ

(α) «Sejanum composuisse ad Tiberium Caesarem Codicillos (de Livia). Moris quippe tum erat, quamquam praesentem, scripto adire» (Tacit. Ann. IV. 39. apud. Hody p. 65, ἐκ τοῦ πρῶτον μνημονεύσαντος Οὐοσσίου. Append. ad Pomp. Mel. p. 69). [ταύτην τὴν παρὰ Τακίτῳ Λιβίαν, ἢ Λιουΐαν (Livia) ὁ Δίων Λιουΐλλαν γράφει (Livillam ὑποκοριστικῶς), ὡς καὶ Ξιφιλῖνος καὶ Συετώνιος, ὁ δὲ Ζωναρᾶς, « ἣν Ἰουλίαν, ἕτεροι δὲ Λιβίαν γράφουσι ». Βλ. Δίων ἱστορ. νζ. §. 22. σελ. 880 sqq. καὶ τὰς αὐτόθ. σημ. τοῦ ἐκδ. Reim. — Σημ. ἡμετ.].

(β) Video te, mi Lucili, cum maxime, audio: adeo tecum sum, ut dubitem, an incipiam non epistolas, sed codicillos tibi scribere (Senec. Epist. 55. apud Hody. ibid.).

Πλουτάρχου χωρίον σαφέστερον περὶ Δημητρίου (τοῦ Πολιορκητοῦ)· ὅτι « Δόξαντος αὐτοῦ ποτε δημοτικώτερον ἐξελαύνειν, καὶ πρὸς ἔντευξιν ἔχειν οὐκ ἀηδῶς, συνέδραμόν τινες ἐγγράφους ἀξιώσεις ἀναδιδόντες (α). Δεξαμένου δὲ πάσας, καὶ τῇ χλαμύδι συλλαβόντος, ἥσθησαν οἱ ἄνθρωποι καὶ παρηκολούθουν. Ὡς δ᾽ ἦλθεν ἐπὶ τὴν τοῦ Ἀξιοῦ (ποταμοῦ) γέφυραν, ἀναπτύξας τὴν χλαμύδα, πάσας εἰς τὸν ποταμὸν ἐξέῤῥιψε » (Δημήτρ. §. μϐ). Ἐπισύναψον καὶ τὸ τοῦ Λουκιανοῦ· « Ὤετο δεῖν ἀπαιτεῖν παρὰ τῆς πόλεως τὰ κτήματα, καὶ *γραμματεῖον* ἐπιδοὺς, ἠξίου ταῦτα κομίσασθαι » κτλ. (Περεγρ. τελευτ. §. 16)· ἄλλα παραδείγματα ζητεῖν περιττόν. Καὶ χωρὶς δὲ τούτων ἤρκει πρὸς ἀπόδειξιν καὶ μόνη ἡ τοῦ Ὀνίου παρόντος πρὸς παρόντα τὸν Φιλομήτορα παράκλησις, ἢ ἐπιστολὴ (κἂν ἐπιδοκιμάζῃ, κἄν τε μὴ, ὁ κριτικὸς), καθὸ καὶ περὶ δημοσίου πράγματος (τοῦ ναοῦ), καὶ κατ᾽ αὐτὴν τὴν Ἀλεξάνδρειαν εἰσδοθεῖσα, καὶ πρὸς βασιλέα ἀπόγονον καὶ διάδοχον αὐτοῦ ἐκείνου τοῦ, πρὸς ὃν καὶ ὁ Φαληρεὺς ἔγραψε τὴν εἴσδοσιν, Φιλαδέλφου, κατὰ τὴν ἐπικρατοῦσαν τάξιν τῆς Πτολεμαϊκῆς Αὐλῆς. Κἀκεῖνο, δὲ, τέλος, ἀναλογιστέον. Ὁ Ἀριστέας ἔγραφεν ἐν μέσῳ τῆς Ἀλεξανδρείας, ἑστώτων τῶν Πτολεμαϊκῶν βασιλείων καὶ τῶν ἀρχείων, ὅθεν αὐτὸς ἔλαϐε τὰ *ἀντίγραφα* (καθὼς ἐπὶ λέξεως αὐτὰ καλεῖ) *τὰ τῆς εἰσδόσεως καὶ τῶν ἐπιστολῶν*. Πῶς ἠδύνατο δημοσιεύειν ἀνυπάρκτους γραφὰς, καὶ ταύτας βασιλικὰς, πρὸς πίστωσιν (κατὰ τὸν Ὅδιον) τῆς ἰδίας ἑαυτοῦ ἱστορίας; Πότερον, τοσοῦτον αὐτὸς ἴσχυε δημοσίως

(α) Ἐγγράφους ἀξιώσεις εἶπεν ὁ Πλούταρχος, ἃ πρὸ μικροῦ προεῖπε γραμμάτια· αἱ δ᾽ αὗται λέγονται καὶ Αἰτήσεις, καὶ Δεήσεις (ὅθεν καὶ ὁ ἐπὶ τῶν δεήσεων παρὰ τοῖς Βυζαντινοῖς), καὶ Παρακλήσεις (ὡς ὠνόμασεν ὁ Φιλομήτωρ τὴν Ὀνίου ἐπιστολήν. βλ. ὄπισθ. §. γ. σημ.). Ὁ δὲ Λουκιανὸς (ἀνωτέρω) καὶ γραμματεῖον εἶπε τὸ γραμμάτιον, τὴν συνήθως παρ᾽ ἡμῖν (καὶ παρὰ τοῖς Βυζαντινοῖς πολλάκις) ἀναφοράν. Ἔχει καὶ Ἡσύχιος· « Ἀναφορὰ, δέησις, παράκλησις »· ὅπερ κακῶς οἱ σχολιασταὶ συνέχεον πρὸς τὸ (ἐν ψαλμ. ν, 20) ἀναφορὰν, τὸ αὐτὸ καὶ προσφορὰν, κάρπωμα θυσίας (βλ. Θεοδώρητ. ἑρμην. εἰς ψαλμ. ν. Οὕτω καὶ Σύμμαχος εἶπεν ἀναφορὰν, Γεν. η, 20, ὅπου οἱ Ο, ὁλοκάρπωσιν), κατὰ τὸ « θυσίας ἀναφέρειν (Β. Παρ. κθ. 31. Ἑϐρ. ζ. 27).

πλαστογραφεῖν ἀτιμωρητί; ἢ τοσοῦτον ἀγραμμάτους, ἢ καὶ βλέννους παντελῶς καὶ ἀβελτέρους εὕρισκε τούς τε συγχρόνους Ἀλεξανδρεῖς καὶ τοὺς ἐφεξῆς, ἐν οἷς καὶ τὸν Ἀριστόβουλον; (ὡμολόγησε δὲ καὶ αὐτὸς Ὅδιος πολὺ πρὸ τοῦ Ἀριστοβούλου ἐκδοθεῖσαν ταύτην δὴ τοῦ κατ' αὐτὸν Ψευδαριστέου τὴν συγγραφήν. ὄπισθ. σελ. 448). Καὶ τίς οὐκ ἂν ἐξήλεγξεν εὐκόλως τὴν πλαστογραφίαν, ἐγκύψας πρὸς ὀλίγον ἐν τοῖς βασιλικοῖς χαρτοφυλακείοις, ὅθεν ὁ Ἀριστέας (ὡς γράφει) λαβὼν *κατεχώρισε τὰ ἀντίγραφα;* Καὶ ταῦτα μὲν τοιαῦτα.

§. δ. Β'). «Ἀλλὰ κἂν (ἐπαναλαμβάνουσιν οἱ περὶ τὸν Ὅδιον) κἂν ὑποθῶμεν, ὅτι προσέταξεν ὁ βασιλεὺς τῷ Δημητρίῳ εἰσδοῦναι τὴν ἐπιστολήν, ἀλλ' αὕτη παρευθὺς, ὡς προσβάλωμεν τὰς ὄψεις, φανήσεται τοσοῦτον ἄτοπος καὶ ἀηδὴς, ὡς οὐκ ἂν γένοιτο χείρων. Ἠρώτησεν ὁ βασιλεὺς τὸν Δημήτριον, πόσαι τινὲς μυριάδες βιβλίων τυγχάνουσιν ἐν τῇ βιβλιοθήκῃ· ὁ δὲ Δημήτριος ἀποκριθεὶς τὰ δέοντα, προσέθηκε καὶ ὅτι, προσαγγέλλεται δέ μοι καὶ τὰ τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια καὶ τῆς παρὰ σοὶ βιβλιοθήκης εἶναι, — ἀλλ' ἑρμηνείας προσδεῖται, γέγραπται γὰρ ἑβραϊστί. Ταῦτ' ἀκούσας ὁ βασιλεὺς εἶπε, γραφῆναι πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, ὅπως τελείωσιν λάβωσιν. Ἐφεξῆς δὲ καὶ τοὺς αἰχμαλώτους ἐλύτρωσε πρὸς ἐπιτυχίαν τοῦ ποθουμένου. «Ὡς δὲ ταῦτα πάντα κατεπράχθη, τότε ἐκέλευσε τὸν Δημήτριον εἰσδοῦναι περὶ τῆς τῶν ἑβραϊκῶν βιβλίων ἀντιγραφῆς». Καὶ γράφει λοιπὸν τὴν εἴσδοσιν ὁ Δημήτριος (ὡς λέγει ὁ Ἀριστέας)· γράφει δὲ τί; «Πεποιημένος οὐ παρέργως τὴν (περὶ τῆς βιβλιοθήκης) ἐπιμέλειαν, προσαναφέρω σοι τάδε· τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει· τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα. Δέον δὲ ἐστὶ καὶ ταῦτα ὑπάρχειν παρὰ σοὶ διηκριβωμένα, διὰ τὸ καὶ φιλοσοφωτέραν εἶναι καὶ ἀκέραιον τὴν νομοθεσίαν ταύτην, ὡς ἂν οὖσαν θείαν». — Πόσον ἄλογον πρᾶγμα καὶ παράχορδον, πόσον δὲ ἀπεικὸς καὶ πάσης πιθανότητος ἀπεσχοινισμένον! ὁ Δημήτριος ἐν τῇ εἰσδόσει διδάσκει τὸν βασιλέα

περὶ τῶν ἑβραϊκῶν βιβλίων, ὡς ἂν περὶ καινοῦ τινος καὶ ἀνηκούστου πράγματος, ὅπερ αὐτὸς εἶχε πρὸ μικροῦ πρὸς αὐτὸν δηλοποιήσας, καὶ ἠπίστατο γνωστότατον ὂν τῷ βασιλεῖ».

Ἀπαντῶμεν.

§. έ. Ἀλλ' ἐκεῖνα μὲν, ὦ ἄνδρες, ἔγραψεν Ἀριστέας αὐτὸς ἱστορῶν, τὰ δὲ κατὰ τὴν εἴσδοσιν ἔγραψεν ὁ Δημήτριος· τί συγχύζετε τὰ πρόσωπα, καὶ διαφθείρετε τὰ πράγματα; Πρῶτον ὁ ἱστορικὸς διηγήθη τὴν πρώτην περὶ τῶν βιβλίων μετὰ τοῦ βασιλέως συνομιλίαν τοῦ Δημητρίου, καὶ τὰ τότε κατ' ἰδίαν δεδογμένα περὶ κτήσεως τῶν ἑβραϊκῶν Γραφῶν, ἔργον πράττων ἱστορικοῦ διακριβοῦντος τὰ πράγματα κατὰ τάξιν καὶ μετὰ σαφηνείας (εἰ μὴ γὰρ ταῦτα προδιῴκει διασαφῶν, οὐκ ἂν ἦν ἱστορικώτατος *Ἀριστέας*, ἀλλὰ γρίφων τις δημιουργός.). Εἶτα δὲ προσέθηκε καὶ τὴν εἴσδοσιν αὐτὴν, ἣν εἰσήνεγκεν ὁ Δημήτριος ἐξ *ἐπαγγέλματος* πρὸς τὸν βασιλέα, τὰ πρῴην κατ' ἰδίαν δεδηλωμένα διακοινούμενος καὶ ἐπισήμως. Ἔπειτα, ἐρωτῶμεν τοὺς ἄνδρας, μήπως ἓν ἐστὶ καὶ τὸ αὐτὸ πρᾶγμα, ὅταν ὁ ἄρχων συνδιαλεγόμενος μετά τινος, ἢ τινῶν, τῶν περὶ αὐτὸν ὑπουργῶν, μανθάνῃ καὶ βουλεύηται καὶ ψηφίζῃ κατ' ἰδίαν περί τινος τῶν πρακτέων, καὶ ὅταν πάλιν ὁ ἐπὶ τοῦ πράγματος τεταγμένος ὑπουργὸς εἰσάγῃ πρὸς τὸν ἄρχοντα κατὰ τοὺς τύπους ἐπισήμως τὴν περὶ τούτου ἀναφορὰν, εἰσηγούμενος τὸ ἔργον ἐξ ὑπαρχῆς, καὶ ἐνδιδοὺς τὴν πρώτην τῆς πράξεως εἰσβολήν; Ἀλλ' οὕτως ἐξαιρετέον λοιπὸν καὶ ἐκ τῶν πρακτικῶν (ἢ πρωτοκόλλων), καὶ ἐξ αὐτῆς τῆς ἱστορίας πᾶσαν προκατασκευὴν καὶ προδιήγησιν τῶν ἰδιαιτέρων προδιασκέψεων καὶ διαλέξεων καὶ προβουλευμάτων, διότι περιέχονται ἐν τούτοις τὰ αὐτὰ, ὅσα καὶ ἐν τοῖς ἐπισήμως ἐκδοθεῖσι γράμμασι καὶ ψηφίσμασιν· ἢ αὐτὰ γοῦν τὰ ψηφίσματα, ὡς περιττὰ καὶ φλύαρα, κατακριτέον. Τί δὲ διαφέρει τῶν τοιούτων δημοσίων γραμμάτων ἡ τοῦ Δημητρίου πρὸς τὸν βασιλέα περὶ τῶν προβεβουλευμένων ἀναφορά; ἢ μήπως οἱ περὶ τὸν κριτικὸν ἐξέλαβον αὐτὴν ὡς ἰδιωτικὴν ἐπιστολὴν, ἀναγγέλλουσαν ἁπλῶς κατ' ἐπανάληψιν τὰ

προδηλωθέντα; Πόσον δὲ διαφέρει καὶ αὐτὴ τῆς πρώτης ἱστορικῆς συνομιλίας ἡ ἔκφρασις παρὰ τὴν τῆς εἰσδόσεως ἑρμηνείαν, καὶ πόση ἡ τοῦ πρέποντος ἐν ἑκατέροις ἐπιτήρησις, βλέπουσι τρανῶς οἱ μὴ ἐθελοκακοῦντες. Οἱ δὲ περὶ τὸν Ὅδιον, μήτε Λογγῖνοί τινες ἀνεφάνησαν ὄντες, μήτ᾽ ἐξ Ἁλικαρνασσοῦ κριτικοί, κατακρίναντες ὡς τῶν αὐτῶν πραγμάτων ταυτολόγον περιοχὴν τήν τε περὶ τῶν βιβλίων προδιήγησιν τοῦ ἱστορικοῦ, καὶ τὴν ἐξ ἐπαγγέλματος εἴσδοσιν τοῦ Δημητρίου! Τελευταῖον· πᾶσα ἄρα φαινομένη παρὰ τοῖς συγγραφεῦσι περὶ τῶν αὐτῶν ἐπανάληψις ὑπάρχει περιττὴ καὶ ἄκριτος παλλιλογία, καὶ δεῖξις δὲ νοθείας ἢ παρεγγραφῆς τοῦ δὶς ταυτογραφομένου χωρίου; Ἀλλὰ κατὰ τὸν κανόνα τοῦτον, τί μὴ τάχος ἐξωβέλισαν οἱ κριτικοὶ καὶ τοσαύτας ἄλλας ὁμοίας ταυτολογίας, αἵτινες ἐμφαίνονται παρὰ τοῖς ἐνδοξοτάτοις οὐ μόνον τῶν ἱστορικῶν, ἀλλὰ καὶ τῶν ῥητόρων αὐτῶν (α), καὶ τῶν ποιητῶν, καὶ μάλιστα παρ᾽ Ὁμήρῳ πολλάκις παλλιλογοῦντι;

§. ϛ. Γ). Ἀλλ᾽ ἐπέρχεται καὶ ἄλλη ταυτολογία. «Ὁ Δημήτριος (λέγουσιν) ἔγραψεν ἐν τῇ αὐτῇ πρὸς τὸν βασιλέα ἐπιστολῇ, ὅτι — «Πόῤῥω γεγόνασιν οἵ τε συγγραφεῖς, καὶ ποιηταί, καὶ τὸ τῶν ἱστορικῶν πλῆθος τῆς ἐπιμνήσεως τῶν βιβλίων (τῆς ἑβραϊκῆς νομοθεσίας), καὶ τῶν κατ᾽ αὐτὰ πεπολιτευμένων καὶ πολιτευομένων ἀνδρῶν, διὰ τὸ ἁγνήν τινα καὶ σεμνὴν εἶναι τὴν ἐν τούτοις θεωρίαν». — Ἀλλὰ περὶ τὸ τέλος τοῦ συγγράμματος εἰσάγει πάλιν ὁ Ἀριστέας τὸν βασιλέα καὶ αὖθις ἐρωτῶντα τὸν Δημήτριον· «Πῶς τηλικούτων συντετελεσμένων (γραφῶν) οὐδεὶς ἐπεβάλετο τῶν ἱστορικῶν ἢ ποιητῶν ἐπιμνησθῆναι;» — Τοσοῦτον ἐπιλήσμονα καὶ σαθρὰν εἶχε τὴν μνήμην ὁ βασιλεύς, ὥστε ὅ,τι πρότερον ἐκ τῆς ἐπιστολῆς ἐμεμαθήκει, τοῦτο παντάπασι τῆς αὐτοῦ φρενὸς ἐξεῤῥύη; Οὗτος ἆρά γ᾽ ἐστὶν Ἀριστέας ἐκεῖνος, ὁ Πτολεμαίου πε-

(α) Οἷον παρὰ τῷ Δημοσθένει πολλαχοῦ, καὶ τῷ Αἰσχίνῃ κτλ. ὅταν δηλονότι μέλλοντες ἐπάγειν νόμον τινὰ σαφέστατον, ἐκφράζωσι πρῶτον τοῦ νόμου τούτου τὴν διάνοιαν, καὶ ἔπειτ᾽ ἐπιφέρουσι καὶ αὐτὸ τοῦ νόμου τὸ κείμενον, ταὐτὸ σχεδὸν πολλάκις κατὰ λέξιν καὶ ἀπαράλλακτον κατὰ τὴν προλαβοῦσαν ἔκφρασιν (βλ. Αἰσχύν. κ. Τιμάρχ. §. ζ. κτλ.).

ριπόρφυρος ὑπασπιστής; Οὗτος ἀνὴρ σοφὸς, ὅστις καταξαίνει καὶ βασανίζει τὸν ἀναγνώστην διὰ τοσούτων φλυαριῶν;».

Ἀπαντῶμεν.

§. ζ. Οὗτός ἐστιν, ὦ ἄνδρες, αὐτὸς ἐκεῖνος αὐτότατος Ἀριςέας, οὔτ᾽ ἀποκναίων, ἢ λυπῶν ὅλως τοὺς εὐγνώμονας ἀναγνώστας, ἀλλὰ καὶ τέρπων αὐτοὺς ἐμμελῶς, καὶ διδάσκων τὰ ὄντα μετὰ ἀληθείας· αὐτὸς δὲ μᾶλλον ὁ ἀοίδιμος ἀνὴρ καταξαίνεται καὶ διαστρεβλοῦται δεινῶς ὑπὸ τῆς σοφιστικῆς κακοτεχνίας, ἥτις διὰ λόγων συλᾷ πολλάκις ἱστορικὰ πράγματα, συκοφαντοῦσα καὶ τὰ μέγιστα καὶ τὰ σμικρότατα. Τοιοῦτό τι φαίνεται καὶ τὸ προκείμενον ἐπιχείρημα τῶν Ἀριστέου κατηγόρων, οἵτινες διελθόντες ὅλας τριάκοντα καὶ δύω σελίδας τῆς συγγραφῆς, εὗρον ἐν τῷ τέλει ταύτης τὸν βασιλέα, λέγοντά τινα παρόμοια πρὸς ὅσα εἶπεν ἐν ἀρχῇ τοῦ συντάγματος εἰς τὴν εἴσδοσιν ὁ Δημήτριος· καὶ ψέγουσι λοιπὸν τὸν ἱστορικὸν, διότι καὶ ταῦτα κἀκεῖνα πιστῶς ἐξέθηκεν ἐν τῷ οἰκείῳ τόπῳ, καθὼς συνέβησαν. Ἀλλ᾽ (ἐὰν πρέπῃ τις ἀπάντησις καὶ πρὸς τοῦτο τὸ πτωχὸν λοιδόρημα) ὁ Φιλάδελφος μετὰ τὴν ἀνάγνωσιν τῆς ἑρμηνείας τοῦ Μωσαϊκοῦ μάλιστα νόμου θαυμάσας τὴν τοῦ νομοθέτου διάνοιαν, ἀναπολήσας δὲ καὶ ὅσα κατὰ τὴν εἴσδοσιν ἔγραψεν ὁ Δημήτριος λέγων, ὅτι οὐδεὶς τῶν Ἑλλήνων ἐπεμνήσθη ταύτης τῆς νομοθεσίας, διὰ τοῦτο μάλιστα διαπορῶν καὶ ξενιζόμενος ὁ Φιλάδελφος, ἠρώτησε καὶ αὖθις τὸν Δημήτριον, πῶς τοιούτων θεσμῶν θεοπρεπῶν διέμειναν ἄγευστοι καὶ ἀδαεῖς οἱ τῶν Ἑλλήνων σοφοί; Οὔτε φυσικώτερον, οὔτε συνηθέστερον πάσχουσιν οἱ ἄνθρωποι παρὰ τὸ θαμὰ περὶ τῶν αὐτῶν ἐξετάζειν, ὅταν κινηθῶσι σφοδρῶς τὴν ψυχὴν ὑπό τινος παραδόξου. Καὶ τοῦτο παθόντα τὸν βασιλέα διέγραψεν ἀφελῶς ἅμα καὶ ἀκριβῶς ὁ ἱστορικός. Ὥστε ἀντ᾽ ἐπιλήσμονος καὶ τὴν μνήμην ἀμβλυτέρου, πᾶν τοὐναντίον, μνημονικώτατος ἐκ ταύτης τῆς ἐρωτήσεως ἀναφαίνεται ὁ Φιλάδελφος. Εἰ δὲ καὶ πάλιν, ἐξ ὑποθέσεως, ὁ μεγαλοπράγμων καὶ πολύφροντις βασιλεὺς, πολλῶν ἤδη μηνῶν ἀπὸ τῆς εἰσδόσεως μέχρι τέλους τῆς τῶν Γραφῶν ἑρμηνείας ἐν τῷ μεταξὺ

διαδραμόντων, ἐπιλαθόμενος εἴ τι περὶ τούτου πρῴην εἶχε παρὰ τοῦ Δημητρίου μαθὼν, ἐπηρώτησε καὶ αὖθις περὶ τῶν αὐτῶν, διὰ ταύτην λοιπὸν τὴν μικρὰν ἐπιλησμοσύνην τοῦ βασιλέως πλύνεται διὰ τοσούτων ὕβρεων ὁ τὴν ἐρώτησιν, ὡς ἐγένετο, διαγράψας Ἀριστέας; Τί δὲ καὶ τοσοῦτον ἀγανακτοῦσι νῦν οἱ ἄνδρες ὑπὲρ τοῦ Φιλαδέλφου, ὡς ἂν δῆθεν τὰ αἴσχιστα ὑβρισμένου, διότι κινδυνεύει ἐκ τῆς τοιαύτης ἐρωτήσεως φανῆναι περὶ τὸ μνημονικὸν ἀσθενής; Μὴ γὰρ ὀλίγον αὐτοὶ οὗτοι διϊσχυρίσθησαν ἐν τοῖς προηγηθεῖσι (Κεφ. Θ, §. ϛ, σελ. 245), ὅτι *νέος ἔτι* ὁ Φιλάδελφος ἐπίνοσος ἐγένετο, διαφθαρεὶς *ὑπὸ τῆς ἀκαίρου τρυφῆς;* Τί παράδοξον λοιπὸν, εἴ γε (κατ' αὐτοὺς) καὶ τὴν μνήμην ἔσχεν ἀμαυροτέραν; Ἀλλὰ πρὸς τοιαύτας λοιδορίας γίνεται πολλάκις ἰσχυρὰ καὶ ἄδιψος ἀπάντησις ἡ σιωπή!

§. ή. Δ). Ἄλλο κακόν. «Ὁ Δημήτριος (λέγουσιν) εἰς τὴν εἴσδοσιν φαίνεται διαφωνῶν καὶ ἀντιφάσκων πρὸς ἑαυτόν. Κατ' ἀρχὰς ἐρωτηθεὶς ὑπὸ τοῦ βασιλέως, πόσαι μυριάδες βιβλίων τυγχάνουσιν ἐν τῇ βιβλιοθήκῃ; «*ὑπὲρ τὰς εἴκοσι βασιλεῦ* (ἀπεκρίθη)· πληρώσω (γρ. *σπουδάσω*) δὲ σὺν (ἴσ. γρ. *ἐν*) ὀλίγῳ χρόνῳ, πρὸς τὸ πληρωθῆναι *πεντήκοντα μυριάδας*, τὰ λοιπὰ [συναθροίσειν]». — Ἀλλὰ μετ' ὀλίγας ἡμέρας ἀνήγγειλε διὰ τῆς εἰσδόσεως πρὸς τὸν βασιλέα, ὅτι *ὀλιγώτατα βιβλία* λείπουσιν εἰς συμπλήρωσιν τῆς βιβλιοθήκης, λέγων· «Τοῦ νόμου τῶν Ἰουδαίων βιβλία, *σὺν ἑτέροις ὀλίγοις τισὶν, ἀπολείπει*». Οὕτως ἔχει καὶ Εὐσέβιος (ἐκ τοῦ Ἀριστέου)· ὁ δὲ Ἰώσηπος ἔγραψε μόνον τὸ *σὺν ἑτέροις*· τὸ δὲ *ὀλίγοις τισὶ* παρέλιπε χάριν συντομίας».

Ἀπαντῶμεν.

§. θ'. «Ἤ, ἦ σιώπα· μηδὲν εἴπῃς νήπιον»! Ποίαν ἔχει σχέσιν ἡ τοῦ Δημητρίου πρὸς τὸν βασιλέα προλαβοῦσα ἀπόκρισις πρὸς τὴν παραβαλλομένην φράσιν τῆς εἰσδόσεως, ἢ ἀναφορᾶς; Ἐκεῖ ὁ Δημήτριος ἀπεκρίνατο περὶ τῆς ποσότητος καθόλου τῶν πρὸς συμπλήρωσιν τῆς βιβλιοθήκης ἀθροιζομένων βιβλίων. Ἐνταῦθα γράφει τὴν εἴσδοσιν περὶ μόνων τῶν βιβλίων τῶν ἑβραϊκῶν. Ὑμεῖς δὲ, ὦ ἄνδρες, πλανᾶσθε,

παρερμηνεύοντες τὴν ῥῆσιν, καὶ συγχύζοντες τὰ τῶν Ἰουδαίων ὀλίγα βιβλία πρὸς τὰς ὅλας μυριάδας. Ἀλλ᾽ ἰδοὺ τῆς φράσεως ὁ γνήσιος νοῦς. Ὁ Δημήτριος ἀναγγέλλει διὰ τῆς εἰσδόσεως ἁπλῶς, ὅτι λείπουσιν ἐκ τῆς βιβλιοθήκης τὰ τοῦ νόμου τῶν Ἰουδαίων βιβλία « *σὺν ἑτέροις ὀλίγοις τισὶ* », καὶ τούτοις δηλονότι τῶν Ἰουδαίων βιβλίοις οὖσι (Λέγει δὲ τὰ προφητικὰ, καὶ ὅσα ἄλλα *μετὰ τῶν βιβλίων τοῦ νόμου*, ἤτοι τῆς *Πεντατεύχου*, συναπαρτίζουσι τὸ ἄθροισμα τῶν κανονικῶν ἑβραϊκῶν Γραφῶν). Ὡς ἂν εἴπερ ἔλεγε (κατ᾽ ἄλλην τῶν λέξεων ἰσοδύναμον συνθήκην) « ἀπολείπει τὰ βιβλία τοῦ τῶν Ἰουδαίων νόμου σὺν ἑτέροις ὀλίγοις τισὶ (τῷ νόμῳ συνημμένοις). Ὅτι δὲ τοῦτο σημαίνει ὁ λόγος δηλοῦσι τὰ ἐφεξῆς. Α) Αὐτὴ τοῦ λόγου ἡ περίοδος ὁλόκληρος ἐκτεθεῖσα· « Τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει· τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα ». Τίς ἐν τούτοις οὐχ ὁρᾷ, ὅτι τῆς ἐπιφερομένης αἰτιολογίας ἡ κατακλεὶς συμπεριλαμβάνει μετὰ τῶν *τοῦ νόμου βιβλίων* καὶ *τὰ ἄλλα τὰ ὀλίγα τινὰ*, ὡς ὁμοειδῆ καὶ ὁμοιόγραφα; Τίνα τυγχάνουσι *γράμμασιν ἑβραϊκοῖς λεγόμενα*; τὰ προηγούμενα πάντως ἀμφότερα, *τά τε τοῦ νόμου*, καὶ *τὰ ἕτερα* τὰ *ὀλίγα βιβλία*. Καὶ τὰ λοιπὰ δὲ τὰ ἐφεξῆς μέχρι τέλους τῆς εἰσδόσεως εἰς τὰς ἑβραϊκὰς ἀναφέρεται βίβλους. Εἰ δὲ καὶ τὸ σὺν *ὀλίγοις τισὶν* ἐσήμαινεν ἑτέρου τινὸς εἴδους βιβλία ὁποιαδήποτε, καὶ τὴν ἔννοιαν ἀνέφερε πρὸς τὰς μυριάδας τῶν ἐν τῇ βιβλιοθήκῃ (καθὼς ἐνόμισαν οἱ κριτικοὶ), τότε κατὰ πᾶσαν ἀνάγκην ὤφειλεν ὁ Δημήτριος ἄλλως κατασκευάσαι τὴν συνθήκην τοῦ λόγου, γράφων, φερ᾽ εἰπεῖν, οὑτωσί. « Ἀπολείπουσι *σὺν ἑτέροις ὀλίγοις τισὶ*, καὶ τὰ βιβλία τοῦ νόμου τῶν Ἰουδαίων. Ταῦτα γὰρ τυγχάνει γράμμασιν ἑβραϊκοῖς » κτλ. Β) Καὶ ἄλλως δὲ ὡς ἐκ τοῦ σκοποῦ καὶ τῆς ὅλης ὑφῆς τῆς ἀναφορᾶς γίνεται τὸ πρᾶγμα καταφανές. Ὁ Δημήτριος ἄρχεται τῆς εἰσδόσεως οὕτω. « Προστάξαντός σου, βασιλεῦ, περὶ τῶν ἀπολειπόντων εἰς τὴν συμπλήρωσιν τῆς βιβλιοθήκης βιβλίων, ὅπως ἐπισυναχθῇ, — προσαναφέρω σοι τάδε. Τοῦ νόμου τῶν Ἰουδαίων

βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει » κτλ. Εἰσβάλλων ἀπὸ τῆς τοῦ βασιλέως περὶ τῆς ἐπισυνάξεως τῶν ἀπολειπόντων βιβλίων καθόλου προσταγῆς, εὐθὺς ἐπιφέρει, ὅτι μεταξὺ τῶν ἀπολειπόντων εἰσὶ καὶ τὰ τοῦ νόμου τῶν Ἰουδαίων σὺν ἑτέροις. Περὶ μόνων τῶν Ἰουδαϊκῶν βιβλίων ἔγραψε τὴν εἴσδοσιν ὁ Δημήτριος, ἵνα ζητηθῶσιν ἐξ Ἱερουσαλήμ· καὶ τούτων ἄρα μόνον τὴν ἔλλειψιν ἀναγγέλλει, οὐχὶ δὲ καὶ τῶν ἄλλων ἁπάντων, ὅσα ἔλειπον εἰς συμπλήρωσιν τῆς βιβλιοθήκης. Καὶ περὶ μὲν τῆς ἐκείνων ἐπισυνάξεως ἄλλοτε *ἀνέφερε* πρὸς τὸν βασιλέα, ἤδη δὲ *προσανέφερεν* ἰδίως *περὶ τῶν ἑβραϊκῶν*. ὥστε καὶ τὸ *σὺν ἑτέροις ὀλίγοις τισὶ* φανερὸν, ὅτι συνῆψεν ἀνωνύμως (διὰ τὸ σύντομον) πρὸς τοῖς ὀνομαστὶ διορισθεῖσι βιβλίοις τοῦ νόμου τῶν Ἰουδαίων· καὶ πάντα δὲ ταῦτα κοινῶς ἐδήλωσε γεγραμμένα *γράμμασιν ἑβραϊκοῖς*. Ἀλλὰ τοῦτο μὲν σαφέστατον καὶ τοῖς ἄκρῳ δακτύλῳ συνθέσεως γευσαμένοις ἑλληνικῆς· καὶ ἴσως οὐδ᾽ αὐτοὶ οἱ τοῦ Ἀριστέου πολέμιοι παρεξέπιπτον τοσοῦτον ἀπὸ τῆς ἀληθείας, εἴπερ ἔκρινον ἀπαθέστερον ἐκ τῆς ὅλης συμφράσεως τὸ χωρίον. Γ) Καὶ Εὐσέβιος ὁλόκληρον ἀντιγράψας τὴν Ἀριστέου φράσιν, καὶ Ἰώσηπος *συντομώτερον* (μόνον τὸ *σὺν ἑτέροις* προσθεὶς, τὸ δ᾽ *ὀλίγοις τισὶ*, κατὰ τὸν Ὅδιον, χάριν τῆς τοῦ λόγου συντομίας παραλιπὼν), παρομοίως ἐξέλαβον κἀκεῖνοι τὸ νόημα τῆς φράσεως, καθὼς προεξηγήσαμεν. Καὶ οἱ μὲν περὶ τὸν Ὅδιον ἐμνημόνευσαν τούτους ἀμφοτέρους πρὸς ἀπόδειξιν, ὅτι οὕτω πάντως ἔγραψεν Ἀριστέας, ὡς καὶ οὗτοι μετέγραψαν (συνανοηταίνοντες δηλαδὴ καὶ αὐτοὶ μετὰ τοῦ πάντων ἀνθρώπων ἀβελτερωτάτου πλαστογράφου! ὅστις πρὸ δύω μόλις σελίδων γράψας ὅτι πρὸς συμπλήρωσιν τῶν 50 μυριάδων τῆς βιβλιοθήκης ἔλειπον ἔτι 30 *μυριάδες* βιβλίων, ἔπειτ᾽ ἐξαίφνης εἶπε ταῦτα « *ὀλίγα τινά* »!)· πλὴν ἀλλὰ τὸ πρᾶγμα περιΐσταται εἰς τὸ ἐναντίον, καὶ τὸν Ἀριστέου γνήσιον νοῦν μαρτυροῦσι καὶ Ἰώσηπος καὶ Εὐσέβιος (α). Σὺ δὲ σημείωσαι, ἀναγνῶστα, ὅτι τρα-

(α) Οὕτως ἐξήγησε τὸ χωρίον καὶ ὁ Ἔκδικος (Vindication of the history of the Septuagint p. 161).

χεῖαν ταύτην οἱ ἄνδρες ἐκίνησαν χορδὴν, καὶ σφόδρα τὰς ἀκοὰς αὐτῶν ἀποκναίσουσαν μετ᾽ ὀλίγον, ὁπότ᾽ ἐπιχειρήσουσι παντοίως ἀποδεικνύειν, ὅτι μόνην τὴν Πεντάτευχον ἡρμήνευσαν οἱ Ο. (βλ. ἐφεξῆς βιβλ. Β. κεφ. ζ. §. 11).

§. ι. Ἀλλ᾽ ἐπάγεται, τέλος, καὶ λόγος ἄλλος εὐπρόσωπος, καὶ πρὸς τὸ φενακίζειν καὶ οὗτος εὖ μεμηχανευμένος. Πρῶτος ὁ Σκαλίγηρος, καὶ μετ᾽ αὐτὸν Βοδέριος, καὶ Ῥίβετος, καὶ εἴ τις ἕτερος, καὶ Ὅδιος κατεδίκασαν νοθείας αὐτήν τε τοῦ Δημητρίου τὴν εἴσδοσιν, καὶ τὴν πρὸς τὸν Ἀρχιερέα τοῦ βασιλέως ἐπιστολὴν, καὶ τὴν ἐκείνου πρὸς τοῦτον ἀπόκρισιν, κρίνοντες τὰ γράμματ᾽ ἀπὸ τῆς φράσεως καὶ τῆς ἰδέας τοῦ λόγου· « διότι πάντα ταῦτα (λέγουσι) τὴν αὐτὴν ἔχουσι συνθήκην, καὶ λόγου χαρακτῆρα τὸν αὐτόν. Ὥστε φαίνονται σαφῶς ἑνὸς καὶ τοῦ αὐτοῦ γεννήματα συγγραφέως ». Καὶ Σεράριος μὲν καὶ Γρεζῆρος, οἱ Ἀριστέου φίλοι, ἠρνήσαντο τὴν ταὐτότητα. Αὐτὸς δὲ ὁ Οὐόσσιος ὡμολόγησε μὲν οὕτως ἔχον τὸ πρᾶγμα· « φαίνεται δὲ ὅμως (εἶπε) σαφῶς, ὅτι ὁ Ἀριστέας οὐκ ἠθέλησεν ἀντιγράψαι τὰς γραφὰς κατὰ λέξιν, μετέφερε δὲ πρὸς τὸ ἴδιον αὐτοῦ ὕφος τὴν ἔννοιαν μόνην τῶν πρωτοτύπων ». — « Ἀλλ᾽ αὕτη τοῦ Οὐοσσίου ἡ ἀπάντησις (ἀντεῖπον οἱ περὶ τὸν Ὅδιον) ἀρέσκει μόνους ἐκείνους, ὅσοι τρέχουσι κατόπιν πεπαλαιωμένων προλήψεων πεζοὶ καὶ ἀνυπόδητοι, δεισιδαιμονῶντες. Τοῖς δὲ τὴν ἀλήθειαν ἀπρολήπτως ἰχνηλατοῦσιν, ἡ ἀπάντησις τοῦ Οὐοσσίου φαίνεται σαφὴς καὶ ἄκρατος διέκδυσις, καὶ τρόπος ὑποφυγῆς. Πῶς ἂν ὁ Ἀριστέας, ὁ τοῦ Πτολεμαίου αὐλικὸς, ἠδύνατο μεταλλάξαι τὸ ὕφος αὐτῆς τε τοῦ βασιλέως καὶ τῶν ἄλλων τῶν πρὸς αὐτὸν ἐπιστολῶν; Μαρτυρεῖ δὲ (λέγει) καὶ φιλολογώτατος ἀνὴρ, ὁ Οὐαλέσιος (α), ὅτι ἡ τοῦ Φαληρέως εἴσδοσις, ἢ ἐπιστολὴ, *παντάπασιν ἀνάλατός ἐστι καὶ πλήρης βαρβαρισμῶν*. Ὁ δὲ Δημήτριος ὁ Φαληρεὺς ὡμολόγηται πάντως ἔξοχος τῆς ἀττικῆς εὐγλωττίας διδάσκαλος, καὶ *ῥητόρων γλαφυρώτατος* (κατὰ τὸν Κικέρωνα). Τούτου δοθέντος (σκοπείτω δὲ καὶ ὁ ἀναγνώστης καθ᾽ ἑαυτὸν), συμπεραίνε-

(α) H. Vales. not. ad Euseb. Hiss. Eccles. V. 8.

ται λοιπὸν, ὅτι τὴν ῥηθεῖσαν εἴσδοσιν οὐ μόνον οὐχ ὁ Φαληρεὺς, ἀλλ᾽ οὐδ᾽ αὐτὸς ἂν ἔγραψεν ὁ τοῦ Φιλαδέλφου μεγιστὰν Ἀριστέας, ὅστις, ἅτε δὴ τὰ πρῶτα φέρων παρὰ τῷ βασιλεῖ, ὑπῆρχεν εἰκότως καὶ τῆς τῶν Ἑλλήνων γλώσσης εἰδημονέστατος, καὶ περὶ τὸ γράφειν εὐφραδέστατος τεχνίτης » (α).

Ἀπαντῶμεν.

§. ιά. Πρῶτον· ἡ περὶ τῆς φράσεως τῶν σεσημειωμένων γραμμάτων κρίσις στηρίζεται ἐπ᾽ ἀδήλοις. Ποῦ εὕρηκαν οἱ κριτικοὶ ἄλλην ὁμολογουμένως γνησίαν καὶ ἀληθινὴν, ἢ αὐτοῦ τοῦ Φιλαδέλφου, ἢ καὶ τοῦ ἀρχιερέως Ἐλεαζάρου συγγραφὴν, ἵνα, παραβαλόντες πρὸς ταύτην τὰς παρὰ τῷ Ἀριστέᾳ φερομένας ἀμφοτέρας τούτων ἐπιστολὰς, ἐξελέγξωσιν αὐτῶν ἀναντίῤῥητον τὴν νοθείαν; ἢ μήπως πάλιν εὕρηκαν εἰς ταύτας αὐτὰς ἄλλα τινὰ πλαστογραφίας τεκμήρια, εἴτε ἐκ τῆς διανοίας, εἴτε καὶ ἀπό τινων μεταγενεστέρων λεκτικῶν ἰδιωτισμῶν, ἐξελέγχοντα τὸ πλάσμα; Οὐδὲν τοιοῦτον οὐδαμοῦ. Πᾶσαι δὲ, ὡς ἐκ τῆς φράσεως, φέρουσι τὸν τύπον τῆς ἀπὸ τῶν Ἀλεξάνδρου μάλιστα χρόνων εἰθισμένης

(α) Ὁ δὲ Φρασσήνιος (προστίθησιν ὁ Ὅδιος ὑποσημειῶν) ἀπήντησεν, ὅτι « ἡ τοῦ Δημητρίου ἐπιστολὴ, ἴσως ὕστερον ὑπὸ τῶν Ἰουδαίων πλασθεῖσα, παρενεγράφη εἰς τὴν Ἀριστέου βίβλον πρὸς πίστωσιν τοῦ ἐπισημοτάτου πράγματος· ἀλλ᾽ ἐκ τούτου οὐδόλως ἀπομειοῦται τὸ γνήσιον τῶν ἄλλων τῆς ἱστορίας μερῶν » κτλ. **Frassen. Disquisit. Bibl. L. 2. c. 3. apud Hody. p. 67.** [Ἀλλ᾽ ὁ καλὸς κἀγαθὸς Φρασσήνιος λίαν φαίνεται καταπτήξας τὴν ὀξύχολον Οὐαλεσίου κρίσιν, ἣν ἐξήνεγκε κατὰ τῆς Δημητρίου ἐπιστολῆς· διὸ καὶ ταύτην ἀποκόψας παρέῤῥιψε τοῖς δαρδάπτουσι τὸν Ἀριστέαν, ἐξωνούμενος τὴν ἀκεραιότητα τῶν ἄλλων τῆς ἱστορίας μερῶν! Ἀλλὰ ποίαν εἶχεν ἀνάγκην τῆς ἀπὸ τοιούτου πλάσματος πίστεως ἡ παρὰ πᾶσι τοῖς ἀρχαίοις ὁμαλῶς ἀποδεδεγμένη συγγραφὴ τοῦ Ἀριστέου; Ἢ πῶς ἠδύνατο παραπλασθῆναι τοιοῦτο γράμμα κατ᾽ Ἀλεξάνδρειαν, ὅπου τάχιστα καὶ ῥᾷστα ἂν ἐξηλέγχετο παρὰ τοῦ τυχόντος; Ἔπειτα, μήπως ἓν καὶ μόνον ὑπῆρχεν ἀντίγραφον τῆς Ἀριστηΐδος ἱστορίας, ἐν ᾧ πᾶσιν ἐξῆν τὰ δοκοῦντα διασκευάζειν; Τί δὲ, τέλος, ὁ Φρασσήνιος οὐκ ἀπῄτησε παρ᾽ Οὐαλεσίου καί τινα δείγματα τῶν ὧν εὕρηκεν ἐν τῇ ἐπιστολῇ βαρβαρισμῶν; Σὺ δὲ σημείωσαι, ἀναγνῶστα, ὅτι οὐδ᾽ αὐτὸς Ὅδιος ἐνόμιζε τὴν Οὐαλεσίου κρίσιν λίαν ὀχυρὰν καὶ ἀσφαλῆ! διὸ καὶ παρέλιπε τὸ πρᾶγμα εἰς τὴν κρίσιν τοῦ ἀναγνώστου· καὶ σκόπει λοιπὸν καὶ κρῖνον, ἐπειδὰν ἀκούσῃς καὶ τὴν ἀπάντησιν. — Σημ. ἡμετ.].

κοινῆς Ἑλληνικῆς, καὶ ἰδίως τῆς ἀττικιζούσης Ἀλεξανδρινῆς διαλέκτου, καθ᾽ ἣν εὑρέθησαν γεγραμμένα καὶ ἄλλα τινὰ τῶν κατὰ τὴν Αἴγυπτον εὑρεθέντων ἐν παπύροις γραμμάτων τῆς αὐλῆς τῶν Πτολεμαίων. Τὸν αὐτὸν ἔχει χαρακτῆρα καὶ ἡ τοῦ Φαληρέως ἐπιστολιμαία εἴσδοσις, ἥτις ἴσως ἐγράφη καὶ αὐτὴ οὐχ ὑπ᾽ αὐτοῦ τοῦ καθαρῶς ἀττικίζοντος σοφοῦ, ἀλλ᾽ ὑπὸ τῶν βασιλικῶν γραμματέων, κατὰ τὸ σύνηθες ὕφος τῆς αὐλῆς, ὑπαγορεύσαντος τοῦ φαληρέως μόνην τὴν ἔννοιαν· καθὸ γράμμα δηλονότι καὶ αὐτὴ δημόσιον, ἀνῆκον εἰς ὑπουργίαν βασιλικήν. Καὶ κατὰ ταῦτα λοιπὸν οὐδὲν παράδοξον, εἴ περ ὁ φραστικὸς τῶν ἐπιστολῶν χαρακτὴρ συμπίπτει, πρὸς τὴν, καὶ ταύτην *κοινὴν*, ἢ *Ἀλεξανδρινὴν*, διάλεκτον τῆς Ἀριστέου συγγραφῆς. Ἂν δὲ ταῦτα φανῶσιν ἀσθενῆ καὶ ἀναπόδεικτα, λέγομεν λοιπὸν τὸ δεύτερον, ὅπερ εἰ καὶ βραχυλόγως, ἀλλ᾽ ὅμως λίαν συνετῶς καὶ ἐπισταμένως ἀπήντησεν Οὐόσσιος· ὅτι ὁ Ἀριστέας τηρήσας ἀκριβῶς τὸ νόημα τῶν πρωτοτύπων ἐπιστολῶν, μετέβαλε τὸ ὕφος ἐν ὀλίγοις, παρατρέψας πρὸς τὸ σύνηθες ἰδίωμα τῆς ἰδίας αὐτοῦ συγγραφῆς (ὡς εἰώθασι καὶ ἄλλοι τῶν ἀρχαίων συγγραφέων ἐν τοῖς τοιούτοις ποιεῖν). Εἰ δὲ καὶ ὁ σοφὸς Ὅδιος μὴ περιεφρόνει ταύτην τὴν ἀπάντησιν, ὡς ὕθλον γραϊκὸν (ἀδεισιδαίμονος δῆθεν ἐλευθεροφροσύνης δόκησιν θηρώμενος αὐτὸς), ἰχνηλάτει δὲ τῷ ὄντι τὸν ἀληθῆ λόγον, εὐκόλως ἂν ἐπληροφορεῖτο τοῦ πράγματος τὴν ἀλήθειαν. Ὁ ἱστορικὸς Ἀριστέας ἐν τοῖς ἀντιγράφοις τῶν ἐπιστολῶν τὸ μὲν πλεῖστον διετήρησε καὶ τὰς λέξεις καὶ τὰς φράσεις τῶν πρωτοτύπων αὐτῶν· τινῶν δὲ χωρίων τὸ νόημα κρατήσας πιστῶς, ἀπέδωκε τὴν φράσιν ἐλευθερώτερον, μεταῤῥυθμίσας πρὸς τὸ σύνηθες ἰδίωμα τῆς κατ᾽ αὐτὸν συγγραφῆς. Οὕτω καὶ τὴν ἐν τῇ Α, τῶν Μακκαβαίων (κεφ. ιβ) Λακωνιστὶ πάντως γραφεῖσαν ἐπιστολὴν Ἀρέως τοῦ βασιλέως τῶν Σπαρτιατῶν, ἀναγινώσκομεν μεταβεβλημένην πρὸς τὸ κοινότερον ὕφος, καὶ ὁμοιόμορφον τῇ παρὰ τοῦ Ἰωνάθαν πρὸς τοὺς Σπαρτιάτας γραφείσῃ ἐπιστολῇ. Καὶ ταύτας πάλιν ἀμφοτέρας ὁμοιοσχήμονας πρὸς ὅλον τὸν χαρακτῆρα τῆς, ἐν ᾗ φέρονται, βίβλου τῶν Μακκαβαϊκῶν.

Ἀλλὰ τίς ποτε τῶν ὀρθὰ καὶ δίκαια φρονούντων ἐτόλμησεν ἢ τὰς ἐπιστολὰς αὐτὰς ὡς ἐκ τῆς φράσεως, ἢ καὶ δι' αὐτὰς ὁλόκληρον τὴν βίβλον νοθείας κατηγορῆσαι; Ὁ δὲ πάλιν Ἰώσηπος τὴν εἰρημένην πρὸς τοὺς Σπαρτιάτας τοῦ Ἰωνάθαν ἐπιστολὴν ἐν ἄλλαις λέξεσιν ἐξέφερε κατὰ τόπους, τὸ μὲν νόημα διατηρῶν, τὴν δὲ σύνθεσιν πρὸς τὸ γλαφυρώτερον μεθαρμόζων. Καὶ ἄλλων δὲ διαφόρων ἐπιστολὰς, καὶ ψηφίσματα πόλεων Ἑλληνικῶν, καὶ δόγματα Ῥωμαίων, παρὰ τῷ αὐτῷ ἱστορικῷ ἀναγινώσκομεν ὁμοιοτύπωτα καὶ παρεμφερῆ καὶ ὁμόχροα πρὸς τὸν Ἰωσήπειον τοῦ λόγου χαρακτῆρα (α). Καὶ αὐτὰ δὲ τὰ παρὰ τῷ Ἀριστέᾳ τῶν τριῶν (περὶ ὧν ὁ λόγος) γραμμάτων τὰ ἀντίγραφα ἐξ αὐτῆς τῆς Ἀριστέου συγγραφῆς λαβὼν ὁ Ἰώσηπος, ἐν πολλοῖς ἐξέφερε διαφέροντα, καὶ λέξιν καὶ συνθήκην πρὸς τὴν ἰδέαν τοῦ κατ' αὐτὸν λόγου μεταβαλών. Καί τοι τί λέγομεν τὸν Ἰώσηπον; Αὐτὸς ὁ ἀκριβέστατος Θουκυδίδης μνημονεύων τῆς πρὸς τὸν Ξέρξην παρὰ Παυσανίου, Λακεδαιμονίων βασιλέως, λακωνιστὶ (τίς ἀμφιβάλλει;) πρωτοτύπως γραφείσης ἐπιστολῆς, ἀττικώτερον ἐξέφερε τὸ ἀντίγραφον, μεθαρμόσας πρὸς τὴν φράσιν τὴν Θουκυδίδειον (Α. §. 128.). Ὁ δὲ πάλιν Ἡρόδοτος (ε. 59, 60, 61) ἀντιγράφων ἀρχαιοτάτας, καὶ πολὺ τῶν Τρωϊκῶν προγενεστέρας, ἐν γράμμασι Καδμείοις καὶ ἔπεσιν ἡρῴοις γεγραμμένας ἐπιγραφὰς, ἐξέφρασε κατὰ τὴν οἰκείαν Ἰωνικὴν διάλεκτον (β). Ἀλλαχοῦ δὲ

(α) Οἷον τὴν Ἀντιόχου τοῦ βασιλέως πρὸς Πτολεμαῖον, καὶ τὴν τούτου πρὸς τὸν πατέρα Ζεῦξιν ἐπιστολὴν (Ἀρχ. ΙΒ, γ, §. 3—4), καὶ πάλιν τὴν Ὀνίου πρὸς τὸν Φιλομήτορα Πτολεμαῖον, καὶ τὴν τούτου πρὸς ἐκεῖνον ἀπάντησιν (Ἀρχ. ΙΓ, γ, §. 2). πρβλ. καὶ Ἀρχ. ΙΔ. κεφ. η, §. 5 καὶ κεφ. ι, §. 2—26. καὶ κεφ. ιε, §. 3. κτλ.

(β) Ταύτας τὰς παρ' Ἡροδότῳ ἐπιγραφὰς ὁ κλεινὸς Οὔολφιος (Wolf. Proleg. Homer. ed. 1795. p. 55, 56) ὑποπτεύσας ὡς ἐκ τῆς φράσεως, κατέκρινεν ὡς πεπλασμένας, καὶ πολὺ μεταγενεστέρας ἐκείνων τῶν χρόνων, καθ' οὓς αὐτὰς ἐχρονολόγησεν ὁ Ἡρόδοτος· οὐδὲ γὰρ σῴζουσι (λέγει) τὸν χαρακτῆρα τῆς ἀρχαιοτάτης ἐκείνης τῆς πρὸ τῶν Τρωϊκῶν ἑλληνικῆς φωνῆς. Οὕτως οὐδ' ὑπενόησε παντάπασιν ὁ φιλολογώτατος ἀνὴρ, ὅτι ὁ Ἡρόδοτος ἐξέφρασε καὶ ταύτας Ἰωνικώτερον, προσαρμόζων εἰς τῆς ἰδίας αὐτοῦ διαλέκτου τὸν χαρακτῆρα. Ἀλλ' ἀντεῖπον ἄλλοι σοφοὶ πρὸς ταύτην τὴν Οὐολφίου πλάνην (βλ. Histoir. des premiers Temps de la Grèce par Clavier. T. 1. Discours prélim. p. 39. Paris 1822). Καὶ ὁ σοφὸς Βουχὴρες

πάλιν χρησμοὺς τῆς Πυθίας αὐτοῖς τοῖς μέτροις ἀποδοὺς (δ, 155, 159), ἔπειτα μετ' ὀλίγον (§. 163)· ἐξήνεγκεν ἄλλον χρησμὸν, ἀναλύσας εἰς τὸ πεζότερον. Ὁ δὲ πάλιν Ἀριστοτέλης ἄλλην ἀρχαιοτάτην, καὶ Καδμείοις γράμμασι κἀκείνην γεγραμμένην ἀναφέρων ἐπιγραφὴν, μετέγραψεν ἐν στίχοις οὐδὲν σχεδὸν διαφέρουσι τῆς κοινῆς κατ' αὐτὸν διαλέκτου (περὶ θαυμασ· ἀκουσμ. σελ. 185). Περὶ δὲ τοῦ Πορφυρίου, ὅτι καὶ αὐτῶν τῶν χρησμῶν ἔνια μετέβαλεν ἐπὶ τὸ σαφέστερον, διατηρήσας τὸν νοῦν ἀκραιφνῶς, λέγομεν καὶ ἀλλαχοῦ (κεφ. ιη, §. η) (α). Ἀλλὰ πολλοὶ γινόμεθα πλείονα παραδείγματα προστιθέντες πρὸς ἀπόδειξιν, ὅτι πολλάκις εἰώθεισαν οἱ ἀρχαῖοι τὰς ἀντιγράφους ἑτέρων ῥήσεις ἐκφράζειν ἀκραιφνῶς κατὰ τὸ νόημα, μεθαρμόζοντες ἐνιαχοῦ τὸν τύπον τῆς διαλέκτου πρὸς τὸ κοινότερον, ἢ πρὸς τὸν χαρακτῆρα τῆς ἰδίας ἕκαστος συγγραφῆς. Τοῦτο καὶ Ἀριστέας ἐποίησεν. Οὐδ' ἐκινδύνευε διὰ τοῦτο προσκροῦσαι τῷ βασιλεῖ (καθὼς Ὅδιος ἐφοβήθη), ὡς μήτε παραχαράττων τὸν γνήσιον νοῦν τῶν ἐπιστολῶν, καὶ πρᾶγμα ποιῶν σύνηθες καὶ κοινὸν παρὰ τοῖς συγγραφεῦσιν, ὅπερ οὐδ' αὐτὸν ἐλάνθανε τὸν βασιλέα. Τοῦ δὲ περικλεοῦς Οὐαλεσίου θαυμάζομεν τὴν κριτικὴν αἴσθησιν, ἥτις εὕρηκεν οὕτως ἄναλον, καὶ ἀηδῆ, καὶ βαρβαρισμοὺς ὅλους ἀποστάζουσαν τὴν Δημητρίου ἐπιστολήν! Ἀλλὰ τί οὐ κατέδειξε καὶ τούτους τοὺς βαρβαρισμούς; «Ἐνισταμένῳ γάρ μοι (κηρύττει περὶ αὐτοῦ ὁ σύγχρονος Οὐόσσιος), καὶ ἀπαιτοῦντι (τὸν

μικρά τινα τῆς πρώτης τούτων τῶν ἐπιγραφῶν πρὸς τὸν ἀρχαιότερον τύπον τῆς ἑλληνικῆς φωνῆς μεταβαλὼν, καὶ γράμμασιν ἀρχαίοις χαράξας κατὰ τὸν τρόπον τῆς παλαιογραφίας, ἀπέδειξεν ὀλίγην οὖσαν τὴν διαφορὰν πρὸς τὴν Ἡροδότειον αὐτῶν ἔκφρασιν (Bouhier apud Maffei in Galliae Antiquit. quaedam selectae. p. 168).

(α) Τοιαῦτα καὶ τὰ σωζόμενα κατὰ τὴν κοινὴν διάλεκτον ἀποσπάσματα τῶν Ζαλεύκου καὶ Χαρώνδου νόμων, Δωριστὶ πάντως τὸ πρῶτον ἐκδοθέντων. Καὶ τοῦ Πυθαγόρου ἄλλα τε καὶ τὰ συμβολικὰ ἀποφθέγματα. Καὶ Ὠκέλλου τὸ περὶ Φύσεως τοῦ παντὸς, δωριστὶ τὸ πρῶτον καὶ τοῦτο συγγραφὲν (κατὰ τοὺς, ὅσοι γνήσιον κρίνουσι τὸ βιβλίον). Οὕτω καὶ τοὺς Ἡρακλεωτικοὺς πίνακας ἐκ τῆς Δωρικῆς εἰς τὴν κοινὴν διάλεκτον μετέφερον οἱ ἐκδόται (Maittaire καὶ Mazochius) κτλ. Βλ. καὶ Demagistr. Diss. II p. 388.

Οὐαλέσιον) ἵνα καὶ τὸν λόγον τῆς κρίσεως ἀποδῷ, οὐδὲν εἶχεν ἀντειπεῖν ἕτερον, ἢ τοῦτο μόνον, ὅτι πᾶσαι αἱ παρὰ τῷ Ἀριστέᾳ ἐπιστολαὶ τοῦ αὐτοῦ δοκοῦσιν αὐτῷ συγγραφέως» (α). Καὶ λοιπὸν παρὰ τὴν Οὐαλεσίου Μοῦσαν πολὺ κριτικωτέρα, καὶ μᾶλλον ἑλληνικὴ ἀνεφάνη αὐτή τε τοῦ Οὐοσσίου, καὶ ἡ τοῦ περικλεοῦς Κασωβῶνος, ὅστις ἐπήνεσε κἀκεῖνος (ὡς προείπομεν) τὸ ἀρχαιότροπον κάλλος τῆς Ἀριστέου συγγραφῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Περὶ ἀπογράφων τοῦ νόμου τῶν Ἰουδαίων, εἴπερ οὐδόλως ὑπῆρχον ἐν Αἰγύπτῳ πρὸ τῆς ὑπὸ τῶν Ο, μεταφράσεως τῶν Γραφῶν· καὶ περί τινων ἄλλων χωρίων τοῦ Ἀριστέου, εἴπερ ἐκ τούτων καταφωρᾶται (καθὼς λέγουσιν) Ἰουδαῖος ὢν ὁ συγγραφεύς.

§. α΄. « Ὁ Ἀριστέας (λέγουσιν οἱ περὶ τὸν Ὅδιον) ἔγραψεν ἐν τῷ προοιμίῳ τοῦ βιβλίου, ὅτι Πτολεμαῖος ὁ βασιλεὺς βουλόμενος λαβεῖν ἑλληνικὴν ἑρμηνείαν τοῦ νόμου τῶν Ἰουδαίων, ἀπέστειλεν εἰς Ἱεροσόλυμα πρέσβεις πρὸς Ἐλεάζαρον ἀρχιερέα « *διὰ τὸ γεγράφθαι παρ᾽ αὐτοῖς ἐν διφθέραις ἑβραϊκοῖς γράμμασι* ». Λέγων δὲ « *παρ᾽ αὐτοῖς* » ἐνοεῖ πάντως αὐτούς, πρὸς οὓς ἔπεμπε τὴν πρεσβείαν, τοὺς *κατοίκους τῆς Ἰουδαίας*. Ἐκ δὲ τούτου φαίνεται λοιπὸν σαφῶς ὁ Ἀριστέας νομίζων, ὅτι μόνον κατὰ τὴν Ἰουδαίαν εὑρίσκοντο βιβλία τοῦ νόμου ἑβραϊκά, παρὰ δὲ τοῖς ἐν Ἀλεξανδρείᾳ καὶ κατ᾽ Αἴγυπτον οἰκοῦσιν Ἰουδαίοις οὐδόλως ὑπῆρχον τοιαῦτα βιβλία. Ὡσαύτως καὶ Ἐπιφάνιος, ἐκ τοῦ κώδηκος τοῦ παρ᾽ αὐτῷ Ἀριστέου, παρέστησε τὸν Δημήτριον λέγοντα πρὸς τὸν Πτολεμαῖον, ὅτι « παρὰ τοῖς [ἐν] Ἱεροσολύμοις καὶ τῇ Ἰουδαίᾳ ὑπάρχουσι βίβλοι θεῖκαὶ τῶν προφητῶν » κτλ. Ἀλλ᾽ ὅτι οἱ κατ᾽ Αἴγυπτον Ἰουδαῖοι ἐπὶ τῆς Φιλαδέλφου βασιλείας οὐδεμίαν εἶχον βίβλον τοῦ κατ᾽ αὐτοὺς νόμου, ἡλίκον ἐστὶ ψεῦσμα, αὐτόθεν φαίνεται λαμπρῶς, οὐδὲ

(α) Voss. Append. ad Pomp. Mel. p. 70.

χρήζει ὅλως ἐλέγχων· ἀρκεῖ δὲ μόνον ἄν τις ἐνθυμηθῇ, πόση τῶν Ἰουδαίων πληθὺς κατῴκει τότε τὴν Αἴγυπτον, ἐκ πολλοῦ τοῦ χρόνου συνηθροισμένη, καὶ ἀνθοῦσα μετ᾽ εὐθηνίας. Ἔγραψε δὲ ἄρα τοιαῦτα ὁ ἡμέτερος Ἀριστέας, διότι ἔζησε μετὰ τοὺς Φιλαδέλφου χρόνους, ὁπότε κώδηκες ἑβραϊκοὶ μόνον παρὰ τοῖς Παλαιστινοῖς εὑρίσκοντο Ἰουδαίοις, οἱ δὲ κατ᾽ Ἀλεξάνδρειαν οὐδὲν εἶχον ἑβραϊκὸν ἀπόγραφον τῆς Γραφῆς, ἅτε δὴ τῇ ἑλληνικῇ χρώμενοι μεταφράσει ἔν τε ταῖς Συναγωγαῖς καὶ κατ᾽ ἰδίαν. Ἐκ δὲ τούτου πλανηθεὶς τὴν μνήμην ὁ Ἀριστέας ὑπέλαβεν, ὅτι μηδ᾽ ἐπὶ τοῦ Φιλαδέλφου ἦσαν ἐν Αἰγύπτῳ βιβλία τοῦ νόμου ἑβραϊστὶ γεγραμμένα ». Ταῦτα πρῶτον λέγουσιν οἱ κριτικοί.

Ἀπαντῶμεν.

§. ϛ΄. Ἀλλ᾽ ἀπαντάτω πρῶτον Ἀριστέας αὐτός. Ἰδοὺ ἡ περὶ ἧς ὁ λόγος περίοδος· « Ἔχοντες ἡμεῖς *πρὸς τὸ* περιέργως (ἴσ. γρ. περιέργως *πρὸς τὸ*) τὰ θεῖα κατανοεῖν, ἑαυτοὺς ἐπεδώκαμεν εἰς [*τὴν πρὸς*] τὸν προειρημένον ἄνδρα (τὸν Ἐλεάζαρον) πρεσβείαν, καλοκἀγαθίᾳ καὶ δόξῃ προτετιμημένον ὑπό τε τῶν πολιτῶν καὶ τῶν ἄλλων, καὶ κατεκτημένον μεγίστην ὠφέλειαν ΤΟΙΣ ΣΥΝ ΕΑΥΤΩ͂ καὶ ΤΟΙΣ ΚΑΤΑ ΤΟΥΣ ΑΛΛΟΥΣ ΤΟΠΟΥΣ ΠΟΛΙΤΑΙΣ, πρὸς τὴν ἑρμηνείαν τοῦ θείου νόμου· διὰ τὸ γεγράφθαι ΠΑΡ᾽ ΑΥΤΟΙΣ ἐν διφθέραις ἑβραϊκοῖς γράμμασιν ». Ἐν τούτοις βλέπεις, ἀναγνῶστα, σαφῶς, ὅτι τὸ *Αὐτοῖς* ἀναφέρεται εἴς τε τοὺς σὺν αὐτῷ Ἐλεαζάρῳ κατοικοῦντας (ἐν Ἱεροσολύμοις), καὶ εἰς πάντας *τοὺς κατὰ τοὺς ἄλλους τόπους πολίτας* αὐτοῦ καὶ ὁμογενεῖς (α)· *εἰς πάντας δηλονότι τοὺς Ἰουδαίους*. Παρ᾽ *αὐτοῖς* λοιπὸν *τοῖς Ἰουδαίοις* ἀναφορικῶς (ὡς μὴ Ἰουδαῖος αὐτὸς) εἶπεν ὁ Ἀριστέας, ὅτι ἐγέγραπτο ὁ νόμος *ἑβραϊκοῖς γράμμασι*· διὸ καὶ ὁ βασιλεὺς ἐζήτησε τούτου τὴν ἑλληνικὴν ἑρμηνείαν. Οἱ δὲ περὶ τὸν Ὅδιον ἀποκόψαντες ἐκ τῆς ὅλης φράσεως μόνον τὸ « *διὰ τὸ γεγράφθαι παρ᾽ αὐτοῖς* » κτλ. ἐφήρμοσαν εἰς μόνους τοὺς Ἱεροσολυμίτας, καὶ παρέστησαν

(α) Ὅτι τὸ π ο λ ί τ α ς ἐνταῦθα σημαίνει καθολικώτερον τὸ ὁ μ ο γ ε ν ε ῖ ς, ἀρκεῖ πρὸς ἀπόδειξιν ἄλλη πάλιν αὐτοῦ τοῦ Ἀριστέου χρῆσις, ἣν βλέπε ἐφεξῆς §. δ.

τὸν Ἀριστέαν νομίζοντα τοὺς ἐν Αἰγύπτῳ στερουμένους ἑβραϊκῶν βιβλίων τοῦ κατ᾽ αὐτοὺς νόμου, κατὰ τοὺς χρόνους τοῦ Φιλαδέλφου! Πότερον ἆρά γε, σεσυρμένως καὶ ἐπιπολαίως, ἐκ πολλῆς ὑπεροψίας, ἀναγινώσκοντες παρενόουν οἱ ἄνδρες τὸν Ἀριστέαν; ἢ μήπως κατασχεθέντες εἰσάπαξ ὑπὸ τῆς ἐπινοίας, ὅτι δῆθεν ὁ Ἀριστέας οὗτος ὑπῆρχεν Ἰουδαῖος πλαστογράφος καὶ ψευδώνυμος, οὐδὲν λοιπὸν ἔβλεπον εἰ μὴ φάσμα Ἰουδαῖον εἰς ὅλας αὐτοῦ τὰς φράσεις ἐπικαθήμενον; τοῦτο φαίνεται πιθανώτερον· διὰ τοῦτο καὶ μηδὲ τῆς « *παρ᾽ αὐτοῖς* » ἀντωνυμίας τὴν γνησίαν διέκριναν ἀναφορὰν, ὑφ᾽ ἧς ὁ Ἀριστέας ἀποδείκνυται σαφῶς *ἄλλος τις* τὸ ἔθνος καὶ τὴν γλῶσσαν, διάφορος *αὐτῶν* (παρ᾽ οἷς ὑπῆρχεν ὁ νόμος ἑβραϊστὶ γεγραμμένος), δηλονότι τῶν Ἰουδαίων. Ἄλλο. Ἐν τῇ εἰσδόσει τοῦ Δημητρίου πολλάκις πάντως ἀνέγνωσαν οἱ κριτικοὶ τὴν αἰτίαν, δι᾽ ἣν ὁ Φιλάδελφος ᾐτήσατο τὰ βιβλία τῶν Γραφῶν παρὰ τοῦ ἀρχιερέως ἐξ Ἱεροσολύμων. Λέγει δὲ ταῦτα ἐπὶ λέξεως ὁ Δημήτριος· « Τὰ τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει· *τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα· ἀμελέστερον δὲ, καὶ οὐχ ὡς ὑπάρχει, σεσήμανται· καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται.* — Ἐὰν (ἴσ. Εἰ) οὖν φανεῖται, βασιλεῦ, γραφήσεται πρὸς τὸν ἐν Ἱεροσολύμοις ἀρχιερέα » κτλ. Ἐκ τούτων φαίνεται φανώτερον φωτὸς, ὅτι καὶ κώδηκας ἑβραϊκοὺς ἐν Αἰγύπτῳ κατ᾽ ἐκεῖνον τὸν καιρὸν εὑρισκομένους ἐγνώριζεν ὁ Ἀριστέας, καὶ τούτους ὄντας *ἀμελέστερον*, καὶ οὐχ ὡς ἔδει (δηλονότι κατὰ τὴν γνησίαν ἀκρίβειαν) ὑπὸ τῶν ἀντιγραφέων κεχαραγμένους, ὡς ἔλεγον *οἱ εἰδότες* (ἄνδρες Ἰουδαῖοι δηλαδή)· διὰ τοῦτο καὶ πρὸς τὸν ἄκρον ἀρχιερέα τῶν Ἰουδαίων ἀπεστάλησαν παρὰ τοῦ βασιλέως πρέσβεις, ζητοῦντες ἀκριβέστατα ἀντίγραφα, καὶ ἐμπείρους ἑρμηνεῖς. Τοῦτο διαῤῥήδην ἱστόρησεν Ἀριστέας· ἀλλ᾽ οὐδ᾽ ἐκ τούτων οὐδὲν ὠφελήθησαν οἱ περὶ τὸν Ὅδιον. Παρεξηγοῦντες δὲ βιαίως τοὺς λόγους τοῦ ἱστορικοῦ, παρεξωλίσθησαν εἰς γελοῖον συμπέρασμα. Πῶς γὰρ ὁ (κατ᾽ αὐτοὺς) μετὰ τοὺς Φιλαδέλφου χρόνους γενόμενος πλαστογράφος οὗτος, ὁ τριπάνουργος Ἰουδαῖος, ὑπῆρχεν ἐν ταὐτῷ καὶ τοσοῦτον

ἠλίθιος καὶ παχύδερμος, ὥστε μήτ᾽ αὐτὸς ᾐσθάνετο, μήτε παρά τινος τῶν ἰδίων ἤκουσε συγγενῶν, τίνι διαλέκτῳ ἀνεγίνωσκον ἐν ταῖς κατ᾽ Αἴγυπτον Συναγωγαῖς οἱ πατέρες αὐτοῦ τὰς θείας Γραφὰς, πρὶν ἐξελληνισθῶσιν;

§. γ΄. « Ἀλλὰ καὶ ἄλλας τινὰς μωρίας (λέγουσιν οἱ περὶ τὸν Ὅδιον) ἔγραψεν Ἀριστέας, ἐξ ὧν καταφωρᾶται Ἰουδαῖος ὢν ὁ συγγραφεὺς οὗτος. Μέλλων ὁ ἀρχιερεὺς Ἐλεάζαρος ἀποστέλλειν πρὸς τὸν βασιλέα τοὺς Ο, πρεσβυτέρους συνάμα μετὰ τῶν πρεσβευτῶν, « δι᾽ ὅρκων (τοὺς πρέσβεις) ἐπιστοῦτο, μὴ προΐεσθαι τοὺς ἀνθρώπους, εἴ τις ἑτέρα χρεία πρὸς τὰ κατ᾽ ἰδίαν αὐτῷ (ἴσ. γρ. *αὐτὸν*) κατεπείγοι ». — Οὕτω (λέγουσιν) ἀχάριστον καὶ αὐθάδη νομίζεις τὸν μέγαν ἐκεῖνον ἀρχιερέα, τὸν ἄνδρα τὸν σοφὸν καὶ ἀστυκὸν, οὕτω δ᾽ ἀπαίδευτον καὶ ἀπολίτευτον καὶ ἀγροῖκον, ὥστε λέγειν κατὰ πρόσωπον πρὸς τοὺς πρεσβευτὰς, ὅτι οὐκ ἂν ὑπηρέτησε τῷ βασιλεῖ διὰ τῆς τῶν πρεσβυτέρων ἀποστολῆς, *εἴ τινα χρείαν εἶχεν ἰδίαν αὐτὸς ὁ βασιλεύς*; (α) Ποῖος βασιλεύς; αὐτὸς ἐκεῖνος ὅστις πρὸ μικροῦ τοσούτων εὐεργεσιῶν ὑπόχρεων ἀνέδειξεν ἅπαν τὸ ἰουδαϊκὸν ἔθνος· ὅστις ἠλευθέρωσεν ὑπὲρ τὰς ἑκατὸν χιλιάδας αὐτῶν αἰχμαλώτους, αὐτὸς πληρώσας τὰ λύτρα· ὅστις, τέλος, καὶ δῶρα καὶ ἀναθήματα ἀνεκτίμητα ἔπεμψεν εἰς τὸν ἐν Ἱεροσολύμοις ναόν. Ἔπειτα κἀκεῖνο πῶς οὐ λίαν ἄκοσμον καὶ ἀσεβές; ὁ μέγας ἀρχιερεὺς, ἄνθρωπος ἁγιώτατος καὶ σεμνότατος, οὕτω ψυχρῶς καὶ ἐπὶ ματαίῳ χωρίς τινος αἰτίας ὁρκομωτεῖ! Τίς οὐκ αἰσθάνεται ταῦτα σφόδρα μὲν ἀτόπως καὶ μωρῶς, ἀλλ᾽ ὅμως ἐξεπίτηδες πεπλασμένα, ὅπως δι᾽ αὐτῶν εὐδοξία καὶ τιμὴ περιποιηθῇ τοῖς Ο, πρεσβυτέροις; ἵνα πάντες δηλαδὴ πιστεύσωσιν, ὅτι τοιούτους ἄλλους ἄνδρας παρομοίους εἰς μάτην ζητήσεις καθ᾽ ὅλην τὴν Ἰουδαίαν!»

Ἀπαντῶμεν.

§. δ΄. « Μάθε πρῶτον τὰ ἑλληνικὰ (ἔλεγεν ὁ Γάλλος Λαχάρπης πρός τινα τῶν αὐτοῦ συμπολιτῶν, παρεξηγοῦντα καὶ ψέγοντα τὸν

(α) Minime se per illos viros inserviturum Regi, « si quid sui fuisset sibi negotii ». Hody pag. 68.

ἡμέτερον Σοφοκλῆν) (α), μάθε τὰ ἑλληνικὰ, καὶ τότε κρῖνε τοὺς Ἕλληνας συγγραφεῖς ». Τοῦτ᾽ ἂν εἶπεν ἐκεῖνος καὶ πρὸς αὐτοὺς, ἴσως (εἰ καὶ προπετέστερον εἰπεῖν) τοὺς περὶ τὸν σοφώτατον Ὅδιον, οἵτινες κατακρίνουσι τὸν Ἀριστέα πολλάκις, διότι οὐκ ἐξακριβοῦσι τὸ νόημα τῶν, ὧν παρασπῶσιν ἐξ αὐτοῦ καὶ περικόπτουσι, ῥητῶν. Οὐδὲ ἓν ὁ Ἀριστέας ἔγραψε ῥῆμα παριστῶν τὸν ἀρχιερέα τοιοῦτον, ὁποῖον οἱ ἄνδρες αὐτὸν κατετοιχογράφησαν. Τί δὲ εἶπεν ὁ ἀρχιερεὺς πρὸς τοὺς πρέσβεις, εἰπάτω πάλιν ὁ Ἀριστέας αὐτός. Ἀφ᾽ οὗ διέγραψεν ὁ ἱστορικὸς τοὺς Ο, πρεσβυτέρους « ὡς ἄνδρας ἀρίστους, καὶ παιδείᾳ διαφέροντας, καὶ γονέων τετευχότας ἐνδόξων, καὶ *πρὸς τὰς πρεσβείας εὐθέτους* » (διὰ πολιτικὴν σύνεσιν), ἔτι δὲ « καὶ λίαν ἀγαπῶντας τὸν Ἐλεάζαρον, καὶ δυσαποσπάστως ἔχοντας πρὸς ἐκεῖνον, ὡς κἀκεῖνος πρὸς αὐτοὺς », ταῦτα διαγράψας ἀφελῶς καὶ εἰλικρινῶς ὁ Ἀριστέας, διηγεῖται παρευθὺς καὶ ὅπως ὁ ἀρχιερεὺς συνίστα τοὺς ἄνδρας πρὸς τοὺς πρεσβευτὰς τοῦ βασιλέως, πολλὰ καὶ περὶ τῆς τούτων ἐπανόδου παρακαλῶν. Τῶν δὲ πρέσβεων ἑτοίμως ὑποσχομένων, καὶ τὸν ἀρχιερέα παραινούντων περὶ τούτων ἀφροντιστεῖν, « Καὶ λίαν διαγωνιᾷν (ἔφη ὁ ἀρχιερεύς). Οἶδα γὰρ ὅτι φιλάγαθος ὢν ὁ βασιλεὺς, πάντων μέγιστον ἡγεῖται τὸ μεταπέμπεσθαι τοὺς ἀγωγῇ καὶ φρονήσει διαφέροντας. Μετείληφα γὰρ καλῶς αὐτὸν λέγειν, ὅτι περὶ ἑαυτὸν ἔχων ἄνδρας δικαίους καὶ σώφρονας, τὴν μεγίστην ἂν φυλακὴν τῆς βασιλείας ἕξειν, συμβουλευόντων παῤῥησίᾳ πρὸς τὸ συμφέρον τῶν φίλων. Ὃ δὴ » (τὸ *δικαίους καὶ σώφρονας ὄντας παῤῥησίᾳ συμβουλεύειν*) « σύνεστι τοῖς ἀποστελλομένοις (πρεσβυτέροις). ΚΑΙ δι᾽ ὅρκων ἐπιστοῦτο *μὴ προΐεσθαι τοὺς ἀνθρώπους, εἴ τις ἑτέρα χρεία πρὸς τὰ κατ᾽ ἰδίαν αὐτὸν κατεπείγοι*. ΠΡΟΣ ΔΕ ΤΗΝ ΚΟΙΝΗΝ ΠΑΣΙ ΤΟΙΣ ΠΟΛΙΤΑΙΣ ΕΠΑΝΟΡΘΩΣΙΝ ΕΞΑΠΟΣΤΕΛΛΕΙΝ ΑΥΤΟΥΣ » κτλ. Οὔτε σαφέστερον, οὔτε πρὸς τὸν χαρακτῆρα τοῦ τε συνιστῶντος ἀρχιερέως καὶ τῶν συνισταμένων πρεσβυτέρων πρεπωδέστερον ἠδύ-

(α) Βλ. Laharpe Cours de Literatture. T. I. p. 395.

νατο ἐξηγηθῆναι ἡ πρὸς τοὺς πρέσβεις σύστασις αὐτῶν. Ὁ ἀρχιερεὺς ἅμα καὶ ἐθνάρχης τῶν Ἰουδαίων ἐπαινέσας τὸ φιλάγαθον ἦθος τοῦ βασιλέως, μαρτυρήσας δὲ καὶ τὴν ἀρετὴν τῶν ἀποστελλομένων πρεσβυτέρων, ὑποσυνάπτει καὶ τὸ μέγεθος τοῦ πρὸς ὅπερ ἀπεστέλλοντο ἱεροῦ τῆς ἑρμηνείας ἔργου. Καὶ δι᾽ ὅρκων (εὐορκῶν κατὰ τοὺς νόμους) ἐπιστοῦτο τοὺς πρέσβεις, ὅτι, ἂν μὲν αὐτὸν *ἄλλη τις ἀνάγκη κατεπείγῃ πρὸς ἰδίας ἑαυτοῦ χρειώδης ὑπουργίας, οὐδέποτε τοὺς ἄνδρας τούτους προΐεται, μακρὰν που ἐξαποστέλλων, πρὸς δὲ τὴν κοινὴν ὠφέλειαν, καὶ ἠθικὴν ἐπανόρθωσιν καὶ οἰκοδομὴν ὅλων αὐτοῦ τῶν ὁμογενῶν καὶ συμπολιτῶν* (ἤτοι τῶν κατὰ τόπους συμπατριωτῶν καὶ ὁμοθρήσκων τῆς Ἰουδαϊκῆς πολιτείας μελῶν) *ἐξαποστέλλει τοὺς ἄνδρας* (ἑρμηνεύσοντας τὸν θεῖον νόμον παρὰ τῷ βασιλεῖ). Ταῦτα λέγει ὁ Ἐλεάζαρος, ὡς βλέπει πᾶς τις τῶν ἀναγνωστῶν, ὅσοι μὴ ὀφθαλμιῶσιν ὑπὸ κακοχύμου κατ᾽ Ἀριστέου φλεγμονῆς. Κατὰ ταύτην τὴν ἔννοιαν ἡρμήνευσε καὶ ὁ παλαιὸς Λατῖνος τὴν Ἀριστέου περικοπήν (α). Οἱ δὲ περὶ τὸν Ὅδιον οὔτε τοῦ πρωτοτύπου τὴν ἔννοιαν ἐξηκρίβωσαν, καὶ τὸν ὀρθῶς ἐκλατινίσαντα παρεῖδον.

§. ε΄. Καὶ ἄλλοι δὲ τὴν μὲν σοφίαν Ὀδίου κατώτεροι, τὸ δὲ κατ᾽ Ἀριστέου μῖσος οὐχ ἧττον οἰδαίνοντες καὶ σφριγῶντες, εὕρηκαν παρ᾽ αὐτῷ *λεπτολογίας* τινὰς *καὶ μικροφιλοτιμίας*, δι᾽ ὧν πράγματα μικροπρεπῆ καὶ φαῦλα λίαν ἐξαίρονται, ὡς μεγάλα. Τοιαύτας ὁ Χαμιῆρος (συναινοῦντος καὶ τοῦ Ὀδίου) (β), καὶ ὁ Σιμώνιος (γ) ἔκριναν τὰς πρὸς τὸν Φιλάδελφον ἐξ ἑτοίμου γενομένας ἀποκρίσεις ἑκάστου τῶν Ο, πρεσβυτέρων. « Θαυμαστὸν (λέγουσιν), ὅπως καὶ μεθ᾽ ὅσων ἐπευφημήσεων ἐπιδοκιμάζονται, ὡσανεὶ μηδέ ποτε ἠκούσθη ἄλλο τι τοιοῦτο ἴσον, ἢ παρόμοιον! προστίθησι δὲ (λέγουσιν) ὁ Ἀριστέας, ὅτι

(α) « Praeterea jurejurando affirmabat, istos viros non dimissurum, si quid aliud suum negotium instaret. nunc vero dimittere illos ad emendationen rei communiter omnibus civibus utilis». Atist. apud Hody pag. XV.

(β) Dan. Chamierus Panstrat. Cathol. XIII. 4. — (γ) Simon. Hist. Crit. II. 2.

καὶ πᾶσι τοῖς παραληψομένοις τὴν ἀναγραφὴν ἄπιστον (τὸ χρῆμα *τῶν ἐξ ἑτοίμου ἀποκρίσεων*) φανεῖται (α). Τὰ δὲ τοιαῦτα (λέγουσι) πολλὴν κατηγοροῦσι μικρόνοιαν τοῦ συγγραφέως, καὶ πτόησιν φρενῶν ἀπρεπῆ καὶ ἀνάρμοστον εἰς τὸν γνήσιον Ἀριστέαν, ὅστις (εἴ τις ἦν) εἰκότως ἂν ὑπῆρχε μεγαλόφρων τις ἀνὴρ, ὡς πράγμασιν ἐντεθραμμένος μεγάλοις, καὶ τηλικούτου βασιλέως συνήθης ὤν».

Ἀπαντῶμεν.

§. ς΄. Ἀλλ᾽ αἱ μὲν ἀποκρίσεις, ὦ βέλτιστοι Χαμιῆροι, καλαί τε εἰσὶ καὶ ἐπαινεταὶ, καὶ περὶ μεγάλων πολιτικῶν φροντισμάτων συνετῶς καὶ ὑπέρευ ἐξηγγελμέναι· διὸ καὶ δικαίως αὐτὰς ὁ βασιλεὺς ἀπεδέχετο συναινῶν· ἐπευφημήσει δὲ καὶ πᾶς τις ὁ ταύτας ἐπισταμένως ἀναγινώσκων. Δικαίως δὲ καὶ ὁ Ἀριστέας θαυμάζει τὰ θαυμαστὰ καὶ τίμια, ὡς ἀληθινὸς καὶ βέβαιος τοῦ καλοῦ ἐραστής (β)· τὸ δ᾽ αὐτὸ καὶ Φίλων ἐποίησε (γ), καὶ Ἰώσηπος (Ἀρχ. ΙΒ. β, 11), καὶ πάντες οἱ φιλάγαθοι καὶ παντὸς οἰήματος ὑπούλου περιφιλαυτίας ἐλεύθεροι τῶν πραγμάτων ἐκλογισταὶ, οἵτινες « *οὐ τὸ μηδὲν θαυμάζειν* », ἀλλὰ τὸ τὰ *μεγάλα θαυμάζειν* ἀξίως τίθενται δεῖγμα φιλοσοφίας καὶ μεγαλοφροσύνης. « *Κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται* ».

(α) Τοῦτο τὸ ἄπιστον φανεῖται ὁ λογιώτατος Σιμώνιος εὖ καὶ ἐπισταμένως συντάξας πρὸς τὸ ἀναγραφὴν, ἐλοιδόρησε τὸν Ἀριστέαν καὶ διὰ τοῦτο, ὡς λίαν δῆθεν ἀπειρόκαλον, καὶ φορτικὸν, καὶ κορύζης ἀνάπλεων περιαυτολόγον, οὕτως ἐκθειάζοντα τὴν ἰδίαν ἑαυτοῦ ἱστορίαν! Ἀλλ᾽ ὁ κλεινὸς Ὅδιος (pag. 68) δικαιότερος κατὰ τοῦτο φανεὶς, ἤλεγξε φιλικῶς τὸν Σιμώνιον, ὡς μὴ κατανοήσαντα τὴν φράσιν τοῦ Ἀριστέου. — Σημ. ἡμετ.

(β) « Τοῖς γὰρ ἀληθινῶς καὶ βεβαίως ἀγαθοῖς τιμή τε καλλίστη, τὸ τιμῆσαί τινα τῶν ἀξίων· καὶ κόσμος εὐπρεπέστατος, τὸ [ἕτερον] ἐπικοσμῆσαι περιουσίᾳ δόξης καὶ ἀφθονίᾳ γινόμενον· οἱ δὲ γλίσχροι περὶ τοὺς ἑτέρων ἐπαίνους ἔτι πένεσθαι καὶ πεινῆν ἐοίκασι τῶν ἰδίων ». Πλούταρχ. π. τοῦ ἀκούειν. σελ. 160, Τ. ς. R.

(γ) « Ὡς δ᾽ ἧκον (οἱ Ο) ἐπὶ ξενίαν κληθέντες, λόγοις ἀστείοις καὶ σπουδαίοις τὸν ἑστιάτορα εὐώχουν ἀνθεστιῶντες· ὁ μὲν γὰρ ἀπεπειρᾶτο τῆς ἑκάστου σοφίας, καινὰς, ἀλλ᾽ οὐ τὰς ἐν ἔθει ζητήσεις προτείνων· οἱ δὲ εὐστόχως καὶ εὐθυβόλως, οὐκ ἐπιτρέποντος μακρηγορεῖν τοῦ καιροῦ, καθάπερ ἀποφθεγγόμενοι τὰ προτιθέντα διελύοντο ». Φίλ. Βίῳ Μωσ. Β. σελ. 139. τόμ. Β. Mang.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Περὶ τῶν διαταγῇ τοῦ Δημητρίου δημοσίως ὑπὸ τῶν Ἰουδαίων ἐκφωνηθεισῶν ἀρῶν εἰς ἀμετάβλητον συντήρησιν τῶν ἡρμηνευμένων Γραφῶν.

§. α. « Πολλὰ μὲν (λέγουσιν οἱ περὶ τὸν Ὅδιον) ἔγραψεν ὁ ψευδώνυμος Ἀριστέας μωρῶς, πολλὰ δὲ καὶ *ἀνιστορικῶς!* (α), ὁποῖα οὐδέποτ᾽ ἂν ἔγραψεν ἄνθρωπος ἐν τοῖς ἀνακτόροις τοῦ Φιλαδέλφου διασημότατος. Ὑπάρχουσι δὲ καὶ πλεῖστα συγγραφέως ἀπόζοντα Ἰουδαίου, ἐν οἷς καὶ τὸ ἐφεξῆς. Διηγεῖται, ὅτι, « τελειωθεῖσαν τὴν ἑρμηνείαν, συναγαγὼν τὸ πλῆθος τῶν Ἰουδαίων ὁ Δημήτριος, παρανέγνω πᾶσι, παρόντων καὶ τῶν διερμηνευσάντων· οἵτινες καὶ μεγάλης ἀποδοχῆς παρὰ τοῦ πλήθους ἔτυχον, ὡς ἂν μεγάλων ἀγαθῶν παραίτιοι γεγονότες. Ὡσαύτως δὲ καὶ τὸν Δημήτριον ἀποδεξάμενοι, παρεκάλεσαν δοῦναι τοῖς ἡγουμένοις αὐτῶν μεταγράψαντα τὸν πάντα νόμον. Καθὼς δὲ ἀνεγνώσθη τὰ τεύχη, στάντες οἱ ἱερεῖς, καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι καὶ τῶν ἀπὸ τοῦ πολιτεύματος, οἵτε ἡγούμενοι τοῦ πλήθους, εἶπον· ἐπεὶ καλῶς καὶ ὁσίως διηρμήνευται καὶ κατὰ πᾶν ἠκριβωμένως, καλῶς ἔχον ἐστὶν ἵνα διαμένῃ ταῦτα οὕτως ἔχοντα, καὶ μὴ γένηται μηδεμία διασκευή. Πάντων δὲ ἐπιφωνησάντων τοῖς εἰρημένοις, *ἐκέλευσεν* (ὁ Δημήτριος) *διαράσασθαι ΚΑΘΩΣ ΕΘΟΣ ΑΥΤΟΙΣ ΕΣΤΙΝ, εἴ τις διασκευάσει προστιθεὶς, ἢ μεταφέρων τι τὸ σύνολον τῶν γεγραμμένων, ἢ ποιούμενος ἀφαίρεσιν* » κτλ. (β). Ἐκ τούτου (λέγουσιν οἱ κριτικοὶ)

(α) Οὕτω κατὰ λέξιν ἑλληνικὴν ἐξέφρασεν Ὅδιος τὸ ἀνιστορήτως, ἤτοι ἀμαθῶς τῆς ἱστορίας ἔχειν (διότι τοῦτο πάντως ἐννοεῖ)· εἰ δὲ καὶ ἀγραμμάτικος, καὶ ἀνελλήνικός ἐστιν ἡ λέξις ἡ ἀνιστόρικος (ἢ ἀνιστορικὸς), καὶ παντάπασιν ἀπρεπὴς εἰς ἄτεγκτον καὶ δριμὺν ἑλληνικῶν συγγραμμάτων δικαστὴν, ἀλλ᾽ ὅμως ἐφεῖνται τὰ τοιαῦτα ἐνίοτε τοῖς ξένοις ἑλληνισταῖς. Εἶπε δὲ καὶ ὁ Λαέρτιος ἀφύσικος (Ζ.)· λέγει δὲ τοῦτο καὶ ἡ συνήθεια· ἀλλ᾽ οὐδέποτε καὶ ἐπίῤῥημα ἀφυσικῶς!

(β) Παρ᾽ Ἰωσήπῳ μετὰ τὸ « πάντων ἐπιφωνησάντων » (ἢ κατὰ τὸν Ἰώσηπον· « ἐπαινεσάντων τὴν γνώμην ») ἀντὶ τοῦ « ἐκέλευσε δια-

τοῦ, *καθὼς ἔθος αὐτοῖς ἐστι*, φαίνεται νομίζων ὁ Ἀριστέας, ὅτι τοιαῦται κατάραι ὑπῆρχον συνήθεις *παρ' αὐτοῖς* τοῖς Ἰουδαίοις ΜΟΝΟΝ (*solum* Judaeis), καὶ μήτε παρ' Ἕλλησι, μήτε παρ' Αἰγυπτίοις. Ἀλλ' ὁ ταῦτα γράφων φαίνεται τὸ γένος Ἰουδαῖος, ὅστις ἠπίστατο μὲν τὸ ἔθος παρ' Ἰουδαίοις νενομισμένον, ἠγνόει δὲ τοῦτο καὶ παρ' Ἕλλησι κρατοῦν ».

Ἀπαντῶμεν.

Τοιοῦτόν ἐστι « *τὸ τέχνῃ σοφίζεσθαι!* Μίαν μόνον λέξιν ἀφελὼν, ἢ προσθεὶς, ἀναιρεῖς, ἢ κατασκευάζεις ὅ,τι ἂν θέλῃς· μεταβάλλεις τὰ πάντα, « *οὔνομα καὶ γενεὴν καὶ φύσιν ἠδὲ τέχνην* ». Οἷον ἤδη κατώρθωσε καὶ ὁ κριτικός· ὅστις ἀπέδειξεν ἡμῖν γνήσιον Ἰουδαῖον τὸν Ἀριστέαν, μίαν μόνην φωνὴν πρὸς τῇ ΑΥΤΟΙΣ ἀντωνυμίᾳ προσαρτήσας, τὸ ΜΟΝΟΝ. Ἀλλὰ τοῦτο τὸ λεξείδιον, Ἀριστέας οὐκ ἔγραψεν. Ὅ,τι δὲ καὶ ἔγραψε σαφές ἐστι καὶ ἀληθινόν. Τὸ « *καθὼς ἔθος αὐτοῖς ἐστι* », σημαίνει τὸ *καθ' ὃν τρόπον καὶ τύπον* εἰώθασιν ἰδίως αὐτοὶ (οἱ Ἰουδαῖοι) καταρᾶσθαι, μηδόλως ἀποκλεῖον ἀπὸ τῶν ἄλλων ἐθνῶν αὐτὴν τὴν πρᾶξιν τοῦ καταρᾶσθαι κατ' ἄλλον πάλιν τρόπον καὶ τύπον, καθ' ὃν κᾀκείνων ἕκαστον εἴωθε· *καθὼς ἔθος κᾀκείνοις ἐστί·* (« τὸ γὰρ ἄλλους ἄλλως τι

ράσασθαι » γέγραπται τὰ ἐφεξῆς· « Ἐκέλευσαν, εἴ τις ἢ περισσόν τι προσγεγραμμένον ὁρᾷ τῷ νόμῳ, ἢ λεῖπον, πάλιν ἐπισκοποῦντα τοῦτο, καὶ ποιοῦντα φανερὸν διορθοῦν· σωφρόνως τοῦτο πράττοντες, ἵνα τὸ κριθὲν ἅπαξ ἔχειν καλῶς, εἰσαεὶ διαμένῃ » (Ἀρχ. ΙΒ, β. 12). Ταῦτα τὰ Εἴ τις κτλ. προφανῶς ἀντιλέγουσιν οὐ μόνον πρὸς τὸ κείμενον τοῦ Ἀριστέου, ἀλλὰ καὶ πρὸς τὴν ὅλην σύμφρασιν αὐτοῦ τοῦ παρ' Ἰωσήπῳ χωρίου. Εἰ γὰρ « ἠξίωσαν πάντες, ἐπεὶ καλῶς τὰ τῆς ἑρμηνείας ἀπήρτισται, καὶ διαμεῖναι ταῦθ' ὡς ἔχει, καὶ μὴ μετακινεῖν αὐτὰ », πῶς πάλιν μετὰ τοῦτο παρεκάλεσαν, εἴ τις εἰ περισσόν τι προσγεγραμμένον ὁρᾷ, πάλιν ἐπισκοπεῖν τοῦτο καὶ διορθοῦν; Εἰ δὲ καὶ παντί τινι ἐξέσται « πάλιν διορθοῦν », πῶς « τὸ κριθὲν ἅπαξ ἔχειν καλῶς, εἰσαεὶ διαμενεῖ; Ἐκ τούτων τῶν ἀντιφάσεων φαίνεται προφανῶς τοῦτο τὸ μέρος τοῦ παρ' Ἰωσήπῳ χωρίου τεταραγμένον ὑπὸ τῶν ἀντιγραφέων, παραλιπόντων μέν τινα τοῦ κειμένου, παρεγγραψάντων δὲ καί τινα σημείωσιν ἐκ τοῦ περισελίδου.

ποιεῖν, οὐκ αὐτὸ τὸ τὶ *ποιεῖν* ἀναιρεῖ!»). Οὕτω καὶ τὸ «*καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν*» (Ἰωάν. ιθ, 40) δηλοῖ τὸ παρὰ τοῖς Ἰουδαίοις ἰδίως εἰθισμένον εἶδος τῆς ταφῆς· ἀλλὰ τίς ἐκ τούτου νουνεχὴς ὑποτίθησι τὸν θεῖον Εὐαγγελιστὴν φρονοῦντα, ὅτι ΜΟΝΟΝ οἱ Ἰουδαῖοι, τ᾽ ἄλλα δὲ τῆς οἰκουμένης ἔθνη *κατ᾽ οὐδένα τρόπον οὐδόλως ἐνταφιάζουσιν*; Κἀκεῖνο δ᾽ ἄν τις ἄσμενος ἐρωτήσαι τοὺς περὶ τὸν Ὅδιον σοφούς. Εἴπερ ὁ κατ᾽ αὐτοὺς Ἰουδαῖος οὗτος, ὁ (πάλιν κατ᾽ αὐτοὺς) Ἀλεξανδρινός, οὐκ ἠπίστατο τὸ ἔθος καὶ παρ᾽ Ἕλλησι καὶ παρ᾽ Αἰγυπτίοις νενομισμένον, ποίαν λοιπὸν χώραν κατῴκει, καὶ ποῦ τῆς οἰκουμένης ἐρημάζων ἐπλαστογράφει; ἢ μήπως ἐπ᾽ αὐτοῦ οὐκ ἦσαν οὔτ᾽ Αἰγύπτιοι, οὔτε Ἕλληνες οὔτε κατὰ τὴν Ἀλεξάνδρειαν οὔτε κατὰ τὴν Συρίαν, μεθ᾽ ὧν συμπολιτευόμενος, ἐμάνθανεν ἂν τοὺς τοιούτους δημοσίους αὐτῶν ἐθισμούς;

§. ϛ΄. «Οἱ δέ τινες (λέγουσι) πάλιν (ἐπειδὴ καὶ Δημήτριος, ὁ τοῖς Ἰουδαίοις κελεύσας ἐπαράσασθαι, καθὼς ἔθος *αὐτοῖς* ἐστιν, φαίνεται αὐτὸς Ἕλλην), ἐξέλαβον τὸ *αὐτοῖς*, ὡς ἀναφερόμενον οὐχὶ εἰς τοὺς Ἰουδαίους, *ἀλλ᾽ εἰς αὐτοὺς τοὺς Ἕλληνας*»! (παπαί! τοῦτο δὴ παντάπασιν, ὦ ἄνδρες, ἄτοπον εἶπον οἱ εἰπόντες καὶ σόλοικον καὶ παράλογον, καὶ μηδὲ γοῦν ἀνανεύσεως ἄξιον!). — « Ἀλλ᾽ ὅπως ἂν ἔχῃ (λέγουσι) τὸ πρᾶγμα, βεβαιοῦται πανταχόθεν Ἰουδαῖός τις ὢν ὁ πατὴρ τοῦ βιβλιαρίου. Ὅτι γὰρ τὸ περὶ τῆς ἀρᾶς παρὰ τοῦ Δημητρίου πρὸς τοὺς Ἰουδαίους τοῦτο κέλευσμα μυθῶδές ἐστι πλάσμα, ῥᾷστα πᾶς τις πείθεται, ὅταν ἀναλογισθῇ, πόσον εὐαγὲς ἅμα καὶ σκυθρωπὸν καὶ φρικῶδες ἐνομίζετο καὶ παρ᾽ Ἕλλησι, καὶ παρ᾽ Αἰγυπτίοις, καὶ παρ᾽ αὐτοῖς Ἰουδαίοις τὸ καταρᾶσθαι δημοσίως. Ὅθεν οὐδ᾽ ἐχρῶντο κατάραις, εἰ μὴ μόνον ἐπὶ πραγμάτων μεγάλων, ἁπάσης θεραπείας ἀνεπιδέκτων, ἢ καί τινος ἐσχάτης ἀνάγκης κατεπειγούσης. Καὶ φαίνεται ἄρα παντάπασιν ἄλογον ὅτι ὁ Δημήτριος, ἐθνικὸς ἄνθρωπος, ἐκέλευσε τοῖς Ἰουδαίοις ποιήσασθαι κατάρας, *χάριν τῆς ἑρμηνείας τοῦ ἰδίου αὐτῶν νόμου*, ἣν αὐτὸς ἐφρόντισε γενέσθαι ἐπὶ τούτῳ καὶ μόνον, ὅπως καὶ αὐτὴ μετὰ τῶν λοιπῶν βιβλίων ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ἀποτεθῇ».

Τοῦτο μετὰ τοῦ Ὀδίου συμψηφίζουσι καὶ ἄλλοι τῶν Ἀριστεομάχων σοφῶν (α). Οἱ δὲ περὶ τὸν Ὅδιον ἐκφέρουσι καὶ παραδείγματα πρὸς ἀπόδειξιν, ὅτι μήτε Ῥωμαῖοι, μήτε Ἕλληνες, μήτε ἄλλα τῶν ἀρχαίων ἐθνῶν ἐχρῶντο κατάραις πανδήμοις, εἰ μὴ ἐπὶ συμβεβηκότων μεγάλων, ἐσχάτην νομίζοντες τὸ πρᾶγμα ποινήν. Μνημονεύομεν δὲ καὶ αὐτὰ τὰ παρ' αὐτοῖς παραδείγματα, χάριν τῶν περιέργων ἀναγνωστῶν.

§. γ'. Α) «Λέγουσιν· οἱ Ῥωμαῖοι τοσοῦτον ἔφριττον τὰς ἀράς, ὥστε κἂν καὶ παρ' ἰδιώτου τινὸς ἐξεφέροντο, πᾶν κακὸν ἐνόμιζον ἐξ αὐτῶν ἐπιπίπτειν εἰς τὰς κεφαλὰς τῶν ἐνεχομένων· «*Τὸ δεσμευθῆναι κατάραις οὐδεὶς ὅστις οὐ φοβεῖται*» λέγει Πλίνιος· καὶ πάλιν· «*ἀρὰς ὁ Ῥωμαίων δῆμος Πομπηΐῳ κατηράσατο, ἃς ἐκεῖνος ἀνέπλησεν εὐθύς*» (β). Καὶ Ὁράτιος,

«Ἀρὰς ὑμῖν ἐπαράσομαι. Κατάρα
οὐδεμιᾷ θυσίᾳ ἐξιλάσκεται» (γ).

Διώξαντες οἱ Ῥωμαῖοι τὸν Ταρκύνιον κατάρας ἔθεντο πανδήμους, εἴ τις ἑαυτόν, ἢ ἄλλον ἀναγορεύσειε βασιλέα. Ὅθεν ὕστερον καὶ Ἰούλιος ὁ Καῖσαρ προσφωνούμενος ὑπό τινων βασιλεύς, ἀπηγόρευσε τούτοις, ἀφοσιούμενος καὶ ἀποστρεφόμενος τὴν ἐπωνυμίαν, ὡς ἀθέμιστον, μετὰ τὴν τῶν προγόνων ἀράν (Ἀππιαν. Ἐμφυλ. πολ. Β). Θορυβουμένης δὲ τῆς πόλεως ἐκ τῆς φήμης τῶν Γαλατῶν, χρήματα θησαυρίσαντες εἰς τὸ δημόσιον οἱ Ῥωμαῖοι, κατηράσαντο, εἴ τις αὐτὰ κινοίη, πλὴν μόνον ὅταν πόλεμος ἐπίῃ Γαλατικός (Ἀππιαν. αὐτόθ.).

(α) Wower. Synt. p. 43. — Weems. Exercit. Theol. Lib. I. — Rivet. Isagog. ad S. Scr. c. 10. — Episcop. Instit. L. 5. c. 21. Alex. Morus in Caus. Dei. p. 148. — [Σημείωσαι δέ, ἀναγνῶστα, ὅτι πάντες οὗτοι (πλὴν τοῦ Μώρου) οἱ τῆς πιθανότητος κριταί, ἐπὶ τοῦ ἀνωτέρω «ἐκέλευσεν (ὁ Δημήτριος) διαράσασθαι», ἀντὶ τοῦ Δημητρίου ἐξέλαβον τὸν Πτολεμαῖον, μὴ ἐξακριβώσαντες τὴν ἑλληνικὴν τοῦ λόγου συνθήκην, μηδὲ γοῦν τῷ λατίνῳ προσχόντες μεταφραστῇ, ὅστις ἔγραψεν ἐπὶ λέξεως «Jussit Demetrius». Ταύτην δὲ τὴν ἐπαρίστερον ἐκδοχὴν τῶν κριτικῶν καὶ αὐτὸς Ὅδιος ἐπιτροχάδην παρεδήλωσεν, ἁπλῶς μνημονεύσας pag. 69. — Σημ. ἡμετ.].

(β) Plin. Hist Nat. 8. 7. — (γ) Horat. Epod. 5. in Canid. Veneficam.

Καρχηδόνος ἁλούσης ὑπὸ Σκιπίωνος, καὶ κατασκαφείσης, οἱ παρὰ τῆς Συγκλήτου πεμφθέντες πρὸς αὐτὸν δέκα πρέσβεις ἀρὰς ἐξεφώνησαν, εἴ τις οἰκήσει Καρχηδόνα, καὶ μάλιστα Βύρσαν, καὶ τὰ καλούμενα Μέγαρα (α)· (ὅθεν ὕστερον ὁ Καῖσαρ ἐκτρεπόμενος τὰς ἀρὰς, ἐπ' ἄλλης παρὰ τὴν προτέραν τοποθεσίας ἀνήγειρε τὴν Καρχηδόνα) (β). Τὸν δὲ Κράσσον ὁρμώμενον πρὸς τὸν Παρθικὸν πόλεμον Ἀτήϊος ὁ δήμαρχος ἐκώλυε. Τοῦ δὲ μὴ πειθομένου, « ὁ Ἀτήϊος προδραμὼν ἐπὶ τὴν πύλην, ἔθηκεν ἐσχαρίδα καιομένην· καὶ τοῦ Κράσσου γενομένου κατ' αὐτὴν, ἐπιθυμιῶν καὶ κατασπένδων, ἀρὰς ἐπηρᾶτο δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις, δεινοὺς δέ τινας θεοὺς καὶ ἀλλοκότους ἐπ' αὐταῖς καλῶν καὶ ὀνομάζων. Ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς, ἀποθέτους καὶ παλαιὰς, τοιαύτην ἔχειν δύναμιν, ὡς περιφυγεῖν μηδένα τῶν ἐνσχεθέντων αὐταῖς· κακῶς δὲ πράσσειν καὶ τὸν χρησάμενον· ὅθεν οὐκ ἐπὶ τοῖς τυχοῦσιν αὐτὰς, οὐδ' ὑπὸ πολλῶν ἀρᾶσθαι » (Πλουτ. Κράσσ. §. ιϛ). Καὶ Ῥωμαῖοι μὲν οὕτως » (γ).

Β) « Περὶ δὲ τῶν Ἑλλήνων οἴδαμεν, ὅτι ὁ μὲν Ἀγαμέμνων κατηράσατο, κατὰ παλαιὸν ἔθος, εἴ τις ἀνακτίζοι πάλιν τὸ Ἴλιον. Οὕτω καὶ Κροῖσος ἐξελὼν τὴν Σιδηνὴν, εἰς ἣν ὁ τύραννος κατέφυγε Γλαυκίας, ἀρὰς ἔθετο κατὰ τῶν τειχιούντων πάλιν τὸν τόπον. (Στράβ. ιγ, 601). Ἀριστείδης δὲ ὁ Ἀθηναῖος ἔγραψεν « ἀρὰς θέσθαι τοὺς ἱερεῖς, εἴ τις ἐπικηρυκεύσαιτο Μήδοις, ἢ τὴν συμμαχίαν ἀπολίποι τῶν Ἑλλήνων » (Πλούτ. Ἀριστείδ. §. 10). Τὸν δὲ Ἀλκιβιάδην, ὅτι περὶ τὰ μυστήρια ἠσέβησε, καταδικάσαντες ἀπόντα οἱ

(α) Ἀππ. Πολ. Λιβυκ. — καὶ, Ἐμφυλ. Πολ. α. πρβ. καὶ Ζωναρ. Χρον. τ. β.

(β) Ἀππιαν. Πολ. Λιβυκ. περὶ τὸ τέλος. Κατὰ δὲ τὸν Εὐτρόπιον (Ἐπιτ. ἱστορ. δ.) πολὺ πρὸ τῶν Καίσαρος χρόνων ἀνῳκοδομήθη ἡ Καρχηδὼν δόγματι τῆς Συγκλήτου.

(γ) Πρόσθες καὶ τὸ παρὰ τῷ Λαμπριδίῳ (Lamprid. in Heliogab. c. 18) ἱστορούμενον· ὅτι τῆς Σεμιαμίρας [Semiamira ἢ καὶ ἄλλ. Σ ο α ι μ ὶ ς, καὶ ἧττον ὀρθῶς Σ ο α ι μ ί α, καὶ πάντῃ ἐσφαλμένως παρ' Εὐτροπ. Symia, Syra. Βλ. Δίων. ογ, σελ. 1317, καὶ Σημ. — καὶ Ἡρωδιαν. Ξιφιλῖν. Ζωναρ.] μετὰ τοῦ υἱοῦ Ἡλιογαβάλου κατασφαγείσης, ἀπηγορεύθη μηδέποτε γυναῖκα εἰς τὴν Σύγκλητον εἰσιέναι, τῆς δὲ τολμησάσης τὴν κεφαλὴν θεοῖς καταχθονίοις ἀφοσιοῦσθαι ». Hody pag. 70.

Ἀθηναῖοι, καὶ τὰ χρήματα δημεύσαντες, «ἔτι προσεψηφίσαντο καὶ καταρᾶσθαι (τούτου) πάντας ἱερεῖς καὶ ἱερείας». Καὶ πάλιν τῆς καθόδου αὐτῷ ψηφισθείσης, προσέταξαν «καὶ τὰς ἀρὰς ἀφοσιώσασθαι Εὐμολπίδας καὶ Κήρυκας, ἃς ἐποιήσαντο, τοῦ δήμου προστάξαντος» (Πλούταρχ. Ἀλκιβ. §. 22, 33). Οἱ δὲ πάλιν Ἴωνες ἐπηράσαντο, εἴ τι τινὲς οἰκοδομήσαιεν τῶν (ὑπὸ Περσῶν) ἐμπρησθέντων ἱερῶν—ἵνα ὑπόμνημα τοῖς ἐπιγινομένοις ᾖ τῆς τῶν βαρβάρων ἀσεβείας». (Ἰσοκρ. Πανηγ. §. μα). Εὐμένης δὲ, τέλος, ζῶν παραδοθεὶς εἰς χεῖρας Ἀντιγόνου τοῦ πολεμίου ὑπὸ τῶν ἰδίων στρατιωτῶν (ἦσαν δὲ οὗτοι οἱ Ἀργυράσπιδες), κατηράσατο τοῖς προδόταις λέγων· «Ἔσχατον ἐγὼ θῦμα τῶν ἀπίστων γενόμενος ταύτας ἡμῖν τὰς ἀρὰς ἐπαρῶμαι. Πένητες καὶ ἄοικοι πάντα τὸν αἰῶνα διαγάγοιτε ἐν ταύτῃ τῇ κατὰ τὸ στρατόπεδον ἐξορίᾳ· καὶ καταφάγοιεν ὑμᾶς αὐτὰ ὑμῶν τὰ ὅπλα, δι᾽ ὧν πλείους τῶν ὑμετέρων, ἢ τῶν πολεμίων διεφθείρατε στρατηγούς. (Πλούτ. Εὐμέν. §. ιθ. καὶ Ἰουστῖν. ιδ, 4), Καὶ ἐξέβησαν αἱ κατάραι· ὁ γὰρ αὐτὸς Ἀντίγονος τοὺς Ἀργυράσπιδας, ὡς ἀσεβεῖς καὶ θηριώδεις, ἐκέλευσεν ἐκτρίψαι καὶ καταφθεῖραι, ὅπως μηδεὶς αὐτῶν εἰς Μακεδονίαν ἄπεισι, μηδ᾽ ὄψεται τὴν ἑλληνικὴν θάλασσαν». Τοιαῦτα καὶ τὰ τῶν Ἑλλήνων (α).

Γ) Περὶ δὲ τῶν Αἰγυπτίων ὁ Διόδωρος ἱστόρησε *Βόκχορον*

(α) Θαυμαστὸν, πῶς ἡ τοῦ Ὀδίου πολυμάθεια, οὐ μόνον δημοσίων ἀλλὰ καὶ ἰδιωτικῶν ἀρῶν ἐκλέγουσα ὁρμαθοὺς, παρέλιπε καὶ ἄλλα παραδείγματα ἑλληνικὰ, οἷον τὸν Ὁμηρικὸν Χρύσην κατευχόμενον πρὸς Ἀπόλλωνα κατὰ τοῦ ἑλληνικοῦ στρατοῦ (Ἰλ. α. 42). Καὶ τοὺς Ἀχαιοὺς καὶ Τρῶας ἅμα καταρωμένους, εἴ τις τὰ ὅρκια παραβαίη (Ἰλ. γ. 300). Καὶ τὸν Αἴαντα τὰς Ἐριννῦς ἐπικαλούμενον φρικτῶς κατὰ τῶν Ἀτρειδῶν (Σοφ. Αἴαντ. 838). Καὶ τὸν Οἰδίπουν καταρώμενον τοῖς υἱοῖς (Σοφ. Οἰδ. Κολ. 1384, κτλ. Εὐριπ. Φοίν. 67). Καὶ Θησέα τῷ Ἱππολύτῳ (Εὐριπ. Ἱππολ. 888). Καὶ Μίνω τοῖς Ἀθηναίοις ἐπαρώμενον αὐχμὸν καὶ λιμὸν (Διόδ. δ. §. 61. τόμ. α. σελ. 304. Wess.). Καὶ αὐτοὺς Ἀθηναίους ἔτι καὶ ἐπὶ τοῦ Ἰσοκράτους «ἐν τοῖς συλλόγοις ἀρὰς ποιουμένους, εἴ τις ἐπικηρυκεύσεται Πέρσαις τῶν πολιτῶν» (Ἰσοκρ. Πανηγ. §. 42). κτλ. Πρόσθες καὶ τοὺς Φωκαεῖς· οἵτινες καταλείποντες τὴν πατρίδα Φώκαιαν «ἐποιήσαντο ἰσχυρὰς κατάρας τῷ ὑπολιπομένῳ ἑωυτῶν τοῦ στόλου· πρὸς δὲ ταύτῃσι καὶ μύδρον σιδήρεον κατεπόντωσαν, καὶ ὤμοσαν μὴ πρὶν ἐς Φωκαίην ἥξειν, πρὶν ἢ τὸν μύδρον τοῦτον ἀναφῆναι» κτλ. (Ἡρόδ. Α. 165). — Σημ. ἡμετ.

ἀρχαιότατον Αἰγύπτου βασιλέα (α), — καταρώμενον Μηνᾷ τῷ βασιλεῖ, τῷ πρώτῳ καταδείξαντι τρυφὴν καὶ πολυτέλειαν ἐξ ἀρχῆς· « καὶ τὴν κατάραν ἀνέγραψε τοῖς ἱεροῖς γράμμασι εἰς τὸν τοῦ Διὸς ναὸν ἐν Θήβαις. Ὃ δὴ δοκεῖ μάλιστα αἴτιον γενέσθαι τοῦ μὴ διαμεῖναι τὴν δόξαν τοῦ Μηνᾶ καὶ τὰς τιμὰς ἐς τοὺς ὕστερον χρόνους ».

Δ) Ἀλλὰ καὶ περὶ τῶν Γαλατῶν ἀναγινώσκομεν ἐν *τοῖς Καίσαρος ὑπομνήμασιν* (περὶ Γαλλικ. πολέμ. Ι. §. 7)· ὅτι οἱ τῶν Γαλατῶν ἱππεῖς μάχην πρὸς αὐτὸν συνάπτειν μέλλοντες, ἁγιώτατον ὤμοσαν ὅρκον, ἐπαρασάμενοι, « μήθ' ὑπὸ στέγην εἶναι δεκτὸν, μήτε τοῖς τέκνοις, μήτε ταῖς γυναιξὶ προσιτὸν, τὸν μὴ δὶς διεξελάσαντα διὰ τῶν ταγμάτων τῶν ἐχθρῶν ».

Ε) Ὅσον δὲ περὶ τῶν Ἰουδαίων (λέγουσι), τὸν μὲν ὑπὸ Βαλὰκ, Μωαβιτῶν βασιλέως, μισθωθέντα πρὸς τὸ καταράσασθαι τοὺς Ἰσραηλίτας μάντιν Βαλαὰμ παραλείπομεν (Ἀριθ. κϐ). Ὁ δὲ Ναυΐδης Ἰησοῦς κατακαύσας τὴν Ἱεριχὼ, κατηράσατο, εἴ τις αὐτὴν πάλιν ἀνακτίζοι· (ὡς καὶ Ἀγαμέμνων ὕστερον τὸ Ἴλιον, καὶ Κροῖσος τὴν Σιδηνὴν, καὶ Ῥωμαῖοι Καρχηδόνα). « Καὶ ὥρκισεν Ἰησοῦς, λέγων· ἐπικατάρατος ἄνθρωπος, ὃς οἰκοδομήσει τὴν πόλιν ἐκείνην » κτλ. (Ἰησ. Ϛ. 26). Καὶ κατὰ τοῦ οἰκοδομήσαντος ὕστερον ἐπληρώθησαν αἱ ἀραί (Γ. Βασιλ. ιϛ, 34). Ἐπὶ δὲ τοῦ Νεεμίου οἱ Ἰουδαῖοι « Εἰσῆλθοσαν ἐν ἀρᾷ καὶ ἐν ὅρκῳ τοῦ πορεύεσθαι ἐν τῷ νόμῳ τοῦ Θεοῦ » (Νεεμ. Ι. 30). Καὶ αὐτὸς ὁ Νεεμίας « ἐξετίναξε τὴν ἀναϐολὴν αὐτοῦ καὶ εἶπεν· οὕτως ἐκτινάξαι ὁ Θεὸς πάντα ἄνδρα, ὃς οὐ στήσει τὸν λόγον τοῦτον, ἐκ τοῦ οἴκου αὐτοῦ » κτλ. (Νεεμ. Ε, §. 13). Ἀλλὰ κἂν τῷ περὶ τοῦ ναοῦ τῶν Ἱεροσολύμων διατάγματι Δαρείου τοῦ Περσῶν βασιλέως ἀναγινώσκομεν ταῦτα· «Καὶ ὁ Θεὸς καταστρέψαι πάντα βασιλέα, καὶ λαὸν, ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ

(α) « Οὐ Βόκχοριν, ἀλλὰ Τνέφαχθον, τὸν Βοκχόριδος τοῦ σοφοῦ πατέρα » καλεῖ τοῦτον ὁ Διόδωρος Α. §. 45 (τόμ. α. σελ. 54, καὶ not. Wessel.). Μέμνηται καὶ Πλούταρχος τῆς ἀρᾶς ταύτης, Τέχνατιν γράφων τὸν βασιλέα (Πλούτ. τόμ. ϐ. σελ. 354). Ἄλεξις δὲ Νεόχαϐιν εἶπε τοῦτον παρ' Ἀθηναίῳ (Βιϐλ. Ι. σελ. 618). Ὁ δὲ Ὅδιος κατὰ λάθος ὠνόμασε τὸν υἱὸν ἀντὶ τοῦ πατρός. — Σημ. ἡμετ.

ἀλλάξαι, ἢ ἀφανίσαι τὸν οἶκον τοῦ Θεοῦ τὸν ἐν Ἱερουσαλήμ » (Ἔσδρ. ς. 12) (α).

§. δ'. « Ἐκ τοσούτων οὖν παραδειγμάτων (συμπεραίνουσιν οἱ περὶ τὸν Ὅδιον) καταφαίνεται τηλαυγῶς, ὅτι οἱ ἀρχαῖοι οὐδέποτε κατ' οὐδενὸς ἐξεφώνουν πανδήμους ἀρὰς, εἰ μὴ ἐπὶ πραγμάτων μεγίστων. Καὶ ὅμως ὁ Ἀριστέας οὐ μόνον τὸν Δημήτριον ἱστόρησε κελεύσαντα τοῖς Ἰουδαίοις καταράσασθαι πανδήμως, εἴ τις τολμήσει ποιάν τινα μεταβολὴν ἐπὶ τῆς ἑρμηνείας τῶν Γραφῶν, ἀλλὰ καὶ τὸν βασιλέα ἡμῖν παρέστησεν, ὅτι ταύτην ἀκούσας τὴν δι' ἀρῶν ἀπὸ πάσης διαφθορᾶς ἀσφάλισιν *τοῦ νόμου τῶν Ἰουδαίων*, μεγάλως ἐχάρη· « *τὴν γὰρ πρόθεσιν, ἣν εἶχεν, ἀσφαλῶς ἔδοξε τετελέσθαι* » — Πῶς; *τὴν πρόθεσιν* ἣν εἶχε; τὴν ποίαν; ἵνα δηλαδὴ τὸ βιβλίον τοῦ νόμου διερμηνευθὲν ἑλληνιστὶ ἀποτεθῇ εἰς τὴν αὐτοῦ βιβλιοθήκην· (ἢ τίς ἄλλος εἰ μὴ οὗτος ὑπῆρχεν ὁ τοῦ βασιλέως σκοπός;). Ἀλλ' ἐκ τούτων ἕκαστος αἰσθάνεται, ὅτι καὶ τοῦτο τὸ διήγημα παρεπλάσθη ὑπό τινος Ἰουδαίου ἐξεπίτηδες, ὅπως ἡ παρὰ τοῖς Ἑλληνισταῖς Ἰουδαίοις ἐν χρήσει γενομένη τῶν Γραφῶν ἑρμηνεία πιστευθῇ, ὅτι ἐξ ἀρχῆς διετηρήθη ἀρτία καὶ ὁλόκληρος, καὶ πάσης προσθήκης, ἢ ἀφαιρέσεως, ἢ μεταβολῆς καθαρεύουσα καὶ ἀκήρατος καὶ ἀκραιφνής. Καὶ ὅτι τοιαύτη διαμένει καὶ παρὰ τοῖς μεταγενεστέροις, οἵτινες ἀπέχουσιν ἀκριβῶς ἀπὸ πάσης

(α) Οὔτε τοῦ Μωαβίτου Βαλαὰμ, οὔτε τοῦ Διατάγματος τοῦ Πέρσου βασιλέως τὸ παράδειγμα ἀνήκει εἰς τοὺς Ἰουδαίους κυρίως, ὡς Ἰησοῦ τοῦ Ναυῆ, καὶ τὰ τοῦ Νεεμίου· πλὴν ἀλλ' εἶχε καὶ ἄλλα κυρίως Ἰουδαϊκὰ παραδείγματα καὶ ἰδίων καὶ δημοσίων ἀρῶν ἐκ τῆς παλαιᾶς Γραφῆς ἀριθμῆσαι ὁ σοφὸς Ὅδιος, ἃ παρέλιπε συντομίας, ἴσως, χάριν· Οἷον, ὅτε ὤμωσαν οἱ υἱοὶ Ἰσραὴλ λέγοντες· « ἐπικατάρατος ὁ διδοὺς γυναῖκα Βενιαμίν » (Κριτ. κα, 18). Καὶ Δεβώρα καὶ Βαρὰκ « καταρώμενοι Μηρὼζ, καὶ πάντα κατοικοῦντα ἐν αὐτῇ » (Κριτ. ε, 23). Καὶ Ἐλισσαιὲ καταρασάμενος τοῖς παιδαρίοις » (Δ. Βασιλ. Β. 24) κτλ. Σεμεεὶ δὲ τὸν ἀλάστορα καταρώμενον τῷ Δαβὶδ (Β. Βασ. ις, 5—10) παραλείπομεν. Ὅτι δὲ καὶ ἄλλως ὑπῆρχε πάνυ σύνηθες τοῖς Ἰουδαίοις τὸ καταρᾶσθαι, δῆλον καὶ ἐξ ἄλλων χωρίων τῆς Γραφῆς· οἷον· « καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις » (Ψαλ. ρη, 27) κτλ. Ὅθεν « Εὐλογεῖν καὶ μὴ καταρᾶσθαι τοὺς καταρωμένους ἡμᾶς » ὁ Εὐαγγελικὸς ἐδίδαξε νόμος (Ματθ. ε. 44.). — Σημ. ἡμετ.

εἰς αὐτὴν ῥᾳδιουργίας διὰ τὸν φόβον τῆς θείας ποινῆς». — Ταῦτα τῷ Ὀδίῳ ἀρέσκει. «Βοδερίῳ δὲ (φησὶν ὁ αὐτὸς), καὶ Ῥιβέτῳ καὶ τῷ Ἐπισκοπίῳ καὶ ἄλλοις ἤρεσε μᾶλλον, ὅτι τοῦτο πλάττων τὸ διήγημα ὁ Ἀριστέας, ἀπέβλεπε πρὸς ἐκεῖνα τὰ τοῦ Δευτερονομίου. «Οὐ προσθήσετε πρὸς τὸ ῥῆμα, ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν, καὶ οὐκ ἀφελεῖτε ἀπ' αὐτοῦ» (Δευτ. δ. 2).

Ἀπαντῶμεν.

§. έ. Α) Ἐπλανήθησαν οἱ ἄνδρες περὶ τὸ *πρᾶγμα*. Μόνον ἐπὶ τοῖς μεγίστοις λέγουσι τὰς δημοσίους ἀρὰς παρὰ τοῖς ἀρχαίοις ἔθνεσιν εἰθισμένας· τὴν δ' ἀπαραχάρακτον συντήρησιν τῆς ἑρμηνείας τῶν θείων Γραφῶν μικρὸν ἔκριναν, ὡς φαίνεται, καὶ φαῦλον· ὅθεν οὐδὲ πανδήμων ἐνόρκων ἀρῶν εἰς ἔμπεδον ἀσφάλισιν ἀξιοῦσι τὸ ἔργον. Καὶ ὅμως ὅλη τοῦ Ἀριστέου ἡ ἱστορία τὸ κοινωφελὲς μεγαλεῖον τοῦ πράγματος διαγράφει, συμμαρτυροῦντος καὶ τοῦ Φίλωνος (α). Πῶς; ὡς ἓν τῶν πολλῶν εἰς τὴν βιβλιοθήκην ἀθροιζομένων, καὶ τῶν ἐσχάτων ἴσως καὶ λίαν εὐώνων βιβλίων, ἐθεωρήθη καὶ ἡ ἑρμηνεία *τῶν θείων Γραφῶν*; Καὶ πρὸς τοιούτου λοιπὸν εὐτελοῦς καὶ ἰδιωτικοῦ συγγράμματος κτῆσιν τοσαῦτα μὲν ἐφρόντισεν ὁ ἐκ Φαλήρου σοφὸς, τοσαῦτα δὲ φιλοτίμως ἐδαπάνησεν αὐτὸς ὁ τῆς Αἰγύπτου βασιλεὺς, τοσαῦτα δὲ, τέλος, ἐπεμελήθη καὶ ἠγωνίασε καὶ ὁ τῶν Ἰουδαίων ἐθνάρχης ἀρχιερεύς; Ἕνεκα τοιούτου φαύλου κτήματος προηγήθησαν τοσαῦται πολιτικαὶ προπαρασκευαὶ, καὶ ἐγράφοντο μὲν παρὰ τοῦ Δημητρίου εἰσδόσεις, ἐξεδίδοντο δὲ βασιλικὰ διατάγματα, καὶ μυριάδες ἀπελύοντο αἰχμαλώτων, καὶ πρεσβεῖαι καὶ δῶρα καὶ ἀναθήματα πρὸς τοὺς Ἱεροσολυμίτας ἐστέλλοντο, καὶ αὐτὴ δὲ τῶν ἑρμηνέων ἡ ἄφιξις ἑωρτάζετο μὲν ὑπὸ τοῦ βασιλέως εὐθὺς, καθίστατο δὲ καὶ πανηγύρεως ἐτησίας ὑπόθεσις, καὶ ἁπλῶς εἰπεῖν, αὐτή τε πᾶσα ἡ Ἀλεξάνδρεια «*καὶ πᾶσα Ἱεροσόλυμα*» συνεκινήθησαν, πρὸς ἐπιτυχίαν ἑνὸς τριωβολιμαίου βιβλι-

(α) «Τὸ δ' ἔργον (τῆς ἑρμηνείας) ἐπεὶ καὶ μέγα ἦν καὶ κοινωφελὲς, οὐκ ἰδιώταις, οὐδ' ἄρχουσιν, ὧν οὐ πολὺς ἀριθμὸς, ἀλλὰ βασιλεῦσι, καὶ βασιλέων ἀνετέθη τῷ δοκιμωτάτῳ» κτλ. Φίλ. βίῳ Μωσ. Β. τόμ. β. σελ. 138. Mang.

δαρίου; Λίαν ἄτοπα ταῦτα, καὶ πρὸς ὅλην τὴν τῆς ἱστορίας ὑπόθεσιν ἐναντία καὶ παράλογα φαίνονται νομίσαντες οἱ κριτικοί! ἢ πῶς ἂν ἄλλως ἔκρινον τὴν ἑρμηνείαν ἀναξίαν τῶν εἰς ἄχραντον αὐτῆς διατήρησιν πανδήμων ὅρκων καὶ ἀρῶν; (α). Ἀλλὰ καὶ κατ' αὐτὸ τὸ διήγημα ποίαν ἰδίως εὕρηκαν οἱ ἄνδρες ἀπιθανότητα, διεγείρουσαν εὐλόγως τῆς κριτικῆς αὐστηρότητος τὴν ἀπιστοσύνην; Τελεσθεῖσα ἡ τῶν Γραφῶν ἑρμηνεία παρανεγνώσθη πρὸς ὅλον τὸ πλῆθος τῶν Ἰουδαίων, οἵτινες ἔμελλον αὐτῇ χρῆσθαι, ὡς *βίβλῳ Λόγων Θεοῦ*! Οὗτοι δὲ καὶ τὴν ἑρμηνείαν δοκιμάσαντες ἐκύρωσαν, ὡς σύμφωνον τῇ πρωτοτύπῳ Γραφῇ· καὶ τὸν Δημήτριον παρεκάλεσαν, ἵνα καὶ ἀντίγραφον αὐτοῖς τῆς ὅλης ἑρμηνείας δοθῇ· « *Δοῦναι τοῖς ἡγουμένοις αὐτῶν μεταγράψαντα τὸν πάντα νόμον* ». Μετὰ ταῦτα οἵ τε ἱερεῖς, καὶ αὐτοὶ τῶν ἑρμηνευτῶν οἱ πρεσβύτεροι, καὶ πάντες οἱ ἡγούμενοι καὶ ἀρχηγοὶ τοῦ πολιτεύματος ἐζήτησαν, « ἵνα τὰ βιβλία διαμένωσιν οὕτως ἔχοντα διὰ παντὸς, καὶ μὴ γένηται μηδεμία διασκευὴ καὶ μεταβολή ». Καὶ τὸ πλῆθος ἐπευφήμησεν εἰς τὸ ζήτημα. Συγκατανεύσας δὲ καὶ ὁ Δημήτριος, ἐκέλευσεν αὐτοῖς διαράσασθαι, καθὼς ἔθος αὐτοῖς ἐστι ». Τί τούτων ἄπιστον

(α) « Κοῦφόν τι πάντως (λέγει μειδιῶν ὁ γηραιὸς Οὐόσσιος), καὶ μηδενὸς ἄξιον ἔδοξεν Ὀδίῳ τὸ διατηρῆσαι τὴν ἑρμηνείαν ἀδιάφθορον καὶ ἀκραιφνῆ »! — « Ναὶ (ὑποσημειοῖ Ὅδιος) κοῦφον, εἰ καὶ μὴ τοῖς Ἰουδαίοις, ἀλλὰ τῷ γε Δημητρίῳ καὶ τοῖς Ἕλλησι » (Voss. App. p. 71, καὶ Hody p. 72). Ἀλλὰ μήπως (ἀπαντῶμεν ἡμεῖς) ὁ Δημήτριος καὶ οἱ Ἕλληνες οὗτοι (οἱ περὶ τὸν Φιλάδελφον) οὐκ ἤθελον τὸ ἀδιάφθορον καὶ ἀκέραιον τῆς ἐφ' ᾗ τοσαῦτα ἐμόγησαν καὶ κατεδαπάνησαν ἑρμηνείας; Ἢ μήπως καὶ αὐτῶν τῶν μυριαρίθμων ὑπηκόων Ἰουδαίων οὐκ ἤθελον ἐκπληροῦν καὶ διαναπαύειν τὴν περὶ τῆς ἀκεραιότητος τῶν πατρῴων νόμων θρησκευτικὴν μέριμναν καὶ ἀξίωσιν; Μήπως, τέλος, οὐκ εἶχον καὶ αυτοὶ οἱ Ἕλληνες θείους τινὰς χρησμοὺς καὶ νόμους πατρῴους, ὧν τὴν ἀσφάλειαν παντοιοτρόπως διατηροῦντες, ἐγνώριζον οἴκοθεν, ὅτι δικαίως καὶ οἱ Ἰουδαῖοι περὶ τῶν οἰκείων ἠγωνίων; Οἱ Ἀθηναῖοι κατηράσαντο πανδήμως τὸν Ἀλκιβιάδην, — ὡς ἀνομήσαντα περὶ τὰ μυστήρια. Ἄτοπον ἆρά γε καὶ ἄγνωστον πρᾶγμα, καὶ τοῦ οἰκείου ἤθους ἀλλότριον ἐποίει ὁ Ἀθηναῖος Δημήτριος, εἰ καὶ τοὺς Ἰουδαίους ἐκέλευε θέλοντας, καὶ δεομένους, διαράσασθαι πανδήμως (κατὰ τὸ παρ' αὐτοῖς ἔθος), εἴ τις καὶ παρ' αὐτοῖς μετακινοίη τοὺς θείους νενομισμένους νόμους, ἀφ' ὧν ἐξήρτητο πᾶσα ἡ θρησκευτικὴ καὶ ἠθικὴ αὐτῶν διακόσμησις;

καὶ παράδοξον; Τὸ πλῆθος ἐζήτησεν ἀντίγραφον εἰς ἰδίαν αὐτοῦ χρῆσιν, καὶ τὸ βιβλίον ἀπετέθη μὲν ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ, ἐξεδόθη δὲ δι' ἀπογράφων καὶ εἰς τὸ κοινὸν, καὶ τὸν τόπον ἐπέσχε τοῦ πρωτοτύπου κειμένου τῶν Γραφῶν, τιμώμενον καὶ ἰσχύον, ὡς ἐπίσης ἱερὸν καὶ κανονικὸν, καθὼς ἐκεῖνο. Οἱ δὲ Ἰουδαῖοι φοβούμενοι πᾶσαν διασκευὴν καὶ διανόθευσιν τῶν θείων λογίων, οὐχ οὕτως ἂν παρὰ τῶν ἐθνικῶν, ὅσον παρά τινων Ἰουδαίων πονηρῶν ῥαδιουργηθεῖσαν, καὶ τὴν ἐκ ταύτης ἂν προκύψουσαν τῶν πατρῴων ἐθίμων καὶ θρησκευμάτων ταραχὴν καὶ διαφθορὰν (καὶ μάλιστα κατὰ τὴν Ἀλεξάνδρειαν καὶ τὴν Αἴγυπτον καὶ Συρίαν, ὅπου οἱ Ἰουδαῖοι μετελάμβανον ἐπὶ πλέον τὴν ἑλληνικὴν γλῶσσαν, ἐπιλανθανόμενοι τῆς τότε ἑβραϊκῆς), ψηφίζουσι τῆς τῶν θείων γραφῶν ἑρμηνείας ἔμπεδον τὴν ἀσφάλειαν, καὶ ταύτην διαρκῆ διαμένειν ἐπιθυμοῦσι. Ποία δ' ἂν γένοιτο νόμων καὶ γραφῶν μή τοί γε θείων, ἀλλὰ καὶ ἀνθρωπίνων ἀσφάλεια καὶ πίστωσις ἰσχυροτέρα, παρὰ τὴν δι' ὅρκων καὶ πανδήμων ἀρῶν; Ἐκέλευσεν οὖν τοῖς Ἰουδαίοις ὁ Δημήτριος διαράσασθαι, *καθὼς ἔθος αὐτοῖς ἐστιν* — « Ἀλλ' ὁ Δημήτριος (λέγουσιν) ὑπῆρχεν *ἐθνικός* ». — Ναί! Ἀλλ' ὁ ἐθνικὸς οὗτος καὶ εἰδωλόθρησκος Δημήτριος, τιμῶν καὶ ἐν Αἰγύπτῳ τὸν Ἀθήνησι τιμώμενον *ἄγνωστον θεὸν*, διεκήρυξε δὶς (ἔν τε τῇ *εἰσδόσει*, καὶ ὅτε προσέφερε τελειωθεῖσαν τὴν ἑρμηνείαν τῷ βασιλεῖ) « *θείαν εἶναι τὴν νομοθεσίαν*, καὶ *σεμνὴν καὶ ἁγνὴν τὴν ἐν τοῖς βιβλίοις τούτοις θεωρίαν* ». Ἀλλ' ὁ Δημήτριος οὗτος, ὡς *φιλόσοφος* καὶ *φιλόλογος* ἀνὴρ, ἐτίμα πάντως καὶ τὴν ἱστορίαν καὶ τὴν φιλοσοφίαν τῶν ἑβραϊκῶν Γραφῶν (οὐχ ἧττον, ἢ Ἑκαταῖος), ἄγνωστον οὖσαν μέχρι τότε παρ' Ἕλλησι, τὸ πλεῖστον, καὶ ἀδημοσίευτον· καί τοι διὰ τῆς φήμης «*τὸ κλέος τῆς νομοθεσίας ἐφοίτα τότε πανταχοῦ*». (Φίλων βίῳ Μωσ. Β). Ἀλλ' ὁ Δημήτριος οὗτος, ὡς πολιτικὸς καὶ φίλος τῷ βασιλεῖ, καὶ σχέσεις εἶχε καὶ γνωριμότητα πρὸς τοὺς ἐν ἀξιώμασι καὶ λόγοις διαπρέποντας καὶ ἐπισημοτάτους τῶν ἐν Αἰγύπτῳ Ἰουδαίων, παρ' ὧν ἕκαστα αὐτῷ *προσανεφέρετο* (ὡς λέγει ἐν τῇ εἰσδόσει), καὶ παρ' ὧν, ἴσως, προετράπη κελεῦσαι τοὺς

Ἰουδαίους διαράσασθαι, *καθὼς ἔθος αὐτοῖς ἐστί*· καὶ ἐκέλευσε, συνορῶν τὴν ἐκ τοῦ πράγματος ἀσφάλειαν τοῦ πατρῴου νόμου τοσούτων μυριάδων ὑπηκόων τοῦ βασιλέως. Ἀλλ' ὁ Δημήτριος οὗτος, τέλος, ὡς ἔνδοξος *νομοθέτης*, εἶχε καὶ πάτριον ἑλληνικὸν ἔθος τὸ δι' ὅρκων ἐμπεδοῦν τὴν τῶν νόμων φυλακήν. Οὕτως ὁ Λυκοῦργος, «ἀγασθεὶς καὶ ἀγαπήσας τὸ κάλλος καὶ μέγεθος τῆς ἰδίας νομοθεσίας, — συναγαγὼν ἅπαντας τοὺς πολίτας ἐν ἐκκλησίᾳ, ὅρκους ἔλαβε παρ' αὐτῶν ἐμμένειν τοῖς καθεστῶσι νόμοις, καὶ μηδὲν ἀλλάσσειν, μήτε μετακινεῖν» (Πλούτ. Λυκούργ. §. κθ). Ὅτι δὲ μετὰ τῶν ὅρκων ἦσαν πολλάκις ἐπισυνημμέναι καὶ ἀραὶ κατὰ τῶν ἐπιορκούντων, φανερόν.

§. ς'. Β) Ἐπλανήθησαν οἱ κριτικοὶ καὶ περὶ τὴν ἐφαρμογὴν τῶν ὧν συνεσώρευσαν παραδειγμάτων τῆς παρὰ τοῖς ἀρχαίοις ἔθνεσι χρήσεως τῶν ἀρῶν. Εἴπερ ὁ Πλίνιος ὡμολόγει *φοβερὸν τὸ κατάρᾳ περιπαρῆναι*, καὶ ἡ φαρμακὶς τοῦ Ὁρατίου ἠπείλει κατά τινων ἀνεξιλάστους ἀρὰς, αἱ δὲ πάλιν τοῦ Εὐμένους ἀπέβησαν τελεσφόροι κατὰ τῶν ἰδίων προδοτῶν, καὶ οἱ τῶν Γαλατῶν ἱππεῖς κατηρῶντο παροξύνοντες ἀλλήλους κατὰ τῶν πολεμίων, ταῦτα, λέγω, καὶ τὰ τούτων ὅμοια τί κοινὸν ἔχουσι πρὸς τὸν προκείμενον σκοπὸν τῶν κριτικῶν (α); Οὗτοι ἐπεχείρησαν ἐξελέγξαι τὸν Ἀριστέα ψευδώνυμόν τινα πλαστογράφον Ἰουδαῖον, ταύτας μάλιστα προβάλλοντες εἰς ἀπόδειξιν, τὰς ἐπ' ἀσφαλίσει τῆς ἑρμηνείας πανδήμως, Δημητρίου κελεύσαντος, γενομένας ἀράς. Ἀλλ' αὐτοὶ ἀπέδειξαν ὅτι

(α) «Πρὸς τί (λέγει πάλιν Οὐόσσιος) ταῦτα πάντα συνῆξεν Ὅδιος τὰ παραδείγματα τῶν ἀρῶν, ὧν οὐδὲ ἓν συμβάλλει πρὸς τὸ πρᾶγμα; χιλιάκις πλείονα χωρία ἠδύνατο συσσωρεῦσαι, ἐν οἷς φαίνονται πάλιν ἄνθρωποι κατ' ἀνθρώπων Ἀρὰς καὶ Ἐριννύας καλοῦντες, διὰ φαύλην αἰτίαν καὶ πολλάκις οὐτιδανήν» (Voss. ibid.). «Ἀλλ' οὐχὶ καὶ πανδήμως καὶ πανηγυρικῶς (ἀπεκρίνατο Ὅδιος), ἤ, εἰπάτω κἂν ἕν»! (Hody ibid.). Καὶ μήπως (ἀπαντῶμεν) ἡ Ὁρατίου φαρμακὶς κατηρᾶτο πανηγυρικῶς καὶ πανδήμως; Πάνδημοι δέ τινες ἦσαν καὶ αἱ ἀνωτέρω τοῦ Εὐμένους καὶ τῶν Γαλατῶν ἀραί; Ἢ μήπως καὶ τὰ ἰδιωτικὰ τῶν ἀρῶν παραδείγματα οὐκ ἔχουσι πίστιν εἰς ἀπόδειξιν, ὅτι παρομοίως ἠδύναντο καὶ ἐν συλλόγῳ δημοσίῳ οἱ αὐτοὶ τοῦ ἔθνους ἄνθρωποι διαράσασθαι συνήθεις ἀράς;

οὐχ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ ἕλληνες ἔφριссον τὰς *ποινίμους ἀρὰς*, καὶ ἰδίας καὶ δημοσίας. Ἢ μήπως πάλιν αὐτός τε ὁ Δημήτριος καὶ ὁ Ἀριστέας, συνοικοῦντες καὶ συλλαλοῦντες πολλάκις μετὰ τῶν λογιωτάτων Ἀλεξανδρινῶν Ἰουδαίων, ἠγνόουν ἆρά γε πόσον μέγα καὶ τοῦ παντὸς ἄξιον ἐνομίζετο παρὰ πᾶσιν Ἰουδαίοις ἡ πιστὴ διατήρησις τῆς τότε πρῶτον εἰς ἄλλην γλῶσσαν γενομένης, καὶ παμψηφεὶ κυρωθείσης τῶν θείων Γραφῶν ἑρμηνείας, ἥπερ ἔμελλον χρῆσθαι πανταχοῦ τοσαῦται μυριάδες ἑλληνιστῶν; Ἢ μήπως, τέλος, οἱ Ἰουδαῖοι ἄλλας ἐπ' ἄλλαις αἰτίαις ἐκφέροντες συνήθως ἀρὰς, οὐ κατηρῶντο καὶ κατὰ τῶν διαφθειρόντων ὁπωσδήποτε τὰς θείας Γραφάς; — Ἀλλὰ τὸ ἔθος τοῦτο ὑπῆρχε παρ' αὐτοῖς τοσοῦτον ἀρχαῖον, ὅσον καὶ αὐτὸς ὁ θεῖος νόμος, ὃν εἶδε πάντως καὶ ἀνέγνω κατὰ τὴν ἑρμηνείαν καὶ ὁ Δημήτριος.

§. ζ'. Εἶπον οἱ περὶ τὸν Βοβέριον, ὅτι γράφων ὁ Ἀριστέας τὸ περὶ τῆς ἀρᾶς (ὡς λέγουσι) πλάσμα, ἀπέβλεπε πρὸς τὴν μνημονευθεῖσαν ῥῆσιν τοῦ Δευτερονομίου, τὴν « Οὐ προσθήσετε πρὸς τὸ ῥῆμα, ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν, καὶ οὐκ ἀφελεῖτε ἀπ' αὐτοῦ » (βλ. ὄπισθ. §. δ). Ἀλλ' εἰ μὲν ἔκρινον οἱ ἄνδρες δικαιότερον, ἔλεγον ἂν ἁπλούστερον καὶ εἰλικρινέστερον, ὅτι ταύτην τὴν ῥῆσιν ἐπλήρουν αὐτοὶ ἐκεῖνοι οἱ τὰς πανδήμους ἀρὰς ὑπὲρ τῶν θείων Γραφῶν ποιησάμενοι Ἰουδαῖοι· ὁ δ' Ἀριστέας ἱστόρησε τὸ πρᾶγμα πιστῶς, καθὼς ἐγένετο. Πλὴν ἀλλὰ καὶ οὕτως, ὅσον ἂν ἐσπούδασαν συσκιάσαι τὴν ἀλήθειαν, ὡμολόγησαν ὅμως, ὅτι τὸ διήγημα τοῦ Ἀριστέου βεβαιοῦται ὑπ' αὐτοῦ τοῦ θείου νόμου, κελεύοντος τοὺς Ἰουδαίους ἄχραντα διατηρεῖν εἰσαεὶ καὶ ἀναλλοίωτα τὰ λόγια τῶν θείων Γραφῶν. Ὅθεν καὶ οἱ Ο, ἑρμηνεῖς πρὸς τοῦτ' ἀπέβλεπον τὸ πρόσταγμα, « λογιζόμενοι, ὅσον ἐστὶ τὸ πρᾶγμα, θεσπισθέντας νόμους χρησμοῖς διερμηνεύειν, *μήτ' ἀφελεῖν τι, μήτε προσθεῖναι, μήτε μεταθεῖναι δυναμένους* ». (Φίλων βίῳ Μωσ. Β). Κατὰ δὲ τῶν ὁπωσδήποτε παραβαινόντων τὰ παραγγέλματα τῆς τοῦ Θεοῦ Διαθήκης (ὧν ὑπῆρχεν ἓν καὶ τὸ ἀνωτέρω, τὸ « *Οὐ προσθήσετε πρὸς τὸ ῥῆμα, — καὶ οὐκ ἀφελεῖτε ἀπ' αὐτοῦ* ») καὶ κατάραν ὁ θεῖος ἐβρόντησε

νόμος. «Ἐπικατάρατος πᾶς ἄνθρωπος, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου» (Δευτερον. κζ, 26. πρβλ. Γαλατ. γ. 10). Καὶ ταύτην τὴν κατάραν ἀείποτε ἔχειν πρὸ ὀφθαλμῶν προσετάχθησαν οἱ Ἰουδαῖοι παρὰ τοῦ Νομοθέτου, καὶ οἱ τότε ζῶντες καὶ οἱ μεταγενέστεροι. «Καὶ οὐχ ὑμῖν (λέγει) μόνοις ἐγὼ διατίθεμαι τὴν διαθήκην ταύτην, *καὶ τὴν ἀρὰν ταύτην*· ἀλλὰ καὶ τοῖς ὧδε οὖσι μεθ' ὑμῶν σήμερον ἐναντίον κυρίου τοῦ Θεοῦ ὑμῶν, *καὶ τοῖς μὴ οὖσι μεθ' ὑμῶν ὧδε σήμερον*». (Δευτερ. κθ, 14). Διὰ τοῦτο καὶ ἐπὶ Νεεμίου (τὸ μόνον, ἐξ ὧν Ὅδιος ἐμνημόνευσε παραδειγμάτων, προσφυὲς καὶ κατάλληλον), «εἰσήλθοσαν οἱ Ἰουδαῖοι ἐν ἀρᾷ καὶ ἐν ὅρκῳ τοῦ πορεύεσθαι ἐν τῷ νόμῳ τοῦ Θεοῦ» (βλ. §. γ). Καθὼς δὲ οὗτοι συνετισθέντες καὶ κλαύσαντες, ὡς ἤκουσαν τὸ πρῶτον μετὰ τὴν αἰχμαλωσίαν ἀναγινωσκόμενον πανδήμως ὑπὸ τοῦ γραμματέως Ἔσδρα τὸ τοῦ νόμου βιβλίον (Νεεμ. η. 9), ἐποίησαν ὅρκον καὶ ἀρὰν εἰς τὴν τούτου φυλακήν. ὡσαύτως καὶ οἱ συγγενεῖς αὐτῶν καὶ ἀπόγονοι, ὡς ἤκουσαν τὸ πρῶτον τὴν ὑπὸ τῶν πρεσβυτέρων ἑλληνικὴν τοῦ νόμου ἑρμηνείαν, «*διηράσαντο φυλάττεσθαι ἀένναα καὶ μένοντα τὰ γεγραμμένα*, τοῦ ποιεῖν αὐτὰ, *μηδενὸς μήτε προστιθέντος, μήτ' ἀφαιροῦντος μηδέν*. Καὶ τοῦτο ἄρα τὸ νόμιμον ἀκριβῶς μαθὼν ὁ Δημήτριος «*ἐκέλευσε προηγουμένως τοῖς Ἰουδαίοις διαράσασθαι, καθὼς ἔθος αὐτοῖς ἐστι*.

Ταύτην τὴν ἀπὸ πάσης προσθήκης ἢ ἀφαιρέσεως ἀσφαλῆ τῶν θείων λογίων διατήρησιν, ἣν μετὰ κατάρας ὁ παλαιὸς διέταξε νόμος, ὁρῶμεν ὡσαύτως προστεταγμένην καὶ ἐν τῇ Καινῇ τοῦ Θεοῦ Διαθήκῃ. «Ἐάν τις» (γράφει ὁ θεῖος Εὐαγγελιστὴς ἐν τῇ Ἀποκαλύψει), «ἐάν τις ἐπιτιθῇ πρὸς ταῦτα, ἐπιθήσει ὁ Θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν βιβλίῳ τούτῳ. Καὶ ἐάν τις ἀφαιρῇ ἀπὸ τῶν λόγων βίβλου τῆς προφητείας ταύτης, ἀφαιρήσει ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ βίβλου τῆς ζωῆς, καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, καὶ τῶν γεγραμμένων ἐν βιβλίῳ τούτῳ» (Ἀποκ. κβ. 19). Τὰς αὐτὰς σχεδὸν φοβερὰς ἀπειλὰς ἀναγινώσκομεν καὶ ἐν τῷ Δευτερονομίῳ (κθ. 20). «Κολληθήσονται ἐν αὐτῷ πᾶσαι αἱ ἀραὶ

τῆς Διαθήκης ταύτης, αἱ γεγραμμέναι ἐν τῷ βιβλίῳ τούτῳ, καὶ ἐξαλείψει Κύριος τὸ ὄνομα αὐτοῦ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν » κτλ.

Κατὰ ταῦτα καὶ τῶν ἱερῶν Πατέρων τῆς Ἐκκλησίας οἱ ἀρχαιότατοι, τὸν ὑγιᾶ τῆς ἐκκλησίας θεσμὸν ἀπὸ τῶν παραχαραττόντων ἀσφαλῆ καὶ ἄνοθον διατηροῦντες, προσέγραφον ἐν τοῖς ἱεροῖς αὐτῶν βίβλοις ὅρκον ἱερὸν, ὑποχρεοῦντες τοὺς γραφεῖς πρὸς ἄπτωτον καὶ ἀκριβῆ μεταγραφήν. Αὐτίκα ὁ Ἀποστολικὸς Εἰρηναῖος πρὸς τῷ τέλει τοῦ *περὶ τῆς Ὀγδοάδος* αὐτοῦ συγγράμματος προσέγραψε καὶ τὴν ἐφεξῆς *χαριεστάτην σημείωσιν* (ὡς Εὐσέβιος αὐτὴν ἀποκαλεῖ). « Ὁρκίζω σε τὸν μεταγραψόμενον τὸ βιβλίον τοῦτο, κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κατὰ τῆς ἐνδόξου παρουσίας αὐτοῦ, ἧς ἔρχεται κρῖναι ζῶντας καὶ νεκροὺς, ἵνα ἀντιβάλῃς ὃ μετεγράψω, καὶ κατορθώσῃς αὐτὸ πρὸς τὸ ἀντίγραφον τοῦτο, ὅθεν μετεγράψω ἐπιμελῶς· καὶ τὸν ὅρκον τοῦτον ὁμοίως μεταγράψῃς, καὶ θήσεις ἐν τῷ ἀντιγράφῳ » (α). Καὶ αὐτὸς δὲ ὁ Εὐσέβιος τοιοῦτον προσέγραψεν ἐν τῷ β, τῶν αὐτοῦ χρονικῶν, ὃν ὁ μακάριος Ἱερώνυμος διετήρησεν ἐν τῇ μεταφράσει (Ἐκδ. Σκαλιγ. σελ. 5). Τοιαύτην μετ' ἀρῶν διαμαρτυρίαν ἀναγινώσκομεν καὶ ἐν τοῖς Κλημεντείοις (β). Καὶ Διονύσιος ὁ Κορίνθου (παρ' Εὐσεβ. Ἐκ ἱς. δ, 23), καὶ οὗτος Ἀποστολικὸς ἀνὴρ, ἐκφωνεῖ τὸ « *οὐαὶ κατὰ τῶν ἀποστόλων τοῦ διαβόλου* » (οὕτω λέγων τοὺς ῥᾳδιουργοῦντας τὰς ἱερὰς γραφὰς, καὶ αὐτὰς αὐτοῦ τὰς ἐπιστολὰς, « *ἃς ζιζανίων γεγέμικαν* »). Ἄλλα παραδείγματα τῶν ἀρχαίων Πατέρων παραλείπομεν. Καὶ παρὰ τοῖς Λατίνοις δὲ εὑρίσκονται παραδείγματα τοιούτων ὁρκισμῶν, οἷον παρὰ τῷ Τερτυλλιανῷ (ἐν τῷ προοιμίῳ τοῦ κατὰ Οὐαλεντινῶν), καὶ παρὰ τῷ Ῥουφίνῳ (ἐν τῷ προλόγῳ τοῦ «*περὶ ἀρχῶν*» βιβλίου τοῦ Ὠριγένους). Πρόσθες καὶ τὴν ἐπὶ τοῦ τάφου Διονυσίου τοῦ Φλαβίου εὑρεθεῖσαν ἐπιγεγραμμένην ἀρὰν (γ), καὶ εἴ τι τοιοῦτον ἕτερον (δ).

(α) Εἰρην. παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. Ε, 20: καὶ S. Hieron. S. Eccles. v. Irinaeus, πρβλ. καὶ Voss. App. p. 71.

(β) Ἐπιστολ. Πέτρου πρὸς Ἰάκωβ. σελ. 603, 604. Vol. 1. PP. Apost. καὶ σημ. τοῦ ἐκδότου Coteler. — (γ) Montfaucon Diar. Italic. p. 424 καὶ 79.

(δ) Βλ. Fabric. Bibl. Graec. T. v. p. 79 — 80. ἐκδ. Hamb. 1723.

§. ή. Οὐδὲ παρὰ τοῖς Ἕλλησιν ὑπῆρχεν ἀσυνήθης ὁ πρὸς ἀμετάβλητον τῆς νομοθεσίας διατήρησιν ὁρκισμός. Περὶ τοῦ Λυκούργου προείπομεν (§. έ). Παρὰ δὲ τῷ Χρυσοστόμῳ Δίωνι (λόγ. Π. σελ. 667), βλέπομεν ὅτι καὶ προσεγράφοντο πρὸς τῷ τέλει πάσης βίβλου τῶν νόμων ἀραὶ « *κατὰ τοῦ τολμήσοντος ἀκυροῦν αὐτοὺς καὶ διαφθείρειν* ». Τοιαῦτά τινα καὶ τὰ Πορφυρίου (παρ' Εὐσεβ. Εὐαγ. Προπ. Δ. σελ. 86)· ὅςις ἀντιγράφων *τοὺς χρησμοὺς τῶν ἀποῤῥήτων*, ἐπόμνυται λέγων. « Ἐπεὶ κἀγώ τοι θεοὺς μαρτύρομαι, ὡς οὐδὲν οὔτε προτσέθεικα, οὔτ' ἀφεῖλον τῶν χρησθέντων νοημάτων· εἰ μή που λέξιν ἡμαρτημένην διώρθωσα, ἢ πρὸς τὸ σαφέστερον μεταβέβληκα, ἢ τὸ μέτρον ἐλλεῖπον ἀνεπλήρωσα, ἤ τι τῶν μὴ πρὸς τὴν πρόθεσιν συντεινόντων διέγραψα· ὡς τόν γε νοῦν ἀκραιφνῆ τῶν ῥηθέντων διετήρησα, εὐλαβούμενος τὴν ἐκ τούτων ἀσέβειαν μᾶλλον, ἢ τὴν ἐκ τῆς ἱεροσυλίας τιμωρὸν ἑπομένην δίκην ». Ὁ δ' ὀνειροκρίτης Ἀρτεμίδωρος καὶ εἰς αὐτὰ τὰ Ὀνειροκριτικὰ (Β. 75) προσέγραψε λέγων· « Δέομαι δὲ ὀλίγα τῶν ἐντυγχανόντων τοῖς βιβλίοις, μήτε προσθεῖναι, μήτε τῶν ὄντων ἀφελεῖν. Εἴτε γὰρ δύναιτό τις τοῖς ἐμοῖς προσθεῖναι, ῥᾷον ἂν ἴδια ποιήσειεν· εἰ δέ τινα τῶν γεγραμμένων ταῖς δε ταῖς βίβλοις περισσὰ δοκεῖ, οἷς ἀρέσκεται μόνοις χρήσθω, τὰ λοιπὰ τῶν βιβλίων μὴ ἐξαίρων, θεὸν ἐπόπτην καὶ φύλακα πάντων νομίζων τὸν Ἀπόλλωνα ». Ὅτι δὲ καὶ εἰς στήλας ἐπέγραφον ἀρὰς οἱ ἀρχαῖοι Ἕλληνες κατὰ τῶν μετακινούντων αὐτὰς, καὶ συγχεόντων εἴτε τάφους, εἴτε ὅρια τεμενῶν καὶ ἄλλων χωρίων, ἐφ' οἷς ἵσταντο (ὁποῖαι καὶ ἄλλαι, καὶ ἡ τοῦ Ἀττικοῦ Ἡρώδου ἐπιγραφὴ) (α), τοῦτο παραλείπομεν.

§. θ'. Καὶ ἐν τοῖς βιβλίοις τῶν παλαιῶν ἀστρολόγων καὶ χημικῶν φέρονται προσγεγραμμένοι παρομοίων ἀρῶν τύποι, κατ' ἀρ-

(α) Βλ. Φιλόστρ. ἐν Βίοις Σοφιστ. σελ. 557. ed Morel. βλ. καὶ Salmas. ad inscript. Herod. p. 9. sq. et in Hist. August. c. 16. Πρβλ. καὶ ἄλλην ὁμοίαν στήλην Ἀντωνίας Σωκρατικῆς· ἐν Βοικχίου Ἐπιγραφ: Τ. α, σελ. 531. [Ἡ στήλη αὕτη, σώζεται καὶ νῦν καθ' ἡμᾶς ἐν Ἀθήναις, δεξιόθεν ἀνιοῦσιν εἰς τὴν Ἀκρόπολιν]. Περὶ ἄλλων παρομοίων ἐπιγραφῶν, καὶ μάλιστα Ῥωμαϊκῶν. Βλ. I. Mabillon Musaei Ital. T. 1. p. 147, καὶ Aringho, Roma Subterran. T. 1. p. 138.

χαίαν συνήθειαν τῶν Χαλδαίων καὶ Σύρων καὶ Αἰγυπτίων (παρ᾽ ὧν καὶ Οὐαλεντῖνος, καὶ ἄλλοι αἱρετικοὶ τοὺς αὐτοὺς μετέφερον τύπους εἰς τὰς ἑαυτῶν συγγραφάς). Οἷον Οὐετίου τοῦ Οὐάλεντος (ἀστρολόγου ἐθνικοῦ)· « Ὁρκίζω σε, ἀδελφέ μου τιμιώτατε, καὶ τοὺς μυσταγωγούς μου, οὐρανοῦ μὲν ἀστήρικτον κύτος καὶ κύκλον δυωδεκάζωνον, — ἐν ἀποκρύφοις συντηρῆσαι — μηδὲ λωβῆσαί τινα τῶν προγεγραμμένων, ἢ μελλόντων λέγεσθαι, πρὸς τὸ ἀθετῆσαι τοὺς ἐντυγχάνοντας. — Ἐπιορκοῦσι δὲ, μήτε γῆ βατὴ, μήτε θάλασσα πλωτὴ, μήτε τέκνων σπορὰ, τυφλός τε νοῦς, » κτλ. (α). Ὅτι δὲ καὶ οἱ Ἐσσηνοὶ (οἱ Θεραπευταὶ) ὥρκιζον ἕκαστον τῶν εἰς τὴν αἵρεσιν προσιόντων ὅρκους φρικώδεις, ἄλλα τε τηρεῖν, « καὶ μηδενὶ μεταδοῦναι τῶν δογμάτων ἑτέρως, ἢ ὡς αὐτὸς παρέλαβε, — καὶ συντηρήσειν ὁμοίως τὰ τῆς αἱρέσεως αὐτῶν βιβλία », ἱστόρησε μὲν Ἰώσηπος (Ἰουδ. Πολ· Β, η, 7. πρβ. Εὐσεβ. Προπ. Θ), ἐπανέλαβε δὲ καὶ αὐτὸς ὁ Πορφύριος (π. Ἀποχ. Α, §. 13). Ἀλλὰ καὶ οἱ καθ᾽ ἡμᾶς Ἰουδαῖοι, ἐν τοῖς διὰ τύπων ἐκδιδομένοις τῆς αὐτῶν θρησκείας βιβλίοις συνεκτυποῦσι καὶ ἀρὰς, καὶ ἀναθέματα, κατὰ τῶν, εἴ τις αὐτὰ διαφθείροι (β).

§. ί. Ἐκ πάντων τούτων ἀποδείκνυται ὅτι οἱ Ἰουδαῖοι καὶ ἔθος εἶχον καὶ νόμιμον ἀρχαιότατον (ὅθεν καὶ εἰς τ᾽ ἄλλα ἔθνη μετεδόθη) τὸ δι᾽ ἀρῶν ἀσφαλίζειν τὰς ἱερὰς αὐτῶν βίβλους ἀπὸ πάσης δολόσεως καὶ διασκευῆς. Καὶ κατὰ τοῦτο διέταξεν αὐτοὺς ὁ Δημήτριος διαράσασθαι κατὰ παντὸς, εἴ τις ὁπωσδήποτε τολμή-

---

(α) Ἐκ τῶν Ἀνθολογιῶν Οὐετίου Οὐάλεντος Ἀντιοχέως apud Selden, in Marmor. Arundellian. p. 151 et de Dijs Syris p. 35. Τοιαῦτα καὶ Jul. Firmic. in praefat. Lib. VII. Mathes. πρβλ. Coteler. l. c. Βλ. καὶ Fabric. Bibl. Gr. vol. 4. p. 147. Harl. [Τριπλᾶ τινα φαίνονται τὰ εἴδη τῶν ἀρῶν, ἃς προσέγραφον ἐν τοῖς βιβλίοις οἱ παλαιοί· α) κατὰ τῶν διανοθευόντων καὶ ὁπωσδήποτε ῥᾳδιουργούντων τὰ γεγραμμένα· β) κατὰ τῶν ἐκφερόντων εἰς βεβήλους καὶ ἀμυήτους (ὑφ᾽ ὧν οὐ μόνον διεπαίζοντο, ἀλλὰ καὶ ἐνοθεύοντο). γ) κατὰ τῶν ἀφαιρούντων ἀπὸ τοῦ κτήτορος τὸ βιβλίον (ὃ καὶ νῦν ἔτι παρά τισι τῶν καθ᾽ ἡμᾶς συνεθίζεται). Βλ. Observat. Sacr. III. c. 1].

(β) Βλ. Wagenseil in Tel. ign. Satanae p. 27.

σοι διανοθεῦσαι καὶ τὴν ἑλληνίδα τῶν Γραφῶν ἑρμηνείαν, καθὼς ἱστόρησεν Ἀριστέας, ἐπεκύρωσε δὲ καὶ Εὐσέβιος (Εὐαγ. Προπαρ. η). Οἱ δὲ περὶ τὸν Ὅδιον ἀδίκως ἔψεξαν καὶ κατὰ τοῦτο τὸν ἱστορικὸν, ὡς ὡμολόγησαν καὶ ἐξ αὐτῶν τῶν νεωτέρων σοφῶν ἄνδρες ἐπισημότατοι (α).

§. ιά. Γ). Ἐπλανήθησαν τέλος, οἱ περὶ τὸν Ὅδιον, κακῶς ἐκλαβόντες τὴν περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν πρόθεσιν τοῦ βασιλέως. *Μίαν καὶ ἁπλῆν λέγουσι τὴν πρόθεσιν ταύτην, ὅπως δηλαδὴ καὶ τὸ βιβλίον τοῦ νόμου τῶν Ἰουδαίων ἐξελληνισθὲν ἀποτεθῇ ἐν τῇ βιβλιοθήκῃ* (§. δ). Καὶ ὅμως ὁ μεγαλόφρων ἐκεῖνος βασιλεὺς εἶχε καὶ ἄλλον ἐν ταυτῷ πολλῷ βασιλικώτερον, καὶ αὐτοῦ δὲ τοῦ τὴν ἑρμηνείαν οἰκονομήσαντος θεοῦ ἀξιοπρεπέστερον σκοπόν. — Ποῖον; — ἀπορεῖ Ὅδιος; ἀλλ' ἐκήρυξε τοῦτον αὐτὸς ὁ βασιλεὺς ἐν τῇ πρὸς Ἐλεάζαρον ἐπιστολῇ. « *Βουλομένων δὲ* (λέγει) *ἡμῶν καὶ τούτοις χαρίζεσθαι, καὶ πᾶσι τοῖς κατὰ τὴν Οἰκουμένην Ἰουδαίοις καὶ τοῖς μετέπειτα,* προῃρήμεθα τὸν νόμον ὑμῶν μεθερμηνεῦσαιγρ άμμασιν ἑλληνικοῖς ἐκ τῶν παρ' ὑμῖν λεγομένων ἑβραϊκῶν γραμμάτων, ἵνα *ὑπάρχῃ καὶ ταῦτα παρ' ἡμῖν ἐν τῇ βιβλιοθήκῃ σὺν τοῖς ἄλλοις βασιλικοῖς βιβλίοις* » κτλ. Ἰδοὺ τοῦ βασιλέως ἡ διττὴ πρόθεσις, ἀποβλέπουσα πρὸς ἀμφότερα, τήν τε βιβλιοθήκην καὶ τὸ κοινὸν ὄφελος ἁπάντων τῶν ἐν Αἰγύπτῳ καὶ ἀνὰ πᾶσαν τὴν Οἰκουμένην ἑλληνιστῶν Ἰουδαίων, τῶν χρησομένων τῇ ἑρμηνείᾳ. Τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἀρχιερεὺς διετράνωσεν ἐν τῇ πρὸς τὸν βασιλέα ἐπιστολῇ, λέγων· ὅτι πέμπει τοὺς ἑρμηνεύσοντας τὸν νόμον. « *πρὸς τὴν κοινὴν πᾶσι τοῖς πολίταις ὠφέλειαν* ». Καὶ ἠδύνατο μὲν ὁ Φιλάδελφος μίαν τινὰ μετάφρασιν τῶν ἑβραϊκῶν Γραφῶν, ὑφ' ἑνός τινος ἢ πλειόνων ἑρμηνευτῶν ἰδιωτικῶς φιλοπονηθεῖσαν, εἴς τε τὴν βασιλικὴν ἀποθησαυρίσαι βιβλιοθήκην, καὶ τοῖς ἐν Αἰγύπτῳ Ἰουδαίοις εἰς χρῆσιν παρασχεῖν· περὶ τούτου τίς ἀμφιβάλλει; Ἀλλ' ἡ τοιαύτη μετά-

(α) Βλ. Observat. Sacr. L. III. c. 1. καὶ Fabric. Bibl. Gr. vol. 5. p. 75—80.

φρασις εὐκόλως ἂν ὑπέκειτο εἰς μομφὰς καὶ ὑπονοίας καὶ ἀντιλογίας ποικίλας, ὡς μὴ ἔχουσα κῦρος. Τὸ δ' ἄλλως ὑπὸ τῆς θείας Σοφίας προώριστο. Διὰ ταῦτα ὁ συνετὸς βασιλεὺς ἐφιλοτιμεῖτο (τοῦ Δημητρίου μάλιστα παραινοῦντος), ὅπως ἡ τῶν θείων παρ' Ἰουδαίοις πιστευομένων Γραφῶν ἑρμηνεία βουλῇ τε τοῦ Ἀρχιερέως καὶ διὰ τῶν παρ' αὐτοῦ ἐκλεγέντων ἀρίστων ἑρμηνευτῶν ἐξ ἀντιγράφων ἀκριβεστάτων ἐκπονηθεῖσα, καὶ πανδήμως δὲ ὑπὸ τοῦ ἔθνους δοκιμασθεῖσα, κτῆμα βέβαιον ἀποβῇ καὶ ἀναντίῤῥητον καὶ ἀμώμητον εἰς τὸν ἅπαντα χρόνον. Ὅθεν, ἀφ' οὗ πανδήμως ἐδοκιμάσθη ἡ ἑρμηνεία *ὡς καλῶς καὶ ὁσίως ἡρμηνευμένη*, ἐψηφίσθη ἀκολούθως καὶ ἵνα *διαμένωσι τὰ γεγραμμένα διὰ παντὸς ἀέναα καὶ ἀμετάβλητα*· ἡ δὲ ψῆφος ἀραρότως καὶ δι' ἀρῶν ἐπεσφραγίσθη. Ταῦτα μαθὼν ὁ βασιλεὺς «*ἐχάρη μεγάλως*», νομίσας ἤδη «*ἀσφαλῶς τὴν πρόθεσιν, ἣν εἶχε, τετελέσθαι*»· καὶ ταῦτα καθαρῶς καὶ σαφῶς οὐχ ἧττον, ἢ ἀληθινῶς ἱστόρησεν Ἀριστέας. Ἀλλ' οἱ περὶ τὸν Ὅδιον οὐ προσέσχον. Σπεύδοντες δὲ πανταχόθεν μωμήσασθαι τὸν ἱστορικὸν, αὐτοί τε τὴν ἑαυτῶν φιλόψογον ἐμπάθειαν ἐστηλίτευσαν, εἰς ποικίλας ἀντιφάσεις περιπεσόντες, καὶ τὸν Ἀριστέαν λαμπρότερον ἀπέδειξαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς εἰς τοὺς Ἰουδαίους, ἕνεκα τῆς ἑρμηνείας τῶν Γραφῶν, μεγαλοδωρίας τοῦ Φιλαδέλφου.

§. ά. Ὁ λογιώτατος Αιχθόφωτος ἄγχει βιαίως, ὡς ψεύστην, ἀπωθῶν εἰς τὸ βάραθρον τῆς νοθείας τὸν Ἀριστέαν, δι' ἃς ἱστόρησε φιλοτιμοτάτας τοῦ Φιλαδέλφου δαπάνας, ὅσας ἐκεῖνος ὁ βασιλεὺς οὕτως ἀφειδῶς ἐξέχεεν εἰς τοὺς Ἰουδαίους, τούς τε δουλεύοντας αἰχμαλώτους λυτρώσας, καὶ δῶρα καὶ ἀναθήματα πέμψας εἰς τὸν ναὸν τῶν Ἱεροσολύμων, μόνον διὰ χάριν τῆς ἑρμηνείας τῶν Γραφῶν! Ἡ περὶ τοῦτο δαπάνη (λέγει ὁ κριτικὸς) συγκεφαλαιοῦται τοὐλάχιστον εἰς χίλια τάλαντα· *ἀλλὰ τοσούτων οὐδ' αὐτὴ ὁλό-*

κλῆρος ἡ τῆς Ἀλεξανδρείας βιβλιοθήκη συνέστη· οὐδ᾽ αὐτὸ τῶν ἐτησίων τῆς Αἰγύπτου προσόδων ὅλον τὸ κεφάλαιον ἀνέβαινεν εἰς τοσοῦτον ἀριθμόν (α). Ὁ δὲ κλεινὸς Οὐόσσιος ἀπαντῶν, « Οἱ ταῦτα (λέγει) φρονοῦντες ἀγνοοῦσιν, ἡλίκον ἦν τὸ τῆς Αἰγύπτου χρῆμα· καὶ ὅτι ἡ τοῦ Πτολεμαίου ἐτησία πρόσοδος ἀνέβαινεν εἰς πολλὰς χιλιάδας ταλάντων, *χιλιάδας ὅλας πεντήκοντα!* » (β). Ἀλλ᾽ ὁ σοφὸς Ὅδιος, δίκαια ταῦτα ποιῶν, τὸν μὲν Λιχθόφωτον κατέκρινεν, ὡς πάντως πλανηθέντα περὶ τὴν ἐτησίαν τῶν Πτολεμαίων πρόσοδον· ὡμολόγησε δὲ καὶ αὐτὸς πλουσιωτάτους γενομένους τοὺς Πτολεμαίους, καὶ μάλιστα τὸν Φιλάδελφον· καίτοι (λέγει) τὸ κατ᾽ ἔτος αὐτῶν εἰσόδημα παρὰ πολὺ τῶν 50,000 ταλάντων ἔλασσον ἦν.

§. β΄. Ἀλλ᾽ ἑτέρωθεν πάλιν ὁ κριτικὸς, « *φίλῃ δουλεύων φρενὶ* », συμφωνεῖ μετὰ Βαιλλίου (γ), καὶ Βοβερίου (δ), καὶ αὐτοῦ Λιχθοφώτου, καὶ τοῦ Σίμωνος, πρᾶγμα νομίζων ἄπιστον ὅλως τὴν ὑπὲρ τῆς ἑρμηνείας τῶν Γραφῶν ἐξαισίαν τοῦ Φιλαδέλφου δαπάνην, ὡς ἱστόρησεν αὐτὴν Ἀριστέας· « Καὶ ἦν μὲν ὁ Φιλάδελφος (λέγουσιν οἱ περὶ τὸν Ὅδιον), οἷον Ἀππιανὸς αὐτὸν διαγράφει, λέγων· ὅτι « Καὶ πορίσαι δεινότατος (γρ. *δυνατώτατος*) ἦν βασιλέων, καὶ δαπανῆσαι λαμπρότατος, καὶ κατασκευάσαι μεγαλουργότατος » (ε), ἀλλ᾽ ὅμως ὑπερβαίνει πᾶσαν πίστιν, ὅτι καὶ τοσοῦτον ἠθέλησεν ἐκχέαι θησαυρὸν εἰς ἑνὸς βιβλίου κτῆσιν, ἐν ᾧ μόλις ἐδαπάνησε τοσαῦτα εἰς ὅλην τὴν βιβλιοθήκην. Καὶ φαίνεται ἄρα ὁ Ἀριστέας ὅτι παρέπλασεν Ἰουδαϊκῇ ματαιοφροσύνῃ τοσαύτας περὶ τὸν νόμον γενομένας δαπάνας, ὅπως πείσῃ τοὺς ἀναγνώστας πιστεύειν, ὅτι δῆθεν ὁ Φιλάδελφος οὕτως ἐτίμα τὸν νόμον τῶν Ἰουδαίων, καὶ τοσαύτην

(α) Lightfoot, in Rabbinica et Talmudic. expositione (παρ᾽ Ὀδίῳ σελ. 72). Τοιαῦτα καὶ Simonius in Crit. Sacr.

(β) I. Voss. Respons. ad object. Crit. Sacr. Simonij p. 333.

(γ) A. Baillius Hist. Chronol. L. 1. — (δ) Wower. Syntag. c. 9.

(ε) Ἀππιαν. προοιμ. Ῥωμ. ἱστορ. §. 1. (σελ. 13. vol. 1. ed. Schweigh. πρβλ. καὶ annot. vol. 3. p. 125).

ὑπὲρ αὐτοῦ κατέβαλε δαπάνην, ὥστε πάσας τὰς λοιπὰς μυριάδας τῶν βιβλίων, ὡς πρὸς τοῦτο δὴ τὸ ἓν τὸ ἑβραϊκὸν, ἐλογίζετο ἴσα καὶ μηδενί.

§. γ΄. « Ἀλλ᾽ ὅτι μὲν (λέγουσιν) ὁ Φιλάδελφος ἐδωρήσατό ποτε τοῖς Ἰουδαίοις λαμπροτάτας δωρεὰς, οὐ δυσκόλως συγχωρήσομεν. Διότι καὶ ἄλλας πόλεις ἐκεῖνος μεγάλαις ἐτίμησε δωρεαῖς, προσαγόμενος τοὺς λαοὺς, ὡς ἀρχαῖοι συγγραφεῖς ἱςοροῦσιν. Αὐτίκα Μέμνων ὁ Ἡρακλεώτης (παρὰ Φωτ. Ἀναγν. σκδ.) λέγει· « Πτολεμαῖος δὲ ὁ τῆς Αἰγύπτου βασιλεὺς, εἰς ἄκρον εὐδαιμονίας ἀναβὰς, λαμπροτάταις μὲν δωρεαῖς εὐεργετεῖν τὰς πόλεις προήγετο, ἔπεμψε δὲ καὶ τοῖς Ἡρακλεώταις ἀρτάβας πυροῦ πεντακοσίας, καὶ ναὸν αὐτοῖς Προικοννησίας πέτρας ἐν τῇ ἀκροπόλει Ἡρακλέους ἀνεδείματο ». Τοιαύτην τὴν Φιλαδέλφου μεγαλοδωρίαν ὕμνησε καὶ Θεόκριτος (ιζ. 111)· « Πολλὸν δ᾽ ἰφθίμοισι δεδώρηται βασιλεῦσι, Πολλὸν δὲ πτολίεσσι » (χρυσόν). Καὶ Φίλων δὲ μαρτυρεῖ « τοσαύταις γενεαῖς ᾀδόμενον τὸ Φιλαδέλφου κλέος, πολλὰ δείγματα καὶ μνημεῖα τῆς μεγαλοφροσύνης κατὰ πόλεις καὶ χώρας καταλιπόντος· ὡς ἤδη καὶ ἐν παροιμίας εἴδει τὰς ὑπερόγκους φιλοτιμίας καὶ μεγάλας κατασκευὰς Φιλαδελφείους ἀπ᾽ ἐκείνου καλεῖσθαι » (βίῳ Μωσ. β.). Μία τοίνυν τῶν ὑπὸ τῆς Φιλαδέλφου μεγαλοδωρίας τετιμημένων πόλεων φαίνεται καὶ ἡ πόλις τῶν Ἱεροσολύμων. Καὶ τοῦτο (λέγουσι) παρέσχε τῷ Ψευδαριστέᾳ λαβὴν τῆς μυθοπλαστίας, ὅτι δῆθεν ὁ Φιλάδελφος ἐχαρίσατο τοῖς Ἰουδαίοις τοσοῦτον σωρὸν δωρεῶν, ὅπως ἀντιλάβῃ τὴν ἑρμηνείαν τοῦ νόμου. Πότερον δὲ, τοιαῦτα ἦσαν ἄρα τὰ παρ᾽ αὐτοῦ πεμφθέντα δῶρα, ὁποῖα διέγραψεν οὗτος, ἢ μὴ τοιαῦτα, οὔτε βεβαιοῦμεν (εἰ γὰρ ὑπῆρχε καί τι ἀληθὲς, διὰ πλείστων καὶ τοῦτο κατεμόλυνε μύθων), οὔτε πάλιν ἀπαρνούμεθα (ἠδύνατο γὰρ καί τι ἀληθὲς ἀναμίξαι μετὰ τοσούτων ψευσμάτων). Πιθανὸν δὲ ὅμως δοκεῖ καὶ πιστὸν, ὅτι ὁ Φιλάδελφος καθιέρωσεν ἀναθήματά τινα καὶ εἰς τὸν ἐν Ἱεροσολύμοις ναὸν, ὡς ἐδείματο καὶ τῷ Θεῷ τῶν Ἡρακλεωτῶν ἱερόν. Καὶ εἴπερ ἦσαν ἀληθῶς ἐν Αἰγύπτῳ δουλεύοντες οἱ παρὰ τοῦ Λαγίδου μετοικισθέντες Ἰουδαῖοι,

οὐδὲ τοῦτο φαίνεται παράλογον, ὅτι ὁ Φιλάδελφος, ὁ μηδέποτε δωρούμενος φειδωλῇ χειρὶ καὶ συνεσταλμένῃ, πρὸς ταῖς ἄλλαις ταῖς πεμφθείσαις εἰς Ἱεροσόλυμα φιλοτίμοις δωρεαῖς προσέθηκε φιλαγάθως καὶ τὴν λύσιν τῶν αἰχμαλώτων, πληρώσας αὐτῶν τὰ λύτρα ἐκ τοῦ ἰδίου θησαυροῦ ». Ταῦτα οἱ περὶ τὸν Ὅδιον.

§. δ΄. Ἄλλος δέ τις Ὀδίου συμπολίτης καὶ ὁμόφρων, ὁ Πριδῶς, ἔτι φιλοτιμότερον καὶ μετὰ λογιστικῆς ἀκριβείας ἐπεμελήθη τὸν Ἀριστέα ψευδόμενον περὶ τοῦ πράγματος ἐξελέγξαι. « Ὁ Ἀριστέας (λέγει οὗτος) ποιεῖ τὸν Πτολεμαῖον ἄπιστον πλῆθος καταβαλόντα χρημάτων, ἕνεκα τοῦ κτήσασθαι τὴν ἑρμηνείαν τοῦ νόμου. Κατ' αὐτὸν ὁ Πτολεμαῖος ἐδαπάνησε α) εἰς λύτρα τῶν κατὰ τὴν ἐπικράτειαν αὐτοῦ δουλευόντων αἰχμαλώτων Ἰουδαίων τάλαντα 660 (α)· β) εἰς σκεύη ἀργυρᾶ πεμφθέντα ἀναθήματα εἰς τὸν ναὸν, τάλαντα 70· γ) εἰς ἕτερα σκεύη χρυσᾶ, τάλαντα 50· δ) εἰς λίθους πολυτίμους πρὸς ἐπικόσμησιν τῶν σκευῶν (πενταπλασίως ὑπερέχοντας τὴν τοῦ χρυσοῦ τιμὴν), τάλαντα 250· ε) εἰς θυσίας, ἀργυρᾶ τάλαντα 100· ς) εἰς τοὺς ΟΒ, ἑρμηνευτὰς, ὅτε ἦλθον (ἑκάςῳ ἀνὰ 3 τάλαντα ἀργυρᾶ), τὸ ὅλον τάλαντα 216· καὶ πάλιν ὁπότε ἀνεχώρουν (ἑκάστῳ ἀνὰ 2, τάλαντα χρυσοῦ, καὶ χρυσοῦν κυλίκιον ἑνὸς ταλάντου) τὸ ὅλον πάλιν τάλαντα 216. Πάντα δὲ ταῦτα συμποσούμενα ἀποτελοῦσι 1046 τάλαντα ἀργύρου, καὶ 516 τάλαντα χρυσοῦ. Ἀναγόμενα δὲ τὰ πάντα εἰς τὸ παρὰ τοῖς Ἄγγλοις σύνηθες νόμισμα τῆς *στερλιγγείου λίτρας* ἀναβαίνουσιν εἰς ἓν ἑκατομμύριον, καὶ ἐννεακοσίας δεκαοκτὼ χιλιάδας

(α) « Πλεῖν δὲ ταλάντων ἑξακοσίων ἑξήκοντα ἡ δόσις (τῶν λύτρων) ἐγένετο » (Ἀριστέας σελ. V. ἐκδ. Hody). Ἀλλ' ὀλίγῳ πρότερον ἀντὶ ἑξακοσίων γέγραπται τετρακοσίων (p. IV. Hod.). Οὕτως ἔχει καὶ Ἰώσηπος τὸ μὲν πρῶτον « τετρακόσια » (μόνον), τὸ δὲ δεύτερον « τάλαντα ὑπὲρ τὰ ἑξήκοντα καὶ τετρακόσια τῶν λύτρων ἐγένετο » (Ἀρχ. ΙΒ. β. §. 2. σελ. 587,588. Hav.). Πότερον τὸ ἀληθέστερον, τὸ τετρακόσια; ἢ τὸ ἑξακόσια; Βλ. τὰς περὶ τούτου εἰκασίας ἐφεξῆς §. ιζ. Οἱ δὲ περὶ τὸν Ὅδιον οὐδεμίαν περὶ ταύτης τῆς παρ' Ἰωσήπῳ πρὸς Ἀριστέαν, καὶ αὐτοῦ τούτου πρὸς ἑαυτὸν διαφωνίας μνείαν ἐποιήσαντο. — Σημ. ἡμετ.

καὶ πεντακόσια τριακονταεπτὰ *στερλίγγια*, καὶ δέκα *σελίγγια* (1,918,537, σελίγ. 10). Ἐὰν δὲ προστεθῇ καὶ ἡ ἀξία τῶν ἄλλων δωρεῶν (στολῶν καὶ τρικλίνων), ὅσας τοῖς ΟΒ πρεσβυτέροις ἀναχωροῦσι προσεπεχορήγησεν ἡ τοῦ βασιλέως μεγαλοπρέπεια (κατὰ τὸν Ἀριστέαν), καὶ προσέτι τὰ δαπανηθέντα εἴς τε τὴν ἐξ Ἱεροσολύμων μετάπεμψιν καὶ εἰς τὴν ἐπάνοδον αὐτῶν, τότε τὸ κεφάλαιον τῆς ὅλης ποσότητος συγκορυφοῦται εἰς ὁλόκληρα στερλιγγίων δύω ἑκατομμύρια (2,000,000). Ταῦτα δὲ λίαν πιθανῶς ἠδύναντο κατὰ τὸ εἰκοσαπλάσιον ὑπερέχειν τὴν ἀξίαν τῆς ὅλης βιβλιοθήκης. Ἀλλὰ τοιαύτην διήγησιν, καθ᾽ ἣν ὁ Πτολεμαῖος ἐδαπάνησε τοσαῦτα, χάριν ἑνὸς βιβλίου, καὶ τούτου μήτι πάνυ δοκοῦντος ἀξιοτίμου μήτε παρ᾽ αὐτῷ τῷ βασιλεῖ, μήτε παρ᾽ ἄλλῳ τινὶ τῶν κατ᾽ αὐτὸν αὐλικῶν (ὡς ἀνθρώποις οὖσιν ἐθνικοῖς), τοιαύτην, λέγω, διήγησιν τίς ἂν ἀποδέξαιτο πιστεύσας ὡς ἀληθινὴν καὶ γνησίαν ἱστορίαν; ». Τοιαῦτα καὶ ὁ Πριδώς (α).

§. έ. Ἡμεῖς δὲ πρὸς ταύτας τὰς λεπτὰς ἀκριβολογίας τῶν κριτικῶν τὸ μὲν σύνολον ἀπαντῶντες, πρῶτον ἐνθυμίζομεν τοὺς ἄνδρας ὅτι λίαν ἐμπορικῶς καί, ὡς εἰπεῖν, τραπεζιτικῶς ἐξώγκωσαν τὸ κεφάλαιον τῆς εἰς τὴν ἑρμηνείαν δαπάνης, προστιθέντες ἀδίκως εἰς τὸν ὑπολογισμὸν τὸ μέγιστον τῆς ποσότητος μέρος, τὰ λύτρα

(α) Humf. Prideaux Connexion P. 2. B. 1. p. 37 (βλ. Vindication of the history etc. p. 136, 137). Σύμφωνα δὲ πρὸς τὸν Πριδὼν διέλαβε καί τις ἄλλος ἐπελθὼν μετ᾽ αὐτόν, ὁ Fasson. de Graec. Sacr. Lit. Edit. p. 43, 44. Ἕτερος δέ τις λογιστής, ὁ Diodatus (De Chr. Hellen. p. 193) χίλια διακόσια τὰ τάλαντα ἀριθμεῖ, μὴ διακρίνων τὰ χρυσᾶ τῶν ἀργυρῶν. « Τοῦτο δὲ (προστίθησι) τὸ κεφάλαιον μόλις ἀπήρτιζον τριῶν ἐτῶν πρόσοδοι » κτλ. Ὁ δὲ Βανδάλης, καί τοι θερμουργός, ἀλλ᾽ ὅμως οὐκ ἐτόλμησεν ὑπερβῆναι τὰ χίλια τάλαντα, ἀλλ᾽ ἐν τούτοις σταθεὶς ὀλοφύρεται! (Van Dale Diss. c. IX. p. 71). Πολὺ δὲ παρὰ πάντας τραγικώτερος ἐφάνη περὶ τὴν ἐκτίμησιν τῶν δώρων ἄλλος τις παραδοξολόγος, ὅστις ἀνεβίβασε τὴν τιμὴν εἰς ἑκατὸν χιλιάδας τάλαντα « Phialas aureas viginti, argenteas triginti, — centum millium talenta ». Sarn. de LXX. p. 14. Οὕτως οἱ κριτικοὶ πρὸς ἀλλήλους ἐν τούτοις διαφωνοῦντες, περιπίπτουσιν εἰς ἁμαρτήματα βαρύτερα καὶ πραγματικώτερα τῶν ὧν ἐξελέγχειν ἐπιχειροῦσι (Βλ. καὶ Demagistr. Apolog. Diss. III. p. 415—417 καὶ Diss. 1. p. 354). — Σημ. ἡμετ.

τῶν αἰχμαλώτων (660 τάλαντα). Καὶ ἔστι μὲν ἀληθὲς, ὅτι τῆς τῶν Γραφῶν ἑρμηνείας ἡ κτῆσις παρέσχεν ἀφορμὴν εἰς τὴν λύτρωσιν τῶν δεδουλωμένων (ὡς αὐτὸς ἱστόρησεν Ἀριστέας, ἀρχόμενος τῆς συγγραφῆς)· ἀλλ᾽ ὅμως τὸ ἔργον ἀνήκει κυρίως εἰς τὴν μεγαλοφροσύνην τοῦ βασιλέως, καὶ τὸν φιλάνθρωπον καὶ φιλοδίκαιον αὐτοῦ τρόπον· καὶ μαρτυρεῖ αὐτὸς ὁ Φιλάδελφος ἔν τε τῷ περὶ τῆς ἀπολυτρώσεως προστάγματι, καὶ ἐν τῇ πρὸς Ἐλεάζαρον ἐπιστολῇ, ἄδικον ἀνακηρύττων γενομένην τὴν καταδούλωσιν, *διὰ τὰς τῶν ὄχλων ὁρμάς*· καὶ ὅτι τὸ τότε κακῶς πραχθὲν αὐτὸς ἤδη θεραπεύει καὶ διορθοῦται, πᾶσι τὸ δίκαιον ἀπονέμων, καὶ ἅμα καθῆκον εὐσεβείας ἐκπληρῶν, « καὶ τῷ μεγίστῳ Θεῷ χαριστήριον τὴν λύτρωσιν τῶν δεδουλωμένων ἀνατιθείς ». Ἰδοὺ εἰς ποίας αἰτίας ἀποδίδωσι τὴν τῶν λύτρων δαπάνην αὐτὸς ὁ Φιλάδελφος. Ταύτην δὲ δήπου καὶ χωρὶς τῆς ἑρμηνείας τῶν Γραφῶν ἠδύνατο πάντως καταβαλεῖν ἡ φιλάνθρωπος μεγαλοψυχία τοῦ βασιλέως καὶ κατ᾽ ἄλλην τινὰ περίστασιν, καὶ δι᾽ ἁπλῆν τῶν φίλων μεσιτείαν· οἵτινες, καὶ πρὶν ἢ κινηθῇ τὸ περὶ τῆς ἑρμηνείας ζήτημα, διεφρόντιζον περὶ τῆς ἀπολύσεως τῶν αἰχμαλώτων, ὡς Ἀριστέας αὐτὸς μαρτυρεῖ, καὶ Ἰώσηπος (Ἀρχ. ΙΒ, 6, 2), λέγων· « ὅτι πολλάκις καὶ πρότερον ὁ Ἀριστέας ἔγνω περὶ τούτου παρακαλέσαι τὸν βασιλέα ». Ἐγγυᾶται δὲ τὸ πρᾶγμα καὶ τοῦ βασιλέως ἡ μεγαλοδωρία, ὅστις ἐν τῷ περὶ λύσεως τῶν αἰχμαλώτων διατάγματι προσέθηκεν ἀφ᾽ ἑαυτοῦ καὶ τοὺς « *εἴ τινες προῆσαν* » (πρὸ τῶν ὑπὸ τοῦ Λαγίδου αἰχμαλωτισθέντων), « *ἢ καὶ μετὰ ταῦτα εἰσηγμένοι* »· ὅθεν καὶ ὁ Ἰώσηπος τὴν μὲν λύσιν τῶν αἰχμαλώτων ἐξήνεγκεν ὡς μίαν τῶν εἰς τοὺς Ἰουδαίους εὐεργεσιῶν τοῦ Φιλαδέλφου, τὴν δὲ τῶν Γραφῶν ἑρμηνείαν ἀπένειμεν ἰδίως εἰς τὴν αὐτοῦ περὶ τοῦ γνῶναι τοὺς νόμους ἐπιθυμίαν (Β, Ἀπίων. §. 4: καὶ Ἀρχ. προοιμ. §. 3). Ὅτι δὲ καὶ ἄλλως ὁ Φιλάδελφος ἠδύνατο λυτρώσασθαι τοὺς δεδουλωμένους ἕνεκα τῆς ἰδίας αὐτοῦ φιλανθρωπίας, μαρτυρήσουσι καὶ αὐτοὶ οἱ περὶ τὸν Ὅδιον. Ἢ οὐ διετείνοντο οὗτοι μικρὸν ἀνωτέρω (σελ. 488), ὅτι καὶ Λαγίδης τὸ πλεῖστον τῶν αἰχμαλώτων ἀπέλυσεν ἕνεκα τῆς ἑαυτοῦ χρηστότητος; (Ὁ δὲ

Φιλάδελφος ὡμολόγηται φιλάγαθος πολλῷ πλέον τοῦ πατρός). Ἀλλ' ἤδη παραδύουσιν οἱ ἄνδρες καὶ τὰ λύτρα εἰς τὸ κεφάλαιον τῆς εἰς τὴν ἑρμηνείαν δαπάνης, ἄγαν ἔκτοπον καὶ τερατώδη παριστῶντες δῆθεν τὴν ἀτοπίαν. « *Εἰς ἑνὸς βιβλίου ἀγορὰν* 1046 *ἀργυρᾶ τάλαντα, καὶ* 516 *χρυσᾶ!*

§. ϛ'. Ἀλλ' ἔστω τὸ πρᾶγμα καὶ κατὰ τὴν ἀπαίτησιν τῶν καθ' ἡμᾶς ἀναφανέντων ἀκριβολόγων τούτων τοῦ Φιλαδελφείου ταμείου λογιστῶν, καὶ προστιθέσθωσαν καὶ τὰ λύτρα πρὸς ἐξόγκωσιν τῆς τιμῆς *τοῦ ἑνὸς δὴ τούτου καὶ μόνου βιβλίου!* Ἀλλὰ μήπως οὐκ ἐγγυῶνται καὶ ταύτην τοῦ Φιλαδέλφου τὴν μεγαλοδωρίαν αὐταὶ πάλιν αἱ μαρτυρίαι τῶν προμνημονευθέντων ἱστορικῶν; Εἰ μὲν γὰρ ἔγραφον οὗτοι φειδωλόν τινα καὶ γλίσχρον δι' ἀνελευθερίαν, ἢ πένητα καὶ ἄχαριν γενόμενον τὸν Φιλάδελφον, ἢ καὶ ὅλως περὶ τῆς αὐτοῦ μεγαλοδωρίας ἐσιώπων, δικαίως ἂν ἀμφέβαλλον οἱ κριτικοὶ περὶ τῆς ὑπ' Ἀριστέου διαγραφείσης φιλοτιμίας τοῦ βασιλέως· ἐπειδὴ δὲ συμφώνως ὁμολογοῦσι τὰς εἰς ἔθνη τε καὶ πόλεις ἐπιφανεστάτας αὐτοῦ δωρεὰς, τίς ἂν ἀμφιβάλοι δικαίως, ὅτι μία τῶν *ὑπερόγκων καὶ φιλαδελφείων* φιλοτιμιῶν ὑπῆρξε καὶ ἡ πρὸς τοὺς Ἰουδαίους, καὶ μάλιστα πρὸς κτῆσιν τῆς ἑρμηνείας τῶν Γραφῶν; Ἢ πρὸς μὲν τοὺς Ἡρακλεώτας ὁ Φιλάδελφος ἐφιλοτιμεῖτο μεγαλοφρόνως, ὡσαύτως καὶ πρὸς ἄλλας πόλεις μακρὰν τῆς ἐπικρατείας κειμένας, καὶ *βασιλεῦσι καὶ λαοῖς πολλὰ χαριζόμενος* (ἅτε δὴ καὶ φύσει τὸ φιλότιμον ἔχων μεγαλουργὸν, καὶ πολιτικῇ συνέσει τὴν παρὰ τῶν ξένων προσαγόμενος εὔνοιαν, « *ἐν ᾗ κεῖται τὸ παράπαν ἡ τῶν μοναρχῶν ἀσφάλεια* » Πολύβ. λειψ.). Ὁλόκληρον δὲ τὸ ἔθνος τῶν Ἰουδαίων, καὶ τοῦτο γειτονεῦον, καὶ τὸ πλεῖστον ὑπήκοον εὐεργετῶν ὁ Φιλάδελφος, μικρά τινα καὶ γλίσχρα καὶ τῆς συνοίκου μεγαλοφροσύνης ἀνάξια εὐεργετεῖν ἔμελλε; Καὶ πῶς; ὅστις πρὸς τῇ λύσει τῶν αἰχμαλώτων καὶ ταῖς ἄλλαις εὐεργεσίαις, « *καὶ χρήματα πολλάκις ἐδωρήσατο τοῖς Ἰουδαίοις;* (α).

(α) Ἰώσηπ. κατ' Ἀπίων. Β. §. 4. Ἄπορον πῶς διέλαθε τοὺς κριτικοὺς αὐτη ἡ

Ἀλλ᾽, ὡς ἔοικεν, ἠνώχλησε τοὺς κριτικοὺς οὐχ᾽ οὕτω τὸ μέγεθος καὶ τὸ πλῆθος, ὅσον ὁ σκοπὸς καὶ τὸ τέλος τῶν πρὸς Ἰουδαίους μεγαλοδωρεῶν τοῦ βασιλέως. Εἰ μὲν γὰρ ὁ Ἀριστέας ἔγραφεν, ὅτι διὰ μόνην βασιλικὴν φιλοτιμίαν, ἢ καὶ δημαγωγῶν καὶ προσοικειούμενος ὁ Φιλάδελφος εὐηργέτησε τοσαῦτα τὸ Ἰουδαϊκὸν (οὐχὶ δὲ καὶ πρὸς κτῆσιν τῆς ἑρμηνείας τῶν Γραφῶν), μηδόλως ἀμφίβαλλε, ἀναγνῶστα, ὅτι παρεδέχοντο τὴν διήγησιν ἀταλαιπώρως καὶ σιωπῶντες οἱ παῖδες οὗτοι τῆς κριτικῆς, καὶ οὔτ᾽ αὐτὸν τὸν Ἀριστέαν εὕρισκον λῆρον Ἰουδαῖον, οὔτε τὰ διαγραφόμενα δῶρα μετὰ πολλῆς ἐξετίμων τῆς ἀκριβολογίας, οὔτε τὴν ἀξίαν τῆς Ἀλεξανδρινῆς βιβλιοθήκης *εὖ καὶ ἐπισταμένως* διεψηφίζοντο, οὔτε τῶν ἐτησίων τῆς Αἰγύπτου προσόδων ἐκάθιζον λογοθέσιον αὐστηρόν· οὐδὲ γὰρ ἐν τοῖς παρὰ Θεοκρίτῳ καὶ τῷ Μέμνωνι καὶ τῷ Φίλωνι περὶ τῆς Φιλαδέλφου μεγαλοπρεπείας ἱστορουμένοις ἐπεδείξαντο τοιαύτην ἀμφιβολίαν καὶ δυσπιστίαν, οὐδ᾽ εἰς τὴν παρὰ τῷ Καλλιξένῳ πολύχρυσον ἐκείνην πομπήν. Ἐπὶ δὲ τοῦ Ἀριστέου προσέπεσαν βαρεῖς διὰ μόνην τὴν ἑρμηνείαν τῶν Γραφῶν! Ἀλλ᾽ εἰς μάτην, ὡς ὀψόμεθα, παρωξύνθησαν.

§. ζʹ. Μήτε παρὰ τῷ βασιλεῖ, μήτε παρὰ τοῖς ἐκείνου φίλοις καὶ αὐλικοῖς ἀξιότιμον οὖσαν λέγουσι τὴν βίβλον τοῦ Νόμου τῶν Ἰουδαίων, ὡς ἂν οὖσιν ἐθνικοῖς! Ἀλλ᾽ ὁ Φίλων (καὶ συγχωρήσουσιν οἱ ἄνδρες, εἴ τινες πιστεύουσιν ἐκείνῳ μᾶλλον, ἢ αὐτοῖς), ὁ Φίλων λέγει ῥητῶς, ὅτι ὁ Φιλάδελφος « *ἔλαβε ζῆλον καὶ πόθον τῆς Ἰουδαίων νομοθεσίας* » (βίῳ Μωσ. β. σελ. 139)· συνομολογεῖ δὲ καὶ Ἰώσηπος, ἱστορῶν αὐτὸν *ἐπιθυμητὴν* τοῦ γνῶναι τοὺς Νόμους (κατ. Ἀπίων. Β. §. 4). Ὁ δὲ ζηλωτής τινος καὶ ἐπιθυμητὴς « *οὐ τεταγμένα δαπανᾷ πρὸς τὸ τυχεῖν τοῦ ἐφετοῦ* » ! Εἰ δ᾽ ἐθνικὸς καὶ εἰδωλόθρησκος οὗτος, ὁ τοῦ Φιλητᾶ καὶ Στράτωνος καὶ ἄλλων φιλοσόφων στεφηφόρος ἀκροατής, « ἀλλ᾽ εἶχεν ἴσως ἐναύσματα καὶ τῆς *ἰουδαϊ-*

πολλάκις παρὰ τοῦ βασιλέως τοῖς Ἰουδαίοις δόσις χρημάτων· Εἰ δὲ μή, καὶ ταύτην ἂν προσετίθουν εἰς τὴν ἑρμηνείαν τῶν Γραφῶν, ἐξογκοῦντες εἰς πολλὰς καὶ ἄλλας μυριάδας ταλάντων τὸ κεφάλαιον τῆς δαπάνης!

κῆς φιλοσοφίας ἅμα καὶ εὐσεβείας » (ὡς ἔλεγεν ὁ Φίλων περὶ τοῦ Ῥωμαίου ἐκείνου ἡγεμόνος), « εἴτε καὶ πάλαι προμαθὼν, ἕνεκα τῆς περὶ παιδείαν σπουδῆς, εἴ τε καὶ ἀφ' οὗ τῶν χωρῶν ἐκράτησεν, ἐν αἷς Ἰουδαῖοι καθ' ἑκάστην πόλιν εἰσὶ παμπληθεῖς» (Φίλ. περὶ Ἀρετῶν). Ἀλλὰ καὶ ὡς ἐθνικὸς οὐδόλως ἐκωλύετο ὑπὸ τῆς ἰδίας θρησκείας οὔτ' αὐτὸς, οὔτε ὁ Δημήτριος, μὴ καὶ τὴν Ἰουδαίων νομοθεσίαν σεμνύνειν, θείαν αὐτὴν πρεσβεύων (τοιαῦτα δὲ καὶ παρ' Ἕλλησι ψευδῶς μὲν, ἀλλ' ὅμως ἐνομίζοντο καὶ τὰ Μίνωος, καὶ τὰ Λυκούργου νομοθετήματα), καὶ πρὸς δικαιοπραγίαν μάλιστα συντελεστικήν. Οὕτω καὶ Στράβων, εἰδωλόθρησκος ὢν κἀκεῖνος, ἀνεκήρυξεν ὅμως τοὺς Ἰουδαίους « *ὡς ἀληθῶς θεοσεβεῖς* » (α). Καὶ Ἀντίοχος ὁ μέγας ἐν ἐπιστολαῖς ὡμολόγει τὴν *πρὸς θεὸν εὐσέβειαν τῶν Ἰουδαίων*, παρέχων αὐτοῖς καὶ *τὴν εἰς τὰς θυσίας σύνταξιν* (παρ' Ἰωσήπ. Ἀρχ. ΙΒ, γ, 3). Ἀλλὰ καὶ αὐτὸς ὁ τοῦ Φιλαδέλφου υἱὸς Πτολεμαῖος ὁ Εὐεργέτης (τὸν πατέρα δήπου εἰς τὴν θεοσέβειαν μιμούμενος), « κατασχὼν ὅλην Συρίαν κατὰ κράτος, οὐ τοῖς ἐν Αἰγύπτῳ θεοῖς χαριστήρια τῆς νίκης ἔθυσεν, ἀλλὰ παραγενόμενος εἰς Ἱεροσόλυμα, πολλὰς, ὡς τοῖς Ἰουδαίοις νόμιμόν ἐστιν, ἐπετέλεσε θυσίας τῷ Θεῷ, καὶ ἀνέθηκεν ἀναθήματα τῆς νίκης» (Ἰώσ. κ. Ἀπίων. Β, §. 5). « Καὶ αὐτοὶ δὲ, τέλος, οἱ Ῥωμαίων βασιλεῖς ἐτίμησάν τε καὶ προσεκόσμησαν τὸ ἱερὸν » (ὡς ὁ Καῖσαρ ὁ Σεβαστὸς μετὰ τῆς γυναικὸς) « πέμψαντες ἀναθήματα, σκεύη ἀκρατοφόρα » (αὐτ. Ἰουδ. πολέμ. Ε, ιγ, 6). Ὅτι δὲ « *καὶ ἄλλως οὐκ ἄνευ θείας ἐπιφροσύνης εἰς τὸ τοιοῦτον ἔργον τῆς ἑρμηνείας ἐσπούδασεν ὁ Φιλάδελφος*, εἶπε μὲν ὁ Φίλων (βίῳ Μωσ. β. σελ. 139), ἀπεφήναντο δὲ καὶ οἱ ἱεροὶ τῆς Ἐκκλησίας πατέρες· συνομολογήσουσι δὲ πάντως καὶ αὐτοὶ τῶν νεωτέρων κριτικῶν οἱ εὐγνώμονες, ὅσοι μὴ ἀνθρωποποιοῦσι τὰ πάντα, μηδὲ νομίζουσι τὸν ὀρθὸν τοῦ ἀνθρώπου λόγον ἰσχυρότερον καὶ αὐτῆς τῆς θείας βουλῆς. Οἱ δὲ τοιοῦτοι καὶ τὸ σμικρότατον τῶν θείων λογίων θεωροῦντες

(α) « Οἱ δὲ διαδεξάμενοι (τὸν Μωσέα) χρόνους μέν τινας ἐν τοῖς αὐτοῖς διέμειναν δικαιοπραγοῦντες, καὶ θεοσεβεῖς ὡς ἀληθῶς ὄντες » Στράβ. ις. σελ. 761. 762).

ὡς θησαυρὸν παντὸς ἀργύρου καὶ χρυσίου ἀπείρως τιμιώτερον, οὐδόλως ἀπορήσουσι, πῶς ὁ εἰπών, « *Ἐμοὶ τὸ ἀργύριον, καὶ ἐμοὶ τὸ χρυσίον· καὶ ᾧ τινι θέλω δίδωμι αὐτὸ* », ἔνευσεν εὐμενῶς εἰς τὴν καρδίαν τοῦ μεγαλόφρονος βασιλέως, ἵνα μὴ σταθμίσῃ λεπτολόγως πρὸς τάλαντα χρυσᾶ καὶ ἀργυρᾶ τὴν εἰς προπαρασκευὴν τῶν ἐθνῶν ἁπάντων πρὸς ἀποδοχὴν τοῦ Εὐαγγελίου προοικονομηθεῖσαν ἑρμηνείαν τῶν Γραφῶν· ἀλλὰ τοῦτο μὲν ἐῶμεν πρὸς τὸ παρόν.

§. ή. Ὁ δὲ Φιλάδελφος, καὶ καθὸ πολιτικὸς ἀνὴρ καὶ φύσει βασιλικός, ὤφειλε τὰ πρόσφορα καὶ λυσιτελῆ τοῖς τε ἄλλοις ὑπηκόοις καὶ τοῖς Ἰουδαίοις ἐκ παντὸς τρόπου περιποιεῖν, Ἀλέξανδρον μιμούμενος καὶ αὐτὸν αὐτοῦ τὸν πατέρα, τὸν Λαγίδην (ὅστις τὸν ἐκ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων μῶμον διὰ τοσούτων πρὸς τοὺς ἑαλωκότας εὐεργεσιῶν ἐσπούδασεν ἐξαλεῖψαι). Γνωσταὶ δὲ τούτων αἱ πρὸς τοὺς Ἰουδαίους ἀγαθουργίαι, καὶ τὰ προνόμια, καὶ τούτων τὸ κάλλιστον καὶ λυσιτελέστατον εἰς εὐδαιμονίαν ἔθνους, τὸ *αὐτόνομον*, ἐν τῇ τῶν νόμων ἑρμηνείᾳ μάλιστα κείμενον, καθ᾽ οὓς ὤφειλον πολιτεύεσθαι. Διὰ ταύτας τὰς τῶν πρώτων μάλιστα Πτολεμαίων πρὸς τοὺς Ἰουδαίους εὐεργεσίας « Ἥ τε Αἴγυπτος καὶ ἡ Κυρηναία (ἅτε τῶν αὐτῶν ἡγεμόνων τυχοῦσα) τοσαῦτα συντάγματα τῶν Ἰουδαίων ἔθρεψαν διαφερόντως, καὶ συνηύξησαν *χρώμενα τοῖς πατρίοις τῶν Ἰουδαίων νόμοις*. Ἐν γοῦν Αἰγύπτῳ κατοικία τῶν Ἰουδαίων ἐστὶν ἀποδεδειγμένη χωρίς, καὶ τῆς Ἀλεξανδρέων πόλεως ἀφώριστο μέγα μέρος τῷ ἔθνει τούτῳ· καθίσταται δὲ καὶ ἐθνάρχης αὐτῶν, ὃς διοικεῖ τε τὸ ἔθνος, καὶ διαιτᾷ κρίσεις, καὶ συμβολαίων ἐπιμελεῖται, καὶ προσταγμάτων, ὡς ἂν πολιτείας ἄρχων αὐτοτελοῦς » κτλ. μαρτυρεῖ δὲ καὶ ταῦτα Στράβων (α). Ἔπειτα τί παράδοξον, εἰ καὶ ἐξ αὐτῶν τῶν φόρων, ὧν ἐλάμβανε παρὰ τῶν Ἰουδαίων ὁ Φιλάδελφος, ἐφιλοτιμήσατο χαρίσασθαι τούτοις ἑνός, ἴσως, ἐνιαυ-

---

(α) Στράβ. παρ᾽ Ἰωσήπ. Ἀρχ. βιβλ. ΙΔ. κεφ. ζ. §. 6. βλ. καὶ κεφ. 1. §. 1. καὶ βιβλ. ΙΘ. ε. §. 2. καὶ Ἰουδ. πολεμ. Β. 18. 7. καὶ κατ. Ἀπίων. Β.—Περὶ τῶν προνομίων καὶ τῆς γερουσίας τῶν Ἰουδαίων βλ. καὶ Φίλων. περὶ ἀρετ. ἢ πρεσ. πρὸς Γάϊον σελ. 1020, καὶ εἰς Φλάκκον 971, 975.

τοῦ τέλη, δαπανήσας εἰς κοινὴν ὅλου τοῦ ἔθνους εὐεργεσίαν; Ἐπὶ τοῦ Ϛ, Πτολεμαίου μόνη τῶν Ἱεροσολύμων ἡ πόλις ἐτέλει κατ᾽ ἔτος φόρον εἴκοσι τάλαντα. Ὀκτακισχίλια δὲ τάλαντα πάλιν συνηθροίζοντο μόνον ἐκ τῶν τῆς Κοίλης Συρίας καὶ Φοινίκης καὶ Ἰουδαίας σὺν τῇ Σαμαρείᾳ τελῶν, ἅτινα καὶ ηὐξήθησαν εἰς διπλάσιον ἀριθμόν (Ἰώσ. Ἀρχ. ΙΒ, δ, 1—4)· ἀλλὰ περὶ τούτων καὶ ἐφεξῆς.

§. θ΄. Τελευταῖον, καὶ καθὸ φιλολόγος καὶ φιλομουσότατος ὁ Φιλάδελφος, οὐδόλως ἂν ἐφείσατο παντοίας δαπάνης εἰς κτῆσιν τῶν ἱερῶν παρ᾽ Ἰουδαίοις Γραφῶν. Ὅστις οὐ μόνον εἰς συναγωγὴν τῶν καλλίστων βιβλίων, ἀλλὰ καὶ εἰς τὴν αὔξησιν καὶ πρόοδον τῶν καλῶν τεχνῶν καὶ ἐπιστημῶν, καὶ αὐτῆς δὲ τῆς ἐμπορίας, ἐφιλοτιμεῖτο διαφερόντως. *Ὀκτακόσια τάλαντα* παρ᾽ Ἀλεξάνδρου ἔλαβεν ὁ Σταγειρίτης εἰς σύνταξιν τῆς περὶ τῶν ζώων ἱστορίας, ἥτις καὶ *πολυτάλαντος πραγματεία* ἐπωνομάσθη (Ἀθήν. Θ, 399. — Πλίν. Η, 17). Πολλῷ πλείονα πάντως ἐδαπάνησεν ὁ Φιλάδελφος εἰς ὁμοίας πολυταλάντους γεωγραφικὰς καὶ φυσικὰς ἀνακαλύψεις, φιλιστορῶν· ὅθεν καὶ *εἰς τὴν θήραν τῶν ἀλκιμωτάτων ζώων μεγάλας ἀπένεμε δωρεὰς, καὶ πολλὰ πάνυ χρήματα ἐδαπάνησεν* (α). Ὁ δ᾽ αὐτὸς μεγαλόφρων ἡγεμὼν «οἰκείως ἔχων πρὸς τὸν Ἄρατον, καὶ γραφαῖς (ζωγραφίαις) καὶ πίναξιν ἀπὸ τῆς Ἑλλάδος θεραπευόμενος (ἤνθει γὰρ ἔτι ἡ δόξα τῆς Σικυωνίας μούσης καὶ χρηστογραφίας), ἐδωρήσατο τῇ πόλει (Σικυῶνι) *πεντήκοντα καὶ ἑκατὸν τάλαντα. — Αὐτῷ δὲ τῷ Ἀράτῳ ἓξ τάλαντα κατ᾽ ἐνιαυτὸν ἀπέστελλε*» (Πλούτ. Ἀράτ, §. ιγ, μα). Στράτωνι δὲ τῷ ἰδίῳ διδασκάλῳ τῷ Λαμψακηνῷ *ὀγδοήκοντα δέδωκε τάλαντα* (Λαέρτ. Ε. γ, 3)· τὰς δὲ συντάξεις τῶν εἰς τὸ Μουσεῖον συνηριθμημένων πολλῶν καὶ διασήμων ἀνδρῶν τί χρὴ λέγειν; Πρόσθες καί τινα τῶν ἄλλων τῶν Φιλαδελφείων μεγαλουργιῶν μνημονευόμενα παραδείγματα. 800, τάλαντα ἐδαπάνησεν ὁ Φιλάδελφος εἰς τὸν ὑπ᾽ αὐτοῦ συντελεσθέντα παρὰ τῇ Ἀλεξανδρείᾳ Φάρον, ἓν τῶν ἀρχαίων

(α) Βλ. Διόδωρ. Γ. §. 36. σελ. 202 (πρβλ. ὄπισθ. κεφ. Θ, §. 16. σημ.). βλ. καὶ Demagist. Apol. p. 380 sqq.

ἑπτὰ θαυμάτων τοῦ κόσμου (Πλίν. τ. Β. σελ. 739). Ὁ δ' αὐτὸς ἔτεμε πρῶτος στρατοπέδῳ τὸν εἰς τὴν Ἐρυθρὰν ἰσθμὸν, δι' οὗ ἐφέρετο εἰς τὴν Κοπτὸν φόρτος μυριόπλουτος (Στρ. ιζ, 815). Εἰς τὸν Φιλάδελφον ἀποδίδωσιν ὁ Πλίνιος καὶ τὴν διακοπὴν τοῦ μεταξὺ τῆς Μεσογείου καὶ τὰς Ἐρυθρᾶς θαλάσσης ἰσθμοῦ, καὶ τὴν κατασκευὴν διώρυγος, τὸ μὲν πλάτος ποδῶν 100, τὸ δὲ ὕψος 30, τὸ δὲ μῆκος μιλλίων 17, καὶ βημάτων 500 (α). Εἰς δὲ τοιαύτης διώρυγος κατασκευὴν φανερὸν, ὅτι πολὺ ταλάντων πλῆθος κατηναλώθη. Καὶ πόλεις ὅλας ἔκτιζεν ἐν Αἰγύπτῳ καὶ κατ' Ἀσίαν καὶ τὴν Ἑλλάδα. Πολὺν δ' αὐτοῦ χρυσὸν εἶχον *καὶ θεῶν ἐρικυδέες οἶκοι — σὺν ἄλλοις γεράεσσι* (Θεόκρ. ιζ, 108). Ἄλλα τῆς Φιλαδέλφου μεγαλοφροσύνης ἔργα καὶ φιλότιμα καὶ κοινωφελῆ παραλείπομεν. Πῶς οὖν ἄπιστον δοκεῖ, εἰ καὶ πρὸς κτῆσιν βιβλίων, οὕτω τιμίων καὶ θείων νενομισμένων, καὶ εἰς τοσαύτας ὑπηκόων μυριάδας ἀναγκαιοτάτων, ἐπεδαψιλεύσατο τάλαντα περίπου δεκάκις πλείονα, παρ' ὅσα μόνῳ τῷ Ἀράτῳ ἐχορήγησε, χάριν τῶν καλῶν τῆς Σικυωνίας Μούσης εἰκόνων; Καὶ εἰ πρὸς θήραν ἐλεφάντων ἐδαπάνα *πάνυ πολλὰ χρήματα*, καὶ τοῖς Ἡρακλεώταις ἀνήγειρε ναὸν ἐκ *προικοννησίου λίθου* (ἔργον *Φιλαδέλφειον* πάντως καὶ τοῦτον οἰκοδομῶν), οὐκ ἠδύνατο ἆρα, πολὺ βασιλικώτερα ποιῶν, αἰχμαλώτων λυτρώσασθαι μυριάδας, καὶ ἀναθήματα καθιερῶσαι εἰς *τὸ ἐπιφανέστατον ἱερὸν*, οὗτινος καὶ ὁ Πολύβιος ὕστερον τὴν *ἐπιφάνειαν* ἀνεκήρυξε; (παρ' Ἰωσήπ, Ἀρχ. ΙΒ γ, 3). Ἢ μήπως ὁ τῶν Πτολεμαίων περικλεέστατος ὑπῆρχεν ἀφιλοτιμότερος περὶ πάντα τὰ φιλάνθρωπα καὶ θεοφιλῆ παρὰ τοὺς Πέρσας ἐκείνους, Κῦρόν τε καὶ Δαρεῖον καὶ Ἀρταξέρξην, οἵτινες καὶ δαπάνην πολυτάλαντον προσέφερον εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ τῆς Ἱερουσαλὴμ,

---

(α) Plin. IV. 29 καὶ Harduin. not. 16.— Διόδ. A. 39, Wes. Καὶ Στράϐ (ιζ, 804:) « Οἱ μέν τοι (λέγει) Πτολεμαϊκοὶ βασιλεῖς διακόψαντες (τὸν Ἰσθμὸν), κλειστὸν ἐποίησαν τὸν Εὔριπον· ὥστε, ὅτε βούλοιντο, ἐκπλεῖν ἀκωλύτως εἰς τὴν ἔξω θάλατταν, καὶ εἰσπλεῖν πάλιν». πρϐλ. καὶ Palmer. ad Strabon. Exercit. 3503. καὶ Fr. de Schmidt Opuscul. quib. res Aegypt. explan. p. 136—158.

καὶ εἰς ἄλλας εὐεργεσίας, καὶ πάντας τοὺς βουλομένους τῶν ὑπηκόων Ἰουδαίων ἀπέλυον ἐπανελθεῖν ἐλευθέρους εἰς τὴν πατρίδα, καθὼς αἱ θεῖαι μαρτυροῦσι Γραφαί; (α).

§. ι. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα διελογίζετο πάντως καὶ ἡ τοῦ Ὀδίου πολυμάθεια. Ὅθεν καὶ βίᾳ μὲν, καὶ λοξῶς, καὶ ἀμφιῤῥεπῶς, νῦν μὲν πρὸς τοῦτον, νῦν δὲ πρὸς τὸν ἕτερον μετοκλάζουσα πόδα (ὡς οἱ ἀσκωλιάζοντες, ἢ διαβαίνοντες ἀκάνθας), ἀλλ' ὅμως συγχωρεῖ, τέλος, ἀφιερώματά τινα παρὰ τοῦ Φιλαδέλφου καὶ εἰς τὸν Ἰουδαίων ναὸν, ὁποῖα καὶ τῷ θεῷ καὶ τῇ πόλει τῶν Ἡρακλεωτῶν ἐκεῖνος ἐδωρήσατο. Καὶ ταῦτα μὲν ἀποδέχεται πιστῶς καὶ ἀναντιῤῥήτως, ὁποῖα Μέμνων ἱστόρησε· τὰ δὲ παρὰ τῷ Ἀριστέᾳ οὐκέτι· κάθηται δὲ ταῦτα σκοπῶν ἀσκαρδαμυκτὶ (ὡς οἱ μέλλοντες σῖτον ἐκλέγειν ἐξ αἴρας καὶ ζιζανίων μεμιγμένων πολλῶν· ἢ μικρὰ χρυσίου ψήγματα ἀπ' ἄλλων μορίων συμπεφυρμένων), καὶ διασκέπτεται μετὰ ἀπορίας (§. γ), ποῖα τάχα ἐκ τῆς παμμιγοῦς Ἀριστέου πανσπερμίας ὡς ἀληθῆ καὶ γνήσια διαλέξας, ἀποδέξεται ἀσφαλῶς! (διότι μέγαν ἔτρεχε κίνδυνον, οὐχ ὁρᾷς; περὶ τὰ καιρία βλαβῆναι τῆς ἀληθείας, εἴπερ ἐπίστευεν οὕτω λαμπρὰς γενομένας τὰς δωρεάς!). Καὶ τὰ λύτρα δὲ τῶν αἰχμαλώτων ἀγανακτῶν μὲν, καὶ οἷον ἐκ τοῦ ἰδίου ταμείου ἐκφέρων, ἀλλ' ὅμως ἀποτίνει· μόνον ἀπέστω ἡ τῶν Γραφῶν ἑρμηνεία! Καὶ λοιπὸν ὁ σοφὸς Ὅδιος ἀντιλέγει πρὸς τοὺς περὶ τὸν Πριδὼν κατὰ τοῦτο. καθότι αὐτὸς μὲν ἀποδέχεται πάσας σχεδόν, ἢ γοῦν τὰς πλείστας τῶν παρὰ τῷ Ἀριστέᾳ πολυταλάντων εἰς τοὺς Ἰουδαίους δωρεῶν τοῦ Φιλαδέλφου· μόνον δὲ τὸ μικρὸν (κατ' αὐτὸν) καὶ εὐτελὲς ἀντίδωρον τῆς τῶν Γραφῶν ἑρμηνείας οὐκ ἀποδέχεται οὐδαμῇ οὐδαμῶς. Οἱ δὲ περὶ τὸν Πριδὼν, οὐδ' αὐτὰς ἀποδέχονται τὰς δωρεάς, ὡς εἰς ἄπιστον ποσότητα χρημάτων ἀναβαινούσας, καὶ σχεδὸν ἰσομετρουμένας πρὸς τὴν ἐτησίαν τοῦ βασιλείου πρόσοδον (κατὰ τὸν Λιχθόφωτον).

(α) Ἔσδρ. ς. 3—12. καὶ ζ, 12—26. Πρβλ. Α. Ἔσδρ. ς. 25 καὶ η, 9—24. καὶ Ἰώσηπ. Ἀρχ. ια. κεφ. γ. §. 8, καὶ κεφ. δ. §. 6. καὶ κεφ. ε. §. 1.

« Ἠπού γε, μεγάλη » (ἀπαντᾷ πρὸς τὸν Πριδῶν ἀστείως ὁ ὁμογενὴς καὶ συμπολίτης αὐτοῦ Ἔκδικος) (α), μεγάλη φαίνεται πάντως καὶ ἀπίστευτος ἡ τοσαύτη δαπάνη, συγκρινομένη πρὸς τὸ εἰσόδημα ἑνός τινος ἀξιώματος, ἢ καὶ μιᾶς ἐπισκοπῆς τῆς Ἀγγλίας! ἀλλ' ὅταν θεωρήσωμεν τὸ πρᾶγμα ὡς ἔργον μεγάλου καὶ γενναιόφρονος βασιλέως, ὅστις ἠπίστατο πρὸς τὰ κάλλιστα χρῆσθαι τῷ πλούτῳ τῶν βασιλικῶν αὐτοῦ προσόδων, οὐδόλως ἀπίθανον εὑρήσομεν τὸ ποσόν ». Ἀλλ' ἴδωμεν ἐν παρόδῳ καὶ ποῖός τις εἰκάζεται ὁ πλοῦτος τοῦ Φιλαδέλφου.

§. ιά. Πρῶτον. Εἰς πεντήκοντα περίπου χιλιάδας ταλάντων, ἀνεβίβασε τὸ εἰσόδημα τοῦ Πτολεμαϊκοῦ βασιλείου ὁ Οὐόσσιος. Πολὺ δὲ πάλιν ἔλασσον (ἀορίστως) εἶπεν Ὅδιος. Ἀλλὰ καὶ οὕτω μένει τὸ πρᾶγμα ἀδιόριστον· καὶ ἡ πρόσοδος πάντως ὑπῆρξε διάφορος κατὰ καιρούς, καὶ κατὰ τὴν συχνάκις μεταβληθεῖσαν ἔκτασιν τῆς ἐπικρατείας. Ἐπὶ τοῦ κάκιστα καὶ ῥᾳθυμότατα τὴν βασιλείαν διοικήσαντος Πτολεμαίου τοῦ Αὐλητοῦ, μόνης τῆς Αἰγύπτου αἱ πρόσοδοι συνεποσοῦντο *εἰς δώδεκα χιλιάδας καὶ πεντακόσια τάλαντα* (β), χωρὶς δηλονότι τῶν ἀπὸ τῆς Συρίας καὶ τῶν ἄλλων ἐπαρχιῶν, αἵτινες ὡς προείπομεν (§. η), ἐπὶ τοῦ Ϛ. Πτολεμαίου,

---

(α) Vindication of the history etc. p. 137 sqq.

(β) Κικέρ. παρὰ Στράβ. ιζ, 798. εἶπε δὲ καὶ ἀλλαχοῦ ὁ Κικέρων Regnum Aegypti opulentissimum. Cicer de Legib. Agr. 11. Ὁ δὲ μακάριος Ἱερώνυμος γράφων περὶ τοῦ Φιλαδέλφου ὅτι εἶχε χρυσοῦ καὶ ἀργύρου μέγαν σταθμόν, « Οὕτω (προστίθησιν), ὥστε ἐκ τῆς Αἰγύπτου πρόσοδον ἐλάμβανε κατ' ἔτος δεκατέσσαρας χιλιάδας καὶ 800 τάλαντα ἀργυρίου, καὶ σίτου ἀρτάβας μυριάδας δεκαπέντε (150,000) ». S. Hieron. Comm. in Daniel c. XI 5. p. 1081 tom. 2. Paris 1609. Ἀλλ' ὁ Διόδωρος (λέγει) πλείω τῶν ἑξακισχιλίων ταλάντων (ιζ. §. 52· σελ· 201. καὶ not. Wess). ἤγουν τὰ ἡμίση ὧν ὁ Στράβων ἱστόρησεν. Οἱ δὲ ταύτην τὴν ἀντιλογίαν διαλλάττοντες εἶπον, ὅτι ὁ Διόδωρος λέγει Ἀλεξανδρινὰ τάλαντα, διπλάσια ὄντα τῶν Ἀττικῶν, ὧν ὁ Στράβων ἐννοεῖ (βλ. Lipsij Amirand. L. 11. cap. 3. in ej. oper. vol. 2. p. 594. et S. Petit. observ. L. 4). Ἀλλὰ πόθεν δῆλον, ὅτι ὁ Στράβων γράφων περὶ τῶν προσόδων τῆς Ἀλεξανδρείας, εἰσῆγε τάλαντα τῆς Ἀττικῆς; ἔπειτα καὶ ὅτι τὸ Ἀλεξανδρινὸν τάλαντον ὑπῆρχε διπλάσιον τοῦ Ἀττικοῦ, πολλὰς ἔχει τὰς ἀντιλογίας. βλ. ἐφεξῆς §. ιε. ἀριθ. δ, σημ.

ἀνέβησαν εἰς ἄλλας 16, χιλιάδας ταλάντων. Ἀλλ' ἐπὶ τῆς Φιλαδέλφου «*πολυχρύσου βασιλείας*» (Ἀθήν. Ε, 202), ὅτι ἦσαν πολὺ πλείονες αἱ πρόσοδοι τοῦ Κράτους, μαρτυρεῖ τὸ ἐφεξῆς. Ὁ Θεόκριτος ζωγραφῶν τὴν ἔκτασιν τῆς Φιλαδέλφου ἐπικρατείας, ἀριθμεῖ τὰς ὑπηκόους αὐτῷ πόλεις 33,339. (γρ. 33,333) (α). Ἂν τοίνυν ὑποτεθῇ (λέγει ὁ Ἔκδικος) ὁ κατ' ἔτος παρ' ἑκάστης τούτων φόρος 10 τάλαντα ἀργύρου, καὶ ἓν τάλαντον χρυσοῦ (τοῦ μέσου ληφθέντος μεταξὺ τῶν μεγίστων καὶ ἐλαχίστων (β), τότε τὸ ἐτήσιον τοῦ Φιλαδέλφου εἰσόδημα ἀνέβαινεν εἰς 333,390 τάλαντα ἀργυρᾶ, καὶ 33,339, τάλαντα χρυσᾶ. Ἐπειδὴ δὲ κατὰ τὸν ὑπολογι-

---

(α) «Τρεῖς μὲν οἱ πολέων ἑκατοντάδες ἐνδέδμηνται, Τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι, Δοιαὶ δὲ τριάδες, μετὰ δὲ σφίσιν ἐννεάδες τρεῖς». (Θεόκριτ. Εἰδ. ιζ, 83. ὅπου ἀντὶ τοῦ ἐ ν ν ε ά δ ε ς, ὑπῆρχεν ἐν ταῖς ἐκδόσ. πρότερον ἡμαρτημ. ἐ ν δ ε κ ά δ ε ς· καὶ ὅλος ὁ ἀριθμὸς ἐλογίζετο κατὰ ἓξ μονάδας πλέον τοῦ δικαίου (ἤτοι 33,339. ταύτην τὴν ἀνάγνωσιν ἔγραψε καὶ ὁ Ἔκδικος, καὶ πρὸς ταύτην ὑπολογίζεται καὶ τὴν πρόσοδον). βλ. Casaub. Lect. Theocr. p. 129 t. 2. Theocr. ed. Reisk. πρβ. καὶ ἔκδ. Wuesteman. Theocr. Reliqu. p. 270 (καὶ ὁ Σχολ. τοῦ Θεοκρίτου γράφει ὀρθῶς, 33,333). Ὁ Iacobs (βλ. Wuest. ibid.) νομίζει, ὅτι ὁ ποιητὴς ἐθεώρει τὸν 3 ἀριθ. ὡς μυστηριώδη. Ὁ δὲ Διόδωρος λέγει τ ὰ ς π ό λ ε ι ς κ α ὶ κ ώ μ α ς τῆς Αἰγύπτου ἐπὶ μὲν τῶν ἀρχαίων χρόνων πλείους τῶν 18000 (καὶ ἐπὶ Ἀμάσιος, 20,000 κατὰ τὸν Ἡρόδ. Β. 177). ἐπὶ δὲ τοῦ Λαγίδου Πτολεμαίου, πλείους τῶν 30,000 (Διόδ. Α, 31). Ὥστε μαρτυρεῖται ὁ παρὰ Θεοκρίτῳ πολὺς ἀριθμὸς τῶν ἐν Αἰγύπτῳ πόλεων (ἐν αἷς συμπεριλαμβάνονται καθόλου καὶ πολίχνια καὶ κῶμαι καὶ χωρίδια μικρά). Οἱ δέ τινες ἐξέλαβον τὰς πόλεις ὡς ἀνηκούσας εἰς ὅλην τὴν Φιλαδέλφου ἐπικράτειαν (ὅπερ ὅμως οὐ λέγει ὁ Θεόκριτος). βλ· F. Schmidt Opuscula etc. p. 313.

(β) *Μάνης τῆς Ἀλεξανδρείας ὁ φόρος ὑποτίθεται κατ' ἔτος* 1,500,000 *Στερλιγγίων λιτρῶν* (Vindication etc. p. 137. καὶ Arbuthnots Dissert. on antient Coins, Weights and Measures, p. 193 Lond. 1727). *ἤτοι διστήλων ταλήρων* 7,030,000. (*δραχμῶν ἑλληνικῶν* 42,180,000). *Καὶ Στράβων δὲ τὴν Ἀλεξάνδρειαν* «*μ έ γ ι σ τ ο ν ἐ μ π ο ρ ε ῖ ο ν*» *λέγει·* «*καὶ ὅτι ἐκ τῆς Ἰνδικῆς καὶ τῶν ἄκρων τῶν Αἰθιοπικῶν πολυτιμότατος κομίζεται φόρτος εἰς τὴν Αἴγυπτον,* — *ὥστε τὰ τέλη διπλάσια συνάγεσθαι, τὰ μὲν εἰσαγωγικά, τὰ δὲ ἐξαγωγικά· τῶν δὲ βαρυτίμων βαρέα καὶ τὰ τέλη· καὶ γὰρ δὴ καὶ μονομοπωλίας ἔχει· μόνη γὰρ ἡ Ἀλεξάνδρεια τῶν τοιούτων ὡς ἐπὶ τὸ πολὺ, καὶ ὑποδοχεῖόν ἐστι, καὶ χορηγεῖ τοῖς ἐκτὸς*» (Στράβ. ιζ, 798). «*Ὥστε παρὰ πολλοῖς αὐτὴν πρώτην ἀριθμεῖσθαι τῶν κατὰ τὴν Οἰκουμένην* (*πόλεων*), *κάλλει καὶ μεγέθει καὶ προσόδων πλήθει διαφέρουσαν*» *κτλ.* (*Διόδωρ.* ιζ, 52.).

σμὸν τοῦ Πριδῶ, τὸ μὲν ἀργυροῦν τάλαντον ἰσοδυναμεῖ πρὸς 206 Στερλίγγια καὶ 5 σελίγγια· τὸ δὲ χρυσοῦν, πρὸς Στερλ. 3,300. τὸ ἄρα κεφάλαιον τῆς ὅλης τοῦ Φιλαδέλφου προσόδου ἀνέβαινεν εἰς 178,680,387 Στερλίγγια καὶ 10 σελίγγια. Πλῆθος χρημάτων ὑπέρογκον (837,415,416: δίστηλα τάληρα, καὶ 50 λεπτά). Κἂν δὲ τοῦτον ἐλαττώσωσι τὸν ἀριθμὸν ἀφελόντες, ὅσον ἂν κρίνωσιν εὔλογον οἱ Ἀριστεομάχοι, πάλιν ὅμως εὑρήσουσι πάντως τὸν Πτολεμαῖον ἱκανῶς πλούσιον, ὥστε πρὸς τοῖς ἄλλοις βασιλικοῖς ἀναλώμασι δαπανῆσαι καὶ δύω ἑκατομμύρια στερλιγγίων εἰς ἔργον ἐνδοξότατον, καὶ κτῆσιν βιβλίου, οὗ τινος ἐγένετο σφοδρὸς καὶ πολύζηλος *ἐπιθυμητής*.

§. ιβ'. Δεύτερον. Ὁ Ἀππιανὸς ἱστορῶν τὰς δυνάμεις τοῦ Φιλαδέλφου (200,000 πεζικοῦ, καὶ 4,000 ἱππικοῦ, καὶ 2,000 ἁμάξας, καὶ 300 ἐλέφαντας κατὰ ξηρὰν, κατὰ δὲ θάλασσαν τριήρεις καὶ πλοῖα παντοδαπὰ 4330) (α), προστίθησι καὶ τὰ ἑφεξῆς· « χρημάτων δ' ἐν τοῖς θησαυροῖς τέσσαρας καὶ ἑβδομήκοντα μυριάδες ταλάντων, ὡς ἐν ταῖς βασιλικαῖς ἀναγραφαῖς εὕρηται » (β). Τούτων δὲ τῶν χρημάτων ἂν μόνον τὸ δεκατημόριον ὑποτεθῇ ἐκ νομισμάτων χρυσῶν, τὰ δὲ λοιπὰ $\frac{9}{10}$ ἐξ ἀργύρου, εὑρεθήσεται λοιπὸν ὁ μὲν χρυσὸς 74,000 τάλαντα, ὁ δὲ ἄργυρος 666,000 τάλαντα, καὶ ἀμφότερα ὁμοῦ

(α) Σύμφωνα τούτοις καὶ ὁ Καλλίξενος ἀριθμεῖ· « Τὰ μέγιστα τῶν πλοίων ἦν παρ' αὐτῷ τριακοντήρεις δύο, εἰκοσήρης μία, 4 τρισκαδεκήρεις, δωδεκήρεις 2, ἑνδεκήρεις 14, ἐννήρεις 30, ἑπτήρεις 37, ἑξήρεις 5, πεντήρεις 17· τὰ δ' ἀπὸ τετρήρους μέχρι τριηρημιολίας διπλάσια τούτων· τὰ δ' εἰς τὰς νήσους πεμπόμενα, καὶ τὰς ἄλλας πόλεις, ὧν ἦρχε, καὶ τὴν Λιβύην, πλείονα ἦν τῶν 4,000 » (παρ' Ἀθην. Ε. 203). Τοιαύτας τινὰς τὰς κατὰ ξηρὰν καὶ θάλασσαν δυνάμεις τοῦ Φιλαδέλφου καὶ Ἱερώνυμος ἀριθμεῖ (S. Hiron. Comm. in Dan. l. c.)

(β) Ἀππιαν. Ῥωμ. ἱστορ. προοίμ. §. ι. σελ. 13. τόμ. 1. Schweighaus. (βλ. καὶ Annot. t. 3. p. 126). Τὸ δὲ τάλαντον τὸ μὲν Αἰγυπτιακὸν περιεῖχε 80 λίτρας Ῥωμαϊκὰς ἰσοδυναμούσας πρὸς 60 μνᾶς Ἀττικὰς (6,000 δραχμὰς), ὡς ἐκ τῶν Οὐάρωνος ἔγραψεν ὁ Πλίνιος (Hist. N. L. 33. c. 3. §. 15. πρβλ. Πολυβ. ἐκλογ. πρεσβ. κεφ. 35. Liv. 38, 11). Ὥστε αἱ 74 μυριάδες, ἢ 740 χιλιάδες ταλάντων (πρὸς 60, μνᾶς ἢ 6,000 ἀττικὰς δραχμὰς) ἀπαρτίζουσι δραχ. 4440000000. ἀλλὰ τὰ περὶ τοῦ Αἰγυπτίου ταλάντου οὐχ εὑρίσκονται ἐπ' ἀκριβὲς διωρισμένα (βλ. ἑφεξῆς §, ιε).

(καθ᾽ ὃν προστίθησιν ὑπολογισμὸν ὁ Πριδῶς) συμποσοθήσονται εἰς στερλίγγια 381,562,500. (=1,788,256,250, δίστηλα τάληρα, ἢ δραχμὰς 10,729,537,500). Πότερον δὲ σημαίνουσιν οἱ λόγοι τοῦ Ἀππιανοῦ, ἆρά γε τὴν ἐτησίαν τοῦ Φιλαδέλφου πρόσοδον, ἢ τὸν ἐν τῷ ταμείῳ κείμενον ἀπόθετον πλοῦτον; περὶ τούτου οὐδὲν διαφερόμεθα πρὸς τοὺς κριτικούς. Ἔστω οὗτος καὶ ἀπόθετος, ἂν θέλωσι, καὶ λανθάνων, καὶ πλείων τοῦ ἐν χρήσει καὶ φαινομένου, κυρῶν καὶ αὐτὸς τὴν περὶ τοῦ πλούτου γνώμην τοῦ Ῥωμαίου ποιητοῦ (α). Ὁ δ᾽ εὐγνώμων ἀναγνώστης, πρὸς ὁποτέραν τῶν ἐννοιῶν ἀποκλίνῃ, βλέπει πάντως καὶ κρίνει, πόσον ἀδίκως οἱ ἄνδρες ἠπίστησαν ἀμφιβάλλοντες, εἴ περ ὁ τοσοῦτον πλούσιος, καὶ οὕτω μεγαλόφρων καὶ φιλόμουσος βασιλεὺς ἠδύνατο δαπανῆσαι δύο ἑκατομμύρια στερλιγγείου νομίσματος πρὸς κτῆσιν βιβλίου, ἑνὸς μὲν (ὡς περικροτοῦσιν οἱ κριτικοί, τοῦ τεύχους τῶν θείων Γραφῶν), ἀλλ᾽ ὅμως βιβλίου περικλεοῦς καὶ περιβοήτου, ὅπερ εἶχεν ἀναγνοὺς οὐδείς, οὐδ᾽ ὁ μέγιστος τῶν αὐτοῦ προγενεστέρων ἐθνικῶν μοναρχῶν, οὔθ᾽ Ἑλλήνων, οὔτε βαρβάρων· βιβλίου περιέχοντος (πλὴν τῶν εἰς τοὺς Ἰουδαίους ἰδίως ἀνηκόντων ἐθίμων καὶ ἱεροτελεστιῶν), ἱστορίαν πραγμάτων πιστήν, καὶ νομοθεσίαν ἁγνοτάτην, καὶ προῤῥήσεις ὑψηλάς, καὶ φιλοσοφίαν τελειοτάτην ἁπασῶν, ὅσας ἐφιλοσόφησαν πάντες οἱ σοφοὶ τοῦ κόσμου! Ὁ Ἀππιανὸς ὑπῆρχεν Ἀλεξανδρεύς, φέρει δὲ πρὸς ἀπόδειξιν τοῦ λόγου καὶ τὰς εἰσέτι τότε σωζομένας δημοσίους τῆς πόλεως ἐκείνης ἀναγραφάς, (κώδηκας, ἢ καταλόγους) (β). Τί ἆρα καὶ πρὸς ταῦτα ποιήσουσιν οἱ μισαρισταῖοι;

(α) «Φλάκκος ὁ ποιητὴς ἐπιπεφώνηκεν, ὡς οὐ νομίζει πλοῦτον, οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα πλείονα τῶν φαινομένων εἰσί» (παρὰ Πλουτάρχ, Λουκούλ. §. 39). Τοιοῦτον ἄθικτον καὶ ἀπόθετον θησαυρὸν πολλῶν ταλάντων μυριάδων εἶχον καὶ οἱ Πέρσαι Βασιλεῖς πρὸς τὰ παράλογα τῆς τύχης καταφυγήν (Διόδωρ. ΙΖ. 211. Wes. — Πλούταρχ. Ἀλεξ.).

(β) Καὶ ὅμως οἱ περὶ τὸν σοφὸν Λετρῶνα νομίσαντες μυθώδη τὴν μεγάλην παρ᾽ Ἀππιανῷ ποσότητα τοῦ Πτολεμαϊκοῦ θησαυροῦ, ἐξέλαβον τὰ 740,000 τάλαντα πρὸς τὴν ἀξίαν ταλάντου χαλκοῦ! (ἦν δὲ παρὰ τοῖς Ἀλεξανδρεῦσιν ἐν χρήσει καὶ χαλκοῦν τάλαντον), καὶ διώρισαν ὡς ἰσοδυναμοῦντα πρὸς 12,333 τάλαντα

ἀπιστήσουσιν ἄρα καὶ τούτῳ τῷ ἱστοριογράφῳ; (λέγοντες ἴσως, ὅτι καὶ οὗτος ἐψεύσατο μεγαλύνων τὴν δόξαν τοῦ Φιλαδέλφου, καθὼς καὶ Ἀριστέας, ὑπερυψῶν τὴν ἑρμηνείαν τῶν Γραφῶν!) ἢ καθορῶντες τρανῶς τὸν σεμνότατον Ἀππιανὸν ἐπικυροῦντα τὴν Ἀριστέου διήγησιν, παύσονταί ποτε καὶ τοῦτον συκοφαντοῦντες, καὶ πτωχίζοντες τὸν Φιλάδελφον; τοῦτο νομίζομεν· εἰ δ' ἀναβάλλονται καὶ ὀκνοῦσι, πεισάτω λοιπὸν αὐτοὺς ὁ Καλλίξενος, (παρ' Ἀθην. Ε, 206), μαρτυρῶν τὸν Φιλαδέλφου μέγαν πλοῦτον σῳζόμενον ἐν τοῖς θησαυροῖς, μέχρι καὶ τοῦ ἐσχάτου Πτολεμαίου (τοῦ Αὐλητοῦ). « Πᾶς δ' ὁ τοῦ βασιλέως τοῦ Φιλαδέλφου πλοῦτος φυλαχθεὶς, κατελύθη ὑπὸ τοῦ τελευταίου Πτολεμαίου, τοῦ καὶ τὸν Γαβινιακὸν συστησαμένου πόλεμον, οὐκ ἀνδρὸς γενομένου, ἀλλ' αὐλητοῦ καὶ μάγου ».

§. ιγ. Τρίτον. Τὸν Φιλαδέλφου μεγαλήνορα πλοῦτον βεβαιοῦσιν ἰδίως καὶ αἱ πρὸς αὔξησιν καὶ πλατυσμὸν τοῦ Αἰγυπτιακοῦ ἐμπορίου βασιλικώταται πράξεις αὐτοῦ. Αὐτὸς ὑπῆρξεν ὁ ἔξοχος δημιουργὸς καὶ προστάτης τῆς εἰς Ἀνατολὰς καὶ Λιβύην καὶ τὴν Μεσόγειον καὶ τὰς νήσους καὶ τὴν Ἑλλάδα πλατυνθείσης ἐμπορίας καὶ ναυπλοΐας τῶν Αἰγυπτίων. Πολὺς δὲ συνήγετο πλοῦτος

ἀργυρᾶ, ἢ περίπου 52,000,000 φράγγα Γαλλικὰ, (βλ. Récompense promise ect. Annonce contenu dans un papyrus Grec. par M. Letronne p. 13. Paris, 1833). Ἀλλ' ὁ ὑπολογισμὸς τῆς τοιαύτης ἀργυραμοιβικῆς φαίνεται λίαν παράδοξος, καὶ τὸ πᾶν ἐσφαλμένος. Πρῶτον μὲν τὸ τάλαντον, ἁπλῶς λεγόμενον παρὰ τοῖς συγγραφεῦσιν (ὡς εὑρίσκεται καὶ παρὰ τῷ Ἀππιανῷ), ἔχει πάντοτε σχεδὸν ὑπονοούμενον τὸ ἀργυροῦν· ὅταν δὲ σημαίνῃ τὸ χαλκοῦν, ἔχει καὶ τοῦτο ῥητῶς προστεθειμένον. Ἔπειτα, τί ποιήσωμεν τοσαύτας παρὰ τοῖς ἱστορικοῖς μαρτυρίας τῶν μυριαρίθμων ἀργυρῶν τε καὶ χρυσῶν ὀνομαστὶ διωρισμένων ταλάντων τοῦ Φιλαδελφείου θησαυροῦ; ἢ κἀκεῖνα μεταμείψομεν πρὸς τὴν ἀξίαν τοῦ χαλκοῦ; Τελευταῖον, βασιλεὺς, ὅστις εἰς ἓν μόνον συμπόσιον (τὸ κατὰ τὴν σκηνὴν) εἶχεν ἐκτεθειμένον μόνον κυλικείων καὶ ποτηρίων πλῆθος ἄξιον « μυρίων ταλάντων ἀργυρίου » (βλ. ἐφεξ. §. ιγ), ὁ τοιοῦτος ἐτήρει θησαυρὸν ἀπόθετον δώδεκα μόνας χιλιάδας ταλάντων ἀργυρῶν; Ὅθεν καὶ ὁ Droysen (ἐν Rheinisches Museum 111. Iahrg p. 519) τὰ παρ' Ἀππιανῷ ταῦτα τάλαντα ὀρθῶς ἐξέλαβεν ἀργυρᾶ, καὶ ἀνήγαγεν εἰς 895,400,000, ταλήρων Προυσσιακῶν·

ἐκ τῶν Ἰνδικῶν ἐμποριῶν μάλιστα, καὶ τῶν Τρωγλοδυτικῶν, καὶ τῆς ἄλλης Αἰθιοπίας, καὶ τῆς εὐδαίμονος Ἀραβίας. Ὅθεν ἤρχοντο πρώτιστα εἰς τὴν Ἀλεξάνδρειαν ἐμπορεύματα τιμιώτατα, ἀπό τε τοῦ *ζωϊκοῦ γένους* (οἷον ζῶα παντοῖα, ἐλεφάντινα ὀστᾶ, χελῶναι *ἰνδικαί*, *σηρικὸν*, πορφύρα, μαργαρῖται, κτλ.), καὶ *τοῦ γένους τοῦ φυτικοῦ*, (ἔβενος, κιννάμωμον, βύσσος, ἀρώματα καὶ μύρα παντοῖα), καὶ *τοῦ ὀρυκτοῦ* (ἄργυρος, χρυσὸς, λίθων πολυτίμων εἴδη παντοδαπὰ, κτλ.). Μαρτυροῦσι περὶ τούτων οὐ μόνον οἱ συγγραφεῖς, οἷον Ἀγαθαρχίδης, Διόδωρος, Στράβων, Ἀῤῥιανὸς, Φιλόστρατος, Πλίνιος, καὶ ἄλλοι (α)· ἀλλὰ καὶ αὐτὴ ἡ παρὰ τῷ Καλλιξένῳ πομπὴ, καθ' ἣν διαγράφονται παντοῖα τῶν τριῶν τῆς φύσεως γενῶν πολυτιμότατα δείγματα, καὶ τεχνικὰ καὶ αὐτοφυῆ. Ἐκ δὲ τῶν τοιούτων ἐμπορευμάτων εἰσέῤῥεε πολὺς πλοῦτος καὶ εἰς τὸ βασιλικὸν ταμεῖον, « καὶ χρυσοῤῥόας ὁ Νεῖλος ἦν, — χρυσὸν ἀκίβδηλον καταφέρων, ὡς πᾶσιν ἐξαρκεῖν ἀνθρώποις » (Ἀθήν. Ε, 203), *καὶ* μάλιστα ἐπὶ τοῦ Φιλαδέλφου. Ὅστις « πολλῶν βασιλέων πλούτῳ διέφερε, καὶ περὶ πάντα ἐσπουδάκει τὰ κατασκευάσματα φιλοτίμως, καὶ πλοίων πλήθει πάντας ὑπερέβαλλε » (Ἀθήν. αὐτ.)· « καὶ πορίσαι δυνατώτατος ἦν, καὶ δαπανῆσαι λαμπρότατος, καὶ κατασκευάσαι μεγαλουργότατος » (Ἀππιαν.). Ἐντεῦθεν καὶ τὰ τοσαῦτα κατασκευάσματα οὐ μόνον τῆς μεγαλουργίας αὐτοῦ, περὶ ὧν εἴπομέν τινα προηγουμένως (§. θ), ἀλλὰ καὶ τὰ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν. Οἷα καὶ Καλλίξενος ὁ Ῥόδιος ἐζωγράφησε τὰ δύω ἐκεῖνα μάλιστα. α) τὴν ἐν τῷ περιβόλῳ τῆς ἄκρας (ἐντὸς τῶν βασιλείων) κατασκευασθεῖσαν πολυθαύμαστον σκηνὴν, εἰς ἣν μεταξὺ τῶν ἄλλων πολυδαπάνων κατασκευῶν ἱστοροῦνται *καὶ τὰ κυλίκεια καὶ ποτήρια — πάντα χρυσᾶ καὶ διάλιθα*, — κατὰ δὲ τὸν σταθμὸν καὶ τὴν ἀξίαν ἀναβαίνοντα « εἰς *μυρία τάλαντα ἀργυρίου* »· καὶ β) τὴν περιβόητον πομπὴν « *τῆς πολυχρύσου χλιδῆς* », καθ' ἣν ἐδαπανήθησαν 2239 τάλαντα καὶ

(α) Βλ. τὰς μαρτυρίας παρὰ τῷ σοφῷ Schmidt Opuscula etc. p 152.

50 μναῖ εἰς μόνα τοῦ Α Πτολεμαίου καὶ τῆς Βερενίκης τὰ στεφανώματα (α). Ἐκ τούτων οὖν καὶ τῶν τοιούτων ἐπισκεψάσθω πᾶς τις δίκαιος ἀναγνώστης, εἴπερ ὁ βασιλεὺς οὗτος, ὅστις μόνον εἰς μίαν θέαν πομπικὴν ἠδύνατο καὶ ἔχαιρε τοσαύτας χιλιάδας ταλάντων ἐκχέων, ἔμελλεν ἔπειτα φείσεσθαι, ἢ ἀπορῆσαι δύω ἑκατομμυρίων στερλίγγων εἰς δύο συνάμα πράξεις, οὕτω φιλανθρώπους καὶ μεγαλοπρεπεῖς καὶ βασιλικὰς, τὴν λύτρωσιν τῶν σκληροῖς δεσπόταις ἀνόμως δουλευόντων ἐντὸς τῆς ἰδίας αὐτοῦ ἐπικρατείας, καὶ τὴν εἰς πάντας ἀνθρώπους κοινοποίησιν τῆς ζηλωτῆς, ἧς καὶ αὐτὸς οὐ χωρὶς Θεοῦ βουλῆς ἔλαβεν ἵμερον καὶ πόθον, νομοθεσίας τῶν Ἰουδαίων. Καὶ εἴπερ ὁ δαπανήσας 800 τάλαντα εἰς τὸν φωτοφόρον Φάρον *ὑπὲρ τῶν πλωϊζομένων μόνον*, ἐνόμιζεν ἔπειτα δαπάνην μεγάλην, ἂν ἀναλώσῃ τὰ διπλάσια πρὸς ἑρμηνείαν βιβλίου, διαταχθέντος ὑπὸ τῆς θείας προνοίας εἰς φωτισμὸν τοῦ σύμπαντος κόσμου.

§. ιδ. Τέταρτον καὶ τελευταῖον. Ἐὰν καὶ μετὰ τὴν ἀλήθειαν τῶν προειρημένων συγγραφέων καὶ παραδειγμάτων ἀπολείπηται παρά τισιν ἰσχυρογνωμοῦσιν ἀμφιβολία τις, καὶ δυσπιστία, περὶ τῆς πρὸς ἑρμηνείαν τῶν Γραφῶν (κατὰ τὸν Ἀριστέαν) δαπάνης τοῦ Φιλαδέλφου, ἔχομεν καὶ ἐξ αὐτῶν τῶν θεοπνεύστων βιβλίων ἄλλο παράδειγμα, λίαν ἀνάλογον πρὸς τὸ περὶ οὗ ὁ λόγος, καὶ μάλιστα λαμπρόν· (διεμνημόνευσε δὲ καὶ τούτου ὁ Ἔκδικος σελ. 141). Ὁ προφητάναξ Δαβίδ, « κατὰ τὴν πτωχείαν αὐτοῦ ἡτοίμασεν εἰς οἶκον Κυρίου » (δηλαδὴ ναοῦ κατασκευὴν) « *χρυσίου ταλάντων ἑκατὸν*

(α) Ἀθήν. Ε. 196 — 203. Τὰ 2239, ταῦτα τάλαντα ὁ μὲν Ἔκδικος (Vindicat. p. 140) καὶ ὁ Δεμάγιστρος (Diss. 3. p. 414) καὶ ἄλλοι (Schmidt l. c. p. 309) νομίζουσι δαπανηθέντα εἰς ὅλης τῆς πομπῆς τὴν κατασκευὴν, καὶ ὑπ' αὐτοῦ τοῦ Φιλαδέλφου· ἀλλ' ὅσον φαίνεται ἐκ τῶν λόγων αὐτοῦ τοῦ Καλλιξένου, τὸ δαπάνημα τούτου τοῦ νομίσματος ἀναφέρεται εἰς μόνους τοὺς 23 χρυσοῦς στεφάνους, οἷς ἐστεφανώθησαν ὁ α, Πτολεμαῖος μετὰ τῆς Βερενίκης ἐφ' ἁρμάτων χρυσῶν, καὶ εἰς τὰ (δι' αὐτοὺς διορισθέντα) τεμένη ἐν Δωδώνῃ. Καὶ οἱ τούτους στεφανοῦντες φαίνονται διάφοροι παρὰ τὸν Φιλάδελφον (βλ. ὄπισθ. Κεφ. Ϛ. §. η.).

χιλιάδας, καὶ ἀργυρίου ταλάντων χιλίας χιλιάδας». Πρὸς ταύτας δὲ προσέθηκε καὶ αὐτὸς ἐξ ἰδίων «*τρισχίλια τάλαντα χρυσίου τοῦ ἐκ Σουφὶρ, καὶ ἑπτακισχίλια τάλαντα ἀργυρίου δοκίμου*» (Α. Παραλ. ΚΒ, 14. καὶ ΚΘ, 4). Ἀμφότερα δὲ ταῦτα, καὶ τὰ πρῶτα καὶ τὰ δεύτερα κεφάλαια, ἀναγόμενα εἰς νόμισμα στερλίγγειον, κατὰ τὸν Πριδῶον ὑπολογισμὸν, (πρὸς τὴν ἀξίαν δηλαδὴ τοῦ ἀττικοῦ ταλάντου), ἀπαρτίζουσι πεντακόσια τεσσαρακονταεπτὰ ἑκατομμύρια, καὶ πεντακοσίας ἐννενηκοντατρεῖς χιλιάδας, καὶ ἑπτακοσίας καὶ πεντήκοντα στερλιγγείους λίτρας. Ἂν δὲ πάλιν λογισθῶσι πρὸς τὸ τάλαντον τὸ ἑβραϊκὸν, (συγκείμενον ἐκ 3000 σίκλων), τότε τὸ ποσὸν ἀναβαίνει εἰς ἕνδεκα χιλιάδας καὶ ἐννενήκοντα τέσσαρα ἑκατομμύρια, καὶ ἑπτακοσίας καὶ πεντήκοντα χιλιάδας στερλιγγείων λιτρῶν (ἤτοι διστήλων ταλήρων 51,997,395,000). Τοσαύτη δὲ ποσότης χρημάτων ὑπερτερεῖ πάντα χρυσὸν καὶ ἄργυρον καὶ αὐτῶν τῶν καθ᾽ ἡμᾶς, τῶν γε πλείστων, τῆς Εὐρώπης βασιλειῶν. Καὶ ὅμως εἶχεν αὐτὴν εἷς βασιλεὺς τῆς Ἰουδαίας ἐν βραχείᾳ βασιλεύων ἐπικρατείᾳ! Τί λοιπὸν ἐροῦσι καὶ πρὸς ταῦτα οἱ Ἀριστεομάχοι; κρινοῦσιν ἆρα καὶ τὸν θεόπνευστον συγγραφέα τῆς βίβλου. καθὼς καὶ τὸν Ἀριστέαν (§. 6), λέγοντες ὅτι κἀκεῖνος ἐψεύσατο τοῦ τοσούτου πλούτου τοὺς ἀριθμοὺς, ὅπως ἐπιλαμπρύνῃ τὸ μέγεθος τοῦ ναοῦ καὶ τὸ κάλλος, ὡς ἂν ὑπερτεροῦντος ἁπάσας τὰς κατὰ τὴν Οἰκουμένην οἰκοδομάς; Ἀλλ᾽ ἀπέστω πάσης εὐσεβοῦς καὶ συνετῆς καρδίας τοσαύτη δυσσέβεια! (α).

(α) Οὕτως ὁ ματαιόσχολος ἐκεῖνος Βολταῖρος, μεταξὺ τῶν ἄλλων τοξευμάτων ὧν ἐτόξευσεν εἰς οὐρανὸν, ἐκωμῴδησε καὶ τοῦτον τὸν πλοῦτον τοῦ Δαβίδ· ἀλλ᾽ ἀπήντησεν ὁ Γάλλος Κλήμης, ἐξελέγχων τὰς βωμολόχους τοῦ σατυρικοῦ παρανοίας, καὶ ἀποδεικνύων, ὅτι κατὰ τοὺς Δαβὶδ καὶ Σολομῶντος χρόνους (καὶ πολὺ ὕστερον) ὁ χρυσὸς καὶ αὐτὸς ὁ ἄργυρος ὑπῆρχε πολὺ κοινότερος καὶ ἀφθονώτερος κατὰ τὴν Ἀσίαν, ἢ κατὰ τὴν Ἑλλάδα καὶ τὴν ἄλλην Εὐρώπην (βλ. τὴν, ἣν ὁ ἀοίδιμος Θεοτόκης ἀνωνύμως μετέφρασεν, «Ἀνασκευὴν τῆς τελευταῖον διερμηνευθείσης Διαθήκης». σελ. 135. Βιέννῃ 1794). Τοιούτου πλούτου παλαιοῦ δείγματα βλέπομεν καὶ παρὰ τοῖς θείοις προφήταις· οἷον τὰ τῆς Τύρου (Ἰεζεκ. ΚΖ, κτλ.), καὶ τὰ τῆς Νινευΐ (Ναοὺμ Β. 9). Εἰσὶ δέ τινα καὶ παρ᾽ Ὁμήρῳ, οἷον χρυσαῖ πανοπλίαι, ὡς ἡ τοῦ Λυκίου Γλαύκου (Ἰλ. ζ. 236), καὶ ἄλλα σκεύη καὶ δῶρα καὶ ἔπαθλα

Καὶ περὶ μὲν τῆς πρὸς τὴν ἑρμηνείαν ὑπερόγκου φανείσης δαπάνης τοῦ Φιλαδέλφου τοσαῦτα.

§. ιέ. Οἱ δὲ κριτικοὶ καὶ ἄλλως ἠπατήθησαν παρὰ πολὺ περὶ τὸν ὑπολογισμὸν τῆς δαπάνης ταύτης. Ἐξώγκωσαν ὑπὲρ τὸ δίκαιον τὸν σταθμὸν καὶ τὴν ἀξίαν τῶν παρὰ τῷ Ἀριστέᾳ ταλάντων, ἐν ᾧ μετέβαλλον αὐτὰ πρὸς τὴν ἀξίαν τῶν καθ' ἡμᾶς νομισμάτων, καθὼς ἄριστα παρετήρησε καὶ διὰ μακρῶν ἀπέδειξεν ὁ Ἔκδικος (α). Τέσσαρα δὲ μάλιστα θεωρεῖ, τὰ ἐφεξῆς.

α) Τὸ ἀττικὸν ἀργυροῦν τάλαντον (ἐπὶ σταθμοῦ = λίτραις 120) ὑπῆρχε τὸ κοινὸν μέτρον, δι' οὗ οἱ ἀρχαῖοι διώριζον τὴν ἀξίαν τοῦ χρυσοῦ καὶ ἀργύρου· ὑπῆρχε δὲ καὶ τάλαντον ἀττικὸν χρυσοῦν, λόγον ἔχον πρὸς τὸ ἀργυροῦν, ὃν τὰ 10: 1, ἢ τὰ 12: 1, ἢ τὰ 13: 1, ὡς ἔγγιστα· (ἤτοι ἓν τάλαντον χρυσοῦν ἰσοστάσιον ἦν κατὰ τὴν ὁλκὴν πρὸς 13 τάλαντα ἀργύρου) (β). Ἀδίκως οὖν ὁ Πριδὼς διο-

---

τάλαντα χρυσᾶ (Ἰλ. Ι. Μ. Τ. Ψ. βλ. καὶ τὰ πολύχρυσα ἀνάκτορα. Ὀδ. Δ. 73, καὶ Η, 87—100 κτλ.). Ἀλλ' ὁ Σαρδανάπαλος ἐν Ἀσσυρίᾳ τελευτῶν, ἐνέθηκεν ἐν ᾗ κατεκάη πυρᾷ «μυριάδας χιλίας ταλάντων χρυσίου, καὶ ἀργυρίου μυρίας μυριάδας ταλάντων» (Κτησίας παρ' Ἀθην. ΙΒ, 529. πρβ. Διόδωρ. Β, §. 27, 28). Καὶ Κῦρος ἐκ τῶν στρατειῶν ἔφερε 34,000 τάλαντα χρυσοῦ, πλὴν τῶν ἀμυθήτων χρυσῶν κατασκευασμάτων (Plin. L. 35, 3). Περὶ δὲ τοῦ Ἀλεξάνδρου, ὁπόσα συνέλεξεν ἐκ μόνης τῆς Δαμασκοῦ, βλ. Curtium, 3. 16. Πρόσθες καὶ τὴν Ἀντιόχου τοῦ Ἐπιφανοῦς πολύχρυσον πομπήν (Ἀθήν. Ε, 195). κτλ. Καὶ ταῦτα μὲν καὶ πάμπολλα ἄλλα τοιαῦτα μαρτύρια τῆς καὶ ἐπὶ τοῦ Δαβὶδ ἐν Ἀσίᾳ πληθύος τοῦ χρυσοῦ, ἣν ἐχλεύασεν ὁ γελοιαστής. Ὁ δὲ Κλέρικος (Not. εἰς Α. Παραλειπ. κβ. 14) ἐνόμισεν ὑπ' ἀντιγραφέων ἐσφαλμένον τὸν πολὺν τῶν ταλάντων ἀριθμὸν, ὑποπτεύων «μήπως ἀντὶ τοῦ ἑκατὸν χιλιάδας ταλάντων (χρυσίου) ἐγέγραπτο μόνον ἑκατὸν τάλαντα· καὶ ἀντὶ τοῦ χιλίας χιλιάδας (ἀργυρ.) μόνον «χίλια τάλαντα». Πρὸς τοῦτό πως ἀποκλίνει καὶ Houbigant (Not. Crit. in. V. T. vol. 2, p. 295). Ἀλλὰ μάτην ὑπώπτευσαν καὶ οὗτοι οἱ κριτικοὶ τὸ ἑβραϊκόν. Καὶ γὰρ καὶ οἱ Ο, τὸν αὐτὸν συμφώνως ἐξέφρασαν ἀριθμὸν (πρβλ. καὶ Ἰώσ. Ἀρχ. Ζ. ιδ. 10)· συμμαρτυροῦσι δὲ καὶ τὰ μνημονευθέντα παραδείγματα τῶν ἔξω ἱστορικῶν (βλ. καὶ Σημ. εἰς Ἀνασκευὴν, κτλ. σελ. 494· καὶ Calmet. Comm. in 1. Chronic. l. c.).

(α) Vindication etc. p. 142—155. πρβλ. καὶ Demagistr. l. c. p. 414. Sqq.

(β) «Τὸ χρυσίον τοῦ ἀργυρίου δεκαπλάσιον» (Πολυδ. Θ. ς, 76· ἐκ μαρτυρίας τοῦ Μενάνδρου· ὡς κατ' ἐκείνους τοὺς χρόνους, μετὰ τὴν Ἀλεξάνδρου ἀνάβασιν, πληθυνθέντος ἐν Ἑλλάδι μᾶλλον τοῦ χρυσίου). Πρότερον δὲ ἐπὶ τοῦ Πλάτωνος «ὁ χρυσὸς (ἀργύρου) δυωδεκαστάσιος ἦν» (Πλάτ. Ἱππάρχ.). Ἐπὶ δὲ τοῦ Ἡροδότου

ρίζει τὴν παρὰ τοῖς ἀρχαίοις ἀναλογίαν τοῦ χρυσοῦ πρὸς τὸν ἄργυρον ὡς 16: 1 (α). Κατὰ δὲ τὴν ὀρθὴν ἀναλογίαν τοῦ 13: 1 λογιζόμενα τὰ παρὰ τῷ Ἀριστέᾳ τάλαντα (1046 ἀργυρᾶ, καὶ 516 χρυσᾶ), ἀποτελοῦσι συνάμα λίτρας στερλιγγείους 302, 637, καὶ 10 σελίγγια. Ὥστε οἱ ἐκτιμήσαντες τὰ παρὰ τῷ Ἀριστέᾳ τάλαντα εἰς 1,918,537 (ἢ καὶ δύω ἑκατομμύρια) στερλίγγια (βλ. §. δ) μόνον τὸ ἕκτον μέρος τούτων κρατήσαντες, δύνανται ἀκινδύνως ἀποδοῦναι τὰ λοιπὰ τῆς ποσότητος ταύτης εἰς τὸν ζάπλουτον αὐτῆς δεσπότην, τὸν Φιλάδελφον, ἵνα μήτε οὗτος πτωχεύσῃ *χάριν ἑνὸς βιβλίου*, μήτε λίαν ἄτοπα δοκῇ παρ' αὐτοῖς ὁ Ἀριστέας ἱστορῶν!

β) Οἱ ἀρχαῖοι εἶχον καὶ ἐπὶ νομίσματος τὸ ἀργυροῦν τάλαντον ὡς μέτρον κοινὸν, πρὸς ὅπερ ἐλογίζοντο τὴν ἀξίαν ὅλων τῶν χρυσῶν καὶ ἀργυρῶν νομισμάτων· « τὸ τάλαντον μέγιστόν ἐστι χρυσίου καὶ ἀργυρίου μέρος » (ἴσ. γρ. *μέτρον*. Πολυδ. Θ. ϛ, 52)· καὶ πρὸς τοῦτο τὸ τάλαντον ἀνῆγον ἐν τοῖς ὑπολογισμοῖς τὰ κεφάλαια τῆς ἀξίας τῶν ἀργυρῶν καὶ χρυσῶν νομισμάτων (β). Ἓν δὲ τάλαντον

(Γ, 95) « τὸ χρυσίον τ ρ ι σ κ α ι δ ε κ α σ τ ά σ ι ο ν ἐλογίζετο » (βλ. καὶ Demagistr. l. c. p. 416). Παρὰ δὲ τοῖς ἀρχαιοτάτοις, ἄδηλον ὁπόσος κυρίως ἦν ὁ τοῦ χρυσοῦ πρὸς τὸν ἄργυρον λόγος· « Περὶ τοῦ ταλάντου τῶν Ἑλλήνων (λέγει ὁ Σχολ. Ὁμήρου εἰς Ἰλ Ι, 122), βραχύ τι τὸ τάλαντον τοῦ χρυσίου ἐστὶ παρ' αὐτοῖς· ὡς καὶ Δίφιλος ἐν ἀργύρῳ, βραχύ τι τὸ τάλαντον φησί· Τάλαντον, οὐ τάλαντα· ταῦτα δὲ ἐστὶ χρυσίου τάλαντον. πρβλ. καὶ Πολυδ. Θ. ϛ. « παρὰ τοῖς ἐφ' Ὁμήρου ὀλίγον ἠδύνατο τὸ τάλαντον ».

(α) Prideaux praef. in Histor. Jud. Ὁ δὲ γελοιαστὴς Βολταῖρος πολὺ θρασύτερον ἐσοφίσθη, διορίσας τὴν ἀναλογίαν τοῦ χρυσοῦ πρὸς τὸν ἄργυρον ὡς 20 : 1. ἵνα πρὸς τὸ ἀπιστότερον δῆθεν ἐπαυξήσῃ τὸν Σολομῶντος πλοῦτον (βλ. Ἀνασκευὴν κτλ σελ. 134).

(β) « Χρήματα δὲ — ε ἰ ς ἀ ρ γ ύ ρ ι ο ν λ ο γ ι σ θ έ ν τ α, τάλαντα πλείω τῶν τρισχιλίων » (Ξενοφ. Κυροπαιδ. γ. σελ. 68 ἐκδ. Paris 1625). Καί, « δοὺς χρυσίον ἐς πεντήκοντα τάλαντα ἀργυρίου » (αὐτ. Ἑλλην. γ. σελ. 502). Καὶ παρ' Ἀθηναίῳ (ε, 197) τὰ χρυσᾶ καὶ ἀργυρᾶ σκεύη ἐκτιμῶνται κοινῶς εἰς « μυρία τάλαντα ἀργυρίου (βλ. ὄπισθ. §. ιγ). Τοῦτο μαρτυρεῖ καὶ ἡ μεταξὺ Ῥωμαίων καὶ Ἑλλήνων δόσις καὶ λῆψις (βλ. Πολυβ. Ἐκλογ. κεφ. λε. πρβλ. καὶ κεφ. κη — καὶ Liv. 38. c. 8. 11). Παρὰ δὲ τῷ Ἀριστέᾳ ἀναγινώσκομεν, ὅτι τὸ πρῶτον ὁ Φιλάδελφος ἑκάστῳ (τῶν Ο, πρεσβυτέρων) « τρία τάλαντα προσέταξεν ἀργυρίου δοθῆναι, καὶ τὸν ἀποκαταστήσοντα παῖδα » (διότι, ὡς ἐξ ἀργυρῶν συγκείμενα δραχμῶν, ἔπρεπεν ἐξ ἀνάγκης ἵνα καὶ διά τινος

ἀργυροῦν ἀττικὸν ἐτιμᾶτο 6000, δραχμῶν ἀργυρῶν ἀττικῶν (α). Καὶ κατὰ τοῦτον πάλιν τὸν νομισματικὸν ὑπολογισμὸν ἀποδείκνυσιν ὁ Ἔκδικος ὅπερ ἀνωτέρω διώρισε κεφάλαιον τῶν 302, 637 στερλιγγίων λιτρῶν, καὶ ταῦτα κατὰ λόγον τοῦ ἀττικοῦ ταλάντου.

γ) Ἀλλὰ τὸ τάλαντον κατὰ χώρας ἦν διάφορον, καὶ ὑποδιῃρεῖτο μὲν πανταχοῦ σχεδὸν εἰς μνᾶς, καὶ δραχμάς· ἀλλ' ἐπειδὴ κατὰ τόπους αἱ μναῖ καὶ δραχμαὶ διέφερον κατὰ τὴν ὁλκὴν, ἢ τὸν σταθμὸν, διὸ καὶ κατὰ τὴν ἀξίαν, ἐντεῦθεν λοιπὸν καὶ ἡ τοῦ ταλάντου ὁλκὴ καὶ ἀξία διέφερε κατὰ πολιτείας ἀναλόγως, *κατά τε προσθήκην καὶ ὑφαίρεσιν* (ϐ). Καὶ ὤφειλον ἄρα πάντως οἱ περὶ τὸν Πριδῶν ὁρίσαι πρῶτον ἀκριϐῶς τὴν ἀξίαν τοῦ Αἰγυπτίου ταλάντου, καὶ ἔπειτα τὸ παρὰ τῷ Ἀριστέᾳ κεφάλαιον τῆς Φιλαδέλφου δαπάνης μεταϐαλεῖν εἰς ἀγγλικὸν νόμισμα. Εἰ δὲ τοῦτο ἐποίουν, οὐκ ἂν εὕρισκον ἴσως αἰτίαν οὕτως ἀφειδῶς καταδικάσαι τὸν Ἀριστέαν. Πάντες ὁμολογοῦσιν ὅτι τὸ ἀττικὸν ἀργυροῦν τάλαντον συνίστατο ἐξ 6,000 δραχμῶν, ἢ 80 λιτρῶν ῥωμαϊκῶν, ὡς Πολύϐιος καὶ Λίϐιος μαρτυροῦσιν (γ)· 80 λιτρῶν ῥωμαϊκῶν καὶ τὸ Αἰγυπτιακὸν τάλαντον ὁ Πλίνιος εἶπε, κατὰ τὴν Οὐάρωνος αὐθεντίαν (δ)· καὶ φαίνεται λοιπὸν κατὰ τούτους τὸ Αἰγυπτιακὸν ἢ Ἀλεξανδρινὸν τάλαντον ἶσον τῷ Ἀττικῷ, κατά τε τὴν νομισματικὴν ἀξίαν, καὶ κατὰ τὴν σταθμικὴν, ὡς ἐκ τοῦ Γαληνοῦ συνάγεται (ε). Ἀλλ' ὅμως ἑτέρωθεν ἀναφαίνονται ἄλλαι δυσκολίαι.

ὑπηρέτου φορτοφόρου μετακομισθῶσι διὰ τὸ βάρος). Τὸ δὲ δεύτερον ἔδωκεν ὁ Φιλάδελφος ἑκάστῳ χρυσίου τάλαντα δύω (πρὸς τὸ ἀργυροῦν καὶ ταῦτα λογισθέντα, ἀλλ' ἴσως ἐκ χρυσοῦ συγκείμενα νομίσματος· ὅθεν οὐδὲ φορτοφόρος εἰσάγεται κομιστής). Βλ. Ἀριστ. σελ 33, 35. Hody.

(α) Τὰ δέκα τάλαντα = 60000 δραχμαῖς, ὑπῆρχον ἰσότιμα 3000 δαρεικοῖς (Ξενοφ. Κύρ. Ἀναϐ. Α. σελ. 262). Ὁ δὲ δαρεικὸς, ἰσότιμος πρὸς χρυσοῦν στατῆρα ἀττικὸν (Πολυδ. Θ. ς. Σχολ. Ἀριστοφ. Ἐκκλ. 598. Σουΐδ. λ. δαρεικός. Διόδωρ. κτλ. Καθὼς δὲ παρὰ τοῖς Ἄγγλοις 80, Penny — weight ἀργύρου, ἢ 5, Penny — weight χρυσοῦ, ποιοῦσι μίαν λίτραν στερλίγγειον, οὕτως 6000 δραχμαὶ ἀργυραῖ, ἢ 300 χρυσοῖ (δαρεικοί), ἢ 600 δραχμαὶ χρυσαῖ, ποιοῦσιν ἓν τάλαντον ἀττικόν. — (ϐ) Πολυδ. Θ. ς. 86. Plin. H. N. L. 35. p. 705. A. Gell. 3. c. 17.

(γ) Πολύϐ. Ἐκλ. πρεσϐ. 35. καὶ Liv. 38. c. 11. — (δ) Plin. L. 33. p. 614.

(ε) Γαλην. περὶ μέτρ. καὶ σταθμ. γ. τόμ. 13. σελ. 976. πρϐλ. καὶ σελ. 981.

δ) Τὸ σταθμικὸν τῶν Αἰγυπτίων ἢ Ἀλεξανδρινῶν τάλαντον ὑπῆρχεν ἄρα ἰσοδύναμον πρὸς τὸ παῤ αὐτοῖς τούτοις νομισματικόν; ἢ καὶ πρὸς τὸ ἀττικὸν, ὡς ἐκ τῆς ἀξίας τῶν ἐξ ὧν ἀπηρτίζετο δραχμῶν; Περὶ τούτου ἀμφιβάλλεται. Καὶ βλέπομεν σαφῶς πολλὴν σύγχυσιν τῆς ἀξίας τοῦ Ἀλεξανδρινοῦ ταλάντου πρὸς τὴν ἀναλογίαν τῶν ἀττικῶν δραχμῶν. Ὁ Ἀππιανὸς λέγει τὸ Εὐβοϊκὸν τάλαντον ἄξιον 7000 δραχμῶν Ἀλεξανδρινῶν. Ἐπειδὴ δὲ τὸ τάλαντον τῶν Εὐβοέων ἴσχυεν 10000 δραχμὰς ἀττικὰς, ἄρα τὸ τάλαντον τὸ Ἀττικὸν ὑπῆρχε τοῦ τῶν Ἀλεξανδρέων ὑποδεέστερον, ὡς τὰ 7 πρὸς τὰ 10. Ἀλλ᾽ ἐν τούτῳ μὲν ἴσως ἔγκειταί τις ὑπόνοια πλάνης (α). Ὁ δὲ Πολυδεύκης (Θ, ς, τμ. 85, 86), πᾶν τοὐναντίον ἀποφαίνεται, τὸ τάλαντον τῆς Ἀλεξανδρείας ἄξιον 1500 δραχμῶν ἀττικῶν. Καὶ αὐτὴ ἡ Κλεοπάτρα λέγει τὴν Αἰγυπτιακὴν δραχμὴν τὸ ἑκτημόριον τῆς Ἀττικῆς (παρὰ Γαλην. περ. μέτρ. κεφ. 10). καὶ ἑπομένως τὸ Αἰγύπτιον τάλαντον ὑπῆρχεν ἴσον κατ᾽ ἀξίαν πρὸς μόνας 1000, δραχμὰς ἀττικάς. Ὁ δὲ τέλος Ἥρων νῦν μὲν λέγει τὸ Πτολεμαϊκὸν τάλαντον ἰσοδύναμον πρὸς 1500, ἀττικὰς δραχμάς· ἀλλαχοῦ δὲ πάλιν εἶπεν, ὅτι μία Πτολεμαϊκὴ μνᾶ ὑπῆρχεν ἰσοδύναμος πρὸς τὸ πεμπτημόριον τῆς Αἰγιναίας μνᾶς, καὶ ἑπομένως τὸ Πτολεμαϊκὸν τάλαντον ἦν ἴσον 2000, δραχμαῖς ἀττικαῖς (β).

(α) Ἀππιαν. Ε. 2. πρβλ. Letronne l. c. p. 14. Ὁ δὲ Droysen l. c. p. 518, τιθεὶς τὸν τοῦ Εὐβοϊκοῦ ταλάντου λόγον πρὸς τὸν τοῦ Ἀττικοῦ ὡς 75: 73: ἐξάγει τὸ Ἀττικὸν τάλ. = 6813 ⅓: δραχμαῖς ἀργυρ. Ἀλεξανδριναῖς, ἤτοι = 1210. ταλήρ. Προυσιακοῖς. κτλ. Ἄλλοι δέ τινες ἐνόμισαν, ὅτι τὸ Αἰγυπτιακὸν ἀργυροῦν τάλαντον ὑπῆρχεν ἰσοδύναμον πρὸς δύο ἀττικὰ τάλαντα ἀργυρᾶ, ὡς συνήγαγον ἐκ τοῦ Φήστου (Festi)· ἀλλ᾽ οὐδὲ τούτων ἡ γνώμη ἔῤῥωται (Vindication etc. p. 153). Μόνον τὸ Ἀλεξανδρινὸν δίδραχμον τίθεται ἴσον πρὸς τέσσαρας δραχμὰς ἀττικὰς, ἢ πρὸς ἕνα σίκλον ἑβραϊκὸν (Ἰωσ. Ἀρχ. γ. 8. 2. πρβλ. ἐφεξ. βιβλ. Β. κεφ. Δ. §. ιζ). Ὥστε μία Ἀλεξανδρινὴ δραχμὴ ὑπῆρχεν ἰσοστάσιος πρὸς δύω ἀττικάς· ἀλλὰ τοῦτο πάλιν ἀντιβαίνει πρὸς τὰς ἐφεξῆς μαρτυρίας. Μήποτε οὖν καὶ τὸ Ἀλεξανδρινὸν τοῦτο δίδραχμον ἀνῆκεν εἰς ἐκεῖνα τὰ νομίσματα τῶν Λαγιδῶν, ἅτινα (καθὼς λέγουσιν) ἐκόπτοντο ἰδίως κατ᾽ ἀναλογίαν τῶν ἀττικῶν; (Βλ. Letronne. l. c. p. 11).

(β) Βλ. Notas εἰς Πολυδεύκ. Θ. ϛ. τμ. 85, 86. σελ. 1067, 1068. πρβλ. Ang. Maij ad calem Iliad. fr. p. 156. Οὕτω καὶ ὁ καθ᾽ ἡμᾶς περικλεὴς φιλολόγος Βείκ-

Ἐν τοσαύταις οὖν τῶν ἀρχαίων καὶ αὐτῶν τῶν νεωτέρων περὶ τοῦ Αἰγυπτιακοῦ ταλάντου διαφωνίαις, πῶς ἐθάῤῥησαν οἱ περὶ τὸν Πριδὼν ὁρίσαι τὴν τούτου ἀξίαν, οὕτως ἀποφαντικῶς ἀνάγοντες τὸ κεφάλαιον τῆς Φιλαδέλφου δαπάνης εἰς τὸ στερλίγγειον (ἢ καὶ ἄλλο οἱονδήποτε τῶν νεωτέρων) σύνηθες νόμισμα; Ἐὰν δὲ τοῦ παρὰ τῷ Ἀριστέᾳ Αἰγυπτιακοῦ ταλάντου ἡ ἀξία λογισθῇ τὸ *τρίτον* τοῦ Ἀττικοῦ, ἤτοι, 2000 δραχμῶν ἀττικῶν (κατὰ τὸν Ἥρωνα), ἢ τὸ *τέταρτον* τοῦ Ἀττικοῦ, ἤτοι, 1500 (κατ᾽ αὐτὸν πάλιν τὸν Ἥρωνα καὶ τὸν Πολυδεύκην), ἢ, τέλος, τὸ *ἕκτον*, ἤτοι, 1000 μόνον (κατὰ τὴν Κλεοπάτραν), τί ἄλλο μένει, εἰ μὴ, ἢ τὸ *τρίτον*, ἢ τὸ *τέταρτον*, ἢ τὸ *ἕκτον* μόνον μέρος τοῦ πρὸς τὴν *ἑξακισχιλιόδραχμον* τοῦ ἀττικοῦ ταλάντου τιμὴν ἐκλογισθέντος κεφαλαίου τῆς δαπάνης τοῦ Φιλαδέλφου; Εἰ δ᾽ ἔστιν ἀκριβὴς ἡ τῶν ἀττικῶν δραχμῶν καὶ ταλάντων πρὸς τὰ τῆς Ἀλεξανδρείας ἀναλογία, ἣν συνήγαγον οἱ νεώτεροι ἐκ τῶν σῳζομένων καθ᾽ ἡμᾶς Πτολεμαϊκῶν μεταλλοσήμων (médailles), τὸ μὲν τάλαντον τὸ Ἀλεξανδρινὸν ἴσχυε τὰ τέσσαρα τῶν πέντε μερῶν τοῦ Ἀττικοῦ (ἤτοι περιεῖχε 4,200 *φράγκα*, τὸ δ᾽ ἀττικὸν ἠδύνατο δραχμὰς 6,000)· ἡ δὲ δραχμὴ ἡ Ἀλεξανδρινὴ ὑπῆρχε περίπου $\frac{70}{100}$ τῆς Ἀττικῆς (α).

χιος διορίζει τὸ Ἀλεξανδρ. τάλαντον = $\frac{1}{3}$ τοῦ Ἀττικοῦ (Böckh Staatshaushalt. I, 20). Ὅτι δὲ τὸ τῆς Ἀλεξανδρείας ἀργύριον ὑπῆρχεν ἐλάσσονος ὁλκῆς καὶ ἀξίας παρὰ τὸ ἀττικὸν, φαίνεται καὶ ἔκ τινος χωρίου τοῦ Λαερτίου (ὃ παρέλιπεν ὁ Ἔκδικος), τὸ ἐφεξῆς· «Ἔφασκε δὲ (Ζήνων) τοὺς μὲν τῶν ἀσολοίκων λόγους καὶ ἀπηρτισμένους ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρινῷ, εὐοφθάλμους μὲν καὶ περιγεγραμμένους, καθὰ καὶ τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίονας· τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς ἀττικοῖς τετραδράχμοις, εἰκῇ μὲν κεκομμένους καὶ σολοίκους, καθέλκειν μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις» (Λαέρτ. Ζ. α. §. 19. πρβλ. καὶ Menag. Observ. p. 274 καὶ 390). Μέμνηται δὲ καὶ ἀλλαχοῦ ὁ Λαέρτιος «μνῶν ἀλεξανδρινῶν» (Βιβλ. Δ. ζ. §. 4), καὶ Ἀθήναιος «ὀβολῶν ἀλεξανδρινῶν» (Η, 331) κτλ. Βλ. καὶ Ἐπιφάν. περὶ μέτρ. καὶ I. Scaliger. de Re nummaria. - Gronov. de Pecun. Veter. — Leusden Philol. Hebr. mixt. p. 29. — Ed. Bernard. de mens. et ponderib. veter. πρβλ. καὶ ἐφεξῆς κεφ. κ. §. ε. σημ.

(α) βλ. Letronne l. c. p. 14.

Ὥστε καὶ κατὰ ταύτην τὴν ἀναλογίαν ἐλαττοῦται πλέον ἢ τὸ $\frac{1}{4}$ τοῦ πολυθρυλλήτου δαπανήματος. Καὶ περὶ μὲν τούτων ἅλις, καὶ χάριν τῆς ἀκριβείας μᾶλλον, ἢ πρὸς ὑποφυγὴν τοῦ διαβαλλομένου πλήθους τῆς Φιλαδελφείου δαπάνης. Ἐξογκούτωσαν αὐτὴν οἱ ἄνδρες πρὸς τὸ δοκοῦν· οὐ φροντὶς Ἀριστέᾳ. Ὁ Φιλάδελφος καὶ ἤθελε καὶ ἠδύνατο καὶ χίλια καὶ πολλαπλάσια τάλαντα δαπανῆσαι πρὸς ἐπίτευξιν τῆς, εἰς ἣν ὡρμήθη θεόθεν, ἑρμηνείας τῶν Γραφῶν.

§. ις. Ἄλλο δέ τι θεωροῦμεν ἤδη, τὸ ἐφεξῆς. Περὶ τὴν λύτρωσιν τῶν αἰχμαλώτων φαίνεταί τις διαφωνία μεταξὺ Ἀριστέου καὶ Ἰωσήπου (κατὰ τὰς νῦν φερομένας ἐκδόσεις), καὶ αὕτη τριπλῆ, περί τε τὸν ἀριθμὸν αὐτῶν τῶν αἰχμαλώτων, καὶ περὶ τὸ ποσὸν τῶν κατὰ κεφαλὴν δοθέντων λύτρων, καὶ τὸ τούτων κεφάλαιον, ἀναγόμενον εἰς τάλαντα. Καὶ ταύτης τῆς διαφωνίας καθήψαντο γενναίως οἱ μωμοσκόποι λέγοντες. « Εἰ μὲν ὁ Πτολεμαῖος ἐπλήρωσε 660, τάλαντα πρὸς λύτρωσιν ἑκατὸν χιλιάδων αἰχμαλώτων, ἀνὰ *εἴκοσι* δραχμὰς κατὰ κεφαλὴν (ὡς ἔχει ὁ Ἀριστέας), τότε λοιπὸν οἱ αἰχμάλωτοι ἦσαν οὐχὶ 100,000 χιλιάδες, ἀλλ' 198,000. Εἰ δὲ καὶ ἐπλήρωσε 460 τάλαντα λύτρα ἐπὶ χιλιάδων *ἑκατὸν εἴκοσιν*, ἀνὰ *ἑκατὸν εἴκοσι δραχμὰς* κατὰ κεφαλὴν (ὡς ἔχει ὁ Ἰώσηπος), τότε λοιπὸν ὁ ἀριθμὸς τῶν αἰχμαλώτων μόλις ἀναβαίνει εἰς 23,000 χιλιάδας. Ὥστε καὶ ἐκ ταύτης τῆς ἀντιφάσεως προδίδοται σαφῶς ὁ Ψευδαριστέας ».

Ἀπαντῶμεν.

§. ιζ'. Ἀλλ' ἐὰν (ἀνθυπέβαλε προχείρως ὁ Ἔκδικος), ἐὰν ἐκ ταύτης τῆς ἀντιφάσεως συνάγηται ψεύστης τις, καὶ οὐχ ὁ γνήσιος Ἀριστέας, ὁ συγγράψας τὴν ἱστορίαν, ἕπεται λοιπὸν, ὅτι οὐδ' αὐτὸς ὁ Ἰώσηπος συνέγραψε τὴν Ἀρχαιολογίαν (ἧς μέρος ἡ τοῦ Ἀριστέου σύνοψις ἀποτελεῖ), διότι καὶ οὗτος πάλιν ἐν τούτοις ἀντιφάσκει πρὸς Ἀριστέαν· ἀλλὰ τοιαύτην κρίσιν ἐν ἄλλοις συγγράμμασιν οὐδεὶς τῶν φιλολόγων (ὅσον ἡμεῖς οἴδαμεν), ἐτόλμησε μέχρι σήμερον ἐξενεγκεῖν. Οἴδασι δὲ πάλιν καὶ αὐτοὶ οἱ κριτικοὶ, ὅτι οὐδεὶς οὐδέποτε κρίνει τὸ γνήσιον τῶν συγγραφῶν ἐκ τῶν σφαλμάτων τῶν ἀντιγραφέων.

Καὶ πρῶτον μὲν περὶ τοῦ ἀριθμοῦ τῶν αἰχμαλώτων, ὁ Ἰώσηπος, τρὶς μνημονεύσας ἐν τῷ αὐτῷ κεφαλαίῳ (Ἀρχ. ΙΒ, 6) τὸ πλῆθος τῶν αἰχμαλώτων, ἅπαξ μὲν ἔχει *δώδεκα*, δὶς δὲ ἐφεξῆς γράφει *δέκα τὰς μυριάδας*, ὅσας καὶ Ἀριστέας· (βλ. ὄπισθ. σελ. 466 σημ.)· τίς οὖν ἀμφιβάλλει, ὅτι καὶ ἀρχόμενος τοῦ κεφαλαίου ἔγραψεν ὁ ἀρχαιολόγος κἀκεῖ *δέκα* τὰς μυριάδας; ἡ δὲ τῶν ἀντιγραφέων ἀπροσεξία μετεποίησεν εἰς *δώδεκα* τὸν ἀριθμόν, ὡς ἀφεῖλεν ἐφεξῆς καὶ τὴν προκειμένην *περὶ* πρόθεσιν, ἥτις σῴζεται ἔν τισιν ἀντιγράφοις (α). Ὥστε περὶ τὸν ἀριθμὸν τῶν αἰχμαλώτων οὐδεμία φαίνεται τοῦ Ἰωσήπου πρὸς τὸν Ἀριστέαν διαφωνία. Μένει ἤδη ἡ περὶ τοῦ ἀριθμοῦ τῶν κατὰ κεφαλὴν δοθέντων λύτρων, καὶ ἡ περὶ τὸ κεφάλαιον τῶν ἐκ τούτων συμποσουμένων ταλάντων. Ὁ μὲν οὖν Ἀριστέας ἔχει κατὰ κεφαλὴν 20 δραχμάς, τὸ δὲ ὅλον 660 τάλαντα. Ὁ δὲ Ἰώσηπος, αὐξάνων τὸ κεφαλικὸν εἰς 120 δραχμὰς, καταβιβάζει τὴν ὅλην τῶν λύτρων ποσότητα εἰς τάλαντα 460. Ἀντίφασις τρανὴ καὶ προφανής. Ἀλλὰ καὶ ὧδε προφανῶς ἐσφάλησαν οἱ ἀντιγραφεῖς· διότι πᾶς τις ὁμολογεῖ, ὅτι οἱουδήποτε συγγράμματος ὁ πιστὸς ἐπιτομεὺς ἀποδίδωσιν ἀπ' ἀρχῆς μέχρι τέλους τὸν νοῦν τοῦ συγγραφέως ἀναλλοίωτον ἐν πᾶσι καὶ ἀμετάβλητον. Καὶ τοῦτ' ἔπραξεν ὁ Ἰώσηπος περὶ τὸν Ἀριστέαν. Εἰ δὲ καὶ μετέβαλλε τὰ περιστατικὰ τῆς ἣν συνέτεμεν ἱστορίας, οὔτ' ἐπιτομὴν

(α) « Ὄντας δώδεκα μυριάδας τὸν ἀριθμὸν » (ἄλλο χειρόγραφον. « ὄντας π ε ρ ὶ δ ώ δ ε κ α κτλ. Ἰώσηπ. αὐτόθ. § 1 σελ. 585 τ. α. Hav.). Ὅτι δὲ καὶ περὶ τὸν ἀριθμὸν αὐτὸν ἐγένετο παράπτωμα τῶν ἀντιγραφέων μαρτυρεῖ ἐκ τοῦ σύνεγγυς ἄλλο παρόμοιον. Αὐτὸ τὸ « δ έ κ α μ υ ρ ι ά δ ω ν (Ἰώσηπ. ΙΒ. β, § 3), καθὼς ὀρθῶς ἐξέδωκεν ὁ Ἀβερκάμπιος, εὑρίσκεται ἔν τισι χειρογράφοις ἕ ν δ ε κ α· ἐκ δὲ τῶν τοιούτων χειρογράφων διῆλθε τὸ παράπτωμα καὶ εἰς τὰς ἐν τῇ Βασιλείᾳ καὶ Γενεύῃ ἐκδόσεις τοῦ Ἰωσήπου· (βλ. Havercamp. ibid.). Ὅθεν ἠπατήθη καὶ Ὅδιος (βλ. ὄπισθ. σελ. 466). Καὶ ἄλλα δὲ περὶ τοὺς ἀριθμοὺς σφάλματα ἀντιγραφέων ἐσεῤῥύησαν ἐν τοῖς Ἰωσήπου (βλ. περ. Ἰουδ. πολ. Ζ. 10. §. 4 σελ. 435 Hav. τόμ. 2 κτλ.). Σημείωσαι δὲ, ὅτι ὁ Ἔκδικος ἐκράτησεν ὡς γνησίαν τὴν ἅπαξ παρ' Ἰωσήπῳ τῶν δ ώ δ ε κ α μυριάδων γραφὴν, καὶ πρὸς ταύτην ἔπειτα λοιπὸν διορθοῖ τὴν ἄλλην τὴν δὶς μὲν παρ' Ἰωσήπῳ, πανταχοῦ δὲ παρὰ τῷ Ἀριστέᾳ γραφὴν, δ έ κ α (Vindication ect. p. 158). Ἀλλ' ἡ διόρθωσις, τό γ' ἐμοὶ δοκοῦν, βιαιοτέρα φαίνεται, καὶ χωρὶς ἀνάγκης οὐδεμιᾶς. βλ. ἐν τοῖς ἐφεξῆς σελ. 570.

ἐποίει τότε πιστὴν, καὶ πᾶς τις ἂν ἐπίστευε τῷ συγγραφεῖ μᾶλλον, ἢ τῷ συνοψιστῇ. Νῦν δὲ πάντα τ᾽ ἄλλα, καὶ τὰ καιριώτατα μάλιστα, συμφωνῶν ὁ Ἰώσηπος, φανερὸν, ὅτι καὶ τοὺς ἀνωτέρω ἀριθμοὺς ἔγραψε τοὺς αὐτοὺς, οὓς εἶχε καὶ Ἀριστέας· οἱ δὲ μεταγραφεῖς, εἴτε περὶ τοῦτον, εἴτε περὶ ἐκεῖνον, ἢ καὶ ἐν ἀμφοτέροις μετέβαλον ἐξ ἀπροσεξίας τὰ ἀριθμητικὰ στοιχεῖα (οἷον συμβέβηκε καὶ περὶ πολλὰς ἄλλας τῶν ἀρχαίων συγγραφάς). Τῶν μὲν οὖν κατὰ κεφαλὴν λύτρων τὸν ἀριθμὸν οἱ μέν τινες ἐξέλαβον ἡμαρτημένον ἐν τοῖς Ἰωσήπου, καὶ προτιμῶσιν, ὡς μᾶλλον γνήσιον, τὸν παρὰ τῷ Ἀριστέᾳ (τὰς *εἴκοσι δραχμάς*) (α). Οἱ δὲ περὶ τὸν Ἔκδικον προκρίνουσι μᾶλλον (καὶ λίαν ὀρθῶς, ὥςγε καὶ ἡμῖν δοκεῖ) τὰς παρ᾽ Ἰωσήπῳ *ἑκατὸν εἴκοσιν* (β). Εἴπομεν δὲ πρὸ μικροῦ (σελ. σελ. 568. σημ.), ὅτι καὶ τὸν ἅπαξ εὑρισκόμενον παρ᾽ Ἰωσήπῳ ἀριθμὸν τῶν αἰχμαλώτων (τὰς *δώδεκα μυριάδας*) ἐκράτησαν ὡς μᾶλλον γνήσιον οἱ περὶ τὸν Ἔκδικον. Τούτους οὖν τοὺς ἀριθμοὺς πολλαπλασιάζοντες πρὸς ἀλλήλους, εὑρίσκουσι τὸ κεφάλαιον τῶν λύτρων συμποσούμενον ὅλον εἰς 14,400,000 δραχμάς· καὶ ταύτας ἀνάγοντες εἰς ἀττικὰ τάλαντα (ἀνὰ 6,000 δραχμὰς) εὑρίσκουσι προκύπτον τάλαντα 2,400. Ὅθεν κρίνουσι πρῶτον, ὅτι ὁσάκις ὁ Ἰώσηπος μνημονεύει τῶν ταλάντων τὸν ἀριθμὸν, ἔγραψεν αὐτὸν ἐν στοιχείοις ἀριθμητικοῖς· ἔγραψε δὲ τοῦτον δὶς, πρῶτον μὲν ἐν τῷ

(α) Βλ. εἰς Ἰώσηπ. ΙΒ β. § γ. σημ. Haverc. καὶ Usser. in Annal. V. T. ad an. 3727.

(β) « Τὰ παρὰ τῷ Ἀριστέᾳ τάλαντα φανερὸν ὅτι ἦσαν αἰγυπτιακὰ, ἢ ἀλεξανδρινά· αἱ δὲ εἴκοσιν αἰγυπτιακαὶ δραχμαὶ ἀπετέλουν μόλις τὸ 3 $\frac{1}{3}$, ἢ γοῦν τὸ πέμπτον μέρος τῆς ἀττικῆς δραχμῆς (κατὰ τὰς ἀνωτέρω μαρτυρίας τοῦ Πολυδεύκους καὶ τῆς Κλεοπάτρας), ἀλλὰ τοσοῦτον ποσὸν λίαν ἐστὶν εὐτελὲς καὶ ἀσήμαντον λύτρον ἑκάστου αἰχμαλώτου, καὶ ἑπομένως ἀπίθανον. Φαίνεται λοιπὸν ὅτι οἱ μεταγραφεῖς τοῦ Ἀριστέου ἔγραψαν μόνον κ (20) ἀντὶ ρκ(120)· καὶ αὕτη ἡ γνησία γραφὴ διεσώθη παρ᾽ Ἰωσήπῳ (βλ. καὶ ἐφεξῆς κεφ. Κ. §. ε). Ὅτι δὲ αἱ 120 αἰγυπτιακαὶ δραχμαὶ ἦσαν ἰσοδύναμοι 30 σίκλων ἑβραϊκῶν, καὶ ὅτι εἶχόν τινα σχέσιν πρὸς τὴν ὑπὸ τοῦ νόμου διωρισμένην τιμὴν τῶν αἰχμαλώτων, τοῦτο, λέγει ὁ Ἔκδικος, λίαν ἀσύστατον ἐφαντάσθησαν οἱ κριτικοί. Vindication of the histoy etc. p. 157—159 (βλ. καὶ ἐφεξῆς Κεφ. Κ. §. δ).

« *πλειόνων δὲ, ἢ βυ*(=2,400) *ταλάντων* », ὅπου νῦν ἀναγινώσκεται ὁλόγραφον μόνον τὸ *τετρακοσίων*· δεύτερον δὲ ἐν τῷ « ὑπὲρ βυξ(=2,460) », ὅπου νῦν μόνον « *ἑξήκοντα καὶ τετρακόσια* » (Ἰώσηπ. σελ. 587, 588. Hav.) (α). Ἐκ δὲ τούτου συμπεραίνουσι λοιπὸν, ὅτι ὁ μεταγραφεὺς ἐπλανήθη παραλιπὼν ἐν ἑκατέροις τοῖς χωρίοις τὸ στοιχεῖον β, (=*δισχίλια*). Πρὸς δὲ ταύτην τὴν διόρθωσιν κρίνουσι τρεπτέα καὶ τὰ τοῦ Ἀριςέου, πολλῷ γε πλέον ἐν ἐκείνῳ πλανηθέντων τῶν ἀντιγραφέων. Καθότι τὸ μὲν πρῶτον ἔγραψαν κἀκεῖ ὑπὲρ τὰ *τετρακόσια* (ἀντὶ « ὑπὲρ τὰ βυ », ἢ *δισχίλια τετρακόσια*)· τὸ δὲ δεύτερον διέφθειραν πολὺ χεῖρον, γράψαντες πάλιν « *ἑξακοσίων ἑξήκοντα* » (ἢ ἐν ἀριθμοῖς χξ, ἀντὶ βυξ, ἤτοι *δισχιλίων τετρακοσίων ἑξήκοντα*). Ταῦτα κρίνουσιν οἱ περὶ τὸν Ἔκδικον, λίαν εὐφυῶς διαλλάττοντες τὸν Ἀριστέα πρὸς τὸν Ἰώσηπον, καὶ λίαν ὁμοιαλήθως ἐπανορθοῦντες τὰ παρ' ἑκατέροις σφάλματα τῶν ἀριθμῶν. Πλὴν ἀλλ' (ὁμολογοῦμεν), ὅτι ἔχει καί τινας ἀντιλογίας ἡ διόρθωσις· α) Πάντῃ φαίνεται παράδοξον, ὅτι οἱ ἀντιγραφεῖς καὶ τοῦ Ἀριστέου καὶ τοῦ Ἰωσήπου παρέβλεψαν ἐν ἑκατέροις τὸ β (δισχίλια), ὡς ἂν ἐκ συνθήκης πλανηθέντες, ἢ ὡσανεὶ μετέγραψαν ἀμφότερα τὰ συγγράμματα οἱ αὐτοὶ ἀντιγραφεῖς. Ἓν μόνον ἐν τούτοις μόλις ἄν τις ὑποπτεύσειεν· ὅτι ὁ Ἰώσηπος οὐχ εὕρηκε τὸ β, στοιχεῖον ἐν τοῖς Ἀριστέου ἀπογράφοις, ὡς ἐκ τούτων πρόπαλαι δι' ἀβλεψίαν τῶν ἀντιγραφέων ἐκπεσόν. β) Τίθεται ὡς βάσις ὁ μόνον ἅπαξ παρ' Ἰωσήπῳ φερόμενος τῶν αἰχμαλώτων ἀριθμὸς « μυριάδες *δώδεκα* » (120,000), ἐν ᾧ καὶ παρ' αὐτῷ τῷ Ἰωσήπῳ ἐφεξῆς, καὶ παρὰ τῷ Ἀριστέᾳ πάντοτε καὶ ἐν πᾶσι τοῖς ἀπογράφοις, καὶ παρ' Εὐσεβίῳ, καὶ παρὰ τοῖς ἀρχαίοις μεταφρασταῖς ἀμφοτέρων, γράφεται σταθερῶς (ὡς προείπομεν) « *ὑπὲρ τὰς δέκα* » (ἢ « *πλεῖν τῶν δέκα* » κτλ.). Πρὸς ταύτας δὲ τὰς 10,000 πολλαπλασιαζόμενος ὁ τῶν 120 δραχμῶν (τοῦ κεφαλαίου λύτρου) ἀριθμὸς (προ-

(α) Τὰ ἑξήκοντα τάλαντα προσετέθησαν ὕστερον εἰς ἐξαγορὰν καὶ τῶν νηπίων, ὑπὲρ ὧν ἐκέλευσεν ὁ βασιλεὺς ἴσα καὶ τοῖς ἄλλοις αἰχμαλώτοις λύτρα δοθῆναι ('Αριστ. καὶ 'Ιώσηπ.). Τούτων δὲ τῶν νηπίων τὸν ἀριθμὸν ὑπέθετο πιθανῶς ὁ Ἔκδικος 30,000, ἢ 35,000 χιλιάδας.

στιθεμένου καὶ τοῦ τῶν νηπίων ὑποτεθέντος ἀριθμοῦ), οὐδόλως ἀποδίδωσι τὸ διοριζόμενον τῶν 2460 ταλάντων κεφάλαιον. γ). Τοῦτο τὸ κεφάλαιον εὕρηκεν ὁ Ἔκδικος, ἐκλαβὼν τὸ τάλαντον ὡς ἀττικὸν ἀνὰ (6,000 δραχμάς)· ἀλλ' αὐτὸς ὡμολόγησε (καὶ τὸ πρᾶγμα φαίνεται βέβαιον), ὅτι τὰ παρὰ τῷ Ἀριστέᾳ τάλαντα ὑπῆρχον Αἰγυπτιακὰ (πολὺ περὶ τὰς δραχμὰς ἐλαττούμενα τῆς ἀξίας τῶν ἀττικῶν). Ἔπρεπεν οὖν πάντως, ἵνα καὶ τὸ κεφάλαιον τῶν εἰς λύτρα δεδομένων δραχμῶν ἀναλογισθῇ εἰς Αἰγυπτιακὰ τάλαντα. Ταῦτα δὲ ἀποτελοῦσιν ἢ *τρὶς*, ἢ *πεντάκις* πλείονα τῶν 2460 (κατὰ τὴν ἀναλογίαν δηλαδὴ τῆς Αἰγυπτίας πρὸς τὴν ἀττικὴν δραχμὴν), δηλονότι, ἢ 7380 (ἑπτακισχίλια τριακόσια ὀγδοήκοντα, καὶ ἐν στοιχείοις ἑλληνικοῖς, ζτπ), ἢ 12,300 (δωδεκακισχίλια τριακόσια, ιβτ)· ἀλλ' οὐδετέρα τούτων ἀνάγνωσις συμφωνεῖ οὔτε πρὸς τὴν Ἰωσήπου, οὔτε πρὸς τὴν Ἀριστέου καθ' ἡμᾶς φερομένην γραφὴν τῶν ἀριθμῶν.

§. ιή. Ἀλλ' ἀπαλλάττοντες τὸν ἀναγνώστην ἐκ τῆς ὀχληρᾶς καὶ ἀπεράντου ταύτης ταλαντολογίας, συμπεραίνομεν πρᾶγμα βέβαιον, ὅτι οἱ ἀριθμοὶ τῶν εἰς λύτρα δοθέντων ταλάντων ὑπάρχουσι παρά τε τῷ Ἰωσήπῳ καὶ παρὰ τῷ Ἀριστέᾳ ὑπὸ τῶν ἀντιγραφέων προφανῶς διεφθαρμένοι. Καὶ ἀνήκει ἄρα εἰς τοὺς πολυΐστορας κριτικοὺς, πρῶτον μὲν ὁρίσασθαι βεβαίως τὴν ἀξίαν τῶν Αἰγυπτίων ταλάντων καὶ δραχμῶν, ἔπειτα δὲ πρὸς ταύτην ἀναλογίσασθαι καὶ τὰ λύτρα τῶν αἰχμαλώτων, καὶ τότε πρὸς τὸ προκύπτον συγκεφαλαίωμα διαλλάττειν τὴν μεταξὺ τῆς Ἀριστέου ἱστορίας καὶ τῆς Ἰωσήπου ἐπιτομῆς φαινομένην περὶ τοῦ ποσοῦ τῶν ταλάντων διαφωνίαν· Οἱ δὲ πολυμαθεῖς Ἀριστεομάχαι πάντῃ τοῦτον ἄχαριν καὶ ἄκαρπον ἀγῶνα τηνάλλως ἠγωνίσαντο, κινοῦντες ἀμφιβολίας κατὰ τῆς Ἀριστέου ἱστορίας ἐκ μόνης τῆς περὶ τοὺς ἀριθμοὺς πλάνης τῶν ἀντιγραφέων, καὶ καθόλου κρίνοντες ἄπιστον καὶ ἀπίθανον τὴν ὅλην ὑπὲρ τῆς τῶν Γραφῶν ἑρμηνείας δαπάνην τοῦ Φιλαδέλφου. Ἀλλὰ περὶ ταύτης οὔτ' αὐτὸς ὁ Ἰώσηπος ἀμφέβαλεν, οὔτε ὁ Εὐσέβιος, ἀντιγράφων συνοπτικῶς καὶ ταύτην μετ' ἄλλων περικοπῶν ἐκ τοῦ

Ἀριστέου (Εὐαγ. Προπαρ. Η. κεφ.. 3.), οὔτε ὁ μακάριος Ἱερώνυμος περιείργασται, ἀλλὰ καὶ μᾶλλον ἐπεκύρωσεν (ὡς ἐν τῷ αὐτῷ παραγράφῳ τόν τε μέγαν τοῦ Φιλαδέλφου πλοῦτον, καὶ τὴν δι' αὐτοῦ τῶν Γραφῶν ἑρμηνείαν συνημμένως ἱστορῶν) (α), οὔτ' ἄλλος οὐδεὶς τῶν ἀρχαίων ἀντεῖπεν, ὅσοι τῆς Φιλαδέλφου ταύτης μεγαλοδωρίας ἐμνημόνευσαν, ἐν οἷς καὶ ὁ Ἀλεξανδρείας Θεωνᾶς (β).

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Περὶ πολλῶν τινων καὶ ἄλλων τεκμηρίων, ὧν ἐπάγουσιν οἱ κριτικοὶ πρὸς ἀπόδειξιν, ὅτι Ἰουδαίου τινὸς ὄζει συγγραφέως ἡ ἱστορία τοῦ Ἀριστέου.

§. α΄. « Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐνθὼν,
Παπταίνει, παρεόντος ἄδην, πόθεν ἄρξεται ἔργω » (Θεόκριτ. ιζ. 10).

Οὕτω δασὺν καὶ πυκνὸν καθορᾷς, ἀναγνῶστα, τὸν δρυμὸν τῶν κατ' Ἀριστέου φυτευθέντων ψόγων καὶ ἐγκλημάτων. Καὶ ὀλίγα μὲν ἐκ τούτων τῶν ἀκάρπων καὶ βελονοφύλλων φυτῶν ἀπέμειναν ἤδη, εἰς ὅσα μὴ ἐπέβαλεν εἰσέτι τὰς ἀμφιστόμους αὐτοῦ γνάθους ὁ τῆς ἐν πᾶσι πράγμασι νικώσης ἀληθείας ἀκάματος πέλεκυς· πλὴν ἀλλ' ὅμως καὶ ταῦτα τὰ ὀλίγα κατεξανίστανται καὶ ὑλομανοῦσι. Τοιοῦτό τι φανήσεται καὶ τὸ παρὸν κεφάλαιον, ἐκ πολλῶν καὶ ποικίλων ἀντιῤῥήσεων κατάπυκνον συνεστηκὸς, ὡς ἂν χωρίον ἀγρίας καὶ τραγώσης λόχμης ἀνάπλεον. Καταλέγομεν οὖν καὶ ταύτας τῶν σοφῶν τὰς ἀντιῤῥήσεις, ὅσας συνεφόρησαν ὡς τεκμήρια τῆς ἰουδαϊζούσης δῆθεν Ἀριστέου συγγραφῆς· καὶ πάσας ἐκτιθέμεθα κατὰ τάξιν, παραβάλλοντες παρ' ἑκάστῃ καὶ τὴν ἀπάντησιν ἐκ τῶν ἁπλουστάτων φωνῶν (ὡς πεπείσμεθα) τῆς ἀληθείας.

(α) S. Hieron. Comm. in Daniel. c. XI. 5. p. 1080, Tom. 2.

(β) « Quas (S. Scripturas) mira diligentia et largissimo impendio Ptolemaeus Philadelphus in linquam nostram traduci curavit ». Θεωνᾶς ἐν τῇ πρὸς Λουκιανὸν ἐπιστολῇ, ἧς ἡ λατινικὴ ἑρμηνεία μόνον περιεσώθη ap. Acherium, Spicil. III. p. 297, καὶ ἐν Galand. Bibl. PP. IV. p. 69. Βλ. καὶ Lumper Histor. Theologico-critica etc. vol. 13. p. 606.

§. β΄. Α) Ὁ Δημήτριος εἰσάγεται παραινῶν ἐν τῇ εἰσδόσει τὸν βασιλέα, ἵνα ζητήσῃ παρὰ τοῦ ἀρχιερέως τῶν Ἰουδαίων ἑρμηνεῖς σοφοὺς « *ἓξ ἀφ᾿ ἑκάστης τῶν ΙΒ φυλῶν* », τουτέστιν ΟΒ, τοὺς πάντας. « Ἀλλ᾿ οὗτος (λέγουσιν) ὁ ἀριθμὸς φαίνεται πεπλασμένος, ἢ κατὰ τὴν πρὸς αὐτὸν μεγάλην τῶν Ἰουδαίων ὑπόληψιν, ἢ πρὸς τὸ παράδειγμα τοῦ μεγάλου αὐτῶν Συνεδρίου, ὡς καὶ τούτου (καθὼς κοινῶς ἐνομίζετο) ἐξ ΟΒ, συνεστῶτος ἀνδρῶν, ἀφ᾿ ἑκάστης φυλῆς 6. Εἰ δὲ καὶ Δημήτριος ὁ Φαληρεύς, ἢ ἄλλος τις Ἕλλην ἐθνικὸς ἐπεστάτει τῆς ἑρμηνείας τῶν Γραφῶν, τίς ποτε πιστεύει, ὅτι ὁ τοιοῦτος ἔμελλε φροντίζειν ἢ περὶ τοῦ ἀριθμοῦ, ἢ περὶ τῆς κατὰ φυλὴν ἐκλογῆς τῶν ἑρμηνευτῶν; Ἀλλὰ περὶ τούτου λέγομεν καὶ ἀλλαχοῦ πλατύτερον ». (Ὅδιος βιβ. α. κεφ. ιζ).

Ἀπαντῶμεν.

§. γ΄. Πρὸς ἐκεῖνα λοιπὸν τὰ πλατέα ὅταν φθάσωμεν, ἀντιτάξομεν τὰ εἰκότα (βλ. ἐφεξῆς βιβλ. Β. κεφ. ε). Ὅσον δὲ πρὸς τὸ παρὸν, τοσοῦτον μόνον λέγομεν· ὅτι οὐκ ἂν ἔλεγον τὰ τοιαῦτα οἱ κριτικοὶ, εἴ γε προσεῖχον τοῖς λόγοις αὐτοῦ πάλιν, καθ' οὗ συσχόντες τὰ ὦτα καταβοῶσι, τοῦ Ἀριστέου. Παρ᾿ αὐτῷ γὰρ ὁ Δημήτριος ἀποφαίνεται τρανῶς, ὅτι τὰ περὶ τῶν Ἰουδαϊκῶν νομίμων ἔμαθε παρ᾿ ἄλλων ἀπαγγειλάντων· « Προσαγγέλλεται δέ μοι καὶ τὰ τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια »· καὶ πάλιν· « Καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται » (σελ. 2 καὶ 5). Οἱ *δὲ ἄλλοι* οὗτοι οἱ *εἰδότες* ἦσαν πάντως οἱ τῶν Ἀλεξανδρέων Ἰουδαίων ἐπισημότατοι, οἵτινες (καθὸ Μωσέως ἀπόγονοι καὶ μαθηταὶ), καὶ τὸν 72 ἀριθμὸν τιμῶντες (ὡς θέλουσιν οἱ περὶ τὸν Ὅδιον), καὶ πρὸς τὴν τῆς ἑρμηνείας ἀσφάλειαν καὶ πάγκοινον παρὰ τοῖς Ἰουδαίοις ἀποδοχὴν ἀφορῶντες (ὅπερ ἐσιώπησαν οἱ περὶ τὸν Ὅδιον), αὐτοί τε ἔκριναν ἀναγκαῖον, καὶ πρὸς τὸν Δημήτριον εἰσηγήσαντο, καὶ τὸν ἀριθμὸν καὶ τὴν κατὰ φυλὴν ἐκλογὴν τῶν ἑρμηνευτῶν. Ὁ δὲ Ἀριστέας ταῦτα ἱστορῶν, καὶ γράμμασι βασιλικοῖς (τῇ τοῦ Πτολεμαίου πρὸς τὸν Ἐλεάζαρον ἐπιστολῇ) δημοσίως ἐπικυρῶν, ὑπῆρχεν Ἕλλην καὶ γνήσιος ἱστορικὸς οὐχ ἧττον Ἡροδότου, καὶ Διοδώρου, καὶ εἴ

τις ἕτερος τῶν ἀρχαίων ἱστόρησε πιστῶς ἔθιμα καὶ πράξεις ἄλλων ξένων ἐθνῶν (οἷον Αἰγυπτίων καὶ Περσῶν κτλ.), παρ' αὐτῶν ἐκείνων παρὼν παρόντων μαθών. Εἰ δὲ μὴ, λεγέτωσαν οἱ ἄνδρες, ἂν θέλωσι, καὶ τούτους Πέρσας ἢ Αἰγυπτίους, ὡς εἶπον ἄλλοι καὶ τὸν Ὅμηρον γέννημα καὶ θρέμμα τῆς γηραιᾶς Αἰγύπτου, διότι πολλὰ τῶν κατ' αὐτὴν διέγραψεν ἀκριβέστατα (α).

§. δ'. Β) « Ὁ Φιλάδελφος (λέγουσι) διέταξεν εἰς λύτρα τῶν αἰχμαλώτων κατὰ κεφαλὴν 120 δραχμὰς (κατὰ τὴν ἀληθεστέραν παρ' Ἰωσήπῳ γραφήν)· ἀλλὰ καὶ τοῦτο δείκνυσιν Ἰουδαῖον τὸν πλάστην τοῦ διηγήματος. Διότι δοθέντος, ὅτι ἡ δραχμὴ ἐνταῦθα σημαίνει τὴν *κοινὴν* (δηλονότι *τὴν ἀττικὴν*), αἱ 120, δραχμαὶ ἀποτελοῦσιν ἑβραϊκοὺς *σίκλους*, ἢ στατῆρας (ἀργυρᾶ *τετράδραχμα*) *τριάκοντα*. Τοσούτου δὲ διατέτακται ἡ τοῦ δούλου τιμὴ καὶ ὑπὸ τοῦ νόμου τῶν Ἰουδαίων » (β).

Ἀπαντῶμεν.

§. ε. Ἐπλανήθησαν κἀν τούτοις οἱ κριτικοί. α) Ἡ δραχμὴ παρὰ τῷ Ἀριστέᾳ λογίζεται πάντως *ἀλεξανδρινὴ*, δυναμένη (ἔστω καὶ κατὰ τὸν Λετρῶνα) μόλις τὰ $\frac{3}{4}$ τῆς ἀττικῆς (βλ. κεφ. ιθ. §. ιε)· ὅθεν αἱ 120 δραχμαὶ πάντως οὐκ ἀποτελοῦσι τριάκοντα *σίκλους* ἑβραϊκοὺς, ἢ ἀττικὰ *τετράδραχμα*· πολλοῦ γε καὶ δεῖ! β) Καθὼς παρὰ τοῖς Ἰουδαίοις, οὕτω καὶ παρ' ἄλλοις ἀρχαίοις ἔθνεσι βλέπομεν πολλάκις ὡρισμένην τοῦ δούλου τὴν τιμήν. Παρ' Ἀθηναίοις ὁ μέσος ὅρος τῆς τιμῆς τῶν ἀνδραπόδων (καὶ τούτων ἐργατικῶν) φαίνεται δραχμῶν 250 (ἤτοι περίπου 220 φράγκων Γαλλικῶν κατὰ τὸν Λετρῶνα) (γ). Παρὰ δὲ τοῖς Ῥωμαίοις, ἐπὶ τῶν αὐτοκρα-

---

(α) Βλ. ὄπισθ. κεφ. ΙΑ, §. ζ. σελ. 335. καὶ Fabric. Bibl. Gr. I. p. 260.

(β) Ἐξόδ. κα. 31. Ὅθεν καὶ οἱ Ἰουδαῖοι τ ρ ι ά κ ο ν τ α ἀ ρ γ ύ ρ ι α ἔ σ τ η σ α ν εἰς τὴν προδοσίαν τοῦ δ ο ύ λ ο υ μ ο ρ φ ὴ ν λ α β ό ν τ ο ς θεανθρώπου δεσπότου καὶ Σωτῆρος τῶν ὅλων. Καὶ τοῦτον ὁ προδότης μαθητὴς « ὡ ς δ ο ῦ λ ο ν φ υ γ ά δ α » πέπρακε τοῖς σταυρωταῖς. (Χρυσόστ. καὶ Τροπάρ. ἑσπερ. τῆς μεγ. Παρασκ.) [τοῦτο καὶ Ὅδιος προστίθησιν αὐτόθ. ἐκ τοῦ Ὑσσερίου. πρβλ. καὶ I. C. Mieg Antiquit. Serv. hebr. p. 406]. — Σημ. ἡμετ.

(γ) Βλ. Memoir. de l'Académ T. VI. p. 202: καὶ Letronne l. c. p. 23. Ὅτι

τόρων, φαίνεται πολὺ πλέον ὑψηλοτέρα. Εἰς φυγάδος δούλου μηνυτὴν βλέπομεν ἐπικεκηρυγμένα μήνυτρα 10,000 δηνάρια (περίπου 600, φράγκα) (α)· ἀναλογοῦσι δὲ καὶ τὰ μήνυτρα, ὡς ἐπὶ τὸ πλεῖστον, πρὸς τὴν συνηθεστέραν τοῦ δούλου τιμήν. Παρὰ δὲ τοῖς Αἰγυπτίοις, τέλος, οἱ δοῦλοι ἦσαν εὐωνότεροι. Εἰς πάπυρον Αἰγύπτιον (ἔστι δὲ γραμμάτιον ἀνακηρύττον μήνυτρα περὶ δύω δούλων δραπετῶν), διακηρύττονται τῷ ἀνευρόντι σῶστρα καὶ μήνυτρα (περὶ ἑκατέρου) δύω τάλαντα χαλκᾶ, καὶ 200 δραχμαὶ χαλκαῖ (τὸ ὅλον 175 φράγκα γαλλικά). Ὁ δὲ πάπυρος οὗτος φαίνεται γεγραμμένος περὶ τὸ 25 ἔτος τῆς βασιλείας Πτολεμαίου τοῦ Φύσκωνος (τῷ 146, π. Χ.) (ϐ). Ἐπὶ δὲ τοῦ α, καὶ β, Πτολεμαίου (διὰ τὸ πλῆθος τῶν ἐπεισαχθέντων ὑπὸ τοῦ Λαγίδου αἰχμαλώτων) ὑπῆρχε πιθανῶς πολὺ εὐωνοτέρα παρὰ τοῖς Αἰγυπτίοις ἡ συνήθης τῶν ἀνδραπόδων τιμή. Κἂν δὲ καὶ παρὰ τούτοις ἴση καὶ παραπλησία τῇ παρὰ τοῖς Ἰουδαίοις ὑποτεθῇ, μήπως διὰ τοῦτο ὁ Ἀριστέας ὑπῆρχεν Ἰουδαῖος; Μὴ γὰρ οὐκ ἔχουσι τὰ ἔθνη συνηθείας τινὰς, καὶ τάξεις ὁμοίας, καὶ πολλάκις τὰς αὐτάς; Καὶ εἴπερ ὁ Πετρώνιος, τυχὸν, ἢ ἄλλος τις ῥωμαῖος ἱστορικὸς ἔγραφεν, ὅτι ἀνδράποδά τινα κατὰ τὴν Ῥώμην ἐπωλήθησαν ἐπὶ τιμῇ ἀναλόγῳ τῶν 120 δραχμῶν, ἐκινδύνευε λοιπὸν διὰ τοῦτο κἀκεῖνος Ἰουδαῖος φανῆναι; γ) Τελευταῖον· ἰουδαϊκὴν θέλουσιν ἐξάπαντος οἱ ἄνδρες τὴν παρὰ τῷ Ἀριστέᾳ τῶν λύτρων τιμήν; Ἔστω, χάριν αὐτῶν! ἀλλ᾽ οὐδ᾽ ἐκ τῆς ἀνυπάρκτου ταύτης ὑποθέσεως κερδανοῦσιν οὐδέν! Περὶ δούλων Ἰουδαίων ἰουδαϊκὰ καὶ τὰ λύτρα δικαίως ἔταξεν ὁ Φιλάδελφος, παρ᾽ αὐτῶν τῶν ὑπηκόων Ἰουδαίων ταῦτα μαθών· ἢ μήπως ἠγνόει καὶ αὐτὰς τὰς πανδήμους πολιτικὰς αὐτῶν συνηθείας ἡ αὐλὴ τῆς Ἀλεξανδρείας;

δὲ καὶ πρὸς τὴν ὑπεροχὴν, ἢ ἔλλειψιν τῶν τοῦ δούλου προτερημάτων μετεϐάλλετο καὶ ἡ τιμὴ, φανερόν. (Ὅθεν καὶ ὁ Λουκιανὸς, ἐν Βίων πράσει, τὸν μὲν 20· μνῶν πωλεῖ, τὸν δὲ καὶ δύω ταλάντων· ἄλλον δὲ μόλις δύω ὀϐολῶν).

(α) Petronius et Fortunatian. παρὰ Letronn. ibid.

(ϐ) Τοῦτον τὸν πάπυρον ἐξέδωκε μετὰ πολυμαθῶν σημειώσεων ὁ σοφὸς, ὃν μνημονεύομεν, Letronne. βλ. l. c. p. 3.

§. ϛʹ. Γ) « Ἐν ταῖς Ἀριστέου (λέγουσι) πρὸς Ἐλεάζαρον τὸν ἀρχιερέα περὶ τῶν νομικῶν ἐθίμων διαλέξεσιν, εἰσάγεται ὁ ἀρχιερεὺς ἐξηγῶν τὴν ἁγίαν Γραφὴν, καὶ τὰ τοῦ νόμου ῥήματα προφέρων οὑτωσί· « Πάντα (γὰρ τὰ κτήνη), *ὅσα διχηλεῖ, καὶ μηρυκισμὸν ἀνάγει*, σαφῶς τοῖς νοοῦσιν ἐκτίθεται τὸ τῆς μνήμης » κτλ. καὶ, « Διὸ παρακελεύεται καὶ διὰ τῆς Γραφῆς ὁ λέγων οὕτως· « Μνείᾳ μνησθήσῃ τοῦ Κυρίου, τοῦ ποιήσαντος ἐν σοὶ τὰ μεγάλα καὶ θαυμαστά »· κατανοούμενα γὰρ, καὶ μεγάλα καὶ ἔνδοξα φαίνεται » κτλ. (Ἀριςέας σελ. 18.). Ἐνταῦθα (λέγει Ὅδιος) καλῶ τὸν ἀναγνώστην, παρίτω δὲ καὶ πᾶς τις ἄλλος ἀκριβὴς τῶν πραγμάτων κριτὴς, καὶ κρινέτω δικαίως· πότερον, ἠδύνατό ποτε ὁ Ἀριστέας (ὅστις, καθ᾽ ὃν χρόνον συνδιελέγετο μετὰ τοῦ ἀρχιερέως, ὑπῆρχεν ἔτι τῶν Γραφῶν ἀμαθὴς καὶ ἀμύητος, ὡς μήπω ταύτας ἀναγνοὺς), ἠδύνατο, λέγω, διαμνημονεύειν ὅλην ἐκείνην τὴν συνδιάλεξιν οὕτως ἀκραιφνῶς καὶ καταλεπτῶς, ὥστε καταγράψαι ἐπ᾽ ἀκριβὲς μὴ μόνον τοὺς ἄλλους τοῦ ἀρχιερέως λόγους, ἀλλὰ καὶ αὐτὰ τὰ χωρία τῆς θείας Γραφῆς; καὶ ταῦτα ἀπαραλλάκτως, καθ᾽ ὃν τρόπον εἰώθασιν οἱ ὑπομνηματισταί; Κρινέτω λοιπὸν ἤδη πᾶς εἰλικρινὴς καὶ φρόνιμος ἀναγνώστης, εἰ μὴ φαίνεται ἡλίου τηλαυγέστερον, ὅτι ταῦτα τὰ χωρία συνέταξεν Ἰουδαῖός τις ὑπομνηματιστὴς, ὅστις ἐσπούδασεν ἐξηγήσασθαι τόπους τινὰς τοῦ Μωσαϊκοῦ νόμου.

Ἀπαντῶμεν.

§. ζʹ. Μὴ πρότερον, ἀναγνῶστα, μὴ δικάσῃς τὴν δίκην, *πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς*. Δεινὰ μὲν καὶ ταῦτα, καὶ σφόδρα δικανικὰ κατήγγειλαν οἱ περὶ τὸν Ὅδιον· ἡμεῖς δὲ καὶ ἄλλο τι, ἐφ᾽ ὅσον ἠγόρευον οἱ ἄνδρες, ἐδειλιῶμεν, μήπως προσθῶσι κἀκεῖνο. Ποῦ εὗρεν ὁ ἀρχιερεὺς αὐτὰς, ὅσας ἀπήγγειλεν ἑλληνιστὶ, τὰς λέξεις καὶ φράσεις τῆς Γραφῆς, *μήπω τότε παρὰ τῶν Ο, μεθηρμηνευμένης;* Ἀλλ᾽ ὅμως ἀνεπνεύσαμεν, ἐνθυμηθέντες (ἴσως δὲ καὶ αὐτοὶ οἱ κατήγοροι διενθυμηθήσονται), ὅτι καὶ ἄλλοι συγγραφεῖς, οἷον Θουκυδίδης, καὶ Ξενοφῶν, ἀνέγραψαν ἐν ταῖς αὐτῶν ἱστορίαις αὐτοὶ συντάξαντες πολλὰς καὶ ἄλλων συνδιαλέξεις, καὶ ξένων καὶ ὁμοφύλων·

καὶ χρησμούς τινας ἐπισυνῆψαν, καὶ μακρὰς δὲ πολλάκις δημηγορίας ἐξέφρασαν, καίτοι πολλοὺς μετὰ τὰ συμβεβηκότα χρόνους ἐκδόντες τὰς συγγραφάς. Καὶ ὅμως οὐδεὶς τῶν εὖ φρονούντων οὔτε τοὺς συγγραφεῖς αὐτοὺς ἐλοιδόρησεν ὡς ψεύστας καὶ πλαστογράφους, οὔτε τὰς ἀναγεγραμμένας διαλέξεις ἐξέλαβεν ὡς ἀπόδειξιν τῆς νοθείας τῶν συγγραφῶν. Ἀποδέχεται δὲ πᾶς τις καὶ ταύτας ὡς ἀληθεῖς, ἐπιστάμενος, ὅτι καὶ τὰ παρ' ἄλλων εἰρημένα συντάττουσιν οἱ ἔνδοξοι ἱστορικοὶ, πρέποντα κατασκευάζοντες καὶ κατάλληλα πρός τε τὴν ὑπόθεσιν, καὶ τὸ τοῦ εἰπόντος ἦθος, καὶ τὰς ἕξεις, καὶ τὰς πράξεις, καὶ τὰ πάθη, καὶ τοὺς καιροὺς, καὶ πιστὴν εἰκόνα τῶν λαλούντων ἐκφέροντες τοὺς λόγους, καὶ ὅταν ἐκείνους αὐτοὺς γράφωσι τοὺς ἀληθινοὺς κατὰ λέξιν (ὅσους ἂν, τυχὸν, ἐπ' ἀκριβὲς διαμνημονεύσωσι), καὶ ὅταν τὸ νόημα μόνον καὶ τὰς γνώμας ἀκραιφνῶς ἐξηγῶσι, κατὰ τὸν τῆς φράσεως αὐτῶν χαρακτῆρα (α). Τοῦτο καὶ Ἀριστέας ἐποίησεν, ἑρμηνεύσας σύμπασαν τὴν ἔννοιαν τῶν ἀληθῶς ὑπὸ τοῦ ἀρχιερέως λεχθέντων· καὶ τούτων, οὔτε ποικίλων τινῶν καὶ παντοδαπῶν, οὔτε μακρὰν πραγματείαν ἀποτελούντων, ἀλλὰ *διὰ βραχέων* (ὡς λέγει ῥητῶς), καὶ ἐν μιᾷ σχεδὸν καὶ μόνῃ σελίδι περιληφθέντων. Τὰς δὲ τῆς θείας Γραφῆς ἑβραϊκὰς ῥήσεις αὐτὸς μὲν ὁ ἀρχιερεὺς (ἑλληνίζων πάντως πρὸς Ἕλληνα, τὸν Ἀριστέαν), μετέφραζεν αὐτοσχεδιάζων, ὡς εἶχεν, ἐκ τοῦ παρόντος. Ὁ δὲ πάλιν Ἀριστέας ἔγραψεν ὕστερον ἐν τῇ συγγραφῇ περιβαλὼν ταῖς ἐννοίαις τὰς λέξεις ἐκ τῆς ἑρμηνείας τῶν Ο· δῆλον δὲ, ὅτι μετὰ τὴν μετάφρασιν ἔγραψε τὴν περὶ ταύτης ἱστορίαν! Ἄτοπον δὲ λέγουσι κᾀκεῖνο· ὅτι ὁ Ἀριστέας, ὁπότε συνδιελέγετο μετὰ τοῦ ἀρχιερέως, ὑπῆρχε παντελῶς ἀμύητος τῶν θείων Γραφῶν, ὡς μηδέπω ταύτας ἀναγνοὺς (ὡσανεὶ ἠπίσταντο μαθόντες

(α) «Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι — χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν, ἐ μ ο ί τ ε ὧ ν α ὐ τ ὸ ς ἤ κ ο υ σ α, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν. Ὡς δ' ἂν ἐδόκουν μοι ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν, ἐ χ ο μ έ ν ῳ ὅ τ ι ἐ γ γ ύ τ α τ α τ ῆ ς ξ υ μ π ά σ η ς γ ν ώ μ η ς τ ῶ ν ἀ λ η θ ῶ ς λ ε χ θ έ ν τ ω ν, οὕτως εἴρηται». Θουκυδίδ. Α. §. κϐ.

οἱ ἄνδρες ἀκριβῶς, ὅτι αὐτός τε ὁ Ἀριστέας καὶ ἄλλοι τοιοῦτοι τῶν τότε κατ' Αἴγυπτον Ἑλλήνων σοφοὶ εἶχον ἀδυνάτως μαθεῖν ἑβραϊκά!). Ἀλλὰ καὶ τοῦτο συγχωροῦμεν προθύμως τοῖς κριτικοῖς, καὶ πρὸς αὐτὸν δὲ πάλιν τὸν Ἀριστέαν παραπέμπομεν τοὺς ἄνδρας, ἵνα πληροφορηθῶσιν, ὅτι, καί τοι τὸ γένος Ἕλλην, εἶχεν ὅμως γνώσεις ἱκανὰς τῆς περὶ Θεοῦ καὶ θείων ἐντολῶν ὑψηλῆς τῶν Ἑβραίων φιλοσοφίας, ἅτε θεοσεβὴς ὑπάρχων (βλ. σελ. 37), καὶ κάτοχος τοῦ *λόγου τῶν Ἰουδαίων* πολὺ μᾶλλον ἐμμελέστερον, ἢ ὅσον ἐνόμιζε τὸν Ἑκαταῖον ὁ Ἑρέννιος (σελ. 469, 479). Ὅθεν καὶ τῶν νομικῶν ἐθίμων εἰδημονέστατος ἦν, ὡς φαίνεται λαμπρῶς ἐξ ὧν αὐτὸς ἠρώτησε πρῶτος τὸν Ἀρχιερέα περί τε βρωμάτων, καὶ ποτῶν, καὶ τῶν ἀκαθάρτων νομιζομένων εἶναι κνωδάλων, λέγων· « Διὰ τί μιᾶς τῆς καταβολῆς (γενέσεως) οὔσης, τὰ μὲν ἀκάθαρτα νομίζεται πρὸς βρῶσιν, τὰ δὲ καὶ πρὸς ἁφήν; *δεισιδαιμόνως γὰρ* (ἔλεγε) *τὰ πλεῖστα τὴν νομοθεσίαν ἔχειν· ἐν δὲ τούτοις πάλιν, πάνυ δεισιδαιμόνως* » (Ἀριστέας σελ. ις). Ταῦτα (κατὰ τὴν πολλῶν περὶ τῶν τοιούτων ὑπόληψιν, δι' ἣν μάλιστα τοὺς Ἰουδαίους *δεισιδαίμονας* οἱ Ἕλληνες ἀπεκάλουν) ἠρώτησεν ὁ Ἀριστέας τὸν Ἐλεάζαρον. Οὗτος δὲ ἀπήντησε πρὸς τὸν Ἀριστέαν τὴν ἀλληγορικὴν ἑρμηνείαν· ἣν ἐπὶ πολὺ βασανίσαντες οἱ περὶ τὸν Ὅδιον, εὕρηκαν, τέλος, Ἰουδαῖον πάντως ὄντα τὸν συγγραφέα τῆς ἱστορίας, καὶ μάλιστα σπουδάσαντα *περὶ τὴν ἐξήγησιν τινῶν χωρίων τοῦ Μωσαϊκοῦ νόμου!* (§. ς.). Ἀλλ' εἰ μὴ καὶ Ἀριστέας ὁ τῆς ἱστορίας συγγραφεὺς, αὐτὸς ὅμως ὁ τὰ παρ' αὐτῷ τοῦ νόμου κεφάλαια συντόμως ἐξηγήσας, οὐ μόνον *Ἰουδαῖος* ὑπῆρχεν, ἀλλὰ καὶ *ἀρχιερεὺς τῶν Ἰουδαίων*, ὁ Ἐλεάζαρος αὐτός! καὶ ὅσον κατὰ τοῦτο, λίαν ὀρθῶς συνείκασαν οἱ περὶ τὸν Ὅδιον. Ὁ δ' ἀρχιερεὺς ἐσπούδασε πάντως (καθὼς εἶπαν) καὶ ἐξηγήσασθαι τὰ προβαλλόμενα χωρία τοῦ Μωσαϊκοῦ νόμου, ὡς σοφώτατος ὑπομνηματιστὴς τῶν Γραφῶν. Τοιοῦτοι δὲ καὶ πρότερον καὶ ὕστερον Ἐλεαζάρου καὶ ἄλλοι παρ' Ἰουδαίοις *ἄνδρες θεσπέσιοι τὰ Μωσέως οὐ παρέργως ἡρμήνευσαν* (Φίλων). Καὶ Ἀριστόβουλος ἐκεῖνος (μέμνηνται δέ που καὶ

καὶ αὐτοὶ οἱ κριτικοὶ) κατὰ τὸν ὅμοιον τρόπον συνέγραψε τὰς τῷ Φιλομήτορι προσφωνηθείσας *ἐξηγήσεις τῶν ἱερῶν νόμων*· (βλ. Κεφ. ΙΒ. §. ιγ. σελ. 445). Εἰ δ' ἐμελέτων οἱ ἄνδρες μετὰ πλείονος ἀνοχῆς τὸν Ἀριστέαν, ἔβλεπον ἂν, ὅτι καὶ αὐτὸς ἐκ τῶν φιλοσοφικῶν αὐτοῦ πρὸς τοὺς κατὰ τὴν Αἴγυπτον λογιωτάτους ἀρχιερεῖς ὁμιλιῶν, εἶχε συντάξας *περί τινων Ἰουδαϊκῶν πραγμάτων συγγραφὴν*, ἣν καὶ πρὸς τὸν ἀδελφὸν ἀπέστειλε Φιλοκράτην, πρὶν ἢ σταλῇ πρεσβευτὴς εἰς Ἱεροσόλυμα, καὶ πρὶν ἢ γράψῃ πρὸς αὐτὸν τὴν περὶ τῆς μεταφράσεως τῶν Ο, ἱϛορικὴν ἐπιστολήν. Λέγει δὲ καὶ αὐτὸς ταῦτα προοιμιαζόμενος τῆς ἐπιστολῆς. « Ἄξιόν [δ'] ἐστι καὶ ταῦτά σοι (τὰ περὶ τῆς μεταφράσεως) δηλῶσαι. — *Καὶ πρότερον* δὲ διεπεμψάμην *σοι περὶ ὧν ἐνόμιζον ἀξιομνημονεύτων εἶναι τὴν ἀναγραφὴν* (α), ἣν μετελάβομεν *παρὰ τῶν κατὰ τὴν Αἴγυπτον λογιωτάτων ἀρχιερέων τοῦ γένους τῶν Ἰουδαίων* ». Καὶ τοιοῦτος μὲν ὁ Ἀριστέας. Σὺ δὲ, *τέκνον σεμνῆς Θέμιδος*, ἀναγνῶστα, δίκασον ἤδη. Κἂν εὕρῃς (ὡς νομίζω) τοὺς κατηγόρους ὑπ' αὐτοῦ τοῦ Ἀριστέου ἐλεγχομένους, παραίνεσον τὰ πρέποντα μετ' ἐπιεικείας, ἐνθυμηθεὶς, ὅτι πολλάκις « *φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφούς* ».

§. ή. Δ) « Κἀκεῖνοι δὲ (λέγουσιν) οἱ περί τε τοῦ ἔθνους καὶ τῆς θρησκείας καὶ τῆς νομοθεσίας *τῶν Ἰουδαίων ὑπέρογκοι ἔπαινοι Ἰουδαῖον τὸν συγγραφέα* διασαλπίζουσι. Παραλείπομεν τ' ἄλλα τὰ πολλὰ, ἀρκούμενοι μόνῳ τῷ ἐφεξῆς. « Νομίζειν γὰρ *τοῖς πολλοῖς* (ἴσ. γρ. τοὺς πολλοὺς) *περιεργίαν ἔχειν* τινὰ τῶν ἐν τῇ νομοθεσίᾳ περί τε τῶν βρωμάτων, καὶ ποτῶν, καὶ τῶν νομιζομένων

(α) Αὕτη ἡ *περὶ τῶν* (παρ' Ἰουδαίοις) *ἀξιομνημονεύτων ἀναγραφὴ* τοῦ Ἀριστέου φαίνεται πάντῃ διάφορος τοῦ *περὶ Ἰουδαίων βιβλίου*, ὅπερ ἐννοεῖ καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ ἐν οἷς ἐμνημόνευσεν «*Ἀριστέου τὸν περὶ Ἰουδαίων λόγον*» (παρ' Εὐσεβ. Εὐαγ. Προπ. Θ. 25). Ὁ δὲ κλεινὸς Φαβρίκιος (Fabric. Bibl. Gr. vol. 3) ἐσφάλη, συγχύσας καὶ αὐτὸν τὸν παρὰ τῷ Πολυΐστορι *περὶ τῶν Ἰουδαίων λόγον τοῦ Ἀριστέου* πρὸς τὸ «*περὶ ἑρμηνείας τοῦ τῶν Ἰουδαίων νόμου βιβλίον*» (αὐτὴν δηλαδὴ τὴν περὶ ἧς ὁ λόγος *ἱστορίαν*). Βλ. καὶ ὄπισθ. Κεφ. Β. §. ι. σελ. 32—34.

ἀκαθάρτων εἶναι κνωδάλων» (α). Καὶ τοσαύτην ἄρα πρόσκλισιν καὶ προσπάθειαν εἶχε πρὸς τὴν Ἰουδαίων νομοθεσίαν ὁ Ἀριστέας, ἐθνικὸς ἄνθρωπος, ὥστε καὶ αὐταὶ αἱ κατ' αὐτῆς παρὰ τῶν πολλῶν διαβολαὶ συνεῖχον αὐτὸν ἔμφροντιν, καὶ σύννουν, καὶ μεριμνῶντα;».

Ἀπαντῶμεν.

§. θ'. Ἀλλ' οὐδεμίαν ὁ Ἀριστέας ἐπεδείξατο περιπάθειαν, ἢ μέριμναν καὶ ἀγωνίαν, ἀναφέρων ἐκ φιλομαθείας τὴν περὶ τῶν Ἰουδαϊκῶν νόμων *ὑπόληψιν τῶν πολλῶν*. Μετὰ τοῦ ἀρχιερέως τῶν Ἰουδαίων συνομιλῶν ὁ σοφοῦ βασιλέως σοφὸς ὑπασπιστὴς, οὔτε περὶ στόλων, ἢ στρατιωτῶν, οὔτε περὶ πόρων, ἢ ἄλλων τοιούτων ἂν διελέγετο καταλλήλως καὶ προσφυῶς, ὅσον περὶ τῆς Ἰουδαίων νομοθεσίας, ὑπὲρ ἧς καὶ ἐπρέσβευεν, ἐξαιτούμενος τὴν μετάφρασιν. διὸ καὶ τὰς περὶ ταύτης τῶν πολλῶν δοξασίας ἀνέφερε, φιλοσοφῶν, καὶ μετ' ἐπιμελείας φιλοκρινῶν. Ὅτι δὲ καὶ τοὺς νόμους καὶ τὸ θρήσκευμα καὶ τὸ ἔθνος *τῶν κατὰ τὴν σεμνὴν νομοθεσίαν διαγόντων Ἰουδαίων* ἐτίμα ὁ Ἀριστέας, ἅτε θεοσεβὴς, καὶ εἷς τῶν φοβουμένων τὸν θεὸν ἐθνικῶν, εἴρηται μὲν καὶ ἀλλαχοῦ, κηρύττουσι δὲ τρανῶς καὶ αὐτὰ τὰ προοίμια, καὶ ἄλλαι σελίδες τῆς αὐτοῦ συγγραφῆς. Ὅθεν ἡμεῖς καὶ λίαν θαυμάζομεν τοὺς περὶ τὸν Ὅδιον, πῶς ἀφέντες ἄλλα τοῦ βιβλίου χωρία πολὺ μᾶλλον ἐκφαντικώτερα, προβάλλουσι τὰ ἀνωτέρω κοῦφα καὶ ἀσθενῆ τεκμήρια τῆς εἰς τοὺς Ἰουδαίους προσκλίσεως τοῦ ἱστορικοῦ. Αὐτίκα πρὸς αὐτὸν τὸν βασιλέα διαλεγόμενος ὑπὲρ τῆς αἰτουμένης λύσεως τῶν αἰχμαλώ-

---

(α) Ταῦτα Ὅδιος οὕτως ἔγραψεν (ἐκ τοῦ λατινικοῦ μεταφραστοῦ) «Quoniam e x i s t i m a v i t (ὁ Ἀριστέας δηλαδὴ) multis videri nonnulla in lege t e m e r e c o m p r e h e n s a: ut illa quae de cibo, et potu ect. (Hody pag. 75). Ὅπου βλέπεις, ἀναγνῶστα, πόσον ὁ μεταφραστὴς πλανηθεὶς τῆς ἐννοίας ἀπεπλάνησε καὶ τὸν Ὅδιον· ἀλλ' ὤφειλεν αὐτὸς γοῦν ὁ πολλῆς ἑλληνίδος μούσης ἀνάπλεως κριτικὸς, ἵνα κρίνῃ τὸν Ἀριστέαν ἐκ τῶν ἰδίων αὐτοῦ λόγων, ὅστις οὔτε περὶ ἑαυτοῦ εἶπεν, ὅτι ἐ ν ό μ ι ζ ε ν (existimavit), ἀλλ' ὅτι οἱ π ο λ λ ο ὶ ν ο μ ί ζ ο υ σ ι ν, » οὔτε διὰ τοῦ (τινὰ τῶν τῆς νομοθεσίας) « π ε ρ ι ε ρ γ ί α ν ἔ χ ε ι ν » (περιττήν τινα δηλονότι μικρολογίαν) ἐσήμανε τὸ temere comprehensa (ε ἰ κ α ί ω ς ἐ μ π ε ρ ι ε χ ό μ ε ν α).

των ὁ Ἀριστέας, ἀνεκήρυξεν, ὅτι « Κατευθύνει τὴν αὐτοῦ βασιλείαν *ὁ τεθεικὼς αὐτοῖς* (τοῖς Ἰουδαίοις) *τὸν νόμον θεός*· τὸν γὰρ πάντων ἐπόπτην καὶ κτίστην Θεὸν οὗτοι σέβονται, ὃν καὶ πάντες, *ἡμεῖς δὲ μάλιστα (οἱ Ἕλληνες)*, προσονομάζοντες ἑτέρως *Ζῆνα*· διὰ τοῦτο (γρ. *τούτου*) δ' οὐκ ἀνοικείως οἱ πρῶτοι διεσήμαναν, δι' ὃν ζωοποιεῖται τὰ πάντα καὶ γίνεται, τοῦτον ἁπάντων ἡγεῖσθαί τε καὶ κυριεύειν » (Ἀριστέας σελ. 3). Τίς ἄλλη σαφεστέρα καὶ μᾶλλον πεπαῤῥησιασμένη δεῖξις τῆς πρὸς τὸν νόμον καὶ τὴν θεοσέβειαν τῶν Ἰουδαίων παρὰ τοῦ Ἀριστέου τιμῆς; Καὶ ὅμως ταύτην οἱ περὶ τὸν Ὅδιον παρεῖδον, καὶ ἴσως, *οὐκ ἀέκοντι θυμῷ*· διότι διαγράφει τὸν Ἀριστέαν ἄντικρυς Ἕλληνα μὲν τὸ γένος, ἀλλὰ τῆς εἰδωλοθρήσκου πολυθεΐας ἀνώτερον, καὶ περὶ Θεοῦ μοναρχίας πλατωνικώτερον φιλοσοφοῦντα (βλ. ὄπισθ. σελ. 35). Ὅτι δὲ καὶ ἄλλοι τῶν ἀρχαίων ἐθνικῶν φιλοσόφων συνεῖδον καὶ ἐτίμησαν τὰ κράτιστα καὶ θεοπρεπέστερα τῶν παρ' Ἰουδαίοις θρησκευτικῶν φρονημάτων, ὁμολογήσει καὶ αὐτὸς Ὅδιος μετ' ὀλίγον, καί τοι μηδένα τούτων ἐξ ὀνόματος ἀναφέρων. Ἡμεῖς δὲ προλαμβάνοντες, ὀνομάζομέν τινας ἐξ αὐτῶν· καὶ πρώτιστα πάλιν αὐτὸν τὸν Ἀριστέου σχεδὸν σύγχρονον, Ἑκαταῖον τὸν Ἀβδηρίτην, καλὰ καὶ λαμπρὰ μαρτυρήσαντα περὶ τῶν Ἰουδαίων, ὥστε (καθὼς εἴδομεν σελ. 469) ὁ Ἑβραιομάχος Ἑρέννιος ἔψεξε καὶ ὡς Ἰουδαΐζοντα τὸν ἱστορικὸν, « συναρπασθέντα ὑπὸ τῆς παρ' Ἰουδαίοις πιθανότητος ». (Καὶ σημείωσαι παροδικῶς, ἀναγνῶστα, ὅτι τοιαῦτα περὶ Ἑκαταίου λέγων ὁ Ἑρέννιος, ἠπίστατο ἄρα καὶ ἄλλους τῶν Ἑλλήνων σοφῶν τιμῶντας τὴν Ἰουδαίων Θεοσέβειαν· ὅπερ ἀνεκήρυξε καὶ Ἰώσηπος [βλ. ὄπισθ. σελ. 35]. Ἢ πῶς ἂν ἄλλως ὑπωπτεύσατο τοιαῦτα περὶ τοῦ Ἑκαταίου προχείρως ὁ Ἑρέννιος;). Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, ὁ Φαληρεὺς ὅμως ἐν τῇ πρὸς Πτολεμαῖον εἰσδόσει (παρὰ τῷ Ἀριστέᾳ σελ. 5.) μάρτυρα τὸν Ἑκαταῖον εἰσάγει πιστὸν, «*ἁγνήν τινα καὶ σεμνὴν τὴν ἐν τούτοις* (τοῖς ἑβραϊκοῖς βιβλίοις) *θεωρίαν* » ὁμολογοῦντα. Καὶ ἄλλοι δὲ τῶν Ἑλλήνων συγγραφέων εὐφήμως τῶν Ἰουδαίων ἐμνημόνευσαν, καὶ

ὅμως οὐκ ἦσαν Ἰουδαῖοι. Αὐτὸς ὁ τοῦ περιπάτου καθηγεμὼν, ὁ Ἀριστοτέλης, παρὰ τῷ μαθητῇ Κλεάρχῳ ἐπήνεσεν ἄνδρα Ἰουδαῖον ἑλληνιστὴν, οὐ μόνον « ὡς ἑλληνικὸν τῇ τε διαλέκτῳ καὶ τῇ ψυχῇ, ἀλλὰ καὶ *διὰ τὴν πολλὴν καὶ θαυμασίαν ἐν τῇ διαίτῃ καὶ σωφροσύνῃ καρτερίαν* » (παρ' Ἰωσήπῳ κ. Ἀπίων. α, §. 22). Καὶ Διόδωρος ὁ ἱστορικὸς, τὴν Μωσέως ἀνδρίαν καὶ φρόνησιν μετ' αἰδοῦς μνημονεύει, καὶ τοὺς νόμους ὡς θεοσδότους νομιζομένους ἱστορεῖ λέγων· « γέγραπται δὲ καὶ τοῖς νόμοις, ὅτι Μωσῆς ἀκούσας τοῦ Θεοῦ τάδε λέγει τοῖς Ἰουδαίοις » (α). Καὶ Λογγῖνος ὁ κριτικώτατος ἐθαύμασε τὸ θεοπρεπὲς ὕψος τῆς ἐπὶ τῇ δημιουργίᾳ τοῦ φωτὸς φράσεως τοῦ Μωϋσέως (β). Περὶ τοῦ Στράβωνος προείπομεν (κεφ. ΙΘ. §. ζ.). Τὸν δὲ Πολυΐστορα, καὶ εἴ τις ἄλλος ἐπήνεσε τὰ ἑβραϊκὰ, ἀναβάλλομεν εἰς τὰ ἐφεξῆς. Ἕως λοιπὸν ἅπαντας τούτους ἀποδείξωσιν οἱ κριτικοὶ τὸ γένος Ἰουδαίους, ἕνεκα τῶν εἰς τούτους ἐπαίνων, μενέτω ἐν τοσούτῳ καὶ ὁ Ἀριστέας Ἕλλην, ὡς ἐκεῖνοι, καλὰ περὶ τῶν Ἰουδαίων φρονῶν καὶ γράφων καὶ οὗτος, καθὼς ἐκεῖνοι.

§. ι. Ε) « Δημήτριος (λέγουσιν) ὁ Φαληρεὺς, ὁ τοσοῦτον παρ' Ἕλλησιν ἐπὶ νομοθεσίᾳ περικλεὴς, ἐν τῇ πρὸς Πτολεμαῖον εἰσδόσει, λέγει τὴν Ἰουδαίων νομοθεσίαν « *καὶ φιλοσοφωτέραν εἶναι καὶ ἀκέραιον, ὡς ἂν οὖσαν θείαν* ». Περὶ δὲ τὸ τέλος τῆς ἱστορίας, ἐρωτήσαντος τοῦ βασιλέως, πῶς τοιαύτης οὔσης τῆς νομοθεσίας οὐδεὶς τῶν ἱστορικῶν καὶ ποιητῶν ἐπεμνήσθη; ὁ Δημήτριος εἶπε· « Διὰ τὸ σεμνὴν εἶναι τὴν νομοθεσίαν, καὶ διὰ Θεοῦ γεγονέναι » (διὰ τοῦτο) « *καί τινες τῶν ἐπιβαλομένων* » (ἐξενεγκεῖν τινα ἐξ αὐτῆς), « ὑπὸ τοῦ Θεοῦ πληγέντες, τῆς ἐπιβολῆς ἀπέστησαν. Καὶ γὰρ, ἔφησεν, ἀκηκοέναι Θεοπόμπου, διότι, *μέλλων* τινὰ τῶν προηρμη-

(α) Διόδωρ. ἐκλογ. τοῦ μ. βιβλ. τόμ. β. σελ. 544 Wess. πρβλ. καὶ Pet. Zornij proleg. in Hecat. Abderit. Fragm. p. 37.

(β) Λογγ. π. ὕψ. τμ. Θ. Ὅθεν καὶ ὁ κλεινὸς Κασωβὼν (ὑπερβολῇ πάντως χρησάμενος) ἐνόμισε τὸν σοφὸν Λογγῖνον ἡ μ ι χ ρ ι σ τ ι α ν ό ν. Casaub. Not. in Vopisc. Cap. 30. pag. 513.

νευμένων ἐπισφαλέστερον ἐκ τοῦ νόμου προσιστορεῖν, *ταραχὴν λαβεῖν* τῆς διανοίας πλεῖον ἡμερῶν τριάκοντα· κατὰ δὲ τὴν ἄνεσιν ἐξιλάσκεσθαι τὸν Θεόν· [καὶ] σαφὲς αὐτῷ γενέσθαι, τίνος χάριν τὸ συμβαῖνόν ἐστι, δι᾿ ὀνείρου σημανθέντος, ὅτι τὰ θεῖα βούλεται περιεργασάμενος εἰς κοινοὺς ἀνθρώπους ἐκφέρειν· ἀποσχόμενον δὲ, οὕτως ἀποκαταστῆναι. Καὶ περὶ Θεοδέκτου δὲ, τοῦ τῶν Τραγῳδιῶν ποιητοῦ, μετέλαβον ἐγώ· διότι παραφέρειν μέλλοντος (ἴσ. γρ. μέλλων) τι τῶν ἀναγεγραμμένων ἐν τῇ βίβλῳ πρός τι δρᾶμα, τὰς ὄψεις ἀπεγλυκώθη (γρ. ἀπεγλαυκώθη),— καὶ ἐξιλασάμενος τὸν Θεὸν ἐν πολλαῖς ἡμέραις, ἀποκατέστη» Ταῦτα (λέγει Ὅδιος) τοσοῦτον ἀπέχω πιστεῦσαι παρὰ Δημητρίου, τό τε γένος καὶ τὴν θρησκείαν Ἕλληνος ἀνδρὸς, εἰρημένα, ὥςε οὐδόλως εὐλαβοῦμαι πᾶσαν τὴν διήγησιν εἰς τὰ γελοῖα καὶ δεισιδαιμονέστατα μυθάρια κατατάξαι. Τοιαῦτά τινα καὶ Ἰουδαῖοι μυθολογοῦσι περὶ Ἰωνάθαν τοῦ *(τῶν προφητῶν)* παραφραστοῦ, ὅτι ἐπιχειρήσας τὰς θείας Γραφὰς εἰς τὸ Χαλδαϊκὸν παραφράζειν, φωνῆς αὐτῷ γενομένης οὐρανόθεν, «*τίς ὁ τολμῶν τὰ ἀπόκρυφα τοῦ θεοῦ εἰς ἀνθρώπους ἐκφέρειν*»; φοβηθεὶς, ἀπέσχετο τῆς ἑρμηνείας τῶν ἄλλων τευχῶν.— Κἀκεῖνο δὲ (λέγει) παρατηρητέον· τοὺς μύθους τοὺς προειρημένους οὐ μόνον αὐτὸς ὁ Δημήτριος εἰσάγεται πιστεύων, ἀλλὰ καὶ πάντες οἱ Ἕλληνες· τοῦτο γὰρ ἐννοεῖ πάντως ὁ συγγραφεὺς, συνάπτων τὰς περὶ Θεοπόμπου καὶ Θεοδέκτου μυθουργίας ὡς αἰτίαν, δι᾿ ἣν οὐδεὶς τῶν ἱστορικῶν καὶ ποιητῶν ἐπεβάλετο μνησθῆναι τῆς Ἰουδαϊκῆς νομοθεσίας».

Ἀπαντῶμεν.

§. ιά Α) Οὐδὲν ξένον καὶ ἀλλότριον τῶν ἑλληνικῶν δοξασιῶν ἔπραττεν ὁ Δημήτριος, φρονῶν τὴν Ἰουδαίων νομοθεσίαν φιλόσοφον καὶ θείαν οὖσαν καὶ θεόσδοτον. Τοιαύτην παρέλαβε νενομισμένην παρ᾿ Ἰουδαίοις. Τοιαύτην καὶ Ἑκαταῖος ὁ Ἀβδηρίτης αὐτὴν ὡμολόγησεν, Ἕλλην κἀκεῖνος, καὶ σοφὸς ἱστορικός. «Καὶ οἱ ἀρχαῖοι (προστίθησιν ὁ φιλόσοφος Γεωγράφος), τὸ παρὰ τῶν Θεῶν (διδόμενον πρόσταγμα) ἐπρέσβευον μᾶλλον καὶ ἐσέμνυνον.—Οὕτως ὁ Μίνως παρὰ τοῖς Κρησὶν

Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής »· δι' ἐννέα ἐτῶν, ὥς φησι Πλάτων, ἀναβαίνων ἐπὶ τὸ ἄντρον τοῦ Διός, καὶ παρ' ἐκείνου τὰ προστάγματα λαμβάνων καὶ διακομίζων εἰς τοὺς ἀνθρώπους. Τὰ δ' ὅμοια ἐποίει καὶ Λυκοῦργος ὁ ζηλωτὴς αὐτοῦ. Πυκνὰ γάρ, ὡς ἔοικεν, ἀποδημῶν ἐπυνθάνετο παρὰ τῆς Πυθίας, ἃ προσήκει παραγγέλλειν τοῖς Λακεδαιμονίοις.— *Τοιοῦτος δέ τις ἦν καὶ ὁ Μωϋσῆς* » (α). Τί λοιπὸν ἀνοίκειον καὶ ξένον Ἕλληνος ἀνδρὸς ἐποίει ὁ Δημήτριος, εἴ γε καὶ αὐτὸς τὴν θείαν παρ' Ἰουδαίοις νενομισμένην νομοθεσίαν ὡμολόγει τοιαύτην, ἀποδεχόμενος καὶ τὸν Μωϋσῆν, ὡς ἕνα τινὰ τῶν παρὰ Θεοῦ λαβόντων τοὺς νόμους, οἷον καὶ Ὅμηρος, καὶ οἱ Κρῆτες ἔλεγον τὸν Μίνωα, καὶ Λακεδαιμόνιοι τὸν Λυκοῦργον; (εἰ δὲ καὶ τῶν παλαιῶν αἱ περὶ τοῦ Μίνω καὶ Λυκούργου δοξασίαι ὑπῆρχον ψευδεῖς· μία δὲ καὶ μόνη, ἡ ἁγία καὶ ἀρχαιοτάτη διὰ τοῦ Μωσέως νομοθεσία, ὑπῆρξεν ἀληθῶς θεόσδοτος, ἧς τινος τὴν φήμην παραλαβόντες καὶ ἄλλων ἐθνῶν νομοθέται, παρομοίως καὶ τοὺς ἑαυτῶν ἐξεθείασαν νόμους, ἄλλος ὁ περὶ τούτου λόγος) (β). Ἀλλὰ τὸ πλείω λέγειν περὶ τούτων περιττὸν (βλ. καὶ ὄπισθ. σελ. 549). Ἓν δὲ μόνον ἔτι κρίνομεν προσθετέον, τὸ ἐφεξῆς. Εἴπερ τὸν ὑπὸ τοῦ Φαληρέως ἔπαινον τῶν Ἰουδαίων καὶ τῆς κατ' αὐτοὺς νομοθεσίας ἔκριναν οἱ περὶ τὸν Ὅδιον Ἕλληνος ἀνδρὸς ἀλλότριον, Ἰουδαίου δέ τινος προφανῆ πλαστογραφίαν, τί λοιπὸν ἐροῦσι περὶ τῆς τῶν

(α) Στράβ. ις, 762 πρβλ. Ἰωσήπ. κατ' Ἀπίων. β. §. ις.

(β) Καὶ Ὅμηρος καὶ Λυκοῦργος ἦλθον εἰς Αἴγυπτον (Διόδωρ. παρ' Εὐσεβ. Εὐαγγ. Προπαρ. Ι. σελ. 281. πρβλ. Κλήμεντ. σελ. 580 ἐκδ. Lugd Bat.). Λέγει δὲ καὶ Στράβων τὸν Λυκοῦργον εἰς Κρήτην ἐλθόντα « πλησιάσαι Θάλητι, μελοποιῷ ἀνδρὶ καὶ νομοθετικῷ, ἱστορήσαντα δὲ παρ' αὐτοῦ τὸν τρόπον, ὃν Ῥαδάμανθύς τε πρότερον, καὶ ὕστερον Μίνως, ὡς παρὰ Διός, τοὺς νόμους ἐκφέροι εἰς ἀνθρώπους, γενόμενον δὲ καὶ ἐν Αἰγύπτῳ καὶ καταμαθόντα τὰ ἐκεῖ νόμιμα, ἐντυχόντα δέ, ὥς φασί τινες καὶ Ὁμήρῳ διατρίβοντι ἐν Χίῳ, κατᾶραι πάλιν εἰς τὴν οἰκείαν » (Στράβ. Ι. 482. πρβλ. καὶ Ζ. 298 τὰ περὶ Γετῶν ἱστορούμενα). Ὅτι δὲ κατὰ τὴν Αἴγυπτον μάλιστα καὶ ἀλλαχοῦ περιῄδοντο τὰ κατὰ τὸν Μωϋσέα φανερόν. Ὅθεν ὁ ἱερὸς Κλήμης « παρά τε Ἕλλησιν ᾄδεται ὁ Μίνως ἐννέωρος βασιλεὺς ὀ α ρ ι σ τ ὴ ς Δ ι ὸ ς, ἀκηκοότων αὐτῶν ὅπως ποτὲ μετὰ Μωϋσέως διελέγετο ὁ Θεός, ὡς εἴ τις λαλήσαι πρὸς τὸν ἑαυτοῦ φίλον ». Κλήμ. Στρωμ. α. σελ. 269. πρβλ. Huet. Dem. Evang. prop. IV. c. 8. §. 9. Ἀλλὰ περὶ τούτων καὶ ἐν τοῖς ἐφεξῆς.

Σπαρτιατῶν πρὸς τοὺς Ἱεροσολυμίτας ἐπιστολῆς, ὅπου ὁ βασιλεὺς τῶν Λακεδαιμονίων Ἄρειος, ἢ Ἀρεὺς, γράφων πρὸς Ὀνίαν τὸν Ἰουδαίων ἀρχιερέα, καυχᾶται ὅτι « *εὑρέθη ἐν γραφῇ περί τε τῶν Σπαρτιατῶν καὶ Ἰουδαίων, ὅτι εἰσὶν ἀδελφοὶ ἐκ γένους Ἀβραάμ*; (α). Ἢ μήπως καὶ ταύτην τὴν ἐπιστολὴν, δι' αὐτὴν δὲ καὶ πᾶσαν τὴν ἱερὰν τῶν Μακκαβαίων βίβλον ἐκσυρίξουσιν, ὡς μυθογράφου τινὸς τερατείαν, οἵαν ἔκριναν καὶ τὴν ἱστορίαν τοῦ Ἀριστέου;

Β) Περὶ δὲ τῶν Θεοπόμπου καὶ Θεοδέκτου διηγημάτων, αὐτὸς μὲν ὁ Δημήτριος ἤκουσε περὶ αὐτῶν, ἐκ φήμης παραλαβών. « *Ἔφησεν ἀκηκοέναι Θεοπόμπου* (ἴσ. γρ. *περὶ* Θεοπόμπου)— καὶ *περὶ Θεοδέκτου μετέλαβε* » (τουτ. παρέλαβεν ἐκ φήμης καὶ παραδόσεως, ἢ καὶ ἀπὸ συγγραφῆς) (β). Τί δὲ ἔλεγον οἱ ταῦτα λέγοντες; οὐδὲν

(α) Α. Μακκ. ιβ. 20—22. πρβλ. Ἰώσηπ. Ἀρχ. ιβ. 4. καὶ ιγ, 5. σελ. 606. καὶ 648. τόμ. α. Παν. Ἡ δὲ συγγένεια παρ' ἄλλοις ἄλλως θεωρουμένη φαίνεται ἐκ τοῦ Φ α λ ὲ γ, υἱοῦ Ἔβερ, ἐξ οὗ ὁ Ἀβραὰμ (Γενεσ. ια, 17, 26). Τοῦ Φαλὲγ ἀπόγονοι φαίνονται οἱ Πελασγοὶ, Δωριέων συγγενεῖς καὶ Σπαρτιατῶν. βλ. Stillingfleet Orig. Sacr. L. 3. c. 4 καὶ Grot. ad 1. Macc. 12. — Scaliger. ad Canon Isagog. p. 332. — Bochart. in Chanaan l. 22. — Selden. de Synedr. II. 3. p. 5. — Huet. Demonst. Evang. prop. IV. c. 8. §. 10. — Calmet Diss. de cognation. Iudaeor. et Laced. — Demagistr. Diss. V. pag. 517. βλ. καὶ Στέφ. Βυζ. λ. Ἰουδαία.

(β) Θεόπομπος Χῖος, ἱστορικὸς, Ἰσοκράτους μαθητὴς, ἐπὶ Φιλίππου καὶ μέχρις Ἀλεξάνδρου καὶ τοῦ Α. Πτολεμαίου ἀκμάσας, σύγχρονος Θεοδέκτου, Φασηλίτου ἐκ Λυκίας τραγῳδιῶν ποιητοῦ, ἤκμαζον δὲ ἀμφότεροι περὶ τὴν ργ. Ὀλυμ. (Σουΐδ. λ. Θεοδέκτης βλ. καὶ λ. Θεόπομπος, ὅπου γράφεται ἡμαρτημένως Ὀλυμ. ϙγ.). Ἐντεῦθεν ὁ Βανδάλης ὁρμηθεὶς, ἐξελέγχει καὶ ὡς ἐκ τῆς χρονολογίας ψευδόμενον τὸν Ἀριστέαν· καθότι εἰσάγει τὸν πολὺ τοῦ Θεοπόμπου νεώτερον Φαληρέα λέγοντα, « ὅτι ἤκουσε Θεοπόμπου » (ἤγουν ἀπὸ στόματος αὐτοῦ). Ἀλλ' ὁ Βανδάλης πανταχοῦ γελοίως ἀρισταρχίζει, καὶ κρίνων καὶ γραμματικευόμενος κάκιστα. Ἡ δὲ φράσις τοῦ Ἀριστέου προφανῶς ἡμάρτηται ὑπὸ τῶν ἀντιγραφέων. Εἰς μόνα Βανδάλεια ὦτα φαίνεται ἑλληνικὸν τὸ πάντῃ σόλοικον καὶ ἀσύντακτον, « Ἀκηκοέναι Θεοπόμπου, διότι μέλλων τινὰ — προσιστορεῖν ταραχὴν λαβεῖν » κτλ. (βλ. σελ. 582). Ὁ δ' Ἀριστέας, ἴσως, ἔγραψεν « Ἀκηκοέναι περὶ Θεοπόμπου, διὰ τὸ μέλλειν τινὰ—προσιστορεῖν, ταραχὴν λαβεῖν, ἢ « διότι ἔμελλε κτλ. ἢ διότι μέλλων... ἔλαβε κτλ. Ὅτι δὲ καὶ ἡ περὶ προσθετέα, φανερὸν ἐκ τοῦ ἑλληνισμοῦ, ὅστις (ὁπότε γίνεται λόγος περί τινος αὐτηκόου γενομένου) λέγει συνήθως « ἤκουσε τοῦ δεῖνος λέγοντος, ὅτι ἢ διότι κτλ. (οὐχὶ δὲ μόνον ἤκουσε τοῦ δεῖνος, ὅτι). Ὅθεν καὶ Ἰώσηπος ἐξέφερεν ἀπολύτως,

παράλογον, οὐδ' ἀπίθανον. Ὅτι μὲν γάρ τινα χωρία τῆς Πεντατεύχου προϋπῆρχον ὑπό τινων, ἴσως, ἑλληνιστῶν πολὺ πρὸ τοῦ Φαληρέως ἡρμηνευμένα, μαρτυρεῖ τρανῶς ὁ Ἀριστόβουλος, ὡς ἐροῦμεν ἐν τῷ οἰκείῳ τόπῳ· καὶ ταῦτα εἶπεν ὁ Ἀριστέας *ἐπισφαλέστερον ἡρμηνευμένα*. Ὁ τοίνυν Θεόπομπος, « ὁ εἰς πᾶσαν ἱστορίαν πολλὰ χρήματα (κατὰ τὸν Ἀθήναιον) καταναλώσας », καὶ ἑπομένως καὶ τὰ Ἰουδαϊκὰ περιεργασάμενος, ὡσαύτως καὶ ὁ τούτου « *περὶ τὰ πρωτεῖα τῶν λόγων* » ἐφάμιλλος τραγικὸς Θεοδέκτης ἐπεχείρησαν ἐκ τούτων τῶν τῆς Γραφῆς ἡρμηνευμένων χωρίων τινὰ παραφέρειν, ὁ μὲν εἰς τὴν ἱστορίαν, ὁ δὲ εἰς τὴν τραγῳδίαν, ἐπὶ λοιδορίᾳ δηλαδὴ καὶ διασυρμῷ, μετὰ *περιεργείας* καὶ κακοηθείας ἐκπομπεύοντες τὰ θεῖα εἰς τοὺς ἐθνικούς· διὰ τοῦτο καὶ τῆς θείας ἐπειράθησαν ὀργῆς. Ταῦτα διεκήρυττεν ἡ φήμη, εἴτε παρ' αὐτῶν μαθοῦσα τῶν παθόντων (εἰ δ' ἠλήθευον, ἢ ἐψεύδοντο καὶ κατειρωνεύοντο ταῦτα λέγοντες, ἠπίσταντο πάλιν αὐτοὶ) (α), εἴτε καὶ διότι τούτους καταμωκωμένους καὶ χλευάζοντάς τινα τῶν Γραφικῶν, ἔπειτα, κατὰ τύχην, νοσήσαντας ἑκατέρους τὰς προειρημένας νόσους, ὡς ὑπὸ θεοῦ λοιπὸν αὐτοὺς τιμωρηθέντας ἐνόμισαν καὶ διεκήρυξαν πολλοί, διὰ τὴν περὶ

ὀρθώσας τὴν σύνταξιν· « δηλῶν—ὡς Θεόπομπός τε βουληθεὶς ἱστορῆσαι—ἐταράχθη τὴν διάνοιαν, » κτλ. Ἀλλὰ κἂν ἡ τοῦ Ἀριστέου φράσις εἶχεν, ὡς ἐξέλαβεν ὁ Βανδάλης, πάλιν ὁ Θεόπομπος ἠδύνατο καὶ προσωπικῶς ἰδεῖν τὸν Φαληρέα κατὰ τὴν Αἴγυπτον διατρίβοντα. Ἱστόρηται γὰρ ὁ Θεόπομπος « μετὰ τὸν Ἀλεξάνδρου θάνατον εἰς Αἴγυπτον ἀφικέσθαι, Πτολεμαῖον δὲ (τὸν Λάγου) τὸν ταύτῃ βασιλέα οὐ προσίεσθαι τὸν ἄνδρα, ἀλλὰ καὶ ὡς πολυπράγμονα ἀνελεῖν ἐθελῆσαι, εἰ μή τινες τῶν φίλων παραιτησάμενοι διεσώσαντο » (Φωτ. ἀναγ. ρϟς). Ἀλλ' ὁ Βανδάλης οὐδὲν περὶ τούτων φροντίζει· τὸ δὲ σύνηθες θράσος ἀνεζωσμένος, χωρεῖ καὶ παραπαίει δι' ὁλοκλήρου κεφαλαίου, λοιδορῶν, τέλος, καὶ τὸν Ὑ έ τ ι ο ν, ὁ Βανδάλης! (Diss. cap. 26).

(α) « Δ ε ι ν ὸ ν μ υ θ ο λ ό γ ο ν » τὸν Θεόπομπον ὠνόμασεν ὁ Αἰλιανὸς (Π. ἱστορ. γ. 18), καὶ « μύθους καὶ βλασφημίας συντάττοντα » ὁ ἱερὸς Κλήμης (Στρωμ. α). Καὶ Πολύβιος δὲ ψέγει « τὴν ἀθυροστομίαν αὐτοῦ καὶ κακογλωσσίαν, — καὶ ὅτι τὸ ψεῦδος αἰσχρῶς καὶ ἀπρεπῶς διατίθεται » (Πολύβ. τόμ. β. σελ. 443. καὶ τόμ. γ. σελ. 19—21 Vindob. 1763. πρβλ. καὶ Διονύσ. Ἁλικαρ. ἐπιστ. πρὸς Πομπ. κτλ.). Ἔλεγε δὲ ὅμως καί τινας ἀληθείας πάντως ὁ Θεόπομπος· ὅθεν πάλιν αὐτὸν « ἄ ν δ ρ α φ ι λ α λ ή θ η, καὶ πολλὰ χρήματα καταναλώσαντα εἰς τὴν περὶ τῆς ἱστορίας ἐξέτασιν, » ἀνεκήρυξεν ὁ Ἀθήναιος Γ. 85.

τὰς θείας ῥήσεις αὐτῶν κακόσχολον περιέργειαν. Καὶ τοῦτο κοινῶς ἐπιστεύετο. Ὡμολόγησε δ᾽ ἄν, ἴσως, τὸ πρᾶγμα καὶ αὐτὸς ὁ Ὄδιος, εἴπερ ἐνεθυμεῖτο καὶ ἄλλο τι παρόμοιον τοῦ Φίλωνος διήγημα, τὸ ἐφεξῆς. « Καὶ πρώην ἤκουσα *χλευάζοντος καὶ κατακερτομοῦντος* ἀνδρὸς ἀθέου καὶ ἀσεβοῦς, ὃς ἐτόλμα λέγειν. Μεγάλαι δὴ καὶ ὑπερβάλλουσαι [αἱ] δωρεαί, ἅς φησι Μωϋσῆς τὸν ἡγεμόνα τῶν ὅλων ὀρέγειν στοιχείου προσθήκῃ » — (χλευάζων δηλονότι τὴν ὑπὸ τοῦ Θεοῦ μετονομασίαν τοῦ Ἄβραμ εἰς τὸ *Ἀβραὰμ* καὶ τῆς Σάρας εἰς τὸ *Σάῤῥας*), « καὶ ὅσα ὁμοιότροπα συνείρων ἀπνευστὶ καὶ ἐπισαρκάζων ἅμα διεξῄει. Τῆς μὲν φρενοβλαβείας οὖν οὐκ εἰς μακρὰν ἔδωκε τὴν ἁρμόζουσαν δίκην· ἀπὸ γὰρ μικρᾶς καὶ τῆς τυχούσης προφάσεως ἐπὶ ἀγχόνην ἦξεν, ἵν᾽ ὁ μιαρὸς καὶ δυσκάθαρτος μηδὲ καθαρῷ θανάτῳ τελευτήσῃ » (α). Παρομοίως ἔλεγον καὶ τότε τιμωρηθέντας τὸν Θεόπομπον καὶ Θεοδέκτην (καί τοι μετριωτέρᾳ θεομηνίᾳ περιπεσόντας), διότι ἐπεχείρησαν κἀκεῖνοι κατακερτομεῖν τὰ θεῖα, παραφέροντες εἰς τὰς αὐτῶν συγγραφάς. Ταῦτα τὰ λεγόμενα καὶ ὁ Φαληρεὺς διηγεῖτο, καὶ ὁ Ἀριστέας ἔγραψεν, ὡς ἤκουσε παρὰ τοῦ Φαληρέως συμπαρών. Εἰ δὲ καὶ τούτοις ἐπίστευεν ἀδιστάκτως ὁ ἐκ Φαλήρου σοφός, οὐδὲ τοῦτο πάλιν ὤφειλε, παροξύναι τοὺς κριτικούς, ἐνθυμηθέντας, ὅτι ἐπὶ τοῦ Φαληρέως οὐκ ἦν ἐπὶ τοσοῦτον αὐστηρὰ καὶ ἀκριβὴς ἡ κριτικὴ ἐπιστήμη, ὥστε πρὸς πᾶν ὁπωσδήποτε παράδοξον ἀπιστεῖν! Καὶ αὐτὸς ἰδίως ὁ Φαληρεὺς οὔτε δριμὺς καὶ ὀμφακίας τις ὑπῆρχε καὶ δυσπρόσοιστος περὶ τὰς τοιαύτας πίστεις, ἀλλὰ καὶ μείλιχος καὶ εὐένδοτος. Τόσον εὐκόλως ἐπίστευσε καὶ γλαυκωθέντα κατὰ θεομηνίαν, καὶ θεόθεν πάλιν ἰαθέντα τὸν Θεοδέκτην, ὅσον καὶ αὐτὸς οὗτος ὁ ἐκ Φαλήρου φιλόσοφος « τὰς ὄψεις ἀποβαλὼν ἐν Ἀλεξανδρείᾳ, ἐνόμιζε κομίσασθαι αὖθις παρὰ τοῦ Σεράπιδος· ὅθεν εἰς αὐτὸν καὶ τοὺς παιᾶνας ἐποίησεν » (β). Ὥστε κάλλιον (νομίζομεν) καὶ κριτικώτερον ἂν ἔπραττεν ὁ κλεινὸς Ὄδιος, εἴγε τὰς τοῦ Θεοδέκτου καὶ Θεοπόμπου διηγήσεις παρέ-

(α) Φίλων περὶ τῶν μετονομαζ. τόμ. α. σελ. 587. Μ. πρβ. Demagist. Diss. V. p. 540. — (β) Λαέρτ. Ε. ι, 7. πρβλ. καὶ Σημ. Casaub.

ϐαλλε πρὸς ταῦτα τὰ ἑλληνικώτερα μᾶλλον, ἢ πρὸς τὰ ταλμουδικὰ λῃρήματα (ὧν καὶ ὁ σύμψηφος αὐτῷ Σιμώνιος, φιλοτίμως ἐμνημόνευσεν) (α). Ὁ δὲ σοφὸς Ὄδιος προσηγανάκτησε, καὶ ὅτι ὁ κατ' αὐτὸν Ἰουδαῖος Ψευδαριστέας, οὐ μόνον τὸν Φαληρέα, ἀλλὰ καὶ πάντας δὴ τοὺς Ἕλληνας συνυπονοεῖ πεπιστευκότας ταῦτα τὰ Θεοπόμπεια καὶ Θεοδέκτεια μυθουργήματα! Ἐπειδὴ μόνον, (οὐχ ὁρᾷς;) οἱ Ἑλληνισταὶ Ἰουδαῖοι ἦσαν περὶ τὰ τοιαῦτα πλάσματα δεινοί· αὐτοὶ δὲ ἄρα οἱ Ἕλληνες οὐδὲν τοιοῦτον ἔπλαττον, οὐδ' ἐπρέσϐευον! Ἀλλὰ πῶς ὁ δόκτωρ οὐκ ἐνεθυμήθη κἂν ἐκείνην τὴν Στησιχόρου ποινὴν, καὶ τὴν τούτου *Παλινῳδίαν*, καὶ αὐτὸν τὸν μεγαλοπρεπῶς αὐτῆς μνημονεύοντα θεῖον Πλάτωνα; λέγει δὲ ταῦτα ἐπὶ λέξεως οὗτος ὁ ἐν φιλοσόφοις Ὅμηρος· « Ἔστι δὲ τοῖς ἁμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος, ὃν Ὅμηρος μὲν οὐκ ᾔσθετο, Στησίχορος δέ· τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν, οὐκ ἠγνόησεν, ὥσπερ Ὅμηρος· ἀλλ', ἅτε μουσικὸς ὢν, ἔγνω τὴν αἰτίαν· καὶ ποιεῖ εὐθύς· « *Οὐκ ἔστ' ἔτυμος ὁ λόγος οὗτος, οὐδ' ἔβας ἐν νηυσὶν εὐσέλμοις, οὐδ' ἵκεο πέργαμα Τροίης* »· ποιήσας δὴ πᾶσαν τὴν καλουμένην Παλινῳδίαν, παραχρῆμα ἀνέϐλεψε » (ϐ). Τί ποιῶμεν ἤδη, ὦ φίλοι Ὀδιακοί; ἐκσυρίξομεν καὶ τῶν τοῦ Πλάτωνος συγγραμμάτων τὸν Φαῖδρον, ὡς ψευδεπίγραφον, διότι περιέχει τοιοῦτο διήγημα ψευδὲς, καὶ παρόμοιον πρὸς ἃ λέγετε τῶν Ταλμουδιστῶν; Ἀποῤῥήξομεν δὲ καὶ τὸ τῆς *Ἑλένης ἐγκώμιον* ἐκ τῶν Ἰσοκράτους λόγων; καὶ ἐκ τῶν τοῦ Δίωνος τὸν *Τρωϊκὸν* καὶ τὸν περὶ *βασιλείας*, καὶ πάντα τὰ τῶν ἄλλων, ἐν οἷς γίνεται μνεία τούτου τοῦ διηγήματος; καί τοι ταῦτα λίαν εὐλογοφανῶς· διότι καὶ Ἀρχέλαος ὁ Κύπριος διεκήρυξε « *ψευδῆ τὸν περὶ τῆς* (Στησιχόρου) *πηρώσεως* εἶναι *λόγον* » (γ). ἢ ταῦτα κατὰ χώραν

(α) Simon. Hist. Crit. V. T. Tom. 2. c. 2.

(ϐ) Πλάτ. Φαίδρ. σελ. 313 T. 10: πρβλ. Λουκιαν. Ἀληθ. ἱστορ. B. §. 15. καὶ ὑπὲρ τῶν Εἰκόν. §. 15. — Φιλόστρατ. Ἀπολλ. ς. 2. σελ. 246. — Κόνων. Διηγήσ. ιη, καὶ παρὰ Φωτ. ἀναγ. ρπς.

(γ) Φώτ. ἀναγ. ργ.—πρβλ. καὶ S. August. epist. ad Hieron. καὶ S. Hieron. epist. ad August. apud Demagistr. l.c. p. 541.

ἐῶντες, ἀποδεξόμεθα καὶ τὸν Ἀριστέαν γνησίως ἱστοροῦντα τὰ περὶ τοῦ Θεοπόμπου καὶ Θεοδέκτου παρόμοια διηγήματα, καθὼς αὐτὰ παρέλαβε καὶ διηγήσατο ὁ Φαληρεύς; τοῦτο φαίνεται δικαιότερον. Καὶ ὥρα λοιπὸν καὶ τοῖς Ἀριστεομάχοις ᾆσαι περὶ τούτου τὴν Παλινῳδίαν τοῦ Ἱμεραίου μελοποιοῦ. Εἰ δὲ καὶ μὴ θέλουσιν, ἀλλὰ πᾶς τις οἶμαι, τῶν δικαίων ἀναγνωστῶν ὑπηχήσει καὶ πρὸς αὐτοὺς ἐκεῖνο τὸ Στησιχόρειον. « *Οὐκ ἔστ' ἔτυμος ὁ λόγος ὑμῶν οὗτος* »· συνυπηχήσουσι δὲ καὶ Ἰώσηπος καὶ Εὐσέβιος, οἵτινες ἀντέγραψαν καὶ τὰ κατὰ τὸν Θεόπομπον, καὶ τὸν Θεοδέκτην, ὁλόκληρα ἐκ τοῦ Ἀριστέου, χωρὶς ὑπονοίας μηδεμιᾶς, ὡς μηδόλως παραβλάπτοντα τὸ γνήσιον τῆς ἱστορίας.

§. ιβ'. ϛ) Ἂν δὲ (λέγουσιν) ἀπὸ τοῦ Φαληρέως ἐπ' αὐτὸν μεταβῶμεν τὸν βασιλέα, πῶς ἄρα καὶ τοῦτον διατεθέντα πρὸς τὴν Ἰουδαϊκὴν νομοθεσίαν εἰσήγαγεν ὁ Ἀριστέας; « *Ὄρθου*, (τὸ τοῦ Ῥωμαίου ποιητοῦ) *ὄρθου τὰ ὦτα Πάμφιλε, καί σοι δι' ἑνὸς λόγου τὸ πρᾶγμα φράσω* ». Οὐ μόνον *λόγια Θεοῦ* τὰς τῶν Ἰουδαίων γραφὰς ὡμολόγησεν ὁ Φιλάδελφος, ἀλλὰ καὶ τὴν ἡμέραν, καθ' ἣν οἱ Ο, παρεγένοντο, κατ' ἐνιαυτὸν ὑπέσχετο διὰ βίου ἑορτάζειν (βλ. ὄπισθ. σελ. 450). Καὶ τὴν ἑρμηνείαν παρὰ Δημητρίου λαβών, *προσεκύνησε*. Καὶ ὅτε δὲ τὸ πρῶτον ἴδε τὰ τεύχη τὰ ἑβραϊκὰ « *πολὺν ἐφίστη χρόνον, καὶ προσεκύνησε καὶ ταῦτα σχεδὸν ἕως ἑπτάκις*· καὶ προσέτι (βαβαὶ τῆς τοῦ χρηστοῦ ἀνδρὸς εὐσεβείας!) καὶ *προήχθη δακρύσαι τῇ χαρᾷ πεπληρωμένος*! — Ὢ τῆς ἀναιδοῦς κεφαλῆς! (ἐπιφωνοῦσιν, ἐννοοῦντες τὸν Ἀριστέαν), ἥτις εἰς τὸ παντελὲς ὅλον ἀπετρίψατο τὸ μέτωπον· οὐδὲ γοῦν ἠρυθρίασε τοιοῦτο πλάσμα δημοσιεύουσα! Πόσης γὰρ ἀναισχυντίας τὸ λέγειν, ὅτι βασιλεὺς « *τοῖς εἰδώλοις προεστηκὼς* » (ὥς φησιν ὁ Χρυσόστομος εἰς Γένεσ. ὁμιλ. δ), « *καὶ ἀπ' ἐναντίας τῇ θρησκείᾳ προσκείμενος* » θείαις τιμαῖς ἐσεβάσθη, καὶ δάκρυσι καθύγρανε τὰ τεύχη τῶν Ἰουδαίων, ἅτινα διὰ τοῦτο καὶ μόνον ᾐτήσατο καὶ ἡρμήνευσεν, ὅπως ἀποτεθῶσιν εἰς τὴν βιβλιοθήκην; Τοῦτο τὸ ψεῦσμα χρήζει Δημοκρίτου

καταγελαστοῦ μᾶλλον, ἢ Ἀριστάρχου διορθωτοῦ· κἂν ἀντιλέγῃς, οὐκ ἄν με πείσαις, οὐδ' ἢν πείσῃς! » (α).

Ἀπαντῶμεν.

§. ιγ'. Ἀλλ' εἰ μὲν ὁ Φιλάδελφος ὠνόμαζε καὶ ἐνόμιζε θείας τὰς Ἰουδαίων Γραφὰς (ὡς καὶ Δημήτριος, καὶ Ἑκαταῖος, καὶ ἄλλοι περὶ ὧν εἴπομεν), τί παράδοξον ἔπραξε καὶ ἀπίθανον, εἰ καὶ προσεκύνησεν αὐτὰς, περιπτυξάμενος καὶ καταφιλήσας; (β). Τοιαύτην τινὰ προσκύνησιν ἐπεδείξατο ὕστερον πρὸς τὰς θείας Γραφὰς καί τις ἄλλος δυσσεβὴς, ὁ τῶν Ἀβάρων βασιλεὺς (καί τοι δολερῶς), ἐπομνύμενος καὶ προσκυνῶν τὸν Θεὸν τὸν λαλήσαντα τὰ ἐν ταῖς ἁγίαις διφθέραις ἄχραντα ῥήματα (γ)· καὶ ταῦτα μὲν μεταγενέστερα. Ὅτι

(α) Hody pag. 76. Τοιαῦτα καὶ Van Dale c. 14. p. 113 etc.

(β) Π ρ ο σ κ υ ν ῶ, οὐ μόνον τὸ προσπίπτων, ἢ κύπτων ἕως ἐδάφους τιμῶ (εἴτε λατρευτικῶς καὶ θρησκευτικῶς, εἴτε κατ' ἔθος πολιτικὸν, ἐπὶ τιμητικῇ προσαγορεύσει. Γεν. ιη, 2: κγ, 7, κτλ. βλ. καὶ Εὐριπ. Ὀρ. 1507. Ἡρόδοτ. Β, 80. Ξενοφ. κτλ.), ἀλλὰ καὶ (κατὰ πρώτην μάλιστα σημασίαν) τὸ κ α τ α φ ι λ ῶ τ ῷ σ τ ό μ α τ ι, ἀσπάζομαι. Ὡς καὶ παρ' Ὁμήρῳ πολλαχοῦ τὸ ἁπλοῦν κ υ ν ε ῖ ν (τὸ καταφιλεῖν). Σημαίνει δὲ καὶ τὸ φιλῶν τὴν χεῖρά μου τιμῶ, ἢ προσαγορεύω καὶ μακρόθεν, (ὅθεν καὶ τὸ λατινικὸν adorare, τὸ προσκυνεῖν, ἐκ τοῦ os, oris, τὸ στόμα, ὡς ἂν εἴποις π ρ ο σ τ ο μ ί ζ ε ι ν). « Προσεκύνησεν ἡ χείρ μου περὶ τὸ στόμα μου » Σύμμαχ. εἰς Ἰώβ. λα, 27· ὅπου οἱ Ο, σαφέστερον· « Χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα » κτλ. Τοιοῦτο καὶ τὸ « τὴν χεῖρα τῷ στόματι προσαγαγόντος, οὐδὲν ἀλλ' ἢ προσκυνεῖν (τὸν θεὸν) ὑπελάμβανον » (Λουκιαν. Δημοσθ. ἐγκώμ. §. 49 πρβλ. Plin. 28. 2.). Οὕτως οὖν καὶ ὁ Φιλάδελφος ἀμφεκύνησε, τουτέστι κατεφίλησε τῷ στόματι τὰ βιβλία, ὡς ἱερὰ καὶ θεῖα. Σημείωσαι δὲ ὅτι τὸ π ρ ο σ ε κ ύ ν η σ ε ν (ὁ Φιλάδελφος) ἐπὶ μὲν τῆς ἑ ρ μ η ν ε ί α ς (ὅτε ἔλαβεν αὐτὴν παρὰ τοῦ Δημητρίου) ἔχει καὶ Ἰώσηπος, ὡς ὁ Ἀριστέας. Τὸ δὲ π ρ ο σ ε κ ύ ν η σ ε ν ἕ ω ς ἑ π τ ά κ ι ς (ἐπὶ τῶν ἑβραϊκῶν πρωτοτύπων) οὐκ ἀναγινώσκεται παρὰ Ἰωσήπῳ, οὐχὶ διὰ συντομίαν ὑπ' αὐτοῦ παραλειφθὲν, ἀλλὰ μᾶλλον ἐκπεσὸν ἐν τῇ μεταγραφῇ. Πλὴν εἰ μή τις λέγοι τοῦτο προστεθὲν, τυχὸν, ὑπό τινος ἐν τοῖς Ἀριστέου. Ἀλλ' ἂν καὶ γνήσιον τεθῇ τὸ κῶλον, ὁ τῆς Αἰγύπτου βασιλεὺς ἑπτάκις τὴν γραφὴν προσκυνῶν, οὐδὲν ἀπᾷδον ἐποίει οὐ μόνον πρὸς Ἰουδαίους (παρ' οἷς ἦν τιμιώτατος ὁ ἕβδομος ἀριθμὸς), ἀλλὰ καὶ πρὸς τοὺς Αἰγυπτίους αὐτούς. « Ἐν γὰρ Αἰγύπτῳ τοὺς θεοὺς ὑμνοῦσι δ ι ὰ τ ῶ ν ἑ π τ ὰ φ ω ν η έ ν τ ω ν οἱ ἱερεῖς » (Δημ. Φαληρ. π. ἑρμην. §. α). Ἀλλὰ περὶ τοῦ ἑ π τ ὰ καὶ ἀλλαχοῦ. βλ. Βιβ. Β. κεφ. ε.

(γ) « Νῦν ἔφη καὶ τοὺς Ῥωμαίων ὅρκους ὀμνύναι βούλομαι. Παραχρῆμα οὖν ὁ τῆς Σιγγηδόνος πόλεως τὴν ἀρχιερωσύνην διέπων τὰς θεσπεσίας βίβλους αὐτῷ

δὲ καὶ ὁ Φιλάδελφος ἠδύνατο καὶ τὰς θείας τῶν Ἰουδαίων Γραφὰς γνησίως τιμᾶν, καίτοι *προστετηκὼς τοῖς εἰδώλοις* (κατὰ τὸν θεῖον Χρυσόστομον, βλ. καὶ ἐφεξῆς κεφ. κα, §. γ), εἴπομεν καὶ πάλιν ἐροῦμεν. Οὐδ᾽ ἂν εἴποι τις εὐλόγως, ὅτι τὰ θεῖα κεκριμένα βιβλία τῶν Ἰουδαίων ἐνόμιζεν ὁ ἐθνικὸς βασιλεὺς μικροτέρας τιμῆς καὶ προσκυνήσεως ἄξια, παρὰ τοὺς *ἱεροὺς λόγους*, οὓς ἐτίμων οἱ Αἰγύπτιοι, καὶ παρὰ τὰ Σιβύλλεια, λίαν καὶ ὑπ᾽ αὐτῶν τῶν Ῥωμαίων τετιμημένα (Στράβ. ιζ. 814), καὶ, τέλος, παρά τινας λίθους ἱερούς, οἷον τὸν Ἀθήνησι, καὶ αὐτὸν τὸν λίθινον τοῦ Δημώνακτος θῶκον, ὃν *προσεκύνουν* στεφανοῦντες οἱ Ἀθηναῖοι (α). Τοὺς δ᾽ οὖν κριτικοὺς ἐλύπησεν (ὡς φαίνεται) καὶ παρώξυνεν οὐχὶ κυρίως ἡ πρὸς τὰ βιβλία τῆς Γραφῆς προσκύνησις τοῦ Φιλαδέλφου, ἀλλὰ μᾶλλον, ἡ ἐκ τούτου προκύπτουσα δεῖξις, ὅτι θεσπεσία τις καὶ ἁγία ἐφάνη ἐξ ἀρχῆς ἡ ἑρμηνεία, καὶ οὐκ ἄνευ Θεοῦ γεγεννημένη· ὡς γὰρ τοιαύτην πάντως καὶ ὁ βασιλεὺς αὐτὴν ἀποδεχόμενος ἐτίμα προσκυνῶν. Ἡ δὲ δυσπιστία τῶν κριτικῶν βέβηλον ὅλως καὶ ἀθείαστον αὐτὴν δογματοκοποῦσα, καὶ πειρωμένη νυκτοκλοπῆσαι τὴν ἀξίαν τῶν Ο, ψέγει λοιπὸν τὸν ἱστορικὸν Ἀριστέαν, διότι καὶ οὗτος ἐπαγρυπνεῖ, « *λύχνον καίων* » (τὸ τοῦ Δημοσθένους), διηγούμενος δηλονότι καὶ μαρτυρῶν τὴν ὡς ἐπὶ θεοσδότῳ τῇ ἑρμηνείᾳ τιμὴν τοῦ βασιλέως· Ἀλλ᾽ ὁ μὲν Ἀριστέας καὶ χωρὶς τούτου τοῦ διηγήματος ἀνεκήρυξε ῥητῶς καὶ ἀλλαχοῦ τὸ τῆς *ἑρμηνείας ὅσιον*, ὡς λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ. Ὅτι δὲ καὶ

(προσήνεγκε) *διὰ τῶν ἐν μέσῳ τὰς ἀγγελίας διακομιζόντων*. Καὶ ὃς, δολερώτατά πως ἐπικρυψάμενος τὸν νοῦν, ἀνίσταταί τε ἐκ τῆς καθέδρας, καὶ σὺν φόβῳ δῆθεν πολλῷ καὶ σεβάσματι ταῦτα προσποιησάμενος δέχεσθαι, καὶ προσκυνήσας προθυμότατα, ὄμνυμι (ἔφη) κατὰ τοῦ λαλήσαντος τὰ ἐν ταῖς ἁγίαις διφθέραις ῥήματα θεοῦ, μηδὲν εἰρημένον παρ᾽ αὐτοῦ διαψεύσεσθαι » κτλ. Μένανδρ. Προτρεπ. ἐκλογ. Πρεσβ. β. πρβλ. Demagistr. Diss. V. p. 544.

(α) Πλούταρχ. Σύλ. §. κε. πρβλ. Ἡσύχ. λ. λίθος, καὶ λιθομόται, καὶ σχόλ. Κριτικ. — « Καὶ τὸν θῶκον τὸν λίθινον, ἐφ᾽ οὗ εἰώθει (ὁ Δημώναξ), ὁπότε κάμνοι, ἀναπαύεσθαι, προσεκύνουν (οἱ Ἀθηναῖοι), καὶ ἐστεφάνουν εἰς τιμὴν τοῦ ἀνδρὸς, ἡγούμενοι ἱερὸν εἶναι τὸν λίθον » κτλ. Λουκιαν. Δημών. §. 67.

δάκρυσι καθύγρανεν ὁ Φιλάδελφος τὰς ἑβραϊκὰς Γραφὰς, πόθεν ἄρά γε μαθὼν ἔγραψεν ὁ Ὅδιος; Ἰδοὺ τοῦ Ἀριστέου αἱ λέξεις αὐταί· « Πολὺν ἐπιστὰς χρόνον, καὶ προσκυνήσας — εἶπεν· εὐχαριστῶ μὲν, ἄνδρες, ὑμῖν· τῷ δὲ ἀποστείλαντι, μᾶλλον· μέγιστον δὲ, τῷ Θεῷ, οὗτινός ἐστι τὰ λόγια ταῦτα. Ὁμοθυμαδὸν δὲ πάντων εἰπόντων ὑπὸ μίαν φωνὴν, τῶν τε παραγεγονότων, καὶ τῶν συμπαρόντων, « *εὖ βασιλεῦ* » (α), *προήχθη δακρύσαι, τῇ χαρᾷ* (ἴσ. χαρᾶς) *πεπληρωμένος*. Ἡ γὰρ τῆς ψυχῆς ἔντασις καὶ τὸ τῆς τιμῆς ὑπερτεῖνον δακρύειν ἀναγκάζει κατὰ τὰς ἐπιτυχίας ». Ἐκ τῶν λόγων τούτων φαίνεται ἐναργῶς, ὅτι ὁ βασιλεὺς χαίρων διὰ τὴν παροῦσαν εὐτυχίαν, ὡς ἤκουσε καὶ τὴν βοὴν τῶν τε παραγεγονότων πρεσβυτέρων καὶ τῶν ἄλλων τῶν συμπαρόντων, ἁπάντων ὁμοφώνως αὐτὸν ἐπαινεσάντων, καὶ ἀγαθὰ εὐξαμένων, ἐκινήθη εἰς δάκρυα χαρᾶς, « φύσει τῆς μεγάλης χαρᾶς πασχούσης καὶ τὰ τῶν λυπηρῶν σύμβολα » (ὡς ἐσημείωσεν ὁ Ἰώσηπος). Ἀλλ' οἱ περὶ τὸν Ὅδιον ἄτεγκτοι κριτικοὶ καὶ τοῦτο τῆς βασιλικῆς χρηστότητος τὸ καθαρὸν καὶ τέρεν δάκρυον κατεθόλωσαν διὰ τῆς πλαστολογίας, εἰσάγοντες δακρύοντα τὸν Φιλάδελφον, οὐχ ὑπὸ χαρᾶς, καὶ (ὡς εἶπεν ὁ Ἰώσηπος) « *δι' ὑπερβολὴν ἡδονῆς* », ἀλλὰ διὰ πολλὴν δῆθεν εὐλαβείας καὶ κατανύξεως ὑπερβολήν! καὶ πάλιν οὐχ ἁπλῶς καὶ μόνον *χάριεν δακρύσαντα*, ἢ *δακρυόεν κεχαρηκότα*, ἀλλὰ καὶ δακρυῤῥοοῦντα, καὶ κλαίοντα κρουνηδὸν, ἀστακτὶ τῶν δακρύων ἐπὶ τὰ βιβλία καταῤῥεόντων (ἤ τί ἄλλο σημαίνει τὸ, καθὼς εἶπαν, *καθύγρανε τοῖς δάκρυσι τὰ βιβλία*;). Οὕτω δὲ σατυρικῶς καὶ ἀτόπως τὴν Ἀριστέου φράσιν παρερμηνεύσαντες, ἀφῆκαν ἔπειτα κατ' αὐτοῦ τὰς ἀγενεῖς ἐκείνας καὶ λοιδόρους φωνάς! (σελ. 589). Ἀλλ', ὦ βέλτιστοι, τὰ μὲν Ἀριστέου ἁπλᾶ τε ὄντα, καὶ σαφῆ, καὶ ἀληθῆ, οὔτε Δημοκρίτου καταγελαστοῦ χρῄζουσιν, οὔτε κριτικοῦ Ἀριστάρχου πρὸς δῆθεν ἔλεγχον τῶν διεψευσμένων. Ὑμεῖς δὲ πολὺ

(α) Ἀντὶ « εὖ γε (εἶπας), βασιλεῦ »! ἢ καὶ, « εὖ σοι γένοιτο »! Οὕτω καὶ Ἰώσηπος ἐξέφρασεν « ἐκβοησάντων, γίνεσθαι τἀγαθὰ τῷ βασιλεῖ ».

κερδαίνετε λαθόντες τὸν Φιλάδελφον. Εἰ γάρ ποθεν ἔβλεπεν ἐκεῖνος ὑμᾶς καὶ ἤκουε τοιαῦτα κατ᾽ Ἀριστέου βλασφημοῦντας, πάντως ἂν ἀπέπεμψεν ἐκποδὼν, πειναλέους μὲν καὶ νήστεις ἀπάσης τιμῆς, « *βαρυλόγοις δ᾽ ἔχθεσι πιαινομένους* » καταλιπὼν, ὡς ἀπέπεμψεν ἀγανακτήσας καὶ Ζωΐλον ἐκεῖνον τὸν Ὁμηρομάστιγα κριτικόν. Ἐκεῖνος μὲν ἐμάστιζε τὴν Ὁμήρου κουροτρόφον ποίησιν καὶ τὴν εἰκόνα, μετὰ ἑπτακοσίους ἐνιαυτοὺς ὁ κακοδαίμων ἐξαναστάς· ἀλλὰ καὶ ὑμεῖς ὡσαύτως καταξαίνετε τὴν ἠπιόδωρον καὶ χρηστομαθείας πλήρη τοῦ Ἀριστέου συγγραφὴν, ἣν δισχιλίων ἐτῶν κύκλοι μέχρις ὑμῶν ἐσεβάσθησαν, καὶ ὁ πᾶς αἰὼν οὐ διαλείψει τιμῶν (α).

§. ιδ΄. Ζ) « Πλάττει (λέγουσιν) ὁ Ἀριστέας τὸν ἀρχιερέα τῶν Ἰουδαίων, ὅτι διαλεγόμενος πρὸς τοὺς ἐξ Αἰγύπτου πρέσβεις (ἐν οἷς ἦν καὶ Ἀριστέας αὐτὸς) ἔλεγεν, ὅτι « Τὸν μόνον Θεὸν καὶ δυνατὸν σεβόμεθα παρ᾽ ὅλην τὴν — κτίσιν· ὅθεν οἱ Αἰγυπτίων καθηγεμόνες ἱερεῖς, ἐγκεκυφότες εἰς πολλὰ, καὶ μετεσχηκότες πραγμάτων, *ἀνθρώπους Θεοῦ* προσονομάζουσιν ἡμᾶς· ὃ τοῖς λοιποῖς οὐ πρόσεστιν, εἰ μή τις σέβεται τὸν κατ᾽ ἀλήθειαν Θεόν· ἀλλ᾽ εἰσὶν *ἄνθρωποι βρωτῶν καὶ ποτῶν καὶ σκέπης* » κτλ. — Πάλιν, ὅτε τὰς ἑβραϊκὰς Γραφὰς ὁ βασιλεὺς ἀνωμολόγει *λόγια Θεοῦ*, πάντες οἱ *παρεστῶτες* (ἐν οἷς ἦσαν καὶ Μενέδημος ὁ Ἐρετριεὺς, καὶ ἄλλοι τῶν Ἑλλήνων φιλοσόφων πολλοὶ), πάντες ὁμοθυμαδὸν ὑπὸ μίαν φωνὴν ἐπευφήμησαν, καὶ ἐπεκύρωσαν τὸ ῥηθὲν ἐκβοήσαντες, « *εὖ*

(α) « *Ζωΐλος ὁ Ὁμηρομάστιξ (διότι ἐπέσκωπτεν Ὅμηρον) ἐπικεκλημένος, προσελθὼν τῷ βασιλεῖ (Πτολεμαίῳ τῷ Φιλαδέλφῳ), ἐπεδείξατο ἃ συνέγραψεν εἰς τὴν Ὁμήρου Ἰλιάδα καὶ Ὀδύσσειαν. Ὁ δὲ Πτολεμαῖος ἀγανακτήσας, οὐδεμιᾶς αὐτὸν ἠξίωσεν ἀποκρίσεως. Ἤδη δὲ πολὺν χρόνον ὁ Ζωΐλος περινοστῶν, καὶ πενίᾳ τρυχόμενος, ἔγραψε πρὸς τὸν βασιλέα λαβεῖν τι παρ᾽ αὐτοῦ ἀξιῶν. Τὸν δὲ βασιλέα λέγουσιν εἰπεῖν πρὸς αὐτὸν, ὅτι Ὅμηρος μὲν πρὸ χιλίων ἐτῶν ἤδη τεθνηκὼς, πολλὰς ἀνθρώπων χιλιάδας διατρέφει· σὺ δὲ, ὦ Ζωΐλε, σοφώτερος ἐκείνου καυχώμενος εἶναι, πάντως οὐχ ὅπως σεαυτὸν, ἀλλὰ καὶ πολλῷ πλείους ἐκείνου χιλιάδας δυνήσῃ βόσκειν!* ». Vitruv. praefat. c. 12 et 13. (πρβλ. καὶ Σουΐδ. λ. Ζωΐλος. καὶ Γαλην. Θεραπ. Μεθ. Α. 3.

βασιλεῦ »! Ταῦτα δὲ πάντα ἀναμφιβόλως ψευδέστατα τυγχάνουσιν, ἰουδαϊκῆς ἀλαζονείας καὶ φιλοψευδίας ἀπόζοντα, καὶ διὰ τοῦτο πλαστουργηθέντα, ὅπως περιποιήσωσι τῷ γένει καὶ τῷ νόμῳ τῶν Ἰουδαίων εὐδοξίαν τινὰ παρὰ τοῖς ἐθνικοῖς » κτλ.

Ἀπαντῶμεν.

§. ιέ. Ἀλλὰ πρῶτον μὲν ὁ Ἀριστέας ἱστόρησεν ὅ,τι ἔλεγεν ὁ Ἀρχιερεύς· αὐτὸς δ' ἐξ ἑαυτοῦ οὐδὲν περὶ τούτων ἀπεφάνθη ὁ Ἀριστέας. Εἰ τοίνυν οἱ κριτικοὶ τερατολόγον εὑρίσκουσι τὸν ἀρχιερέα, διὰ τί περὶ τούτου εἰσπράττουσιν εὐθύνας τὸν Ἀριστέαν; Ἔπειτα, διὰ τί καὶ αὐτοὺς τοὺς λόγους τοῦ ἀρχιερέως εὑρίσκουσι ψευδεῖς; Ἄνδρες τῶν Αἰγυπτίων ἱερέων κατὰ φιλοσοφίαν ἐπιφανέστατοι, καὶ πολὺ τῆς δημώδους πολυθεΐας καὶ κτισματολατρείας ἀνώτεροι, *Δία νομίζοντες πάντων πατέρα* (Διόδωρ. Α, §. ιε), καὶ τῆς ἑβραϊκῆς νομοθεσίας τὸ καλὸν καὶ θεοπρεπὲς θεωροῦντες, ὠνόμαζον τοὺς Ἰουδαίους *ἀνθρώπους* (δούλους δηλονότι καὶ λάτρεις) Θεοῦ (α). Καὶ αὐτὸν δὲ τὸν Μωσέα « *θαυμαστὸν καὶ θεῖον ἄνδρα* » ἐνόμιζον οἱ σοφοὶ τῶν Αἰγυπτίων, ὡς Ἰώσηπος ἀπέδειξεν (Α, κατ. Ἀπίων.

(α) Τὸ ἄνθρωπος, ὅτι σημαίνει ἐνταῦθα τὸ δοῦλος, θεράπων, μαρτυρεῖ μὲν καὶ τὸ ἐφεξῆς τοῦ Ἀριστέου ἄνθρωποι βρωτῶν καὶ ποτῶν κτλ. δοῦλοι δηλαδὴ κοιλίας, κτλ. δηλοῦσι δὲ καὶ πολλὰ χωρία τῆς Γραφῆς· ἐν ᾗ ἄνθρωποι θεοῦ ἐξαιρέτως οἱ προφῆται, καθὸ θεράποντες καὶ ἑρμηνεῖς τῶν θείων βουλῶν (Ἰησ. ιδ. 6: Κριτ. ιγ, 68: Γ. Βασ. ιγ. ι: Δ. Βασιλ α, 9 κτλ. ὅπου ἡ ἀντίστοιχος ἑβραϊκὴ λέξις σημαίνει δοῦλον)· τίθεται δὲ καὶ καθολικώτερον ἡ λέξις ἁπλῶς ἀντὶ τοῦ δοῦλος, ἀντιθέτως πρὸς τὸ κύριος καὶ δεσπότης (Λουκ. ιϐ. 36). Οὕτω καὶ παρὰ τοῖς Λατίνοις τὸ homo (Petron. Satyr. c. 63. Gell. Noct. Att. 5,14). Ὅθεν καὶ ὁ Αἰλιανός· « ποῦ γὰρ ἄνθρωπος ἐπὶ τῷ δεσπότῃ τέθνηκε; » (Αἰλ. Ζ. ἱστ. ζ, 28). Τοιοῦτό τι φαίνεται καὶ παρὰ Πλάτωνι (Φαίδων.), ὅπου ἄνθρωπος καλεῖται ὁ τῶν ἕνδεκα ὑπηρέτης. Καὶ συνήθως δὲ παρ' ἡμῖν ἄνθρωπος τοῦ δεῖνος, πολλάκις ὁ ὑπηρέτης. Παρὰ δὲ τοῖς ἱεροῖς Πατράσιν ἡ χρῆσις τῆς φράσεως πυκνοτέρα, οἷον « ὁ τοῦ θεοῦ ἄνθρωπος ἐγὼ (Μ. Κωνσταν. παρὰ Γελασ. Κυζικ. ἱστ. γ), καὶ Ὠριγένης· « Λέγεται ἐν ψαλμοῖς καὶ τοὺς ἀγγέλους τρέφεσθαι, κοινωνούντων τῶν ἀνθρώπων τοῦ θεοῦ (οἵτινες ἑβραῖοι προσαγορεύονται) τοῖς ἀγγέλοις, καὶ οἱονεὶ καὶ συνεστίων αὐτοῖς γινομένων » κτλ. (Ὠριγ. περὶ Εὐχῆς. τόμ. α. σελ. 247). βλ. καὶ Petit. Observ. Miscell. III, 15 καὶ Schleusn. Lex. N. T. vol. 1. p. 211.

§. 31). Ὡσαύτως καὶ Ἕλληνες, καὶ ἄλλοι ἐθνικοὶ εἶχον καὶ ὠνόμαζον αὐτὸν *προφήτην* (α). Ἄλλος δέ τις βασιλεὺς ἐθνικὸς (ὁ Ἀρταξέρξης) « *καὶ υἱοὺς τοῦ ὑψίστου, μεγίστου, ζῶντος Θεοῦ* » προσεῖπε τοὺς Ἰουδαίους, ὡς *τῷ Θεῷ προσανέχοντας* (Ἐσθὴρ, η, 12: καὶ Ἰώσ. Ἀρχ. ια, ϛ, 12). Τὸ δ' αὐτὸ καὶ ὁ τῆς Αἰγύπτου βασιλεὺς, ὁ Φιλοπάτωρ, ὡμολόγησεν, ὡς λέγομεν εὐθύς. Ἀλλὰ καὶ Καῖσαρ ὁ Σεβαστὸς ἀνεκήρυξε τὸν Ὑρκανὸν, *ἀρχιερέα Θεοῦ ὑψίστου*, καὶ *ἱερὰς* προσεῖπε τὰς *βίβλους τῶν Ἰουδαίων* (Ἰώσ. Ἀρχ. ιϛ, ϛ, 2). Μαρτυρεῖ δὲ πρὸ πάντων ὁ ἡμέτερος Ὠριγένης (κ. Κέλσ. Ε. §. 50) « Τὸν ἐπὶ πᾶσι Θεὸν καὶ ὑπὸ τῶν ἀλλοτρίων τῆς ἡμετέρας πίστεως, *Ἑβραίων* καλεῖσθαι *Θεόν* ». Ὁμολογήσει δὲ τοῦτο καὶ αὐτὸς Ὄδιος μετ' ὀλίγον (βλ. ἐφεξῆς §. ιϛ). Τί λοιπὸν παράδοξον, ἢ ἄπιστον ἔλεγεν ὁ ἀρχιερεὺς λέγων, ὅτι τῶν Αἰγυπτίων οἱ σοφώτεροι προσωνόμαζον τοὺς Ἰουδαίους ἀνθρώπους τοῦ Θεοῦ; Ὅσον δὲ περὶ τοῦ Μενεδήμου καὶ τῶν ἄλλων ἐθνικῶν φιλοσόφων, καὶ λίαν ἠπατήθη τῶν Ὀδιακῶν ἡ κριτικὴ, εἰσάγουσα τούτους παρόντας δῆθεν, καὶ ψήφοις ἰδίαις ἐπικυροῦντας τὴν ὁμολογίαν τοῦ βασιλέως, ὁπότε τὰς ἑβραϊκὰς Γραφὰς ἀνεκήρυξε χρησμοὺς καὶ *λόγια Θεοῦ!* Καίτοι καὶ τοῦτο ἦν οὐκ ἀπίθανον (διότι καὶ Μενέδημος καὶ πάντες οἱ ἐθνικοὶ φιλόσοφοι ἠπίσταντο καὶ ὡμολόγουν ὑπάρχοντας καὶ παρὰ βαρβάροις θείους χρησμούς)· ἀλλ' ὅμως ὁ Ἀριστέας οὔτε τὸν Μενέδημον, οὔτ' ἄλλον τινὰ τῶν φιλοσόφων ἱστόρησε τότε παρόντας ἐπὶ τῆς πρώτης τῶν Ο, παραστάσεως· πᾶν δὲ μάλιστα τοὐναντίον, μόνους αὐτοὺς εἰσελθόντας διαγράφει τοὺς πρεσβυτέρους, συμπαρόντας δὲ καὶ τοὺς περὶ τὸν βασιλέα (τοὺς ὑπασπιστὰς καὶ σωματοφύλακας)· τοὺς δὲ περὶ τὸν Μενέδημον ὕστερον εἰσάγει παραγενομένους ἐπὶ τοῦ συμποσίου. Ἰδοὺ αἱ λέξεις τοῦ Ἀριστέου. « Ἐκέλευσεν (ὁ Φιλάδελφος) τοὺς λοιποὺς πάντας ἀπολῦσαι, τοὺς ἐπὶ τῶν χρειῶν (τοὺς ἔξωθεν ἐλθόντας διὰ χρείας ἰδίας), καλεῖν δὲ τοὺς ἀνθρώπους (τοὺς Ο). — Ἀπολύσας οὖν οὓς ἐνόμιζε περισσοὺς, ὑπέμεινε περιπα-

(α) Νουμήν. παρὰ Πορφυρ. περὶ τοῦ Νυμφ. ἄντρου.

τῶν, ἕως ἂν παραγενομένους ἀσπάσηται. Παρελθόντων δὲ σὺν τοῖς ἀπεσταλμένοις δώροις καὶ ταῖς διαφόροις διφθέραις, — πολὺν ἐπιστὰς χρόνον, καὶ προσκυνήσας (τὰ βιβλία), — εἶπεν· εὐχαριστῶ μὲν, ἄνδρες, ὑμῖν· τῷ δ᾽ ἀποστείλαντι, μᾶλλον· μέγιστον δὲ, τῷ Θεῷ, οὗ τινός ἐστι τὰ λόγια ταῦτα. Ὁμοθυμαδὸν δὲ πάντων εἰπόντων — τῶν τε *παραγεγονότων* καὶ τῶν συμπαρόντων, εὖ *βασιλεῦ*, προήχθη δακρῦσαι » κτλ. Ἐνταῦθα βλέπομεν σαφῶς μόνους τοὺς *παραγεγονότας* (τοὺς Ο), καὶ τοὺς ἄλλους (τοὺς περὶ τὸν βασιλέα θεράποντας καὶ ἀξιωματικοὺς) *συμπαρόντας* (α), οἵτινες ἅμα πάντες ἐπαινέσαντες τό, τε εὔγνωμον τοῦ βασιλέως, καὶ τὸν περὶ τὰς θείας Γραφὰς σεβασμὸν, ἐπευχήθησαν αὐτῷ τὸ εὖ. Μενέδημον δὲ καὶ φιλοσόφους οὐδαμοῦ βλέπομεν ἐνταῦθα ῥητῶς ὑπὸ τοῦ Ἀριστέου ὠνομασμένους. Μετὰ δὲ ταῦτα, ἀσπασάμενος τοὺς ἄνδρας ὁ βασιλεὺς, ἀπέλυσεν εἰς ἃς ἐκέλευσεν αὐτοῖς δοθῆναι καταλύσεις, καλέσας καὶ εἰς τὸ συμπόσιον. Ἐκεῖ δὲ « ὡς *ἀνεκλίθησαν* », ἤδη τοῦ βασιλέως πρὸς ἕκαστον τῶν Ο, διαλεγομένου, τότε φαίνεται καὶ Μενέδημος ὁ Ἐρετριεὺς φιλόσοφος, καὶ οἱ λοιποὶ, κοινωνοῦντες τῆς τραπέζης καὶ τῶν λόγων. Ἀλλ᾽ οἱ περὶ τὸν Ὅδιον ἄραντες ἐκ μέσου τοῦ συμποσίου τοὺς φιλοσόφους, ἀνάγουσιν ἐπὶ τῆς πρώτης πρὸς τὸν βασιλέα ἐμφανίσεως τῶν Ο, καὶ παριστῶσιν ὡς συμπαρόντας, ἄκοντας μὲν αὐτοὺς, ἄκοντος δὲ καὶ τοῦ βασιλέως, καὶ αὐτοῦ δὲ τοῦ Ἀριστέου μηδὲν ὅλως περὶ τούτων εἰδότος, μηδ᾽ ἱστορήσαντος μηδὲ γρύ.

§. ιϛ. Η) « Οὔτ᾽ ἐν λόγῳ (λέγουσιν) οὔτ᾽ ἐν ἀριθμῷ » οὔτε παρὰ τοῖς Ἕλλησιν οὔτε παρὰ τοῖς ἄλλοις ἐθνικοῖς ὑπῆρχον οἱ Ἰουδαῖοι· καὶ τὰ τούτων ἔθιμα παρὰ πᾶσι κατεφρονοῦντο. Ὁμολογοῦσι δὲ τὸ πρᾶγμα καὶ Σαλμέρων καὶ ὁ Σαβελλικός (β). Ἀλλ᾽ ὅμως (λέγει Ὅδιος)

(α) Τοῦτο τὸ « π α ρ α γ ε γ ο ν ό τ ω ν καὶ σ υ μ π α ρ ό ν τ ω ν » ὁ τρισεπέραστος Βανδάλης ἑρμηνεύει « qui ibi aderant ac superveniebant· τουτεστιν « ὅ σ ο ι ἐ κ ε ῖ π α ρ ῆ σ α ν, καὶ ὅ σ ο ι ἐ π ή ρ χ ο ν τ ο »! (Van Dale p. 115). Οὕτως ἔκρινεν ἐκδοῦναι τὴν φράσιν, πρωθυστέρως μὲν καὶ καρκινικῶς, πλὴν ἀλλ᾽ ὅμως — ἀμαθῶς καὶ διεστραμμένως!

(β) Salmer. l. c. c. 1. — Sabellicus Lib. 7. Exemplor. c. 5.

οὐκ ἐξέπεσαν τῆς μνήμης τῆς ἐμῆς ἐκεῖναι αἱ τιμαὶ, δι' ὧν τινες τῶν ἡγεμόνων λέγονται ὅτι ἐτίμησαν τὸ ἔθνος τῶν Ἰουδαίων· οὐδὲ τὰ μεγάλα καὶ λαμπρὰ ἐκεῖνα ῥήματα, δι' ὧν τὴν Ἰουδαϊκὴν ἐκόσμησαν θρησκείαν Κῦρος (Ἔσδρ. Α, 2), καὶ Δαρεῖος (Αὐτ. Ϛ, 10), καὶ Ἀρταξέρξης, Περσῶν βασιλεῖς, ἐν τοῖς παρὰ τῇ θείᾳ Γραφῇ σῳζομένοις διατάγμασιν αὐτῶν. Κῦρος μὲν καὶ Δαρεῖος ὁμολογοῦντες, ὅτι, « *Κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ, αὐτὸς* (ἐστιν) *ὁ θεὸς τοῦ οὐρανοῦ, ὁ θεὸς ὁ ἐν Ἱερουσαλὴμ* ». Ὁ δ' Ἀρταξέρξης καὶ τὸν Ἔσδραν ὀνομάζων « *γραμματέα τοῦ νόμου τοῦ Θεοῦ* », καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν « *οἶκον θεοῦ* », καὶ « *οἶκον τοῦ θεοῦ τοῦ οὐρανοῦ* » (α). Καὶ φαίνεται λοιπὸν ἀναμφίβολον ὅτι πάντες οἱ σοφοὶ ἄνδρες, ἐκ παντὸς ἔθνους καὶ θρησκεύματος, τὸν αὐτὸν τοῖς Ἰουδαίοις προσεκύνουν θεὸν, τὸν θεὸν δηλαδὴ τὸν ἀληθινὸν, τὸν πάντων δημιουργόν· οὐδὲ περιώριζεν οὐδέποτ' οὐδεὶς τῶν πάντων σοφῶν τὸ θρησκευτικὸν αὐτοῦ σέβας εἰς τὰ εἴδωλα· ὅθεν οὐδόλως ἀμφιβάλλω, ὅτι καὶ πάντες οἱ τὴν ἰουδαϊκὴν θρησκείαν περιεργότερον ἐξετάζοντες, ἢ καὶ μετὰ τῶν σοφωτέρων Ἰουδαίων συνομιλοῦντες, ἐπίστευον αὐτοὺς τὸν ἀληθῆ θεὸν σεβομένους. Καὶ οὐδὲν ἄρα θαυμαστὸν, εἰ καὶ οἱ προειρημένοι βασιλεῖς ἐπίστευον τὸν Ἰουδαίων θεὸν εἶναι τὸν Θεὸν τὸν ὕψιστον καὶ μέγιστον. Ἐκεῖνο δὲ μείζονα παρέχει τὴν δυσχέρειαν· πῶς ὁ Ἀρταξέρξης τὸν Μωσέως νόμον ὠνόμασε *νόμον τοῦ θεοῦ τοῦ οὐρανοῦ*, ὡς ἂν πιστεύων αὐτὸν ὑπὸ θεοῦ δεδομένον (καθὼς ἔγραψε περὶ τοῦ Φιλαδέλφου καὶ τῶν Ἑλλήνων φιλοσόφων ὁ Ἀριστέας!). Πλὴν ἀλλ' ὅμως φαίνεται πιθανὸν, ὅτι τὸ περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ διάταγμα τοῦ Ἀρταξέρξου ὑπηγορεύθη ἐξ ὀνόματος καὶ κελεύσματος τοῦ βασιλέως, ὑπό τινος Ἰουδαίου γραμμα-

---

(α) Ἔσδρ. Ζ. 12, 21, κτλ. [Πρόσθες, ἀναγνῶστα, ὃ παρέλιπεν Ὅδιος, ὅτι καὶ θυσίας διέταξαν ὅ,τε Δαρεῖος καὶ Ἀρταξέρξης ἀπὸ τῶν βασιλικῶν ὑπαρχόντων, ἵνα προσφέρωσιν οἱ ἱερεῖς τῆς Ἱερουσαλὴμ ἐν τῷ ναῷ, « ἵνα ὦσι προσφέροντες εὐωδίας τῷ θεῷ τοῦ οὐρανοῦ, καὶ προσεύχωνται εἰς ζωὴν τοῦ βασιλέως, καὶ τῶν υἱῶν αὐτοῦ » (Ἔσδρ. ς. 8—10). Τοιαῦτα καὶ ὁ Κῦρος διέταξε· βλ. Ἰωσήπ. Ἀρχαιολ. ΙΑ. α. §. 3. καὶ δ. §. 6—9. καὶ ι, 1, κτλ. Σημ. ἡμετ.].

τεύοντος παρὰ τῷ βασιλεῖ. Τοῦτ᾽ αὐτὸ δύναταί τις εἰπεῖν καὶ περὶ τῶν τοῦ Κύρου καὶ Δαρείου διαταγμάτων. Ἐπειδὴ γὰρ ταῦτα τὰ προστάγματα συνεγράφοντο περὶ πραγμάτων ἀνηκόντων εἰς τοὺς Ἰουδαίους, πιθανὸν, ὅτι καὶ εἰς Ἰουδαίους γραμματεῖς ἡ περὶ τούτων ἀνετίθετο φροντίς. Εἰ δὲ καὶ Ἀρταξέρξης ἐπίστευε τῷ ὄντι, ὅτι τῶν Ἰουδαίων ὁ νόμος ὑπῆρχε *νόμος τοῦ θεοῦ τοῦ οὐρανοῦ*, τοῦτο λοιπὸν ὑποληπτέον θείᾳ τινὶ χάριτι γεγονός. Διδάσκουσι δὲ καὶ αἱ ἱεραὶ Γραφαὶ, ὅτι κατ᾽ ἐξαίρετον χάριν ὁ θεὸς ἐξήγειρε τὸν Κῦρον καὶ τὸν Δαρεῖον καὶ Ἀρταξέρξην εἰς ἀνοικοδόμησιν τοῦ ναοῦ τῶν Ἱεροσολύμων. Ἀλλ᾽ ὅτι τῆς τοιαύτης χάριτος μετέσχον ὁμοίως κα Φιλάδελφος ὁ βασιλεὺς, καὶ ὁ Φαληρεὺς, καὶ Μενέδημος, καὶ οἱ λοιποὶ τῶν Ἑλλήνων φιλοσόφων, εἴ τις τοῦτο πιστεύοι, χαίρων ἀπολαυέτω τῆς δοξασίας αὐτοῦ ». Ταῦτα ὁ Ὅδιος.

Ἀπαντῶμεν.

§. ιζ΄. « *Καὶ ἐν λόγῳ καὶ ἐν ἀριθμῷ, οὐδ᾽ ἀτιμοτάτῃ ἐνὶ μοίρῃ* » (καθὼς εἶπεν ὁ χρησμὸς διὰ τοὺς Μεγαρεῖς) ὑπῆρχον οἱ Ἰουδαῖοι παρὰ πᾶσι τοῖς γνωρίζουσιν αὐτοὺς ἔθνεσι· καὶ τοῦτο μαρτυροῦσι μὲν αἱ θεῖαι Γραφαὶ, ἀπέδειξε δὲ καὶ Ἰώσηπος, μάρτυρας παραστησάμενος « *τὰς Αἰγυπτίων καὶ Χαλδαίων καὶ Φοινίκων ἀρχαίας ἀναγραφάς* » (Α. κατ. Ἀπίων.). Καὶ παρ᾽ αὐτοῖς δὲ τοῖς Ἕλλησιν, ἀφ᾽ οὗ ἐγνώσθη ὕστερον τὸ ἰουδαϊκὸν ἔθνος, εὑρέθησαν ἄνδρες σοφοὶ καὶ φιλαλήθεις συγγραφεῖς, οἵτινες « *οὐ παρέργως αὐτῶν ἐμνημόνευσαν* » (αὐτόθ.). Καὶ οἱ Σπαρτιᾶται δὲ καὶ ἡ τῶν Ῥωμαίων Σύγκλητος ἐτίμησαν τὸ τῶν Ἰουδαίων ἔθνος δι᾽ ἐπιστολῶν· τὰς δὲ παρὰ τῶν βασιλέων τῆς Ἀλεξανδρείας καὶ τῆς Συρίας, καὶ παρ᾽ ἄλλων ἐθνῶν πρὸς αὐτοὺς τιμὰς καὶ συμμαχίας παραλείπομεν (Ἰώσ. Ἀρχ. ΙΒ, γ: ΙΓ, ι, 4: ιδ, 1, κτλ.). Προστιθέμεθα δὲ μόνον τὸ περὶ τοῦ Ὑρκανοῦ, τοῦ τῶν Ἰουδαίων ἀρχιερέως καὶ ἐθνάρχου, ψήφισμα τῶν Ἀθηναίων, οἵτινες ἐψηφίσαντο « τιμῆσαι τὸν ἄνδρα χρυσῷ στεφάνῳ, ἀριστείῳ κατὰ τὸν νόμον, καὶ στῆσαι αὐτοῦ εἰκόνα χαλκῆν ἐν τῷ τεμένει τοῦ δήμου καὶ τῶν Χαρίτων, ἀνειπεῖν δὲ τὸν στέφανον ἐν τῷ Θεάτρῳ, Διονυσίοις » κτλ. (παρ᾽ Ἰωσήπ. Αρχ. ΙΔ,

η, 5). Εἰ δέ τινες πάλιν τῶν Αἰγυπτίων αὐτῶν καὶ τῶν Ἀλεξανδρέων καὶ τῶν Ῥωμαίων, καὶ εἴ τινες ἄλλοι (ὕστερον καὶ μάλιστα μετὰ τὴν Ῥωμαίων ἐπικράτησιν) πολλὰ καὶ βλάσφημα κατὰ τῶν Ἰουδαίων ἐξήνεγκαν, ψεύδη συντιθέντες (τὰ μὲν ἐξ ἀμαθείας, τὰ δὲ καὶ δι' ἐμπάθειαν, ἢ κενοδοξίαν), καὶ ταῦτα ἄλλοι παρ' ἄλλων μεταγράφοντες ἀταλαιπώρως, ἀλλὰ καὶ τούτους ἡ ἀρχαιότης ἐξήλεγξε. Καὶ σοφῶς ἄρα καὶ δικαίως ὁ Ἰώσηπος ἀπεφήνατο καθόλου περὶ τῶν τοιούτων φιλολοιδόρων ἀνθρώπων, ὅτι, « *Βλασφημοῦσι μάλιστα τοῖς ἐνδοξάτοις προσπλεκόμενοι, τινὲς μὲν διὰ φθόνον καὶ κακοήθειαν, ἄλλοι δὲ διὰ τοῦ κενολογεῖν μνήμης ἀξιωθήσεσθαι νομίζοντες· παρὰ μὲν οὖν τοῖς ἀνοήτοις ταύτης οὐδαμῶς ἁμαρτάνουσι τῆς ἐλπίδος, οἱ δ' ὑγιαίνοντες τῇ κρίσει πολλὴν αὐτῶν μοχθηρίαν καταδικάζουσι* » (κ. Ἀπίων. Α, §. κδ). Ὅτι δὲ καὶ τὸ ἱεροπρεπὲς τῆς αὐτῶν νομοθεσίας, καὶ πρὶν ἐξελληνισθῶσιν οἱ νόμοι, ὑπῆρχεν ἀκουστὸν « *παρὰ τῷ ἡμίσει τμήματι τοῦ τῶν ἀνθρώπων γένους, τῷ βαρβαρικῷ* », καὶ ἀφ' οὗ ἐξελληνίσθησαν, « *ἐπεδείκνυντο ζηλωτοὶ καὶ περιμάχητοι καὶ ἰδιώταις καὶ ἡγεμόσιν* », εἶπε μὲν ὁ Φίλων ἀνακηρύξας ἐνώπιον Ἑλλήνων καὶ Ῥωμαίων (βίῳ Μωσ. β), λέγομεν δὲ καὶ ἀλλαχοῦ πλατύτερον. Ὥστε θαυμαστόν, πῶς ταῦτα μὲν καὶ τὰ τοιαῦτα ἐξεῤῥύησαν ἐκ τῆς μνήμης τοῦ πολυμαθεστάτου κριτικοῦ· ὁ δ' ἐπείθετο μᾶλλον χασμωμένοις τισὶ Σαλμέρωσι καὶ Σαβελλικοῖς!

Ἀλλὰ καὶ ὅσα τούτοις ἐναντία παραδείγματα παρεξήνεγκεν ἐκ τοῦ ταμείου τῆς εὐρείας αὐτοῦ μνήμης, καὶ ταῦτα λίαν ἐξέφερε γλίσχρα καὶ πενιχρά, καὶ σφόδρα φειδωλῇ κατηρίθμησε χειρί. Μόνα τὰ Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου διατάγματα ἐμνημόνευσεν, ὡς τιμῶντα τὴν θρησκείαν καὶ τὸν νόμον τῶν Ἰουδαίων. Καὶ ταῦτα δὲ μόλις ὁμολογήσας, ἔπειτα πάλιν εὐθὺς ἐπεχείρησεν ἀμαυρῶσαι· ἀλλὰ περὶ τούτων μὲν λέγομεν παρακατιόντες. Μετὰ δὲ τῶν μνημονευθέντων τριῶν τῆς Περσίας βασιλέων, προστεθείσθω ἐκ τῆς θείας Γραφῆς καὶ Ναβουχοδονόσορ ὁ Χαλδαῖος, ὅστις τοὺς τρεῖς Ἰουδαίους παῖδας ὠνόμασε « *δούλους τοῦ Θεοῦ τοῦ ὑψίστου* »

καὶ *τὸν θεὸν αὐτῶν τὸν ὕψιστον εὐλογεῖ*· καὶ δόγμα ἐξέδωκεν, ὅτι « *πᾶς λαὸς, φυλὴ, γλῶσσα, ἢ ἂν εἴπῃ βλασφημίαν κατὰ τοῦ θεοῦ* (τῶν τριῶν παίδων), *εἰς ἀπώλειαν ἔσονται* — *ὅτι οὐκ ἔστι θεὸς ἕτερος, ὅστις δυνήσεται ῥύσασθαι οὕτως* ». Καὶ πάλιν τὸν θεὸν τοῦ Δανιὴλ ὁμολογεῖ, ὅτι « *ἐπ᾽ ἀληθείας ὁ θεὸς ὑμῶν* (τῶν Ἰουδαίων) *αὐτός ἐστι θεὸς θεῶν, καὶ κύριος τῶν βασιλέων* ». Καὶ αὐτὸν δὲ τὸν Δανιὴλ (τὸν *ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῶν Ἰουδαίων*) ἀνεγνώρισεν, ὅτι ἔχει « *πνεῦμα θεοῦ ἅγιον* » κτλ. Ὡσαύτως καὶ ὁ Βαλτάσαρ, ὁ ἔσχατος Χαλδαίων βασιλεύς (α). Καὶ Δαρεῖος δὲ πάλιν, ὁ Μῆδος βασιλεὺς, τὸν Δανιὴλ « *δοῦλον θεοῦ τοῦ ζῶντος* » ἀποκαλεῖ. καὶ δόγμα γράφει πᾶσι τοῖς λαοῖς τῆς γῆς, « ἵνα ὦσι τρέμοντες *καὶ φοβούμενοι ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ Δανιήλ*· ὅτι αὐτός ἐστι θεὸς ζῶν, καὶ μένων εἰς αἰῶνας » (ϐ). Ὁ δὲ πάλιν Ἀχιὼρ, ὁ τῶν ἐθνικῶν Ἀμμωνιτῶν στρατηγὸς, ὁμολογεῖ πρὸς τὸν Χαλδαῖον ἀρχιστράτηγον Ὀλοφέρνην, ὅτι *οἱ Ἰουδαῖοι προσκυνοῦσι τῷ θεῷ τοῦ οὐρανοῦ, θεῷ ᾧ ἐπέγνωσαν* », καὶ τὰς εἰς αὐτοὺς θαυμαστὰς εὐεργεσίας τοῦ θεοῦ διηγεῖται (Ἰουδὶθ, ε, 5—21). Οὕτω καὶ Ἀρταξέρξης, ὁ τῆς Ἐσθὴρ σύζυγος, ἀνεκήρυξε πανδήμως τοὺς Ἰουδαίους « *υἱοὺς* (τουτ. παῖδας=δούλους) *τοῦ ὑψίστου, μεγίστου, ζῶντος θεοῦ*· (βλ. ὄπισθ. σελ. 595). Τὸ δ᾽ αὐτὸ καὶ Πτολεμαῖος ἐξεφώνησεν ὁ Φιλοπάτωρ, « *Ἀπολύσατε τοὺς* (οὓς εἰς θάνατον εἶχε συναθροίσας Ἰουδαίους) *υἱοὺς τοῦ παντοκράτορος, ἐπουρανίου θεοῦ ζῶντος* » (Γ. Μακκαϐ. ϛ, 28). Ἐὰν δὲ καὶ πρὸς τοὺς ἀνωτέρω χρόνους προσϐῶμεν, εὑρήσομεν καὶ ἄλλους ἐθνικοὺς ἀληθῆ τὸν παρ᾽ ἑβραίοις θεὸν ἀνομολογοῦντας. Οὕτως ὁ Ἀβιμέλεχ ἐπιγνοὺς, ὅτι « ὁ θεὸς ἦν μετὰ τοῦ Ἀβραὰμ ἐν πᾶσιν οἷς ἂν ποιῇ » — « Ὄμοσόν μοι (λέγει) *τὸν θεὸν*, μὴ ἀδικήσειν με » κτλ. (Γενέσ. κα, 22, 23). Ὁ Αἰγύπτιος Πεντεφρὴς ὁ κύριος τοῦ Ἰωσὴφ, « ᾔδει, ὅτι, *Κύριος ἦν μετ᾽ αὐτοῦ*, καὶ ὅσα

(α) Δανιὴλ ϐ, 47: γ, 26 κτλ. δ, 6 κτλ: ε, 14, κτλ.
(ϐ) Δανιὴλ ϛ, 20, κτξ. πρϐλ. Ἰώσηπ. Ἀρχ. Ι. ια.

ἂν ποιῇ, Κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ» (Γεν. λθ, 3), (α). Καὶ αὐτὸς ὁ Φαραὼ ἀνεκήρυξεν, ὅτι ὁ Ἰωσὴφ «*ἔχει πνεῦμα θεοῦ ἐν αὐτῷ—καὶ ὁ Θεὸς ἔδειξεν αὐτῷ πάντα*» (Γεν. μα, 38, 39). Τὸν δὲ μάντιν Βαλαὰμ τὰ ἔνδοξα μεγαλεῖα τοῦ Θεοῦ τοῦ Ἰσραὴλ ἀνυμνοῦντα, παραλείπομεν· διότι «*ὁ θεὸς ἐνέβαλεν εἰς τὸ στόμα αὐτοῦ ῥῆμα*» (Ἀριθμ. κγ, 16). Καὶ ἡ πόρνη δὲ Ῥαὰβ αἴγλην δεξαμένη θεογνωσίας, ὡμολόγει πρὸς τοὺς Ἰσραηλίτας, ὅτι «Κύριος

(α) Τὸ ἑβρ. αὐτόθ. ἔχει Ἰεχοβὰχ, ἢ Ἰαὼ (Iehovah, ἢ Iahvoh, τὸ τετράγραμμον ὄνομα τοῦ Θεοῦ) ὅπερ οἱ Ο, ὁ Κύριος συχνότατα ἑρμηνεύουσιν. — Ὁ δὲ κλεινὸς Κλέρικος «Οὐχ ἕπεταί (φησιν) ἐντεῦθεν, ὅτι ὁ Πεντεφρὴς ἐγνώριζε τὸν θεὸν τοῦ Ἰωσὴφ, ἀλλ' ὅτι ὁ Ἑβραῖος συγγραφεὺς διαλεγόμενος περὶ ἀνθρώπου ἐθνικοῦ, ἑβραϊκῷ ἐχρήσατο τρόπῳ τοῦ λέγειν. Οὕτω (λέγει) καὶ ἐν Α Βασ. κθ, 6, ὁ Ἀγχοὺς, βασιλεὺς τῶν Φυλισταίων, ὀμνύει «ζῇ Κύριος» (ὁ θεὸς τῶν Ἑβραίων Ἰεχοβάχ). Καὶ Ἀγχοὺς μὲν ὤμοσεν ὄνομά τινος θεοῦ τῶν Φυλισταίων· ὁ δὲ συγγραφεὺς ἐχρήσατο τῷ ἑβραϊκῷ τύπῳ· καθὼς (προστίθησιν ὁ Capell. not. crit. in. Exod VI, 2), καὶ εἴ τις κωμῳδίαν γράφων ἐν τῇ Τερεντίου καὶ τοῦ Πλαύτου λατινικῇ διαλέκτῳ, πρᾶξιν ἔχουσαν ληφθεῖσαν ἐκ τῆς παλαιᾶς Γραφῆς, εἰσάγει τὸν Ἀβραὰμ, ἢ τὸν Ἰσαὰκ, κτλ. ὀμνύοντας, Mecastor, Aedepol (νὴ τὸν Κάστορα, νὴ τὸν Πολυδεύκην), οὐχ ὅτι ὤμνυον κἀκεῖνοι οἱ ἅγιοι ἄνδρες τοὺς βεβήλους θεοὺς τῶν ἐθνικῶν, ἀλλ' ἵνα παραστήσῃ μόνον, ὅτι καὶ τότε παρ' Ἑβραίοις ἐχρῶντο συνήθως ὁρκωμοσίαις τισὶν, ὡς καὶ παρὰ λατίνοις» (βλ. I. Clerici Art. Critic. p. 137. Lond. 1698). Τοιαῦτα οἱ σοφοὶ οὗτοι κριτικοί.! Ἀλλ' ὅτι μὲν ἐσφάλησαν μέγα σφάλμα, δείκνυσιν αὐτὸ τὸ κείμενον τῆς θείας Γραφῆς. Ὁ αὐτὸς Ἑβραῖος συγγραφεὺς (ὁ θεῖος Μωϋσῆς) ὅστις εἶπε πρὸ μικροῦ «Καὶ ἦν Κύριος μετὰ τοῦ Ἰωσὴφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων», — προστίθησιν εὐθὺς καὶ τὸ «Καὶ ᾔδει ὁ κύριος αὐτοῦ, ὅτι Κύριος ἦν μετ' αὐτοῦ» κτλ (Γεν. ἔνθ. ἀνωτ.). Πῶς λοιπὸν ὁ θεόπτης ἐπὶ τῆς κυρίας σημασίας πρότερον χρησάμενος τῷ Κύριος (Ἰεχοβὰχ), ἔπειτα περὶ τοῦ Πεντεφρῆ ἐχρήσατο τῷ αὐτῷ προσκυνητῷ ὀνόματι τοῦ Θεοῦ ἐπί τινος ψευδωνύμου θεοῦ τοῦ Πεντεφρῆ; Ἀλλ' ὁ μὲν θεῖος Προφήτης καὶ ὧδε, καὶ Γεν. κα, 22 (βλ. ἀνωτ.) ἐπὶ τῆς αὐτῆς φράσεως ἐξέφερε τὸ ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ κατὰ τὴν κυρίαν αὐτοῦ σημασίαν· οὕτω κεῖται καὶ ἐν Α. Βασ. κθ (βλ. ἀνωτ.). Καὶ ὁ Πεντεφρὴς διέβλεπεν ἐν τῷ θεοφιλεστάτῳ Ἰωσὴφ ἀκτῖνα θεογνωσίας (ἥτις καὶ ἄλλοις ἐπέλαμψεν ἐθνικοῖς). Ὡσαύτως καὶ Ἀγχοὺς ἐν τῷ Δαβὶδ (οὗτος δὲ καὶ ἐκ παραδόσεως ἐγίνωσκε τὸν θεὸν τῆς Κιβωτοῦ, ὅστις ἐμάστιξε τοὺς πατέρας αὐτοῦ· α, Βασ. ς). Ἡμεῖς δ' ἀπὸ καρδίας ἂν εὐξαίμεθα τοῖς ἡμετέροις φιλομαθέσι νέοις, μηδέποτε εἰς τοσαύτην κριτικὴν ἐλάσαι σοφίαν, ὥστε τιθέναι κωμῳδίας ἐκ τῶν θείων Γραφῶν, καὶ τοὺς θεοπάτορας πατριάρχας ἀναβιβάζειν εἰς τὸ θέατρον, ἐθνικῶν ὀμνύοντας ὅρκους! καὶ ταῦτα, ἵνα δείξωσι τί; ὅτι καὶ οἱ θεόπνευστοι προφῆται μετεχειρίζοντο καὶ ἐπὶ τῶν ψευδοθέων τὸ φοβερὸν ὄνομα τοῦ Θεοῦ!

ὁ θεὸς ὑμῶν, θεὸς ἐν οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω» (α). Οἱ δ' ἀλλόφυλοι Φυλισταῖοι θαυμάσαντες τὴν Κιβωτὸν, μετὰ φρίκης ἀνεβόων «*δόσετε τῷ Κυρίῳ δόξαν*», ὅτι οὗτος ὁ θεὸς ὁ πατάξας τὴν Αἴγυπτον καὶ τὸν Φαραὼ (Α, Βασ. Ϛ, 5). Ὁ Τύρου βασιλεὺς Χιρὰμ «*εὐλογεῖ τὸν Κύριον, τὸν θεὸν τοῦ Ἰσραὴλ*, ὃς ἐποίησε *τὸν οὐρανὸν καὶ τὴν γῆν* (Β, Παραλ. β. 12). Ὡσαύτως καὶ ἡ βασίλισσα Σαβὰ (Β, Παραλ. θ, 8: Γ, Βασ. ι, 9). Ἄδερ, ὁ Σύρων βασιλεὺς τιμᾷ τὸν Ἐλισσαῖον ὡς ἄνθρωπον *τοῦ θεοῦ*, καὶ Ἀζαὴλ ὁμοίως (Δ, Βασ. η, 7). Οἱ τὸν Ἰωνᾶν εἰς Θαρσὶς ναυστολοῦντες ἐθνικοὶ *ἐφοβήθησαν τὸν Κύριον* (τὸν Θεὸν τοῦ Ἰωνᾶ), *καὶ ἔθυσαν θυσίαν τῷ Κυρίῳ* (Ἰων. α, 16: καὶ Θεοδώρ. αὐτ.). Καὶ αὐτοὶ οἱ Νινευῖται ἀκούσαντες τοῦ Ἰωνᾶ τὸ κήρυγμα «*ἐπίστευσαν τῷ θεῷ*» (Ἰων. γ, 5), καὶ πάλιν (ἐπὶ Δαρείου) Σερασὰρ καὶ Ἀρβεσεσὲρ, ὁ βασιλεὺς (ἀλλόφυλοι κατοικοῦντες ἐν Σαμαρείᾳ) ἀπέστειλαν εἰς Βαιθὴλ ἐξιλάσασθαι τὸν Κύριον (Ζαχαρ. ζ, 2: καὶ Θεοδώρ. ἑρμην. αὐτ.). Οὕτως ὁ τῶν ὅλων Θεὸς καὶ παρ' αὐτῶν πολλάκις ἐπεγινώσκετο τῶν ἐθνικῶν, δι' ἣν καὶ πρὸς αὐτοὺς ἐπεδείκνυτο πρόνοιαν, «*ὡς οὐκ Ἰουδαίων θεὸς μόνον, ἀλλὰ καὶ ἐθνῶν*» (Ῥωμ. γ. 29). Καὶ ταῦτα μὲν ἐκ τῶν ἱερῶν βιβλίων.

§. ιή. Ἐκ δὲ τῆς κοσμικῆς ἱστορίας, ὅ,τε μέγας Ἀλέξανδρος παραγενόμενος εἰς Ἱεροσόλυμα ἀνῆλθεν εἰς τὸ ἱερὸν, καὶ ἔθυσε τῷ θεῷ· καὶ τὸ ἐπὶ τῆς κεφαλῆς τοῦ ἀρχιερέως τετραγράμματον ὄνομα τοῦ θεοῦ προσεκύνησεν, ὡς ἱστόρησεν ὁ Ἰώσηπος (Ἀρχ. ια, η, §. 3—6) (β). Καὶ ὁ τοῦ Φιλαδέλφου πατρῴζων υἱὸς Πτολε-

---

(α) Ἰησ. β, 11. πρβλ. Θεοδωρήτ. ἑρμην. εἰς Ἰωνᾶν, προοίμ. σελ. 718 τόμ. β. ἐκδ. Εὐγεν.

(β) Ἀποῤῥίπτει τὸ τοῦ Ἰωσήπου διήγημα ὡς ψευδὲς οὐ μόνον ὁ κριτικύλος Βανδάλης (l. c. cap. X. p. 75—79· ἐν οἷς οὐχ ἧττον ἀμαθῶς, ἢ στρεβλῶς καὶ παρεξηγεῖ τὰ τοῦ Ἰωσήπου), ἀλλὰ καὶ ἄλλοι, καὶ πρὸ τοῦ μεταγραφέως τούτου, καὶ πολὺ μετ' αὐτὸν, ἐπισημότεροι κριτικοὶ (οἷον Thomas Wagstaffe in Respons. ad LLoyd. Epist. ad Scherlock.—Ephemerid. Literat. Götting. 1781. p. 61.— καὶ ἄλλοι, καὶ ὁ ἄγγλος ἱστορικὸς Γίλλος, Gill, Hist. de la Grec. vol. 1. ect.). Ἀποδεικνύουσι δὲ τὸ ψεῦδος τοῦ ἱστορήματος ἐκ τοῦ ὅτι μήτ' Ἀῤῥιανὸς

μαῖος ὁ Εὐεργέτης παραγενόμενος εἰς Ἱεροσόλυμα, πολλάς, ὡς (τοῖς Ἰουδαίοις) νόμιμόν ἐστιν, ἐπετέλεσε θυσίας τῷ θεῷ (Ἰώσηπ. βλ. ὄπισθ. σελ. 549). Ὁ δὲ πάλιν Πτολεμαῖος ὁ Φιλομήτωρ ἐν τῇ

μήτε Διόδωρος, μήτε Πλούταρχος, μήτε Κύρτιος ὁ Ῥωμαῖος, οἱ τὰ κατ' Ἀλέξανδρον ἱστορήσαντες μνημονεύουσι περὶ τούτου. Ἀλλὰ πρῶτον μὲν (ἀπαντῶμεν) οἱ καθ' ἡμᾶς οὗτοι σωζόμενοι συγγραφεῖς ἀντέγραψαν ἐκ τῶν προγενεστέρων ἱστορικῶν (ὡς καὶ Ἀῤῥιανὸς ἐκ τοῦ Πτολεμαίου τοῦ Λαγίδου)· ὥστε, εἴ τι οὗτοι οἱ πρῶτοι κατὰ τύχην παρεσιώπησαν, τοῦτο παρέλιπον καὶ οἱ ἐξ αὐτῶν ἀπανθίσαντες τὴν Ἀλεξάνδρου ἱστορίαν. Ἔπειτα, καὶ ἐξ αὐτῶν τινες ἱστοροῦσιν, ὅσα ματαίως ζητήσεις παρὰ τοῖς ἄλλοις, ἢ καὶ ἄλλως πως εὑρήσεις ἱστορούμενα, τὰ δὲ καὶ ὅλως ἀντιλέγοντα· οἷον ὁ μὲν Διόδωρος ἱστορεῖ τὴν Ἀμαζόνων βασίλισσαν συμμίξασαν Ἀλεξάνδρῳ (Διόδωρ. ιζ. §. 77. σελ. 220. τόμ. 6. Wess), Ἀῤῥιανὸς δὲ (Ἀναβ. ζ. 13), καὶ Στράβων (ια, 505), καὶ ἄλλοι παρὰ Πλουτάρχῳ (Ἀλεξ. μς) ἀντιλέγουσιν· αὐτὸς δὲ ὁ χρηστότατος Πλούταρχος ἐπαμφοτερίζει, λέγων· « Ταῦτα μὲν οὖν ἄν τις οὔτ' ἀπιστῶν, ἧττον, οὔτε πιστεύων, μᾶλλον Ἀλέξανδρον θαυμάσειε » (αὐτόθ.). Καὶ κατ' αὐτὸ τὸ ἔτος τῆς Ὀλυμπιάδος, ἐν ᾧ ἀπέθανεν ὁ Ἀλέξανδρος, διαφωνοῦσι (βλ. ὄπισθ. σελ. 196)· ἄλλα πολλὰ παραλείπομεν. Ἀλλ' οὐδ' ἐξ αὐτῆς τῆς σειρᾶς τῆς ἱστορίας ἐξελέγχεται ὡς ἄτοπον τὸ διήγημα. Ὁ Ἀλέξανδρος τὰ περὶ τὴν Γάζαν διοικήσας — παρῆλθεν εἰς Αἴγυπτον (Διόδ. ιζ. §. 49. Ἀῤῥιαν. γ, α. Ἰώσηπ. Ἀρχ. ια, η. 4—6). Οὐδὲν δὲ δυσχερές, εἰ μετὰ τὸ διοικῆσαι τὰ τῆς Γάζης, ἀνέβη καὶ εἰς τὴν ια, μίλλια περίπου ἀπέχουσαν πόλιν τῶν Ἱεροσολύμων (Ἰώσηπ. αὐτόθ.). Ἦν δὲ πάντως οὐκ ἀνήκουστος ἡ πόλις τῷ Ἀλεξάνδρῳ. Εἴγε καὶ Κλέαρχος, σύγχρονος αὐτῷ μαθητὴς Ἀριστοτέλους, ἐμνημόνευσε καὶ τῶν Ἰουδαίων, ὡς φιλοσόφων, καὶ τῆς πόλεως αὐτῶν ἐξ ὀνόματος. (Ἰωσ. α. Ἀπίων. §. κβ). Ὑπῆρχε δὲ καὶ ἄλλως ὠργισμένος κατὰ τῶν Ἰουδαίων ὁ Ἀλέξανδρος, ὅτι ἐφάνησαν πρὸς τὸν Δαρεῖον πιστοὶ διὰ τοὺς πρὸς ἐκεῖνον ὅρκους (Ἰώσ. Ἀρχ. αὐτόθ.). Ἴσως δὲ καὶ τὸ παρ' αὐτοῖς περίφημον ἱερὸν ἤθελε θεάσασθαι. Οἰκεῖον δὲ καὶ ἄλλως εἰς τὸ ἦθος τοῦ Ἀλεξάνδρου ἡ περὶ πάντα τὰ θεῖα τιμή· ὅστις, «καὶ ὅτε διαβὰς εἰς τὴν Ἀσίαν μετεπορεύετο τὴν Περσῶν ἀσέβειαν [ἴσ. γρ. ΤΗΝ] εἰς τοὺς Ἕλληνας, παρὰ μὲν τῶν ἀνθρώπων ἐπειράθη λαβεῖν δίκην,—τῶν δὲ τοῖς θεοῖς καταπεφημισμένων πάντων ἀπέσχετο » (Πολύβ. ε, 10). « Καὶ εἰς Μέμφιν ἐλθὼν, ἔθυσε τοῖς τε ἄλλοις θεοῖς καὶ τῷ Ἄπιδι » (Ἀῤῥιαν. γ. α). Τελευταῖον τὸ διήγημα τοῦ Ἰωσήπου μαρτυρεῖ καὶ Ἑκαταῖος ὁ Ἀβδηρίτης, ἱστορῶν ὅτι « Ἐτίμα (ὁ Ἀλέξανδρος) τὸ ἔθνος (τῶν Ἰουδαίων)· καὶ διὰ τὴν ἐπιείκειαν καὶ πίστιν ἣν αὐτῷ παρέσχον οἱ Ἰουδαῖοι, τὴν Σαμαρεῖτιν χώραν προσέθηκεν ἔχειν αὐτοῖς ἀφορολόγητον » (Ἑκατ. παρ' Ἰωσήπ. κ. Ἀπίων. 6. §. δ.). Ὁ δ' Ἀλέξανδρος διῆλθε διὰ τῆς Σαμαρείας ἐπανιὼν ἐκ τῶν Ἱεροσολύμων (Ἰώσηπ. Ἀρχ. ια, η. 6). Βεβαιοῦσι τὸ πρᾶγμα καὶ οἱ Ταλμουδικοὶ (in Ioma 69. καὶ Taanith c. 9), διορίζοντες καὶ τὸν μῆνα τῆς εἰς Ἱεροσόλυμα ἀναβάσεως τοῦ Ἀλεξάνδρου, τὸν παρ' αὐτοῖς Χασελὼν, ἢ Χασλεῦ, ἢ Χισλεῦ (Νοέμβριον), οὗτινος ἑώρταζον καὶ τὴν κα, εἰς ἀνάμνησιν, ὅτι κρίσει καὶ εὐνοίᾳ τοῦ Ἀλεξάνδρου ἐθριάμ-

πρὸς Ὀνίαν ἐπιστολῇ (ζητοῦντα κτίσαι ναὸν ἐν Αἰγύπτῳ), μετὰ πολλῆς ἔγραψεν εὐλαβείας τὰ ἐφεξῆς. « Θαυμάζομεν, εἰ ἔσται τῷ *θεῷ κεχαρισμένον τὸ ἱερὸν*, καθιδρυσόμενον ἐν ἀσελγεῖ τόπῳ—. Ἐπειδὴ δὲ σὺ φῂς *Ἡσαΐαν τὸν προφήτην τοῦτο προειρηκέναι*, συγχωροῦμέν σοι, εἰ μέλλει τοῦτο ἔσεσθαι κατὰ τὸν νόμον, *ὥστε μηδὲν ἡμᾶς δοκεῖν εἰς τὸν θεὸν ἐξημαρτηκέναι* » (παρ' Ἰωσήπ. Ἀρχ. ις, γ, 2). Καὶ Ἀντίοχος ὁ μέγας, Συρίας βασιλεὺς, ἐμαρτύρησε τὴν εἰς *θεὸν εὐσέβειαν* καὶ πίστιν τῶν Ἰουδαίων, καὶ τὴν *εἰς τὰς θυσίας σύνταξιν* παρέσχεν αὐτοῖς διὰ *τὴν εὐσέβειαν* (παρ' Ἰωσήπ. βλ. ὄπισθ. σελ 549). Καὶ Δημήτριος ὁ Νικάτωρ, « *ἅγιον τὸ ἱερὸν* » αὐτῶν ὁμολογεῖ (α). Ἀλλὰ καὶ ἔν τε τοῖς Καισάρων καὶ Αὐτοκρατόρων δόγμασι, καὶ ἐν ψηφίσμασι πόλεων ἑλληνικῶν πολλάκις ἀπαν-

---

θευσαν κατὰ τῶν ἐπιβουλευσαμένων Σαμαρειτῶν (Ἰώσηπ. αὐτόθ). Ἀλλὰ καὶ τὰ τοῦ ἱστορικοῦ Ἰουστίνου ἐκεῖνα « Alexandrum obviam cum infulis multos Orientis Reges habuisse (Iust. XI. 10), εἰς ταύτην τὴν Ἰωσήπου διήγησιν ἀφορῶσιν, ὡς ἀπεφήνατο δικαίως ὁ κλεινὸς Vossius (not. in. Just. l. c.). Καὶ Ὠριγένης ἀπεδέξατο τὸ ἱστόρημα λέγων· « Ὡς μηδ' ἐπ' Ἀλεξάνδρου τοῦ Μακεδόνος παθεῖν τι αὐτοὺς (τοὺς Ἰουδαίους) ὑπ' αὐτοῦ, καί τοι γε μὴ βουληθέντας, διά τινας συνθήκας καὶ ὅρκους, ἀναλαμβάνειν ὅπλα κατὰ Δαρείου Τότε φασὶ καὶ τὸν Ἰουδαίων ἀρχιερέα, ἐνδύντα τὴν ἱερατικὴν στολὴν, προσκεκυνῆσθαι ὑπὸ τοῦ Ἀλεξάνδρου, φάσκοντος αὐτῷ τούτῳ τῷ σχήματι ἑωρακέναι τινὰ ἐπαγγελλόμενον αὐτῷ κατὰ τοὺς ὕπνους ὑποτάξειν τὴν Ἀσίαν ὅλην. » (Ὠριγέν. κατ. Κέλσ. ε. σελ. 616). Συνομολογεῖ δὲ καὶ Εὐσέβιος (Χρονικ. β. σελ. 346 ἐκδ. Mediolan.), καὶ Ἱερώνυμος (Comm. in Daniel III. 46), καὶ Θεοδώρητος (Ἑρμην. εἰς Ἡσαΐ. Ξ. 10), καὶ Sulpicius Sever. (Hist. Sac. 11), καὶ Σύγκελλος χρονογ. (σελ. 496, Bon.), καὶ Ἱστοριῶν Συναγωγ. (παρὰ Σκαλιγήρῳ Thes. σελ. 368), κτλ. Ἀλλὰ καὶ τῶν νεωτέρων ἄνδρες ἐπίσημοι ἀντεῖπον πρὸς τοὺς ψευδίζοντας τὸ ἱστόρημα, πιθανώτατον αὐτὸ νομίζοντες, ὅπερ ἐκ παραδόσεως (ἴσως δὲ καὶ ἐκ τῆς Ἑκαταίου καὶ ἄλλων τότε σωζομένης ἱστορίας) εἶχε μαθὼν ὁ Ἰώσηπος Βλ. Ῥολλῖνον (Rollin Hist. ancien. T. 6. p. 346, sqq. Paris, 1737), καὶ V. Fassin. De Alexandr. M. ingr. Hierosol. Florent. 1780, καὶ Theoph. Chr. Harles Introduct. in Hist. L. Gr. Tom. 2. Part. I. p. 61, καὶ Segur. Hist. univers. Tom. 3. p. 380. πρβλ. καὶ Reland. καὶ ἄλλους Σχολ. εἰς Ἰωσηπ. ια, η, §. 4. p. 580 Hav.

(α) Δημ. παρ' Ἰωσήπ. Ἀρχ. ιγ. δ. §. 9. Οὕτω καὶ Ἀππιανὸς « ἁγιώτατον εἶπε τὸ ἱερὸν (Συριακ. βλ. ὄπισθ Κεφ. ΙΔ. §. η.). Ὁ δὲ Μνησίμαχος καὶ περὶ ὅλης τῆς Ἰουδαίας εἶπεν « ἀπὸ γᾶς ἁγίας ἀλίας Συρίας » (apud Hertel. p. 572. βλ. Demagistr. Diss. V. p. 546).

τῶμεν τιμὰς εἰς τὸν θεὸν καὶ τὰς ἱεροποιΐας καὶ τὰ νόμιμα τῶν Ἰουδαίων, ὡς ἕκαστος βλέπει παρ' Ἰωσήπῳ (Ἰουδ. Ἀρχ. ΙΒ, κεφ. ι, καὶ ιβ). Καὶ αὐτὸς ὁ Πομπήϊος τὴν πόλιν τῶν Ἱεροσολύμων κατὰ κράτος ἑλὼν, καὶ εἰς τὸν ναὸν εἰσελθὼν, καὶ εἰς αὐτὸ τὸ ἄδυτον (τὸ ἅγιον τῶν ἁγίων, ἔνθα μόνον τῷ ἀρχιερεῖ εἰσιέναι θεμιτὸν), καὶ πολὺν κειμηλίων χρυσὸν, καὶ τάλαντα δισχίλια χρημάτων ἱερῶν ἀποκείμενα θεασάμενος, ὅμως τούτων οὐδενὸς ἥψατο *δι' εὐσέβειαν* (ὡς ἔγραψεν Ἰώσηπος), σεβασθεὶς τὸ θεῖον· ὅθεν καὶ μετὰ μίαν ἀπὸ τῆς ἁλώσεως ἡμέραν καθᾶραί τε τὸ ἱερὸν τοῖς νεωκόροις ἐκέλευσε, καὶ τὰς ἐξ ἔθους ἐπιτελεῖν θυσίας· καὶ αὐτῶν δὲ τῶν Ἰουδαίων τὸ φιλόθρησκον ἀπεθαύμασε » (α). Τοσαῦτα καὶ ἐκ τῆς ἱστορίας.

Ὁ δὲ κλεινὸς Ὅδιος φαίνεται καὶ πρὸς ἑαυτὸν ἀντιλέγων. Ἔνθεν μὲν γὰρ καὶ πάνυ φιλοτίμως ἀνεκήρυξεν, ὅτι, « *πάντες παντὸς ἔθνους καὶ θρησκεύματος οἱ σοφοὶ*, ἕνα καὶ τὸν αὐτὸν τοῖς Ἰουδαίοις ὡμολόγουν θεόν ». Καὶ τοῦτο μὲν, ἴσως, τὸ καθολικὸν ἀξίωμα τοῦ δόκτωρος ἐπιδέχεται καί τινας ἐξαιρέσεις (ἐπειδὴ πάντως μετὰ τῶν σοφῶν τούτων, οὔτε τὸν ἄθεον Διαγόραν ἠρίθμει, οὔτε τοὺς περὶ τὸν Ἐπίκουρον, οὔτ' ἄλλους τινὰς τοιούτους ψευδομένους τ' ὄνομα τῆς φιλοσοφίας καὶ ἀρετῆς), πλὴν ἀλλ' ὅμως ἐπαινοῦμεν τὸν ἄνδρα, ὅτι καὶ ἄκων, ἴσως, ἀνέτρεψε δ' ὅμως ἐκ θεμελίων ὅσα κακῶς ἔγραψε προηγουμένως, συκοφαντῶν τὸν Ἀριστέαν ὡς ψευδογράφον, διότι οὗτος καὶ τὸν Φαληρέα καὶ τὸν Φιλάδελφον (ἄνδρας καὶ τούτους σοφοὺς) καὶ αὐτὸς ἑαυτὸν ἱστόρησε, σεβομένους τὰ παρ'

(α) Ἰώσηπ. Ἰουδ. πολ. Α. ζ. § 4—6. καὶ Ἀρχ. ιδ. δ. § 4. Ὁ δὲ Κικέρων (οὐ πάνυ τοι τοῖς Ἰουδαίοις εὐνοῶν) ἐπαινῶν καὶ αὐτὸς τὸν Πομπήϊον, ὅτι μηδόλως ἥψατο τοῦ ἱεροῦ, νομίζει μᾶλλον, ὅτι διὰ σύνεσιν προσηνέχθη οὕτως ἐγκρατῶς ὁ αὐτοκράτωρ στρατηγός· « ἵνα μὴ (φησὶν) ἐν οὕτω φιλυπόπτῳ καὶ κακολόγῳ πόλει χώραν καταλίπῃ τοῖς συκοφάνταις (obtrectatoribus). Οὐ γὰρ πιστεύω (προστίθησι) τὴν θρησκείαν, καὶ ταύτην οὖσαν Ἰουδαίων τε καὶ ἐχθρῶν, κώλυμα γενέσθαι τῷ ἀρίστῳ τῶν αὐτοκρατόρων· αἰδῶ δὲ μᾶλλον » (Non enim credo religionem et Iudaeorum et hostium impedimento praestantissimo Imperatore, sed pudorem fuisse. Cicer. Orat. pro Flacco). Ὥστε ἐλέγετο καὶ τοῦτο παρὰ τοῖς Ῥωμαίοις, ὅτι τὴν θρησκείαν τῶν Ἰουδαίων σεβασθεὶς ὁ Πομπήϊος, ἐφείσατο τοῦ ἱεροῦ, κἂν ἐπίστευεν ὁ Κικέρων, κἂν μή!

Ἰουδαίοις νενομισμένα σεπτὰ καὶ θεῖα! Ἀλλ᾽ ἑτέρωθεν πάλιν ὁ κριτικὸς τά τε παραδείγματα τῶν προφανῶς τιμησάντων *τὸν ἐν Ἰουδαίᾳ γνωστὸν θεὸν* φειδωλότατα (καθὼς προείπομεν) ἐμνημόνευσε, μόλις ἐπὶ τῶν τριῶν δακτύλων τῆς χειρὸς ἀριθμήσας, καὶ ταῦτα πάλιν παρὰ πόδας ἐξασθενίζει (α). Ἀπορεῖ πῶς ὁ Ἀρταξέρξης ἐνόμιζε θεόσδοτον τὸν νόμον τῶν Ἰουδαίων! ὡς ἂν εἴπερ ἡ Μωσαϊκὴ ἱστορία ὑπῆρχεν ἄγνωστος παντάπασι καὶ ἀνήκουστος εἰς τὸν τοσούτων μυριάδων Ἰουδαίων βασιλεύοντα Πέρσην, ἐξ ὧν εἶχε καὶ θεράποντας ἐν αὐτοῖς αὐτοῦ τοῖς βασιλείοις! Ὁ δὲ κριτικὸς τὴν οὕτω προφανῆ καὶ φυσικὴν αἰτίαν ὑπεριδών, αἰτιᾶται τὸν γραφέα τῆς βασιλικῆς ἐπιστολῆς, ὡς Ἰουδαῖον ὄντα, καὶ δολίως τὸ καθ᾽ ἑαυτὸν φρόνημα παρεμβύσαντα εἰς αὐτήν. Ἀλλὰ πρῶτον μέν, πόθεν ἔμαθεν ὁ σοφός, ὅτι ὁ γράψας τὸ διάταγμα ὑπῆρχε παῖς Ἑβραίων; Καὶ οὗτος τοσοῦτον τολμηρός, ὥστε τοιαῦτα γράφειν καὶ παρεμβύειν ἐν τοῖς διατάγμασιν, ἀγνοοῦντος τοῦ βασιλέως; Ἀλλὰ τοῦτ᾽ ἂν εἴη τὸ αὐτό, ὡς καὶ ἄν τις λέγῃ παρομοίως, ὅτι καὶ τὴν σήμερον Ἰουδαῖός τις, ἢ χριστιανός, γραμματεύων παρὰ τῷ Πέρσῃ, ἢ καὶ τῷ Σουλτάνῳ τοῦ Μαρόκου, τολμᾷ καὶ

(α) Ὁ Ὅδιος ἐμνημόνευσεν ἐν παρόδῳ καὶ τὴν παρ᾽ Ἰωσήπῳ τοῦ Φιλομήτορος πρὸς Ὀνίαν (περὶ τοῦ κατ᾽ Αἴγυπτον ναοῦ) προδιαληφθεῖσαν ἀνωτέρω ἐπιστολήν. « Ἀλλὰ καὶ ταύτην (λέγει), καὶ ὅσα τοιαῦτα, οὐ δύναμαι μὴ πιστεύειν ὑπό τινος Ἰουδαίου πεπλάσθαι » (Hody pag. 76). Ἀλλ᾽ ὁ μὲν Ἰουδαῖος Ἀρχαιολόγος συγγράφων μάλιστα διὰ τοὺς Ἕλληνας (« ἐπειδή, λέγει, μέλλουσιν αἱ τῶν ἡμετέρων πράξεων ἀναγραφαὶ τὸ πλέον εἰς τοὺς Ἕλληνας ἰέναι » Ἀρχ. ιϛ. ϛ. §. 8), καὶ πολλοὺς ἔχων πάντοτε τοὺς συκοφάντας τῶν Ἰουδαίων, οὐκ ἠδύνατο μὴ τὰ βέβαια καὶ ὁμολογούμενα γράφειν, « δεικνὺς ὅτι πάσης τιμῆς ἄνωθεν οἱ Ἰουδαῖοι ἐπιτυγχάνοντες, οὐδὲν τῶν πατρίων ἐκωλύθησαν ὑπὸ τῶν ἀρχόντων πράττειν· ἀλλὰ καὶ συνειργοῦντο τὰ τῆς θρησκείας ἔχοντες, καὶ τῶν εἰς τὸν θεὸν τιμῶν » (αὐτόθ.). Ὅσον δὲ ἐκ τῆς Ὁδιακῆς καὶ Βανδαλείου κριτικῆς, εἴπερ ἔμενεν ἐπ᾽ αὐτῇ ἡ διάκρισις τῶν γνησίων τε καὶ μή, οὐδὲ τὸ πολλοστημόριον ἂν εἴχομεν μή τοι γε τῆς Ἰωσήπου, ἀλλὰ καὶ ἄλλων πολλῶν συγγραφῶν, ὅσαι ἀντιβαίνουσι πρὸς τὰς αὐτῶν παραδοξίας. Καὶ αὐτοῦ δὲ τοῦ Ἔσδρα ἡ βίβλος (ἐν ᾗ τὰ Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου σῴζονται διατάγματα) εἰ μὴ καὶ παρ᾽ Ἑβραίοις κανονικὴ καὶ θεόπνευστος ἐλογίζετο, καὶ ταύτην ἂν οἱ κριτικοί, μηδὲν μελλήσαντες, ἐξέῤῥιπτον εὐθὺς εἰς τὸ Κυνόσαργες τῆς νοθείας, ὡς καὶ τὴν Β, τῶν Μακκαβαίων, συνάμα μετὰ τῆς ἱστορίας τοῦ Ἀριστέου!

γράφει ὡς ἐξ αὐτοῦ δῆθεν τοῦ ἡγεμόνος ἐπιστολὴν, ὁμολογοῦσαν θείας εἶναι πάσας τὰς προφητείας τῶν Ἰουδαίων! Ἔπειτα καὶ σφόδρα πολλὴν ἄνοιαν, ἢ ἀναισθησίαν κατέχεεν ὁ κριτικὸς οὐ μόνον αὐτοῦ τοῦ βασιλέως (ὑπογράφοντος πᾶν τὸ προσαγόμενον ἄνευ ἀναγνώσεως), ἀλλὰ καὶ τῶν ἄλλων τῶν περὶ αὐτὸν ὁμογενῶν καὶ ἐν τοῖς πράγμασι Περσῶν, οἵτινες οὐδόλως λοιπὸν ἠπίςαντο, οὐδ᾽ ἐξήταζον ὅ,τι πότ᾽ ἐγράφετο ὡς ἐκ προσώπου τοῦ βασιλέως, καὶ ἀπετίθετο ἐν τοῖς ἀρχείοις τῆς βασιλείας! Ἀλλ᾽ οὕτως ὁ ἀνὴρ κινδυνεύει, μὴ μόνον αὐτό τε τοῦ Ἀρταξέρξου καὶ τὸ τοῦ Δαρείου περὶ τοῦ ναοῦ προεκδοθὲν διάταγμα (ὅπερ καὶ αὐτὸ ἐτηρεῖτο ἐν τοῖς βασιλικοῖς χαρτοφυλακείοις. Ἔσδρ. ϛ, 1), ὡς ὑπόνοθα καὶ διεσκευασμένα ὑπό τινος Ἰουδαίου γραμματέως κατεξελέγξαι, ἀλλὰ κᾀκεῖνα παρομοίως τὰ πρὸς τιμὴν καὶ μνήμην τοῦ Μαρδοχαίου γραφέντα ἐν τοῖς ὑπομνήμασιν, ἢ *μνημοσύνοις γράμμασι*, τῶν αὐτοῦ τοῦ Ἀρταξέρξου χρονικῶν (Ἐσθὴρ ϛ, 1. κτλ.)· διότι καὶ ὁ Μαρδοχαῖος Ἰουδαῖος ἦν, καὶ τὰ δι᾽ αὐτὸν ἀπομνημονευθέντα ῥαδίως ἂν ἐχαλκεύθησαν ὑπό τινος Ἰουδαίου, γραμματέως καὶ τότε τυχόντος (καὶ μάλιστα ἐν ᾧ ἐβασίλευεν ἡ Ἐσθὴρ!)· ἢ τί διαφέρει τῶν προκειμένων οὗτος ὁ παραλογισμός; Ἀλλ᾽ ἔπρεπεν ἆρά γε εἰς τὸν σοφὸν τοῦ Ὀξωνίου Ἀρχιδιάκονον, οὕτως ὕποπτα καὶ διεσκευασμένα, καὶ (ὅσον ἐκ τούτων δὴ τῶν παρεγγράπτων τάχα φωνῶν) ψευδεπίγραφα παριστᾷν καὶ δεδολωμένα τὰ χωρία τῶν κανονικῶν βιβλίων τῆς Γραφῆς; Ἀστεῖος δέ τις φαίνεται προστιθεὶς, καὶ ὅτι θείᾳ τινὶ χάριτι φωτισθεὶς ὁ Ἀρταξέρξης, ἐπίστευε θεόσδοτον τὸν Ἰουδαίων νόμον, καθὼς καὶ πρὸς τὴν οἰκοδομὴν τοῦ ναοῦ κατὰ θείαν βούλησιν ἐκινήθησαν οἱ περὶ τοῦ Κῦρον»! — Ἀλλὰ τοῦτο μὲν εἶπεν ἡ Γραφὴ ῥητῶς, ὅτι «ἐξήγειρε Κύριος τὸ πνεῦμα Κύρου» (α), καὶ ὅτι ὁ ναὸς ἀνῳκοδομήθη «*ἀπὸ γνώμης Θεοῦ Ἰσραὴλ, καὶ ἀπὸ γνώμης Κύρου καὶ Δαρείου καὶ Ἀρθασασθᾶ (Ἀρταξέρξου) βασιλέως Περσῶν* (β). Εἰ δὲ καὶ τὸ πρὸς τὸν νόμον καὶ τὸν θεὸν τῶν Ἰουδαίων

(α) Β. Παραλ. λϛ. 22. Ἔσδρ. α, 1. Ἡσαΐ. με, 1.
(β) Ἔσδρ. ϛ, 14.

σέβας τοῦ Ἀρταξέρξου εἰς τὴν θείαν βούλησιν Ὅδιος ἀναφέρει, τί μὴ παρομοίως μεταδίδωσι τῆς τοιαύτης χάριτος καὶ τῷ Δαρείῳ καὶ τῷ Κύρῳ, καὶ πᾶσι δὲ προσέτι τοῖς (ὡς εἶπε) πάντων τῶν ἐθνῶν σοφοῖς, *ὅσοι ἐπεγίνωσκον τὸν αὐτὸν τοῖς Ἰουδαίοις θεόν*; Οὕτω δὲ τιμῶν τοὺς ἐκ παντοίων ἐθνῶν σοφούς, διὰ τί πάλιν ἐφθόνησε ταύτης τῆς τιμῆς μόνῳ τῷ Φιλαδέλφῳ καὶ τῷ Φαληρεῖ καὶ τῷ Ἀριστέᾳ; Ἀλλ' ἴσως ἐτίμησεν ἐξαιρέτως τοὺς περὶ τὸν Ἀρταξέρξην καὶ Δαρεῖον καὶ τὸν Κῦρον, ὡς συνεργήσαντας εἰς τοῦ προσκαίρου ναοῦ τὴν κατασκευήν. Καὶ πῶς; μὴ γὰρ τούτων ὀλιγώτερον ὑπηρέτησαν τῇ θείᾳ βουλῇ οἱ περὶ τὸν Φιλάδελφον, κατασκευάσαντες τὸν ἀκατάλυτον ναὸν τῆς ἑρμηνείας τῶν Γραφῶν, εἰς διάδοσιν τοῦ θείου λόγου καὶ προπαρασκευὴν τῶν ἐθνῶν πρὸς ὑποδοχὴν τοῦ Εὐαγγελίου; Ἀλλ' ἡμεῖς παρὰ μυρίους τοιούτους κριτικοὺς πολὺ μᾶλλον ἀξιοπίστους νομίζομεν τοὺς Χρυσοστόμους καὶ Εὐσεβίους καὶ τοὺς Στρωματεῖς Κλήμεντας, οἵτινες « *θεῖόν τι βούλημα μεμελετημένον εἰς ἑλληνικὰς ἀκοὰς* » ἀπεφήναντο τὴν ἑρμηνείαν (α). Ὅθεν καὶ οἱ ταύτῃ καθυπερετήσαντες ἐθνικοί, θείᾳ τινὶ μοίρᾳ ἐσεβάσθησαν καὶ ἐτίμησαν αὐτόν τε τὸν θεόν, καὶ τὸν νόμον τῶν Ἰουδαίων (βλ. καὶ ἐφεξῆς κεφ. κα. §. γ.).

§. ιθ'. Τελευταῖον οἱ περὶ τὸν Ὅδιον συμπεραίνουσιν, ὅτι οὐδ' εἰς τὴν Ἑκαταίου τοῦ Ἀβδηρίτου συγγραφὴν (καὶ ταύτην, λέγουσιν, ὑπό τινος Ἰουδαίου συντεθειμένην, ὡς ὑπώπτευσε καὶ Ἑρέννιος. βλ. ὄπισθ. κεφ. ιδ. §. ε. καὶ ι.), οὐδ' εἰς ἐκείνην ἐνυπῆρχέ τι παρόμοιον ὧν ἔγραψεν Ἀριστέας, ὑπερεπαινῶν τὰ Ἰουδαϊκά. Καὶ τοῦτο (λέγουσι) φαίνεται σαφῶς ἐκ τοῦ Ἰωσήπου, ὅστις (ἐν τῷ Α. κατὰ Ἀπίωνος) πολλὰ τῶν Ἑκαταίου μνημονεύων ἀποσπασμάτων, οὐδὲν ἔχει τοιοῦτο, καίτοι πάντως ἐκλεξάμενος τὰ μέγιστα συμβάλλοντα πρὸς τιμὴν τῶν Ἰουδαίων. Καὶ παρ' αὐτῷ δὲ τῷ Ἀριστέᾳ ὁ Ἑκαταῖος οὐδὲν ἕτερον εἰσάγεται λέγων, εἰμὴ τοῦτο μόνον « *ἁγνήν τινα εἶναι καὶ σεμνὴν τὴν ἐν τούτοις* (τοῖς Ἑβραϊκοῖς βιβλίοις)

(α) Κλήμ. Στρωματ. Α. σελ. 250. πρβλ. Εὐσεβ. Εὐαγγ. Προπαρ. η. σελ. 205 καὶ Χρυσοστόμ. τόμ. ς. σελ. 183 Venet. κτλ.

θεωρίαν ». Ἐγὼ δὲ, τέλος, (προστίθησιν Ὅδιος, οἷον ἀνακεφαλαιῶν τὰ προειρημένα) καταλείπω τῷ ἀναγνώστῃ τὴν ἐκλογὴν ἐλευθέραν, καὶ κεῖται παρ᾽ αὐτῷ προτιμῆσαι καὶ ἀσπάσασθαι, ὅ,τι τῶν εἰρημένων ἀρεστὸν αὐτῷ δόξῃ. Οἱ Ἰουδαῖοι καλοῦνται παρὰ τοῖς Αἰγυπτίοις *ἄνθρωποι θεοῦ*. Τῶν Ἰουδαϊκῶν βιβλίων ἡ θεωρία ἐκίνησε τὸν βασιλέα Πτολεμαῖον *εἰς κλαυθμὸν καὶ δάκρυα*. Καὶ αὐτὸς οὗτος ὁ βασιλεὺς, καὶ Δημήτριος, καὶ *Μενέδημος* μετὰ τῶν λοιπῶν φιλοσόφων πιστεύουσι καὶ κηρύττουσι *τὸν Μωσέως νόμον ὑπὸ θεοῦ τε κεκυρωμένον*, καὶ πάντων τῶν ἄλλων προτιμητέον. Τὰ δ᾽ οὖν ὑπὸ τοῦ Δημητρίου μνημονευθέντα διηγήματα, τὰ περὶ Θεοπόμπου καὶ Θεοδέκτου, πιστευέτω ὅστις θέλει· « *πιστευέτω Ἰουδαῖος λιπόδερμος* », *οὐκ ἐγώ !* » (α). Ταῦτα καταῤῥαψῳδήσας ὁ Ὅδιος, συγκαλεῖ καὶ τὸν Σιμώνιον, καὶ τὸν Χαμιῆρον, καὶ τὸν Βαίλλιον, καὶ τὸν Βοβέριον, καὶ πάντα τῶν ὁμογνωμόνων τὸν θίασον, καὶ κατορχοῦνται τοῦ Ἀριστέου, καὶ καγχάζουσι στωμύλλοντες τὰς περικόμψους ὑπονοίας, καὶ στεφανοῦσιν ἀλλήλους, ὡς ἀοιδίμους εὑρέτας τῆς ἀληθείας!

§. κ΄. Ἀλλ᾽ ἐὰν μεταξὺ τῶν κρότων τούτων ἀκούηται καὶ σμικρά τις καὶ ὀλιγοστὴ βραχυλόγου ἀπαντήσεως φωνὴ, ὁ μὲν Ἑκαταῖος εἰς τοσοῦτον τοὺς Ἰουδαίους ἐπῄνεσεν, ὥστε καὶ αὐτὸς ὁ μισιουδαῖος Ἑρέννιος ἀγανακτῶν, διέβαλε τὸν ἱστορικὸν, « *ὡς ὑπὸ τῆς Ἰουδαίων πιθανότητος συναρπασθέντα* » (βλ. ὄπισθ. σελ. 469). Ὁ δὲ πάλιν Ἰώσηπος οὔτε *πολλὰ* (καθὼς λέγουσι) τῶν Ἑκαταίου χωρίων ἐμνημόνευσε, καὶ ὅσα *κεφαλαιωδῶς ἐπέδραμεν* ἱκανῶς μαρτυροῦσι τὴν πρὸς Ἰουδαίους τιμὴν τοῦ Ἕλληνος ἱστορικοῦ. Καὶ αὐτὴ δὲ ἡ παρὰ τῷ Ἀριστέᾳ περὶ τῆς *ἁγνῆς καὶ σεμνῆς* τῶν Ἰουδαίων νομοθεσίας μαρτυρία τοῦ Ἑκαταίου λίαν ἐμφαντικῶς ἐξηγεῖ τὸ σέβας αὐτοῦ τὸ πρὸς τὰς θείας Γραφάς. Τὴν δ᾽ αὐτὴν τοῦ Ἑκαταίου μαρτυρίαν

(α) Ἡμίστιχον Ὁρατίου « Credat Iudaeus apella » (Hor. Lib. I. Sat. 5. v. 100). *παροιμία ἐπὶ τῶν εὐπίστων*. Τὸ δὲ apella *οἱ μὲν εἶπον κύριον, ὁ Ἀπελλῆς (ἀπό τινος εὐήθους Ἰουδαίου καὶ μωροῦ)· οἱ δὲ (πιθανώτερον) παρὰ τὸ* pellis, *τὸ δέρμα (τὸ ἑλλην. πέλος, ἢ πέλλος, πέλλα, ὅθεν καὶ ἄ π ε λ ο ς, ἐπὶ ἕλκους μήπω συνουλωθέντος).*

ἐπανέλαβε καὶ Ἰώσηπος, τὸν Ἀριστέα συνοψίζων· καὶ ἀνέγνω δὲ ταύτην πάντως καὶ κατ᾽ αὐτὴν, ἣν μετὰ χεῖρας ὁλόκληρον εἶχε, τὴν Ἑκαταίου συγγραφήν. Καὶ ὅμως ὁ Ἰώσηπος οὐδὲν ἐξ αὐτῆς τοιοῦτο κατ᾽ Ἀριστέου πόρισμα συνήγαγεν, οὐδ᾽ ὑπενόησεν ὅλως, ὁποῖον οἱ περὶ τὸν Ὅδιον ἐφαντάσθησαν, ὁρμηθέντες ἐκ μόνων τῶν παρ᾽ αὐτῷ τῷ Ἰωσήπῳ πάλιν ἀποσωθέντων ὀλίγων καὶ βραχέων ἐξ αὐτῆς περικοπῶν. Ἔπειτα, τί κοινὸν μεταξὺ τῆς περὶ Ἰουδαίων συγγραφῆς τοῦ Ἑκαταίου, καὶ τῆς Ἀριστέου ἱστορίας; μὴ γὰρ ἐπραγματεύσαντο ἀμφότεροι τὴν αὐτὴν ὑπόθεσιν τῆς ἑρμηνείας τῶν Γραφῶν; Τελευταῖον, ὅλον τοῦτο τὸ ἐξ Ἑκαταίου ἐπιχείρημα τῶν Ὁδιακῶν, καὶ κατ᾽ αὐτὴν αὐτῶν τὴν κρίσιν, λίαν φαίνεται σχολαστικὸν, ὡς μηδὲν ὑγιὲς συμπεραῖνον. Εἴ περ ὁ Ἑκαταῖος οὐκ ἔγραψε πολλοὺς, καὶ ὅσους ὁ Ἀριστέας, ἐπαίνους περὶ τῶν Ἰουδαίων, ὑπῆρχε δὲ (κατ᾽ αὐτοὺς) γνήσιος Ἰουδαῖος οὗτος ὁ ψευδώνυμος Ἑκαταῖος, τί μέλει, ἢ τί βλάπτει τὸν Ἀριστέαν, διότι εἷς τις Ἰουδαῖος ἐπήνεσε τοὺς ἰδίους ὁμογενεῖς ὀλιγώτερον ἢ αὐτὸς, Ἕλλην ὢν, ὁ Ἀριστέας; ἢ μήπως καὶ οἱ προῤῥηθέντες Περσῶν βασιλεῖς καὶ αὐτὸς ὁ Ναβουχοδονόσορ ἐξελέγχονται ψευδόμενοι, διότι τετιμήκασι καὶ τὸν Θεὸν καὶ τὸν νόμον τῶν Ἰουδαίων ἐκφαντικώτερον παρὰ τὸν Ἑκαταῖον;

§. κά. Τοσαῦτα καὶ περὶ τούτων. Περὶ δὲ τῶν, ὅσων ἐμπαικτικῶς (καὶ μετά τινων ἐπιτάσεων καὶ ὑπερβολῶν) ἀνεκεφαλαίωσεν ὁ Ὅδιος, καταλείπων ταῦτα δῆθεν εἰς τὴν κρίσιν τοῦ ἀναγνώστου (βλ. σελ. 609), καὶ περὶ αὐτῶν δὲ τῶν Θεοδέκτου καὶ Θεοπόμπου διηγημάτων, ἀπηντήσαμεν ἐν τοῖς προηγουμένοις. Οἱ δὲ περὶ τὸν ἔνδοξον κριτικὸν ἐπιγελάτωσαν, ὅσον θέλουσι· « *γέλωτος οὐδεὶς φθόνος* »! Ἀλλ᾽ ὅμως μὴ καυχάσθωσαν καὶ ὡς δῆθεν ὑπερβατικοὶ καὶ ὑψηλότεροι τῆς τῶν *λιποδέρμων Ἰουδαίων* εὐπιστίας! καθότι αὐτοὶ μάλιστα τοὺς Ἰουδαίους Ῥαββίνους φέρουσι συχνῶς ἐπὶ κεφαλῆς ὑποφήτας καὶ διδασκάλους, οὐ μόνον ἐν ταῖς κριτικαῖς καὶ φιλολογικαῖς αὐτῶν ἀντιλογίαις, ἀλλὰ καὶ εἰς τὴν ἑρμηνείαν καὶ αὐτῶν πολλάκις τῶν θειοτάτων ἐννοιῶν τῆς παλαιᾶς Γραφῆς. Σὺ

δὲ, φίλε ἀναγνῶστα, εἶδες καὶ τὰ παρ' αὐτοῖς νομιζόμενα ψευδῆ καὶ καταγέλαστα, καὶ τὰς ἡμετέρας περὶ τούτων ἁπλοϊκὰς ἀπαντήσεις· κρῖνον τὸ δοκοῦν· καὶ ἢ γέλα μετ' αὐτῶν, ἢ μεθ' ἡμῶν ἐπεύχου,

Νικᾶν μὲν μήτε θράσος, μήτε λάλον σοφίαν,
Ἀλλὰ σεμνὴν ἀλήθειαν, ἄνασσαν ἁγνῶν ὀργίων,
Νικᾶν δὲ σώτειραν αἰδῶ παρ' ἀνδράσι σώφροσι.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περί τινων ἄλλων κατ' Ἀριστέου προβαλλομένων ἀντιῤῥήσεων, αἵτινες προτείνονται ὡς ἀμφίβολοι.

§. α΄. Συντελέσας ὁ κλεινὸς Ὅδιος τάς τε πρώτας καὶ ἰσχυρὰς, καὶ τὰς δευτερευούσας ἀποδείξεις τῆς Ἀριστέου νοθείας, παρατίθησιν ἤδη χαριέντως, ὡς ἡδέα καὶ καλὰ μετὰ τράπεζαν λαμπρὰν ἐπιδόρπια τραγήματα, καί τινας ἄλλας παρ' ἀνδρῶν σοφῶν κατ' Ἀριστέου κατηγορίας, ἅς τινας αὐτὸς μὲν ἀμφιβόλους εὑρίσκει καὶ ἀσθενεῖς καὶ δυσδοκιμάστους, καθυποβάλλει δὲ ὅμως καὶ ταύτας εἰς τὴν κρίσιν τῶν ἀναγινωσκόντων, ἵνα πλῆρες αὐτῷ τὸ συμπόσιον ᾖ· καὶ, ἐπειδὴ *ἐμεθύσθησαν* ἤδη οἱ δαιτυμόνες ἐκ *τοῦ καλοῦ* τῶν βεβαίων ἀποδείξεων ἀνθοσμίου, μὴ μείνωσιν ἄγευστοι *μηδὲ τοῦ ἐλάσσονος* καὶ δευτερίου τῶν ἀντιλεγομένων! Ἐκτιθέμεθα τοίνυν καὶ ταύτας τὰς ἀντιῤῥήσεις ἁπάσας κατὰ μὲν τὴν ἔννοιαν ἀκριβῶς, συντομώτερον δὲ καὶ τροχάδην διεξιόντες, ὡς ὀλίγα λείψανα κυμάτων, ὁποῖα, μετὰ μακρὰν καὶ βαρύκτυπον τρικυμίαν ἀφυβρίσαν ἤδη τὸ πέλαγος, ἐξερεύγεται κωφὰ καὶ ἀσθενῆ, καὶ μόλις περιφλύζοντα παρὰ τὸν αἰγιαλόν.

§. β΄. Πρῶτον. Ἐσκανδαλίσθησαν οἱ κριτικοὶ (καὶ πρώτιστος πάλιν ὁ ἐν ὑπονοίαις γηράσας σοφώτατος Σκαλίγηρος), « ὅτι τοὺς ΟΒ, πρεσβυτέρους ἑρμηνεῖς ἱστόρησεν ὁ Ἀριστέας ἐκλεγέντας ἐκ τῶν ΙΒ, φυλῶν τοῦ Ἰσραὴλ, ἀνὰ ἓξ ἀφ' ἑκάστης φυλῆς. « Ἀλλὰ (λέγουσιν) αἱ δέκα φυλαὶ, μετὰ τὴν ὑπὸ τοῦ βασιλέως τῆς Βαβυ-

λῶνος αἰχμαλωσίαν, οὐδέποτ' ἐπανῆλθον εἰς τὴν πατρίδα. Κἂν δὲ καὶ δῶμεν, ὅτι φυλέται τινὲς ἐξ αὐτῶν ὑπέστρεψαν, ἀλλὰ καὶ οὕτως οὐκ ἠδύνατο ὁ ἀρχιερεὺς ἀνὰ ἓξ πεπαιδευμένους καὶ τοὺς σοφωτάτους ἐξ ἑκάστης φυλῆς προχείρους ἔχειν παρ' ἑαυτῷ, καὶ ὡς ἐκ καταλόγου παρόντας ἠριθμημένους. Οὐδὲ γὰρ εἶχεν ἑκάστη τούτων φυλὴ χώραν κατοικίας ὡρισμένην· οὗτοι δὲ οἱ ἐκ τῶν δέκα φυλῶν ἐπιστρέψαντες, κατῴκουν πάντως, ὡς πάροικοι, παρενεσπαρμένοι μεταξὺ τῶν δύω φυλῶν, τῆς τοῦ Ἰούδα καὶ τοῦ Βενιαμίν (α)». Ἀλλὰ πρὸς τοῦτο (λέγει Ὅδιος) ἀπήντησαν ἄλλοι τὰ ἐφεξῆς (β). « Ὅτι καὶ κατὰ τὴν αἰχμαλωσίαν τῶν 10 φυλῶν πολλοὶ διέλαθον ἐκφυγόντες, οἱ μὲν εἰς Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν, οἱ δὲ καὶ μετὰ ταῦτα πρὸς τοὺς Χουθαίους, ἢ Σαμαρείτας (ὅθεν ὕστερον οἱ Σαμαρεῖται ἔλεγον ἑαυτοὺς Ἑβραίους. Ἰώσηπ. ια, η, 6). Ὅτι δὲ οὐχ ὅλον ἄρδην καὶ μέχρις ἑνὸς μετῳκίσθη τὸ δεκάφυλον εἰς τὴν Ἀσσυρίαν, φαίνεται 1) ἐκ τῆς Βαιτυλούας (πατρίδος τῆς Ἰουδὶθ), ἥτις καὶ μετὰ τὴν αἰχμαλωσίαν τῶν 10 φυλῶν ὑπῆρχε πόλις ἐπιφανὴς καὶ πολυάνθρωπος, ἐκ φυλῆς Ζαβουλὼν (κατῴκουν δ' ἐν αὐτῇ καὶ ἐκ φυλῆς Συμεών: Ἰουδὶθ ς, 15: θ, 2). — 2) Ἀλλὰ καὶ ἐν Ἱερουσαλὴμ «ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσήρ» (Λουκ. β, 36).— 3) Καὶ Ἰάκωβος ὁ Ἀπόστολος ἔγραψε τὴν ἐπιστολὴν « *ταῖς δώδεκα φυλαῖς* » (γ). — 4) Καὶ ἡ Γαλιλαία δὲ

(α) Scalig. Animadv. in Euseb. p. 133.— Wower. Syntagm. c. 3. p. 42.—F. Iunius not. in Tertul. Apolog. c. 18.—Episcopius—Rivetus.—Weemsius. — Vorstius not. in Ganzium.—Prideaux Connex. p. 2. vol. 1. p. 36. Sect. 4.—Van Dale Diss. c. XIII ect.

(β) Βλ. Petr. Commestor· in Hist. Scholastic. — Gretzerus in Deffens. Bellarmini II. 6. — Serarius Proleg. Bibl. c. 17. a. 7. [πρβλ. Lighfoot not. Hebr. et Talmudic, p. 911].

(γ) « Ἰάκωβος — ταῖς δώδεκα φυλαῖς, ταῖς ἐν τῇ διασπορᾷ » Ἰακ. α. 1. (πρβλ. Πέτρ. α, 1). Διασπορὰν δὲ καλεῖ ὁ Ἀπόστολος τοὺς ἐκτὸς τῆς Ἰουδαίας πανταχοῦ διεσπαρμένους φυλέτας τῶν ἔτι τότε διακρινομένων δώδεκα φυλῶν, αἵτινες κατῴκουν κατὰ μέρος οὐ μόνον ἐν τῇ Παλαιστίνῃ, ἀλλὰ καὶ κατὰ τὴν Συρίαν, καὶ τὴν Αἴγυπτον, καὶ πανταχοῦ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης, καὶ εἰς τὴν Ἑλλάδα. Ὅθεν καὶ « ἡ τῶν Ἑλλήνων διασπορά » (Ἰωαν. ζ. 35), τουτ.

κατά τε τοὺς χρόνους τοῦ Σωτῆρος ἡμῶν (Ἰωαν. ζ, 52: Μάρκ. α, 9: Λουκ. Β, 39: Ματθ. δ, 15), καὶ ἔτι πρότερον (Ἰουδὶθ, ιε, 5) κατῳκεῖτο καὶ ὑπὸ Ἰουδαίων πολυαρίθμων· ἀνῆκε δὲ ἡ Γαλιλαία εἰς τέσσαρας φυλὰς, τὴν Ζαβουλὼν καὶ Νεφθαλεὶμ καὶ Ἀσὴρ καὶ Ἰσσάχαρ. — 5) Ἐν τῷ βιβλίῳ τοῦ Ἔσδρα (α, 5, 6: καὶ β, 70: καὶ ς, 16, 17) ἀναγινώσκομεν, ὅτι ἐπανῆλθον ἐκ τῆς Βαβυλῶνος (ἐπὶ Κύρου) οὐ μόνον « *οἱ ἄρχοντες τῶν πατριῶν τοῦ Ἰούδα καὶ Βενιαμὶν, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται* », ἀλλὰ καὶ « *πάντες οἱ κυκλόθεν* ». Καὶ ὅτι « *ἐκάθισαν πᾶς Ἰσραὴλ ἐν ταῖς πόλεσιν αὐτῶν* ». Καὶ ὅτι « ἐποίησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ *κατάλοιποι υἱῶν ἀποικεσίας* ἐγκαίνια τοῦ οἴκου τοῦ Θεοῦ.... Καὶ προσήνεγκαν.... *χιμάρους αἰγῶν περὶ ἁμαρτίας ὑπὲρ παντὸς Ἰσραὴλ δώδεκα, εἰς ἀριθμὸν φυλῶν Ἰσραὴλ* ». — 6) Οὕτως ἐπληρώθη τὸ τοῦ Ἡσαΐου (Ματθ. δ, 14) « Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ,... ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα » κτλ. (α). — 7) Ὁ θεῖος Χρυσόστομος (εἰς Ματθ. ιε), ἐξ αὐτοῦ δὲ καὶ Εὐθύμιος ὁ Ζυγαβηνὸς (αὐτόθ.), λέγουσιν, ὅτι οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι « πανταχοῦ τῶν φυλῶν ἦσαν διεσπαρμένοι, καὶ εἰς δώδεκα διῃρημένοι μέρη » κτλ. — 8) καὶ Ἡγήσιππος, ὁ τῶν Ἀποστόλων ἔγγιστα γενόμενος ἱστορικὸς λέγει, ὅτι (ἐπὶ τοῦ μαρτυρίου τοῦ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου) « Διὰ τὸ πάσχα συνεληλύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν » (παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. Β. 23). — 9) Καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (προλόγ. Ἑρμην. εἰς Ζαχαρίαν), καὶ Θεοδώρητος (εἰς Ἡσαΐ. β. 13, καὶ

οἱ μεταξὺ τῶν Ἑλλήνων διεσπαρμένοι (πρβλ. Ἰωσήπ. Ἰουδ. Πολ. ζ. γ. 3. — Φίλων. Τ. Β. σελ. 435 κτλ.). Ὁ δὲ περινούστατος Βανδάλης ἔκρινεν, ὅτι « τὰς δώδεκα φυλὰς ὁ Ἀπόστολος θεωρεῖ ἐκτὸς τῆς Παλαιστίνης » (Van Dale pag. 105). Ὥστε κατὰ τὸν Βανδάλειον νοῦν, οὐδεμία λοιπὸν ὑπῆρχε τότε φυλὴ κατὰ τὴν Ἰουδαίαν· ἀλλ' ἦσαν ἅπασαι διεσκορπισμέναι ἐν τῇ διασπορᾷ! ἀλλὰ τοιαῦτα πάντοτε τοῦ κριτικοῦ τούτου τὰ νοήματα! Τὸ δωδεκάφυλον μνημονεύει καὶ ὁ θεῖος Παῦλος, ὡς λέγομεν ἐφεξῆς, σελ. 616. — Σημ. ἡμετ.

(α) Βλ. Usser. Annal. ad an. 3468, καὶ Walton. prolegom. c. IX. §. 4.

ἀλλαχοῦ) (α), καὶ ὁ Θεοφύλακτος (εἰς Ὠσηὲ γ), καὶ ἄλλοι μεταγενέστεροι (β) παρέδωκαν, ὅτι αἱ ὑπὸ Σαλμανασὰρ αἰχμάλωτοι ἀπαχθεῖσαι δέκα φυλαὶ πάλιν ἐπανῆλθον μετὰ τῶν δύω (τῆς Ἰούδα καὶ τοῦ Βενιαμὶν) ἐπὶ τοῦ Ζοροβάβελ, καὶ συνήφθησαν εἰς ἕνα λαὸν ἐν τῇ ἐπαρχίᾳ τῶν Ἱεροσολύμων. Τοῦτο δὲ καί τινες τῶν νεωτέρων ἐπραγματεύθησαν (γ). Ἀλλ' ἐγὼ (λέγει Ὅδιος) περὶ τούτου μὲν (πρὸς ὃ καὶ λόγοι οὐκ εὐκαταφρόνητοι ἀντιμαρτυροῦσιν), οὐ δύναμαι βεβαίαν ἀποφήνασθαι γνώμην, πότερον ἀληθεύει, ἢ οὔ (δ). Φαίνεται δὲ ὅμως ἀναμφίβολον, ὅτι ἐκ πασῶν τῶν ΙΒ

(α) Ἐν τῷ ἄνω σημειουμένῳ κεφ. β, 13, τοῦ Ἡσαΐου, οὐδὲν ὁ ἱερὸς Θεοδώρητος λέγει ῥητῶς περὶ τῆς ἐπιστροφῆς τῶν δέκα φυλῶν, εἰ μὴ μόνον ἁπλῶς μνημονεύει « τὴν ἀπὸ Βαβυλῶνος (τῶν Ἰουδαίων) ἐπάνοδον (βλ. Θεοδώρ. τόμ. β. σελ. 93, ἐκδ. Εὐγεν.). Ἐν δὲ τῇ εἰς Ἡσ. ξ. 4 ἑρμηνείᾳ λέγει κατὰ λέξιν, ὅτι « οὐ πάντες ἐπανῆλθον οἱ γενόμενοι δορυάλωτοι· ἀλλ' οἱ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς· καὶ οὐδὲ οὗτοι πάντες, ἀλλ' ὅσοι τῆς προγονικῆς εὐσεβείας ἀντείχοντο· μεμενήκασι γὰρ οἱ μὲν τὴν παρὰ τοῖς Ἀσσυρίοις διαγωγὴν ἀσπασάμενοι, οἱ δὲ τῆς Αἰγύπτου τὴν οἴκησιν προελόμενοι, οἱ δὲ εἰς ἅπαντα διεσπαρμένοι τὰ ἔθνη » (αὐτόθ. σελ. 185). Φαίνεται δὲ ὅμως ἀλλαχοῦ (εἰς Ὠσηὲ α, 11. γ, 5. ιβ 11. Ἱερεμ. γ, 16. κτλ.), ὅτι οὐκ ἀπέκλειε τῆς ἐπανόδου μέρη γοῦν τινα καὶ πατριὰς τῶν δέκα φυλῶν. « Ἐπειδὴ γὰρ (λέγει) αἱ δέκα φυλαί, διαστασιάσασαι πρὸς τοὺς ἐκ Δαβὶδ βασιλέας, ἴδιον ἑαυταῖς ἐχειροτόνησαν βασιλέα· μετὰ δὲ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον ἑνωθεῖσαι καὶ συναφθεῖσαι, ἕνα ἔσχον ἡγεμόνα, τὸν Ζοροβάβελ, ἐκ τῆς Δαβιτικῆς βεβλαστηκότα φυλῆς » κτλ. (αὐτόθ. σελ. 650)· πρβλ. καὶ ἑρμην. εἰς Βαροὺχ ε, 4. — Σημ. ἡμετ.

(β) Ὁ Δωρόθεος ἐν τῇ Συνόψει ἱστόρησε περὶ τοῦ Ἰεζεκιήλ, ὅτι « Ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν Δὰν καὶ τοῦ Γάδ, ὅτι ἠσέβουν πρὸς Κύριον· — καὶ εἴρηκεν, ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ· ἀλλ' ἐν Μηδίᾳ ἔσονται ἕως συντελείας πλάνης αὐτῶν » (Δωρόθ. ἐν τῷ Πασχαλ. Χρονικ. σελ. 297. ἐκδ. Bon.). Σημ. Ὀδίου.

(γ) Βλ. Iac. Calveri Naphthali ed. Londin. 1672. Ὁ δὲ Σεράριος (proleg. l. c.) ἐσημείωσεν ἐκ τῶν Ἰουδαϊκῶν Σχολῶν καὶ βιβλίων Ῥαββινικῶν, ὅτι καὶ οἱ καταμείναντες ἐν Βαβυλῶνι καὶ Περσίδι καὶ Μηδίᾳ, καὶ οἱ τὴν Ἰουδαίαν οἰκοῦντες εἰώθεισαν ἐπιμίγνυσθαι, μεταβαίνοντες ἑκατέρωθεν πρὸς ἀλλήλους. Σημ. Ὀδίου.

(δ) « Βεβαιότατόν ἐστι (certissimum! σημειοῖ Ὅδιος), ὅτι οἱ παλαιοὶ Ἰουδαῖοι ἐπίστευον τὰς δέκα φυλὰς μηκέτι ἀπὸ τῆς πρώτης μετοικεσίας ἐπανελθούσας εἰς γῆν Ἰσραήλ. Τοῦτο καὶ Ὠριγένης (ἐπιστολ. πρὸς Ἀφρικαν.) μαρτυρεῖ λέγων « Ὑπὸ Ῥωμαίοις δύο φυλαὶ μόναι εἶναι ἱστόρηνται, ἥτε Ἰούδα καὶ [ἡ] Βενιαμίν· ἔστω καὶ [ἡ] Λευϊτικὴ » (Hody pag. 79). — [Ἀλλὰ περὶ μὲν τῶν παλαιῶν Ἰουδαίων, ὅσον ἐκ τῶν σεσημειωμένων λόγων τοῦ Σεραρίου (οὓς καὶ αὐτὸς Ὅδιος ἐμνημόνευσεν),

φυλῶν ὑπῆρχόν τινες ἐν Ἰουδαίᾳ κατὰ τοὺς Ἐλεαζάρου χρόνους, καί τινες ἐξ ἑκάστης φυλῆς κατῴκουν πιθανῶς εἰς ἄλλας φυλὰς παρενεσπαρμένοι. Κατὰ δὲ τὴν ὑπὸ τοῦ Σαλμανασάρου τῶν δέκα φυλῶν αἰχμαλωσίαν, πάμπολλοι, χωρὶς ἀντιλογίας, κατέφυγον εἰς τὰς δύω (τὰς ἐν Ἰουδαίᾳ μεινάσας) φυλὰς τοῦ Ἰούδα καὶ τοῦ Βενιαμίν. Οὗτοι δὲ οἱ πρόσφυγες, καὶ ὅτε μετὰ ταῦτα καὶ αἱ δύω αὗται φυλαὶ μετῳκίσθησαν ὑπὸ τοῦ Ναβουχοδονόσορος εἰς τὴν Βαβυλῶνα, συναπήχθησαν αἰχμάλωτοι καὶ αὐτοί, καὶ πάλιν σὺν ἐκείναις ἐπανιούσαις ἐπανῆλθον. Ἀλλὰ καὶ αὐτὸς ὁ Ἀριστέας, καίτοι Ἰουδαῖος » (λέγει Ὅδιος κατὰ τὸ σύνηθες) « οὐκ ἂν ἐψεύσθη ἐπὶ τοσοῦτον, ὥστε, δύω τῶν φυλῶν οὐσῶν ἐν Ἱεροσολύμοις (ἐπὶ τοῦ Φιλαδέλφου), δώδεκα ταύτας εἰσάγειν. Πολὺ δ' ἂν ἧττον ἔπαθε τοσαύτην ἄγνοιαν ὁ καὶ κατὰ τοῦτο τῷ Ἀριστέᾳ παρακολουθήσας Ἰώσηπος. Αὐτοὺς δὲ τοὺς ἐκ τῶν 12 φυλῶν ἐκλεγέντας οϐ, ἑρμηνεῖς ἱστόρησεν ὁ Ἀριστέας, οὐχὶ (καθὼς ὑπέλαβεν ὁ Σκαλίγηρος) τότε μετακληθέντας ἐκ διαφόρων τῆς Ἰουδαίας χωρῶν, ἀλλὰ πάντας ἐν Ἱεροσολύμοις διάγοντας παρὰ τῷ Ἀρχιερεῖ, καὶ πρὸς διαφόρους πρεσβείας συνήθως στελλομένους ».

Ταῦτα σοφῶς ὁ σοφὸς Ὅδιος ἀντεῖπε πρὸς τὴν πρώτην κατ' Ἀριστέου κατηγορίαν, ἐπιπλήξας κοσμίως καὶ τὸν ταύτης ἀρχηγέτην, τὸν δεινὸν Σκαλίγηρον, ὡς παρεξηγοῦντα τὸν Ἀριστέαν.

εἴδομεν ἀνωτέρω τὸ ἐναντίον. Ἔπειτα δὲ καὶ τὸν Ἰώσηπον, τὸν Ἰουδαῖον ἀρχαιολόγον καὶ ἱερέα τοῦ ναοῦ τῶν Ἱεροσολύμων, ὅστις βεβαιοῖ μεταγράφων ἀπ' Ἀρισταίου τὴν ἐκ τῶν ιϐ φυλῶν ἐκλογὴν τῶν ΟΒ, ποῦ τίθησιν Ὅδιος; ἆρά γε μετὰ τῶν νεωτέρων Ἰουδαίων; καὶ οὐχὶ μετὰ τῶν παλαιῶν, οὓς ὡς πρᾶγμα βεβαιότατον παρίστησι νομίζοντας τὴν μηδέποτε τῶν δέκα φυλῶν (κατὰ μέρος γοῦν) ἐπιστροφήν; Πρόσθες καὶ τὴν ἐπὶ Ἱερωνύμου παλαιὰν Σχολὴν τῶν Παλαιστινῶν Ἰουδαίων, μηδὲν τοιοῦτο τότε φρονοῦσαν· διότι πάντως ἂν ἐμάνθανε τοῦτο διὰ μακροῦ μετ' αὐτῶν ἐν Παλαιστίνῃ συγγενόμενος ὁ Δαλμάτης πατήρ, καὶ τότε οὔτε τὴν Ἀριστέου ἱστορίαν ὡς γνησίαν ἀπεδέχετο, καὶ λόγον εἶχε κἄν τινα εὐπρόσωπον ἀντιφέρεσθαι (καθὼς ἐνίοτε συνείθιζε) πρὸς τοὺς Ο. Περὶ δὲ τῆς εἰς τὸν Ὠριγένην πρῶτον οὐκ ὀρθῶς ἀπονεμομένης ταύτης ῥήσεως, λέγομεν εὐθὺς ἐν ὑποσημειώσει παρακατιόντες, σελ. 620. Ὥστε, ἂν τούτους (καὶ τίνας ἄλλους;) ἐνόμιζεν ὁ κλεινὸς Ὅδιος οὐκ εὐκαταφρονήτους λόγους, ἐπλανᾶτο!—Σημ. ἡμετ.].

Ἀλλὰ, πρὸς αἷς ἠρίθμησεν ὁ κριτικὸς ἐκ τῆς Γραφῆς περὶ τῶν ΙΒ φυλῶν μαρτυρίαις, ὤφειλε προσθεῖναι καὶ ἄλλας, καὶ μάλιστα τὴν ἣν καὶ αὐτὸς ὁ Σκαλίγηρος μνημονεύσας διεστρέβλωσε, λέγω δὲ τὴν τοῦ θείου Παύλου· ὅστις διαλεγόμενος πρὸς Ἀγρίππαν, ἀναφέρει τὰς δώδεκα φυλὰς, καὶ τότε κατ᾽ αὐτὸν ὑπαρχούσας ἐν Ἰουδαίᾳ. «Καὶ νῦν (λέγει) ἐπ᾽ ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος· *εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν*, ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει καταντῆσαι» (Πράξ. κϛ, 6, 7). Ὁ δὲ Σκαλίγηρος «τοῦτο, λέγει, τὸ *δωδεκάφυλον* τέθειται ἀντὶ τοῦ *δίφυλον*, καταχρηστικώτερον ὡς ἐκ τῆς συνηθείας ἐκφρασθέντος τοῦ Ἀποστόλου. Οὕτω καὶ ἀλλαχοῦ (α. Κορ. ιε, 5) λέγει «*ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα*», ἐν ᾧ οἱ Ἀπόστολοι τότε (πρὸ τῆς τοῦ Ματθίου ἐκλογῆς) ἦσαν μόνον *ἕνδεκα*, καθὼς καὶ Μάρκος αὐτοὺς ὀνομάζει (ιϛ, 14. πρβλ. Ματθ. κη. 16. Λουκ. κδ, 33)». Τοιαῦτα ὁ Σκαλίγηρος! καὶ φαίνεται μὲν λίαν ἡδὺς ὁ κριτικὸς, ὅστις τὴν κατάχρησιν τοῦ 12, ἀντὶ τοῦ 2, παρίστησιν ἐπίσης εὐχερῆ καὶ συνήθη καὶ δυνατὴν, καθὼς καὶ τὴν τοῦ 12, ἀντὶ τοῦ 11 (ὡς ἂν εἴπερ ἦν ἐν ἀμφοτέροις τοῖς ἀριθμοῖς ἡ αὐτὴ καὶ ἀνεπαίσθητος, ὡς παρὰ μίαν ἢ δύω κἂν μονάδας, ἡ διαφορά!)· ἀπαραλλάκτως ποιῶν, ὡσανεὶ ἔλεγε καὶ, ὅτι αἱ μετὰ τὴν διάσπασιν τῶν δέκα φυλῶν ἀπομείνασαι δύω μόνον ἐν Ἰουδαίᾳ φυλαὶ, ὠνομάζοντο καὶ αὗται, ὡς ἐκ τῆς προτέρας συνηθείας, *δωδεκάφυλον!* Οὕτως ἐκ πρώτης ὄψεως ἐξελέγχεται προφανὴς ἡ ἀτοπία τῆς ἐπινοίας τοῦ κριτικοῦ. Ὁ δὲ θεῖος Ἀπόστολος εἶπε ιϐ, τοὺς ια, τότε μείναντας μαθητὰς, ὡς τοσούτους ἐξ ἀρχῆς ὑπὸ τοῦ Κυρίου τεταγμένους, καὶ τοσούτους πάλιν γεγονότας εὐθὺς (ἅτε μετ᾽ ὀλίγας ἡμέρας ἀπὸ τῆς Ἰούδα πτώσεως προστεθέντος τοῦ Ματθίου). Τὸ βραχὺ διάστημα τῶν ἡμερῶν, ἐν αἷς ἔμειναν ἕνδεκα μόνον οἱ Ἀπόστολοι, καὶ ἡ μιᾶς καὶ μόνης μονάδος ἔλλειψις ἐθεωρεῖτο ἴσα καὶ μηδενὶ, ὡς πρὸς τὸν ἀμεταβλήτως καὶ κυρίως τεταγμένον τῶν δώδεκα ἀριθμὸν, ὅστις καὶ ἄλλως εἶχε καὶ μεγάλην ἔμφασιν διὰ τὸ σεμνὸν τοῦ ἀποστολικοῦ

ἀξιώματος. Ὅθεν καὶ οἱ *δώδεκα* κατ᾽ ἐξοχὴν ὠνομάζοντο (οὕτω καὶ ἐν ἄλλοις ἀξιώμασιν οἱ ταῦτα κατέχοντες ἔχουσιν ἐν τῇ θείᾳ Γραφῇ τὴν ἐπωνυμίαν ἀπὸ μόνου τοῦ ἀριθμοῦ, οἷον « *οἱ τρεῖς δυνατοὶ* » κτλ.) (α). Καὶ *οἱ δώδεκα* ἐπωνομάζοντο κατ᾽ ἐξοχὴν οὐ μόνον πρὸ τοῦ πάθους τοῦ Κυρίου (Ματθ. κϛ, 14, 20, 47), ἀλλὰ καὶ μετὰ τὴν Ἀνάστασιν εὐθὺς (πρὸ τῆς τοῦ Ματθίου ἐκλογῆς), οἷον· « Θωμᾶς δὲ εἷς ἐκ τῶν ΙΒ » (Ἰωαν. κα, 24). Οὕτως εἶπε καὶ ὁ θεῖος Παῦλος « ὤφθη τοῖς ΙΒ », ἐννοῶν τοὺς *ἕνδεκα* δηλονότι (καθὼς πάλιν τὸν Κηφᾶν, ἤτοι τὸν Πέτρον, προτάξας ἰδίως ἐξ ὀνόματος, ἔπειτα καὶ τοῦτον αὖθις συμπεριέλαβε καθολικώτερον εἰς τοὺς *δώδεκα*). Πρόσθες καὶ ὅτι, καθ᾽ ὃν χρόνον ἔγραψεν ὁ Παῦλος τὴν α, πρὸς Κορινθίους (καὶ πολλοὺς δὲ πρότερον ἐνιαυτοὺς), ΙΒ, κυρίως ἦσαν οἱ Ἀπόστολοι (ἀντικατασταθέντος τοῦ Ματθίου μετὰ τὴν Ἀνάληψιν εὐθὺς, καὶ πρὸ τῆς Πεντηκοστῆς. Πράξ. α, 26). Ὅθεν ὁ Παῦλος μετεχειρίσθη τὸν οὐ μόνον ἐμφαντικὸν καὶ συνήθη, ἀλλὰ καὶ ἐπ᾽ αὐτοῦ πραγματικῶς ὑπάρχοντα δωδέκατον τῶν Ἀποστόλων ἀριθμὸν ἀντὶ τῶν *ἕνδεκα*. Ἔστι δὲ καὶ ἄλλος πρὸς τοῦτο λόγος. Ὁ γὰρ (κατὰ τὴν ὀψίαν τῆς Ἀναστάσεως) *τοῖς ἕνδεκα φανερωθεὶς Ἰησοῦς* (Ἰωάν. κα)· « *ὤφθη καὶ ἐπάνω πεντακοσίοις ἀδελφοῖς* » (α. Κορ. ιε, 6). Ἐν δὲ τούτοις πάντως ἦν καὶ Ματθίας, ὁ μετὰ *τῶν ια*, (πρὸ τῆς Πεντηκοστῆς) *συγκαταψηφισθεὶς* (Πράξ. α, 26. πρβ. καὶ Ὠριγέν. κ. Κέλ. Β, §. 65. σελ. 436). Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς τὸ πλάνον σόφισμα τοῦ Σκαλιγήρου.

Ὁ δὲ φιλόκαλος Ἔκδικος (β) ἀποδείκνυσι καὶ ἐξ ἄλλων ἔτι χωρίων τῆς Γραφῆς ὑπαρχούσας ἐν Παλαιστίνῃ τὰς *δώδεκα φυλὰς* (μέρη δηλονότι καὶ πατριὰς ἐξ ἁπασῶν), καὶ μετὰ τὴν ὑπὸ τοῦ Σαλμα-

(α) Β. Βασιλ. κγ. 18, 19. *Τοιαῦτα καὶ ἐκ τῆς κοσμικῆς ἱστορίας, ἐν Ἀθήναις μὲν οἱ Ἕνδεκα (ἄρχοντες. ὡς Ξενοφῶν, Δημοσθένης) κτλ. παρὰ δὲ τοῖς Ῥωμαίοις οἱ* Triumviri, *καὶ οἱ* Decemviri, *κτλ. βλ. καὶ* Schleusn. Lex. N. Test. vol. I. p. 658.

(β) Vindication of the history of the Septuagint etc. pag. 121—134.

νασάρου *τῶν δέκα* μετοικεσίαν. Αὐτίκα (λέγει) ἐν Δ. Βασιλ. (κεφ. ιζ. 5.) ἀναγινώσκομεν, ὅτι «ἀνέβη βασιλεὺς Ἀσσυρίων εἰς Σαμάρειαν — καὶ ἀπῴκισεν Ἰσραὴλ εἰς Ἀσσυρίους» κτλ. Καὶ πάλιν (αὐτόθι, κεφ. ιη, ιο, ια) «Ἐν ἔτει ἕκτῳ τῷ Ἐζεκίᾳ» (βασιλεύοντι Ἰούδα) » καὶ θ, ἔτει τῷ Ὡσηὲ βασιλεῖ Ἰσραὴλ — ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους» κτλ. Ἐκ δὲ τούτων (λέγει) τῶν συνωνύμων ὀνομάτων, *Σαμάρεια καὶ Ἰσραὴλ*, εἰκότως δυνάμεθα συμπεραίνειν, ὅτι ὁ βασιλεὺς, καὶ πάντες οἱ ἐπίσημοι τῆς Σαμαρείας καὶ ἄλλων πόλεων τῆς βασιλείας Ἰσραὴλ ἀπήχθησαν αἰχμάλωτοι εἰς Ἀσσυρίαν, ἀλλ᾽ οὐχὶ καὶ ὅλον τὸ σῶμα τῶν δέκα φυλῶν. Καὶ τοῦτο καταφαίνεται καὶ ἐκ τῆς Β. τῶν Παραλειπομένων (κεφ. λ. 1—18), ὅπου βλέπομεν τὸν Ἐζεκίαν, ὅτι μετὰ ταῦτα «Ἀπέστειλεν ἐπὶ πάντα Ἰσραὴλ, — καὶ ἐπιστολὰς ἔγραψεν ἐλθεῖν εἰς οἶκον Κυρίου εἰς Ἱερουσαλήμ. Καὶ ἐπορεύθησαν οἱ τρέχοντες σὺν ταῖς ἐπιστολαῖς, λέγοντες. Υἱοὶ Ἰσραὴλ, ἐπιστρέψατε πρὸς Κύριον Θεὸν Ἀβραὰμ —, καὶ ἐπιστρέψατε *τοὺς ἀνασεσωσμένους, τοὺς καταλειφθέντας ἀπὸ χειρὸς βασιλέως Ἀσσυρίων*. Καὶ ἦλθον ἄνθρωποι Ἀσὴρ, καὶ ἀπὸ Μανασσῆ, καὶ ἀπὸ Ζαβουλὼν, καὶ ἀπὸ Ἐφραΐμ, καὶ Ἰσσάχαρ», κτλ. Καὶ πάλιν ὕστερον ὁ τοῦ Ἐζεκίου ἔγγονος Ἰωσίας «ἐκαθάρισεν (ἀπὸ τῶν εἰδώλων) τὸν Ἰούδαν καὶ τὴν Ἱερουσαλὴμ, καὶ ἐν πόλεσι Μανασσῆ καὶ Ἐφραΐμ καὶ Συμεὼν καὶ Νεφθαλεὶμ κτλ. (Β. Παραλειπ. λδ. 6. 9. πρβλ. καὶ λε, 18). Καὶ ὑπῆρχεν ἄρα καὶ μετὰ τὴν μετοικεσίαν «*κατάλοιπον Ἰσραὴλ*» (Β. Παραλ. λδ. 9), λείψανα δηλονότι τῶν δέκα φυλῶν τοῦ Ἰσραὴλ ἐν τῇ βασιλείᾳ τῆς Σαμαρείας (καθὼς ὕστερον, καὶ μετὰ τὴν μετοικεσίαν τῶν ἑτέρων δύω φυλῶν τῆς Ἰούδα βασιλείας, ἀνέμεινε πάλιν μέχρι καιροῦ *καὶ λαὸς κατάλοιπος ἐν γῇ Ἰούδα*. Δ. Βασιλ. κε, 22: Ἱερεμ. νβ, 16. καὶ ν, 5. κτλ. πρβλ. Ἰωσήπ. Ἀρχ. Ι. θ. 1) (α).

(α) Ὥστε, ὅταν λέγῃ ὁ Ἰώσηπος (ὅπερ ὁ Βανδάλης περικροτεῖ), ὅτι (ὁ Σαλμανασὰρ) τὴν Ἰσραηλιτῶν (τῶν δέκα φυλῶν) ἡγεμονίαν ἄρδην ἠφάνισε, καὶ πάντα τὸν λαὸν μετῴκισεν εἰς τὴν Μηδίαν καὶ Περσίδα» (Ἰώσηπ. Ἀρχ. θ. ιδ. §. ι), τὸ πλεῖστον ἐννοεῖ καὶ κράτιστον μέρος, οὐχὶ

Ἀλλὰ καὶ αὐτὸ τὸ τοῦ Κύρου Διάταγμα φαίνεται σαφῶς παρέχον τὴν ἄδειαν τῆς ἐπιστροφῆς οὐ μόνον ταῖς δύω φυλαῖς, ἀλλὰ πᾶσι τοῖς κατὰ τὴν ἐπικράτειαν ἐκ τῶν δώδεκα φυλῶν συνεστηκόσιν Ἰουδαίοις, λέγον· « *ἀπὸ παντὸς τοῦ λαοῦ αὐτοῦ, καὶ πᾶς ὁ καταλειπόμενος ἀπὸ πάντων τῶν τόπων· οὗ αὐτὸς παροικεῖ ἐκεῖ* (α). Ὅθεν καὶ οἱ μετὰ τοῦ προεξάρχοντος Ζοροβάβελ συναναβάντες οἷον ἡγεμόνες καὶ πρόκριτοι τοῦ ἐπανελθόντος λαοῦ, φαίνονται φύλαρχοι ἢ ἀρχηγοὶ τῶν δώδεκα φυλῶν, δώδεκα καὶ αὐτοὶ καταριθμούμενοι (β). Καὶ φαίνεται μὲν τὸ πλῆθος τῶν μετὰ Ζοροβάβελ συναναβάντων συγκείμενον κυρίως ἐκ δύω μόνον τῶν ἐν Βαβυλῶνι φυλῶν, τῆς Ἰούδα καὶ τῆς Βενιαμίτιδος (Ἰωσήπ. Ἀρχ. ια, γ, ι)· ἀλλ' ὅτι μεταξὺ τούτων ὑπῆρχον πατριαὶ καὶ ἐκ τῶν ἄλλων τῶν ὑπὸ Σαλμανασὰρ εἰς τὴν Ἀσσυρίαν μετῳκισμένων δέκα φυλῶν, δείκνυται ἐκ τοῦ αὐτοῦ Ἔσδρα (β, 70) « Καὶ ἐκάθισαν (λέγει) οἱ ἱερεῖς καὶ οἱ Λευῖται *καὶ οἱ ἀπὸ τοῦ λαοῦ — ἐν πόλεσιν αὐτῶν· καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν* ». Καὶ πάλιν (μετὰ μῆνας ἑπτὰ) *συνήχθη ὁ λαός, ὡς ἀνὴρ* εἷς, ἐν Ἱερουσαλὴμ (Ἔσδρ. γ. 1). Καὶ ὅτε πάλιν ἐτέλεσαν τὸν ναόν, « ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ Λευῖται, καὶ οἱ *κατάλοιποι υἱῶν ἀποικεσίας* ἐγκαί-

---

δὲ σύμπαν τὸ ἄθροισμα τῶν δέκα φυλῶν. Ἑρμηνεύει δὲ καὶ αὐτὸς ἑαυτὸν ὁ Ἰουδαῖος ἱστορικός, ὅστις ἐφεξῆς ἱστορῶν τὴν ἀνωτέρω ῥηθεῖσαν τοῦ βασιλέως Ἰωσίου πρός τε τὸν Ἰούδαν καὶ πρὸς τὸν Ἰσραὴλ προτροπὴν εἰς τὴν εὐσέβειαν, « πορευθεὶς (λέγει) καὶ πρὸς τοὺς ἄλλους τῶν Ἰσραηλιτῶν, ὅ σ ο ι τ ὴ ν α ἰ χ μ α λ ω σ ί α ν κ α ὶ τ ὴ ν δ ο υ λ ε ί α ν τ ὴ ν ὑ π ὸ τ ῶ ν Ἀ σ σ υ ρ ί ω ν δ ι έ φ υ γ ο ν, ἀφεῖναι μὲν τὰς ἀσεβεῖς πράξεις, καὶ τὰς τιμὰς τὰς πρὸς τοὺς ἀλλοτρίους θεοὺς ἐγκαταλιπεῖν ἔπεισε » κτλ. (Ἀρχ. 1. δ. § ϛ(ε)· πρβλ. Schulz Schol. in V. T. tom. 3. p. 336, καὶ Voss. de LXX. c. 4. 10.

(α) Ἔσδρ. α. 3. καὶ β. Παραλ. λϛ. 23 — « Κοινῇ τὴν ἐπάνοδον πᾶσι τοῖς Ἰουδαίοις ἐθέσπισε τοῖς βουλομένοις. » Σύγκελ. Χρονογρ. σελ. 448 Bon. βλ. καὶ Ἰωσήπ. Ἀρχ. ια. α. 3. πρβλ. Michaelis Syntagm. de decem tribuum exilio in Comment. per annos 1758—1762 prælectar. Nr. III. καὶ Schulz Schol. l. c. p. 348 καὶ vol. x. p. 46.

(β). Νεεμ. Ζ. 7. ἐκδ. Complut. (ἐν ἄλλ. ἐκδ. προστίθεται καὶ τὸ Ἔ σ δ ρ α ς. Ἐν δὲ Ἔσδρᾳ Β, ἀναγινώσκονται ἕ ν δ ε κ α μόνον. Ἀλλ' ἐν τῷ κυρίως Ἔσδρᾳ, ε, 8, ἀριθμοῦνται δώδεκα ἐπ' ἀκριβές). πρβλ. καὶ Schulz l. c. p. 351.

νια τοῦ οἴκου τοῦ θεοῦ, — καὶ προσήνεγκαν χιμάρους αἰγῶν — ὑπὲρ παντὸς Ἰσραὴλ δώδεκα, εἰς ἀριθμὸν φυλῶν Ἰσραὴλ (Ἔσδρ. ς, 16 — 21, καὶ Α. Ἔσδρ. ζ. 8. καὶ Ἰώσηπ. Ἀρχ. ια. δ. §. 4). Ὥστε ὁ μετὰ τοῦ Ζοροβάβελ τὸ πρῶτον ἀποικίσας λαὸς εὑρίσκεται συγκείμενος τὸ ὅλον ἐκ τῶν δώδεκα φυλῶν. Καὶ μετὰ τοῦ Ἔσδρα δὲ ὕστερον φαίνονται συναναβάντες πανταχόθεν « *ἐκ τῆς αἰχμαλωσίας υἱοὶ τῆς παροικίας* ». Ὅθεν καὶ αὐτοὶ « προσήνεγκαν ὁλοκαυτώσεις τῷ θεῷ Ἰσραὴλ *μόσχους δώδεκα περὶ παντὸς Ἰσραὴλ — καὶ χιμάρους δώδεκα* » (Ἔσδρ. η, 35 καὶ Α. Ἔσδρ. η, 65) (α). Κατὰ ταῦτα ἄρα, τὸ μὲν πλεῖστον καὶ μέγιστον μέρος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπιστρέψαντος λαοῦ συνεποσοῦτο ἐκ τῶν δύω μάλιστα φυλῶν τοῦ Ἰούδα καὶ Βενιαμὶν, καὶ ἐκ τῶν Λευϊτῶν (β), αἱ δὲ λοιπαὶ δέκα (τὸ πλεῖστον πάλιν) ἀπέμειναν πέραν τοῦ Εὐφράτου, ὅπου τὸ πρῶτον μετῳκίσθησαν. Πλὴν ἀλλὰ καὶ ἐξ αὐτῶν ἐπανῆλθον οὐκ ὀλίγοι. Βεβαιούτωσαν τὸν λόγον κορυφαῖοι ἐπιφαινόμενοι οἱ θεῖοι Προφῆται, προφητεύσαντες ἀψευδῶς τὴν πληρωθεῖσαν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον οὐ μόνον τῶν δύω τοῦ

(α) Καὶ τοῦ Ἀρταξέρξου τὸ διάταγμα κελεύει « Πᾶς ὁ ἑκουσιαζόμενος ἐν βασιλείᾳ μου ἀπὸ λαοῦ Ἰσραὴλ — πορευθῆναι εἰς Ἱερουσαλὴμ », κτλ (Ἔσδρ. ζ. 13, κτλ.). « Ὁ δὲ Ἔσδρας λαβὼν τὴν ἐπιστολὴν (τὸ διάταγμα), καὶ ἀναγνοὺς ἐν Βαβυλῶνι τοῖς αὐτόθι παροῦσιν Ἰουδαίοις, — τὸ ἀντίγραφον αὐτῆς παρὰ πάντας ἔπεμψε τοὺς ὁμοεθνεῖς, τοὺς κατὰ τὴν Μηδίαν ὄντας. Μαθόντες δ' οὗτοι τοῦ βασιλέως καὶ τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν καὶ τὴν πρὸς τὸν Ἔσδραν εὔνοιαν, ἅπαντες μὲν ὑπερηγάπησαν, πολλοὶ δ' αὐτῶν καὶ τὰς κτήσεις ἀναλαβόντες, ἦλθον εἰς Βαβυλῶνα, ποθοῦντες τὴν εἰς τὰ Ἱεροσόλυμα κάθοδον. Ὁ δὲ πᾶς λαὸς τῶν Ἰσραηλιτῶν (τὸ πλεῖστον δηλονότι τῶν δέκα φυλῶν τοῦ Ἰσραὴλ) κατὰ χώραν ἔμεινε. Διὸ καὶ δύω φυλὰς εἶναι συμβέβηκεν ἐπί τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης, Ῥωμαίοις ὑπακουούσας » (ἐκ τούτων ἀντεγράφη ὑπὸ τοῦ Ὠριγένους ἡ παρ' Ὁσίῳ προηγουμένως μνημονευθεῖσα ῥῆσις αὐτοῦ· βλ. ὄπισθ. σελ. 615) « Αἱ δὲ δέκα φυλαὶ πέραν εἰσὶν Εὐφράτου ἕως δεῦρο, μυριάδες ἄπειροι » κτλ. (Ἰώσηπ. Ἀρχ. ια, ε. §. 2).

(β) Ὅθεν καὶ (ἐκ τῆς ἐπικρατεστέρας τοῦ Ἰούδα φυλῆς) « ἐκλήθησαν τὸ ὄνομα (Ἰουδαῖοι), ἐξ ἧς ἡμέρας ἀνέβησαν ἐκ Βαβυλῶνος ἀπὸ τῆς Ἰούδα φυλῆς, ἧς πρώτης ἐλθούσης εἰς ἐκείνους τοὺς τόπους, αὐτοί τε καὶ ἡ χώρα τῆς προσηγορίας αὐτῆς μετέλαβον » (Ἰώσηπ. Ἀρχ. ια, ε. 7) πρβλ. καὶ Selden. de Iure natural. et gentium L. II. c. 4. p. 161. βλ. καὶ Θεοδώρητ. ἑρμην. εἰς Μιχαί. ζ, 14.

Ἰούδα φυλῶν, ἀλλὰ καὶ τῶν δέκα τοῦ Ἰσραὴλ (ὡς ἐκ μέρους τῶν, ὅσοι ἐκ πασῶν αὐτῶν ἐπανῆλθον)· οἷον, Ὠσηέ· «Καὶ συναχθήσονται υἱοὶ Ἰούδα, καὶ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτὸ, καὶ θήσονται αὐτοῖς ἀρχὴν μίαν» (τὸν Ζοροβάβελ), «καὶ ἀναβήσονται ἐκ τῆς γῆς» κτλ. (α). πρόσθες καὶ τὰ τοῦ Ἱερεμίου (γ, 18)· καὶ (ἵνα παραλίπωμεν ἄλλα πάμπολλα) ὁ μέγας Ἰεζεκιὴλ ἀριθμεῖ κατ᾽ ὄνομα τὰς δέκα φυλὰς ὡς ἐπανελευσομένας εἰς Ἱερουσαλὴμ, διορίζων καὶ τὰ ὅρια τῆς κατοικίας αὐτῶν (Ἰεζεκ. κεφ. μη. πρβλ. καὶ κεφ. μζ. 13, καὶ Ἀβδιοὺ, α, 19, καὶ ἑρμην. Θεοδωρήτ.).

Συμπεραίνομεν τοῦτο τῶν προβαλλομένων τὸ ἰσχυρότατον (διὸ καὶ παρὰ τὴν ὑπόσχεσιν παραταθὲν) θεώρημα, συγκεφαλαιοῦντες ἐκ τῶν ἀποδείξεων τὰ ἐφεξῆς· α) Καὶ μετὰ τὴν εἰς Ἀσσυρίαν μετοικεσίαν τῶν δέκα φυλῶν τοῦ Ἰσραὴλ ἀπέμειναν γένη τούτων, ἢ πατριαὶ, καταφυγοῦσαι εἰς τὴν ἔτι τότε ἑστηκυῖαν τοῦ Ἰούδα βασιλείαν· αἱ δὲ, καὶ κατ᾽ αὐτὴν τὴν ἑαλωκυῖαν χώραν, παροφθεῖσαι ὑπὸ τῶν δορυκτητόρων, καί τινες, ἴσως, ἐκ τῆς φυγῆς ἠρέμα καὶ κατὰ μικρὸν ἐπισυναχθεῖσαι. β) Καὶ ὅτε πάλιν αἱ δύω τῆς Ἰούδα βασιλείας φυλαὶ μετῳκίσθησαν ὕστερον εἰς τὴν Βαβυλῶνα, συναπήχθησαν μετ᾽ αὐτῶν καὶ αἱ παρ᾽ αὐταῖς προσφυγοῦσαι πατριαὶ τῶν δέκα φυλῶν, καὶ πάλιν συνανέβησαν μετὰ τοῦ Ζοροβάβελ καὶ τοῦ Ἔσδρα, καὶ ἔκτοτε συναπετέλουν ἕνα λαὸν, τὸ δωδεκάφυλον τῶν Ἰουδαίων (διατηρουμένων ὅμως πάντοτε τῶν φυλῶν ἀσυγχύτων καὶ ἀκραιφνῶν). γ) Ἀπὸ τῆς ἁλώσεως τῆς Ἰσραηλίτιδος βασιλείας, μέχρι τοῦ ἀρχιερέως Ἐλεαζάρου καὶ τοῦ Φιλαδέλφου, παρῆλθον περίπου ἔτη 472· ἀπὸ δὲ τοῦ Ζοροβάβελ μέχρι τῆς αὐτῆς ἐποχῆς, ἔτη 280: φανερὸν λοιπὸν, ὅτι ἐν τούτῳ τῷ μεταξὺ χρόνῳ καὶ ὅσαι τὸ πρῶτον ἀπελείφθησαν ἀπὸ τῆς αἰχμαλωσίας, καὶ ὅσαι πάλιν μετὰ τῶν δύω φυλῶν ἐπανῆλθον πατριαὶ τῶν δέκα

(α) Ὠσηὲ Α, 11. πρβλ. καὶ ἑρμηνείαν Θεοδωρήτ. αὐτόθ. ἴδε καὶ Ὠσ. γ. 5. καὶ ια, 11: Μιχ. ζ. 17 κτλ. πρβλ. S. Hieronym. Comm. in Osee III. 5. βλ. καὶ Schulz Schol. in V. Test. Tom. VIII. p. 6, proleg. in Haggae, §. 2. καὶ tom. VII. καὶ Grot. Comm. in Hos. III. 5.

φυλῶν ηὔξησαν εἰς οὐκ ὀλίγον ἀριθμόν. Ὅθεν καὶ πεπαιδευμένους ἄνδρας ἱκανοὺς εἶχον ἑκάστη κατά τε τὴν Ἱερουσαλὴμ, καὶ ἀλλαχοῦ τῆς Ἰουδαίας. δ) Οὐδεμία τῶν δώδεκα φυλῶν ἠφανίσθη· ἀλλὰ μέχρι καὶ αὐτῆς τῆς ὑπὸ Ῥωμαίων πανωλεθρίας ἐσῴζετο ἡ τῶν φυλῶν διάκρισις, ὡς φαίνεται ἐκ τῶν χωρίων τῶν ἀποστολικῶν. Ἀλλὰ καὶ τὰ γένη τὰ ἑβραϊκὰ (ἢ αἱ πατριαὶ) ὑπῆρχον ἀνάγραπτα εἰς καταλόγους, τηρουμένους ἐν τοῖς ἀρχείοις μέχρι καὶ τοῦ Ἡρώδου. Οὗτος δὲ ξένος ὢν τοῦ γένους τῶν Ἰσραηλιτῶν, «καὶ τῷ συνειδότι τῆς δυσγενείας κρουόμενος, ἐνέπρησεν αὐτῶν τὰς ἀναγραφὰς τῶν γενεῶν, οἰόμενος εὐγενὴς ἀναφανεῖσθαι, τῷ μηδὲ ἄλλον ἔχειν ἐκ δημοσίου συγγραφῆς τὸ γένος ἀνάγειν ἐπὶ τοὺς πατριάρχας» κτλ. ὡς ὁ παλαιὸς Ἀφρικανὸς ἱστορεῖ (παρ' Εὐσεβ. Ἐκκλησ. ἱστορ. Α, 7) (α). Εἰς μάτην λοιπὸν οἱ περὶ τὸν Ὅδιον παρέστησαν ὡς ἐπιδεκτικὴν ἀμφιβολίας τὴν ἐκ τῶν ιβ φυλῶν ἐκλογὴν τῶν οβ, ἑρμηνευτῶν.

§. γ'. Δεύτερον· «Οἱ περὶ τὸν Ἐπισκόπιον καὶ Ῥίβετον καί τινες ἄλλοι σοφοὶ (β) πείθειν ἑαυτοὺς οὐ δύνανται, πῶς περὶ πραγμάτων ἱερῶν (τῆς τῶν θείων Γραφῶν ἑρμηνείας) ἐπεμελήθη Πτολεμαῖος ὁ Φιλάδελφος· « Τίς πιστεύει (λέγουσιν) ὅτι εἰς ἄνθρωπον οὐτιδανὸν, καὶ ἀπηνῆ, καὶ μιαιφόνον, καὶ ἀσελγῆ, καὶ μιαρὸν, εἰς ἀδελφοκτόνον καὶ αἱμομίκτην καὶ ἀνουσιουργότατον βασιλέα, ἐπῆλθε τοσαύτη μέριμνα καὶ φροντὶς, καὶ δαψιλὴς ἐλευθεριότης, καὶ σπουδὴ λιπαρὰ πρὸς διάδοσιν τοῦ νόμου τοῦ θεοῦ; Εἰς τὸν θρόνον

(α) Ἀλλ' ὁ Οὐαλέσιος (Annot ibid.) ἀμφιβάλλει· διότι, λέγει, ἐσῴζοντο ἔτι ἐπὶ Ἰωσήπου οἱ δημόσιοι πίνακες, ὡς αὐτός φησιν (ἐν βίῳ αὐτοῦ §. α). — Ἀλλ' ὁ Ἰώσηπος ἐννοεῖ τοὺς Ἱερατικοὺς καταλόγους (ἐξ ὧν ἑαυτὸν μέχρι προπάππου γενεαλογεῖ)· καὶ αὗται αἱ δημόσιοι δέλτοι, ἴσως, ἐτηρήθησαν. Ἔπειτα, καὶ αἱ ἐπισημότεραι οἰκογένειαι εἶχον πιθανῶς καὶ κατ' οἴκους τοῦ ἰδίου γένους ἀπόγραφα ἐκ τῶν δημοσίων ἀναγραφῶν.

(β) Episcopius Institut. Libr. V. §. 1. c. 21.: Rivetus Isagog. ad S. Script. c. 10: Weemsius Exercit. Theolog. Libr. I.: Vorst. in Ganz. Chronic. ect. Τούτοις συνυποκρέκει (καθὼς εἴωθε), μεταγράφων τὰ αὐτὰ σχεδὸν καὶ ὁ Βανδάλης (Diss. cap. VIII. p. 69).

ἀνέβη διὰ μιαιφονίας· δυοῖν ἀδελφῶν, τοῦ μὲν ὁμοπατρίου, τοῦ δὲ καὶ ὁμομήτορος τῷ αἵματι ἐλιπάνθη· τῆς αὐταδέλφης Ἀρσινόης γάμοις ἀθεμίτοις κατεμιάνθη. Τοιοῦτο στῆθος ἐναγὲς καὶ παμμίαρον πῶς ἂν ἐπυρώθη ὑπὸ τοσούτου ἔρωτος τῆς περὶ τὰ θεῖα τιμῆς; Ὁ δὲ θεὸς, ὁ μηδὲ τῷ Δαβὶδ συγχωρήσας τοῦ ναοῦ τὴν οἰκοδομὴν, ὡς αἱμάτων μὴ καθαρεύοντι, πῶς ἂν προσεδέξατο παρ' ἡγεμόνος ἀδελφοκτόνου καὶ παλαμναίου τῶν ἱερῶν Γραφῶν τὴν ἔκδοσιν, ἣν θείαν *τε λέγουσι*, καὶ προφητικὴν, καὶ κανονικήν;

Ἀπαντῶμεν.

Ὁμολογοῦμεν εἰλικρινῶς, καὶ ἀνεπαισχύντως, ὅτι παντάπασιν ἀγνοοῦμεν, πῶς εἰς τοιοῦτον (κατ' αὐτοὺς) βέβηλον, τὸν Φιλάδελφον, ἐπέτρεψεν ὁ θεὸς τὴν φροντίδα *τῆς λεγομένης τε καὶ οὔσης* θείας καὶ κανονικῆς ἑρμηνείας τῶν ἁγίων Γραφῶν· καὶ διὰ τί εἰς τοῦτον μάλιστα, καὶ μὴ εἰς ἄλλον τινά· καὶ διὰ τί τότε, καὶ εἰς τὴν Ἀλεξάνδρειαν, καὶ μὴ ἄλλοτε, μηδ' ἄλλοθι μηδαμοῦ. Ταῦτα καὶ τὰ τοιαῦτα διεξερευνάτωσαν αὐτοὶ πάλιν οἱ περὶ τὸν *Ἐπισκόπιον* φερωνύμως ἐπισκοποῦντες, καὶ θρασύτερον ἐγκύπτοντες (ὡς εἰώθασι) καὶ εἰς αὐτὴν τὴν ἄβυσσον τῶν ἀνεξερευνήτων τῆς θείας προνοίας βουλῶν. Ἡμεῖς δὲ προσκυνοῦντες τὸ βάθος τῆς θείας γνώσεως καὶ σοφίας, ἥτις οἶδεν « *ἐξάγειν καὶ τίμιον ἐξ ἀναξίου* », ἐπιφωνοῦμεν μετὰ τοῦ πατρὸς ἡμῶν, τοῦ Χρυσοῤῥήμονος· ὅτι « Τοιαῦτα τὰ ὑπὸ τοῦ Δεσπότου τοῦ ἡμετέρου οἰκονομούμενα· ἀεὶ διὰ τῶν ἐναντίων αὔξει τὰ τῆς ἀληθείας προστάγματα » (α). Σὺν τούτοις δὲ συγχρόνως ὑπομιμνήσκομεν τοὺς κριτικοὺς (ἐπειδὴ καὶ τῆς πρώτης

(α) « *Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι οὐ τῶν τὰ ἰουδαϊκὰ φρονούντων τις τὴν σπουδὴν ταύτην ἐποιήσατο* » (*τὴν περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν*), « *ἀλλ' ἀνὴρ* (*ὁ Φιλάδελφος*) *τοῖς εἰδώλοις προστετηκὼς, καὶ ἀπ' ἐναντίας τῇ θρησκείᾳ διακείμενος.* Τοιαῦτα *γὰρ εἰς ἅπαντα τὰ ὑπὸ τοῦ Δεσπότου τοῦ ἡμετέρου οἰκονομούμενα· ἀεὶ διὰ τῶν ἐναντίων αὔξει τὰ τῆς ἀληθείας προστάγματα* » (*Χρυσόστομ. Ὁμιλ. δ. εἰς τὴν Γένεσ.*). *Ἄπορον πῶς τούτων ἐπελάθοντο οἱ περὶ τὸν Ἐπισκόπιον· καὶ ἔτι ἀπορώτερον, πῶς οὐδ' ὁ κλεινὸς Ὅσιος αὐτῶν ἐπεμνήσθη ἐνταῦθα, καί τοι ἀλλαχοῦ παραμνημονεύσας ἐπὶ ματαίῳ* (*βλ. ὄπισθ. σελ.* 589).

τοῦ ναοῦ ἐπεμνήσθησαν οἰκοδομῆς), ὅτι καὶ Χιρὰμ ὁ Τύρου βασιλεὺς ἐθνικὸς ἦν, καὶ εἰδωλολάτρης ἐκ γένους, καὶ ὅμως συνήργησε τῷ Σολομῶντι εἰς τὴν κατασκευὴν τοῦ ναοῦ, «καὶ ἀντελάβετο αὐτοῦ, ἐν ξύλοις κεδρίνοις καὶ πευκίνοις, καὶ ἐν χρυσίῳ, καὶ ἐν παντὶ θελήματι αὐτοῦ» (Γ. Βασιλ. θ. 11: ε. 10, κτλ.). Διὰ τί λοιπὸν καὶ ὁ τοῖς εἰδώλοις προστετηκὼς, Φιλάδελφος οὐκ ἠδύνατο παρομοίως συνεργῆσαι πρὸς τὴν θείᾳ νεύσει γενομένην ἑρμηνείαν τῶν Γραφῶν; (α). Ἀλλὰ τὸν μὲν Χιρὰμ (ἂν θέλωσι) παραλείπομεν, ὡς ἁπλῶς γενόμενον συνεργὸν εἰς τὴν πρώτην τοῦ ναοῦ κατασκευήν. Οὐδὲ τὸν φονικώτατον Ἡρώδην μνημονεύομεν, ἀνιδρυτὴν γενόμενον κἀκεῖνον, ἢ ἐπισκευαστὴν, τῆς τρίτης καὶ ἐσχάτης περιόδου τοῦ ναοῦ. Τὸν δὲ Κῦρον «τὸν χριστὸν Κυρίου» ποῦ θήσουσιν, «*ὃν ἐξήγειρε Κύριος οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν Ἱερουσαλὴμ*»; Ἆρά γε ἧττον ἐθνικὸς καὶ βέβηλος ὑπῆρχεν ὁ Κῦρος παρὰ τὸν Φιλάδελφον; ἢ μήπως ἡ λαμπρὰ τοῦ νομικοῦ ναοῦ οἰκοδομὴ, ἧς οὐδ' ἴχνος ὕστερον ὑπελείφθη, ὑπῆρχεν ἔργον θεοπρεπέστερον παρὰ τὴν εἰς αἰῶνας ἀΐδιον διατελοῦσαν ἑρμηνείαν καὶ διάδοσιν τῶν θείων Γραφῶν; Καὶ Δαρεῖος δὲ καὶ Ἀρταξέρξης οὐκ ἦσαν ὁμοίως ἐθνικοὶ καὶ τὰ ἤθη καὶ τὴν θρησκείαν, οἵτινες καὶ αὐτοὶ μετὰ τὸν Κῦρον ὑπηρέτησαν τῇ θείᾳ βουλῇ; Οἱ δὲ περὶ τὸν Ὅδιον πρὸ μικροῦ καὶ αὐτὴν τὴν εἰς τὸν *γνωστὸν ἐν τῇ Ἰουδαίᾳ* ἀληθῆ θεὸν παρὰ τῶν τριῶν τούτων βασιλέων τῆς Περσίας εὐλάβειαν καὶ τιμὴν, ἐκ θείας ἐπιπνοίας αὐτοῖς ἐπαυγάσασαν ὡμολόγησαν. (βλ. κεφ. Κ. §. ιϛ, ιζ). Ἤδη δὲ πρὸς ταῦτα μὲν τὰ παντελῶς ἀνεπίσκεπτα *ἐπισκοπιακὰ* οὐδὲν οἱ ἄνδρες ἀντιλέγουσιν (ὡς δοκιμάζοντες αὐτὰ δηλονότι καὶ ἀποδεχόμενοι μετὰ σιωπῆς), ἵνα

(α) Ὁ δὲ Δεμάγιστρος καὶ πρὸς αὐτὸν τὸν Σολομῶντα τολμηρότερον παραβάλλει τὸν Φιλάδελφον, καὶ πολλὰς τῶν ἑκατέρου βίων περιστάσεις ἐλλέγων, εὐφυέστερον μᾶλλον, ἢ εὐλαβέστερον ἀριθμεῖ· οἷον, σοφίας ἐραστὴς ὁ Σολομὼν, σοφίας (τῆς ἀνθρωπίνης) καὶ ὁ Φιλάδελφος· ζώντων σφίσι τῶν πατέρων ἐβασίλευσαν ἀμφότεροι· τὸν ἀδελφὸν Ἀδωνίαν ἀπέκτεινεν ὁ Σολωμὼν ὡς ἐπίβουλον τῆς βασιλείας, καὶ τὸν ἀδελφὸν Ἀργαῖον ὁ Φιλάδελφος· εὐκλεέστατος κἀκεῖνος καὶ οὗτος περὶ τὰς μεγάλας οἰκοδομάς· κτλ. βλ. Demagistr. Diss. III. §. 23. pag. 423.

διπλῶς ἁμαρτάνωσι, πρός τε ἑαυτοὺς ἀντιφάσκοντες, καὶ (τὸ χεῖρον) ἀνεχόμενοι καὶ αὐτῆς τῆς ἀσυμφύλου συγκρίσεως τοῦ ἐθνικοῦ καὶ τὸν θεῖον νόμον ἀγνοοῦντος Φιλαδέλφου, πρὸς τὸν ὑπὸ νόμον καὶ θεόχριστον δοῦλον τοῦ θεοῦ, τὸν Δαβίδ, καὶ τοῖς αὐτοῖς σταθμίζοντες ζυγοῖς τὴν ἐνοχὴν τῶν τε χωρὶς νόμου, καὶ τῶν ἐν νόμῳ ἐπταικότων! Οὕτως οἱ τοῖς ἱεροῖς πατράσιν ἀπειθοῦντες καὶ ἀντιλέγοντες ἀποβαίνουσι πολὺ τῶν πατέρων ἀκριβέστεροι, ἀπαιτοῦντες παρὰ τοῦ ἐθνικοῦ Φιλαδέλφου τὴν ἁγιωτάτην τήρησιν πασῶν τῶν ἐντολῶν τοῦ Θεοῦ! Ἄλλο δέ τι χαριεντίζεται ὁ σοφὸς Ὅδιος, λέγων, ὅτι «Καὶ εἴπερ ἦν τοσαύταις ἀθεμιτουργίαις πεπλαγμένος ὁ Φιλάδελφος (ὡς λέγουσιν οἱ περὶ τὸν Ἐπισκόπιον), περὶ μὲν τῆς εἰς θεὸν αὐτοῦ *εὐσεβείας* δικαίως ἂν ἠπίστουν οἱ ἄνδρες ὡς ψευδομένῳ τῷ Ἀριστέᾳ» — (ἐπειδὴ πάντως, οὐχ ὁρᾷς; ὁ Ναβουχοδονόσορ καὶ Ἀρταξέρξης, οἱ συναίσθησιν λαβόντες τοῦ ἀληθινοῦ θεοῦ, ὑπῆρχον πάσης ἀνοσιουργίας ἁγνοὶ καὶ καθαρεύοντες!) — « Ἀλλ᾽ ἐκ τούτου (λέγει) οὐχ ἕπεται καὶ ὅτι οὐκ ἐφρόντισεν ὁ Φιλάδελφος περὶ τῆς ἑρμηνείας τοῦ νόμου τῶν Ἰουδαίων· ἠδύνατο γὰρ τοῦτο ποιῆσαι, εἰ καὶ μὴ δι᾽ εὐσέβειαν μηδεμίαν, ἀλλ᾽ ἐκ φιλολογίας γοῦν καὶ φιλομαθείας, καὶ ἵνα θησαυρισθῇ ἡ ἑρμηνεία εἰς τὴν βασιλικὴν βιβλιοθήκην. Οὕτω (προστίθησι) καὶ Πτολεμαῖος ὁ β. Εὐεργέτης, καί τοι μεταξὺ τῶν μεταγενεστέρων τῆς Αἰγύπτου βασιλέων ἀδικώτατος γενόμενος, ἀλλ᾽ ὅμως λίαν φιλομαθὴς ὑπῆρχε καὶ φιλόλογος. Ὥστε (κατὰ τοῦτο) οὐδὲν ἔχει βάρος, ὁ λόγος, ὃν εἶπαν, ὅτι τάχα οὐκ ἂν συνεχώρησεν ὁ θεὸς ἑρμηνευθῆναι τὰς Γραφὰς δι᾽ ἐπιμελείας βασιλέως ἀδελφοκτόνου! ». — Ταῦτα περὶ τούτου παίζει σεμνῶς Ὅδιος, ἀντιλέγων δῆθεν πρὸς τοὺς περὶ τὸν Ἐπισκόπιον, ἵνα τὸ αὐτὸ ἑτέρωθεν κατασκευάσῃ, ὅτι δηλαδὴ ψεύδεται ὁ Ἀριστέας!

Ὑπερασπίζεται δὲ ὅμως ὡς ἐκ τοῦ ἤθους τὸν Φιλάδελφον, ἀμφιβάλλων, εἴπερ ἦν ἐπὶ τοσοῦτον ἀνόσιος καὶ παλαμναῖος, ὁποῖον αὐτὸν πικρῶς διέγραψαν οἱ μισοφιλάδελφοι κριτικοί. « Παλαιοὶ (λέγει) συγγραφεῖς μαρτυροῦσι περὶ αὐτοῦ τἀναντία. Παραλείπομεν τὰ ἐγκώμια τοῦ Θεοκρίτου καὶ Καλλιμάχου, συγχρόνων τῷ Φιλα-

δέλφῳ ποιητῶν. Τοῦτον δὲ καὶ Στράβων συναριθμεῖ μετὰ τῶν χρηστῶν βασιλέων τῆς Αἰγύπτου. Καὶ Ἀθήναιος « *τὸν πάντ' ἄριστον, καὶ πάντων σεμνότατον τῶν δυναστῶν* » ἀποκαλεῖ (βιβλ. ε. καὶ ιβ). Ὁ δὲ Φίλων, « Ἀρεταῖς τῶν ἐν ἡγεμονίᾳ πάντων, οὐχὶ τῶν καθ' αὐτὸν μόνον, ἀλλὰ καὶ τῶν πάλαι πώποτε γεγενημένων ἄριστον ». Εἰ δὲ τὴν αὐταδέλφην ἔγημε, τοῦτο κατὰ τοὺς Αἰγυπτίων ἔπραξε νόμους (Παυσαν.). Καὶ τοὺς δύω τοὺς ἑτεροθαλεῖς ἀδελφοὺς ἀπέκτεινεν, ἐπιβουλεύοντας εὑρὼν, τὸν μὲν εἰς τὴν ἰδίαν αὐτοῦ ζωὴν, τοῦ δὲ τοὺς Κυπρίους ἐγείροντα εἰς ἀποστασίαν. Ὥστε (λέγει) λίαν ἀμαθὴς τῆς ἱστορίας φαίνεται ὁ Βόρστιος εἰπὼν, ὅτι διὰ τῆς ἀδελφοκτονίας ἀνέβη τὸν θρόνον ὁ Φιλάδελφος, ὃν αὐτὸς αὐτοῦ ὁ πατὴρ παρέλαβεν ἀναίμακτον κοινωνὸν καὶ διάδοχον τῆς βασιλείας ». Ταῦτα σοφῶς καὶ δικαίως ὁ Ὅδιος. Προστίθησι δὲ καὶ τὰ ἐφεξῆς. « Γελοῖον δὲ (λέγει) κἀκεῖνο τὸ ψεῦδος τὸ τοῦ φυλάρχου, ὅστις εἶπε τὸν Φιλάδελφον « ἐξαπατηθῆναι τὴν διάνοιαν, καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς» (διότι νέος ὢν καθηδυπάθει, παλλακαῖς ἐνασελγαίνων). Ἀλλ' ὁ Πλούταρχος (Θεμιστοκλ. §. ΛΒ) τὴν Φυλάρχου ἱστορίαν ἔκρινε μυθώδη, λέγων· « Φύλαρχος, ὥσπερ ἐν τραγῳδίᾳ, τῇ ἱστορίᾳ μηχανάς τινας καὶ πλάσματα πλάττει ». — Σὺ δὲ σημείωσαι, ἀναγνῶστα, πῶς ὁ κλεινὸς Ὅδιος τοῦτον αὐτὸν τὸν Φύλαρχον ἐκ ταύτης αὐτοῦ τῆς ῥήσεως εἰσῆγε πρῴην κατὰ τοῦ Φιλαδέλφου μάρτυρα πιστὸν (βλ. ὄπισθ. σελ. 245), ἐπιλαθόμενος τότε τῆς περὶ τούτου κρίσεως τοῦ Πλουτάρχου. Ἤδη δὲ καὶ ταύτης ἐμνημόνευσεν, εὖγε ποιῶν, καὶ οἷον ἀναιρῶν σιωπηλῶς τὰ προειρημένα. Καὶ ἔστι μὲν ἀξιέπαινος ἕνεκα τῆς προαιρέσεως ὁ ἀνήρ. Αὐτὴν δὲ ὅμως τὴν τοῦ Φυλάρχου ῥῆσιν, καὶ πρῴην περικεκομμένην, καὶ ὧδε μικρῷ τελειοτέραν ἐξενεγκὼν, πανταχοῦ κακῶς ἐξήγησε (βλ. Κεφ. Θ. §. ς. καὶ ις). Οὕτω « *μάταιοι υἱοὶ τῶν ἀνθρώπων καὶ ψευδεῖς* » *(τὸ τοῦ ψαλμῳδοῦ)*, καὶ μάλιστα, ὅταν κρίνωσι τὰ τῶν ἄλλων *ἐν ζυγοῖς ἀδικίας*. Τελευταῖον, καὶ τὴν παρὰ μόνῳ τῷ Νέπωτι Κορνηλίῳ μνημονευομένην κατὰ τοῦ Φιλαδέλφου περὶ πατροκτονίας ὑπόνοιαν, τρανὴν συκοφαντίαν

Ὄδιος ἀπέδειξεν ἐκ τῶν Ἰουστίνου ἱστοριῶν, ὅστις καὶ τὸν Λάγου Πτολεμαῖον ὑπὸ νόσου τελευτήσαντα φρονεῖ· καὶ τῆς ἀμοιβαίας τοῦ υἱοῦ πρὸς τὸν πατέρα εὐσεβείας κάλλιστα δείγματα διηγεῖται (ιϛ, 1). Καί τινας πάλιν ἄλλους, ὀνειδίσαντας τὸν Φιλάδελφον ὡς ὠμῶς χρησάμενον τῷ Σωτάδῃ (α), δικαίως ἤλεγξεν ὁ κριτικὸς ἀπό τε τοῦ Πλουτάρχου, λέγοντος, ὅτι ὁ Σωτάδης ὑβρίσας εἰς τὸν Φιλάδελφον, «ἵνα γέλωτα παράσχῃ τοῖς ἄλλοις, *οὐ μεμπτὴν ἔδωκε δίκην*», καὶ ἐκ τοῦ Ἡγησάνδρου, ἱστορήσαντος, ὅτι «εἰρήκει εἰς τὸν βασιλέα πολλὰ καὶ δεινά· *διόπερ καὶ τῆς δεούσης ἔτυχε τιμωρίας*» (βλ. ὄπισθ. σελ. 102). Οὕτω γενναίως Ὄδιος ἀπολογεῖται ὑπὲρ τοῦ Φιλαδέλφου. Πολλὰ δ' ἂν εἶχε προσθεῖναι καὶ ἄλλα πρὸς τούτου ἔπαινον, ἀρυσάμενος ἀπὸ τῶν συγγραφέων, ὧν τινα καὶ ἡμεῖς ἐν τοῖς ἔμπροσθεν ἐσημειωσάμεθα. Τὸ δὲ κάλλιστον καὶ μέγιστον τῶν Φιλαδέλφου κατορθωμάτων ἐκεῖνο μάλιστα θαυμάζεται, τὸ *περὶ τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν*. Τοῦτο περιέβαλεν αὐτὸν ἀγήραντον καὶ ἀμάραντον εὔκλειαν, διὰ πάντων μὲν αἰώνων, διὰ πάσης δὲ τῆς οἰκουμένης ἄχρι συντελείας χωροῦσαν ἀοίδιμον. Καὶ εἰ Κῦρος καὶ Δαρεῖος καὶ Ἀρταξέρξης ἐγένοντο ζηλωτοί, διότι, συνεργήσαντες εἰς ἀνέγερσιν τοῦ ναοῦ τῶν Ἱεροσολύμων, κατηξιώθησαν ἐν ταῖς θείαις μνημονεύεσθαι Γραφαῖς· πολλῷ πλέον ὁ Φιλάδελφος ἀπέβη ζηλωτότερος διὰ τὴν αὐτῶν τῶν θείων Γραφῶν μὴ μόνον εἰς μίαν χώραν, ἢ βασιλείαν, ἀλλ' εἰς τὸν σύμπαντα κόσμον διάδοσιν. Διὰ τὸν Φιλάδελφον πᾶσα γῆ, καὶ Ἑλλὰς καὶ βάρβαρος, καὶ πάντα τὰ ἔθνη ἤκουσαν τὸ πρῶτον τὴν ἐν τοῖς Προφήταις λαλοῦσαν φωνὴν τοῦ Θεοῦ, καὶ εἶδον ἀνοιγέντα τὰ μεγάλα καὶ φωσφόρα πρόθυρα τῆς εἰς Χριστὸν πίστεως. Ὅθεν καὶ τὸ Φιλαδέλφειον ὄνομα κλεΐζεται καὶ κατ' αὐτὴν τὴν ἐκκλησιαστικὴν ἱστορίαν, ὡς κάλλιστα καί τις τῶν νεωτέρων σοφῶν παρετήρησε (β).

(α) Βλ. Christ. Matthiae Theatr. Histor. καὶ Robert. Baillij Op. Hist. L. I.

(β) « La tolérance envers les religions différentes de la sienne, et particulièrement envers celle des Juifs, — et la version grecque des livres saints, qui fut le frui de cette tolérence, et qu'on s'est plu a regarder comme

« Τοιαῦτα τὰ ὑπὸ τοῦ ἡμετέρου Δεσπότου πανσόφως οἰκονομούμενα! ». Τοῦτο δὲ τὸ Φιλαδέλφου κλέος ὁ σοφὸς Ὅδιος ἢ *λάθετ*, ἢ *οὐκ ἐνόησεν*, ἢ οὐκ ἠθέλησεν ἐξειπεῖν. Πλὴν ἀλλ' ἐπειδὴ καὶ ἄλλως φαίνεται τὸν Φιλάδελφον δικαιῶν, ὁ δ' αὐτὸς ὡμολόγησεν ἀλλαχοῦ καὶ ἄλλους ἐθνικοὺς οὐ χωρὶς θεοῦ τὰ θεῖα τετιμηκότας, ὤφειλε πάντως καὶ τὴν Ἐπισκοπίου καὶ τῶν ἄλλων κατ' Ἀριςέου προκειμένην κατηγορίαν οὐχ ὡς ἀμφίβολον ἐν τούτῳ τῷ κεφαλαίῳ, ἀλλ' ὡς πάντη ψευδῆ καὶ ἀνυπόστατον ἐξελέγξαι.

§. δ'. Τρίτον. Ὁ Ῥίβετος καὶ Βήμσιος ὀνειδίζουσιν ὡς ψεύστην τὸν Ἀριστέαν, διότι τὸν ὑπὸ τῶν Ο, τῷ Φιλαδέλφῳ προνενεχθέντα κώδηκα τῶν θείων Γραφῶν, ἱστόρησε γεγραμμένον *γράμμασι χρυσοῖς*. « Οἱ Ῥαββῖνοι (λέγουσι) τῶν Ἑβραίων μαρτυροῦσιν, ὅτι οὐκ ἐξῆν οὐδενὶ, οὐδ' αὐτῷ τῷ βασιλεῖ, τὰς ἱερὰς βίβλους μεταγράφειν, εἰ μὴ μόνον διὰ μέλανος, καὶ τούτου κατεσκευασμένου ἐξεπίτηδες ἀπὸ λιγνύος, ἢ καπνοῦ τινος ἐλαιηροῦ (οἷον ἐξ ἐλαίου, ἢ πίσσης, ἢ στέατος, ἢ ἄλλου τῶν τοιούτων), μεμιγμένου ἐν ξύλῳ κεκαυμένῳ μετ' ὀλίγου μέλιτος, καλῶς ἀναδεδευμένου, μέχρις ἂν λεπτυνθῇ. Μετὰ δὲ ταῦτα ξηρανθὲν ἀπετίθετο· καὶ ὅτε δέοι γράφειν, διελύετο ἐν ὕδατι κηκίδων, ἢ τινὸς τῶν τοιούτων. Ἀλλὰ καὶ τῷ Μωσεῖ (λέγουσιν) ἐν τῷ Σιναίῳ προσετάγη, ἵνα τὰ θεῖα βιβλία μεταγράφωνται διὰ μέλανος, ἄλλου δὲ χρώματος μηδενὸς, οἷον ἐρυθροῦ, ἢ πρασίνου, καὶ τῶν ὁμοίων. Ἐὰν δ' ἐκ τῶν τοιούτων, κατὰ τύχην, ἓν καὶ μόνον γράμμα, καὶ τὸ σμικρότατον, γραφῇ, βεβηλοῦται τὸ πᾶν τῆς Γραφῆς. Ἀλλ' οὐδ' αὐτὴ ἡ εὐγενὴς χρυσῆ βαφὴ συγχωρεῖται. Διὰ τοῦτο (λέγουσιν), ὡς ἀνηνέχθη τοῖς Γραμματεῦσιν, ὅτι ἡ Πεντάτευχος τοῦ Μ. Ἀλεξάνδρου περιεῖχε τὸ ὄνομα τοῦ Θεοῦ γράμμασι χρυσοῖς πανταχοῦ κεχαραγμένον, εὐθὺς ἀνέκραξαν· « Ἄρατε τὸ βιβλίον ἐκ μέσου ». Ταῦτα λέγει καὶ Σχικκάρδιος μεταγράψας ἐξ αὐτῶν τῶν Ταλμουδιστῶν (α).

---

l'effet de ses ordres et de ses soins particuliers, a fait passer son nom avec gloire jusque dans l'histoire de la Religion révélée » Visconti Iconograph. Grecque T. 3. p. 205. Paris, 1811.

(α) Wilhelm. Schickardus de Jure Hebr. c. 2. [πρβλ. καὶ Volgelsang.

Ἀπαντῶμεν.

Ἀλλὰ πρὸς ἔλεγχον τῶν λήρων τούτων τῶν ῥαββινικῶν ἀρκεῖ καὶ μόνος ὁ Ἰώσηπος, ὅστις καὶ Ἰουδαῖος ὤν, καὶ ἱερεύς, ἱστόρησεν ὅμως καὶ αὐτὸς, ὡς ὁ Ἀριστέας, τὰς ἐξ Ἱεροσολύμων ἀποσταλείσας διφθέρας τοῦ Νόμου « *γεγραμμένας γράμμασι χρυσοῖς* »· εἰ δὲ καὶ ἀπηγόρευτο τὸ τοιοῦτο, πῶς ἂν ἐλάνθανε τὸν Ἀριστέαν καὶ τὸν Ἰώσηπον; (α). Ὅτι δὲ καὶ μόνος ὁ Ἰώσηπος ὑπάρχει παρὰ πάσας τὰς τῶν νεωτέρων ῥαββίνων ἀγέλας ἀσυγκρίτως ἀξιοπιστότερος, οὐκ ἂν ἀρνηθεῖεν οὐδ' οἱ περὶ τὸν Ῥίβετον κομψοὶ Ῥαββινισταί. Ἔπειτα καὶ αὐτὴν τὴν Ταλμουδικὴν κατὰ τῆς χρυσογραφίας ἀπόφανσιν περιώρισάν τινες τῶν κριτικῶν, ἐκλαβόντες ἐπὶ μόνων τῶν ἐν ταῖς Συναγωγαῖς καὶ τῷ ναῷ τηρουμένων κωδήκων τοῦ νόμου. Τὰ δὲ πρὸς χρῆσιν ἰδίαν ἀπόγραφα ἔξεστι γράφειν καὶ χρυσοῖς χαρακτῆρσι. Καὶ τοιαῦτα χρυσόγραφα τεύχη εὑρίσκονται καὶ τὴν σήμερον (β). Ἀλλ' ὁ,τιδήποτ' ὠνειρεύθησαν οἱ Ταλμουδογράφοι, τὸ γράφειν τὰς ἱερὰς βίβλους γράμμασι χρυσοῖς ὑπῆρχε παρὰ τοῖς ἀρχαίοις Ἰουδαίοις ἀκώλυτον καὶ σύνηθες, ὡς εἴθιστο καὶ παρ' ἄλλοις ἔθνεσιν, ἐπί τινων ἐπισήμων συγγραμμάτων (γ), ὡς σημεῖον ἐξωτερικὸν τῆς περὶ τὰ γεγραμμένα τιμῆς, καὶ πρὸς κόσμον δὲ φιλοκαλίας, καὶ λαμπρότητος πλουτούσης ἐπίδειξιν· (πάντως γὰρ τὸ χρυσογραφεῖν ἀπήτει καὶ φιλοτιμίαν ἰδίαν, ὁποίαν τὰ πολλὰ καὶ πρὸς δημοσίαν χρῆσιν διωρισμένα τεύχη στέγειν οὐκ ἠδύναντο,

---

Exercit. Theol. p. 176. — Carpzovij Crit. Sacr. P. II. c. 2. p. 488. — Hudson. Not. εἰς Ἰώσηπ. Ἀρχαιολ. σελ. 593 Tom. α. Hav. — Σημ. ἡμετ.].

(α) Βλ. I. Vossij de LXX. cap. 4. p. 10.

(β) Reland. not. εἰς Ἰώσηπ. (αὐτόθι). Ἀλλὰ καὶ τοῦ θείου Εὐαγγελίου χρυσόγραφοι κώδηκες ἀρχαῖοι, πρὸς ἰδίαν χρῆσιν μάλιστα κατεσκευασμένοι, πολλαχοῦ τῶν βιβλιοθηκῶν εὑρίσκονται καὶ καθ' ἡμᾶς.

(γ) « Ἀνέγνων δὲ τὸν διάλογον, χρυσοῖς γράμμασι γεγραμμένον » κτλ. (Λουκιαν. Ἀλεξ. ἢ ψευδ. §. 43. σελ. 247. τόμ. B. Reitz.). Πολλάκις δὲ μόνος ὁ πίναξ τῶν τοῦ βιβλίου κεφαλαίων ἐγράφετο χρυσοῖς γράμμασιν, ὡς ἐσημείωσεν ὁ J. Voss. ad Catulum p. 52. πρβλ. καὶ Not. crit. εἰς τὸ Λουκιαν. πρὸς Ἀπαίδευτ. κτλ. σελ. 113 τόμ. 3. Reitz.

διά τε τὸ πολυδάπανον, καὶ τὸ τῶν γραμμάτων εὐεξάλειπτον, εὐκόλως τῆς χρυσῆς βαφῆς ἐκτριβομένης διὰ τὴν συχνὴν μεταχείρισιν). Τὴν δὲ περὶ τοῦ γράφειν μέλανι μόνῳ τὸν νόμον θείαν πρὸς τὸν Μωϋσῆν ἐντολὴν (*ἑνδεκάτην*, ἴσως, ταύτην τοῦ Δεκαλόγου!), καὶ τὴν Ἀλεξάνδρου δὲ τοῦ Μεγάλου Πεντάτευχον, πρόσθες καὶ τὴν μαγειρικὴν περὶ τὸ σκεύασμα τοῦ γραφικοῦ μέλανος μαγγανείαν (α), καὶ αὐτὸς ὁ κλεινὸς Ὅδιος χωρίς τινος ἀμφιβολίας ἐξεσύριξεν, ὡς ψεύδη παχυλά.

§. έ. Τέταρτον: Ὁ Χαμιῆρος ἐκ τῆς κατ᾽ αὐτὸν ἐπιγεγραμμένης *Πανστρατιᾶς* (β) ἀποτοξεύει κατὰ τοῦ Ἀριστέου τρεῖς τινας ἰδίως κατηγορίας. Α) « Ὅτι πράγματα μικρὰ καὶ εὐτελῆ ὡς μέγιστα καὶ ὑψηλὰ διαγράφει· οἷον, ὅτι ὁ βασιλεύς, ὡς εἶδε τὰς παρὰ τῶν Ο, κομισθείσας διφθέρας τῶν Γραφῶν, « ἐθαύμασε τῆς ἰσχνότητος τοὺς ὑμένας, καὶ τῆς συμβολῆς τὸ ἀνεπίγνωστον ». Ταῦτα ἔχει καὶ Ἰώσηπος. Ὁ δ᾽ Ἀριστέας ἐπονομάζει τὸ πρᾶγμα καὶ θαυμαστὸν ἰδεῖν· ὅθεν καὶ ὁ *βασιλεὺς ἰδὼν ἐξεπλάγη ἀπορῶν, καὶ προσεκύνησεν ἑπτάκις!* ὡσανεὶ τὰ τοιαῦτα (τὸ περὶ τὴν λεπτότητα καὶ τὴν καλλίτεχνον συγκόλλησιν τῶν διφθερῶν) συνέβαλον μέγα τι πρὸς εὐσέβειαν, ἢ καὶ προσηύξανον τὴν μεγαλοπρέπειαν τοῦ θείου νόμου ».

Ἀπαντῶμεν.

Ἀλλ᾽ ὁ Πανστρατιογράφος οὗτος, ὡς φαίνεται, μεταξὺ θορύβων καὶ κρότων τοῦ κατ᾽ αὐτὸν παντοδαποῦ στρατοπέδου διάγων, παρήκουσεν, οὐδ᾽ ἐνόησεν ἀκριβῶς, οὔτε τὰς Ἀριστέου, οὔτε τὰς Ἰωσήπου φωνάς. Ὁ δ᾽ Ἀριστέας ἱστορήσας πρότερον « τὰς διαφόρους διφθέρας, ἐν αἷς ἦν ἡ νομοθεσία γεγραμμένη χρυσογραφίᾳ, τοῖς ἰουδαϊκοῖς γράμμασι, θαυμασίως εἰργασμένου τοῦ ὑμένος, καὶ τῆς

(α) Περὶ τοῦ ἀπὸ καμιναίας μάλιστα λιγνύος, ἢ ἀσβόλης, σκευαζομένου, καὶ περὶ ἄλλων διαφόρων παρὰ τοῖς ἀρχαίοις τοῦ γραφικοῦ, ἢ καλλιγραφικοῦ, μέλανος εἰδῶν. βλ. Vitruv. 7, 10 sq.-Plin. 35. 6:-Voss. de Idololatr. 4. 49:-Salmas. de Cruce p. 483:-Montfaucon Palaeograph. I. c. 1:.—Mabillon. de Re Diplomatic. Lib. 10 cap 10. pag. 42. etc —(β) Chamierus Panstrat. 13, 4.

πρὸς ἄλληλα συμβολῆς ἀνεπαισθήτου κατεσκευασμένης », ἐπιφέρει· « Ὡς δ᾽ ἀπεκάλυψαν (οἱ Ο,) τῶν ἐνειλημάτων, καὶ τοὺς ὑμένας ἀνείλιξαν, πολὺν ἐπιστὰς χρόνον ὁ βασιλεύς, καὶ προσκυνήσας σχεδὸν ἑπτάκις, εἶπε». κτλ. Ὡσαύτως καὶ Ἰώσηπος· « Ὡς δ᾽ ἀποκαλύψαντες τῶν ἐνειλημάτων ἀπέδειξαν (οἱ Ο, τὰ βιβλία), θαυμάσας ὁ βασιλεὺς τῆς ἰσχνότητος τοὺς ὑμένας, καὶ τῆς συμβολῆς τὸ ἀνεπίγνωστον (οὕτω γὰρ ἥρμοστο), καὶ τοῦτο ποιήσας χρόνῳ πλείονι, χάριν εἶπεν ἔχειν αὐτοῖς », κτλ. Ὁ δὲ θαυμάσιος Χαμιῆρος ἀναμάξας καὶ συμφύρας τὰς Ἀριστέου πρὸς τὰς Ἰωσήπου φράσεις, καὶ τὸ νόημα διαφθείρας, παρέστησεν ἡμῖν τὸν Ἀριστέαν λέγοντα δῆθεν, ὅτι ὁ βασιλεὺς ἔκπληκτος, καὶ μονουνουχὶ λίθινος ὑπὸ θάμβους ἐγεγόνει, θεωρῶν τὴν λεπτότητα τῶν διφθερῶν! καὶ ὅτι « *τὴν λεπτότητα τῶν ὑμένων ἐκπλαγεὶς ὁ βασιλεύς, προσεκύνησεν ἑπτάκις* » (ταύτην δηλαδὴ τὴν λεπτότητα καὶ καλλιτεχνίαν σεβασθείς!).

Β) Ὁ δ᾽ αὐτὸς Πανστρατιάρχης διατείνεται καὶ ὅτι, « μῦθον ἄτοπον ἔπλασεν Ἀριστέας, εἰσάγων τοὺς Ἰουδαίους ὡς ἔχοντας ἔθος πρὸ τῆς προσευχῆς ἀπονίπτεσθαι τὰς χεῖρας *ἐν τῇ θαλάσσῃ* ».

Ἀπαντῶμεν.

Ἀλλ᾽ οὐδ᾽ ἐν τούτῳ κατενόησεν ὁ Χαμιῆρος τὸν Ἀριστέαν. Ἰδοὺ τὶ λέγει οὗτος· « Ἅμα δὲ πρωΐᾳ οἱ Ο, — ἀπελύοντο πρὸς τὸν ἑαυτῶν τόπον (τὴν νῆσον Φάρον). Ὡς δὲ ἔθος ἐστὶ πᾶσι τοῖς Ἰουδαίοις, ἀπονιψάμενοι τῇ θαλάσσῃ τὰς χεῖρας, ὡς ἂν ηὔξαντο πρὸς Θεόν, ἐτρέποντο πρὸς τὴν ἀνάγνωσιν » κτλ. Ἐνταῦθα πᾶς τις βλέπει προφανῶς, ὅτι τὸ, « *ἔθος ἐστὶ πᾶσι τοῖς Ἰουδαίοις* », ἀναφέρεται πρὸς μόνον τὸ *ἀπονίπτεσθαι τὰς χεῖρας* (πρὸ τῆς προσευχῆς), τὸ δὲ *τῇ θαλάσσῃ*, ἰδίως καὶ περιστατικώτερον εἰς τοὺς Ο, οἵτινες διαβαίνοντες εἰς τὴν νῆσον, θαλάσσιον ὕδωρ εἶχον πρόχειρον πρὸς ἀπόνιψιν. (Ἔξεστι δὲ δήπου τοῖς Ἰουδαίοις καὶ θαλασσίῳ πρὸς χέρνιβα χρῆσθαι, ὅταν πηγαῖον ἢ ποτάμιον ἀπῇ· καὶ μαρτυρεῖ πρὸ πάντων αὐτὸς ὁ Ἰουδαῖος Ἰώσηπος, ἀντιγράφων πιστῶς ἐξ Ἀριστέου τὸ *ἀπενίπτοντο θαλάσσῃ* τὰς χεῖρας ») (α). Ὁ δὲ Χαμιῆρος ἐξέ-

(α) Ἄλλο καθάρσιον ὕδωρ ὑπῆρχε τὸ διατεταγμένον ἰδίως ὑπὸ τοῦ νόμου πρὸς

λαβεν ὡς ἐπὶ πάντων τῶν Ἰουδαίων εἰρημένον τὸ *θαλάσσῃ νίπτεσθαι* πρὸ τῆς προσευχῆς! Ἀλλὰ πότερον, ὁ Ἀριστέας ἆρά γε, μετ' αὐτοῦ δὲ καὶ Ἰώσηπος, ἠγνόουν παντελῶς, ὅτι μυρία τῶν Ἰουδαίων φῦλα καὶ αὐτοὶ οἱ Ἱεροσολυμῖται ἠπόρουν θαλασσίου ὕδατος, ὡς ἄνω κατοικοῦντες μακρὰν ἀπὸ τῆς θαλάσσης; (ἀποροῦντες δὲ τοιούτων χερνίβων, οὐδ' ἐνίπτοντο λοιπὸν τὰς χεῖρας πρὸ τῆς προσευχῆς!)· ἢ μήπως ὁ Χαμιῆρος ἐνύσταζεν ἀναγινώσκων καὶ τὸν Ἀριστέαν καὶ τὸν Ἰώσηπον;

Γ) Τέλος, κακίζει τὸν Ἀριστέαν ὡς γράφοντα δῆθεν, ὅτι κατὰ τὴν αὐλὴν τῆς Ἀλεξανδρείας « ΟΥ̓Κ ἮΝ ἜΘΟΣ εἰς πρόσωπον τοῦ βασιλέως ἔρχεσθαι τοὺς πρέσβεις ἐπιστρέφοντας, καί τοι περὶ πραγμάτων μεγάλων ὄντας ἀπεσταλμένους. Οἱ δὲ παρ' ἄλλων βασιλέων καὶ πόλεων ἐπισήμων πεμπόμενοι πρεσβευταὶ μόλις μεθ' ἡμέρας τριάκοντα ἐγίνοντο προσιτοὶ εἰς τὴν αὐλήν ». Ἀλλὰ τοῦτο (προστίθησιν ὁ κριτικὸς) οὐδεὶς ἂν πιστεύσειε, πλὴν εἰ μή τις εἴη πολιτικῶν πραγμάτων παντάπασιν ἀμαθής ». Ταῦτα ὁ Χαμιῆρος ὡς ἐκ τοῦ Ἀριστέου!

Ἀπαντῶμεν.

Αὐτὸς δὲ ὁ Ἀριστέας τί λέγει; ἄκουε· « ΚΑΤ' ΕΘΟΣ ΕΙΝΑΙ *πεμπταίους* εἰς πρόσωπον ἔρχεσθαι τῷ βασιλεῖ *τοὺς περὶ χρησίμων ἀφικνουμένους*· τοὺς δὲ παρὰ βασιλέων, ἢ πόλεων ἐν ὑπεροχαῖς, μόλις ἐν τριάκοντα εἰς τὴν αὐλὴν παρίεσθαι ». — Βλέπεις, ἀναγνῶστα, πόσον ἐνόει ὁ Χαμιῆρος ὃν ἐπέκρινεν Ἀριστέαν; Οὗτος λέγει, *Ἔθος εἶναι*, ὁ δὲ Χαμιῆρος, *Οὐκ εἶναι ἔθος*· ὁ Ἀριστέας λέγει *πεμπταίους* παρίστασθαι τῷ βασιλεῖ τοὺς *περὶ χρησίμων ἀφικνουμένους* (δηλονότι τοὺς ἐκ τῆς Αἰγύπτου, ἢ ἄλλοθέν ποθεν τῆς ἐπικρατείας προσερχομένους *ἕνεκα χρειῶν* ἰδίων, ὡς εἶπε

ἁγιασμὸν τῶν ἀκαθάρτων, ὕ δ ω ρ τ ο ῦ ῥ α ν τ ι σ μ ο ῦ » (Ἀριθμ. ιθ, 9—18 κτλ.)· καὶ τοῦτο διαγράφων ὁ Φίλων λέγει· « Οἱ μὲν ἄλλοι σχεδὸν ἅπαντες ἀμιγεῖ ὕδατι περιῤῥαίνονται, θαλάττῃ μὲν οἱ πολλοί, τινὲς ποταμοῖς, οἱ δὲ κάλπισιν ἐκ πηγῶν ἀρυόμενοι· Μωσῆς δὲ τέφραν προετοιματάμενος » κτλ. (Φίλων περὶ θυόντων σελ. 252 τόμ. β. Mang. πρβλ. καὶ Spanhem. εἰς Ἰωσήπ. Ἀρχ. ιβ, β. §. 12 Hav.).

μικρὸν ἀνωτέρω ὅδ᾽ αὐτὸς Ἀριστέας, καὶ ὁ Ἰώσηπος) (α), τούτους λέγει παρίστασθαι τῷ βασιλεῖ πεμπταίους, ἢ *διὰ πέμπτης ἡμέρας* (ὡς ἐξέφρασεν ὁ Ἰώσηπος)· ὁ δὲ Χαμιῆρος νομίσας, ὅτι τὸ μὲν *πεμπταίους* σημαίνει *πεμπτοὺς* (οἷον *πεμπτέους*), καὶ τοῦτο, πρέσβεις, *ἀπεσταλμένους* (missos), τὸ δὲ πάλιν *ἀφικνουμένους*, τοὺς ἀπὸ πρεσβείας *ἐπιστρέφοντας*, διεστρέβλωσε καὶ τὴν φράσιν καὶ τὸ νόημα τοῦ Ἀριστέου (β). Ἴσως δὲ καὶ δι᾽ αὐτὸ τοῦτο, ὅτι οἱ τῶν βασιλέων πρέσβεις ὀψέ ποτε προσήεσαν τῷ βασιλεῖ, καὶ μόλις διὰ *μηνὸς*, ἀπολίτευτον εἶπε τὸν Ἀριστέαν καὶ ἀγροῖκον ὁ κριτικὸς (ὡς ἀναβάλλοντα διὰ χρόνου τῶν ξένων πρέσβεων τὸν χρηματισμόν!). Ἀλλ᾽ ἐκεῖνος μὲν ἔγραψε καὶ τοῦτο τὸ ἔθιμον τῆς αὐλῆς τῆς Ἀλεξανδρείας (ἥτις εἶχε πάντως κἀκείνη τὰς ἰδιαζούσας *βασιλείους τάξεις*, ἢ *ἐθιμοταξίας*, ὡς καὶ πᾶσά τις ἄλλη καὶ τότε καὶ νῦν αὐλὴ βασιλέων ἔχει τὰς ἑαυτῆς). Ὁ δὲ τ᾽ ἄλλα μὲν ἴσως πάντα σοφὸς καὶ πολύϊδρις Χαμιῆρος, φαίνεταί τις ὅμως ἀμαθὴς ἑλληνιστής, οὐδὲ λίαν ἀξιόπιστος κριτικὸς, ἀλλά τις ἐξ ἐκείνων, οἵτινες ἀναβαίνουσιν ἐνίοτε τῆς κριτικῆς Θέμιδος τὸν θῶκον *ἀνίπτοις ποσὶ καὶ χερσίν*. «Ἀλλ᾽ ἔσφηλέ (φησιν ὁ σοφὸς Ὅδιος), καὶ παρεπλάνησε τὸν Χαμιῆρον ἡ λατινικὴ τοῦ Ἀριστέου παρὰ τοῦ Παλμερίου μετάφρασις, ὅςις ἐξέλαβε τὸ *πεμπταίους* ἀντὶ πεμπτοὺς, ἢ πεμφθέντας (missos).» — Ἀλλὰ πότερον (ἀπαντῶμεν), πότερον τῶν δύω τούτων ἐκάθητο κρίνων ὁ κριτικὸς, καὶ πότερον ὤφειλε μᾶλλον ἀκριβῶς εἰδέναι καὶ κατανοεῖν, τὸν Ἀριστέαν; ἢ τὸν Παλμέριον; ἢ μήπως εὐθύνεται καὶ λόγον ὑπέχει ὁ συγγραφεὺς καὶ διὰ τὰς ὀλίγας, ἢ πολλὰς παραφορὰς καὶ παρανοίας τούτου, ἢ ἐκείνου τοῦ ἀμαθοῦς μεταφραστοῦ; Καὶ ὅμως ὁ κλεινὸς Ὅδιος τὴν πλάνην τοῦ Χαμιήρου καθομολογῶν, ἔπειτα καθίζει καὶ τοῦτον εἰς τὸ συνέδριον τῶν

(α) Οὕτω καὶ Ματθ. ὁ Garbitius ἐξελατίνισε « Qui ob privatum aliquod negotium venissent » (apud Hody pag. XX).

(β) Ἰδοὺ ἡ φράσις αὐτὴ τοῦ Χαμιήρου « Aristeas n e g a t moris fuisse ut quisquam legatotum in conspectum Regis admitteretur, etiam si popter negotia m i s s i r e d i e r i n t » etc. Chamier. apud Hody pag. 82.

ἐμβριθῶν τοῦ Ἀριστέου κριτῶν· καὶ πάλιν ἀμφιταλαντεύεται καὶ διστάζει, πότερον ἆρα, πιστευτέος ὁ κριτικὸς οὗτος διὰ τὰς τοιαύτας κατ᾽ Ἀριστέου κατακρίσεις; ἢ μή;

§. ς′. Πέμπτον. Ἐπίσημος ἀνὴρ, Ἐῤῥῖκος Οὐαλέσιος (ᾧ κατηκολούθησε καὶ Βόνας ὁ Καρδινάλις) ἐν ταῖς εἰς Εὐσέβιον (Ἐκ. Ἱς. Δ, 8) σημειώσεσιν, ἀφ᾽ οὗ κατέκρινε τὴν παρὰ τῷ Ἀριστέᾳ τοῦ Φαληρέως εἴσδοσιν, ὡς *ἀνάλατον καὶ πλήρη βαρβαρισμῶν* (βλ. ὄπισθ. σελ. 511), πρεσέθηκε πρὸς ἔλεγχον τῆς Ἀριστέου ψευδολογίας καὶ τὸ ἐφεξῆς· «ὅτι εἰσάγει τὸν Φαληρέα χρώμενον τῇ μαρτυρίᾳ Ἑκαταίου τοῦ Ἀβδηρίτου, ὡς ἂν *παλαιοῦ τινος συγγραφέως!* ἐν ᾧ (λέγει) ὁ Ἑκαταῖος οὗτος οὐχ ὑπῆρχε τοῦ Φαληρέως ἀρχαιότερος, ὡς ἀκμάσας κατὰ τοὺς χρόνους Ἀλεξάνδρου καὶ τῶν τούτου διαδόχων (κατὰ Σουΐδαν), καὶ Πτολεμαίῳ τῷ Λάγου μάλιστα συγγενόμενος, κατὰ τὸν Ἰώσηπον»,

Πρὸς τὴν Οὐαλεσίου ταύτην γνώμην ἀπηντήσαμεν προηγουμένως (σελ. 483). Ἐπειδὴ δὲ καὶ νῦν Ὅδιος αὐτὴν ἀναφέρει, προστιθέντες μικρά τινα λέγομεν· ὅτι ὁ Φαληρεὺς παρὰ τῷ Ἀριστέᾳ (ὁμολογεῖ δὲ καὶ αὐτὸς Ὅδιος) οὐθ᾽ ὡς *παλαιὸν*, οὐθ᾽ ὡς *νέον* μνημονεύει τὸν Ἑκαταῖον, ἀλλ᾽ ἁπλῶς καὶ βραχυλόγως ἀνέφερεν αὐτοῦ τὴν μαρτυρίαν, εἰπών· «ἁγνήν τινα καὶ σεμνὴν εἶναι τὴν ἐν τούτοις (τοῖς βιβλίοις) θεωρίαν, *ὥς φησιν Ἑκαταῖος ὁ Ἀβδηρίτης*». Τοῦτο δὲ καὶ ζῶντος ἔτι τοῦ Ἑκαταίου πάντως ἠδύνατο ποιεῖν ὁ Δημήτριος, ἀναγνοὺς τὴν περὶ Ἰουδαίων, ἢ ἄλλην τινὰ προεκδεδομένην αὐτοῦ συγγραφήν. Οὕτω καὶ Ξενοφῶν ἀνέγνω τοῦ συγχρόνου Πλάτωνος βιβλίον, καὶ ἔγραψεν (ἐν ταῖς εἰς αὐτὸν ἀπονεμομέναις ἐπιστολαῖς)· «ἤδη δέ μοι καὶ Πλάτωνος περιέπεσε σύγγραμμα» κτλ. Καὶ Εὐσέβιος πάλιν τὰ τοῦ Φιλέου, καὶ τοῦ φίλου Παμφίλου (Ἐκ. Ἱστορ. η, 10. ς, 33). Ἄλλων παραδείγματα προείπομεν (α).

(α) Προστεθείσθω καὶ αὐτὸς ὁ σοφὸς Ὅδιος, ὅστις κατεξελέγχων τινὰς παραδοξολογίας Ἀράβων ἱστορικῶν, φέρει μάρτυρα τὸν σύγχρονον καὶ συμπολίτην αὐτοῦ Ποκόκκιον, ἄνδρα πολυμαθέστατον, ἐπευχόμενος αὐτῷ καὶ τὴν χυδαίαν καὶ παράλογον ἐκείνην εὐχήν· «Cui Deus de meis, si placuerit, annis addat»

§. ζ΄. Ταῦτα ἀπηρίθμησεν ὁ κλεινὸς Ὅδιος, ὡς παρ' ἀνδρῶν σοφῶν κατ' Ἀριστέου τοξευθέντα, περὶ ὧν ὅμως αὐτὸς ἀμφέβαλλεν, ὡς λέγει. Ἀλλὰ περὶ τῆς ἀτοπίας τῶν ψευδῶν τούτων δοξῶν μήτοι γε αὐτὸς ὁ πολυμαθέστατος ἀνὴρ, ἀλλ' οὐδὲ τῶν ὁπωσοῦν γεγευμένων παιδείας οὐδεὶς ἀμφιβάλλειν δύναται, ἐφ' ὅσον ἂν σιτῆται μὴ αἶραν ἀλλὰ σῖτον. Ὁ δὲ κριτικὸς φαίνεται προσθεὶς καὶ ταῦτα ἐξεπίτηδες, ὅπως ἐξογκώσῃ πανταχόθεν τὴν κατ' Ἀριστέου κατηγορίαν· ἐν δὲ τῷ ἐφεξῆς κεφαλαίῳ ἀναδείκνυται περὶ τὸν Ἀριστέαν μᾶλλον δικαιότερος καὶ εἰλικρινέστερος. Πρὶν δὲ μεταβῶμεν εἰς τοῦτο, προστιθέμεθα ἐνταῦθα καί τινας ἄλλας δύω, ἢ τρεῖς τοῦ Βανδάλου κατ' Ἀριστέου κατηγορίας, ὡς τῆς αὐτῆς καὶ τὰ τοῦ Ὁδίου προηγηθέντα ἀμφιβόλου φύσεως οὔσας, τὰς ἐφεξῆς.

§. η΄. « Ὁ Ἀριστέας ἔγραψέ (φησι) τὴν ἑρμηνείαν τῶν Γραφῶν γεγενημένην ἐκ τοῦ ἑβραϊκοῦ· ὡσαύτως καὶ Ἰώσηπος· ἀλλ' ὁ Φίλων λέγει, ὅτι ἐκ τοῦ χαλδαϊκοῦ· τῶν δέ τινες νεωτέρων Ῥαββίνων ἐκ τοῦ Συριακοῦ » (α).

Ἀλλ' ὁ Φίλων (ἀπαντῶμεν) χαλδαϊκὴν λέγων, τὴν ἀρχαίαν ἑβραϊκὴν ἐννοεῖ, καθὼς αὐτὸς ἑαυτὸν ἑρμηνεύει· « Τὸ παλαιὸν ἐγράφησαν οἱ νόμοι *γλώσσῃ χαλδαϊκῇ*, καὶ μέχρι πολλοῦ διέμειναν ἐν ὁμοίῳ, τὴν διάλεκτον οὐ μεταβαλόντες » (π. Μωσ. β. σελ. 138). Καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ τὴν ἀρχαίαν ἑβραϊκὴν χαλδαϊκὴν ὁ Φίλων ὠνόμασεν, οἷον, « τὸ *χαλδαϊστὶ* λεγόμενον πάσχα » (π. Μωσ. α), τουτέστιν *ἑβραϊστὶ* (Ἰώσηπ. Ἀρχ. β. 5). Καὶ τὸ *Ἰσαὰκ* ὁ μὲν Φίλων λέγει *χαλδαϊκὸν* (π. Ἀβραὰμ §. η), ὁ δ' Ἰώσηπος *ἑβραϊκόν*. Καὶ τὸν Μωϋσῆν αὐτὸν, Ἑβραῖον ἐξ Ἑβραίων γενόμενον, Χαλδαῖόν τινες προσεῖπον (Κλήμ. Στρ. Α. σελ. 251), ἐκ τοῦ πατρὸς δηλονότι τῶν

(pag. 88). Τουτ. « *προσθείη αὐτῷ ὁ Θεὸς ἐκ τῶν ἐμῶν, ἂν εὐδοκήσῃ, ἐνιαυτῶν!* » (*ὡς ἂν εἴπερ ὁ εὐχόμενος ὑπῆρχεν ἀσφαλὴς καὶ βέβαιος περὶ τῶν ἐφεξῆς ἐτῶν τῆς ἰδίας αὐτοῦ ζωῆς! ἢ καὶ ἐχαρίζετο ἐκ τῶν οἰκείων ἀγαθῶν! Ὁ δὲ πάλιν Ζωοδότης τῶν ὅλων εἶχε χρείαν δανείσασθαι ἐξ' ὧν τούτῳ ἐχαρίσατο ἐτῶν πρὸς τὸ χαρίσασθαι καὶ ἄλλῳ. Ἢ μήπως ἐκλείπουσιν ἐνίοτε οἱ χρόνοι ἐκ τοῦ ἀϊδίου θησαυροῦ τῆς ζωῆς;*)

(α) Van Dale Dissert. cap. 22. pag. 173 sq. καὶ pag. 124.

Ἑβραίων Ἀβραάμ, « ὃς ἐκ Χαλδαίων ἐγένετο » (α). Πρόσθες καὶ τὸ ἐφεξῆς. Μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον τῶν Ἰουδαίων, ὁ ἱερεὺς Ἔσδρας εἰσήγαγεν εἰς τὴν γραφὴν τῶν θείων βιβλίων γράμματα χαλδαϊκὰ (τουτέστιν Ἀσσύρια, οἷς καὶ νῦν Ἑβραῖοι χρῶνται), ἀντὶ τῶν Μωσαϊκῶν γραμμάτων (Χαναναίων ὄντων δηλονότι, ἢ Φοινικικῶν, τῶν αὐτῶν καὶ Σαμαρειτικῶν), ἅπερ ἀπέμαθον οἱ Ἑβραῖοι κατὰ τὴν μακρὰν ἐν Βαβυλῶνι αἰχμαλωσίαν, συνεθισθέντες εἰς τὰ τῶν Ἀσσυρίων. Διὰ ταῦτα μάλιστα εἶπεν ὁ Φίλων « *ὅτι τὴν χαλδαϊκὴν* (γλῶσσαν τῆς Γραφῆς) *εἰς τὴν Ἑλληνίδα ἠβούλετο* (ὁ Φιλάδελφος) *μεθαρμόσαι* » (αὐτὴν δηλαδὴ τὴν ἑβραϊκήν, ὡς γραφομένην ἀπὸ τοῦ Ἔσδρα καὶ ἐφεξῆς διὰ χαρακτήρων *χαλδαϊκῶν*) (β). Ἀλλὰ περὶ τούτου λέγομεν καὶ ἀλλαχοῦ. Τοὺς δὲ μνημονευομένους λήρους Ῥαββίνους μήτ' ἐρίῳ στέψαντες, μήτε μύρῳ ῥάναντες, ἀποστέλλομεν εἰς κόρακας.

§. θ'. Ἄλλην οἱ περὶ τὸν Βανδάλην κατηγορίαν ἐπάγουσι κατ' Ἀριστέου, ὅτι τῷ παρὰ τῷ βασιλεῖ συμπόσιον τῶν Ο, αὐτὸς μὲν Ἀριστέας λέγει διαρκέσαν *ἐφ' ἡμέρας ἑπτά*, ὁ δὲ πάλιν Ἰώσηπος *ἐφ' ἡμέρας δώδεκα*· καὶ τοῦτον πάντως τὸν ἀριθμὸν εὑρίσκουσιν οἱ ἄνδρες πιθανώτερον (ἴσως ὡς ἰσάριθμον τῷ χρόνῳ, καθ' ὃν καὶ οἱ παρ' Ὁμήρῳ θεοὶ εἱστιάθησαν « *μετ' ἀμύμονας Αἰθιοπῆας* »! Ἰλιάδ. α, 423). Ἀλλ' εἰ προσεῖχον ἀκριβέστερον εἰς τὸν Ἀριστέαν, πάντως ἔβλεπον παρ' αὐτῷ τηρηθεῖσαν τὴν γνησίαν γραφὴν τοῦ ἀριθμοῦ· πᾶσα γὰρ ἡ διήγησις τῶν παρὰ τοῦ βασιλέως πρὸς τοὺς οβ, πρεσβυτέρους ζητημάτων διαιρεῖται προφανῶς *εἰς ἡμέρας ἑπτά*. Τοῦτο βεβαιοῖ καὶ αὐτὸς ὁ Ἰώσηπος, ὅστις, ἐν ᾧ γράφει, ὅτι « *ἐφ' ἡμέρας δώδεκα* συμπόσιον (ὁ βασιλεὺς) ἐποιήσατο », προστίθησιν εὐθὺς

(α) Φίλ. αὐτ. §. 14. πρβλ. Γενεσ. ια, 31. Ὅθεν ὁ Ἱερώνυμος « Philo arbitratur Linquam Hebraeorum ipsam esse Chaldaicam, quia Abraham de Chaldaeis fuerit.» (S. Hieronym. Comm. in Daniel. c. 1).

(β) Βλ. Huet. Demonstrat. Evangel. Pr. IV. c. 13. §. 3. sqq. καὶ Walton. Proleg. c. IX. 14. πρβλ. Mangey not. in Philon. p. 138. T. 2. Carpzov. Crit. Sacr. p. 502 etc.

« Ὡς τῷ βουλομένῳ τὰ κατὰ μέρος γνῶναι τῶν ἐν τῷ συμποσίῳ ζητηθέντων εἶναι (ἴσ. *ἐξεῖναι*) μαθεῖν, ἀναγνόντι τὸ Ἀρισταίου βιβλίον, ὃ συνέγραψε διὰ ταῦτα ». Ἐπειδὴ δὲ ὁ Ἀριστέας εἰς *ἑπτὰ ἡμέρας* (ὡς ἔφημεν) ὅλην τὴν διήγησιν τῶν ἐν τῷ συμποσίῳ ζητηθέντων διαιρεῖ, φανερὸν, ὅτι καὶ Ἰώσηπος ἔγραψεν ἡμέρας ζ (ἑπτὰ), ἡ δὲ τῶν ἀντιγραφέων ἀβλεψία διέφθειρε τὸ στοιχεῖον, γράψασα ιβ (δώδεκα). Τοιαῦτα δὲ μεταγραφέων σφάλματα περὶ τὰ στοιχεῖα τῶν ἀριθμῶν ἀπαντῶνται καὶ διορθοῦνται μυρία καὶ ἐν ἄλλαις ἀρχαίαις, συγγραφαῖς, ὡς προείπομεν (α).

§. ι. Ὁ δὲ καλὸς Βανδάλης καὶ ἄλλην εὑρίσκει κῆρα τοῦ συμποσίου· «Διότι (λέγει) ὁ Ἀριστέας, ἀφ᾽ οὗ διέγραψεν οὕτως ἑστιαθέντας τὸ πρῶτον τοὺς Ο, μετὰ τοῦ βασιλέως, ἔπειτα καὶ κατὰ τὸν χρόνον τῆς ἑρμηνείας εἰσάγει τούτους δειπνοῦντας οὐ μόνον *ἐκ τῶν χορηγουμένων αὐτοῖς δαψιλῶς, ὧν προῃροῦντο πάντων* (σκευαζομένων δηλονότι τῶν βρωμάτων, κατὰ τοὺς ἑβραϊκοὺς ἐθισμοὺς), ἀλλὰ καὶ ἐκτὸς τούτων, « *καὶ ὅσα βασιλεῖ παρεσκευάζετο καθημέραν, καὶ τούτοις* ὁ (τῆς τραπέζης αὐτῶν τὴν ἐπιμέλειαν ἔχων) *Δωρόθεος ἐπετέλει* »· ἤγουν (προστίθησιν ἐπεξηγῶν ὁ Βανδάλης) *καὶ τότε μετ᾽ αὐτοῦ τοῦ βασιλέως συνειστιῶντο.* Ταῦτα δὲ (λέγει) ἀντιβαίνουσι πρὸς τὴν ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ Μωσέως διατεταγμένην δίαιταν τῶν Ἰουδαίων. « Ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι, ἢ προσέρχεσθαι ἀλλοφύλῳ » (Πράξ. Ι. 28)· καὶ πάλιν « οἱ Αἰγύπτιοι οὐκ ἠδύναντο συνεσθίειν μετὰ τῶν Ἑβραίων ἄρτους· βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις » (Γενέσ. μγ. 32). Ὅθεν « καὶ τῷ Ἰωσὴφ παρέθηκαν ἄρτον αὐτῷ μόνῳ » (ἵνα μὴ σκανδαλίσῃ τοὺς Αἰγυπτίους, συνδειπνῶν τοῖς ἀδελφοῖς), « καὶ αὐτοῖς (τοῖς ἀδελφοῖς), καθ᾽ ἑαυ-

---

(α) Βλ. ὄπισθ. σελ. 49: 257: 306: 466: 568, κτλ. Πρόσθες καὶ ἄλλα παρόμοια· οἷον ἐν Πλουτάρχ. Δημοσθ. §. κδ. τὸ ἔ τ ε σ ι δ έ κ α διορθοῦσι πολλοὶ τῶν κριτικῶν εἰς τὸ ὀ κ τ ὼ (ὡς συμφωνότερον πρὸς τὴν ἱστορίαν· βλ. Πλουτάρχ. Παράλ. Τ. ε. σελ. 401. Κ.)· καὶ πάλιν (αὐτόθ. §. κς) γράφεται π ε ν τ ή κ ο ν τ α (ταλάντων), ἀλλαχοῦ δὲ τ ρ ι ά κ ο ν τ α (Πλούταρ. ἐν βίοις Ῥητόρ. Δημοσθ.) κτλ. κτλ.

τοὺς, καὶ τοῖς Αἰγυπτίοις *τοῖς συνδειπνοῦσι μετ᾽ αὐτοῦ, καθ᾽ ἑαυτούς* » (αὐτόθ.). Μαρτυρεῖ δὲ καὶ Ἡρόδοτος, ὅτι « οὔτ᾽ ἀνὴρ Αἰγύπτιος, οὔτε γυνὴ, ἄνδρα Ἕλληνα φιλήσειεν ἂν τῷ στόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται, οὐδ᾽ ὀβελοῖσι, οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένου ἑλληνικῇ μαχαίρῃ γεύσεται» (Ἡρόδοτ. Β. 41). Καὶ Ἰώσηπος δὲ πολλαχοῦ μαρτυρεῖ τὸ περὶ τὴν δίαιταν ἀκοινώνητον τῶν Ἰουδαίων (ἐν τοῖς κατὰ Ἀπίωνος) ». Τοιαῦτα ὁ Βανδάλης σελ. 155.

Ἀλλὰ πρῶτον μὲν, φαίνεται γελοῖος, ἰουδαϊκώτερος καὶ αὐτῶν τῶν Ἰουδαίων βουλόμενος εἶναι περὶ τὴν γνῶσιν τῆς κατὰ νόμους διαίτης αὐτῶν. διότι καὶ Ἰώσηπος ὁ Ἰουδαῖος μαρτυρεῖ ῥητῶς, ὅτι πρὸς τοῖς καθ᾽ ἡμέραν καὶ ἰδίως χορηγουμένοις, καὶ ἐξ αὐτῶν προσέτι τῶν τῷ βασιλεῖ παρεσκευασμένων πολλὰ παρεῖχεν ὁ Δωρόθεος τοῖς Ο, (Ἀρχ. ΙΒ. 6. §. 12)· καὶ ὅμως ὁ Ἰώσηπος οὐδὲν ἐφοβεῖτο (καθὼς ὁ Βανδάλης), μήπως οἱ ὁμογενεῖς αὐτοῦ μιανθῶσιν! (οὐδ᾽ ἐμιαίνοντο, καθὼς λέγομεν εὐθύς). Ἔπειτα, καὶ περὶ τὰς μαρτυρίας, ἃς ἐπέφερε, λίαν ἀβαθὴς, ἢ διαστρεπτικὸς, ἐφάνη ὁ Βανδάλης· ἢ πῶς οὐ κατεῖδεν ἐκ τῆς Γενέσεως (μγ. 32), ὅτι καὶ *συνεδείπνουν οἱ Αἰγύπτιοι* μετὰ τοῦ Ἰωσὴφ (πρὸς τῇ τραπέζῃ παρακαθήμενοι), καὶ *ἅμα ἐδείπνουν καθ᾽ ἑαυτοὺς* (ἐσθίοντες δηλονότι χωριστὰ τὰ νενομισμένα παρ᾽ αὐτοῖς βρώματα); Οὕτω καὶ οἱ Ο, συνεδείπνουν τῷ βασιλεῖ, εὐωχούμενοι τὰ κατὰ τοὺς ἐθισμοὺς αὐτῶν ἐσκευασμένα βρωτὰ καὶ ποτὰ (καθὼς εἶπε πάλιν ὁ Ἀριστέας, καὶ αὐτὸς ὁ Ἰώσηπος)· καὶ ὅσα προσέτι ἐκ τῶν ἰδίως τῷ βασιλεῖ παρασκευαζομένων ἐχορηγοῦντο (χάριν ἐξαιρέτου τιμῆς), καὶ ταῦτα ὁ Δωρόθεος *ἐπετέλει* (τουτ. ἐσκεύαζε, παραδιδοὺς ἀνθρώποις Ἑβραίοις, ὁποῖοι πολλοὶ ἦσαν κατ᾽ Ἀλεξάνδρειαν, καὶ κατ᾽ αὐτὴν τοῦ Πτολεμαίου τὴν αὐλήν). Καὶ λοιπὸν *οὔτ᾽ ἐκολλῶντο τοῖς ἀλλοφύλοις* οἱ Ο, συνεσθίοντες *ἀκάθαρτα καὶ κοινὰ* (παρὰ τὸν θεῖον νόμον), καὶ πάλιν συνεδείπνουν ἀπολαύοντες τῶν νομίμως παρατιθεμένων. Οὕτω καὶ Ἰουδὶθ συνεδείπνει τῷ Ὀλοφέρνῃ (Ἰουδὶθ ιβ, 9), καὶ (ἵνα παραλίπωμεν ἄλλα παραδείγματα), καὶ Ἰώσηπος ὁ ἀνεψιὸς Ὀνίου τοῦ ἀρχιερέως,

ἐπὶ σεμνότητι καὶ προνοίᾳ καὶ δικαιοσύνῃ δόξαν ἔχων, συνειστιᾶτο καθ' ἡμέραν μετὰ Πτολεμαίου τοῦ Εὐεργέτου (Ἰώσ. Ἀρχ. ΙΒ, δ, 2—4), καὶ ὅμως ὁ Ἰουδαῖος ἀρχαιολόγος οὐδόλως *ἠλισγημένον* καὶ *μεμιασμένον* αὐτὸν θεωρεῖ (διότι εἱστιᾶτο καὶ οὗτος κατὰ τοὺς ἐθισμούς). Ὡσαύτως καὶ πολλοὶ τῶν Ἰουδαίων Ἀλεξάνδρῳ συστρατεύοντες, τοῖς *πατρῴοις ἔθεσιν ἐνέμενον* (αὐτόθ. ΙΑ, η, 5. καὶ κ. Ἀπίων Α, 22)· τοῦτο ποιοῦσι καὶ νῦν καθ' ἡμᾶς οἱ Ἰουδαῖοι, ἄν ποτε τύχωσιν ἀλλοφύλοις συνδειπνοῦντες. Ὁ δὲ καλὸς Βανδάλης ταῦτα πάντα παριδών, ἔπειτα καὶ τὸν Ἡρόδοτον ἡμῖν ἐπήγαγε, περιττός τις τὴν σοφίαν ἐθέλων δοκεῖν. Ὡς ἂν εἴπερ εἶχόν τινα σχέσιν πρὸς τὸ προκείμενον οἱ λόγοι τοῦ Ἡροδότου!

§. ιά. Τελευταῖον· ὁ Βανδάλης (σελ. 127) ἐξελέγχει τὸν Ἀριστέαν, « καὶ διότι καυχώμενος ὡς Ἕλλην τὸ γένος, ἔπειτα διαγράφει κάλλιστα οὐ μόνον τὴν Ἰουδαίων χώραν, καὶ τὰ Ἱεροσόλυμα, ἀλλὰ καὶ τὸν ναόν, καὶ τὰς λειτουργίας καὶ στολὰς τῶν ἱερέων, καὶ αὐτὸ τὸ τοῦ ἀρχιερέως λογεῖον. Ἀλλὰ πόθεν (λέγει) ἠδύνατο ὁ Ἀριστέας, ἀπερίτμητος ὤν, εἰδέναι τὰ ἐν τῷ ναῷ τελούμενα, εἰσελθὼν καὶ εἰς αὐτὰ σχεδὸν *τὰ ἐνδότερα τοῦ ναοῦ;* Ἐπειδὴ δὲ ταῦτα οὕτως ἀκριβῶς διαγράφει, οὐ φαίνεταί τις Ἰουδαῖος ὢν Ἑλληνιστὴς ὁ Ἀριστέας οὗτος; ».

Οὐχί, Βανδάλη (ἀπαντῶμεν)· οἱ γὰρ περὶ τὸν Ἀριστέαν οὐκ εἰσῆλθον *εἰς τὰ ἐνδότερα τοῦ ναοῦ* (καθὼς σὺ πλαστουργεῖς), ἀλλ' ἔβλεπον μόνας τὰς ἐν ὑπαίθρῳ τοῦ ναοῦ τελουμένας ἱεροπραξίας ἄνωθέν ποθεν. — Πόθεν; αὐτὸς εἰπάτω· « Πρὸς τὴν ἐπίγνωσιν (λέγει) ἁπάντων, ἐπὶ τὴν παρακειμένην ἄκραν τῆς πόλεως ἀναβάντες, ἐθεωροῦμεν » (σελ. 13 ἐκδ. Ὀδ.). Ἀλλὰ ταῦτα ὁ κριτικὸς παρέδραμεν, *ἀβρόχοις* (τὸ τοῦ λόγου) *καὶ ποσὶ καὶ φρεσὶ* τὸν Ἀριστέαν καὶ πολλάκις ἴσως διεξελθών, καὶ τύποις ἐκδούς. Οὐδ' ἐκεῖνο κἂν ἐνεθυμήθη, ὅτι καὶ Ἑκαταῖος, Ἕλλην ὤν, διέγραψεν ὅμως καὶ τὴν πόλιν τῶν Ἱεροσολύμων, καὶ τὸν ναόν, καὶ τὸν βωμόν, καὶ τὰς ἐν αὐτῷ ἁγιστείας (παρ' Ἰωσήπῳ κατ' Ἀπίων. Α. §. 22)· καὶ ὅμως οὔτε τοῦτον, οὔτε τὸν Ἀριστέαν ὑπωπτεύθη Ἰουδαίους ὁ τὰ τούτων

ἀντιγράψας Ἰώσηπος, ἀλλ᾽ οὐδὲ τῶν ἄλλων τῶν δίκαια φρονούντων οὐδείς. Τοιαῦτα καὶ ταῦτα τὰ Βανδάλεια.

§. ιϐʹ. Ὅσα δὲ καὶ Βανδάλης, καὶ ἄλλοι μετ᾽ αὐτοῦ συμφώνως, Ἀριστέου καταφρυάττονται, θορυϐοῦντες, περί τε τοῦ 72: ἀριθμοῦ αὐτῶν τε τῶν Ο, καὶ τῶν ἡμερῶν, ἐν αἷς ἡρμήνευσαν οὗτοι τὴν Γραφὴν, καὶ περὶ τῆς Ἀριστέου πρὸς Ἰώσηπον, καὶ Φίλωνα, καὶ πρὸς ἄλλους δῆθεν διαφωνίας, ἐξ ἧς κατασκευάζουσι τὸ κατ᾽ αὐτοὺς ψευδὲς τῆς ἱστορίας, περὶ πάντων τούτων λέγομεν ἐν τῷ Β, Βιϐλίῳ. Ἤδη δὲ προσαποδίδομεν καὶ τὰ ὑπόλοιπα τοῦ Α, Βιϐλίου κεφάλαια.

ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

Περὶ τοῦ παρὰ τῷ Ἀριστέᾳ Ἑπτασταδίου· ἐν ᾧ καὶ περὶ τοῦ κατὰ τὴν Φάρον πύργου, καὶ τῆς ἐπ᾽ αὐτοῦ ἐπιγραφῆς.

§. αʹ. Ἔγραψεν ὁ Ἀριστέας, ὅτι μεταξὺ τῆς πόλεως Ἀλεξανδρείας καὶ τῆς νήσου Φάρου κεῖται τὸ Ἑπτασταδιον. Τοῦτο δ᾽ ἦν ἀνάχωμα διὰ τῆς θαλάσσης, οἷόν τις ἰσθμὸς, ἢ γέφυρα, λίθοις μεγάλοις κατεσκευασμένον· λέγει δὲ ταῦτα ἐπὶ λέξεως ὁ Ἀριστέας· « Μετὰ δὲ τρεῖς ἡμέρας ὁ Δημήτριος παραλαϐὼν αὐτοὺς (τοὺς Ο), καὶ διελθὼν *τὸ ἐπὶ ἑπτὰ σταδίων ἀνάχωμα τῆς θαλάσσης πρὸς τὴν* νῆσον, καὶ διαϐὰς τὴν γέφυραν » κτλ. (α). Ταῦτα κατὰ λέξιν ἔχει καὶ Ἰώσηπος. Καὶ Φίλων δὲ προσέτι διὰ τοῦ Ἑπτασταδίου τούτου διελθόντας εἰς τὴν Φάρον τοὺς ἑρμηνεῖς ὑποδείκνυσιν, ἐν οἷς λέγει·

(α) Τὸ Ἑπτασταδιον (ἐλλειπ. ἀ ν ά χ ω μ α, ἢ χ ῶ μ α. Στράϐ. 796. Πλούταρ. Καίσαρ. § μθ) συνήπτετο πρὸς τὴν Φάρον διὰ γεφύρας. Ὅθεν πολλάκις καὶ αὐτὸ τὸ Ἑπτασταδιον καλεῖται γέφυρα. Οὕτω καὶ Πλίνιος. « a Pharo insula, quae nunc ponte jungitur» (Plin. 13. 11)· καὶ πάλιν, «Iuncta ponte Alexandriae Pharos» (5. 21). Καὶ Πομπώνιος Μέλας, « Pharos Alexandriae nunc ponte jungitur » (Pompon. Mel. de situ orb. II. 7). Ὁ δὲ Κάσσιος, γεφύρας (πληθυντικ.) ὀνομάζει τὴν γέφυραν ταύτην (Δίων Κάσσ. βιϐλ. μη)· τίθεται δὲ παρ᾽ Ἕλλησι καὶ τὸ πληθυντ. ἀντὶ τοῦ ἑνικοῦ (ὡς καὶ παρὰ Λατίν. pontes ἀντὶ pons)· ἀλλ᾽ ὁ Στράϐ. διακρίνει δύο διάπλους γεγεφυρωμένους εἰς τὸν Εὐνόστου λιμένα (βλ. Στράϐ. βιϐλ. ιζ, 792). πρϐλ. Hody pag. 85.

« Νῆσος, ἡ Φάρος, πρόκειται τῆς Ἀλεξανδρείας, ἧς *αὐχὴν ὑποταίνιος τέταται πρὸς τὴν πόλιν*, περικλυζόμενος οὐκ ἀγχιβαθεῖ, τὰ δὲ πολλὰ τεναγώδει θαλάττῃ. — Τοῦτον (οἱ Ο,) ἐξ ἁπάντων τῶν ἐν κύκλῳ κρίνοντες ἐπιτηδειότατον εἶναι τὸν τόπον ἐνησυχάσαι » κτλ. (Βίῳ Μωσ. Β. σελ. 139). Ἀλλ' ὁ περικλεὴς Οὐαλέσιος διώκων καὶ αὐτὸς ὡς ψεύστην τὸν Ἀριστέαν, συμπεραίνει καὶ ἐκ τούτου δὴ τοῦ Ἑπτασταδίου, ὅτι πολλοὺς μετὰ τὸν Φιλάδελφον χρόνους ἡ τοῦ Ἀριστέου συνεγράφη ἱστορία· κατὰ γὰρ τοὺς Φιλαδέλφου χρόνους τὸ Ἑπταστάδιον οὐκ ἦν, ὕστερον δὲ (λέγει) μετὰ πολλοὺς ἐνιαυτοὺς κατεσκευάσθη ὑπὸ τῶν τῆς Αἰγύπτου βασιλέων (α). Εἰς τὴν Κλεοπάτραν ἀπονέμουσι τὴν κατασκευὴν τοῦ Ἑπτασταδίου καὶ τὸ Ἀλεξανδρινὸν, ἢ Πασχάλιον Χρονικὸν (ϐ), καὶ Τζέτζης (γ), καὶ Κεδρηνὸς (σελ. 320), καὶ Ἀμμιανὸς ὁ Μαρκελλῖνος (δ). Οἱ δὲ τὸν Ἐπιφανιανὸν Ἀριςέου κώδηκα πλαςουργοῦντες (βλ. ὄπισθ. σελ. 39) προστιθέασιν, ὅτι ταύτην τὴν γνώμην εἶχε κἀκεῖνος ὁ συγγραφεύς· διότι γράφει περὶ τῶν Ο, ὅτι ἐπέστρεφον εἰς τὴν Ἀλεξάνδρειαν ἐκ τῆς Φάρου (ὅπου διεπόνουν τὴν ἑρμηνείαν) καθ' ἑκάστην ἑσπέραν, *περαιούμενοι διὰ σκαφιδίων*· ὡς μήπω τότε δηλαδὴ κατεσκευασμένου τοῦ τῆς γεφύρας προσχώματος ». Καὶ οὗτοι μὲν τοιαῦτα.

§. β'. Ἀλλ' ὁ κλεινὸς Ὅδιος ἀνθίσταται πρὸς ταῦτα γενναίως, ἀποδεικνύων τὸ Ἑπταστάδιον πολὺ πρὸ τῶν χρόνων τῆς Κλεοπάτρας ὑφεστηκός· φέρει δὲ δείξεις τὰς ἐφεξῆς. α) Ἰούλιος ὁ Και-

---

(α) H. Vales. Annot. in Euseb. H. Eccl· V. 8. Τούτῳ συμφωνοῦσι καὶ ὁ Ἄγγλος Gregorius, καὶ ὁ Buntingus, Chron. — καὶ Hylinus Geogr. L. 4. καὶ ἄλλοι.

(ϐ) Χρονικ. Πασχάλ. σελ. 363. ἐκδ. Bon. Ταῦτα κατὰ λέξιν ἀντέγραψεν ἐκ τοῦ Πασχαλίου καὶ Μαλαλᾶς Χρονογρ. θ. σελ. 218 Bon. (βλ. ἐφεξῆς §. γ.)

(γ) Τζέτζ. χιλιάδ. ϐ. 33. καὶ χιλ. ϛ 44. (ὅπου καὶ τ ε τ ρ α σ τ ά δ ι ο ν τὸ ἑ π τ α σ τ ά δ ι ο ν μετωνόμασεν, οὐχ ὁ Τζέτζης ἴσως αὐτὸς, ἀλλὰ μᾶλλον ὁ πλανηθεὶς αὐτοῦ μεταγραφεύς). Καὶ γὰρ « ἑ π τ ὰ σ τ α δ ί ο ι ς ἡ Φάρος ἀπέχει τῆς ἠιόνος » (Ἀριστείδ. λογ. Αἰγύπτ. πρϐλ. Στράϐ. 792, 794).

(δ) « Haec eadem Regina (Cleopatra) Heptastadium, sicut vix credenda celeritate, ita magnitudine mira construxit, — et septem diebus totidem stadia, molibus jactis in mare, solo propinquanti terrae sunt vindicata » etc. Ammian. Marcellin. Libr. XX. c. 16.

σαρ μαρτυρεῖ σαφῶς, ὅτι τὸ Ἑπταστάδιον κατεσκευάσθη οὐχ᾽ ὑπὸ τῆς Κλεοπάτρας, « ἀλλ᾽ ὑπὸ *τῶν ἀνωτέρω βασιλέων τῆς Αἰγύπτου* » (α). — β) Ὅσοι τὴν Κλεοπάτραν ἱστοροῦσιν αὐτουργὸν τοῦ Ἑπτασταδίου, εἰσάγουσι ταύτην μηχανησαμένην τὸ ἔργον, ἀφ᾽ οὗ πολὺν ἤδη χρόνον ἐβασίλευσεν. Ἀλλ᾽ ὅμως, ὅτε τὴν Ἀλεξάνδρειαν ὁ Καῖσαρ Ἰούλιος ἐπολέμει, μόλις ἦγε τότε ἡ Κλεοπάτρα τέταρτον μὲν ἔτος τῆς βασιλείας, πρῶτον δὲ καὶ εἰκοστὸν τῆς ἡλικίας (β). Ὅθεν καὶ Λούκιος ὁ *Φλῶρος* παῖδα ταύτην ὀνομάζει, τὸν τοῦ Καίσαρος πρὸς τοὺς Ἀλεξανδρεῖς πόλεμον ἱστορῶν. Καὶ Ἀππιανὸς δὲ (Ἐμφυλ. πολέμ. Β) τῶν, ἐφ᾽ ὧν, Πομπήϊος ἐδολοφονήθη, βασιλέων τῆς Αἰγύπτου μνημονεύων (ἐβασίλευε δέ τοτε ἡ Κλεοπάτρα μετὰ τοῦ ἀδελφοῦ), *παῖδας ὄντας* αὐτοὺς ἱστορεῖ. Πρόσθες τούτοις καὶ ὅτι, πρὶν ἢ Καῖσαρ εἰς Αἴγυπτον καταπλεύσῃ, ἡ Κλεοπάτρα μόνον ὀνόματι ἐβασίλευε, μηδεμίαν ἔχουσα τῶν πραγμάτων κυριαρχίαν· καὶ μάρτυς ὁ Στράβων (ΙΖ. σελ. 796), ἱστορῶν, ὅτι μετὰ τὸν θάνατον Πτολεμαίου τοῦ Αὐλητοῦ, « Οἱ μὲν Ἀλεξανδρεῖς ἀπέδειξαν βασιλέας τόν τε πρεσβύτερον τῶν παίδων καὶ τὴν Κλεοπάτραν· οἱ δὲ συνόντες τῷ παιδὶ, καταστασιάσαντες, ἐξέβαλον τὴν Κλεοπάτραν, καὶ ἀπῆρε μετὰ τῆς ἀδελφῆς εἰς τὴν Συρίαν. — Ἐπελθὼν δὲ Καῖσαρ τόν τε μειρακίσκον διαφθείρει, καὶ καθίστησι βασίλισσαν τὴν Κλεοπάτραν, μεταπεμψάμενος ἐκ τῆς φυγῆς ». — γ) Ὅτι τὸ Ἑπταστάδιον ὑπῆρχεν, ὅτε Καῖσαρ πρὸς τοὺς Ἀλεξανδρεῖς ἐπολέμει, μαρτυροῦσι προσέτι Πλούταρχος (Καίσαρ. §. μθ.), καὶ

(α) « Haec insula (Pharos) objecta Alexandriae portum efficit: sed a superioribus regionibus (scr. Regibus) in longitudinem passum DCCCC. in mare jactis molibus, angusto itinere, et ponte cum oppido conjungitur » (Jul. Caes. de Bell. Civil. Lib. 3. ad fin.). Ὅτι δὲ ἀντὶ τοῦ ἡμαρτημένου regionibus ἀναγνωστέον regibus, ὁμολογοῦσιν ἄνδρες ἐπισημότατοι, Brodaeus, Scaligerus, Usserius, Salianus, Brantius etc. Συνομολογεῖ καὶ αὐτὸς Οὐαλέσιος ἀλλαχοῦ (not. in Marcell. L. 22) τὸ ὀρθὸν τῆς ἀναγνώσεως ταύτης, ἐπιμένων μὲν ὅτι μετὰ τὴν Φιλαδέλφου βασιλείαν κατεσκευάσθη τὸ ἑπταστάδιον, συγχωρῶν δὲ ὅμως, ὅτι πρὸ τῆς Κλεοπάτρας. Hody pag. 84.

(β) Hody αὐτόθι. [πρβλ. Εὐσεβ. χρονικ. Α. κβ. σελ. 121 Mediol. καὶ Canon. Chronic. ἐν τῇ Συγκέλλ. Χρονογραφ. σελ. 279. τόμ. β. Bon.]

Δίων ὁ Κάσσιος (βιϐ. μη), καὶ ἐκ τῶν ἀρχαίων Λατίνων Λουκανὸς, (α) καὶ Συετώνιος (ϐ), καὶ Φλῶρος, ὅστις καὶ *Χερσόννησον* τὴν Φάρον ὠνόμασε (γ). — δ) Τέλος, τὸ Ἑπταστάδιον χῶμα κατεσκευάσθη μήτε *τάχει ἀπίστῳ* (δι' ἑπτὰ ἡμερῶν), μήτε μετὰ σπουδῆς καὶ θορύβου, καθὼς ὁ Ἀμμιανὸς ἱστορεῖ (παραλόγως ἀντιλέγων καὶ τοῦτο πρὸς τὴν ἀλήθειαν)· πᾶν δὲ τοὐναντίον συνάγεται ἐκ τοῦ Στράϐωνος, ὅςτις καὶ λίαν ζωγραφικῶς αὐτὸ διαγράφει, ὡς ὑπάρχον ἤδη πρὸ τοῦ πολέμου τοῦ Ἀλεξανδρινοῦ. καὶ μὴ μόνον ὡς γέφυρα χρησιμεῦον, ἀλλὰ καὶ ὡς ὑδραγωγεῖον· « Τὸ δὲ χῶμα (λέγει) ἔστιν ἀπὸ τῆς Ἠπείρου γέφυρα ἐπὶ τὴν νῆσον, — δύο διάπλους ἀπολείπουσα μόνον εἰς τὸν Εὐνόστου λιμένα, καὶ αὐτοὺς γεγεφυρωμένους. *Ἦν δ' οὐ γέφυρα μόνον* (τὸ χῶμα) — ἀλλὰ καὶ ὑδραγώγιον, ὅτε γε ᾠκεῖτο (ἡ νῆσος)· νῦν δ' ἠρήμωσεν αὐτὴν ὁ θεὸς Καῖσαρ, ἐν τῷ πρὸς Ἀλεξανδρέας πολέμῳ, τεταγμένην μετὰ βασιλέων· ὀλίγοι δ' οἰκοῦσι πρὸς τῷ πύργῳ ναυτικοὶ ἄνδρες » (δ). Πῶς οὖν ταῦτα συμφωνοῦσι πρὸς τὰ τοῦ Μαρκελλίνου; Ἐκ πάντων ἄρα τῶν μνημονευθέντων ἐπισήμων μαρτυριῶν ἐξελέγχεται ὁ Μαρκελλῖνος οὗτος, ἐσφαλμένως ἀποδιδοὺς τὴν κτίσιν τοῦ Ἑπτασταδίου εἰς τὴν μετὰ ταῦτα βασιλεύσασαν Κλεοπάτραν (ε). Μάτην δ' ἐπιφέρουσι καὶ

(α) Lucanus Lib. X. v. 90. — (ϐ) Sueton. vit. Iul. Caesar. cap. 64.

(γ) Florus L. IV. c. 2. Καὶ Οὐΐδιος τὴν Φάρον ἀριθμεῖ « μεταξὺ τῶν ἔκπαλαι κεχερσωμένων νήσων » (Ovid. Metamorph. XV. v. 286.). ὅπερ ὅδιος ἐξέλαϐεν ἐπὶ μόνης τῆς διὰ τοῦ Ἑ π τ α σ τ α δ ί ο υ χερσώσεως τῆς Φάρου (σελ. 88). [Ἀλλ' ὅμως ὁ Στράϐων τοῦ ἑπτασταδίου μνημονεύων, ὡς ἔτι καὶ κατ' αὐτὸν ὑπάρχοντος, προστίθησι καὶ ὅτι « ἡ Φάρος πελάγιος πρότερον οὖσα, διὰ τὰς προσχώσεις τοῦ Νείλου, τ ρ ό π ο ν τ ι ν ὰ, χεῤῥόνησος γέγονε » (Στράϐ. Α. 58). Καὶ φαίνεται ἄρα, ἐκτὸς τοῦ Ἑπτασταδίου καὶ εἰς ἄλλα μέρη κατὰ τόπους τότε κεχερσωμένη ἡ Φάρος ὑπὸ τοῦ Νείλου. Ὅθεν καὶ τρόπον τινὰ χερσόννησον αὐτὴν εἶπεν ὁ Στράϐων· νῆσον δὲ πάλιν συνηθέστερον ὁ Ἰώσηπος (Ἰουδαϊκ. πολ. Δ. 10. §. 5.), καὶ ὁ Φίλων, κτλ. — Σημ. ἡμετ.].

(δ) Στράϐ. ιζ. 792. Καὶ ἐπὶ τοῦ *μάρτυρος* Ἰουστίνου (*ἤγουν* 150, *περίπου ἐνιαυτοὺς μετὰ τὸν Στράϐωνα*) *ἡ Φάρος φαίνεται κατοικουμένη* (*βλ. ἐφεξῆς βιϐλ. β. κεφ. ε. §. κα*).

(ε) Ὁ *κλεινὸς* Οὐόσσιος (Annot. ad Melam II. 7) *διαλλάττων τὸν Μαρκελλῖνον καὶ τοὺς αὐτῷ πιστεύσαντας μεταγενεστέρους πρὸς τοὺς τἀναντία μαρτυροῦντας*

τὴν ἐκ τοῦ ἱεροῦ Ἐπιφανίου μαρτυρίαν (π. Μέτρ. §. γ)· διότι καὶ ὁ πατὴρ (αὐτόθ.) μαρτυρεῖ « τὴν νῆσον Φαρίαν καλουμένην καὶ *Ἄνω γῆν* », χέρσον δηλονότι παρεκτεινομένην ἄνω πρὸς τὴν θάλασσαν, ἢ νῆσον προσγαιωθεῖσαν *διὰ τοῦ χώματος*. Καὶ ὑπῆρχε λοιπὸν ἐπὶ τῶν Ο, τὸ Ἑπταστάδιον καὶ κατ᾽ αὐτὸν τὸν, ὃν ὠνειρεύθησαν, παρ᾽ Ἐπιφανίῳ κώδηκα τοῦ Ἀριστέου. Εἰ δὲ καὶ πρὸς ἑσπέραν οἱ ἑρμηνεῖς ἐπεραιοῦντο εἰς τὴν πόλιν ἐκ τῆς Φάρου *διὰ σκαφιδίων*, τοῦτο προφανῶς ἱστορήθη σύμφωνον πρὸς τὴν κατὰ ζυγὴν διαίρεσιν τῶν οϐ, ἑρμηνευτῶν, κατὰ τὴν Ἐπιφανίου διήγησιν, περὶ ἧς ἐφεξῆς, ἐν τῷ Β, βιϐλίῳ.

§. γ΄. Ἐκ μὲν οὖν τῶν προεκτεθέντων ἀποδείκνυται τρανῶς, ὅτι καὶ πρὸ τῆς Κλεοπάτρας ὑπῆρχε τὸ Ἑπταστάδιον. Ἐκ δὲ πάλιν τῶν ἐφεξῆς συνάγεται γεφυρωθὲν, οὐχ ὑπὸ τοῦ Φιλαδέλφου (καθὼς φαίνεταί πως συγχωρῶν ὁ Ὅδιος), ἀλλ᾽ ὑπὸ τοῦ πατρὸς αὐτοῦ Πτολεμαίου τοῦ Λάγου· καὶ ἰδοὺ ἡ δεῖξις. Ὅτι τὸ Ἑπταστάδιον κατεσκευάσθη πρὸ τοῦ πύργου τῆς Φάρου ὑπάρχει πρᾶγμα ὁμολογούμενον. Τοῦ γὰρ Ἑπτασταδίου τεχνουργὸς ἐγένετο Δεξιφάνης Κνίδιος, ὁ πατὴρ Σωστράτου, τοῦ τὸν πύργον ἀρχιτεκτονήσαντος. Ὁ δὲ πύργος οὗτος συνετελέσθη ἐπὶ τῆς Φιλαδέλφου βασιλείας ἀρχομένης (καὶ πιθανώτατα ὅτε συνεϐασίλευε μετὰ τοῦ πατρός)· ἀλλὰ περὶ τούτου μὲν ἐφεξῆς. Ὅτι δὲ τοῦ Ἑπτασταδίου ἀρχιτέκτων ἐγένετο Δεξιφάνης, πάντες ὁμαλῶς συμφωνοῦσιν, ὅ,τε Κεδρηνὸς, καὶ τὸ Πασχάλιον Χρονικὸν (α), καὶ Ἰωάννης ὁ Τζέτζης, λέγων·

ἀρχαίους συγγραφεῖς, ὑποτίθησιν, ὅτι τὸ μὲν Ἑπταστάδιον ὑπῆρχε τῷ ὄντι πολὺ πρὸ τῆς Κλεοπάτρας· « αὕτη δὲ συνῆψε τοῦτο πρὸς τὴν πόλιν, ἀνατρέψασα τὴν γέφυραν. Ἀλλ᾽ ἡ γέφυρα (ἀπαντᾷ δικαίως ὁ Ὅδιος) ὑφίστατο καὶ ὕστερον, πολλοὺς καὶ μετὰ τὴν Κλεοπάτραν χρόνους (βλ. ἀνωτέρ. §. α. σημ.). Καὶ ἡ τοῦ Ἑπτασταδίου εἰς τὴν Κλεοπάτραν ἀπόδοσις ἐκ πάντων τῶν περιστατικῶν ἐξελέγχεται πλάνη σαφής. Hody pag. 85.

(α) « Ρπζ, Ὀλυμπ. ἔτει ιϐ τῆς τριουμϐιρατορίας Αὐγούστου Καίσαρος, τυραννησάντων τὸν Αἰγυπτίων καὶ τῆς Κλεοπάτρας, τῆς κτισάσης ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ Φάρον εἰς τὴν νῆσον τὴν λεγομένην Πρωτέως, καὶ οὖσαν κατέναντι Ἀλεξανδρείας αὐτῆς ὡς ἀπὸ μιλίων, δ, καὶ προσχωσάσης γῆν καὶ λίθους εἰς τὴν θάλασσαν ἐπὶ τοσοῦ-

Αὕτη σὺν ἀρχιτέκτονι Κυπρίῳ Δεξιφάνῃ (α)
Τὴν θάλασσαν χερσώσασα τὴν τῆς Ἀλεξανδρείας » κτλ.

Ὅτι δὲ πάλιν ὁ Δεξιφάνης οὗτος υἱὸν εἶχε τὸν Σώστρατον, τὸν ἀρχιτέκτονα τοῦ ἐπὶ τῇ Φάρῳ Πύργου, μαρτυρεῖ αὐτὴ ἡ ἐπὶ τῷ πύργῳ ἐπιγραφή, ἧς Πλίνιος (βιϐ. ΛϚ, 12), καὶ Στράϐων (ΙΖ, 791), καὶ Λουκιανὸς (βλ. ἐφεξ. §. ε), καὶ Σουΐδας (λ. Φάρος), καὶ Στέφανος ὁ Βυζάντιος μνημονεύουσι· πρόσθες καὶ τὸν Σύγκελλον, καὶ κατὰ μέρος τὸν Εὐσέϐιον (ϐ) κτλ. Λέγει δὲ ἡ ἐπιγραφὴ « ΣΩΣΤΡΑΤΟΣ ΚΝΙΔΙΟΣ ΔΕΞΙΦΑΝΟΥΣ ΘΕΟΙΣ ΣΩΤΗΡΣΙΝ ΥΠΕΡ ΤΩΝ ΠΛΩΪΖΟΜΕΝΩΝ ». Ὥστε, ὅτι τὸ Ἑπταστάδιον κατεσκευάσθη πρὸ τοῦ Φάρου, φαίνεται τοσοῦτον πιθανόν, ὅσον καὶ ὅτι τὰ ἔργα τῶν πατέρων ὑπάρχουσι *συνήθως* ἀρχαιότερα, ἢ τὰ τῶν υἱῶν.

§. δ'. Αὐτὸν δὲ τὸν ἐπὶ τῷ Φάρῳ πύργον τὸ μὲν Πασχάλιον ἀποδίδωσιν, ὡς καὶ τὸ Ἑπταστάδιον, εἰς τὴν Κλεοπάτραν, ἀμφότερα ψευδῶς, καθὼς εἴδομεν. Τοιαύτην γνώμην ἔχει καὶ ὁ Μαρκελλῖνος λέγων, ὅτι καὶ τὸν Φάρον ἡ Κλεοπάτρα οὐκ ἀνέκτισεν (ὡς ἐξή-

---

τον διάστημα, ποιησάσης βαδίζεσθαι ἕως αὐτῆς τῆς νήσου καὶ τῆς Φάρου ἀπὸ ἀνθρώπων, ὅπερ φοϐερὸν ἔργον ἐποίησεν ἡ αὐτὴ Κλεοπάτρα διὰ Δεξιφάνους Κνιδίου μηχανικοῦ, ὃς τὴν θάλασσαν ἐποίησε χθόνα » (Χρονικ. Πασχάλ. σελ. 363 ἐκδ. Bon καὶ Μαλαλ. θ. σελ. 218). Ταῦτα τὰ τοῦ Πασχαλίου ἀπαραλλάκτως γράφονται καθ' ὅλας τὰς ἐκδόσεις· ἀλλὰ τὸ κείμενον φαίνεταί πως τεταραγμένον (ὡς καὶ ἄλλα πολλὰ τῶν Βυζαντινῶν) ὑπὸ κακοῦ μεταγραφέως. Ὑποπτεύω, μήπως ἔγραψεν ὁ συγγραφεὺς « κτισάσης ἐν Ἀλ. τῇ μεγ. φάρον εἰς τὴν ΦΑΡΟΝ νῆσον, κτλ. (Οὕτως ἔχει τὸ αὐτὸ Πασχάλιον καὶ ἐν σελ. 326 ἐκδ. αὐτ. « ἐν Φάρῳ τῇ νήσῳ Πρωτέως »). Καὶ ἐφεξῆς δὲ οὕτως οἶμαι ἀναγνωστέον, « Καὶ προσχωσάσης γῇ καὶ λίθοις τὴν θάλασσαν ἐπὶ τοσοῦτον διάστημα, ΚΑΙ ποιησάσης . . . . ἕως αὐτῆς τῆς ΝΗΣΟΥ ΦΑΡΟΥ ΥΠΟ ἀνθρώπων » κτλ. Τὸ Πασχάλιον τοίνυν φαίνεται διττῶς ἁμαρτάνον, καθότι καὶ τὸν Φάρον καὶ τὸ Ἑπταστάδιον ἀποδίδωσιν εἰς τὴν Κλεοπάτραν· ἀλλ' ἑτέρωθεν ἐξελέγχεται πάλιν ὑφ' ἑαυτοῦ, λέγον ἀρχιτέκτονα τοῦ χώματος, τὸν ἐπὶ τοῦ Λάγου Πτολεμαίου καὶ τοῦ Φιλαδέλφου γεγονότα Δεξιφάνην τὸν Κνίδιον.

(α) Ἀντὶ Κυπρίῳ, φανερὸν ὅτι γραπτέον Κνιδίῳ, ὡς ἔγραψε καὶ αὐτὸς ὁ Τζέτζης ἀλλαχοῦ « Τῷ Δεξιφάνῃ τῷ σοφῷ, Κνιδόθεν ὡρμημένῳ », κτλ (Χιλ. Δ, 141).

(ϐ) Εὐσέϐ. Χρονικ. ϐ. σελ. 350 ἐκδ. Mediol. καὶ Σύγκελ. Χρονογρ. σελ. 516. Bon. βλ. καὶ Εὐστάθ. εἰς Διονύσ. περιηγ. σελ. 37, 38. Τούτοις ἐπηκολούθησαν καὶ Ado Viennensis, Marianus Scotus, P. Comestor, etc.

γησε τὸν Μαρκελλῖνον Οὐαλέσιος καὶ Ὄβελος, παρ᾽ Ὀδίῳ σελ. 86), ἀλλ᾽ (ὡς ἔχει κατὰ λέξιν ὁ Μαρκελλῖνος) *ἐπενόησεν*, ἢ *ἐξεῦρεν* (excogitasse). Οὕτως ἔχουσι καὶ Τζέτζης, καί τινες λατινοβάρβαροι χρονογράφοι (α). Ἀλλὰ ταῦτα μὲν λῆρος πολύς. Ὅτι δὲ πρὸ τῆς Κλεοπάτρας ἵστατο καὶ ὁ Φάρος, μάρτυς ὁ Καῖσαρ, μνημονεύων ὡς ὑπάρχοντος τοῦ πύργου, καθ᾽ ὃν καιρὸν κατῆγεν αὐτὸς εἰς τὴν Ἀλεξάνδρειαν τὴν μέχρι τότε μόνον ἐξ ὀνόματος βασιλεύουσαν Κλεοπάτραν (β)· μαρτυρεῖ δὲ καὶ Λουκιανὸς ἀνωνύμως μὲν, ἀλλ᾽ ὅμως κατὰ ἀρσενικὸν μνημονεύων « *τοῦ τότε βασιλεύοντος* (οὐχὶ τῆς βασιλευούσης), ὡς λέγομεν εὐθὺς (§. ε.). Καὶ ἔτι πολὺ σαφέστερον μαρτυροῦσιν ὅ,τε Πλίνιος (λϛ. 12), καὶ ὁ Σουΐδας, ἐπὶ *Πτολεμαίου* λέγοντες ἱδρυθῆναι τὸν Φάρον. Καὶ Πλίνιος μὲν Πτολεμαῖον τὸν Φιλάδελφον ἐννοεῖ (βλ. ὄπισθ. σελ. 551). Ὁ δὲ Σουΐδας, τὸν Λαγίδην· γράφει δὲ ταῦτα· « Φάρος, ἀρσενικῶς λεγόμενος, τὸν ἐν Ἀλεξανδρείᾳ Φάρον σημαίνει, ὃν ἀνέστησεν ἐπὶ Πτολεμαίου βασιλέως Αἰγύπτου Σώϛρατος Δεξιφάνους, Κνίδιος, ἐν Φάρῳ τῇ νήσῳ Πρωτέως· ὅτε καὶ Πύῤῥος ὁ Ἀχιλλέως τὴν δυναστείαν τῆς Ἠπείρου παρείληφεν ». — Ἀλλ᾽ ὁ Πύῤῥος ἐκράτησε τῆς Ἠπείρου πρὶν ὁ Φιλάδελφος βασιλεύσῃ, περίπου 10 πρότερον, ἢ 12, ἐνιαυτοὺς (τῷ β, τῆς 121, ἢ τῷ γ, τῆς 120 Ὀλυμπ. βλ. ὄπισθ. σελ. 203), ἀλλὰ περὶ τούτου μὲν λέγομεν εὐθύς. Ἐν δὲ τοῖς παρὰ Σκαλιγήρῳ χρονολογικοῖς ἀποσπάσμασιν ἀναγινώσκομεν, ὅτι κατὰ τοὺς χρόνους *Λυσιμάχου, τοῦ Μακεδόνων βασιλέως*, « Σώστρατος Κνίδιος τὸν Φάρον ἐν Ἀλεξανδρείᾳ ἀνέθηκε » (γ). Καὶ ὁ μὲν Λυσί-

---

(α) Βλ. Scaliger. ad fin. Euseb. Chronic. p. 73. — (β) « Pharus turris nomen ab insula accepit ». I. Caes. Bell. civil. L. III. ad finem

(γ) Ἱστορ. Συναγ. παρὰ Σκαλιγ. σελ. 368. « Ὁ μ ώ ν υ μ ο ν τ ῇ ν ή σ ῳ » εἶπε τὸν πύργον ὁ Στράβων (ιζ), κατὰ γένος δηλονότι ἀρσενικὸν (ὁ Φάρος), ὡς εἶπε καὶ Φίλων (εἰς Φλάκκ. σελ. 522 τόμ. β.), καὶ ὁ Σουΐδας διώρισε, πρὸς διαστολὴν τοῦ θηλυκοῦ τῆς νήσου ὀνόματος. Τοῦτον τὸν Φάρον ἐννοεῖ καὶ τὸ τοῦ Διοδώρου ἐπίγραμμα ἐκεῖνο « Πύργος ὅδ᾽ εἰναλίης ἐπὶ χοιράδος· οὔνομα νήσῳ Ταὐτὸν ἔχων, ὅρμου σύμβολόν εἰμι φάρος » (βλ. Luc. Holsten. not. in Stephan. Byzant. p. 341. Ὅπου ὁ κλεινὸς ἐκδότης φαίνεταί πως κατὰ λάθος νομίσας τὸ ἐπίγραμμα

μαχος ἐτελεύτησε μικρὸν ὕστερον (τρεῖς, ἢ δύω σχεδὸν ἐνιαυτοὺς) ἀφ' οὗ ὁ Φιλάδελφος ἐβασίλευσε (βλ. ὄπισθ. Κεφ. Ζ. §. κϛ). Εἰ δὲ καὶ πολὺ πρότερον, ἢ σύνεγγυς τῆς Λυσιμάχου τελευτῆς ὁ Φάρος ᾠκοδομήθη, περὶ τούτου μὲν οὐδὲν ὥρισεν ἡ μαρτυρία. Ὁ δὲ Στράβων λέγει τὰ ἐφεξῆς· « Τοῦτον τὸν πύργον ἀνέθηκε Σώστρατος Κνίδιος, φίλος τῶν *βασιλέων* » (ιζ, 791)· *βασιλεῖς* δὲ λέγων ὁ Γεωγράφος πληθυντικῶς, ἐννοεῖ πιθανώτατα τὸν Α, Πτολεμαῖον καὶ τὸν υἱόν, τὸν Φιλάδελφον, ὁπότε κατὰ τὴν διετίαν ἐβασίλευε, ζῶντος ἔτι τοῦ πατρός. Ὅθεν ὀρθῶς ὁ Εὐσέβιος ἐν ἀρχῇ τῆς Φιλαδέλφου βασιλείας χρονολογεῖ τὴν οἰκοδομὴν τοῦ Φάρου (Χρονικ. Β, σελ. 356). Ὡσαύτως καὶ Ἱερώνυμος (Εὐσεβ. χρονικ. Ὀλυμπ. 124. τὸ α), καὶ ὁ Σύγκελλος. Καὶ αὕτη φαίνεται ἡ ἀκριβεστέρα χρονολογία τῆς ἐντελοῦς τοῦ Φάρου κατασκευῆς, ὡς ὁ περικλεὴς Ὑσσέριος ἐσημείωσε (βλ. ὄπισθ. σελ. 126). Οὐδ' ἡ ἀνωτέρω τοῦ Σουΐδα μαρτυρία ἀντιλέγει πρὸς ταῦτα· κατ' ἐκείνην γὰρ τὴν ἐποχὴν ἤρξατο τῆς τοῦ Φάρου κατασκευῆς ὁ Λαγίδης. ἥτις ἐπεραιώθη τῷ β, τῆς 124: Ὀλυμπ. (ὡς ὁ κλεινὸς διώρισε Χαμπολιὼν), ὀλίγους ἴσως μῆνας, οὐχ ὕστερον (ὡς λέγει), ἀλλὰ πρότερον τῆς Λαγίδου τελευτῆς (α).

§. έ. Ὁ δὲ σοφὸς Ὅδιος νομίζει μετ' ἄλλων, ὅτι τὸ ἐπὶ τοῦ πύρ-

ἀνῆκον εἰς τὴν ἐν τῷ Ἀδρίᾳ νῆσον Φάρον, πρὸς ἣ τοῦτο παρασημειοῖ). Πρβλ. καὶ τὸ «καιόμενον τὸν φάρον» (Ἐπίγραμ. β. σελ. 215 Brod.), ὅπου ἴσως ἐξελήφθη καὶ καθολικώτερον. Ἀπὸ γὰρ τοῦ ἐπὶ τῇ Φάρῳ πύργου πάντα τὰ φρυκτώρια, « Ἃ τοῖς λιμέσιν ἐπικείμενα, νύκτωρ διὰ τοῦ πυρὸς εἰς ἀσφαλεῖς διαγωγὰς τὰς ναῦς χειραγωγεῖ, φάρους οἱ πολλοὶ καλοῦσι »(Ἡρωδιαν. Δ, β. σελ. 825: Irm.) Τοιοῦτοι φάροι παλαιοὶ μνημονεύονται Σμύρνης, Μεσσήνης, Ῥαβέννης, κτλ. Οὕτω καὶ παρὰ λατίνοις τὸ Pharus, ἰταλ. faro, κτλ. (βλ. Ammian. Marcel. 22. καὶ Solin. κτλ. πρβλ. Salmas. Exercitat. Plin. pag. 340). Τοῦ δ' ἐπὶ τῇ Φάρῳ πύργου, πρὸ χρόνων παλαιῶν καταπεσόντος, τὰ ἔσχατα λείψανα ἠφανίσθησαν κατὰ τὸν ἐν ἔτει 1320 γενόμενον μέγαν σεισμόν. βλ. Κωνσταντίου τοῦ Σιναίου (καὶ ὕστερον Οἰκουμενικοῦ Πατριάρχου) Ἀρχαίαν Ἀλεξάνδρειαν, σελ. 57 Μόσχβᾳ, 1803.

(α) Champol. Ann. des Lagid. T. II. p. 14—16. Ἐντεῦθεν καὶ Πλίνιος καὶ ἄλλοι τῶν νεωτέρων εἰς τὸν Φιλάδελφον ἀποδίδουσι τὸν Φάρον, ὡς ἐπ' αὐτοῦ βασιλεύοντος περαιωθέντα. βλ. Mémoir. del Académ. des Inscrip. VI, 476: καὶ IX, 246. — Schmidt Opuscula etc. p. 137.

γου ἐπιγεγραμμένον « *Θεοῖς Σωτῆρσι* » σημαίνει τὸν Λάγου Πτολεμαῖον καὶ τὴν Βερενίκην, οὓς οἱ Αἰγύπτιοι μετὰ τοῦ Φιλαδέλφου τιμῶντες μετὰ τὸν θάνατον, *Θεοὺς Σωτῆρας* ἀνηγόρευσαν. Οἱ δὲ πλωτῆρες μάλιστα καὶ τὴν Βερενίκην *Σώτειραν* ἰδίως ἐπεκαλοῦντο, προσευχόμενοι καὶ θύοντες· καὶ λιμὴν δέ τις, εἰς τούτων τιμὴν, *Θεῶν Σωτήρων* ἐπωνομάσθη. Ταῦτα δὲ φρονοῦντες οἱ περὶ τὸν Ὅδιον, φαίνονται λοιπὸν ὅτι καὶ τὸν πύργον ἐκλαμβάνουσιν ὑπὸ μόνου τοῦ Φιλαδέλφου κτισθέντα μετὰ τὴν Λαγίδου τελευτήν. Ἀλλὰ καὶ ταύτης δοθείσης τῆς ὑποθέσεως, πρῶτον μὲν, οὐδὲν ὁ Φάρος ἔχει κοινὸν πρὸς τὴν Ἀριςέου ἱστορίαν, ὅπου τὸ *Ἑπταστάδιον* ὡς ἀντιλεγόμενον ἀναφέρεται· ἔπειτα καὶ αὐτὴ ἡ ὑπόθεσις οὐ μόνον ὑπὸ τῶν ἀνωτέρω τεθέντων ἀναιρεῖται, ἀλλ᾽ ἔχει πολλὰς καὶ ἄλλας τὰς ἀντιῤῥήσεις. Ὁμολογοῦμεν, ὅτι οἱ τοῦ Φιλαδέλφου γονεῖς μετὰ θάνατον ἐπωνομάσθησαν *Θεοὶ Σωτῆρες*, καὶ τοῦτο διὰ μακρῶν ἀπεδείξαμεν ἐν τοῖς προηγηθεῖσι (κεφ. Ϛ). Ὅτι δὲ τούτους ἐννοεῖ καὶ τὸ τοῦ Φάρου ἐπίγραμμα, ἀνανεύει μάρτυς ἰσχυρὸς, ὁ Λουκιανὸς, ὅστις ἱστορεῖ τὸν Σώστρατον κρύφα τοῦ βασιλέως ἐπιγράψαντα τὴν ἐπιγραφήν· λέγει δὲ ταῦτα ἐπὶ λέξεως· « Οἰκοδομήσας οὖν (ὁ Κνίδιος ἀρχιτέκτων) τὸ ἔργον, ἔνδοθεν μὲν κατὰ τῶν λίθων τὸ αὐτοῦ ὄνομα ἐπέγραψεν, ἐπιχρίσας δὲ τιτάνῳ, καὶ ἐπικαλύψας, ἐπέγραψε τοὔνομα τοῦ *τότε βασιλεύοντος*, εἰδὼς, ὅπερ καὶ ἐγένετο, πάνυ ὀλίγου χρόνου συνεκπεσούμενα μὲν τῷ χρίσματι τὰ γράμματα, ἐκφανησόμενον δὲ, *Σώστρατος Δεξιφάνους Κνίδιος, Θεοῖς Σωτῆρσιν ὑπὲρ τῶν πλωϊζομένων* » (β). Ἐκ τούτων τοίνυν φαίνεται σαφῶς ὁ Σώστρατος, ὅτι τὸ *θεοῖς Σωτῆρσιν* ἀνέφερεν, οὐχὶ εἰς τοὺς Φιλαδέλφου γονεῖς (ἢ πρὸς τί κρυφίως τοῦτον ἐκολάκευε, Σωτῆρας τοὺς γεννήτορας, μηδὲν αὐτοῦ εἰδότος, ἐπιγράφων;), ἀλλὰ πολὺ πιθανώτερον εἰς τοὺς παρὰ πᾶσιν Ἕλλησι νενομισμένους ἐξαιρέτως τῶν πλωϊζο-

---

(α) Hody pag. 87. Καὶ πρὸ τούτου Le Moyen, Varia Sacra vol. 2. pag. 128—130. πρβλ. καὶ Demagistr. Diss. III. p. 419.

(β) *Λουκιαν. π. δ. ἱστορ. συγγράφειν* §. 63. *σελ* 69. *τόμ. β.* Reitz. *καὶ Ἰκαρομένιπ.* §. 12. *σελ.* 765 *αὐτόθ. ὅπου ὁ Σχολ. ψευδῶς ἀπονέμει τὸν πύργον εἰς Ἀλέξανδρον τὸν Φιλίππου καὶ Ὀλυμπιάδος. ὡς καί τινες ἄλλοι, περὶ ὧν ἐφεξῆς.*

μένων *σωτῆρας*, τοὺς Διοσκούρους, *τὸν Κάστορα καὶ τὸν Πολυδεύκην* (α). Οὕτω δὲ τὴν σημασίαν τῶν ὀνομάτων ἐξεδέχετο καὶ αὐτὸς ὁ Λουκιανὸς (ὅστις καὶ μόνος ἱστορεῖ τὸ Σωστράτειον τοῦτο τέχνευμα περὶ τὴν ἐπιγραφὴν, ἐν ᾧ ταύτην οἱ ἄλλοι τῶν ἀρχαίων ἁπλῶς μνημονεύουσιν) (β). Ὥστε τὸ *θεοῖς Σωτῆρσι* τῆς ἐπιγραφῆς οὐδεμίαν παρέχει ἀπόδειξιν τῆς μετὰ θάνατον τῶν γονέων ὑπὸ τοῦ Φιλαδέλφου κατασκευῆς τοῦ πύργου· πᾶν μάλιστα τοὐναντίον φαίνεται λέγων ὁ Στράβων, ὀνομάσας τὸν Σώστρατον « *φίλον τῶν βασιλέων* », αὐτοῦ δηλονότι ζῶντος τοῦ Λαγίδου καὶ τοῦ συμβασιλεύοντος υἱοῦ, τοῦ Φιλαδέλφου, ὅστις καὶ τὴν τῶν ὅλων εἶχε διοίκη-

(α) Εἰς τοὺς Διοσκούρους ἀναφέρει τὴν ἐπιγραφὴν καὶ ὁ κλεινὸς Σπαγχέμιος (Observat εἰς Καλλίμ. ὕμν. Τ. 2. σελ. 495. Ern.). Σωτῆρες προσηγορεύοντο κατὰ παριστάσεις καὶ ἄλλοι θεοὶ καὶ ἡμίθεοι, οἷον Ζεὺς, Ἀπόλλων, Ποσειδῶν, Ἡρακλῆς, Ἀσκληπιὸς, Βάκχος, — καὶ Σώτειραι θεαὶ, Δημήτηρ, Περσεφόνη, Ἄρτεμις, Ἀφροδίτη κτλ. καὶ οἱ πολιοῦχοι καὶ ἔφοροι νομιζόμενοι. βλ. Spanhem. ibid. T. 2. σελ. 360. πρβλ. καὶ Le Moyen l. c. βλ. καὶ ὄπισθ. σελ. 160.

(β) Οἷον ὁ Στράβων « Τοῦτον δ' ἀνέθηκε Σώστρατος Κνίδιος, φίλος τῶν βασιλέων τῆς τῶν πλωϊζομένων σωτηρίας χάριν, ὥς φησιν ἡ ἐπιγραφή » (ιζ. 791). Οὕτω καὶ Plin. (36, 12) κτλ. Ὅθεν τῶν κριτικῶν τινες ἔκριναν τὸν Λουκιανὸν ὡς ἀντιλέγοντα πρὸς τὸν Στράβωνα καὶ τοὺς ἄλλους συγγραφεῖς, « οἵτινες (λέγουσι) μαρτυροῦσι ῥητῶς, ὅτι ὁ βασιλεὺς παρέσχε τῷ Σωστράτῳ τὴν ἐξουσίαν ἐπιγράψαι τὸ ἴδιον αὐτοῦ ὄνομα » (βλ. Reitz. καὶ M. Solan. not. in. Lucian. Tom. 2. p. 68. πρβλ. καὶ I. Voss. ad Pomp. Melam II. 7)· Ἀλλὰ τίς τῶν συγγραφέων μαρτυρεῖ τοῦτο; Ὅσον τὸ ἐφ' ἡμῖν, οὐδεμίαν τοιαύτην μαρτυρίαν βλέπομεν ἐν τοῖς ἄλλοις συγγραφεῦσιν, οἵτινες ἁπλῶς καὶ ἀπεριστάτως ἱστοροῦσι τὴν διὰ μακροῦ διαρκέσασαν ἐπιγραφήν. Ὁ Στράβων ὀνομάζει τὸν Σώστρατον μόνον φίλον τῶν βασιλέων, ἄλλο δὲ οὐδέν. Ὅτι δὲ καὶ ὁ Λαγίδης καὶ ὁ Φιλάδελφος μάλιστα ὑπῆρχον φίλοι τῶν καλῶν τεχνῶν, φανερόν. Ὅ,τι μάλιστα βεβαιοῖ τὴν διήγησιν τοῦ Λουκιανοῦ, φαίνεται ἡ κατὰ τὴν ἀποσωθεῖσαν ἐπιγραφὴν ἀποσιώπησις τοῦ κυρίου ὀνόματος τοῦ βασιλέως· ὤφειλε δὲ τοῦτο μνημονεύεσθαι πάντως, καὶ ἐμνημονεύετο ἐπὶ τῆς ἐκτὸς γεγραμμένης ἐπιγραφῆς, ἥτις συνεξέπεσε μετὰ τοῦ χρίσματος, ἔμεινε δὲ διαρκὴς ἡ ἔνδοθεν ἐπὶ τῶν λίθων· διὸ καὶ ταύτην ἡ φήμη παρέδωκε τοῖς ὕστερον. Ἢ μήπως ὁ Σώστρατος αὐτὸς ἀνέθηκε τὸν πύργον; ὁ δὲ Φιλάδελφος, ὁ τοσαῦτα μετὰ τοῦ Πατρὸς δαπανήσας εἰς τοῦτο τὸ κάλλιστον ἔργον, ἔβλεπεν ἄσμενος τὸ ἴδιον ὄνομα σεσιωπημένον, ἀναγινωσκόμενον δὲ μόνον τὸ τοῦ ἀρχιτέκτονος; εἰ δὲ καὶ οὗτος ἐπέγραφε τὸ ἴδιον ὄνομα, μόνον ἂν ἔγραφε τὸ σύνηθες τοῖς τεχνίταις « Σώστρατος ἐποίει » (πρβλ. καὶ Scalig. in Eus. Chr. Animadv. p. 132).

σιν. Ὅθεν καὶ τοῦτον μόνον ἐνόησεν ἴσως ὁ Λουκιανὸς, ἑνικῶς, *τοῦ βασιλεύοντος*, μνημονεύσας. Ἀλλὰ περὶ τούτων προείπομεν ἀνωτέρω.

§. ς΄. Καὶ τοιοῦτο μὲν « *τὸ μέγιστον καὶ κάλλιστον ἔργων ἁπάντων* » (ὡς ὀνομάζει τὸν ἐπὶ τῇ Φάρῳ πύργον ὁ Λουκιανὸς), διὸ καὶ μεταξὺ τῶν ἑπτὰ τῆς οἰκουμένης θαυμάτων συναριθμούμενον (α). Τὸ δὲ Ἑπταστάδιον ὑπῆρχε πάντως, ὁπότε παρέλαβε τὴν βασιλείαν ὁ Φιλάδελφος, ὡς ὑπὸ Δεξιφάνους, τοῦ Σωστράτου πατρὸς, ἀρχιτεκτονηθὲν, ἐπὶ τοῦ Λάγου Πτολεμαίου, βασιλεύοντος. Ἦν δὲ δήπου κἀκεῖνος μεγαλόφρων τε καὶ μεγαλουργὸς, ὡς τρανῶς αὐτὸν ὁ Θεόκριτος ζωγραφεῖ·

— — « Οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Ὁ Λ α γ ί δ α ς (ἄλλ. Λαγιάδας) Πτολεμαῖος, ὅκα φρεσὶν ἐγκατάθοιτο
Βουλὰν, ἂν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι » (β).

Ἀλλὰ καὶ αὐτὸς ὁ Καῖσαρ λέγων τὸ Ἑπταστάδιον *ὑπὸ τῶν ἄνω βασιλέων* κατασκευασθὲν, τοὺς *δύω* βασιλεῖς φαίνεται νοῶν, τὸν Λαγίδην καὶ τὸν Φιλάδελφον, ὡς *ἄνω* καὶ *πρώτους* τῶν Πτολεμαίων γενομένους, καὶ τὸν μὲν Λαγίδην κυρίως καὶ πρῶτον γεφυρώσαντα τὴν ἑπταστάδιον ταύτην γέφυραν, ἔπειτα δὲ καὶ τὸν Φιλάδελφον, ἴσως, ἐπικοσμήσαντα μᾶλλον, καὶ κρατύναντα τὸ ἔργον (γ). Ὥστε οἱ περὶ τὸν Μαρκελλῖνον ἀπονέμοντες τὸ Ἑπταστάδιον εἰς τὴν κάτω που τῶν χρόνων, μετὰ Πτολεμαίους ἅπαντας, καὶ τῶν Λαγιδῶν ἐσχάτην βασιλεύσασαν Κλεοπάτραν, ἀντιφάσκουσι πρός τε τοὺς ἄλλους συγγραφεῖς καὶ πρὸς αὐτὸν τὸν Καίσαρα, καὶ παραχρονίζουσι πολὺ χεῖρον καὶ μακρότερον παρὰ τοὺς, ὅσοι τἀνάπαλιν ἀναχρονίζοντες,

---

(α) Βλ. Σχολ. *εἰς Ἰκαρομέν. πρβλ. καὶ Ἰώσηπ. Ἰουδαϊκ. πολ.* Δ. 10, §. 5. *καὶ* H Prideaux Hist. Connex. L. I. p. II. ad an. A. c. 284.

(β) *Θεόκριτ.* Εἰδ. *ιζ. στίχ.* 13. Ὁ Ὅδιος *ὑπονοεῖ, ὅτι μ έ γ α ἔ ρ γ ο ν λέγων ὁ ποιητὴς, τὸ* Ἑ π τ α σ τ ά δ ι ο ν *ὑπαινίττεται· ἀλλὰ κούφη (νομίζω) ἡ ὑπόνοια.* Ὁ *Θεόκριτος ἐννοεῖ τὸν Λαγίδαν, ὅτι πρὸς πᾶν ἁπλῶς μέγα ἔργον ὑπῆρχε καὶ νοῆσαι δεξιὸς, καὶ τελέσαι μάλιστα ὀξὺς,* « *ἠῷος τελέων τά κεν ἑσπέριος νοήσῃ* » (Καλλίμαχ.).

(γ) Ἐλανθάσθη *ἄρα* ὁ Κλυβέριος, *εἰς τὸν* Φιλάδελφον *ἀπονείμας τὸ* Ἑπταστάδιον (Cluver. Hist. Epit. Ὡσαύτως *καὶ* Bussieresius Hist. Flosc. *παρ'* Ὀδίῳ *σελ.* 87). Ὁ *δὲ περικλεὴς* Ὑσσέριος, *ὀρθῶς ἱστορήσας τὸν* Φάρον *κτισθέντα ἐπὶ* Λαγίδου *καὶ* Φιλαδέλφου *συμβασιλεύοντος, ἔπειτα καὶ τὸ ἑπταστάδιον (μηδὲν δίον) συγχρόνως ὑπέλαβε χωσθὲν* (Annal).

ἀπένειμαν ψευδῶς, οἱ μὲν τὸ Ἑπταστάδιον, οἱ δὲ καὶ τὸν Φάρον εἰς τὸν Μ. Ἀλέξανδρον (α).

§. ζ'. Τελευταῖον, εἴ τις ὑπολείπεται χρεία καὶ ἄλλης μαρτυρίας ἰσχυρᾶς, ὅτι πάντως ὑπῆρχεν ἐπὶ τοῦ Φιλαδέλφου τὸ Ἑπταστάδιον, δι' οὗ διεβίβασεν εἰς τὴν Φάρον ὁ Δημήτριος τοὺς Ο, (καθὼς ἱστόρησεν Ἀριστέας, ὁ δι' αὐτὸ τοῦτο ψεγόμενος ὑπ' Οὐαλεσίου), παρίτω μάρτυς ἔσχατος καὶ εὐκλεὴς, αὐτὸς οὗτος πάλιν Οὐαλέσιος, ὅστις ἀλλαχοῦ σαφῶς ἀντιφάσκων πρὸς ἑαυτὸν, ὡμολόγησε τὸ Ἑπταςάδιον ἀρχαιότερον τῆς Κλεοπάτρας· διότι (καθὼς ὀρθῶς συλλογίζεται) οὐ μόνον ὁ Καῖσαρ ἔγραψεν ὑπὸ *τῶν ἄνω βασιλέων* αὐτὸ κατασκευασθὲν, ἀλλὰ καὶ ὁ Ἰώσηπος (τουτέστιν αὐτὸς ὁ Ἀριστέας) ἱστόρησε δι' αὐτοῦ διαβάντας εἰς τὴν Φάρον τοὺς Ο, κατὰ τοὺς χρόνους τοῦ Φιλαδέλφου (β).

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τινος φράσεως ὑπὸ χριστιανοῦ τινος (ὡς λέγουσι) παρεγγεγραμμένης εἰς τὴν Ἀριστέου ἱστορίαν, ἥτις ἄλλως φαίνεται πρὸ Χριστοῦ συντεταγμένη.

§. ά. Ἔσχατον, τέλος, καὶ αὐτὴν τὴν Ἀριστέου φράσιν ἀναχυμίζοντες οἱ περὶ τὸν Ὅδιον, παρετήρησαν καὶ μίαν τινὰ γνώμην (ὡς λέγουσι) χριστιανικήν· ὅθεν ὑπωπτεύθησαν, ὅτι εἰς τὴν ἑβραΐδα

(α) Οὕτως ὁ Ζωναρᾶς· « Ἐκεῖ τὴν πόλιν ἱδρύσατο (ὁ Ἀλέξανδρος), ἠπειρώσας αὐτὴν διὰ χώματος, νῆσον οὖσαν τὸ πρότερον » (Χρονικ. 2). Τοιαῦτα ὁ Ζωναρᾶς ἐξ ἀπροσεξίας· ὡσανεὶ μηδέποτ' ἀνέγνω Πλούταρχον καὶ Στράβωνα καὶ Ἀῤῥιανὸν καὶ Διόδωρον, ἱστοροῦντας μὲν τὴν κτίσιν καὶ θέσιν τῆς πόλεως, μηδὲν δὲ περὶ χώματος λέγοντας. Τὸν Ζωναρᾶν ἠκολούθησε καὶ Βαριωνᾶς ὁ Τυδελήνσιος (Barjiona Tudelensis), καὶ εἴ τινες ἄλλοι ξενικοὶ τοῦ κεραμεοῦ αἰῶνος συγγραφεῖς. Ὁ δὲ πάλιν τοῦ Λουκιανοῦ σχολιαστὴς (ὡς προείπομεν), καὶ αὐτὸς οὗτος ὁ Βαριωνᾶς, καί τις Βατρικίδης, καὶ αὐτὸν τὸν Φάρον εἰς τὸν Μ. Ἀλέξανδρον ἀναφέρουσι. Καὶ ἄλλα δὲ μυθώδη εἰς αὐτὸν ἀπένειμαν Ἄραβές τινες μυθοπλάσται, παρ' ὧν ἐδανείσατό τινα καὶ ὁ Κεδρηνὸς, καί τινες Λατινοβάρβαροι χρονογράφοι· περὶ ὧν Hody pag. 88.

(β) Vales. not. in Marcell. Εἰς ταῦτα παραπέμπει τὸν ἀναγνώστην καὶ ἐν Annot. in Eus. ubi sup. βλ. καὶ Hody pag 84 not.

ταύτην χλαῖναν προσέῤῥαψέ τις τῶν χριστιανῶν, ὡς πορφύριον, καὶ μίαν γνώμην Εὐαγγελικὴν ἐν τῷ χωρίῳ τούτῳ. «Ἐρωτήσαντος τοῦ βασιλέως τὸν ΚΑ, τῶν πρεσβυτέρων» πρὸς τίνα δεῖ φιλότιμον εἶναι;» ἐκεῖνος ἀπεκρίνατο· «Πρὸς τοὺς φιλικῶς ἔχοντας ἡμῖν οἴονται πάντες, ὅτι πρὸς τούτους δέον· ἐγὼ δὲ ὑπολαμβάνω, πρὸς τοὺς ἀντιδοξοῦντας φιλοτιμίαν δεῖ χαριστικὴν ἔχειν· ἵνα τούτῳ τῷ τρόπῳ μετάγωμεν αὐτοὺς ἐπὶ τὸ καθῆκον καὶ συμφέρον ἑαυτοῖς» κτλ. Πρὸς ταῦτα (λέγουσιν) ὁμοιότατόν ἐστι τὸ θεῖον ἐκεῖνο λόγιον τοῦ Σωτῆρος· «Ἠκούσατε ὅτι ἐῤῥέθη, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. Ἐγὼ δὲ λέγω ὑμῖν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν» κτλ. (Ματθ. ε, 43). Καί τοι (προστίθησιν Ὅδιος) οὐκ οἶμαι τὴν γνώμην εἰς τοσοῦτον εἶναι χριστιανικὴν, ὥστε μὴ δύνασθαι ταύτην καὶ ὑπ᾽ ἀνδρὸς Ἰουδαίου ῥηθῆναι· διότι καὶ παρ᾽ Ἰουδαίοις εὑρίσκονταί τινες τοιαῦται φιλάνθρωποι γνῶμαι· οἷον τὸ ἐν ταῖς Παροιμίαις, «Ἐὰν πεινᾷ ὁ ἐχθρός σου ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν» (Παροιμ. κε, 21, 22). Καὶ Σωκράτους δὲ παρὰ Πλουτάρχῳ τοιαύτη τις φέρεται γνώμη, παραινοῦντος *εὐεργετεῖν τοὺς ἐχθρούς*. Ἀρίστων δὲ ὁ Λακεδαιμόνιος, ἐπαινοῦντός τινος Κλεομένην εἰπόντα, «*Ἀγαθοῦ βασιλέως εἶναι, τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δ᾽ ἐχθροὺς κακῶς ποιεῖν*», ἔφη· «Καὶ πόσῳ κρεῖσσον ἂν εἴη, ὦ λῷστε, τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δ᾽ ἐχθροὺς φίλους ποιεῖν;» ἀναφέρεται δὲ ἡ γνώμη καὶ εἰς τὸν Σωκράτην (α).

Ἀπαντῶμεν.

§. β'. Καὶ ταῦτα κεῖνται παρὰ τοῖς συγγραφεῦσι· καὶ ἄλλας δὲ τοιαύτας χρείας καὶ γνώμας τῶν ἀρχαίων Ἑλλήνων εἶχεν Ὅδιος προσθεῖναι παρομοίως πολλάς (β). Εὕρηκε δὲ καὶ παρὰ τῷ Σειρὰχ

(α) Πλούταρχ. Λακωνικ. Ἀποφθ. — Καὶ Πυθαγόρας ἔλεγεν «Οὕτως ὁμιλεῖν ἀλλήλοις, ὥστε τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δ᾽ ἐχθροὺς φίλους ἐργάσασθαι» (Λαέρτ. Η. α, 19). Καὶ Ἀντισθένης· «Πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθὰ, πλὴν ἀνδρείας.» (Πλούταρχ. π. τῆς Ἀλεξ. Τύχ. β). Σημ. Ὁδίου.

(β) Οἷον τὸ τοῦ Φωκίωνος πρὸς τὸν υἱὸν «μὴ μνησικακεῖν Ἀθηναίοις» (Πλούταρχ. Φωκ. §. λϛ), καὶ τὸ τοῦ Κλεοβούλου τοῦ Λινδίου ἀπόφθεγμα «Τὸν φίλον δεῖ εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος, τὸν δ᾽ ἐχθρὸν φίλον ποιεῖν» (Λαέρτ. Α. ϛ, 4) κτλ.

ὁμοίαν γνωμολογίαν· διὰ τί λοιπὸν τὴν, περὶ ἧς ὁ λόγος, γνώμην ἐσημείωσεν ὡς χριστιανικήν; πότερον, οὐκ ἠδύνατο καὶ ὁ ΚΑ, πρεσβύτερος, καὶ ὡς Ἰουδαῖος, καὶ ὡς Ἑλληνιστὴς, παρόμοιόν τι πρὸς τὸ Σειράχειον καὶ τὸ Πυθαγόρειον ἀποφθέγξασθαι; ἢ μήπως τὸ « *φιλοτιμίαν χαριστικὴν ἔχειν πρὸς τοὺς ἀντιδοξοῦντας — ἵνα μετάγωμεν αὐτοὺς πρὸς τὸ ἑαυτῶν συμφέρον* » (ὅπερ εἶπεν ὁ πρεσβύτερος) ἔχει σχέσιν ἰδιάζουσαν καὶ σημασίας ταυτότητα πρὸς τὸ, « *Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν — ὅπως γένησθε υἱοὶ ὑψίστου* »; Φεῦ! πόσον ἀναξίως τῆς ἑαυτῶν πολυμαθείας ἔκριναν καὶ ἔγραψαν οἱ τοιαῦτα γράψαντες καὶ κρίναντες κριτικοί! Πόσον δ' ἀστάτως μεταῤῥιπίζονται, λέγοντες αὐτοὶ καὶ ἀντιλέγοντες πρὸς ἑαυτοὺς, καὶ νῦν μὲν τιθέντες, αὐτίκα δὲ πάλιν τὸ τεθὲν ἀναιροῦντες. Ἡ γνώμη (λέγουσι) φαίνεται χριστιανική· καὶ πάλιν, οὐχ *οὕτω χριστιανικὴ*, ὥστε μὴ προσήκειν καὶ Ἰουδαίῳ· οὐδ' οὕτως αὖθις *Ἰουδαϊκὴ*, ὥστε μὴ πρέπειν καὶ *Ἕλληνι ἐθνικῷ*! Ἀλλ' ἄν τις κρίνῃ τοιούτοις νόμοις, εὐκόλως ἡμῖν ἀποδείξει τὸ Σειραχίδειον ῥητὸν, καὶ ὅσα τῶν τοιούτων, ἐῤῥαδιουργημένα καὶ παρέγγραπτα καὶ ταῦτα παρομοίως ὑπὸ Χριστιανῶν!

§. γ'. Ἐνταῦθα καταπαύει ὁ Ὄδιος τὴν κατ' Ἀριστέου πολυμαθῆ καὶ πολυσέλιδον αὐτοῦ συγγραφὴν, ἔσχατον κεφάλαιον, οἷον μαρμαρίνην πύργου στεφάνην, ἢ χρυσοῦν ἀέτωμα κορυφώσας τὴν ἀνωτέρω κατηγορίαν. Καὶ συμπεραίνει, τέλος, λίαν ἀσφαλὴς, ὅτι ἄρα ἡ τοῦ Ἀριστέου ἱστορία συνεγράφη μικρῷ πρὸ τοῦ Σωτῆρος Χριστοῦ· παρατιθέμεθα δὲ καὶ αὐτὴν αὐτοῦ τὴν ἔφοδον τοῦ συμπεράσματος. «Ἐπειδὴ (λέγει) τῶν παρὰ τοῦ Φιλαδέλφου πρὸς τοὺς Ο, προβεβλημένων ζητημάτων μνημονεύει μὲν Ἰώσηπος (ἀποστέλλων *πρὸς Ἀριστέαν* τὸν βουλόμενον περὶ τούτων μανθάνειν), μνημονεύει δὲ καὶ Φίλων (περὶ Μωσ. Β), εὐκόλως συμπεραίνεται, ὅτι ἡ τοῦ Ἀριστέου ἱστορία αὕτη, καί τοι πεπλασμένη καὶ ψευδεπίγραφος, ὑπῆρξεν ὅμως ἀρχαιοτέρα τῆς Σωτηρίου ἐποχῆς· ὁ γὰρ Φίλων ἤκμαζε κατὰ τοὺς χρόνους τοῦ Σωτῆρος ἡμῶν. Ἀλλὰ καὶ καθόλου περὶ τῆς ἑρμηνείας, ὅτι γέγονεν ὑπὸ τῶν οβ, πρεσβυτέρων διὰ τῆς Φιλαδέλφου προμηθείας,

ῥητῶς διέλαβεν ὁ Φίλων, ὡς περὶ βεβαίου καὶ ἀναμφιβόλου πράγματος ἱστορῶν. Ἀλλὰ ταῦτα ῥαδίως ἠδύνατο γράφειν, καί τοι πλαστῆς οὔσης τῆς Ἀριστηΐδος συγγραφῆς, καὶ πάσης δὲ τῆς περὶ τὴν ἑρμηνείαν παραδόσεως ἐψευσμένης. Εἰ γὰρ τὸ βιβλίον τοῦ Ἀριστέου (καθὼς ἡ ἡμετέρα δόξα πρεσβεύει) συνεγράφη *μικρῷ πρὸ τῆς Χριστοῦ γεννήσεως*, ἠδύναντο τὰ πλάσματα ταῦτα, θαμὰ φερόμενα διὰ στόματος, κρατῆσαι κατὰ τὰς ὁμιλίας τῶν Ἀλεξανδρινῶν Ἰουδαίων, καὶ ὡς ἀληθῆ ἐκνικῆσαι, καὶ πρὶν ἢ Φίλων αὐτῶν διαμνημονεύσῃ (α). Καὶ λοιπὸν (ἐπισφραγίζει λέγων), ὅτι ἡ ἱστορία αὕτη ψευδής ἐστι καὶ ὑποβολιμαία, δαψιλῶς ἐκ τῶν μέχρι τοῦδε ῥηθέντων (εἰ μή με πεπλάνηκεν ἡ γνώμη) καὶ χύδην ἀποδέδεικται. Τούτων δὲ τῶν ἐπιχειρημάτων ὑπάρχουσιν ἔνια (οὐ γὰρ πάντων ἴσον νομίζω τὸ βάρος), καὶ καθ' ἓν ἕκαστον, ἴσως, δυνάμενα πείθειν τὸν σπουδαίως ὑπὲρ τῆς ἀληθείας συζητοῦντα. Εἰ δὲ διῃρημένα καὶ κατὰ μέρος οὐκ ἰσχύσουσιν ἐπὶ τοσοῦτον, ὥστε πληροφορῆσαι καὶ μεταπεῖσαι τοὺς εἰς τὸν Ἀριστέαν θρησκευτικῶς ἀφωσιωμένους, ἀλλ' ὅμως ἡνωμένων ἁπάντων ἡ δύναμις ἀποβήσεται κραταιοτέρα·

— — « Ἐπιγνάμψαι θυμὸν ἀτειρῆ
Κ' εἰ μὴ ἕκαστα δύναιντο, δύναιντό τοι ἀθρόα πάντα » (β).

§. δ'. Ταύτην ἐπὶ τέλους ἐπέθηκε κατακλεῖδα τῶν ἐπιχειρημάτων ἡ Μοῦσα τοῦ πολυμαθοῦς Ὀδίου, « *χρησμοὺς ἀποθεσπί-*

(α) Παράδοξος καὶ αὕτη τοῦ Ὁδίου ἡ ἀστασία περὶ τὴν χρονολογίαν τοῦ κατ' αὐτὸν ψευδαριστέου! Ἀλλαχοῦ τίθησιν ἁπλῶς τὸν (ὡς λέγει) Ἀ ρ ι σ τ ή ϊ ο ν μ ῦ θ ο ν πεπλασμένον π ρ ὸ τ ῶ ν Φ ι λ ο μ ή τ ο ρ ο ς χ ρ ό ν ω ν, καθ' οὓς ἤκμαζεν ὁ Ἀριστόβουλος (ἤγουν πρὸ τοῦ 175 π. Χ.)· διὰ τοῦτο καὶ Ἀριστόβουλος ἐπεμνήσθη τῆς μυθολογίας, ἀβασανίστως εἰς αὐτὴν ἐμπεσὼν (βλ. ὄπισθ. κεφ. ιβ, σελ. 387). Ἤδη καταβιβάζει τὴν μυθοπλαστίαν, κατωτέρω πάντων σχεδὸν τούτων τῶν ἐτῶν, ὀλίγῳ πρὸ τῆς Σωτηρίου ἐποχῆς ἀνευρίσκων τὴν πηγὴν, ἐξ ἧς καὶ Φίλων ἠπατήθη. Καὶ, τέλος, εὕρηκε πάλιν ἐπὶ τοῦ Ἀριστοβούλου τὸν Ἀριστέαν ἀ ρ χ α ι ό τ α τ ο ν γ ό η τ α καὶ τριπέμπελον. (βλ. ὄπισθ. σελ. 448). Ἀλλ' εἰ μὴ τοῦτ' ἐστὶ τὸ ψηφοπαικτεῖν ἐν γράμμασι, καὶ μυΐνδα π α ί ζ ε ι ν ἐ ν λ ό γ ο ι ς, λεγέτω λοιπὸν ἄλλος, τί ποτ' ἐστὶ, καὶ τίσιν ἁρμόζει τὸ « τ ὴ ν σ π ο υ δ ὴ ν ε ἰ ς π α ι δ ι ὰ ς κ α τ α ν α λ ί σ κ ε ι ν ».

(β) — — — Si singula duram
Flectere non poterunt, poterunt tamen omnia mentem. Ovid.

σάσα ». Ἀλλ᾽ ἐν ᾧ διετράνου τὸ τῶν ἡνωμένων ἀποδείξεων ἀδιάῤῥηκτον κράτος, ἄπορον, πῶς οὐκ ἐνεθυμήθη τὸν παλαιὸν Σκίλουρον, καὶ τὴν παρ᾽ ἐκείνῳ δέσμην τῶν ἀθρόων συνδεδεμένων ἀκοντίων, ἥτις, καί τοι καθ᾽ ἑαυτὴν ἰσχυρὰ καὶ ἀῤῥαγὴς, ἀλλ᾽ ὅμως οὐδ᾽ ἐκείνη διήρκεσεν ἀδιάλυτος καὶ ἀκεραία μέχρι τέλους· κατὰ μίαν γὰρ καὶ χωρὶς ἑκάστης ῥάβδου λαμβανομένης ἐν μέρει, καὶ θραυομένης, ἀφ᾽ οὗ ῥᾳδίως πᾶσαι κατεκλάσθησαν, συνεξέλιπε καὶ ἡ δέσμη, τέλειον ἐξαφανισθεῖσα (Πλούταρ. Ἀποφθ. Βασιλ.). Μόνα τὰ τῆς ἀληθείας ἐπιχειρήματα διαμένουσιν ἰσχυρὰ καὶ ἄῤῥηκτα, κἂν συλλήβδην ἅπαντα λαμβάνωνται, κἂν χωρὶς καθέκαστα καὶ κατὰ μέρος. Οὐδὲ χρῄζει πολλῶν ἐνθυμημάτων καὶ συλλογισμῶν, πανταχόθεν ὅπως ἔτυχε συσσωρευμένων, πρὸς ἀπόδειξιν ἡ ἄμαχος δύναμις τῆς ἀληθείας· ἀλλὰ « *καὶ ῥῆμα πολλάκις ἕν* », καὶ μία μόνη φράσις ἀκαλλὴς καὶ ἀφελὴς, συμβάλλει πρὸς πειθὼ πολὺ δραστικώτερον, παρὰ μυρίας λόγων περιόδους, καὶ πολλὰς γραμμάτων σελίδας, ὅλας κεκαλλιεπημένας, καὶ ἀνθηρὰς, καὶ διὰ ποικίλων τῆς σοφιστικῆς μαγγανειῶν κεκαρυκευμένας. Ἄλλο τὸ γράφειν καὶ λέγειν ποικίλα καὶ πολλὰ, καὶ ἄλλο τὸ τὰ νημερτῆ καὶ γνήσια καὶ οὐσιώδη. Ἡ δ᾽ ἀπὸ παντὸς τρόπου νικᾷν φιλοτιμουμένη καλλιλογία γίνεται πολλάκις ψεύδους ἑρμηνεύτρια, καὶ σαφὴς ἔλεγχος ἀδικίας.

— — «Ἄνδρα δ᾽ οὐδέν᾽ οἶδ᾽ ἐγὼ
Δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει.
Χωρὶς τό,τ᾽ εἰπεῖν πολλὰ, καὶ τὸ τὰ καίρια »! (Σοφοκλ. Οἰδ. Κολ. 806. κτλ.)

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Ἀνακεφαλαίωσις τοῦ Α. Βιβλίου.

§. α΄. Ἐκ τῶν προεκτεθειμένων μέχρι τοῦδε ποικίλων κατηγοριῶν καὶ ἀπολογιῶν περὶ τῆς Ἀριστέου συγγραφῆς, ἐπαναλαμβάνομεν συνοπτικῶς τὰ ἐφεξῆς κεφαλαιώδη θεωρήματα, χάριν ὑπομνήσεως τῶν ἀναγνωστῶν.

Α) Ὅτι τὸ καθ᾽ ἡμᾶς σῳζόμενον βιβλίον τῆς Ἀριστέου συγγραφῆς

ὑπάρχει πάντως τὸ αὐτὸ, ὅπερ ὁ Ἰώσηπος ἀνέγνω συνοψίσας, καὶ ἄλλοι τῶν ἀρχαίων, ὅσοι τούτου μνημονεύουσι.

Β) Ὅτι τὴν παρὰ τῷ ἱερῷ Ἐπιφανίῳ σύντομον διήγησιν τῆς τῶν Ο, μεταφράσεως κακῶς καὶ ψευδῶς συγχέουσι μετὰ τῆς κυρίας Ἀριστέου ἱστορίας, νομίζοντες τοῦ ἱεροῦ πατρὸς τὴν διήγησιν, ὡς ἂν ἐπὶ λέξεως ἀντιγεγραμμένην ἐξ ἄλλου δῆθεν ἀντιγράφου, διαφόρου τῆς γνωστῆς Ἀριστηΐδος συγγραφῆς, καὶ πλάττοντες ὃν λέγουσιν « *Ἐπιφανιανὸν τοῦ Ἀριστέου κώδηκα* ».

Γ) Ὅτι πάσης τῆς κατ' Ἀριστέου κατηγορίας τῶν κριτικῶν μία καὶ μόνη κυρίως τίθεται βάσις ἱστορική, ἡ περὶ τοῦ Φαληρέως μαρτυρία τοῦ Ἑρμίππου. Πλὴν ἀλλὰ καὶ αὕτη οὐ μόνον καθ' ἑαυτὴν ὕποπτος ἐξελέγχεται καὶ ἀβέβαιος, ἀλλὰ καὶ παρεξηγεῖται, καὶ (τὸ μέγιστον) ἄσχετός ἐστι παντάπασι πρὸς τὸν Ἀριστέαν, καὶ ἀκατάλληλος, καὶ ἀλλοτριάζουσα. Ἐπάγεται γὰρ ἀτόπως καὶ βιαίως ὡς ἀντιλέγουσα, ἐν ᾧ μηδὲν ἔχει κοινὸν, μήτε πρὸς τὸν χρόνον, μήτε πρὸς τὰς περιστάσεις τῆς Ἀριστηΐδος ἱστορίας.

Δ) Ὅτι καὶ τ' ἄλλα χωρία τῶν συγγραφέων, ὅσα φέρουσιν ὡς μαρτυρίας εἰς ἀπόδειξιν τῆς νοθείας τοῦ Ἀριστέου, καὶ ὅσα ἐξ αὐτοῦ τούτου πολλάκις μνημονεύουσιν, ἀτόπως ἐφαρμόζονται, τὰ δὲ καὶ προφανῶς παρερμηνεύονται, καὶ κολοβούμενα παρεξηγοῦνται.

Ε) Ὅτι πάντα τὰ ἐπιχειρήματα, ὅσα κατασκευάζουσιν ἐπιφέροντες πρὸς ἔλεγχον τῆς ἱστορίας, ἐπιστηρίζονται εἰς ὑπονοίας πεπλασμένας, καὶ συμπερασμοὺς πολλάκις ἀδίκους, καὶ πορίσματα ψευδῆ.

Ϛ) Ὅτι αὐτοὶ οἱ κατήγοροι πολλάκις ἀντιφάσκουσι καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἀλλήλους.

Ζ) Ὅτι τὸ γνήσιον καὶ ἀληθὲς τῆς Ἀριστέου ἱστορίας μαρτυρεῖται·

1) Ὑπὸ τοῦ φιλοσόφου Ἀριστοβούλου, μόλις ἕνα αἰῶνα μετὰ τὸν Ἀριστέαν γεγονότος· ὅστις καὶ τὸν Φαληρέα καὶ τὸν Φιλάδελφον μνημονεύων, φανερός ἐστιν ἀνεγνωκὼς καὶ ἀποδεξάμενος ὡς κυρίαν καὶ γνησίαν τὴν βίβλον τοῦ Ἀριστέου.

2) Ὑπὸ τοῦ Πολυΐστορος Ἀλεξάνδρου (ὀλίγῳ μετὰ τοὺς Σύλλα χρόνους ἀκμάσαντος, 93, π. Χ.), ὅστις μνημονεύει τὴν Ἀριστέου συγγραφήν.

3) Ὑπὸ τοῦ Φίλωνος, ὅστις, εἰ καὶ τ' ὄνομα τοῦ Ἀριστέου ῥητῶς οὐ μνημονεύει, ἀλλ' ἐξ ὧν περὶ τῆς τῶν Ο, μεταφράσεως ἱστορεῖ, δείκνυσιν ἐναργέστατα, ὅτι εἶχε πρὸ ὀφθαλμῶν τὴν Ἀριστέου συγγραφήν (τοῦτο δὲ καὶ αὐτὸς ὁ ἴδιος ὡμολόγησεν ἀνωτέρω, κεφ. κγ. §. γ.).

4) Ὑπὸ τοῦ Ἰωσήπου, ὅστις ἀντέγραψε κατ' ἐπιτομὴν, καὶ, ὡς ἐπὶ τὸ πλεῖστον, αὐτολεξεὶ τὴν ἱστορίαν τοῦ Ἀριστέου.

5) Ὑπὸ τῶν ἀρχαίων Ῥαββίνων, καὶ πάσης τῆς παλαιᾶς τῶν Ἰουδαίων Συναγωγῆς.

6) Ὑπὸ τῶν ἀρχαιοτάτων καὶ σοφωτάτων τῆς Ἐκκλησίας Πατέρων. Ἰουστίνου, Εἰρηναίου, Κλήμεντος, Ἀνατολίου, Θεωνᾶ, Εὐσεβίου, Χρυσοςόμου, Κυρίλλου, Τερτυλλιανοῦ, Ἱερωνύμου, Αὐγουστίνου, καὶ πλείστων ἄλλων διδασκάλων τῆς Ἐκκλησίας, οἵτινες ἐπικυροῦσι τὴν ἱςορίαν τῆς ἑρμηνείας τῶν Γραφῶν, οἱ μὲν ἀνωνύμως, οἱ δὲ καὶ μνημονεύοντες ἐξ ὀνόματος, ἢ τὸν πρῶτον αὐτῆς συγγραφέα, τὸν Ἀριςέαν, ἢ τοὺς ἐφεξῆς, τὸν Ἀριστόβουλον καὶ τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον.

Η) Τελευταῖον· ὅτι ἐπὶ τοῦ Φιλαδέλφου (ζῶντος ἔτι καὶ τοῦ πατρὸς) ἐγένετο μετάφρασις τῶν Ἰουδαϊκῶν Γραφῶν, καθὼς ἱστόρησεν Ἀριστέας, μαρτυροῦσι καὶ ἐκ τῶν ἔξω σοφῶν ὁ Πλούταρχος, καὶ ὁ Αἰλιανὸς (περὶ ὧν προείπομεν). Μαρτυρεῖ δὲ πάλιν καὶ αὐτὸς ὁ Φαληρεὺς (παρὰ τῷ Στρωματεῖ Κλήμεντι), καὶ (ὅσον ἐκ τῶν φράσεων) οἱ ἐπὶ τοῦ Φιλαδέλφου ἀκμάσαντες ποιηταὶ, Θεόκριτος καὶ Καλλίμαχος καὶ Λυκόφρων, καὶ ἄλλοι τῶν Ἑλλήνων, οἵτινες φαίνονται σαφῶς ἀνεγνωκότες τὴν ἑρμηνείαν τῶν Ο, ὡς δείκνυται ἐξ ὧν ἀπ' αὐτῆς λαβόντες ἔχουσι λέξεων καὶ νοημάτων, περὶ ὧν λέγομεν ἐν τῷ ἐφεξῆς βιβλίῳ.

Θ) Τούτοις, ὡς ἐπίμετρον, προσκείσθω καὶ τὸ καθ' ἡμᾶς εὑρεθὲν λατινικὸν σχόλιον, γεγραμμένον ἐπὶ μεμβρανείου κώδηκος κωμῳδιῶν τοῦ Ῥωμαίου Πλαύτου, πρὸς τῷ τέλει τῆς κωμῳδίας τῆς Paenuli (σῴζεται δὲ ὁ κώδηξ ἐν Ῥώμῃ, κατὰ τὸ Ῥωμαῖον ἐπιλεγόμενον Συλλογεῖον, Collegium Romanum), ὅπερ ἀνεκάλυψε μὲν πρῶτος Ὀσάννος, φιλόλογος ἀνὴρ Γεσσαῖος, ἐξέδωκε δὲ μετ'

ἐξηγήσεων ὁ Ῥίτισχλος (α). Τοῦτο τὸ Πλαύτειον σχόλιόν ἔγραψε φιλόλογος Ἰταλὸς περὶ τὸν ιε, αἰῶνα, ἐκλατινίσας ἀπό τινος (ὡς λέγει) Cecio, ὅπου πᾶς τις βλέπει τετραυλισμένον τ' ὄνομα τοῦ ἡμετέρου Τζέτζου, (ὡς καὶ Βελκῆρος ἐσημείωσεν). Ὁ δὲ Τζέτζης ἠρύσατο ἐκ τῶν ἀρχαίων καὶ γνησίων συγγραφῶν Καλλιμάχου τε καὶ Ἐρατοσθένους, τῶν τῆς Ἀλεξανδρινῆς βιβλιοθήκης ἐπιστατῶν. Λέγει τοίνυν τὸ σχόλιον ταῦτα. « Ὁ γὰρ βασιλεὺς ἐκεῖνος (ὁ Φιλάδελφος) ἀνδράσι φιλοσόφοις καὶ πᾶσι τοῖς ἐνδόξοις συγγραφεῦσιν εὐμενέστατος ὤν, δαπάνῃ βασιλικῆς φιλοτιμίας πανταχόθεν γῆς, ἐφ' ὅσον ἐκράτησε, βιβλία συνάγων, Δημητρίου τοῦ Φαληρέως σπουδῇ, *καὶ τῶν Ο, πρεσβυτέρων*, δύω κατεσκεύασε βιβλιοθήκας, τὴν μὲν ἐντὸς, τὴν δ' ἐκτὸς τῶν βασιλείων » (β).

Ι) Τελευταῖον προςετεθείσθωσαν, καὶ ὅσοι τῶν νεωτέρων τῆς Εὐρώπης σοφῶν ἀπεδέξαντο γνησίαν καὶ ἀληθινὴν τὴν Ἀριστέου ἱστορίαν, ὧν τὰ ὀνόματα, τῶν πλείστων καὶ ἐπισημοτάτων, διεμνημονεύσαμεν ἐν τοῖς ἔμπροσθεν (κεφ. β. σελ. 20, κτξ') (γ).

(α) Ritschl, Die Alexandrinischen Bibliotheken und die Sammlung der Homerischen Gediechte nach Anleitung eines Plautinischen Scholions. pag. 3. Breslau 1838. Βλ. καὶ τὸν παρεξηγήσεις τινὰς τοῦ Ῥιτίσχλου διορθοῦντα H. G. J. Thierschium, De Pentat. version. Alexandrin. L. 1. 4. p. 8.

(β) « Nam Rex ille philosophis affertissimus (διορθοῦσι differtissimus, καὶ ὀρθότερον, affectissimus) et caeteris omnibus autoribus claris, disquisitis impensa Regiae munificentiae ubique terrarum quantum valuit voluminibus, opera Demetrii Phaleraei phzxa senum (τοῦτο διορθοῦσι et s e p t u a-ginta s e n u m) duas bibliothecas fecit, alteram extra Regiam, alteram in Regia».—Ἐφεξῆς δὲ τὸ σχόλιον περιέχει καὶ ταῦτα· «Haec autem fuerunt omnium gentium ac linquarum, quae habere potuit, docta volumina, quae summa diligentia Rex ille in suam linquam fecit ab optimis interpretibus converti (Id. ib.). Τουτέστι « Ταῦτα δὲ (τὰ βιβλία) ἦσαν ἐξ ἁπάντων τῶν ἐθνῶν καὶ γλωσσῶν, ὅσα συναγαγεῖν ἠδυνήθη, τεύχη σοφὰ, ἃ μετὰ πάσης ἐπιμελείας ἐκεῖνος ὁ βασιλεὺς εἰς τὴν ἑαυτοῦ διάλεκτον δι' ἑρμηνέων ἀρίστων μετέφρασε ». Ταῦτα δὲ βεβαιοῦνται καὶ ὑπὸ τοῦ Συγκέλλου, Χρονογρ. σελ. 516 Bon. Βλ. καὶ ὄπισθ. κεφ. γ. §. η. σημ.

(γ) Τούτοις προσαριθμείσθωσαν καὶ Λίψιος (De bibliothec. Syntagm. cap. 2), καὶ Λύμπερος (Lumper, Historia Theologico-critica, etc. vol. 7. pag. 411—461. August. Vindel. 1790), καὶ Mendelsson ὁ Ἰουδαῖος (Einleitung zum hebr. Pentateuch· παρὰ Frankel l. c. pag. 32).

§. β΄. Ταῦτα συντόμως ἀνακεφαλαιοῦμεν, συγκορυφοῦντες τὰς ἀπαντήσεις, ὅσας κατὰ δύναμιν ἀπηντήσαμεν πρὸς πάσας τὰς κατὰ τῆς Ἀριστέου ἱστορίας ἀναιρετικὰς ἀποδείξεις, ἃς ἐπραγματεύσαντο μὲν ἰδίως οἱ περὶ τὸν Ὅδιον καὶ Βανδάλην, συνεπηύξησαν δὲ καὶ ἄλλοι νεώτεροι κριτικοί. Εἰ δέ τινας καὶ ἄλλας παραῤῥίπτουσιν, ἐν οἷς ἐκφράζουσι τὰς περὶ τῶν ἀληθινῶν (ὡς λέγουσιν) ἑρμηνέων τῆς Γραφῆς ἰδίας αὐτῶν δόξας καὶ ὑπολήψεις, ἀπαντῶμεν καὶ πρὸς ἐκείνας ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς.

ΤΕΛΟΣ ΤΟΥ Α΄. ΒΙΒΛΙΟΥ.

ΚΑΙ ΕΥΛΟΓΗΤΟΣ Ο ΘΕΟΣ ΤΗΣ ΑΛΗΘΕΙΑΣ.

ΠΑΡΟΡΑΜΑΤΑ ΚΑΙ ΠΡΟΣΘΗΚΑΙ.

Σελ. 2. στίχ. 29. γράφε οὖν. — Σ. 3. στ. 19. οὖσι. — Σ. 7. στ. 17, οὖν. — Σ. 10. στ. 26. καὶ ἀλλαχοῦ γράφε Ἀριστέαν. — Σ. 13. στ. 27. Παυσανίᾳ. — Σ. 15 στ. 10. καταγεγραμμένων. — Σ 17· στ. 25. Uebersetzung. — Σ. 18. στ. 12. ἀρχετύπων, στ. 32. θεραπεῦσαι. — Σ. 19. στ. 29. Valckenaer. — Σ. 22. στ. 3. Κασωβῶν, στ. 26. Φριδερίκου. — Σ. 26 στ. 5. κεχηνότα, στ. 24. εἰσεῖρψεν. — Σ. 27. στ. 29. ὑπάρχῃ. — Σ. 28. στ. 29. Ptolemaeo, στ. 32. Fabricius. — Σ. 30. στ. 6. Βερενίκη. — Σ. 32. στ. 20. μετὰ τὸ officiers de la garde (πρόσθες) βλ. καὶ ὅσα ἐσημείωσεν ὁ Letronne, Recherches pour etc. p. 56, — στ. 28. ἐπιγεγραμμένου. — Σ. 34. στ. 29. συγγέγραφε, στ. 31. Εὐσέβ. — Σ. 37. στ. 6. παῤῥησιάζεται. — Σ. 41. στ. 16. ἑρμηνευταί. — Σ. 42. στ. 21. Stylo. — Σ. 44. στ. 19. ἀπαντῶντες. — Σ. 47. στ. 7. διπλᾶς, στ. 31. ἐν τοῖς ἐφεξῆς κεφ. γ. προβλ. καὶ βιβλ. Β. — Σ. 55. στ. 18. κολοβήν. — Σ 57. στ. 27. fama. — Σελ. 62. στ. 3. νεωτεριστής. — Σ. 64. στ. 34. Βηρύτιον. — Σ. 66. στ. 31. τὸν ἀστρολογικὸν (πρόσθες) (καί τοι τοῦτον τὸν αὐτὸν καὶ τὸν Σμυρναῖον ὑπώπτευσεν ὁ Schweighaus. Animadv. in Athen. vol. 6. p. 149) — Σ. 69. στ. 22. τόν. — Σ. 73. στ. 27. ἐπηνώρθωσε — Σ. 74. στ. 28. of the. — Σ. 77. στ. 15. διηρημένον. — Σ. 82. στ. 23. Apolog. — Σ. 83 στ. 33. τέταρτος. — Σ. 87. στ. 9. κατασκευάζοντες, στ. 29. Amstelod. — Σ. 88. στ. 23. οὐχ, στ. 30. ὁστισδήποτ'. — Σελ. 89. στίχ. 28. τῆς βασιλείας ν· ἕως — Σελ. 92. στ. 10. ἀκραιφνής. — Σ. 95. στίχ. 8. μελαίνῃ. — Σ. 102. στίχ. 10. βλασφημήσαντα. — Σ. 108. στ. 10. ἡ σύμφρασις. — Σ. 110. στ. 30. Βουσιρῖται. — Σ. 111. στ. 14. μετὰ τὸ ἐπιμελῆ (πρόσθες) Καί τοι ὁ Μεϊνέρος (Meiners ἐν ἱστορ. τῶν παρ' Ἕλλησιν ἐπιστημ. Τ. α. σελ. 228) οὐ πάνυ τοι ἄξιον τῶν Ἰωσήπου ἐπαίνων ἔκρινε τὸν Ἕρμιππον (βλ. καὶ Schweighaus. εἰς Ἀθήν. Τ. 3. σελ. 206). — Σ. 112. στ. 20. hominem. — Σ. 115. στ. 18. Πυθαγόραν. — Σ. 117. στ. 1. μετακινητέους, στ. 4. μετὰ τὸ φιλίας (πρόσθες) Τοιαύτη ψευδὴς φήμη διεκήρυξε καὶ τὸν Φιλάδελφον αὐτὸν, τῆς βασιλείας ἐπιθυμήσαντα, φαρμάκῳ τὸν πατέρα ἀποκτεῖναι. Καὶ ταύτην τὴν ψευδοφημίαν οὐκ ὤκνησε καὶ αὐτὸς ὁ Ῥωμαῖος Κορνήλιος ὁ Νέπως ἱστορῆσαι, συγγραφεὺς οὐχ ἧττον, ἴσως, Ἑρμίππου καὶ γλαφυρὸς καὶ εὔπιστος (βλ. ἐφεξ. κεφ. G. σελ. 133. καὶ Visconti Iconogr. Grec. vol. 3. p. 204). στ. 3. εἰς τὴν Σμύρνην (πρόσθες), ἢ καὶ εἰς τὴν Κυρήνην, καὶ αὐτὴν, ἂν θέλῃς, τὴν Ἀλεξάνδρειαν (εἴπερ, ἴσως, ἐν αὐτῇ διήκουσεν ὁ Καλλιμάχειος Ἕρμιππος τοῦ κατὰ τὸν α, Εὐεργέτην ἀκμάσαντος Καλλιμάχου), οὐκ ἠδύνατο λέγω διασπαρῆναι. — Σ. 122. στ. 26. κατασκευάζουσι. — Σ. 131. στ. 16. κατωρθωκότα. Σ. 134. στ. 17. βασιλίσσῃ, στ. 31. καταγαγεῖν. — Σ. 136. στ. 24. Wissenschaft. — Σ. 141. στ. 23. τῷ δ, τῆς. — Σ. 151. στ. 35. μετὰ τὸ Φιλαδέλφου (πρόσθες). Περὶ τῆς Καλλιξ. πομπῆς ἔγραψε καὶ Caylus. Memoir. de l'Acad. des Inscr. T. 31. p. 96. καὶ Manso Verm. Schr. T. 2. p. 336. — Σ 154. στ. 13. χρυσοῦς. —

Σ. 155. στ. 18. Berenice, στ. 22. εἰκοσιτρισίν. — Σ. 156. στ. 30. (πρόσθες) Περὶ δὲ τῆς Ἀθηναίων καὶ Θηβαίων αἰσχίστης πρὸς τὸν ζῶντα θεοποιούμενον Δημήτριον κολακείας, (βλ. Ἀθην. ς. 253. Ὁ δὲ Κασωβῶν τοὺς παιᾶνας, εἰς θεοὺς κυρίως, ἢ καὶ τεθνηκότας ἐκτεθειασμένους ᾄδεσθαι λέγων, παραβάλλει πρὸς τὸ παρὰ Ῥωμαίοις Saliare carmen, εἰς ὃ καὶ Μάρκος ὁ Ἀντωνῖνος ἐγγραφῆναι ἐκέλευσε τὸ ὄνομα τοῦ θανόντος υἱοῦ αὐτοῦ Οὐήρου». βλ. Casaub. παρὰ Schweigh. εἰς Ἀθήν. Τ. γ. σελ. 488, 490. — Σ. 162. στ. 9. ἀνονόμαστος, στ. 14. χρυσοῦς. — Σ. 165. στ. 25. πρωθυστέρως. — Σ. 173. στ. 31. συγγνωστέος. — Σ. 171. στ. 10. πρὸ τοῦ Ὥστε (πρόσθες)· Καὶ Κικέρων τὴν ἐξαδέλφην καὶ σύζυγον Ἀλεξάνδρου τοῦ β, Κλεοπάτραν, ἣ Βερενίκην, ὠνόμασεν αὐτοῦ ἀδελφὴν (Sororem). βλ. Letronne Recherches etc. p. 5—10. — Σ. 182. στ. 31. τήν. — Σ. 184. στ. 21. θεραπαινίδων. — Σ. 187. στ. 14. Π. Χ. — Σ. 192. στ. 16. ἐπάνιμεν. — Σ. 194. στ. 25. ἐάν. — Σ. 201. στ. 11. πολεμίων. — Σ. 212. στ. 29. ἐξάλειψον τὸ Λ. — Σ. 214. στ. 31. ρκδ. τὸ α. — 215. στ. 19. ἐριννῦν. — Σ. 221. στ. ἐσαεί. — Σ. 222. στ. 13. ἀδελφιδῆ. — Σ. 225. στ. 21, ἆρα, στ. 23. ἱστόν; — Σ. 227. στ. 31. Αἰθίοψ. — Σ. 234. 19. ἐπιτελοῖτο. — Σ 251· στ. 16 (πρόσθες) Καὶ τὰ φυσικὰ ζῶντος ἔτι τοῦ Ἀριστοτέλους ἐξεδόθησαν, ὡς ὁ Θεόφραστος μαρτυρεῖ παρὰ Σιμπλικίῳ (εἰς τὸ περὶ φυσικ. ἀκροάσ. σελ. 216. πρβλ. καὶ Buhle εἰς Ἀριστ. τόμ. α. σελ. 136). Καὶ τὰ ἠθικά, ὡς αὐτὸς Ἀριστοτέλης (π. ποιητικ. κεφ. 15). πρβλ. καὶ Schneider εἰς τὸ περὶ Ζώων ἱστορ. praef p. XCI. — Σ. 258. — στ. 15. πρὸ τοῦ Καὶ τὰ μὲν (πρόσθες) Ἡμεῖς δὲ καὶ ἄλλο τι ὑπονοοῦμεν. Ὁ Σύγκελλος (Χρον. σελ. 496) λέγει «Ἀπὸ 7 ἔτους Ἀλεξάνδρου (ὁπότε Ἀλεξάνδρεια ἡ κατ' Αἴγυπτον ἐκτίσθη), ἕως κβ, Κλεοπάτρας, ἔτη τ(300)». (ἡ Ἀλεξάνδρεια ἐκτίσθη ς, ἔτει πρὸ τῆς Ἀλεξάνδρου τελευτῆς. Τὰ δ' ἐπὶ τῆς Αἰγύπτου ἔτη τῆς Λαγιδῶν δυναστείας ἀπὸ τοῦ Α. Πτολεμαίου μέχρι τῆς ἐσχάτης Κλεοπάτρας ἀριθμοῦνται ἔτη 294, καὶ ὁ Champolion εὑρίσκει ὀρθὴν τὴν χρονολογίαν ταύτην τοῦ Συγκέλλου Annal. des Lagid. T. I. p. 196). Ταῦτα ἴσως εἶχε γράψας καὶ ὁ Ἐπιφάνιος οὕτως· «Ὁμοῦ ἀπὸ τοῦ Α. Πτολεμαίου τοῦ υἱοῦ τοῦ Λάγου, καὶ πατρὸς Πτολεμαίου τοῦ Φιλαδέλφου [ἐφ' οὗ οἱ Ο, ἡρμήνευσαν], μέχρι Κλεοπάτρας, ἔτη 294. Ἀπὸ δὲ ἑβδόμου ἔτους Ἀλεξάνδρου, ἐφ' οὗ τῷ αὐτῷ ἔτει ἐκτίσθη ἡ Ἀλεξάνδρεια, μέχρι Κλεοπάτρας, ἔτη 300» (ὡς ἔχει καὶ ὁ Σύγκελλος). Οἱ δὲ μεταγραφεῖς ἀνέστρεψαν τὴν φράσιν, καὶ παριδόντες τὸ Ἀλεξάνδρου, προσδιαφθείραντες δὲ καὶ τοὺς ἀριθμούς, ἐγέννησαν τὸ ἔκτρωμα, ὡς ἔχει σήμερον. — στίχ. 19. προσκαλιγηρείους. — Σ. 261. στ. 1. ἔτος 66, ἢ 69, (πρόσθες) βλ. καὶ σελ. 378. — Σ. 268. στ. 16. ἔμπροσθεν. — Σ. 270. στ. 22. κεφ. ν. — Σ. 277. στ. 13. ἐξάλειψον τὸ (α). — Σ. 283. 9. κατῳκισμένων. — Σ. 302. στ. 28. ποντοπορίαν. — Σ. 312. στ. 8. ἀκμάσας. — Σ. 314. στ. 10. (β). — Σ. 320. στ. 32. μετὰ τὸ σοφὸν (πρόσθες) οὗτινος ἔσωσε τεμάχια ἐκ τοῦ βιβλ. τοῦ. — Σ. 323. στ. 25 probatissimus. — Σ. 332. στ. 10 μέμνηται, στ. 11. Δίων, στ. 21. Gronov. Σ. 337. στ. 17. βεβλαμμένα. — Σ. 371. στ. 25 (πρόσθες) βλ. καὶ Titze, de Aristotelis operum serie etc. p. 6. Lipsiae. 1827. — Σ. 383. στ. 30. μετὰ τὸ Φαληρινὸν (πρόσθες) καὶ παρὰ τῷ Συγκέλλῳ (Χρον. σελ. 514. Bon.) τὴν Φίλαν εἰς Κεφίλλαν, κτλ. — Σ. 389. στ. 23. εἰς. — Σ 416. στ. 30. Vol. — Σ. 420.

στ. 35. μετὰ τὸ ἐπώνυμον (πρόσθες) Οὕτω καὶ ἐν Αἰγυπτίᾳ Ἐπιγραφῇ (ἐπὶ Τραϊανοῦ) « κεχειλιαρχηκὼς (κατὰ παρακείμενον) = ἀπὸ χιλιάρχων, ex-tribun militaire (Letronne. Recherches etc. p. 211). — Σ. 473. στ. 13. σαφῶς. — Σ. 480. στ. 30. (πρόσθες) καὶ Κύριλλ. πρὸς Ἰουλιαν. Α. σελ. 32. — Σ. 481 στ. 21. (μετὰ τὸ σελ. 481, πρόσθες) Τὸ περὶ Ἰουδαίων τοῦ Ἑκαταίου καὶ Διόδωρος μνημονεύει παρὰ Φωτίῳ (κώδ. σμϐ. βλ. καὶ ὄπισθ. σελ. 34). Ὁ δὲ πάλιν Εὐσέϐιος καὶ τὸ περὶ. — Σελ. 483 στίχ. 10. Οὐελεσίου. — στίχ. 16. μετὰ τὸ ἀπαντῶνται (σημείωσαι). Ὁ Ὠριγένης ἐγεννήθη τῷ 186: μ. Χ. Τότε ἤκμαζε καὶ ὁ Κέλσος (τῷ 175 μ. Χ.). ὑπῆρχε δὲ ἤδη προτεθνηκὼς, ὅτε κατ' αὐτοῦ ἔγραφεν Ὠριγένης (κ. Κέλσ. Προοιμ. πρϐλ. καὶ Spencer admon. ibid.) — Σ. 494. στ. 12. ηὐνόει. — Σ. 523. στ. 30. (Ζ. ε, §. 3.). — Σ. 528. στ. 20. Βόκχοριν. — Σ. 538. στ. 9. προστέθεικα. — Σ. 536. στ. 8. πρὸ τοῦ Διὸ (πρόσθες) Ὅθεν καὶ « Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου », καὶ « Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι » κτλ. (ψαλ. ριη, 21, 106). — Σ. 589. στ. 27. προστετηκὼς — Σ 605. στ. 30. αἰδῶ. — Τ' ἄλλα τὰ περὶ τὰ γράμματα καὶ τὰς προσῳδίας τυπαγραφικὰ σφάλματα διορθούτω ἡ εὐμένεια τοῦ ἀναγνώστου.

DATE DUE

JUN 1 5 1991

HIGHSMITH # 45220

BS44 .039 v.1
Peri ton O' ermeneuton tes palaias
Princeton Theological Seminary-Speer Library
1 1012 00045 8283